





ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΤΟΥ ΜΕΓΑΛΟΥ

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΑΠΑΝΤΑ.

MAGNI

HIPPOCRATIS

OPERA OMNIA.

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.


TOMVS II.

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1826.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



MEDICORVM GRAECORVM

OPERA

QVAE EXSTANT.

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.

1931 | 3150

VOLVMEN XXII.


CONTINENS

HIPPOCRATIS COI T. II.

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1826.



CONTENTA TOMI II.

	Pag.
1. De insomniis.	1
2. De alimento.	17
3. De ratione victus in morbis acutis.	25
4. De locis in homine.	101
5. De liquidorum usu.	153
6. De morbis lib. I.	165
7. — — — II.	212
8. — — — III.	292
9. — — — IV.	324
10. De affectionibus.	380

Pag.

11. De internis affectionibus. 427
12. De his quae ad virginem ſpectant. . . . 526
13. De natura muliebri. 529
14. De morbis mulierum lib. I. 606
15. — — — — II. 761

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

Ed. Chart. to. VI. [p. 512.] Ed. Foës. I. p. 375. Ed. Lind. to. I. (p. 635.)

Περὶ δὲ τῶν τεκμηρίων τῶν ἐν τοῖσιν ὕπνοισιν ὅστις ὀρθῶς γινώσκει, μεγάλην ἔχοντα δύναμιν εὑρήσει πρὸς ἅπαντα. ἡ γὰρ ψυχὴ ἐγρήγορεν. ὅταν μὲν οὖν σώματι ὑπηρετοῦσα ᾖ, ἐπὶ πολλὰ μεριζομένη οὐ γίγνεται αὐτὴ ἑωυτῆς, ἀλλ' ἀποδίδωσί τι μέρος ἑκάστῳ τοῦ σώματος ἤγουν τοῖσιν αἰσθητηρίοισιν, ἀκοῇ, ὄψει, ψαύσει, ὁδοιπορίῃ, πρήξει, καὶ πάσῃ τῇ τοῦ σώματος διανοίῃ. αὐτὴ δ' ἑωυτῆς ἡ διάνοια οὐ γίνεται. ὁκόταν δὲ τὸ σῶμα ἡσυχάσῃ, ἡ ψυχὴ κινευμένη καὶ ἐπεξέρπουσα τὰ μέρη τοῦ σώματος, διοικεῖ τὸν ἑαυτῆς οἶκον, καὶ τὰς τοῦ σώματος πρήξιας ἁπάσας αὕτη διαπρήσσεται.

HIPPOCRATIS DE INSOMNIIS LIBER.

Qui de his quae per ſomnos contingunt recte conjectaverit, is ea per omnia magnam habere vim comperiet. Animus enim vigilat et cum quidem corpori ſubminiſtrat, in multas partes diviſus ſui tantum rationem non habet, ſed ſingulis corporis partibus partem quandam diſtribuit, ſenſibus nimirum ad audiendum, videndum, tangendum, ambulandum, agendum, denique ad omne corporis obſequium, adeoque ipſa mens ſui ſolum rationem non habet. Cum vero corpus quieſcit, animus movetur et in corporis partes ſubrepens domum ſuam regit omnesque corporis actiones obit. Neque

Ed. Chart. VI. [512.] Foës. I. 375. 376. Ed. Lind. I. (635.)
τὸ μὲν γὰρ σῶμα καθεῦδον οὐκ αἰσθάνεται, ἡ δὲ γρηγοροῦσα γινώσκει, καθορᾷ τε τὰ ὁρατὰ καὶ διακούει τὰ ἀκουστὰ, βαδίζει, ψαύει, λυπεῖται, ἐνθυμέεται, ἐν ὀλίγῳ, ὁκόσαι τοῦ σώματος ὑπηρεσίαι ἢ τῆς ψυχῆς, ταῦτα πάντα ἡ ψυχὴ ἐν τῷ ὕπνῳ διαπρήσσεται. ὅστις οὖν ἐπίσταται κρίνειν ταῦτα ὀρθῶς, μέγα μέρος ἐπίσταται σοφίης. ὁκόσα μὲν οὖν τῶν ἐνυπνίων θεῖά ἐστι || καὶ προσημαίνει τινὰ συμβησόμενα ἢ πόλεσιν ἢ τῷ ἰδιώτῃ λαῷ ἢ κακὰ ἢ ἀγαθὰ μὴ δι' αὐτῶν ἁμαρτίην, εἰσὶν οἳ κρίνουσι περὶ τῶν τοιούτων ἀκριβῆ τέχνην ἔχοντες. ὁκόσα δὲ ἡ ψυχὴ τοῦ σώματος παθήματα προσημαίνει, πλησμονῆς ἢ κενώσιος ὑπερβολὴν τῶν ξυμφύτων ἢ μεταβολὴν τῶν ἀηθέων, κρίνουσι μὲν καὶ ταῦτα, καὶ τὰ μὲν τυγχάνουσι, τὰ δὲ ἁμαρτάνουσι καὶ οὐδέτερα τούτων γινώσκουσι, διότι οὖν γίνεται, οὔθ' ὅτι ἂν ἐπιτύχωσιν, οὔθ' ὅτι ἂν ἁμάρτωσι. φυλάσσεσθαι δὲ παραινεῦντες, μή τι κακὸν λάβῃ, οὐ διδάσκουσιν ὡς χρὴ φυλάξασθαι, ἀλλὰ θεοῖσιν εὔξασθαι κελεύουσι. καὶ τὸ μὲν εὔχεσθαι πρέπον καὶ λίην

enim corpus dum dormit ſentit, ipſe vero vigilans cognoſcit, quae ſub viſionem et auditionem cadunt videt et audit, vadit, tangit, triſtitia afficitur, ſecum cogitat, ac ut ſemel dicam, quaecunque corporis aut animi officia, ea omnia per ſomnum animus peragit. Quisquis igitur recte iſta dijudicat, is non minimam ſapientiae partem aſſequitur. Quae igitur ſomnia a diis immittuntur, et quaedam bona, vel mala aut urbibus aut privato populo, nulla ſua culpa eventura denunciant, quidam de his exquiſito artificio dijudicant. Quas vero corporis affectiones animus ante denunciat, quae ſcilicet ex repletione vel inanitione, per rerum a natura inſitarum exſuperantiam vel conſuetarum mutationem contingunt, de his quidem judicant et partim aſſequuntur partim aberrant, neque utriusque cauſam agnoſcunt neque cur aſſequantur, neque cur aberrent. Cumque praecavendum eſſe, ne quid detrimenti contingat, adhortantur, neque tamen quomodo cautio adhibenda ſit docent, ſed diis vota concipere jubent. Quod quidem etſi decorum eſt et opti-

Ed. Chart. VI. [6 2.] Foeſ. I. 376. Ed. Lind. I. (635. 636.)
ἐστὶν ἀγαθόν. δεῖ δὲ καὶ αὐτὸν ξυλλαμβάνοντα τοὺς θεοὺς ἐπικαλέεσθαι. ἔχει οὖν περὶ τούτων ταῦτα ὧδε. ὁκόσα τῶν ἐνυπνίων τὰς ἡμερινὰς πράξιας τοῦ ἀνθρώπου ἡ διάνοια ἐς τὴν εὐφρόνην ἐνυπνιάζεται ἑσπέρην, καὶ ἀποδίδωσι κατὰ τρόπον γενόμενα, ἅπερ τῇσιν ἡμέρῃσιν ἐπράχθη ἢ ἐβουλεύθη ἐν δικαίῳ πρήγματι, ταῦτα τῷ ἀνθρώπῳ ἀγαθά. ὑγείην γὰρ σημαίνει, διότι ἡ ψυχὴ παραμένει ἐν τοῖσιν ἡμερινοῖσι βουλεύμασιν, οὔτε πλησμονῇ τινι κρατηθεῖσα οὔτε κενώσει οὔτε ἄλλῳ οὐδενὶ ἔξωθεν προσπεσόντι. ὅταν δὲ πρὸς τὰς ἡμερινὰς πράξιας ὑπεναντίωται τὰ ἐνύπνια καὶ ἐγγίνηται περὶ αὐτέων ἡ μάχη, ἡνίκα ἂν τοῦτο συμβαίνῃ, ταραχὴν σημαίνει ἐν τῷ σώματι. καὶ ἢν μὲν ἰσχυρὴ ᾖ, ἰσχυρὸν τὸ κακὸν, ἢν δὲ φαύλη, ἀσθενέστερον. περὶ μὲν οὖν τῆς πράξιος, εἴτε δεῖ ἀποτρέπειν εἴτε μὴ δεῖ, οὐ κρίνω, τὸ δὲ σῶμα τοῦ ἀνθρώπου θεραπεύεσθαι ξυμβουλεύω. πλησμονῆς γάρ τινος ἐγγινομένης ἀπόκρισις ἐγένετό τις, ἥτις ἐτάραξε τὴν ψυχήν. ἢν μὲν οὖν ἰσχυρὸν ᾖ τὸ ἐναντιωθὲν, ἔμετόν τε ξυμφέρει ποιήσασθαι καὶ τοῖσι σιτίοισι κούφοισι προσάγειν ἐς ἡμέρας πέντε, (636) καὶ

mum, oportet tamen et manus admoventem deorum opem advocare. De quibus ſe res habet ad hunc modum. Quae inſomnia de diurnis actionibus mens humana veſpere ſub noctem in ſomnis offert et eodem modo reddit, quo per diem in re juſta geſta aut conſulta ſunt, ea bona et ſanitatem portendere exiſtimanda ſunt, propterea quod animus neque plenitudine ulla neque evacuatione, neque alia re quavis extrinſecus irruente ſuperatus, in diurnis conſiliis perſeverat. At inſomnia quae diurnis actionibus adverſantur, neque de his inter ſe convenit, cum id contigerit, perturbationem in corpore denunciant. Et vehemens quidem malum vehemens, levis vero debilius indicat. De actione igitur utrum revocanda ſit nec ne nihil ſtatuo, corpus vero uti curetur conſulo. Ubi enim plenitudo inciderit, ſecretio quaedam excitatur, quae animum perturbat. Ac ſi quidem quod adverſum eſt vehemens fuerit, vomitum ciere conducit et cibos leves ſenſim adhibere ad dies quinque. Deambu-

Ed. Chart. VI. [512.] Foël. I. 376. Ed. Lind. I. (636.)
τοῖσι περιπάτοισι πολλοῖσι καὶ ὀξέσιν ἐκ προσαγωγῆς χρέεσθαι, καὶ τοῖσι γυμνασίοισιν ἐπιγυμνάζεσθαι συμμέτροισι πρὸς τὴν προσαγωγὴν τῶν σιτίων. ἢν δὲ ἀσθενέστερον τὸ ἐναντιωθὲν γένηται, ἀφελὼν τὸν ἕμετον τὸ τρίτον μέρος ἄφελε τοῦ σιτίου, καὶ τοῦτο ἡσυχῇ προσάγου πάλιν ἐς τὰς πέντε ἡμέρας. καὶ τοῖσι περιπάτοισι πιέζειν, καὶ τοῖσι τῆς φωνῆς πόνοισι χρεέσθω καὶ τοῖσι θεοῖσι εὐχέσθω, καὶ καταστήσεται αὐτῷ ἡ ταραχή. ἥλιον δὲ καὶ σελήνην καὶ οὐρανὸν καὶ ἀστέρας καθαρὰ καὶ εὐαγέα, κατὰ τρόπον ὁρώμενα ἕκαστα, ἀγαθά. ὑγείην γὰρ τῷ σώματι σημαίνει ἀπὸ πάντων τῶν ὑπαρχόντων. ἀλλὰ χρὴ διαφυλάσσειν ταύτην τὴν ἕξιν τῇ παρούσῃ διαίτῃ. εἰ δέ τι τούτων ὑπεναντίον γένοιτο, νοῦσόν τινα τῷ σώματι σημαίνει, ἀπὸ μὲν τῶν ἰσχυρῶν ἰσχυροτέρην, ἀπὸ δὲ τῶν ἀσθενεστέρων κουφοτέρην. καὶ ἄστρων μὲν οὖν ἡ ἔξω περίοδος, ἡλίου δὲ ἡ μέση. σελήνης δὲ ἡ πρὸς τὰ κοῖλα. ὅ τι μὲν οὖν δοκοίη τούτων ἄστρων σβέννυσθαι ἢ βλάπτεσθαι ἢ ἀφανίζεσθαι ἢ ἐπέχεσθαι τῆς περιόδου, κατ' αὐτὸ τὸ μέρος καὶ τὴν νοῦσον προσγίνεσθαι, καὶ ἢν μὲν ὑπὸ

lationibus quoque multis ac concitatis ſenſim adjectione facta uti et exercitationes pro ciborum adjectione moderatas adhibere. Quod ſi quod adverſum eſt debilius fuerit, dempta vomitione cibi tertiam partem detrahito eamque ſenſim rurſus ad dies quinque adjicito, et deambulationes urgeto. Sed et vocis exercitationes adhibeat et diis ſupplicationes decernat et conquieſcet perturbatio. Sol, luna, coelum et ſtellae pura quaeque et ſuo motu agitata in ſomnis viſa bona ſunt. Sanitatem enim corporis omniumque ejus partium ſignificat. Atque hunc habitum praeſenti victus ratione conſervare oportet. Quod ſi quid contra contingat, aliquem corporis morbum portendit, a vehementibus quidem vehementiorem, a debilioribus vero leviorem. Et aſtris quidem exterior corporis ambitus reſpondet, ſoli medius, lunae vero qui ad cavitates ſpectat. Si quod igitur iſtorum ſiderum extingui aut laedi aut evaneſcere aut curſum ſuſtinere videatur, in illa ipſa parte morbum eventurum indicat et le-

Ed. Chart. VI. [512. 513.] Foës. I. 376. 377. Ed. Lind. I. (636.) ἀέρος ὁρᾷ ἢ νεφέλης τί τῶν ἄστρων τούτων πάσχον, ἀσθενέστερον, ἢν δὲ ὑπὸ ὕδατος ἢ χαλάζης, ἰσχυρότερον. σημαίνει δὲ ἀπόκρισιν ἐν τῷ σώματι ὑγρὰν καὶ φλεγματώδεα γενομένην, ἐς τὴν ἔσω περιφορὴν ἐμπεπτωκέναι. ξυμφέρει τοιγαροῦν τούτῳ τοῖσί τε δρόμοισιν τοῖσι ἱματίοσι κεχρῆσθαι πολλοῖσιν ἐξ ὀλίγου, προσάγοντα ὅκως ἐξιδρώσῃ ὡς μάλιστα, καὶ τοῖσι περιπάτοισιν ἀπὸ τοῦ γυμνασίου πολλοῖσι καὶ ἀναρίστοισι χρῆσθαι. τῶν τε σιτίων ἀφελόμενος τὸ τρίτον μέρος προσάγειν ἐς πέντε ἡμέρας. [513] || εἰ δὲ δοκοίη ἰσχυρὸν εἶναι, καὶ πυριῆσαι. τὴν γὰρ κάθαρσιν διὰ τοῦ χρώματος ξυμφέρει ποιέεσθαι, διότι ἐν τῇ ἔξω περιφορῇ ἐστι τὸ βλάβος. τοῖσι δὲ σιτίοισι χρῆσθαι ξηροῖσι, δριμέσιν, αὐστηροῖσιν, ἀκρήτοισι, καὶ τοῖσι πόνοισι τοῖσι ξηραίνουσι μάλιστα. εἴ τι δὲ τούτων ἡ σελήνη πάσχοι, εἴσω τὴν ἀντίσπασιν ποεῖσθαι ξυμφέρει, ἐμέτῳ χρησάμενον ἀπὸ τῶν δριμέων καὶ ἁλμυρῶν καὶ μαλακῶν σιτίων. τοῖσι δὲ τροχοῖσιν ὀξέσι καὶ τοῖσι περιπάτοισιν ὀξέσι. τοῖσι δὲ τῆς φωνῆς πόνοισι καὶ ἀναριστίῃσι καὶ τοῦ σίτου τῇ ἀφαιρέσει καὶ προσαγωγῇ ὡσαύ-

viorem quidem ſi ab aëre aut nube hujusmodi ſideribus quid contingere videat, ſi vero ab aqua aut grandine, graviorem. Secretionem enim humidam et pituitoſam in corpore factam et in externum ambitum incidiſſe indicat. Huic igitur conducit ut veſtibus indutus curſibus utatur multis ſenſim increſcentibus, uti quam maxime ſudet et deambulationibus poſt exercitationem multis, etiam absque prandio ſubtractaque tertia ciborum parte, paulatim ad dies quinque adjicere. Quod ſi vehemens morbus videatur, etiam fomentis utendum. Nam cum in externo corporis ambitu offenſio exiſtat, purgationem per cutim facere conſert. Cibis vero utendum ſiccis, acribus, auſteris, meracis et laboribus maxime exſiccantibus. At ſi ex his aliquid Lunae contingat, ad interna revulſionem facere utile eſt, poſt acres, ſalſuginoſos et molles cibos vomitione utendo, curſibus vero circularibus citatis ac deambulationibus celeribus. Vocis etiam exercitatione utendum et prandii abſtinentia, cibique ſubtractione et vicis-

Ed. Chart. VI. [513.] Foës. I. 377. Ed. Lind. I. (636. 637.)

τως. διὰ τοῦτο δὲ εἴσω ἀντισπαστέον, διότι πρὸς τὰ κοῖλα τοῦ σώματος βλαβερὸν ἐφάνη. εἰ δὲ ὁ ἥλιος τοιοῦτό τι πάσχει, ἰσχυρότερον τοῦτο ἤδη καὶ δυσεξαγωγότερον. δεῖ δὲ ἀμφοτέρως τὰς ἀντισπάσιας ποιεῖσθαι καὶ τοῖσι δρόμοισι τοῖσί τε καμπτοῖσι τροχοῖσι χρῆσθαι καὶ τοῖσι περιπάτοισι καὶ τοῖσιν ἄλλοισι πόνοισι πᾶσι. τῶν δὲ σίτων τῇ ἀφαιρέσει καὶ τῇ προσαγωγῇ ὡσαύτως. ἔπειτα ἐξεμέσαντα αὖθις προσάγειν πρὸς τὰς πέντε. εἰ δὲ αἰθρίης οὔσης θλίβεται καὶ ἀσθενέα δοκοίη εἶναι ὑπὸ τῆς ξηρασίης τῆς περιόδου κρατέεσθαι, σημαίνει κίνδυνον εἰς νοῦσον πεσεῖν. ἀλλὰ χρὴ τῶν πόνων ἀφαιρέειν, (637) τῇ τε διαίτῃ ὑγροτέρῃ καὶ μαλακῇ χρέεσθαι, καὶ λουτροῖσι καὶ ῥᾳθυμίῃ πλείονι, καὶ ὕπνῳ πολλῷ, μέχρις ἂν καταστήσῃ. εἰ δὲ πυροειδὲς δοκοίη εἶναι τὸ ἐναντιούμενον καὶ θερμὸν, χολῆς ἀπόκρισιν σημαίνει. εἰ δὲ καὶ ἀφανίζοιτο τὰ κρατούμενα, κίνδυνος ἐς θάνατον ἐκ τῆς νόσου ἐλθεῖν. εἰ δὲ τρεφθῆναι δοκοίη, τραπῆναι ἐς φυγὴν τὸ ὑπάρχον, φεύγειν δὲ ταχέως, τοὺς δὲ διώκειν, κίνδυνος μανῆναι

sim ſenſim adjectione facta. Ad interiora vero ideo revellendum, quoniam in corporis cavitatibus offenſio conſpicitur. Si autem quid tale ſoli contingat, vehementius utique malum eſt et difficilius expellitur. Utramque vero in partem revulſiones faciendae et curſibus tum flexis tum circularibus vtendum et deambulationibus, aliisque omnis generis laboribus, ciborum etiam ſubtractione et ſenſim facta adjectione eodem modo. Deinde vomitu facto rurſus ad dies quinque paulatim cibos adhibere. Quod ſi ſereno coelo ſidera premantur et imbecilla eſſe videantur, ambitusque ſiccitate detineri imminentis morbi periculum denunciat. Sed labores ſubtrahendi et victus ratione humidiore et molli utendum et balneis, ocioque copioſiore et ſomno multo quoad malum conquieſcat. Si vero igneum et calidum eſſe videatur quod eis adverſatur, bilis ſecretionem arguit. Quod ſi etiam evicta diſpareant, imminens ex morbo mortis periculum eſt. Si vero terga vertiſſe et in praeſenti in fugam a perſequentibus verti ac celeriter fugere videantur, inſa-

Ed. Chart. VI. [513.] Foëſ. I. 377. Ed. Lind. I. (637. 638.)
τὸν ἄνθρωπον, ἢν μὴ θεραπευθῇ. ξυμφέρει δὲ τούτοισι πᾶσι κάλλιστα μὲν ἐλλεβόρῳ κρατηθέντας διαιτᾶσθαι, ἢν δὲ μὴ, τῇ πρὸς ὕδατος διαίτῃ χρῆσθαι ξυμφέρει, οἶνον δὲ μὴ πίνειν. εἰ δ' οὖν, λευκὸν, λεπτὸν, μαλακὸν, ὑδαρῆ· ἀπέχεσθαι δὲ δριμέων, ξηραντικῶν, θερμαντικῶν, ἁλμυρῶν. πόνοισι δὲ τοῖσι κατὰ φύσιν πλείστοισι χρέεσθαι καὶ δρόμοισιν ἐν ἱματίῳ πλείστοισι. τρίψις δὲ μὴ ἔστω, μηδὲ πάλη, μηδὲ ἀλίνδησις. ὕπνοισι μαλακοῖσι εὐδεέτω, καὶ ῥᾳθυμείτω πλὴν τῶν κατὰ φύσιν πόνων. ἀπὸ δὲ τοῦ δείπνου περιπατείτω. ἀγαθὸν δὲ καὶ πυριᾶσθαι. ἐμέειν δ' ἐκ τῆς πυριῆς. τριήκοντα δὲ ἡμερέων μὴ πληρωθῇ. ὅταν δὲ πληρωθῇ, δὶς ἐν τῷ μηνὶ ἐμεσάτω ἀπὸ τῶν γλυκέων καὶ ὑδαρῶν καὶ κούφων. ὁκόσα δὲ τούτων πλανᾶται ἄλλοτε ἄλλη μὴ ὑπ' ἀνάγκης, ψυχῆς τινα τάραξιν σημαίνει ὑπὸ (638) μερίμνης. ξυμφέρει δὲ τούτῳ ῥᾳθυμῆσαί τε καὶ τὴν ψυχὴν τραπῆναι πρὸς θεωρίας, μάλιστα μὲν πρὸς τὰς φερούσας γέλωτας, εἰ δὲ μὴ, ὅ τι μάλιστα ἡσθήσεται θεασάμενος ἡμέρας δύο ἢ τρεῖς,

niae periculum, niſi curetur, imminet. His vero omnibus poſt veratri purgationem optime inſtituta victus ratio conducit. Alioqui ut victus ratione ad aquam tendente utantur expedit, neque vinum bibant niſi album, tenue, molle et dilutum. Acribus, ſiccantibus, caleſacientibus, ſalſuginoſis abſtineant; laboribus ſecundum naturam plurimis utantur et curſibus in veſte plurimis. Frictio vero ne adſit neque lucta, neque volutatio in pulvere. Per ſomnos molliter recubet et in ocio degat, laboribus ſecundum naturam exceptis et a coena obambulet. Prodeſt etiam fomentis uti et a fomento vomere. Per triginta dies minime repleatur, ubi vero repletus fuerit, cibariis ſumptis dulcibus, aquoſis et lenibus bis in menſe vomat. Quae vero ex his nulla neceſſitate coacta huc vel illuc oberrant, animi perturbationem quandam ex ſolicitudine indicant. Huic autem confert ut cum animi relaxationem adhibeat, tum animum ad jucunda maximeque riſum moventia ſpectacula convertat. Sin minus, per biduum aut triduum ea ſpectet ex quibus maximam voluptatem

Ed. Chart. VI. [513. 514.] Foës. I. 377. 378. Ed. Lind. I. (638.)
καὶ καταστήσεται. εἰ δὲ μὴ, κίνδυνος ἐς νοῦσον πίπτειν. ὅ τι δ' ἂν ἐκ τῆς περιφορῆς ἐκπίπτειν δοκέῃ τῶν ἄστρων, ὁκόσα μὲν καθαρὰ καὶ λαμπρὰ καὶ πρόσω δοκεῖ φέρεσθαι, ὑγείην σημαίνει. ὅ τι γὰρ ἐν τῷ σώματι καθαρὸν ἐὸν ἐκκρίνεται ἐκ τῆς περιόδου κατὰ φύσιν ἀφ' ἑσπέρας, πρὸς ἠῶ ὀρθῶς ἔχει. καὶ γὰρ τὰ ἐν τῇ κοιλίῃ ἀποκρινόμενα καὶ τὰ ἐς τὴν σάρκα ἀπερευγόμενα ἅπαντα ἐκ τῆς περιόδου ἐκπίπτει. ὅ τι δ' ἂν τούτων μέλαν καὶ ἀμυδρὸν καὶ πρὸς ἑσπέρην δοκέῃ φέρεσθαι, ἢ ἐς τὴν θάλασσαν [514] ἢ ἐς τὴν γῆν ἢ ἄνω μᾶλλον, ταῦτα σημαίνει τὰς νόσους. τὰ μὲν ἄνω φερόμενα ῥεῦμα κεφαλῆς ἐστι δηλοῦντα, ὁκόσα δὲ ἐς θάλασσαν, κοιλίης νουσήματα, ὁκόσα δὲ ἐς γῆν, ἐκφύματα μάλιστα σημαίνει τὰ ἐν τῇ σαρκὶ φυόμενα. || τούτοισι ξυμφέρει τὸ τρίτον μέρος τοῦ σίτου ἀφελέσθαι, ἐμέσαντα δὲ προσάγειν ἐς ἡμέρας πέντε, ἐν ἄλλῃσι δὲ πέντε κομίσασθαι τὰ σιτία πάντα. καὶ ἐμέσαντα πάλιν προσαγέσθω κατὰ τὸν αὐτὸν τρόπον. ὅ τι δ' ἂν τούτων οὐρανίοισιν ἐφέζεσθαι δόξει σοι καθαρὸν καὶ ὑγρὸν ἐὸν, ὑγιαίνειν σημαίνει, διότι ἐκ τοῦ αἰθέρος ἐς τὸν

capiet et malum conquieſcet, alioqui periculum eſt ne in morbum incidat. Quae autem ſidera pura et ſplendida ſuo ambitu excidere videntur, ſi prorſum feratur, ſanitatem denunciant. Quod enim in corpore purum eſt, cum ſecundum naturam ſuo ambitu excernitur, a veſpera ad auroram fertur et bene habet. Quae enim in ventriculo ſecernuntur et in carnem rejectantur, ea omnia ſuo ambitu excidunt. Quod vero horum nigrum et obſcurum ad veſperam ferri videtur, ſi mare aut terram aut ſurſum petat, haec magis morbos portendunt. Et quae quidem ſurſum feruntur capitis fluxionem denotant, quae vero in mare, ventris morbos. Quae autem in terram, tubercula potiſſimum in carnem eruptura ſignificant. His utile eſt tertiam cibi partem detrahere et poſt vomitum ſenſim ad dies quinque adjicere. In aliis autem quinque diebus totum cibum reponere et vomitu facto rurſus eodem modo ſenſim adjiciendo exhibere. Ex his vero quodcunque purum et humidum coelo inſidere tibi videbitur, ſanitatem denunciat, quoniam ex aethere in ho-

Ed. Chart. VI. [514.] Foël. I. 378. Ed. Lind. I. (638. 639.)
ἄνθρωπον κατελθόν ἐστι. τοιοῦτον δὲ καὶ ἡ ψυχὴ ὁρᾷ οἷόν περ ἐσέλθῃ. ὅ τι δ' ἂν μέλαν ᾖ (639) καὶ μὴ καθαρὸν μηδὲ ἀφανὲς, νοῦσον σημαίνει, οὔτε διὰ πλησμονὴν οὔτε διὰ κένωσιν, ἀλλ' ἔξωθεν ἐπαγωγῆς. ξυμφέρει δὲ τούτῳ τροχοῖσιν ὀξέσι κεχρῆσθαι, ὅκως σύντηξις ὡς ἐλαχίστη τοῦ σώματος γένηται. πνεύματι δὲ ὡς πυκνοτάτῳ χρησάμενος ἐκκρίνῃ τὸ παρελθόν. ἀπὸ δὲ τῶν τροχῶν περιπάτοισιν ὀξέσιν. ἡ δὲ δίαιτα μαλακὴ καὶ κούφη προσαχθήτω ἐς ἡμέρας τέσσαρας. ὅ τι δ' ἂν λαμβάνειν παρὰ θεοῦ δοκῇ καθαρὸν, ἀγαθὸν πρὸς ὑγείην. σημαίνει γὰρ τὰ ἐσιόντα ἐς τὸ σῶμα εἶναι καθαρά. ὅ τι δ' ἂν τούτου τὸ ἐναντίον δοκῇ ὁρᾶν, οὐκ ἀγαθόν. νόσον γὰρ ἐς τὸ σῶμα σημαίνει ἐληλυθέναι. χρὴ οὖν ὡς τὸν πρότερον θεραπευθῆναι καὶ τοῦτον. εἰ δὲ δοκοίη ὕεσθαι, ὕδατι μαλθακῷ ἐν εὐδίῃ καὶ μὴ σφόδρα βρέχεσθαι, μηδὲ δεινῶς χειμάζειν ἀγαθόν. σημαίνει γὰρ σύμμετρον καὶ καθαρὸν τὸ πνεῦμα ἐκ τοῦ ἠέρος εἰσεληλυθέναι. εἰ δὲ τούτων τἀναντία, σφόδρα ὕεσθαι καὶ χειμῶνα καὶ ζάλην εἶναι, ὕδατί

minem venit, tale vero quale ingreſſum eſt animus etiam cernit. Quod autem nigrum, impurum, minime perſpicuum fuerit, morbum portendit non ob plenitudinem aut evacuationem, ſed ex eo quod extrinſecus inductum eſt. Huic conſert ut curſibus circularibus concitatis utatur, quo quam minima corporis colliquatio contingat et ubi ſpiritu quam creberrimo uſus fuerit, id quod advenit excernat. Poſt curſus autem deambulationibus concitatis vtatur. Victus autem ratio ad dies quatuor mollis et levis adhibeatur. Quicquid vero purum a deo ſumere ſibi quis videtur, id bonum eſt ſanitatis augurium. Ea enim quae in corpus ingeſta ſunt pura eſſe indicat. At vero quicquid huic contrarium videre quis putat, bonum non eſt. Morbum enim corpori adveniſſe ſignificat. Huic igitur velut priori eadem curatio adhibenda eſt. Si quis clementi coelo molli pluvia compluì et neque vehementer neque cum gravi tempeſtate demiſſa madefieri videatur, bonum eſt. Commoderatum enim et purum ſpiritum ex aëre ingreſſum eſſe ſignificat. Quod ſi his contraria contingant, ut quis vehementer complui aqua im-

Ed. Chart. VI. [514.] Foël. I. 378. Ed. Lind. I. (639. 640.)

τε μὴ καθαρῷ νόσον σημαίνει ἀπὸ πνεύματος τοῦ ἐπακτοῦ. ἀλλὰ χρὴ καὶ τοῦτον ὡσαύτως διαιτηθῆναι σιτίοισί τε ὀλίγοισι πάντας τούτους. περὶ μὲν τῶν οὐρανίων σημείων ἄστρων οὕτω χρὴ γινώσκοντα προμηθέεσθαι καὶ ἐκδιαιτᾶσθαι καὶ τοῖς θεοῖς εὔχεσθαι, ἐπὶ μὲν τοῖσιν ἀγαθοῖσιν ἡλίῳ, Διὶ οὐρανίῳ, Διὶ κτησίῳ, Ἀθηνᾷ κτησίῃ, Ἑρμῇ, Ἀπόλλωνι, ἐπὶ δὲ τοῖσιν ἐναντίοισι τοῖσιν ἀποτροπίοισι, καὶ (640) γῇ καὶ ἥρωσιν ἀποτρόπαια γενέσθαι τὰ χαλεπὰ πάντα. προσημαίνει δὲ καὶ τάδε πρὸς ὑγείην τῶν ἐπὶ γῆς ὀξὺ ὁρῆν καὶ ἀκούειν. ὁδοιπορέειν τε ἀσφαλῶς καὶ τρέχειν ἀσφαλῶς καὶ ἄτερ φύβου. καὶ τὴν γῆν ὁρῆν λείην καὶ καλῶς εἰργασμένην. καὶ τὰ δένδρεα θαλέοντα καὶ πολύκαρπα καὶ ἥμερα καὶ ποταμοὺς ῥέοντας κατὰ τρόπον καὶ ὕδατι καθαρῷ μήτε πλείονι μήτε ἐλάττονι τοῦ προσήκοντος. τάς τε κρήνας καὶ τὰ φρέατα ὡσαύτως. ταῦτα πάντα οὕτως ὁρώμενα σημαίνει ὑγείαν τῷ ἀνθρώπῳ. καὶ τὸ σῶμα κατὰ τρόπον. πάσας τε τὰς περιόδους καὶ τὰς προσαγωγὰς καὶ τὰς ἀποκρίσεις εἶναι. εἰ δέ τι

pura et cum tempeſtate ac procella videatur, morbum a ſpiritu inducto. Verum huic quoque eadem victus ratio obſervanda eſt, iisque omnibus modicus cibus exhibendus. Ac de ſignis quidem ſiderum coeleſtibus ſic ſtatuere et conſilio providere ad idque victus rationem dirigere oportet et diis ſupplicationes decernere. Ad res quidem proſperas Soli, Jovi coeleſti, Jovi Cteſio, Minervae Cteſiae, Mercurio, Apollini. Ad adverſas vero diis averruncatoribus et terrae et heroibus, ut gravia omnia avertant et averruncent. At vero haec quoque ſanitatem portendunt, ea quae in terra fiunt acute cernere et audire, firmiter item iter facere et ſecure ac ſine metu currere, terram planam ac bene cultam videre arbores item pullulantes, fructibus onuſtas et ſativas. Flumina etiam curſu ſolito labentia et aqua limpida, neque copioſiore neque pauciore quam conveniat, fontesque et puteos eodem modo. Haec omnia viſa ſanitatem homini denunciant, corpusque et ambitus omnes ciborumque exhibitiones et excretiones recte habere. Quod ſi

Ed. Chart. VI. [514. 515.] Foël. I. 378. 379. Ed. Lind. I. (640. 641.) τούτων ὑπεναντίον ὁρῶτο βλάβος, σημαίνει τι ἐν τῷ σώματι. ὄψεως μὲν καὶ ἀκοῆς βλαπτομένων περὶ τὴν κεφαλὴν νόσον σημαίνει. τοῖσιν οὖν ὀρθρίοισι περιπάτοισι καὶ τοῖσιν ἀπὸ δείπνου πλέοσι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. τῶν σκελέων δὲ βλαπτομένων ἐμέτοισι ἀντισπαστέον καὶ τῇ πάλῃ πλείονι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. γῆ δὲ τραχείη οὐ καθαρὰν τὴν σάρκα σημαίνει. [515] τοῖσιν οὖν ἀπὸ γυμνασίων περιπάτοισι πλείοσι ποιητέον. δένδρων δὲ ἡ ἀκαρπία σπέρματος τοῦ ἀνθρωπίνου διαφθορὴν δηλοῖ. ἢν μὲν οὖν φυλλορροῦντα ᾖ τὰ δένδρα, ὑπὸ τῶν ὑγρῶν καὶ ψυχρῶν βλάπτεται· ἢν δὲ τεθηλημένα, ἄκαρπα δὲ ᾖ, ὑπὸ τῶν θερμῶν καὶ ξηρῶν. τὰ μὲν οὖν τοῖσι διαιτήμασι χρὴ ξηραίνειν καὶ θερμαίνειν, τὰ δὲ ψύχειν καὶ ὑγραίνειν. ποταμοὶ δὲ μὴ κατὰ τρόπον γινόμενοι αἵματος περίοδον (641) σημαίνουσι, πλέον μὲν ῥέοντες ὑπερβολὴν, ἔλαττον δὲ ῥέοντες ἔλλειψιν. || δεῖ δὲ τῇ διαίτῃ τὸ μὲν αὐξῆσαι, τὸ δὲ μειῶσαι. μὴ καθαροὶ δὲ ῥέοντες ταραχὴν σημαίνουσι. καθαίρονται δὲ ὑπὸ

quid his quodammodo adverſum videatur, noxam aliquam in corpore ſignificat. Viſu quidem et auditu laeſo capitis morbus indicatur. Matutinis igitur deambulationibus et poſt coenam pluribus utendum, adjecta priore victus ratione. Cruribus vero laeſis vomitibus revellendum et frequentiore lucta utendum, ſervata etiam priore victus ratione. Terra vero aſpera carnem minime puram indicat. Plurimae igitur deambulationes poſt exercitationes obeundae. Arborum autem ſterilitas ſeminis humani corruptelam ſignificat. Si igitur ab arboribus folia decidant, ab humidis et frigidis offenſionem denotant. Sin vero frondoſae fuerint arbores, at fructu careant, a calidis et ſiccis. Haec igitur per victus rationem refrigerare atque humectare oportet, illa vero ſiccare et caleſacere. Flumina non pro more exiſtentia ſanguinis ambitum denotant et plus juſto quidem fluentia exſuperantiam, minus vero defectum. Hunc autem per victus rationem augere, illum vero imminuere oportet. Cum vero impura defluunt, perturbationem indicant, quae a curſibus

Ed. Chart. VI. [515.] Foës. I. 379. Ed. Lind. I. (641.)

τῶν τροχῶν καὶ τῶν περιπάτων πνεύματι πυκνῷ ἀνακινεύμενα. κρῆναι δὲ καὶ φρέατα θεώμενα πνεύματα περὶ τὴν κύστιν σημαίνει. ἀλλὰ χρὴ τοῖσιν οὐρητικοῖσιν ἐκκαθαίρειν. θάλασσα ταρασσομένη κοιλίης νοῦσον σημαίνει. ἀλλὰ χρὴ τοῖσι διαχωρητικοῖσι καὶ κούφοισι καὶ μαλακοῖσιν ἐκκαθαίρειν. γῆ κινευμένη θεωμένη ἢ οἰκίη ὑγιαίνοντι μὲν ἀνδρὶ ἀσθενείην σημαίνει, νοσεῦντι δὲ ὑγείην καὶ μετακίνησιν τοῦ ὑπάρχοντος. τῷ μὲν οὖν ὑγιαίνοντι μεταστῆσαι τὴν δίαιταν ξυμφέρει. ἐμεσάτω πρῶτον, εἰ προσδέξεται αὖθις κατὰ μικρόν. ἀπὸ γὰρ τῆς ὑπαρχούσης κινέεται ἅπαν τὸ σῶμα. τῷ δὲ ἀσθενοῦντι ξυμφέρον χρῆσθαι τῇ αὐτῇ διαίτῃ. μεθίσταται γὰρ δὴ τὸ σῶμα ἐκ τοῦ παρεόντος. κατακλυζομένην γῆν ἀπό τινος ὕδατος ἢ θαλάσσης ὁρῆν νοῦσον σημαίνει ὑγρασίης πολλῆς ἐνεούσης ἐν τῷ σώματι. ἀλλὰ χρὴ τοῖσι ἐμέτοισι καὶ ἀναριστήσει καὶ τοῖσι πόνοισι καὶ τοῖσι ξηροῖσι διαιτήμασι χρῆσθαι. ἐπειτα προσάγειν ἐξ ὀλίγων καὶ ὀλίγοισιν. ἀλλ' οὐδὲ μέλαιναν ὁρᾶν γῆν οὐδὲ κατακεκαυμένην δοκεῖ

circularibus ac deambulationibus, per denſi ſpiritus agitationem expurgatur. Fontes et putei ſi videantur, flatus circa veſicam ſignificant, qui medicamentis urinam promoventibus ſunt expurgandi. Mare perturbatum ventris morbum ſignificat, ſed alvum dejicientibus et levibus et mollibus expurgare oportet. Terra aut domus ſi moveri videatur, ſano quidem imbecillitatem, aegro vero ſanitatem praeſentisque ſtatus immutationem portendit. Sano igitur victus rationem transmutare convenit. Imprimis vomat ac rurſum paulatim cibum aſſumat, nimirum quod corpus ex praeſenti victus ratione totum moveatur. At aegro eadem victus ratio confert, cum nimirum corpus ex praeſenti ſtatu transmutetur. Terra ab aquae aut maris diluvio inundari ſi videatur, morbum ob multam humiditatem in corpore exiſtentem denunciat. Sed vomitibus, prandii abſtinentia, laboribus et victus ratione ſicca utendum, deinde ex parvis intervallis modicus cibus adjiciendus. Sed neque nigram neque exuſtam terram videre bonum cenſetur, contra vero ne vehemens ac letha-

Ed. Chart. VI. [515. 516.] Foël. I. 379. Ed. Lind. I. (641. 642.) ἀγαθὸν, ἀλλὰ κίνδυνος ἰσχυροῦ νοσήματος ἀντιτυχεῖν καὶ θανασίμου. ξηρασίης γὰρ ὑπερβολὴν σημαίνει εἶναι ἐν τῇ σαρκί. ἀλλὰ χρὴ τούς τε πόνους ἀφελεῖν, (642) τοῦ τε σίτου ὁκόσα ξηρά τε καὶ θερμὰ καὶ δριμέα καὶ οὐρητικά. διαιτῆσθαί τε τῆς τε πτισάνης καθέφθῳ τῷ χυλῷ, καὶ πᾶσι τοῖς μαλακοῖσι καὶ κούφοισιν ὀλίγοισι, ποτῷ χρέοντι ὑδαρεῖ λευκῷ πλείονι, λουτροῖσι πολλοῖσι θερμοῖσιν. ἀλλὰ μὴ ἄσιτος λουέσθω, μαλακευείτω, ῥᾳθυμεέτω, ψῦχος καὶ ἥλιον φυλασσέσθω. εὔχεσθαι δὲ γῇ καὶ Ἑρμῇ καὶ τοῖσιν ἥρωσιν. εἰ δὲ κολυμβῇν ἐν λίμνῃ ἢ ἐν θαλάσσῃ, ἢ ἐν ποταμοῖσι δοκέει οὐκ ἀγαθόν. ὑπερβολὴν γὰρ ὑγρασίης σημαίνει. ξυμφέρει δὲ τούτῳ τῇ διαίτῃ τοῖσί τε πόνοισι χρῆσθαι. πυρέττοντι δὲ ἀγαθόν. σβέννυται γὰρ τὸ θερμὸν ὑπὸ τῶν ὑγρῶν. ὅ τι δ' ἄν τις περὶ αὐτοῦ ὁρᾷ κατὰ τρόπον γινόμενον πρὸς τὴν φύσιν τὴν ἑωυτοῦ, μήτε μείζω μήτε ἐλάσσω ἀγαθὸν πρὸς ὑγείην ἐστί. καὶ ἐσθῆτα λευκὴν ἐνδεδύσθαι καὶ ὑπόδεσιν τὴν καλλίστην ἀγαθόν. ὅ τι δ' ἂν εἴη μεῖζον [516] τῶν μελῶν

lis morbus conſequatur periculum eſt. Siccitatis enim in carne exſuperantiam ſignificat. Sed labores et cibos tum ſiccos tum calidos et acres urinamque cientes detrahere oportet et in victus ratione ptiſanae ſuccum decoctum, omniaque mollia et levia, ſed pauca exhibere. Potu utendum diluto, albo, copioſo, balneis calidis multis, verum ne jejunus lavet, molliter cubet ac dormiat, in ocio conquieſcat, frigus ſolemque vitet. Terrae autem, Mercurio et heroibus vota faciat. Quod ſi in ſtagno aut mari aut fluminibus quis natare videatur, bonum non eſt, cum humiditatis exſuperantiam indicet. Huic autem victus ratio ſicca et labores conferunt. Ac febricitanti bonum eſt, quoniam calor ab humoribus extinguitur. Quod autem quis modo conſueto et ad naturam ſuam accommodato circum ſe fieri videt, neque majus neque minus bonae valetudinis indicium eſt. Veſte etiam alba et calciamento pulcherrimo indutum eſſe bonum. Quicquid vero horum juſto majus fuerit, minime bonum, ſed neque quodcunque tandem minus fuerit. Et hoc qui-

Ed. Chart. VI. [516.] Foës. I. 379. Ed. Lind. I. (642. 643.)
οὐκ ἀγαθόν. ἀλλ' οὐδ' ὅπερ ἂν εἴη ἔλασσον. καὶ χρὴ τὸ μὲν αὔξειν τῇ διαίτῃ, τὸ δὲ μειοῦν. τὰ δὲ μέλανα νοσερώτερά τε καὶ ἐπικίνδυνα. ἀλλὰ χρὴ μαλάσσειν καὶ ὑγραίνειν, καὶ τὰ καινὰ μεταλλαγὴν σημαίνει. τοὺς ἀποθανόντας ὁρῆν καθαροὺς ἐν ἱματίοισι λευκοῖσιν ἀγαθόν, καὶ λαμβάνειν τι παρ' αὐτῶν καθαρὸν ἀγαθόν. ὑγείην γὰρ σημαίνει καὶ τῶν σωμάτων καὶ τῶν ἐσιόντων. ἀπὸ γὰρ τῶν ἀποθανόντων αἱ τροφαὶ καὶ αὐξήσιες καὶ σπέρματα γίνονται. ταῦτα δὲ καθαρὰ εἰσέρπειν ἐς τὸ σῶμα ὑγείην σημαίνει. ἢν δὲ τουναντίον (643) τις ὁρῴη γυμνοὺς ἢ μελανοείμονας ἢ μὴ καθαροὺς ἢ λαμβάνοντάς τι ἢ φέροντας ἐκ τῆς οἰκίας, οὐκ ἐπιτήδειον. σημαίνει γὰρ νοῦσον. τὰ γὰρ ἐσιόντα ἐς τὸ σῶμα βλαβερά. ἀλλὰ χρὴ τοῖσι τροχοῖσι καὶ τοῖσι περιπάτοισιν ἀποκαθαίρεσθαι, καὶ τῇ τροφῇ τῇ μαλακῇ τε καὶ κούφῃ προσάγειν ἐμέσαντα. ὁκόσα δὲ ἀλλόμορφα σώματα φαίνεται ἐν τοῖσιν ὕπνοισι καὶ φοβέει τὸν ἄνθρωπον, σιτίων ἀσυνήθων σημαίνει πλησμονὴν καὶ ἀπόκρισιν, καὶ χολέρην καὶ νοῦσον κινδυνώδη. ἀλλὰ

dem per victus rationem augere, illud vero imminuere oportet. Nigra autem morboſiora ſunt et periculo proxima, verum emollire et humectare oportet. Nova quoque transmutationem ſignificant. Mortuos nitidos et candidatos videre bonum eſt, bonum quoque quid purum ab ipſis ſumere. Corporum enim et eorum quae ingeruntur ſalubritatem indicat, cum a mortuis alimenta et incrementa et ſemina proveniunt. Quae ſi pura in corpus ingrediuntur, ſanitatem denunciant. Quod ſi contra quis nudos aut atratos, aut ſordidatos aut aliquid accipientes vel aedibus exportantes videat, minime eſt accommodatum. Morbum enim indicat, quod quae in corpus ingerantur noxia ſint. Verum curſibus circularibus et deambulationibus repurgari oportet et vomitu facto alimentum molle et lene ſenſim adhibere. Quae vero corpora in ſomnis formam monſtroſam oſtendunt et hominem perterritant, ciborum minime aſſuetorum repletionem et ſecretionem vilioſorumque per vomitum et ſeceſſum effuſionem, ac periculoſum morbum indicant. Verum vo-

Ed. Chart. VI. [516.] Foël. I. 579. 380. Ed. Lind. I. (643. 644.) χρὴ ἔμετον ποιήσασθαι καὶ προσαγαγεῖν ἐς ἡμέρας πέντε σιτίοισιν ὡς κουφοτάτοισι, μὴ πολλοῖσι μηδὲ δριμέσι. || μήτε τοῖσι ξηροῖσι μήτε τοῖσι θερμοῖσι, καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα, πλὴν τῶν ἀπὸ δείπνου περιπάτων. χρῆσθαι δὲ καὶ λουτροῖσι καὶ θερμολουτίῃσι καὶ ῥαθυμίῃσιν. ἥλιον δὲ καὶ ψῦχος φυλαττέσθω. ἢν δὲ ἐν τῷ ὕπνῳ ἐσθίειν δοκῇ, ἢ πίνειν τῶν συνήθων σιτίων ἢ πομάτων, ἔνδειαν σημαίνει τροφῆς, καὶ ψυχῆς ἀθυμίην. κρέα δὲ τὰ μὲν ἰσχυρότατα μεγίστης ὑπερβολῆς, τὰ δὲ ἀσθενέστατα ἥσσω. ὥσπερ γὰρ ἐσθιόμενον ἀγαθὸν, οὕτω καὶ ὁρώμενον. ἀφαιρέειν οὖν τῶν σιτίων ξυμφέρει. τροφῆς γὰρ ὑπερβολὴν τοῦτο σημαίνει. ἀλλὰ καὶ ἄρτοι τυρῷ καὶ μέλιτι πεποιημένοι καθ' ὕπνους ἐσθιόμενοι, ὡσαύτως σημαίνουσιν. ὕδωρ δὲ καθαρὸν πινόμενον ἀγαθόν. τὰ δὲ ἄλλα πάντα βλάπτει. (644) ὁκόσα δὲ δοκέει ὁ ἄνθρωπος θεωρῆν τῶν συνήθων, ψυχῆς ἐπιθυμίην σημαίνει. ὁκόσα δὲ φεύγει πεφοβημένος ἐπίστασιν τοῦ αἵματος σημαίνει ὑπὸ ξηρασίης. ξυμφέρει δὲ ψῦξαι καὶ ὑγρᾶναι τὸ σῶμα. ὁκόσα δὲ ἢ μάχεται ἢ κεντέεται ἢ ξυνδεῖται ὑπ'

mitus procurandus et ad dies quinque cibi quam leviſſimi, non multi neque acres neque ſicci, neque calidi ſenſim adhibendi et laboribus maxime ad naturam accommodatis utendum, praeterquam deambulationibus a coena. Balneis etiam et calidis lavacris vtendum et in ocio degendum, ſol et frigus vitanda. Per ſomnum vero ſi quis ſolitos cibos aut potus ſibi edere videatur, alimenti inopiam animique abjectionem indicat. Carnes autem validiſſimae maximae exſuperantiae indices ſunt, debiliſſimae vero minoris. Quemadmodum enim id quod editur bonum eſt, ita et quod cernitur. Cibos igitur ſubtrahere convenit, cum alimenti exundantis id ſit indicium. Quin etiam panes ex caſeo et melle confecti per ſomnum comeſti eadem indicant. Aquam puram per ſomnum bibere bono eſt indicio, reliqua vero omnia nocent. Quaecunque ex conſuetis per quietem quis ſibi cernere videtur, ea animi deſiderium ſignificant. Quae vero perterritus fugit, ſanguinis repreſſionem prae ſiccitate indicant. Corpus autem refrigerare et humectare conducit.

Ed. Chart. VI. [516.] Foël. I. 580. Ed. Lind. I. (644.)

ἄλλου, ἀπόκρισιν σημαίνει ὑπεναντίην τῇ περιόδῳ γεγονέναι τῷ σώματι. συμφέρει οὖν ἐμέειν καὶ ἰσχναίνειν καὶ περιπατεῖν, καὶ σιτίοισι κούφοισι χρῆσθαι, καὶ προσάγειν ἐκ τοῦ ἐμέτου ἐς ἡμέρας πέντε. ἀλλὰ καὶ πλάνοι καὶ ἀναβάσιες ἐκ φαντασμάτων χαλεπὰ ταῦτα σημαίνουσι. ποταμῶν διαβάσιες καὶ ὁπλῖται καὶ πολέμιοι καὶ τέρατα ἀλλόμορφα νοῦσον σημαίνει ἢ μανίην. ξυμφέρει οὖν τοῖς ἐν τοιούτοισιν ἁλωμένοισι σιτίοισιν ὀλίγοισι κουφοισί τε καὶ μαλακοῖσι χρέεσθαι, καὶ ἐμέτοισι προσάγειν ἡσυχῇ ἐπὶ ἡμέρας πέντε. καὶ τοῖσι πόνοισι τοῖσι κατὰ φύσιν πολλοῖσι χρέεσθαι πλὴν ἀπὸ δείπνου. θερμολουσίην δὲ, ῥαθυμίην, ψῦχος, ἥλιον φυλάσσεσθαι. τούτοισι χρώμενος ὡς γέγραπται ὑγιαίνει τὸν βίον καὶ εὑρηταί μοι δίαιτα ὡς δυνατὸν εὑρεῖν ἄνθρωπον ὄντα ξὺν τοῖσι θεοῖσιν.

Quod ſi quis aut pugnare aut pungi aut ab aliis vinciri ſibi videtur, ſecretionem ambitui contrariam in corpore factam ſignificat. Vomere igitur conſert et attenuare ac deambulare, cibisque levibus uti et a vomitu per dies quinque eos ſenſim adhibere. Quin et errores et aſcenſus in ſomnis apparentes gravia quaedam denuntiant. Fluviorum transitus, hoſtes armati, monſtra diſformia morbum aut furorem praeſagiunt. His igitur conducit qui talibus inſomniis detinentur, ut cibis paucis, levibus ac mollibus utantur et vomitibus factis ad dies quinque leniter cibos adhibeant. Laboribus quoque multis naturae accommodatis utendum, praeterquam a coena. Balnea calida, ocium, frigus et ſol vitanda. Qui his velut conſcripta ſunt utetur, integram valetudinem ſibi tota vita comparabit. Atque haec victus ratio quantum humano ingenio conſequi licuit, diis bene juvantibus a me eſt inventa.

Ed. Chart. VI. [238. 240.] Foës. I. 380. Ed. Lind. I. (592. 593.)

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΡΟΦΗΣ.

[238] (592) Τροφὴ καὶ τροφῆς εἶδος μία καὶ πολλαί. μία μὲν ἡ γένος ἓν, εἶδος δὲ ὑγρότητι καὶ ξηρότητι, καὶ ἐν τουτέοισιν ἰδέαι καὶ πόσον ἐστὶ καὶ ἐς τίνα καὶ ἐς τοσαῦτα. αὔξει δὲ καὶ ῥώννυσι καὶ σαρκοῖ καὶ ὁμοιοῖ καὶ ἀνομοιοῖ τὰ ἐν ἑκάστοισι κατὰ φύσιν τὴν ἑκάστου καὶ τὴν ἐξ ἀρχῆς δύναμιν. [240] ὁμοιοῖ δὲ ἐς δύναμιν, ὁκόταν κρατέει μὲν ἡ ἐπιοῦσα, ἐπικρατέει δὲ ἡ προϋπάρχουσα. γίνεται δὲ καὶ ἐξίτηλος, ὁτὲ μὲν ἡ προτέρη ἐν χρόνῳ ἀπολυθεῖσα ἢ ἐπιπροστεθεῖσα, ὁτὲ δὲ ἡ ὑστέρη ἐν χρόνῳ ἀπολυθεῖσα ἢ ἐπιπροστεθεῖσα. ἀμαυροῖ δὲ ἑκατέρας ἐν χρόνῳ καὶ μετὰ χρόνον ἡ ἔξωθεν συνεχὴς ἐπεισκριθεῖσα καὶ ἐπὶ πολλὸν (593) χρόνον στερεμνίως πᾶσι μέλεσι διαπλακεῖσα, καὶ τὴν μὲν ἰδίην ἰδέην ἐξεβλάστησε, τὴν δὲ προτέρην ἔστιν ὅτε καὶ τὰς προτέρας ἐξημαύρωσε. δύναμις δὲ τροφῆς ἀφικνέεται καὶ ἐς ὀστέον καὶ πάντα τὰ μέρεα αὐτοῦ, καὶ ἐς νεῦρον καὶ ἐς φλέβα καὶ ἐς ἀρτηρίην καὶ ἐς μῦν καὶ ἐς ὑμένα καὶ σάρκα καὶ πιμελὴν

HIPPOCRATIS DE ALIMENTO LIBER.

Alimentum et alimenti ſpecies unum et multae. Unum quidem quatenus genus unum, ſpecies vero humiditate et ſiccitate circumſcribitur, in hisque formae et quantitas ineſt et ad quaedam et ad tanta referuntur. Auget autem et robur inſert, carnem gignit, ſimilitudinem et diſſimilitudinem in ſingulis pro cujusque natura inducit et ea facultate quam habet ab initio. At ſimilitudinem pro viribus inducit, cum quae ſupervenit ſuperat, quae vero prius adeſt principatum obtinet. Evaneſcit autem interdum quidem prius, tempore dimiſſum aut ſuperappoſitum, interdum vero poſterius, tempore dimiſſum et ſuperappoſitum. Extrinſecus vero continuo in corpus ſubiens, utrumque temporis ſpacio et poſt illud tempus abolet et longo tempore membris omnibus firmiter adnexum, propriam quidem formam producit, priorem autem, interdum etiam priores delet. Alimenti vero vis ad os et omnes illius partes pertingit et ad nervum, ad venam, ad arteriam, ad muſculum, ad membranam, ad

Ed. Chart. VI. [240.] Foël. I. 381. Ed. Lind. I. (593. 594.)

καὶ αἷμα || καὶ φλέγμα καὶ μυελὸν καὶ ἐγκέφαλον καὶ νωτιαῖον καὶ τὰ ἐντοσθίδια καὶ πάντα τὰ μέρεα αὐτῶν, καὶ δὴ καὶ ἐς θερμασίην καὶ πνεῦμα καὶ ὑγρασίην. τροφῆς δὲ τὸ τρέφον τοῦτο τροφὴ καὶ τὸ οἷον τροφὴ καὶ τὸ μέλλον τροφή. ἀρχὴ δὲ πάντων μία καὶ τελευτὴ πάντων μία καὶ ἡ αὐτὴ τελευτὴ καὶ ἀρχὴ καὶ ὅσα κατὰ μέρος ἐν τροφῇ καλῶς καὶ κακῶς διοικέεται, καλῶς μὲν ὅσα προείρηται, κακῶς δὲ ὅσα τούτοισι τὴν ἐναντίαν ἔχει τάξιν. χυλοὶ ποικίλοι καὶ χρώμασι καὶ δυνάμεσι καὶ ἐς βλάβην καὶ ἐς ὠφελείην, καὶ οὔτε βλάπτειν οὔτε ὠφελέειν καὶ πλήθει καὶ ὑπερβολῇ καὶ ἐλλείψει καὶ διαπλοκῇ ὧν μὲν, ὧν δ᾽ οὔ, καὶ πάντων ἐς θερμασίην βλάπτει καὶ ὠφελέει. ἐς ψύξιν βλάπτει καὶ ὠφελέει. ἐς δύναμιν βλάπτει καὶ ὠφελέει. δυνάμιος δὲ ποικίλαι φύσιες. χυλοὶ φθείροντες καὶ ὅλον καὶ μέρος καὶ ἔξωθεν καὶ ἔνδοθεν, αὐτόματοι καὶ οὐκ αὐτόματοι. ἡμῖν μὲν αὐτόματοι, αἰτίη δ᾽ οὐκ αὐτόματοι, αἰτίη (594) δ᾽ αὖ τὰ μὲν δῆλα, τὰ δ᾽ ἄδηλα, καὶ τὰ μὲν δυνατὰ, τὰ δ᾽ ἀδύνατα.

carnem, pinguedinem, ſanguinem, pituitam, medullam, cerebrum, medullam ſpinalem et interanea, omnesque illorum partes, quin etiam ad caliditatem, ad ſpiritum et ad humiditatem. In alimentorum genere id quod alit alimentum eſt, et quod alimento eſt proximum et quod alimentum futurum eſt. Omnium autem unum eſt principium unusque omnium finis, idemque finis et principium. Quaeque in ſingulas partes proba et vitioſa alimenti ſit dispenſatio, proba quidem ut praedictum eſt, vitioſa vero his contrarium habet ordinem. Succi coloribus et viribus variant, et qui noceant et qui juvent, et qui neque noceant neque juvent, et copia et exſuperantia et defectu et horum quidem commixtione, horum vero non et omnium. Caliditate laedunt et juvant, frigore laedunt et juvant, facultate laedunt et juvant. Facultatis autem variae ſunt naturae. Succi et totum et partem corrumpentes et extrinſecus et intrinſecus, ſpontanei et minime ſpontanei. Quo ad nos quidem ſpontanei, quo ad cauſam autem minime ſpontanei. Cauſae rurſus aliae quidem manifeſtae, aliae obſcurae, et aliae qui-

Ed. Chart. VI. [262.] Foës. I. 381. Ed. Lind. I. (594.)

[262] φύσις ἐξαρκέει πάντα πᾶσιν. ἐς δὲ ταύτην ἔξωθεν μὲν κατάπλασμα, κατάχρισμα, ἄλειμμα, γυμνότης καὶ σκέπη ὅλου καὶ μέρεος. θέρμη καὶ ψύξις κατὰ τὸν αὐτὸν λόγον καὶ στύψις καὶ ἕλκωσις καὶ δηγμὸς καὶ λίπασμα. ἔνδοθεν δὲ τινά τε τῶν εἰρημένων καὶ ἐπὶ τούτοισιν αἰτίη ἄδηλος καὶ μέρει καὶ ὅλῳ, τινί τε καὶ οὐτινί. ἀποκρίσιες κατὰ φύσιν κοιλίης, οὔρων, ἱδρῶτος, πτυάλου, μύξης, ὑστέρης. καθ' αἱμορροΐδα, θύμον, λέπρην, φῦμα, καρνίνωμα, ἐκ ῥινῶν, ἐκ πνεύμονος, ἐκ κοιλίης, ἐξ ἕδρης, ἐκ καυλοῦ. κατὰ φύσιν καὶ παρὰ φύσιν. αἱ διακρίσιες τούτων ἄλλοισι πρὸς ἄλλον λόγον ἄλλοτε καὶ ἀλλοίως. μία φύσις ἐστὶ ταῦτα πάντα καὶ οὐ μία. πολλαὶ φύσιες εἰσὶ ταῦτα πάντα καὶ οὐ μία φαρμακείη ἄνω καὶ κάτω, καὶ οὔτε ἄνω οὔτε κάτω. ἐν τροφῇ φαρμακείη ἄριστον, ἐν τροφῇ φαρμακείη φλαῦρον. φλαῦρον καὶ ἄριστον πρὸς τί. ἕλκος, ἐσχάρη, αἷμα, πῦον, ἰχὼρ, λέπρη, πίτυρον,

dem quae ſciri poſſunt, aliae non poſſunt. Natura omnia omnibus ſufficit. Ad eam extrinſecus quidem accedunt cataplasma, illitus, unctio, nuditas et tegumentum totius et partis, calor et frigus ad eandem rationem et ulceratio, morſus et quod pingueſacit. Intrinſecus autem et ex praedictis quaedam et ad haec cauſa occulta, et toti et parti et cuidam etiam, cuidam vero minime. Excretiones ſecundum naturam, ventris, urinarum, ſudoris, ſputi, muci, uteri per ora venarum quae ſunt in ano, haemorrhoidas vocant, thymum, lepram, tuberculum in cutem ſponte erumpens, φῦμα dicitur, carcinoma, ex naribus, e pulmonibus, ex ventre, ex ano, ex cole, ſecundum naturam et praeter naturam horum diſtinctiones, aliis juxta aliam rationem interdum, interdum etiam alio modo. Una horum omnium eſt natura et non una. Multae horum omnium naturae et non una. Medicamentum purgans ſurſum et deorſum, et neque ſurſum neque deorſum. In alimento medicamentum purgans optimum, in alimento medicamentum purgans malum. Malum et optimum ad aliud referuntur. Ulcus, cruſta, ſanguis, pus, ſanies, lepra, furfur, ulcera capitis

Ed. Chart. VI. [262. 277.] Foës. I. 381. Ed. Lind. I. (594. 595.) ἀχὼρ, λειχὴν, ἀλφὸς, ἔφηλις, ὁτὲ μὲν βλάπτει, ὁτὲ δὲ ὠφελέει, ὁτὲ δὲ οὔτε βλάπτει οὔτε ὠφελέει. [277] τροφὴ οὐ τροφή. ἢν μὴ οἷόν τε ᾖ τρέφεσθαι, οὔνομα τροφὴ, ἔργον δὲ οὐχί. ἔργον τροφὴ, οὔνομα δὲ οὐχί. ἐς τρίχας τροφὴ καὶ ἐς ὄνυχας καὶ ἐς τὴν ἐσχάτην ἐπιφανείην ἔνδοθεν ἀφικνέεται. ἔξωθεν τροφὴ ἐκ τῆς (595) ἐσχάτης ἐπιφανείης ἐνδοτάτω ἀφικνέεται. ξύῤῥοια μία, ξύμπνοια μία, ξυμπαθέα πάντα. κατὰ μὲν οὐλομελίην πάντα, κατὰ μέρος δὲ τὰ ἐν ἑκάστῳ μέρει μέρεα πρὸς τὸ ἔργον. ἀρχὴ μεγάλη εἰς ἔσχατον μέρος ἀφικνέεται. ἐξ ἐσχάτου μέρεος εἰς ἀρχὴν μεγάλην ἀφικνέεται. μία φύσις εἶναι καὶ μὴ εἶναι. νούσων διαφοραὶ ἐν τροφῇ, ἐν πνεύματι, ἐν θερμασίῃ, ἐν αἵματι, ἐν φλέγματι, ἐν χολῇ, ἐν χυμοῖσιν, ἐν σαρκὶ, ἐν πιμελῇ, ἐν φλεβὶ, ἐν ἀρτηρίῃ, ἐν νεύρῳ, μυὶ, ὑμένι, ὀστέῳ, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ, στόματι, γλώσσῃ, στομάχῳ, κοιλίῃ, ἐντέροισι, φρεσὶ, περιτοναίῳ, ἥπατι, σπληνὶ, νεφροῖσι, κύστεϊ, μήτρῃ, δέρματι. ταῦτα πάντα καὶ καθ' ἓν καὶ κατὰ μέρος. μέγεθος αὐτῶν

manantia, impetigo, vitiligo, lentigo interdum quidem laedit, interdum vero juvat, eſt ubi neque laedit, neque juvat. Alimentum minime alimentum. Niſi alere queat, nomine eſt alimentum, non re. Re alimentum, nomine non item. Alimentum in pilos, in ungues et in extimam ſuperficiem ab internis partibus pervenit. Ab externis partibus alimentum, ab externa ſuperficie ad intima pervenit. Confluxio una, conſpiratio una, conſentientia omnia. Ad univerſam quidem totius naturam omnia, ad particularem vero partis cujusque particulae ad opus. Principium magnum ad extremam partem pervenit, ex parte extrema ad magnum principium pervenit. Una natura eſſe et non eſſe. Morborum differentiae in alimento, in ſpiritu, in calore, in ſanguine, in pituita, in bile, in humoribus, in carne, in pinguedine, in vena, in arteria, in nervo, muſculo, membrana, oſſe, cerebro, ſpinali medulla, ore, lingua, gula, ventriculo, inteſtinis, ſepto transverſo, abdomine, jecore, liene, renibus, veſica, utero, cute, haec omnia

Ed. Chart. VI. [277. 286.] Foes. I. 381. 382. Ed. Lind. I. (595. 596.) μέγα καὶ οὐ μέγα. τεκμήρια, γαργαλισμὸς, ὀδύνη, ῥῆξις, γνώμη, ἱδρὼς, οὔρων ὑπόστασις, ἡσυχίη, ῥιπτασμὸς, ὄψιες, φαντασίαι, ἴκτερος, λυγμὸς, ἐπιληψίη, αἷμα ὁλοσχερὲς, ὕπνος, καὶ ἐκ τούτων καὶ ἐκ τῶν ἄλλων τῶν κατὰ φύσιν καὶ ὅσα ἄλλα τοιουτότροπα ἐς βλάβην καὶ ἐς ὠφελίην ὁρμᾷ. || πόνοι ὅλου καὶ μέρεος καὶ μεγέθους σημήϊα τοῦ μὲν ἐς τὸ μᾶλλον, τοῦ δὲ ἐς τὸ ἧσσον, καὶ ἀπ' ἀμφοτέρων ἐς τὸ μᾶλλον καὶ ἀπ' ἀμφοτέρων ἐς τὸ ἧσσον. [286] γλυκὺ οὐ γλυκύ, γλυκὺ ἐς δύναμιν οἷον ὕδωρ, γλυκὺ ἐς γεῦσιν οἷον μέλι. σημήϊα ἑκατέρων ἕλκεα, ὀφθαλμοὶ καὶ γεύσιες, καὶ ἐν τούτοισι τὸ μᾶλλον καὶ τὸ ἧσσον. γλυκὺ ἐς τὴν ὄψιν καὶ ἐν χρώ(596)μασι καὶ ἐν ἄλλῃσι μίξεσι γλυκὺ μᾶλλον καὶ ἧσσον. ἀραιότης σώματος ἐς διαπνοὴν οἷσι πλέον ἀφαιρέεται ὑγιεινότερον. πυκνότης σώματος ἐς διαπνοὴν οἷσιν ἔλαττον ἀφαιρέεται νοσερόν. οἱ διαπνεόμενοι καλῶς ἀσθενέστεροι καὶ ὑγιεινότεροι καὶ εὐανάσφαλτοι. οἱ διαπνεόμενοι κακῶς πρὶν ἢ νοσέειν ἰσχυρότεροι, νοσήσαντες δὲ δυσανάσφαλτοι. ταῦτα δὲ καὶ

tum ſigillatim tum per partes. Magnitudo ipſorum magna et non magna. Indicia, titillatio, dolor, ruptio, mens, ſudor, urinarum ſedimentum, quies, jactatio, viſus, imaginationes, morbus regius, ſingultus, morbus comitialis, ſanguis integer, ſomnus. Et ex his et ex aliis quae inſunt a natura et quaecunque ejusmodi ad noxam et utilitatem tendunt. Labores totius et partis et magnitudinis ſigna, alterius quidem ad majus, alterius vero ad minus et ex utrisque ad majus et ex utrisque ad minus. Dulce non dulce. Dulce facultate velut aqua, dulce guſtu velut mel, utrorumque ſigna, ulcera, oculi, et guſtus, et in his magis et minus. Dulce ad aſpectum et in coloribus et in aliis mixturis, dulce magis et minus. Corporis raritas ad perſpirationem quibus amplius auferturſalubrior. Corporis denſitas ad perſpirationem quibus minus aufertur inſalubrior. Quibus corpus probe perſpirat, ii imbecilliores et ſalubriores exiſtunt, prompteque reſtituuntur. Quibus male perſpirat, ii prius quam aegrotent robuſtiores ſunt, cum vero in morbum inciderunt, aegrius reſtituuntur. Haec autem

Ed. Chart. VI. [286. 294.] Foeſ. I. 582. Ed. Lind. I. (596. 597.) ὅλῳ καὶ μέρει. πνεύμων ἐναντίην σώματι τροφὴν ἕλκει, τὰ δ' ἄλλα πάντα τὴν αὐτήν. ἀρχὴ τροφῆς πνεύματος ῥῖνες, στόμα, βρόγγος, πνεύμων, καὶ ἡ ἄλλη διαπνοή. ἀρχὴ τροφῆς καὶ ὑγρῆς καὶ ξηρῆς στόμα, στόμαχος, κοιλίη. ἡ δὲ ἀρχαιοτέρη τροφὴ διὰ τοῦ ἐπιγαστρίου ὀμφαλός. ῥίζωσις φλεβῶν ἧπαρ, ῥίζωσις ἀρτηριῶν καρδίη. ἐκ τούτων ἀποπλανᾶται ἐς πάντα αἷμα καὶ πνεῦμα, καὶ θερμασίη διὰ τούτων φοιτᾷ. δύναμις μίη καὶ οὐ μίη, ᾗ πάντα ταῦτα καὶ τὰ ἑτεροῖα διοικέεται, ἡ μὲν ἐς ζωὴν ὅλου καὶ μέρεος, ἡ δὲ ἐς αἴσθησιν ὅλου καὶ μέρεος. γάλα τροφή, οἷσι γάλα τροφὴ κατὰ φύσιν, ἄλλοισι δὲ οὐχί, ἄλλοισι δὲ οἷσιν οἶνος τροφὴ, καὶ οἷσιν οὐχὶ τροφὴ, καὶ σάρκες καὶ ἄλλαι ἰδέαι τροφῆς πολλαὶ, καὶ κατὰ χώρην καὶ ἐθισμὸν τρέφεται τὰ μὲν ἐς αὔξησιν καὶ ἐς τὸ εἶναι, τὰ δὲ ἐς τὸ εἶναι μόνον, οἷον γέροντες, τὰ δὲ πρὸς τούτων καὶ ἐς ῥώμην. διάθεσις ἀθλητικὴ οὐ φύσει. ἕξις ὑγιεινὴ κρείσσων ἐν (597) πᾶσι, μέγα τὸ ποσὸν εὐστόχως ἐς δύναμιν ξυναρμοσθέν. [294] γάλα καὶ αἷμα

et toti et parti attribuuntur. Pulmo contrarium corpori alimentum trahit et reliqua omnia idem. Alimenti ſpiritus principium nares, os, guttur, pulmo, reliquaque perſpiratio. Alimenti tum humidi tum ſicci principium os, gula, ventriculus. At antiquius alimentum per abdomen umbilicus. Venarum origo tanquam radix hepar eſt, et arteriarum cor. Ex his per omnia ſanguis et ſpiritus pervagatur, calorque per haec permeat. Facultas una et non una ex qua haec omnia, et ab his diverſa adminiſtrantur. Alia quidem ad totius et partis vitam, alia vero ad ſenſum totius et partis. Lac alimentum, quibusdam pro natura lac alimentum eſt, aliis vero minime. Sunt quibus vinum alimentum eſt, ſunt quibus non eſt. Et carnes multaeque aliae alimenti formae et pro regione et pro conſuetudine. Aluntur haec quidem ad incrementum et ut ſubſiſtant, haec vero tantum ut ſubſiſtant veluti ſenes, alia inſuper ad robur. Affectio athletica non eſt a natura; praeſtat in omnibus habitus ſalubris. Quantitatem apte ad vires accommodatam recta conjectura conſequi ardua res eſt. Lac et ſanguis

Ed. Chart. VI. [294.] Foeſ. I. 382. Ed. Lind. I. (597.)
τροφῆς πλεονασμός. περίοδοι ἐς πολλὰ σύμφωνοι, ἐς ἔμβρυον καὶ ἐς τὴν τούτου τροφήν. αὖθις δὲ ἄνω ῥέπει ἐς γάλα καὶ ἐς τροφὴν καὶ ἐς βρέφος. ζωοῦται τὰ μὴ ζῶα, ζωοῦται τὰ ζῶα, ζωοῦται τὰ μέρεα τῶν ζώων. φύσιες πάντων ἀδίδακτοι. αἷμα ἀλλότριον ὠφέλιμον. αἷμα ἴδιον ὠφέλιμον. αἷμα ἀλλότριον βλαβερόν. αἷμα ἴδιον βλαβερόν. χυμοὶ ἴδιοι βλαβεροί. χυμοὶ ἀλλότριοι βλαβεροί. χυμοὶ ἀλλότριοι ξυμφέροντες. χυμοὶ ἴδιοι ξυμφέροντες. τὸ ξύμφωνον διάφωνον. τὸ διάφωνον ξύμφωνον. γάλα ἀλλότριον ἀστεῖον. γάλα ἴδιον βλαβερόν. γάλα ἀλλότριον βλαβερόν. γάλα ἴδιον ὠφέλιμον. σιτίον νέοισιν ἀκροσαπὲς, γέρουσι δὲ ἐς τέλος μεταβεβλημένον, ἀκμάζουσιν ἀμετάβλητον. ἐς τύπωσιν λέ ἡέλιοι, ἐς κίνησιν ό, ἐς τελειότητα σί. ἄλλοι φασὶ ἐς μορφὴν μέ, ἐς κίνησιν οστ', ἐς ἔξοδον σί, ἄλλοι ν' ἐς ἰδέην ἐς πρῶτον ἅλμα ρ', ἐς τελειότητα τ', ἐς διάκρισιν μ', ἐς μετάβασιν π', ἐς ἔκπτωσιν σμ'. οὐκ ἔστι καὶ ἔστι. γίνεται δὲ ἐν τούτοισι

alimenti redundantia. Circuitus ad multa conſentiunt, ad ſoetum et ad illius alimentum. Rurſus autem ſurſum repit in lac et in alimentum et ad infantem. Vitam habent non animantia, vitam habent animantia et animantium partes. Omnium naturae a nullo edoctae ſunt. Sanguis alienus utilis, ſanguis proprius utilis; ſanguis alienus noxius, ſanguis proprius noxius. Humores proprii noxii, humores alieni noxii. Humores alieni conferentes, humores proprii conferentes. Conſentiens minime conſentiens. Diſſentiens minime diſſentiens. Lac alienum probum, lac proprium noxium. Lac alienum noxium, lac proprium utile. Cibus juvenibus leniter coctus, ſenibus extreme immutatus, in aetatis vigore conſtitutis minime immutatus. Ad conformationem ſoles triginta quinque, ad motionem ſeptuaginta, ad perfectionem ducenti et decem. Alii tradunt ad formam quadraginta quinque, ad motionem ſex et ſeptuaginta, ad exitum ducentos et decem. Aliis ad ſpeciem quinquaginta; ad primum ſaltum centum; ad perfectionem trecenti. Ad diſtinctionem quadraginta; ad transitionem octoginta; ad elapſum ducenti quadraginta. Non eſt et eſt. In his autem

Ed. Chart. VI. [294. 297.] Foëſ. I. 382. 383. Ed. Lind. I. (597. 598.) καὶ πλέω καὶ ἐλάσσω καὶ ὅλον καὶ κατὰ μέρος. οὐ πολλὸν δὲ πλείω ἢ ἐλάσ(598)σω. τὰ δὲ ἐλάσσω τοσαῦτα καὶ ὅσα ἄλλα τούτοισιν ὅμοια. [297] ὀστέων τροφὴ ἐκ κατήξιος, ῥινὶ δὶς πέντε. γνάθῳ καὶ κληῒδι καὶ πλευρῇσι διπλάσιαι. πήχει τριπλάσιαι. κνήμῃ καὶ βραχίονι τετραπλάσιαι. μηρῷ πενταπλάσιαι, καὶ εἴ τι ἐν τούτοισι δύναται πλέον ἢ ἔλασσον. αἷμα ὑγρὸν καὶ αἷμα στερεόν. αἷμα ὑγρὸν ἀστεῖον. αἷμα στερεὸν φλαῦρον. πρὸς τὶ πάντα φλαῦρα καὶ ἀστεῖα. ὁδὸς ἄνω κάτω μίη. || δύναμις τροφῆς κρέσσων ἢ ὄγκος. ὄγκος τροφῆς κρέσσων ἢ δύναμις καὶ ἐν ὑγροῖσι καὶ ἐν ξηροῖσιν ἀφαιρέει καὶ προστίθησι τοῦτο αὐτό. τῷ μὲν ἀφαιρέει, τῷ δὲ προστίθησι τὸ αὐτό. φλεβῶν διασφύξιες, καὶ ἀναπνοὴ πνεύματος καθ' ἡλικίαν, καὶ ξύμφωνα καὶ διάφωνα, καὶ νούσου καὶ ὑγείης σημήϊα, καὶ ὑγείης μᾶλλον ἢ νούσου, καὶ νούσου μᾶλλον ἢ ὑγείης. τροφὴ γὰρ καὶ πνεῦμα. ὑγρὴ τροφὴ εὐμετάβλητος μᾶλλον ἢ ξηρή. ξηρὴ τροφὴ εὐμετάβλητος μᾶλλον ἢ ὑγρή. ἢ δυσαλλοίωτος δυσεξανάλωτος, ἢ εὐπρόσθετος εὐεξανάλωτος,

temporibus et ex toto et ex parte plures et pauciores naſcuntur, neque vero multo plures quam pauciores. At pauciores tot et quaecunque alia his ſimilia. Oſſium alimentum ex fractura. Naſo bis quinque dies debentur: maxillae et claviculae et coſtis bis totidem: cubito triplices tibiae et brachio quadruplices: femori quintuplices et ſi quod in his plus aut minus poteſt. Sanguis humidus et ſanguis ſolidus. Sanguis humidus probus, ſanguis ſolidus vitioſus. Proba omnia et vitioſa ad aliquid referri debent. Via ſurſum deorſum una. Alimenti facultas mole praeſtantior, alimenti moles facultate praeſtantior et in humidis et in ſiccis. Detrahit et apponit idem, huic quidem detrahit, illi vero apponit idem. Venarum pulſationes et ſpiritus reſpiratio pro aetate conſentiunt et diſſentiunt, et morbi et ſanitatis ſunt indicia, magisque ſanitatis quam morbi et morbi magis quam ſanitatis, ſpiritus enim etiam alimentum eſt. Humidius alimentum facilius quam ſiccum immutatur. Siccum alimentum facilius quam humidum immutatur. Quod aegre immutatur aegre conſumitur. Quod facile apponitur facile

Ed. Chart. VI. [297. 299.] Foës. I. 383. Ed. Lind. I. (598. 599.) καὶ ὁκόσοι ταχείης προσθέσιος δέονται ὑγρὸν ἴημα εἰς ἀνάληψιν δυνάμιος κράτιστον, ὁκόσοι δὲ ἔτι ταχυτέρης δι' ὀσφρήσιος. ὁκόσοι δὲ βραδυτέρης προσθέσιος δέονται στερεῇ τροφῇ· μῦες στερεώτεροι, δυσεύκτητοι τῶν ἄλλων πάρεξ ὀστέου καὶ νεύρου. δυσμετάβλητα τὰ γεγυμνασμένα κατὰ γένος αὐτὰ αὐτῶν ἰσχυρότερα τοῦ ὄντος, διὰ (599) τοῦτο αὐτὰ ἑωυτῶν δυστηκτότερα. πῦον τὸ ἐκ σαρκός. πυῶδες τὸ ἐξ αἵματος καὶ ἐξ ἄλλης ὑγρασίης. πῦον τροφὴ ἕλκεος. πῦον τροφὴ φλεβὸς, ἀρτηρίης, μυελὸς τροφὴ ὀστέου, διὰ τοῦτο ἐπιπωροῦται. [299] δύναμις πάντα αὔξει καὶ τρέφει καὶ βλαστάνει. ὑγρασίη τροφῆς ὄχημα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ.

XI. [1] II. (268) Οἱ ξυγγράψαντες τὰς Κνιδίας καλεομένας γνώμας, ὁκοῖα μὲν πάσχουσιν οἱ κάμνοντες ἐν ἑκάστοισι τῶν νουσημάτων ὀρθῶς ἔγραψαν καὶ ὁκοίως ἕνια ἀπέβαινεν αὐ-

consumitur. Qui celeri appositione indigent, iis humidum medicamentum ad resumendas vires optimum. Qui vero adhuc celeriore, per odoratum. At qui tardiore appositione opus habent, iis solidus cibus exhibendus. Musculi solidiores aegrius reliquis colliquescunt excepto osse et nervo. Quae exercitata sunt aegre immutantur, ipsaque in suo genere se ipsis quam pro natura valentiora sunt, ideo ipsa inter se aegrius colliquescunt. Pus ex carne, purulentum ex sanguine et ex reliquo humore. Pus ulceris alimentum, pus venae et arteriae alimentum. Medulla ossis alimentum, ideo callo firmatur. Facultas omnia auget et alit ac propagat. Humiditas alimento vehiculum praebet.

HIPPOCRATIS DE RATIONE VICTVS IN MORBIS ACVTIS LIBER.

Qui Cnidias appellatas sententias scriptis tradiderunt, ii sane quae in singulis morbis aegri patiuntur et quomodo eorum nonnulla ipsis eveniant recte conscripserunt, et huc

Ed. Chart. XI. [1. 4.] Foëſ. I. 383. Ed. Lind. II. (268. 269.)

τέων, καὶ ἄχρι μὲν τουτέων καὶ μὴ ἰητρὸς ἂν δύναιτο ὀρθῶς ξυγγράψαι, εἰ εὖ παρὰ τῶν καμνόντων ἑκάστου πυθοίατο ὁκοῖα πάσχουσιν. ὁκόσα δὲ προκαταμαθεῖν χρὴ τὸν ἰητρὸν μὴ λέγοντος τοῦ κάμνοντος, τουτέων τὰ πολλὰ παρεῖται, ἄλλα ἐν ἄλλοισι καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν. ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται ὡς χρὴ ἕκαστα ἰητρεύειν, ἐν τουτέοισι πολλὰ ἑτεροίως γινώσκω ἢ ὡς ἐκεῖ(269)νοι ἐπεξίεσαν, καὶ οὐ μόνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἀκέεσιν ἐχρέοντο. τὰ γὰρ πλεῖστα αὐτέοισιν εἰρεαται πλὴν τῶν ὀξιῶν νούσων, φάρμακα ἐλατήρια διδόναι καὶ ὀρρὸν καὶ γάλα ἐς τὴν ὥρην πιπίσκειν. ἦν μὲν οὖν ταῦτα ἀγαθὰ ἦν καὶ ἁρμόζοντα τοῖσι νουσήμασιν, ἐφ' οἷσι παρήνεον διδόναι πολύ, ἂν ἀξιώτερα ἐπαίνου ἦν, ὅτι ὀλίγα ἐόντα αὐτάρκεα ἐστί. νῦν δὲ οὐχ οὕτως ἔχει. οἱ μέν τοι ὕστερον ἐπιδιασκευάσαντες ἰητρικώτερον δή τι ἐπῆλθον περὶ τῶν προσοιστέων ἑκάστοισιν, [4] ἀτὰρ οὐδὲ περὶ διαίτης οἱ ἀρχαῖοι ξυνέγραψαν οὐδὲν ἄξιον λόγου, καίτοι μέγα τοῦτο παρῆκαν. τὰς μέν τοι πολυτροπίας τὰς

usque quidem quae quivis etiam medicinae ignarus recte ſcribere potuerit, ſi probe ex unoquoque aegro quae patiatur intellexerit. At quaecunque medicum non referente aegro praedixiſſe oportuit, ea magna ex parte praetermiſſa ſunt, quaedam in quibusdam, nonnullaque ad conjecturalem cognitionem valde accommodata. Cum vero ad conjecturalem cognitionem referatur, quomodo ſingula curare oporteat, in iis multo aliter quam illi differuerint ſentio. Ac neque ſolum ob id non laudo, ſed quod paucis etiam numero remediis uſi ſunt. Nam et plurima ab ipſis relata ſunt, praeterquam in morbis acutis, medicamenta deorſum purgantia exhibenda et ſerum et lac tempeſtive propinandum. Haec igitur ſi bona eſſent et morbis quibus exhibenda monent convenientia, longe majore laude digna eſſent, quod pauca ſufficerent. Nunc vero res aliter ſe habet. Qui tamen poſtea recognoverunt, ii medice magis, quae ſingulis exhibenda ſunt percurrerunt. Sed neque de victus ratione quicquam effatu dignum veteres ſcriptis tradiderunt, eamque, quam-

Ed. Chart. XI. [4.] Foël. I. 383. 384. Ed. Lind. II. (269. 270.) ἐν ἑκάστῃσι τῶν νούσων· καὶ τὴν πολυσχιδίην αὐτέων οὐκ ἠγνόουν ἔνιοι. τοὺς δὲ ἀριθμοὺς ἑκάστου τῶν νουσημάτων σάφα φράζειν ἐθέλοντες οὐκ ὀρθῶς ἔγραψαν. μὴ γὰρ καὶ οὐκ εὐαρίθμητον εἴη, εἰ τουτέῳ τις σημανεῖται τὴν τῶν καμνόντων νοῦσον τὸ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι, καὶ μὴ τωὐτὸν νόσημα δοκέειν εἶναι, ἢν μὴ τωὐτὸ ὄνομα ἔχῃ. ἐμοὶ δ' ἀνδάνει μὲν ἐν πάσῃ τῇ τέχνῃ προσέχειν τὸν νόον. || καὶ γὰρ ὁκόσα ἔργα διήκει καλῶς, ἕκαστα χρὴ ποιέειν καὶ ὀρθῶς, καὶ ὁκόσα ταχεως ἔργα ταχέως, καὶ ὁκόσα καθαρίως καθαρίως, καὶ ὁκόσα ἀνωδύνως διαχειρίζεσθαι, ὡς ἀνωδυνώτατα ποιέειν, καὶ τἄλλα πάντα τὰ τοιουτότροπα διαφερόντως τῶν πέλας ἐπὶ τὸ βέλτιον ποιέειν χρή. μάλιστα δ' ἂν ἐπαινέσαιμι ἰητρὸν (270) ὅστις ἐν τοῖσιν ὀξέσι νουσήμασιν, ἃ τοὺς πλείστους τῶν ἀνθρώπων κτείνει, ἐν τουτέοισι διαφέρων τι τῶν ἄλλων εἴη ἐπὶ τὸ βέλτιον. ἔστι δὲ ταῦτα ὀξέα ὁκοῖα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρῖτιν, καὶ περιπλευμονίην καὶ φρενῖτιν καὶ λήθαργον καὶ καῦσον καὶ

vis magna res ſit omiſerunt. Varia tamen morborum ſingulorum genera multiplicemque eorum diviſionem non ignorarunt quidam. At numeros morborum ſingulorum plane declarare ſtudentes non recte ſcripſerunt. Neque enim quis facile numeret, ſi quis ex eo aegrotantium morbum aeſtimet, quod ab altero re quadam differat, neque eundem eſſe morbum reputet, niſi eodem nomine nuncupetur. Mihi autem placet ut ad omnem artem animum attendamus. Nam quae recte procedunt opera, ea recte ſingula facere oportet: quae item celeritate opus habent celeriter, quae etiam munditiem deſiderant munde, et quae citra dolorem tractari poſtulant, ea quam maxime fieri poſſit ſine dolore facere, caeteraque omnia id genus multo aliter quam proximi meliorem in formam commutare convenit. Sed maxime eum medicum probaverim qui in morbis acutis, quorum vi plerumque homines intereunt, longe melius caeteris ſe gerat. Sunt autem hi quantum nominibus veteres complexi ſunt, pleuritis, peripneumonia, phrenitis, lethargus, febris ar-

Ed. Chart. XI. [4. 6.] Foës. I. 384. Ed. Lind. I. (270.)

τἄλλα νουσήματα. ὁκόσα τουτέων ἐχόμενά ἐστιν, ὧν οἱ πυρετοὶ τὸ ἐπίπαν ξυνεχέες ὄντες κτείνουσιν. ὅταν γὰρ μὴ λοιμώδεος νόσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδεες ἔωσιν αἱ νόσοι καὶ μὴ παραπλήσιοι, ὑπὸ τουτέων τῶν νουσημάτων ἀποθνήσκουσι μᾶλλον ἢ ὑπὸ τῶν ἄλλων τῶν ξυμπάντων. [6] οἱ μὲν οὖν ἰδιῶται οὐ κάρτα γινώσκουσι τοὺς εἰς ταῦτα διαφέροντας τῶν πέλας, ἑτεροίων τε μᾶλλον ἰημάτων ἐπαινέται ἢ ψέκται εἰσίν. ἔπειτα μέγα σημεῖον τόδε, ὅτι οἱ μὲν δημόται ἀξυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τουτέων τῶν νουσημάτων εἰσὶν, ὥστε μελετητέα εἶναι. οἱ γὰρ μὴ ἰητροὶ ἰητροὶ δοκέουσιν εἶναι μάλιστα διὰ ταύτας τὰς νούσους. ῥηϊδιον γὰρ τὰ ὀνόματα ἐκμανθάνειν, ὁκοῖα νενόμισται προσφέρεσθαι πρὸς τοὺς τὰ τοιαῦτα κάμνοντας. ἢν γὰρ ὀνομάσῃ τις πτισάνης χυλὸν καὶ οἶνον τοῖον ἢ τοῖον ἢ καὶ μελίκρητον, ἅπαντα τοῖσι δημότῃσι δοκέουσιν ἰητροὶ ταῦτα λέγειν, οἵ τε βελτίους καὶ οἱ χείρους. τὰ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐν τουτέοισι δὴ καὶ πάνυ μέγα διαφέρουσιν ἕτεροι ἑτέρων. δοκέει δέ μοι ἄξια γραφῆς εἶναι ταῦτα μάλιστα, ὁκόσα

dens et quicunque alii morbi ad hos conſequuntur, quorum febres omnino continuae interficiunt. Cum enim nullum peſtilentis morbi commune genus populariter graſſatum fuerit, ſed diſperſi morbi et non ſimiles fuerint, ab his plures quam ab aliis omnibus moriuntur. Populares igitur non ſatis diſcernunt eos qui in his longe proximis excellunt, aliarumque curationum potius aut laudatores, aut vituperatores exiſtunt. Deinde id magno eſt argumento, quod populares hujusmodi morborum nullam prorſus habeant intelligentiam, cum ad eam non niſi ſtudio perveniri poſſit. Nam et qui medicinae non profitentur ſcientiam, medici maxime in ejusmodi morbis eſſe videntur, facile eſt enim nomina quae circa hujusmodi aegrotantes proferri ſolent, ediſcere. Nempe ſi quis ptiſanae cremorem nominaverit, hocque vel illud vinum aut etiam mulſum, eadem omnia videntur plebejis dicere medici tum meliores tum deteriores. At non ita ſe res habet, verum in his ſane vel maxime aliis praeſtant. Videntur autem mihi digniſſima eſſe quae ſcribantur

Ed. Chart. XI. [6. 9.] Foeſ. I. 384. Ed. Lind. II. (270. 271.)

τε ἀκαταμάθητά ἐστι τοῖσιν ἰητροῖσιν, ἐπίκαιρα ἐόντα εἰδέναι, καὶ ὁκόσα μεγάλας ὠφελείας φέρει ἢ μεγάλας βλάβας. ἀκαταμάθητα (271) μὲν οὖν τάδε ἐστι. διὰ τί ἄρα ἐν τοῖσιν ὀξείῃσι νούσοισιν οἱ μὲν τῶν ἰητρῶν ἅπαντα τὸν αἰῶνα διατελέουσι πτισάνας διδόντες ἀδιηθήτους καὶ νομίζουσιν ὀρθῶς ἰητρεύειν, οἱ δέ τινες περὶ παντὸς ποιοῦνται ὅκως κριθὴν μηδεμίην καταπίῃ ὁ κάμνων. μεγάλην γὰρ βλάβην ἡγοῦνται εἶναι, ἀλλὰ δι' ὀθονίου διηθεύοντες τὸν χυλὸν διδόασιν. οἱ δέ τινες αὐτέων οὔτ' ἂν πτισάνην παχείην δοῖεν οὔτε χυλόν. οἱ μὲν μέχρις ἂν ἑβδομαῖος γένηται ὁ κάμνων, ὁ δὲ καὶ διὰ τέλεος ἄχρις ἂν κριθῇ ἡ νοῦσος. [9] μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσὶν οἱ ἰητροί. ἴσως δὲ οὐδὲ προβαλλόμενα εὑρίσκεται, καίτοι διαβολήν γε ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην, ὡς μηδὲ δοκέειν ὅλως ἰητρικὴν εἶναι. ἔν γε τοῖσιν ὀξέσι τῶν νουσημάτων τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρωνάκται ὥστε ἃ ὁ ἕτερος προσφέρει ἡγεύμενος ἄριστα εἶναι, ταῦτα

quaecunque medicis ignorantur, quamvis ſcitu commoda exiſtant, quaeque magnas utilitates aut magnas noxas inferunt. Quae igitur ignorantur haec ſunt. Quanam de cauſa in morbis acutis quidam medici toto vitae tempore in ptiſana non collata exhibenda perſeverent, et recte ſe curare exiſtiment. Quidam etiam omni ratione contendant, ne ullo modo hordeum aeger devoret, quod inde magnum ſecuturum detrimentum exiſtiment. Verum per linteum excolantes ejus ſuccum porrigunt. Horum etiam nonnulli neque ptiſanam craſſam neque ſuccum exhibeant. Et hi quidem dum ſeptimum diem aeger attigerit, alii vero dum in totum morbus judicatus fuerit. Hujusmodi itaque quaeſtiones non admodum proponere medici conſueverunt, ac neque forte ſi proponant inveniuntur. At vero ars tota magnam quidem apud vulgum calumniam ſuſtinet, adeo ut nullam omnino medicinam eſſe exiſtiment. Si quidem in acutis morbis in tantum inter ſe diſſentiunt artifices, ut quae alter exhibet veluti optima reputans, ea jam mala alter

Ed. Chart. XI. [9. 11.] Foës. I. 384. 385. Ed. Lind. II. (271. 272.)
νομίζειν ἤδη τὸν ἕτερον κακὰ εἶναι, καὶ σχεδὸν ἂν κατά γε τὸ τοιόνδε τὴν τέχνην φαῖεν ὁμοιῶσθαι μαντικῇ, ὅτι οἱ μάντιες τὸν αὐτὸν ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν νομίζουσιν εἶναι, εἰ δὲ δεξιὸς, κακὸν, καὶ ἐν ἱεροσκοπίῃ τὰ τοιάδε ἄλλα ἐπ' ἄλλοισιν. ἀλλ' ἔνιοι τῶν μάντεων τἀναντία τουτέων. φημὶ δὲ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ καὶ ἐπικαιροτάτοισι, [11] καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγείην μέγα τι δύναται καὶ τοῖσιν ὑγιαίνουσιν ἐς ἀσφαλείην καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην καὶ ἐς ὅ τι ἂν ἕκαστος ἐθέλῃ. || πτισάνῃ μὲν οὖν δοκέει ὀρθῶς προκεκρίσθαι (272) τῶν σιτηρῶν γευμάτων ἐν τουτέοισι τοῖσι νουσήμασι, καὶ ἐπαινέω γε τοὺς προκρίναντας. τὸ γὰρ γλίσχρασμα αὐτέης λεῖον καὶ ξυνεχὲς καὶ προσηνές ἐστι καὶ ὀλισθηρὸν καὶ πλαδαρὸν μετρίως καὶ ἄδιψον καὶ εὐέκπλυτον, εἴ τι καὶ τουτέου προσδέοι, καὶ οὔτε στύψιν ἔχον οὔτε ἄραδον κακὸν οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ, ἀνώδηνε γὰρ ἐν τῇ ἐψήσει ὁκόσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι. ὁκόσοι μὲν οὖν πτισάνῃσι

existimet, fereque ob id ars ipsa divinationi similis esse videatur, quoniam augures eundem alitem, si quidem sinister appareat, bonum esse existimant, si vero dexter, malum. Et in aruspicina hujusmodi quoque alia videntur in aliis. Sed et vaticinantium nonnulli contraria his sentiunt. Hanc autem speculationem tum pulcherrimam, tum quamplurimis in arte maxime commodis cognatam esse censeo. Etenim omnibus aegris ad sanitatem magnum quippiam facit, sanisque ad sanitatem tuendam et iis qui sese exercent ad bonum habitum comparandum, tum etiam ad id quod quisque voluerit obtinendum. Ptisana igitur recte videtur omnibus frumentaceis eduliis praeferri in his morbis acutis, eosque qui eam praetulerunt laudo. Nam et lentorem habet laevem, continuam et suavem ac lubricam, mediocriter humescentem, sitim minime inferentem, et si quid elui indiget, probe abluentem, neque adstringit nec malam turbationem adfert, neque in ventre intumescit. Nempe inter coquendum quoad maxime fieri potuit intumuit. Qui ergo pti-

Ed. Chart. XI. [11. 19.] Foël. I. 385. Ed. Lind. II. (272. 273.)
χρέωνται ἐν τουτέοισι τοῖσι νουσήμασιν, οὐδεμίη ἡμέρη κενεαγγητέον ὡς ἔπος εἰρῆσθαι, ἀλλὰ χρηστέον καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ ἢ διὰ φαρμακίην ἢ κλύσιν διαλείπειν. [19] καὶ τοῖσι μέν γε εἰθισμένοισι δὶς σιτέεσθαι τῆς ἡμέρης δὶς δοτέον· τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν ἅπαξ δοτέον τὴν πρώτην, ἐκ προσαγωγῆς δέ. ἢν δὲ ἐνδέχηται, τουτέοισι καὶ δὶς δοτέον, ἤν τι δοκέῃ προσδεῖν. πλῆθος δὲ ἀρκέει κατ' ἀρχὰς διδόναι μὴ πουλὺ μηδὲ ὑπέρπαχυ, ἀλλ' ὁκόσον ἕνεκεν τοῦ ἔθεος ἐσιέναι τι καὶ κενεαγγίην μὴ γενέσθαι πολλήν. περὶ δὲ τῆς ἐπιδόσιος εἰς πλῆθος τοῦ ῥοφήματος, ἢν μὲν ξηρότατον ᾖ τὸ νούσημα ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι, ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματος ἢ μελίκρητον ἢ οἶνον ἢ ὁκότερον ἂν ἁρμόζῃ. τὸ δ' ἁρμόττον ἐφ' ἑκάστοισι τῶν τρόπων εἰρήσεται. ἢν δὲ ὑγραίνηται τὸ στόμα καὶ τὰ ἀπὸ τοῦ πλεύμονος εἴῃ ὁκοῖα δεῖ, ἐπιδιδόναι χρὴ ὡς πλῆθος τοῦ ῥοφήματος ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. τὰ μὲν γὰρ θᾶσσον καὶ μᾶλλον πλαδῶντα (273) ταχυτῆτα κρί-

ſana in hujusmodi morbis utuntur, ne una quidem die vaſorum inanitionem, ut ita dicam, fieri permittant, ſed citra intermiſſionem ea utantur, niſi vel propter medicamentum vel clyſterem intermittere expediat. Et his quidem qui bis die cibum ſumere conſueverunt bis danda eſt, his vero qui ſemel cibum capere conſueverunt, his primo die ſemel danda, paulatim autem progrediendo, ſi fieri poſſit, iis etiam bis danda, ſi quid adjiciendum videatur. Verum inter initia neque multa copia, neque valde craſſa exhibenda, ſed ut conſuetudinis cauſſa aliquid ingeratur, et ne multa vaſorum inanitio fiat. Quod autem ad ſorbitionis adjiciendae quantitatem attinet, ſi quidem ſiccior quam quis exiſtimet morbus fuerit, non magna copia exhibenda, ſed ante ſorbitionem vel mulſa vel vinum vel quodcunque magis conveniet propinandum. In ſingulis vero generibus quodnam ſit accommodatiſſimum dicetur. Quod ſi os humeſcat et quae ex pulmone efferuntur convenientia fuerint, in ſumma ſorbitionis quantitatem adjicere convenit. Quae namque celerius magisque madeſcunt, judicationis celeritatem denuntiant,

Ed. Chart. XI. [19. 22.] Foës. I. 385. Ed. Lind. II. (273.)

σιος σημαίνει, τὰ δὲ βραδύτερον καὶ ἧσσον βραδυτέραν σημαίνει τὴν κρίσιν. καὶ ταῦτα αὐτὰ μὲν καθ' αὑτὰ τοιάδε τὸ ἐπίπαν ἐστί. πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται οἷσι προσημαίνεσθαι δεῖ, ἃ εἰρήσεται ὕστερον, καὶ ὁκόσῳ, ἂν πλείων ἡ κάθαρσις γίνηται, τοσῷδε χρὴ πλέον ἐπιδιδόναι ἄχρι κρίσιος· μάλιστα δὲ κρίσιος ὑπερβολῆς δύο ἡμερέων, οἷσί γε ἢ πεμπταίοισιν ἢ ἑβδομαίοισιν ἢ ἐναταίοισι δοκέει κρίνεσθαι, ὡς καὶ τὸ ἄρτιον καὶ τὸ περισσὸν προμηθὲς ᾖ. μετὰ δὲ τοῦτο τῷ μὲν ῥοφήματι ἐς τὸ πρωῒ χρηστέον, ἐς ὀψὲ δὲ ἐς σιτία μεταβάλλειν. [22] ξυμφέρει δὲ τὰ τοιάδε ὡς ἐπιτοπολὺ τοῖσιν ὅλῃσι πτισάνῃσιν αὐτίκα χρεομένοισιν. αἵ τε γὰρ ὀδύναι ἐν τοῖσι πλευριτικοῖσιν αὐτίκα αὐτόματοι παύονται, ὅταν ἄρξωνται πτύειν τι ἄξιον λόγου καὶ ἐκκαθαίρεσθαι, αἵ τε καθάρσιες πολλῷ τελεώτεραι εἰσὶ καὶ ἔμπυοι ἧττον γίνονται ἢ εἰ ἀλλοίως τις διαιτῴη, καὶ αἱ κρίσιες ἁπλούστεραι καὶ εὐκριτώτεραι καὶ ἧσσον ὑποστροφώδεες. τὰς δὲ πτισάνας χρὴ ἐκ κριθέων τέως βελτίστων εἶναι καὶ κάλ-

quae vero tardius et minus, tardiorem judicationem ſignificant. Atque haec quidem prorſus hoc modo ſe habent. Sed et multa quoque alia peropportuna praetermittuntur, ex quibus ſignificationem capere convenit, quae deinceps referentur. Quoque copioſior purgatio fuerit, eo major quantitas ad judicationem usque adjicienda, praecipue vero duobus ab judicatione diebus, quibus quidem aut quinto aut ſeptimo aut nono judicatio fieri videatur, ut etiam dierum paritatis et imparitatis ratio habeatur. Poſt hoc autem mane quidem ſorbitione utendum, veſpere vero ad cibos transeundum. Magna autem ex parte haec iis conferunt, qui ſtatim ptiſana integra utuntur. Nam et pleuriticorum dolores ſtatim ſponte deſinunt, ubi quid effatu dignum ſpuere et expurgari coeperint, purgationesque longe perfectiores ſunt et minus purulenti evadunt quam ſi aliam quis victus rationem inſtituat, praeterea judicationes ſimpliciores fiunt, meliusque judicantur et minus revertuntur. At ptiſanam ex hordeo quam optimo confici et optime coctam eſſe

Ed. Chart. XI. [22, 25.] Foël. I. 385. 386. Ed. Lind. II. (273. 274.) λιστα ἐψῆσθαι, καὶ ἄλλως ἢν μὴ τῷ χυλῷ μούνῳ μέλλῃς χρέεσθαι. μετὰ γὰρ τῆς ἄλλης ἀρετῆς τῆς πτισάνης τὸ ὀλισθηρὸν τὴν κριθὴν καταπινομένην ποιέει μὴ βλάπτειν. οὐδαμοῦ γὰρ προσίσχεται οὐδὲ μένει κατὰ τὴν τοῦ θώρακος ἴξιν. ὀλισθηροτάτη δὲ καὶ ἀδιψοτάτη καὶ εὐπεπτοτάτη καὶ ἀσθενεστάτη ἐστὶν ἡ κάλλιστα ἐφθή, ὧν πάντων δεῖ. [25] ἢν οὖν μὴ προστιμωρήσῃ τὶς ὁκόσων δεῖται, αὐ(274)τάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανοῤῥοφίης πολλαχῆ βεβλάψεται. ὁκόσοισι γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας τὸ ῥόφημα δώῃ, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἂν καὶ μὴ ἐνεοῦσαν εὐθὺς ποιήσειεν || καὶ πνεῦμα πυκνότατον γένοιτ' ἄν. κακὸν δὲ τοῦτο ἐστί. ξηραντικὸν γὰρ πλεύμονος καὶ κοπώδες ὑποχονδρίων καὶ ἤτρου καὶ φρενῶν. τοῦτο δὲ ἢν ἔτι τῆς ὀδύνης τοῦ πλευροῦ ξυνεχέος ἐούσης καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καταγλισχραινομένου ἀπέπτως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην ἢ κοιλίην, μαλθάξας ἢ φλέβα ταμὼν ἢ ὁκό-

oportet, idque praeſertim ſi non ſolo cremore uti debeas. Ad reliquas enim virtutes iſtud etiam accedit, quod ptiſanae lubricitas efficit ut hordeum devoratum minime laedat, cum nusquam adhaereſcat, neque ſecundum thoracis rectitudinem immoretur. Eſt autem maxime lubrica ſitimque minime infert et facillime coquitur, eſtque infirmiſſima ſi optime cocta fuerit, quibus omnibus opus habet. Niſi igitur quis quantum deeſt contulerit, ut idoneus ejusmodi ptiſanae ſorbendae modus efficiatur, ſaepius laedetur. Jam primum enim quibus cibi recrementum intercluſum eſt, ſi quis eo non vacuato ſorbitionem dederit, dolorem ſi adeſt graviorem reddet, ſi non adeſt, ſtatim induxerit et ſpiratio crebior evadet. Quod certe pravum eſt cum pulmonem exſiccet et praecordia, tum imum ventrem tum ſeptum transverſum dolore fatiget. Quin etiam ſi lateris dolore adhuc continuo, neque ad calida fomenta remittente ſputoque minime prodeunte, verum citra concoctionem extreme glutinoſo reddito, niſi quis dolorem vel ventre emollito vel ſecta vena ſolverit, aut utrum horum conducere videbitur exhibuerit,

Ed. Chart. XI. [25. 28.] Foës. I. 586. Ed. Lind. II. (274. 275.) τερον ἂν τουτέων ξυμφέρῃ. τὰς δὲ πτισάνας ἢν οὕτως ἔχωσι δίδως, ταχέως οἱ θάνατοι τῶν τοιουτέων γίνονται. διὰ ταύτας οὖν τὰς προφάσιας καὶ ἑτέρας τοιαύτας ἔτι μᾶλλον οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρώμενοι ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν, οἱ μέν τοι καὶ τὴν γνώμην βλαβέντες, οἱ δὲ ὑπὸ τῆς ὀρθοπνοίης τε καὶ τοῦ ῥέγχους ἀποπνιγέντες. μάλα δὲ τοὺς τοιουτέους οἱ ἀρχαῖοι βλητοὺς ἐνόμιζον εἶναι διὰ τόδε μάλιστα· οὐχ ἥκιστα δὲ ὅτι καὶ ἀποθανόντων αὐτέων ἡ πλευρὴ πελίη εὑρίσκεται ἴκελόν τι πληγῇ. αἴτιον δὲ τουτέου τόδε ἐστὶν ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην θνήσκουσι. ταχέως γὰρ πνευματίαι γίνονται. [28] ὑπὸ δὲ τοῦ πολλοῦ καὶ πυκνοῦ πνεύματος, ὡς ἤδη εἴρηται, καταγλισχραινόμενον τὸ πτύελον ἀπέπτως κωλύει τὴν ἐπάνοδον γίνεσθαι, ἀλλὰ τὴν ῥέγξιν ποιέει ἐνισχόμενον ἐν τοῖσιν βρογχίοισι τοῦ (275) πλεύμονος, καὶ ὁκόταν ἐς ταὐτὸ ἔλθῃ, θανατῶδες ἤδη ὡς ἐπιτοπουλὺ ἐστὶ, καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνισχόμενον κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι, καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι τιμωρέουσι. τὸ

ptiſanam autem ita affectis dederit, praecipites eos in mortem adducet. Has igitur ob cauſas aliasque etiam hujusmodi, qui tota utuntur ptiſana ſeptimo die ac citius moriuntur, partim quidem mente laeſi, partim vero erectae cervicis ſpiratione, orthopnoeam dicimus, et ſtertore ſuffocati. Quos ſane veteres ſideratos vel ob id maxime exiſtimarunt, neque etiam minus quod ipſis mortuis latus lividum plagae non abſimile deprehenditur. Cujus rei haec cauſa eſt, quod prius quam dolor ſolvatur moriuntur. Brevi ſiquidem anhelatores evadunt. Ex multa autem et crebra reſpiratione, ut jam dictum eſt, ſputum ſumme glutinoſum citra coctionem redditum egreſſum fieri prohibet. Quin etiam cartilaginoſis aſperae arteriae corporibus, pulmonis bronchiis dictis, adhaereſcens, ſtertorem inducit, cumque ad hoc devenerit, tum plerumque mortem infert. Etenim ipſum ſputum intro retentum ſpiritum quidem intro ferri prohibet, celeriter autem extra ferri cogit, adeo ut ad perniciem

Ed. Chart. XI. [28. 31.] Foës. I. 386. Ed. Lind. II. (275.)
τε γὰρ πτύελον ἐνισχόμενον πυκνὸν τὸ πνεῦμα ποιέει, τό τε πνεῦμα πυκνὸν ἐὸν ἐπιγλισχραίνει τὸ πτύελον, καὶ κωλύει ἀπολισθαίνειν. καταλαμβάνει δὲ ταῦτα οὐ μόνον ἢν πτισάνῃ ἀκαίρως χρέωνται, ἀλλὰ πολὺ μᾶλλον ἤν τι ἄλλο φάγωσιν ἢ πίωσιν πτισάνης ἀνεπιτηδειότερον. μάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιαί εἰσιν αἱ τιμωρίαι τοῖσί τε ὅλῃσι τῇσι πτισάνῃσι χρεομένοισι, τοῖσί τε τῷ χυλῷ αὐτέῳ, τοῖσί τε μηδ' ἑτέρῳ τουτέων, ἀλλὰ ποτῷ μοῦνον. ἔστι δ' ὅπη καὶ διαφερόντως τιμωρητέον. χρὴ δὲ τό γε πάμπαν οὕτω ποιέειν. ἢν νεοβρῶτι ἐόντι αὐτέῳ καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετὸς, ἤν τε ξὺν ὀδύνῃ ἤν τε ἄνευ ὀδύνης ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἔστ' ἂν οἴηται κεχωρηκέναι ἐς τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον. χρέεσθαι δὲ ποτῷ ἢν μὲν ἄλγημά τι ἔχῃ, ὀξυμέλιτι χειμῶνος μὲν θερμῷ, θέρεος δὲ ψυχρῷ. ἢν δὲ πολλὴ δίψα εἴῃ, μελικρήτῳ καὶ ὕδατι. [31] ἔπειτα μέντοι ἢν μὲν ἄλγημά τι ἐνῇ, ἢ τῶν ἐπικινδύνων τι ἐμφαίνηται, διδόναι τὸ ῥόφημα μήτε πουλὺ μήτε παχὺ, μετὰ δὲ τὴν ἑβδόμην ἢ ἐνάτην ἢν ἰσχύῃ. ἢν δὲ μὴ

mutuas inter ſe operas conferant. Sputum namque adhaereſcens crebrum ſpiritum facit hicque creber effectus ſputum magis glutinoſum reddit et lubricum fieri prohibet. Neque vero ſolum iſta prehendunt ſi ptiſana intempeſtive utantur, verum et multo magis ſi quid quod ptiſana minus conveniat aut ederint aut biberint. Magna igitur ex parte fere ſimilia ſunt auxilia tum iis qui tota utuntur ptiſana tum his qui ipſius cremore. At his qui neutro horum aut ſolo potu utuntur, interdumque aliter auxiliari oportet. Hunc autem in modum omnino facere oportet. Si quem a recenti cibo alvo necdum ſubducta febris ſive cum dolore ſive ſine dolore prehenderit, a ſorbitione exhibenda tantisper temperandum, dum cibum ad infernam inteſtini partem ſeceſſiſſe conjeceris. Quod ſi dolor affuerit, aceto mulſo in potu utendum, hieme quidem calido, aeſtate vero frigido. Et ſi multa ſitis aderit, mulſa et aqua exhibenda. Ac deinceps quidem ſi dolor aliquis adſit, aut periculum aliquod impendeat, ſorbitio neque multa neque craſſa exhibenda,

Ed. Chart. XI. [31. 36.] Foël. I. 386. 387. Ed. Lind. II. (275. 276.) ὑπεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρῶτι ἐόντι, ἢν μὲν ἰσχύῃ τε καὶ ἀκμάζῃ τῇ ἡλικίῃ, κλύσσαι, ἢν δὲ ἀσθενέστερος ᾖ, (276) βαλάνῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς. καιρὸν δὲ τῆς δόσιος τοῦ φοφήματος τόνδε μάλιστα φυλάσσεσθαι, κατ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ νοσήματος. ὅταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ φοφήματος τὴν δόσιν, μάλιστα δὲ καὶ τοῦ ποτοῦ ἀπέχεσθαι. ὁκόταν καὶ ἡ θέρμη καταβῇ ἐς τοὺς πόδας, τότε διδόναι, καὶ νομίζειν μάλλα δύνασθαι τὸν καιρὸν τοῦτον ἐν ἁπάσῃσι τῇσι νούσοισιν. οὐχ ἥκιστα δὲ ἐν τῇσιν ὀξείῃσι. || μάλιστα δὲ ἐν τῇσι μᾶλλον πυρετώδεσι καὶ ἐπικινδυνοτάτῃσι. χρῆσθαι καὶ πρῶτον μάλιστα μὲν χυλῷ, ἔπειτα δὲ πτισάνῃ, κατὰ τὰ τεκμήρια τὰ προγεγραμμένα ἀκριβῶς θεωρῶν. [36] ὀδύνη δὲ πλευροῦ ἤν τε κατ' ἀρχὰς γένηται, ἤν τε ἐς ὕστερον, θερμάσμασι μὲν πρῶτον οὐκ ἀπὸ τρόπου ἐστὶ χρησάμενον πειρηθῆναι διαλῦσαι τὴν ὀδύνην. θερμασμάτων δὲ κράτιστον μὲν ὕδωρ θερμὸν ἐν ἀσκῷ, ἢ ἐν κύστει ἢ ἐν χαλκῷ ἀγγείῳ ἢ ἐν ὀστρακίνῳ. προϋποτιθέναι δὲ χρὴ μαλθα-

verum poſt ſeptimum aut nonum diem, ſi validus aeger fuerit. At ſi recenter ſumpto cibo vetuſtus non ſubierit, ſiquidem validus fuerit et aetate viguerit, infuſum per clyſterem exhibendum: ſin debilior extiterit, glande utendum, niſi ſponte probe prodierit. Exhibendae autem ſorbitionis tempus per initia et per totum morbum iſtud praecipue obſervari debet, ut cum frigidi pedes fuerint tum a ſorbitione exhibenda, tum vel maxime a potu abſtineamus. Cum vero calor ad pedes deſcenderit, tunc dare convenit reputareque cum in omnibus morbis tum praecipue in acutis, potiſſimumque in quibus vehementior febris ac maximum periculum ſubeſt, tempus hoc magnam habere facultatem. Ac primum ſucco maxime utendum, deinde ptiſana ad praeſcripta ſigna diligenti adhibita attentione. Lateris autem dolorem ſive per exordia ſive poſtea incidat fomentis calidis tentare diſſolvere abſurdum quidem non eſt. Quorum quidem optimum eſt aqua calida in utre, vel veſica vaſe aeneo aut teſtaceo adhibita, verum molle quippiam lateri, quo lenior fotus

Ed. Chart. XI. [36.] Foeſ. I. 387. Ed. Lind. II. (276. 277.)
κόν τι πρὸς τὴν πλευρὴν, προσηνείης εἵνεκεν. ἀγαθὸν δὲ καὶ σπόγγος μαλθακὸς, μέγας, ἐξ ὕδατος θερμοῦ ἐκπεπιεσμένος προστίθεσθαι. περιστήγειν τε ἱματίῳ τὴν θάλψιν χρή. πλείω τε γὰρ χρόνον ἂν διαρκέσει καὶ παραμενεῖ καὶ ἅμα ὡς μὴ ἀτμὶς πρὸς τὸ πνεῦμα τοῦ κάμνοντος προσφέρηται, ἢν ἄρα μὴ δοκέῃ καὶ τοῦτο χρήσιμον πρός τι εἶναι. ἔστι γὰρ ὅτε δεῖ πρός τι. ἔτι δὲ καὶ κριθαὶ καὶ ὄροβοι ἐν ὄξει κεκρημένῳ σμικρῶς ὀξύτερον, ἢ ὡς ἄν τις πίοι διέντα καὶ ἀναζέσαντα ἐς μαρσίππιά τε ἀποῤῥάψαντα προστι(277)θέναι, καὶ πίτυρα τὸν αὐτὸν τρόπον. πυρίη δὲ ξηρὴ, ἄλες, κέγχροι πεφρυγμένοι ἐν εἰρινέοισι μαρσιππίοισιν ἐπιτηδειότατοι, καὶ γὰρ κοῦφον καὶ προσηνὲς ὁ κέγχρος. λύει δὲ μάλθαξις ἡ τοιήδε καὶ τὰς πρὸς κληῖδας περαιούσας ἀλγηδόνας. τομὴ μέντοι γε οὐχ ὁμοίως λύει ὀδύνην, ἢν μὴ πρὸς τὴν κληῖδα περαίνῃ ἡ ὀδύνη. ἢν δὲ μὴ λύηται πρὸς τὰ θερμάσματα ὁ πόνος, οὐ χρὴ πολὺν χρόνον θερμαίνειν, καὶ γὰρ ξηραντικὸν τοῦ πλεύμονος τοῦτό ἐστι καὶ ἐμπυητικόν. ἀλλ' ἢν μὲν σημαίνῃ ἡ ὀδύνη ἐς τὴν κληῖδα ἢ ἐς τὸν βραχίονα

ſiat, ſupponere oportet, utiliter etiam admovetur ſpongia mollis et magna ex aqua calida expreſſa, fomentumque linteo involvendum, ut longiore tempore ſufficiat et perduret, ſimulque ne vapor ad laborantis ſpiritum efferatur, niſi forte et id ad aliquid convenire videatur, quod et interdum uſu venit. Ad haec autem et hordeum et ervum in aceto ita temperato, ut paulo acidius ſit quam quis bibere queat macerata et ferveſacta ſacculis conſuta apponere oportet, ſurfuresque eodem modo. Ad ſiccum autem fomentum ſales et milium torreſactum in ſacculis laneis maxime accommodantur. Lene enim et blandum eſt milium. Sed et mollia hujusmodi fomenta dolores etiam ad jugulum pertingentes ſolvunt. At venae ſectio non aeque dolorem ſolvit, niſi dolor ad jugulum pertingat. Quod ſi ad calida fomenta dolor non remittat, non multo tempore caleſacere convenit, quod id pulmonem exſiccet et pus intra thoracem colligat. Sed ſi quidem dolor ad jugulum de ſe ſignificationem prae-

Ed. Chart. XI. [36. 44.] Foës. I. 387. Ed. Lind. II. (277. 278.) βάρος ἢ περὶ μαζὸν ἢ ὑπὲρ τῶν φρενῶν, τάμνειν ἀρήγει τὴν ἐν τῷ ἀγκῶνι φλέβα τὴν εἴσω, καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρέειν τὸ αἷμα, ἕως ἂν ἐρυθρότερον πολλῷ ῥυῇ, ἢ ἀντὶ καθαροῦ καὶ ἐρυθροῦ πέλιον. ἀμφοτεροῖα γὰρ γίνεται. [44] ἢν δὲ ὑπὸ τὰς φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῖδα μὴ σημαίνῃ, μαλθάσσειν δεῖ τὴν κοιλίην, ἢ μέλανι ἐλλεβόρῳ ἢ πεπλίῳ. μέλανι μὲν δαῦκον ἢ σέσελι ἢ κύμινον ἢ ἄννησον ἢ ἄλλό τι τῶν εὐωδέων μίσγοντα, πεπλίῳ δὲ ὀπὸν σιλφίου. ἀτὰρ καὶ μισγόμενα ἀλλήλοισιν ὁμοιότροπα ταῦτα ἐστίν. ἄγει δὲ μέλας μὲν καλλίω καὶ κρισιμώτερα πεπλίου, πέπλιον δὲ μέλανος μᾶλλον φυσέων καταῤῥηκτικώτερόν ἐστιν. ἄμφω δὲ ταῦτα ὀδύνην παύει. παύει δὲ καὶ ἄλλα πολλὰ τῶν ὑπηλάτων. κράτιστα δὲ ταῦτα ὧν ἐγὼ οἶδα ἐστὶν, ἐπεὶ (278) καὶ τὰ ἐν τοῖσι ῥοφήμασι διδόμενα ὑπήλατα ἀρήγει, ὁκόσα μὴ ἄγαν εἰσὶν ἀηδέα ἢ διὰ πικρότητα ἢ δι' ἄλλην τινὰ ἀη-

beat, ad brachium vero vel circa mammam vel ſupra ſeptum transverſum gravitatis ſenſus inſit, internam in cubiti flexu venam ſecare et quam citiſſime copioſum ſanguinem detrahere convenit, eo usque dum multo rubicundior aut pro puro et rubro lividus effluat, utrumque enim uſu venit. Si vero eas quae ſunt ſub ſepto transverſo partes dolor affligat, nullamque ad jugulum de ſe ſignificationem praebeat, alvum veratro nigro aut peplio emollire oportet, ea ratione ut veratro quidem daucum aut ſeſeli aut cuminum aut aniſum aut aliud quippiam bene olens admiſceat, peplio vero laſeris ſuccum. Quanquam etiamſi inter ſe miſceantur, unius ſunt generis neque diſſimiliter agunt. Sed veratrum nigrum tum melius quam peplium ventrem ſolvit, tum etiam ad judicationem magis valet. Peplium vero flatus magis erumpere facit. Dolorem autem haec duo ſedant. Sedant etiam et alia multa quae alvum ſubducunt medicamenta. Sed ex his quae novi haec ſunt optima. Quandoquidem et quae in ſorbitionibus exhibentur alvum ſubducentia medicamenta, juvant, quaecunque vel propter amaritudinem vel aliam quandam inſuavitatem aut copiam aut colorem

Ed. Chart. XI. [44. 48.] Foëſ. I. 587. 388. Ed. Lind. II. (278.)

δίην, ἢ διὰ πλῆθος ἢ χροιὴν ἢ ὑποψίην τινά. τὴν μὲν πτισάνην ὁκόταν πίῃ τὸ φάρμακον ἐπιῤῥοφῆν αὐτίκα χρὴ διδόναι μηδὲ ἔλασσον ἀξίως λόγου ἢ ὁκόσον εἴθισται. ἐπεὶ καὶ κατὰ λόγον ἐστὶ μεσηγὺ τῆς καθάρσιος μὴ διδόναι ῥοφῆν. ὁκόταν δὲ λήξῃ ἡ κάθαρσις, τότε ἔλασσον ῥοφεέτω ἢ ὁκόσον εἴθισται. μετὰ δὲ τοῦτο ἀναγέτω αἰεὶ ἐπὶ τὸ πλεῖον ἢν ἥ τε ὀδύνη πεπαυμένη ᾖ, καὶ μηδὲν ἄλλο ἐναντιῶται. ὡυτὸς δέ μοι λόγος ἐστὶ καὶ ἢν χυλῷ πτισάνης δέῃ χρέεσθαι. φημὶ γὰρ ἄμεινον εἶναι αὐτίκα ἄρξασθαι ῥοφῆν τὸ ἐπίπαν μᾶλλον ἢ προκενεαγγήσαντα ἄρξασθαι τοῦ ῥοφήματος ἢ τριταῖον ἢ τεταρταῖον ἢ πεμπταῖον ἢ ἑκταῖον ἢ ἑβδομαῖον, ἤν γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τουτέῳ τῷ χρόνῳ. [48] || αἱ δὲ προπαρασκευαὶ καὶ ἐπὶ τουτέοισι παραπλήσιοι ποιητέαι, ὁκοῖαί περ εἴρηνται. περὶ μὲν οὖν ῥοφήματος προσάρσιος οὕτω γινώσκω. ἀτὰρ καὶ περὶ ποτοῦ ὁκοῖον ἄν τις μέλλῃ πίνειν τῶν γραφησομένων ὡυτός μοι λόγος ὡς ἐπίπαν ἐστίν. οἶδα δὲ καὶ τοὺς ἰητροὺς τὰ ἐναντιώτατα ἢ ὡς δεῖ

aut aliam quampiam ſuſpicionem non admodum ingrata exiſtunt. Ptiſanam quidem, ubi epotum eſt medicamentum, inſuper ſorbendam ſtatim dare oportet, neque admodum minore quam conſuetum eſt quantitate. Quandoquidem rationi conſentaneum eſt, media in purgatione ſorbitionem non exhibere. At ubi deſierit purgatio, tunc minore quam conſueverit quantitate abſumatur, deinde vero paulo majore ſemper adducatur copia, ſi et dolor ſedatus fuerit, nihilque aliud adverſetur. Idem etiam mihi dicendum ubi ptiſanae cremore uti opus fuerit. Si quidem melius eſſe aſſero ſtatim omnino ſorbere incipere potius, quam antea exinanitis vaſis aut tertio aut quarto aut quinto aut ſexto aut ſeptimo die a ſorbitione inchoare, niſi quidem intra hoc tempus morbus prius judicatus fuerit. In hisque conſimiles praeparationes, quales dictae ſunt, faciendae. De ſorbitione igitur exhibenda ſic ſentio. Quin et de potu, qualemcunque tandem ex his qui deſcribentur quis ſumpturus ſit, eadem omnino eſt ratio. At vero novi medicos qui contra omnino

Ed. Chart. XI. [48. 50.] Foël. I. 388. Ed. Lind. II. (278. 279.)
ποιοῦντας. βούλονται γὰρ ἅπαντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχεύσαντες τοὺς ἀνθρώπους ἢ δύο ἢ τρεῖς ἢ καὶ πλείονας ἡμέρας οὕτω προσφέρειν τὰ ῥοφήματα καὶ τὰ ποτὰ, καὶ ἴσως τι καὶ εἰκὸς (279) δοκέει αὐτέοισιν εἶναι, μεγάλης τῆς μεταβολῆς γενομένης τῷ σώματι μέγα τι κάρτα καὶ ἀντιμεταβάλλειν. τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει μὴ ὀλίγον. ὀρθῶς μέντοι γε μεταβιβαστέη καὶ ἡ μεταβολὴ, καὶ ἔκ γε τῆς μεταβολῆς ἡ πρόσαρσις τῶν γευμάτων ἔτι μᾶλλον. μάλιστα μὲν οὖν βλάπτοιντο ἄν, ἢν μὴ ὀρθῶς μεταβάλλοιεν οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεόμενοι. βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ χυλῷ χρεόμενοι. βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ ποτῷ χρεόμενοι, ἥκιστα δὲ οὗτοι. χρὴ δὲ καὶ τὰ μαθήματα ποιέεσθαι ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι ὑγιαινόντων οἷα ξυμφέρει. εἰ γὰρ δὴ τοῖσί γε ὑγιαίνουσι φαίνεται διαφέροντα μεγάλα τὰ τοῖα ἢ τοῖα διαιτήματα καὶ ἐν ἄλλῳ τινί που καὶ ἐν τῇσι μεταβολῇσι, πῶς οὐχὶ καὶ ἔν γε τῇσι νούσοισι διαφέρει μεγάλα καὶ τουτέων ἐν τῇσιν ὀξυτάτῃσι μάλιστα; [50] ἀλλὰ μὴν εὐκαταμάθητόν γε ἐστὶν ὅτι φαύλη

quam oporteat faciunt. Etenim volunt omnes ubi ſub initia morborum homines inedia praemacerarint, aut duos aut tres aut plures etiam dies ita ſorbitiones et potiones exhibere, idque fortaſſis, quod magnae corporis mutationi magnam etiam quandam mutationem contra objicere aequum ipſis videatur. Atqui mutatio quidem non parum bene habet, recte tamen ipſa ſane transferenda venit. Quin et ciborum exhibitio mutationis rationem etiam magis obtinet. Plurimum igitur laedentur, niſi recte mutatio fiat, qui tota ptiſana utentur. Laedentur etiam qui ſolo ſucco utentur et qui ſolo potu, quanquam ii minime. Oportet autem et ex hominum adhuc ſanorum victus ratione, quaenam conferant addiſcere. Etenim ſi ſane in benevalentibus cibi inter ſe plurimum differre videntur, cum in aliis quibusdam tum in mutationibus, an non in morbis multum maximeque in acutiſſimis different? Atqui quod vitioſa victus ratio tum in potu tum in cibo ſui ſemper ſimilis ad ſanitatem omnino

Ed. Chart. XI. [50.] Foës. I. 388. Ed. Lind. II. (279. 280.)
δίαιτα βρώσιος καὶ πόσιος αὐτὴ ἑωυτῇ ἐμφερὴς ἀεὶ ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν ἐς ὑγείην ἢ εἴ τις ἐξαπίνης μέγα μεταβάλλοι ἐς ἄλλο κρεῖττον. ἐπεὶ καὶ τοῖσι δὶς σιτεομένοισι τῆς ἡμέρης καὶ τοῖσι μονοσιτέουσιν αἱ ἐξαπιναῖοι μεταβολαὶ, βλάβας καὶ ἀῤῥωστίην παρέχουσιν καὶ τοὺς μέν γε μὴ μεμαθηκότας ἀρισιᾶν, εἰ ἀριστήσουσιν, εὐθέως ἀῤῥώστους ποιέει, καὶ βαρέας ὅλον τὸ σῶμα καὶ ἀσθενεῖς, καὶ ὀκνηρούς· ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεας. ἐνίοισι δὲ καὶ σπατίλη γένοιτο ἂν, ὁκόταν παρὰ τὸ ἔθος ἀχθοφορήσῃ ἡ κοιλίη εἰθισμένη ἐπιξηραίνεσθαι καὶ μὴ δὶς διογκοῦσθαι μήτε δὶς ἔψειν τὰ σιτία. ἀρήγει οὖν τουτέοισιν ἀνασηκῶσαι τὴν μεταβολήν. ἐγ(280)κοιμηθῆναι γὰρ χρὴ ὡς νύκτα ἀγαγόντα μετὰ τὸ δεῖπνον, τοῦ μὲν χειμῶνος ἀριγέως, τοῦ δὲ θέρεος ἀθαλπέως. ἢν δὲ μὴ δύνηται καθεύδειν, βραδείην, συχνὴν περίοδον, πλανηθέντα, μὴ στασίμους, δειπνῆσαι μηδὲν, ἢ ὀλίγα καὶ μὴ βλαβερά. ἔτι δὲ ἔλασσον πιεῖν καὶ μὴ ὑδαρές. ἔτι δ' ἂν μᾶλλον πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς σιτέοιτο τῆς ἡμέρης ἐς κόρον. ἔτι δὲ μᾶλλον εἰ πλεονάκις, καίτοι γε πολλοὶ εἰ-

fit tutior, quam ſi quis ſubito ad aliam meliorem magnam mutationem faciat, cognitu ſane eſt facile. Quandoquidem tum eos qui bis die tum eos qui ſemel cibum ſumere conſueverunt, repentinae mutationes laedunt et imbecillos reddunt et qui quidem prandere non conſueti, ſi prandeant, conſeſtim aegre habent et toto corpore graves, debiles et pigri efficiuntur; quod ſi praeterea coenaverint, acidum eructant, quibusdam etiam alvus liquida contingit, nempe quod praeter conſuetudinem pondere gravetur ventriculus, inſuper ſiccari aſſuetus, non bis intumeſcere, neque bis cibos coquere. Iis igitur convenit mutationem rependere. Dormire ſi quidem oportet tanquam noctem a coena agentes, hieme certe ſine frigore, aeſtate vero citra calorem. Quod ſi dormire nequeant, ubi multos lenta deambulatione circuitus conſecerint, neque ſtent, nihilque aut pauca et innoxia coenent, praetereaque minus neque aquoſum bibant: Is praeterea etiam magis afficietur, ſi ter die ad ſatietatem

Ed. Chart. XI. [50. 53.] Foës. I. 388. 389. Ed. Lind. II. (280. 281.)

σιν οἳ εὐφόρως φέρουσιν τρὶς σιτεόμενοι τῆς ἡμέρης ἐς πλῆθος, οἳ ἂν οὕτως ἐθισθῶσιν. [53] ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενέες καὶ ὑῤῥωστοί εἰσι, καὶ δειλοὶ ἐς πᾶν ἔργον, καὶ καρδιαλγέες. κρεμᾶσθαι γὰρ δοκέει τὰ σπλάγχνα αὐτέοισι, καὶ οὐρέουσι θερμὸν καὶ χλωρὸν, καὶ ἡ ἄφοδος ξυγκαίεται. ἔστι δ᾽ οἷσι καὶ τὸ στόμα πικραίνεται, καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται καὶ οἱ κρόταφοι πάλλονται, καὶ τὰ ἄκρα διαψύχονται. καὶ οἱ μὲν πλεῖστοι τῶν ἀνηριστηκότων οὐ δύνανται κατεσθίειν τὸ δεῖπνον. δειπνήσαντες δὲ βαρύνουσι τὴν κοιλίην καὶ δυσκοιτέουσι πολὺ μᾶλλον ἢ εἰ προηριστήκεισαν. || ὁκότε γοῦν ταῦτα τοιαῦτα γίνεται τοῖσιν ὑγιαίνουσιν ἕνεκεν ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς παρὰ τὸ ἔθος οὔτε πρόσθεῖναι λυσιτελέειν φαίνεται οὔτε ἀφελέειν. εἰ τοίνυν οὗτος ὁ παρὰ τὸ ἔθος μονοσιτήσας ὅλην ἡμέρην κενεαγγήσας δειπνήσειεν ὁκόσον εἴθιστο, εἰκὸς αὐτὸν, εἰ τότε ἀνάριστος ἐὼν ἐπόνεε καὶ ὑῤῥώστει, (281) δειπνήσας δὲ τότε βαρὺς ἦν, πουλὺ μᾶλλον βαρύνεσθαι. εἰ δέ γε ἐπὶ πλείω χρόνον κενε-

cibum capiat, ac multo magis ſi ſaepius. Quanquam multi ſunt qui ter die copioſum cibum facile ferunt, quod ita aſſueti ſint. Quin etiam qui bis die cibum ſumere conſueverunt, niſi pranſi fuerint, debiles et infirmi ſunt et ad quodvis opus timidi et oris ventriculi dolore vexantur. Iis enim ſuſpenſa eſſe viſcera videntur, calidam et cum virore pallidam urinam reddunt et ſtercus exuritur, nonnullis quoque os amareſcit, oculi gravantur, tempora pulſant et extrema perfrigerantur. Ac plurimi quidem non pranſi coenare nequeunt, qui ſi coenaverint, ventriculum gravant et difficilius multo decumbunt quam ſi pranſi fuiſſent. Cum igitur talia ſanis contingant ob dimidiatae diei victus a conſuetudine mutationem, neque apponere quicquam neque detrahere utile eſſe videtur. Qui ergo praeter conſuetudinem ſemel cibum capiens, ubi tota die exinanitis vaſis pro conſuetudine coenaverit, hunc par eſt, ſi cum impranſus fuit doluit et debilis fuit et cum coenavit, gravis fuit, multo magis gravari. Quod ſi longiore tempore exinanitis vaſis repente

Ed. Chart. XI. [53. 55.] Foës. I. 389. Ed. Lind. II. (281.)
ἀγγήσας ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρύνοιτο. τὸν γοῦν παρὰ τὸ ἔθος κενεαγγήσαντα ξυμφέρει ταύτην τὴν ἡμέρην ἀντισηκῶσαι ὧδε ἀριγέως καὶ ἀθαλπέως καὶ ἀταλαιπώρως. ταῦτα γὰρ ἅπαντα βαρέως ἂν ἐνέγκοι καὶ τὸ δεῖπνον συχνῷ ἔλαττον ποιήσασθαι ἢ ὅσον εἴθιστο καὶ μὴ ξηρὸν, ἀλλὰ τοῦ πλαδαρωτέρου τρόπου. καὶ μετὰ ταῦτα πιεῖν μὴ ὑδαρὲς, μηδ' ἔλασσον ἢ κατὰ λόγον βρώματος. καὶ τῇ ὑστεραίῃ ὀλίγα ἀριστῆσαι, ὡς ἐκ προσαγωγῆς ἀφίκηται ἐς τὸ ἔθος. [55] αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω, τὴν δὲ ἀσιτίην τὴν παρὰ τὸ ἔθος οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτερον φέρουσι τὸ ἐπίπαν, ὥστε καὶ τὴν μονοσιτίην τὴν παρὰ τὸ ἔθος εὐφορώτερον ἂν οὗτοι ἐνέγκοιεν. ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημεῖον ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας συμβαινόντων μάλιστα νοσοποιέουσιν. οὐδ' εἰ οἷόν τε παρὰ καιρὸν οὔτε σφοδροτάτας κεναγγείας ποιέειν οὔτε ἀκμαζόντων τῶν νουσημάτων καὶ ἐν φλεγμασίῃ

coenaverit, adhuc utique magis gravabitur. Qui igitur praeter consuetudinem exinanitus fuerit, cum hunc diem sic rependere convenit, ut inprimis vitet frigus, calorem et laborem cum haec omnia graviter ferat et coenam longe solito minorem capiat, eamque non siccam, sed quodammodo humentiorem. Deinde minime aquosum bibat, neque minus quam pro cibi ratione posteroque die parum prandeat, quo sensim accessione facta ad consuetudinem redeat. Ista tamen eorum quidam molestius ferunt, nempe qui supernis partibus copiosam amaram bilem coacervant. Non consuetam autem cibi abstinentiam facilius in totum ferunt qui partibus superioribus pituitosi sunt. Quo fit ut, si semel tantum cibum praeter consuetudinem capiant, facilius eam ferre possint. Istud igitur evidenti est argumento, quod eorum quae circa naturam atque habitum nostrum contingunt, maximae mutationes morbos potissimum pariunt. Neque intempestivas neque vehementissimas vasorum inanitiones moliri fas est, neque cum morbi vigent et in inflammatione

Ed. Chart. XI. [55. 58.] Foël. I. 389. Ed. Lind. II. (281. 282.) ἐόντων προσφέρειν, οὔτε ἐξαπίνης οἷόν τε ὅλῳ τῷ πρήγματι μεταβάλλειν οὔτε ἐπὶ τὰ οὔτε ἐπὶ τά. πολλὰ δ' ἄν τις ἠδελφισμένα τουτέοισι τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι, ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώματα ἃ εἰθισμένοι εἰσὶν, εἰ καὶ μὴ ἀγαθὰ ᾖ φύσει. ὡσαύτως δὲ καὶ τὰ ποτά. [58] δυσφόρως δὲ (282) φέρουσι τὰ βρώματα ἃ μὴ εἰθισμένοι εἰσὶν, εἰ καὶ καλὰ ᾖ. ὡσαύτως δὴ καὶ ποτὰ, καὶ ὁκόσα μὲν κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωθεῖσα ποιέει, ἢ σκόροδα ἢ σίλφιον ἢ ὀπὸς ἢ καυλὸς ἢ ἄλλα ὁκόσα τοιουτότροπα μεγάλας δυνάμιας ἔχοντα ἰδίας. ἧσσον ἄν τις θαυμάσειεν εἰ τὰ τοιαῦτα πόνους ἐμποιέει τῇσι κοιλίῃσι μᾶλλον τῶν ἄλλων. ἀλλ' εἰ καταμάθῃς ὅκως ἂν μᾶζά τε ὄχλον καὶ ὄγκον καὶ φῦσαν καὶ στρόφον τῇ κοιλίῃ παρέχοι παρὰ τὸ ἔθος βρωθεῖσα τῷ μὴ μαζοφαγέειν εἰθισμένῳ, ἢ αὐτός τε ὁ ἄρτος θερμὸς βρωθεὶς οἶην δίψαν παρέχει, καὶ ἐξαπιναίην πληθώρην διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον, καὶ οἱ ἄγαν καθαροί τε καὶ ξυγκομιστοὶ παρὰ τὸ ἔθος βρωθέντες οἷα

consistunt, cibum offerre neque repente quicquam in hanc vel illam partem, in toto negotio immutare. Multa vero eorum quae circa ventrem contingunt, itemque alia bis, cognata referre quis possit, veluti quod cibos quidem leviter ferunt quibus assueverunt, etiamsi natura boni non sint, eodemque modo potiones. Moleste autem ferunt cibos quibus minime sunt assueti, quamvis boni sint, similiter et potus. Et quaecunque quidem multus praeter consuetudinem carnis esus facit, vel allium vel laser aut ejus succus aut caulis aliaque id genus peculiaribus quibusdam insignibus viribus praedita, minus utique quis miretur, si quae sunt hujusmodi, dolores ventriculis magis quam alia adducant. Verum [minus fortasse miraberis] si noveris quantam maza turbationem et tumorem et flatum et tormina praeter consuetudinem ingesta ventriculo exhibeat ei qui ea vesci minime consuevit, vel qualem panis ipse calidus ingestus sitim inducat et repentinam repletionem, tum quod exsiccet tum etiam quod tarde descendat. Et quam varia inter se efficiant panes purissimi et consusanei, in cibo praeter consuetudinem assumpti.

Ed. Chart. XI. [58. 60.] Foës. I. 389. 390. Ed. Lind. II. (282. 283.) διαφέροντα ἀλλήλων ποιέουσι, καὶ μᾶζά τε ξηρὴ παρὰ τὸ ἔθος ἢ ὑγρὴ ἢ γλίσχρη, καὶ τὰ ὄλφιτα οἷόν τι ποιέει τὰ ποταίνια τοῖσι μὴ εἰωθόσι καὶ τὰ ἑτεροῖα τοῖσι τὰ ποταίνια εἰωθόσι, καὶ οἰνοποσίη καὶ ὑδροποσίη παρὰ τὸ ἔθος εἰς θάτερα μεταβληθέντα ἐξαπίνης καὶ ὑδαρής τε οἶνος καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθείς. ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει καὶ φῦσαν ἐς τὴν κάτω. ὁ δὲ παλμὸν φλεβῶν καὶ καρηβαρίην καὶ δίψαν, καὶ λευκός τε καὶ μέλας οἶνος παρὰ τὸ ἔθος μεταβάλλοντι, εἰ καὶ ἄμφω οἰνώδεες εἶεν, ὅμως πολλὰ ἂν ἑτεροιώσειαν κατὰ τὸ σῶμα, ὡς δὴ γλυκύν τε καὶ οἰνώδεα οἶνον ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι, μὴ τωὐτὸ (283) δυνάσθαι ἐξαπίνης μεταβληθέντα. [60] τιμωρητέον δὲ τοιόνδε τι μέρος τῷ ἐναντίῳ λόγῳ, ὅτι ἡ μεταβολὴ τῆς διαίτης || τουτέοισιν ἐγένετο, οὐ μεταβάλλοντος τοῦ σώματος οὔτε ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτε ἐπὶ τὴν ἀῤῥωστίην, ὥστε ἀφαιρεθῆναι, προστεκμαρτέα δὴ καὶ ἰσχὺς καὶ ὁ τρόπος τοῦ νοσήματος ἑκάστοισι καὶ τῆς φύσιος τοῦ τε ἀνθρώπου καὶ τοῦ ἔθεος

Itemque maza praeter morem ſicca aut humida aut lenta, et quale quid efficiant polentae recentes in non aſſuetis, aliaeque iis qui recentibus ſunt aſſueti. Itemque vini et aquae potus praeter conſuetudinem invicem derepente permutatus, et aquoſum vinum et merum praeter morem ſubito epotum. Illud namque in ſuperiore ventre redundantem humiditatem et inferiore flatum inducet, hoc vero venarum palpitationem, capitis gravitatem et ſitim. Tum etiam vinum album et nigrum ſi quis praeter conſuetudinem immutet, etiamſi ambo vitioſa fuerint, multa tamen in corpore alterarint, ut minus quis eſſe mirum dixerit dulce et vinoſum vinum, ubi repente permutata fuerint, non idem poſſe. At contrario ſermoni quadam ex parte favendum eſt, nempe cum his victus ratio facta ſit corpore neque ad robur, ut cibos adjicere, neque ad debilitatem, ut cibos demere oporteat, immutata. Inſuper in ſingulis et robur et morbi genus conjectandum eſt, tum etiam hominis natura tum aegri vi-

Ed. Chart. XI. [60.] Foël. I. 590. Ed. Lind. II. (285.)
καὶ τῆς διαίτης τοῦ κάμνοντος οὐ μόνον σιτίων, ἀλλὰ καὶ ποτῶν. πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον. ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων, μέχρις ἂν τῆς νούσου ἡ ἀκμὴ πεπανθῇ ἐν ὁκοίοισι δὲ τὸ τοιόνδε ποιητέον γεγράψεται. πολλὰ δ' ἄν τις καὶ ἄλλα ἠδελφισμένα τοῖσιν εἰρημένοισι γράφοι, τό γε μὴν κρέσσον μαρτύριον. οὐ γὰρ ἠδελφισμένον ἐστὶ τῷ πρήγματι περὶ οὗ μοι ὁ πλεῖστος λόγος εἴρηται, ἀλλ' αὐτὸ τὸ πρῆγμα ἐπικαιρότατόν ἐστι διδακτήριον. οἱ γὰρ ἀρχόμενοι τῶν ὀξέων νουσημάτων ἔστιν ὅτε οἱ μὲν σιτία ἔφαγον αὐθημερὸν ἠργμένοι ἤδη, οἱ δὲ καὶ τῇ ὑστεραίῃ, οἱ δὲ καὶ ἐρρόφεον τὸ προστυχόν, οἱ δὲ καὶ κυκεῶνα ἐρρόφεον. ἅπαντα δὲ ταῦτα κακίω μέν ἐστιν ἢ εἰ ἑτεροίως τις διαιτηθείη. πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει ἐν τούτῳ τῷ χρόνῳ ἁμαρτηθέντα ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ τρεῖς κενεαγγήσειε τελείως, τεταρταῖος δὲ ὢν τοιάδε διαιτηθείη ἢ καὶ πεμπταῖος. ἔτι μέντοι κάκιον εἰ ταύτας πάσας τὰς ἡμέρας

ctus conſuetudo, neque in cibis ſolum, verum etiam in potionibus. Ad ciborum autem adjectionem multo minus attendendum eſt. Nam et ſubtrahere omnino ſaepenumero expedit, dum aegro ſufficere poſſe videatur, donec morbi vigor ad maturitatem perducatur. Quod in quibus faciendum ſit paulo poſt ſcribetur. Multa vero etiam alia his quae dicta ſunt ſimilia quis ſcribere poſſit. Iſtud certe efficacius eſt teſtimonium. Neque enim rei quae plurimum in quaeſtione verſatur cognatum exiſtit, ſed res ipſa valde idoneum praebet documentum. Nam et per acutorum morborum exordia, quandoque quidem eodem quo laborare coeperunt die cibos comederunt, quidam etiam poſtridie, nonnulli quoque quidvis, alii etiam quendam potionis cinnum, cyceona dictum, ſorbendo ſumpſerunt. Haec autem omnia deteriora quidem ſunt, quam ſi quis aliam victus rationem inſtituat. Multo tamen minus laedunt quae hoc tempore peccata committuntur quam ſi primis duobus vel tribus diebus vaſa quis omnino exinanierit, mox quarto vel quinto die talem cibum exhibeat. Quin etiam multo deterius eſt,

Ed. Chart. XI. [60. 64.] Foës. I. 390. Ed. Lind. II. (283. 284.) προκενεαγγήσας ἐν τῇσιν ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον (284) γενέσθαι τὴν νοῦσον. οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς τοῖσι πλείστοισιν, ἢν μὴ παντάπασί τις εὐήθης ἡ νοῦσος εἴη. αἱ δὲ κατ' ἀρχὰς ἁμαρτάδες οὐχ ὁμοίως ταύτῃσιν ἀνήκεστοί εἰσιν, ἀλλὰ πολλῷ εὐακεστότεραι. [64] τοῦτο οὖν ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος ἢ τοίου ἢ τοίου τοῖσι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν, ἢ τοίοις ἢ τοίοις χρέεσθαι. πυθμενόθεν μὲν οὖν οὐκ ἴσασιν οὔθ' οἱ τῇσι κριθώδεσι, πτισάνῃσι χρεόμενοι, ὅτι αὐτέῃσι κακοῦνται, ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προκενεαγγήσωσι δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλείους, οὔτ' αὖ οἱ τῷ χυλῷ χρεόμενοι γινώσκουσιν ὅτι αὐτέοισι βλάπτονται ῥοφέοντες, ὅταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος. τότε μὲν φυλάσσουσι καὶ γινώσκουσιν ὅτι μεγάλην τὴν βλάβην φέρει ἢν πρὶν πέπειρον τὴν νόσον γενέσθαι κριθώδεα πτισάνην ῥοφήσῃ ὁ κάμνων, εἰθισμένος χυλῷ χρέεσθαι. πάντα οὖν ταῦτα μεγάλα μαρτύρια ὅτι οὐκ ὀρθῶς ἄγουσιν εἰς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς

si quis totis his diebus vasis antea exinanitis, posterioribus deinceps diebus ita victum instituat, prius quam morbus maturus evadat. Hac enim ratione plurimis liquido mortem inferet, nisi mitis omnino morbus extiterit. Quae vero per initia errata committuntur, his non similiter incurabilia existunt, sed multo facilius sanantur. Hoc sane maximo argumento esse arbitror, nulla sorbitione abstinendum in quibus paulo post futurum est ut his aut illis sorbitionibus uti debeant. Prorsus igitur ignorant qui hordeacea utuntur ptisana quod ab ea male habent ubi duobus vel tribus vel etiam pluribus diebus antea exinanitis vasis sorbere coeperint. Neque rursus qui cremore utuntur, quod sorbentes laedantur intelligunt ubi non recte sorbitionem inchoaverint. Hoc tamen cavent et agnoscunt magnam adferre laesionem, si antequam morbus ad maturitatem pervenerit, aeger hordeaceam ptisanam sorbeat cremore uti assuetus. Haec igitur omnia magno sunt indicio quod medici non

Ed. Chart. XI. [64. 65.] Foës. I. 390. 391. Ed. Lind. II. (284. 285.)
κάμνοντας, ἀλλ' ἐν ἧσί γε νούσοισιν οὐ χρὴ κεναγγέειν τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι κεναγγέουσιν, ἐν ἧσί τε οὐ χρὴ μεταβάλλειν ἐκ κεναγγείης ἐς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι καὶ ὡς ἐπιτοπολὺ ἁμαρτάνουσιν. ἐνίοτε δὲ ἐν τοῖσι καιροῖσι μεταβάλλουσιν ἐς τὰ ῥοφήματα ἐκ τῆς κεναγγείης, ἐν οἷσι πολλάκις ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ κεναγγείῃ, ἢν οὕτως τύχῃ παροξυνομένη ἡ νοῦσος. [65] ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται ὑπό (285) τε κεφαλῆς καὶ τοῦ περὶ τὸν θώρηκα τόπου χολώδεα. ἀγρυπνίαι τε συνεμπίπτουσιν αὐτέοισι δι' ἃς οὐ πέσσεται ἡ νοῦσος, περίλυποί τε καὶ πικροὶ γίνονται, καὶ παραφρονέουσι, καὶ μαρμαρυγώδεα σφέων τὰ ὄμματα, καὶ αἱ ὀκοαὶ ἦχου μεσταὶ, καὶ τὰ ἀκρωτήρια κατεψυγμένα, καὶ οὖρα ἄπεπτα, καὶ πτύσματα λεπτὰ καὶ ἀλυκὰ καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρά, || καὶ ἱδρῶτες περὶ τὸν τράχηλον, καὶ διαπορήματα, καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ πυκνὸν ἢ μέγα λίην. ὀφρύες δεινώσιος μετέχουσαι. λειποψυχώδεα πονηρὰ, καὶ τῶν ἱματίων ἀποῤῥίψιες ἀπὸ τοῦ στήθεος, καὶ χεῖρες τρο-

recte aegrotantes ad cibos adducunt, ſed in quibus morbis vaſa exinaniri non expedit et in quibus ſorbitione utendum ſit, in iis vaſa exinaniant et in quibus ex vaſorum inanitione ad ſorbitiones transeundum non ſit, in his transeant, idque plerumque exquiſite. Interdum vero eo tempore ex vaſorum inanitione in ſorbitiones commutant, quo plerumque ex ſorbitionibus ad vaſorum inanitionem accedere expedit, ſi ita morbus ingraveſcens tulerit. Interdum etiam cruda a capite attrahuntur et a thoracis regione biliosa, vigiliaeque iis accedunt ob quas non coquitur morbus, valdeque triſtes et amarulenti evadunt, delirio tentantur et iis oculi vibranti ſplendore coruſcant, aures ſono implentur, extrema perfrigeſcunt, urinae incoctae, ſputa tenuia fiunt, ſalſa et colore ſincero tincta et pauca, ſudores circa cervicem contingunt et anxietates, ſpiritus in ea quae ſurſum ſit latione offenſans creber et magnus valde, ſupercilia quodammodo amplificantur, pravae animi defectiones, veſtium a pectore rejectiones et manus tremulae, atque interdum

Ed. Chart. XI. [65. 71.] Foës. I. 391. Ed. Lind. II. (285. 286.)
μώδεες. ἐνίοτε δὲ καὶ χεῖλος τὸ κάτω σείεται. ταῦτα δὲ ἐν ἀρχῇσι παραφαινόμενα παραφροσύνης δηλωτικά εἰσι σφοδρῆς, καὶ ὡς ἐπιτοπολὺ ἀποθνήσκουσιν. οἱ δὲ διαφεύγοντες ἢ μετὰ ἀποστήματος ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινὸς ἢ πῦον παχὺ πτύσαντες διαφεύγουσιν· ἄλλως δὲ οὔ. οὐδὲ γὰρ τῶν τοιουτέων ὁρέω ἐμπείρους τοὺς ἰητροὺς, ὡς χρὴ διαγινώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, αἵ τε διὰ κενεαγγείην ἀποτελοῦνται, αἵ τε δι' ἄλλον τινὰ ἐρεθισμὸν, αἵ τε διὰ πόνον καὶ ὑπὸ ὀξύτητος τῆς νούσου. ὁκόσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα. καίτοι σωτηρίην ἢ θάνατον φέρει γινωσκόμενα ἢ ἀγνοούμενα τὰ τοιαῦτα. [71] μέζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νούσου ἀσθενέοντι προσφέρῃ τις ποτὸν ἢ ῥόφημα πλεῖον ἢ σιτίον, οἰόμενος διὰ κεναγ(286)γείην ἀσθενείην. ἀεικὲς δὲ καὶ διὰ κεναγγείην ἀσθενέοντα μὴ γνῶναι καὶ πιέζειν τῇ διαίτῃ. φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτὰς, πολλῷ δὲ ἧσσον τῆς ἑτέρης. καταγελαστοτέρη δὲ πολλῷ αὕτη μᾶλλον ἢ ἁμαρτὰς τῆς ἑτέ-

labii inferioris concuſſio. Quae ſi initiis compareant, gravis delirii ſignificationem exhibent et plerumque moriuntur. Qui vero evadunt, ii cum abſceſſu vel ſanguinis ex flatibus profluvio vel puris craſſi excreatione, neque aliter evadunt. Neque certe horum ita peritos medicos video ut virium infirmitates in morbis dignoſcant, quae vel ex vaſorum inanitione perficiuntur et quae vel ob aliud quoddam irritamentum, quaeque ob dolorem et morbi vehementiam, quasque omnis generis affectuum ſpecies natura noſtra et habitus in ſingulis pariat, quamvis haec cognita aut ignorata ſalutem aut mortem afferunt. Majus ſiquidem malum eſt, ſi ob dolorem aut morbi vehementiam debilitato quis potum aut ſorbitionem copioſiorem aut cibum exhibeat, ob vaſorum inanitionem debilem eſſe ratus. Indecorum autem eſt probroque vertitur, ſi quis ex vaſorum inanitione aegre habentem non agnoſcat et victus ratione opprimat. Periculum ſiquidem quoddam affert hoc erratum, multo tamen minus quam alterum illoque longe majore riſu dignius eſt. Nam

Ed. Chart. XI. [71.] Foës. I. 391. Ed. Lind. II. (286.)

ρης. εἰ γὰρ ἄλλος ἰατρὸς ἢ καὶ ἰδιώτης εἰσελθὼν καὶ γνοὺς τὰ συμβεβηκότα δώη καὶ φαγεῖν καὶ πιεῖν ἃ ὁ ἕτερος ἐκώλυσεν, ἐπιδήλως ἂν δοκοίη ὠφεληκέναι. τὰ δὲ τοιαῦτα μάλιστα καθυβρίζεται τῶν χειρονακτέων ὑπὸ τῶν ἀνθρώπων. δοκέει γὰρ αὐτέοισιν ὁ εἰσελθὼν ἰητρὸς ἢ ἰδιώτης ὥσπερεὶ τεθνεῶτα ἀναστῆσαι. γεγράψεται οὖν καὶ περὶ τουτέου σημήϊα οἷσι δεῖ ἕκαστα τουτέων διαγινώσκειν. παραπλήσια μέν τοι τοῖσι κατὰ κοιλίην καὶ ταῦτα ἐστί· καὶ γὰρ ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πουλὺ παρὰ τὸ ἔθος, οὐκ αὐτίκα ἐρρῶσται μᾶλλον. ἢν δὲ δεῖ καὶ πλείω χρόνον διελινύσας ἐξαπίνης ἐς τοὺς πόνους ἔλθῃ, φλαῦρόν τι πρήξειεν ἐπιδήλως. οὕτω δὲ καὶ ἓν ἕκαστον τοῦ σώματος. καὶ γὰρ ἢν οἱ πόδες τοιόνδέ τι πρήξειαν καὶ τὰ ἄλλα ἄρθρα μὴ εἰθισμένα πονέειν, ἢν διὰ χρόνου ἐξαπίνης πρὸς τὸ πονεῖν ἔλθῃ. ταῦτα δ' ἂν καὶ οἱ ὀδόντες καὶ οἱ ὀφθαλμοὶ πάθοιεν καὶ πᾶν ὁτιοῦν. ἐπεὶ καὶ κοίτη ἡ παρὰ τὸ ἔθος μαλθακὴ πόνον ἐμποιέει, καὶ σκληρὴ παρὰ τὸ ἔθος, καὶ ὕπαιθρος εὐνὴ

si quis alius medicus aut plebejus accesserit et quae contigerunt cognoverit, cibumque et potum quem alter prohibuerit exhibuerit, is proculdubio auxilium attulisse videatur. Atque ista praecipue artifices apud homines infamant. Hic enim superveniens medicus vel plebejus tanquam mortuum suscitasse videtur. Horum igitur etiam signa, ex quibus singula dignoscere oporteat scribentur. Sed tamen et haec sunt his quae circa ventrem contingunt consimilia. Etenim si totum corpus praeter solitum multum quieverit, non confestim robustius evadit. Si vero sane ex diutino otio repente se ad labores contulerit, manifestum quoddam vitium efficiet. Eodem etiam modo de singulis corporis partibus existimandum. Nam et pedes tale quiddam efficient et reliqui articuli laborare non assueti, ubi longo post intervallo derepente ad laborem se converterint. Eodemque modo dentes et oculi et quaevis alia corporis pars afficietur, quandoquidem et lectus praeter consuetudinem mollis laborem facit, itemque durus praeter solitum. Quin et sub dio

Ed. Chart. XI. [71. 73.] Foeſ. I. 591. 592. Ed. Lind. II. (286. 287.) παρὰ τὸ ἔθος σκληρύνει τὸ σῶμα. [73] ἀτὰρ καὶ τὰ τῶν τοιῶνδε πάντων ἀρκέει παραδείγματα γράψαι. εἰ γάρ τις ἕλκος (287) λαβὼν ἐν κνήμῃ μήτε λίην ἐπίκαιρον μήτε λίην εὔηθες ὂν καὶ μήτε ἄγαν δυσελκὴς ὢν, μήτε ἄγαν εὐελκὴς, αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο καὶ μηδαμῇ μητεωρίζοι τὸ σκέλος, ἀφλέγμαντος μὲν ἂν οὕτος εἴη καὶ ὑγιὴς πολλῷ θᾶσσον οὕτω γένοιτο ἢ εἰ πλανώμενος ἰητρεύοιτο. εἰ μέντοι πεμπταῖος ἢ ἑκταῖος ἢ καὶ ἔτι ἀνωτέρω ἀναστὰς ἐθέλοι προβαίνειν, μᾶλλον ἂν πονέοι τότε ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο. εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης, πολλῷ ἂν μᾶλλον πονέσειεν ἢ ἐκείνως ἰητρευόμενος ταῦτα ταλαιπωρήσειεν ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι. διὰ τέλεος οὖν μαρτυρεῖ ταῦτα πάντα ἀλλήλοισιν, ὅτι πάντα ἐξαπίνης μείζω πολλῷ τοῦ μετρίου μεταβαλλόμενα ἐπὶ τὰ καὶ ἐπὶ τὰ βλάπτει. πολλαπλασίη μὲν οὖν κατὰ κοιλίην ἡ βλάβη ἐστὶν, ἢν ἐκ πολλῆς κενεαγγείης ἐξαπίνης πλέον τοῦ μετρίου προσαίρηται. || ἀτὰρ καὶ κατὰ τὸ ἄλλο σῶμα ἢν ἐκ πολλῆς ἡσυχίης ἐξαίφνης ἐς πλείω πό-

praeter morem ſtratus corpus indurat. Sed et horum omnium exempla ſcribere conſert. Si quis enim accepto in tibia ulcere neque admodum inſigni neque valde contemnendo, isque ad ulcera neque admodum difficulter neque etiam admodum facile ſe habeat, ſtatim ab initio primo die decumbens curetur et nequaquam crus attollat, hic quidem ſine inflammatione erit multoque citius hoc modo ſanus evadet, quam ſi ſenſim obambulans curaretur. Si tamen quinto vel ſexto vel ſuperiore adhuc aliquo die ſurgens progredi voluerit, magis utique tunc affligetur quam ſi ſtatim ab initio ſenſim oberrans curatus fuiſſet. Quod ſi etiam multum derepente laboraverit, multo magis affligetur, quam ſi illo modo curatus illis diebus ita laboraſſet. Haec igitur omnia inter ſe ſemper atteſtantur, quod omnis ſubita ſupra modum in haec vel illa magna mutatio laedit. Varia itaque in ventre eſt laeſio, ubi ex multa vaſorum inanitione plus juſto de repente cibus ingeritur. Quin et reliquum corpus ſi ex longa quiete ſubito ad majorem laborem ſe verterit,

Ed. Chart. XI. [73. 75.] Foës. I. 392. Ed. Lind. II. (287. 288.)

νον ἔλθοι, πουλὺ πλείω βλαβείη ἢ εἰ ἐκ πολλῆς ἐδωδῆς ἐς κενεαγγείην μεταβάλλοι. δεῖ μέντοι καὶ τὸ σῶμα τουτέοισιν ἐλινύειν, καὶ ἢν ἐκ πολλῆς ταλαιπωρίης ἐξαπίνης ἐς σχολήν τε καὶ ῥᾳθυμίην ἐμπέσῃ, δεῖ δὲ καὶ τουτέοισι τὴν κοιλίην ἐλινύειν πλήθεος βρώμης. ἢν δὲ μὴ, πόνον ἐν τῷ σώματι ἐμποιήσει καὶ βάρος ὅλου τοῦ σώματος. [75] ὁ δὴ οὖν πλεῖστός μοι λόγος γέγονε περὶ τῆς μεταβολῆς τῆς ἐπὶ τῆς διαίτης καὶ ἐπὶ τὰ καὶ ἐπὶ τά. ἐς πάντα μὲν οὖν εὔχρηστον ταῦτα εἰδέναι. ἀτὰρ καὶ περὶ οὗ ὁ λόγος ἦν, ὅτι καὶ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἐς τὰ ῥοφή(288)ματα μεταβάλλουσιν ἐκ τῆς κενεαγγείης. μεταβλητέον γὰρ ὡς ἐγὼ κελεύω ἤδη. ἔπειτα οὐ χρηστέον ῥοφήμασι πρὶν ἢ νοῦσος πεπανθῇ ἢ ἄλλο τι σημεῖον φανῇ ἢ κατ' ἔντερον κενεαγγικὸν ἢ ἐρεθιστικὸν ἢ κατὰ τὰ ὑποχόνδρια ὁκοῖα γεγράψεται σημεῖα. ἀγρυπνίη ἰσχυρὴ πόματα καὶ σιτία ὠμὰ καὶ ἀπεπτότερα ποιέει, καὶ ἡ ἐπὶ τὰ ἕτερα αὖ μεταβολὴ διαλύει σῶμα καὶ ἐφθότητα καὶ καρηβαρίην ἐμποιέει. γλυκὺν δὲ οἶνον καὶ οἰ-

multo magis laedetur quam ſi ex multo cibo ad vaſorum inanitionem commutetur. His ſane toto corpore quieſcere convenit, atque ſi ex multa defatigatione derepente ad otium et ignaviam decidat. His quoque ventrem a ciborum copia quieſcere oportet. Alioqui corpori dolorem afferet et totum corpus gravitate afficiet. Plurimus ſane mihi ſermo habitus eſt de victus rationis in hanc vel illam partem immutatione, nempe quod iſta noviſſe valde ſit utile, cum ad omnia tum etiam ad id de quo inſtituta erat oratio, quod in morbis acutis ex vaſorum inanitione ad ſorbitiones mutationem faciunt. Mutatio namque velut ego jam jubeo facienda eſt. Deinde ſorbitionibus prius quam morbus ad maturitatem pervenerit minime eſt utendum, aut ſignum aliquod aliud circa inteſtina vacuatorium aut proritatorium appareat, vel circa praecordia qualia paulo poſt ſcribentur. Vehemens vigilia potus cibosque tum crudos tum incoctiores reddit. Ac rurſus quae in contraria ſit mutatio, corpus diſſolvit et excoctionem ac capitis gravitatem inducit. At

Ed. Chart. XI. [75. 79. 83.] Foës. I. 392. Ed. Lind. II. (288. 289.) νώδεα καὶ λευκὸν καὶ μέλανα καὶ μελίκρητον καὶ ὕδωρ καὶ ὀξύμελι, τοῖσι δὲ σημαινόμενον χρὴ διορίζειν ἐν τῇσιν ὀξείῃσι νούσοισιν. [79] ὁ μὲν γλυκὺς ἧσσόν ἐστι καρηβαρικώτερος τοῦ οἰνώδεος, καὶ ἧσσον φρενῶν ἁπτόμενος, καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου κατ' ἔντερον. μεγαλόσπλαγχνος δὲ σπληνὸς καὶ ἥπατος. οὐκ ἐπιτήδειος οὖν οὐδὲ τοῖσι πικροχόλοισι. καὶ γὰρ οὖν διψώδης τοῖσί γε τοιουτέοισιν ἐστίν. ἀτὰρ καὶ φυσώδης ἐντέρου τοῦ ἄνω. οὐ μὴν πολέμιός γε αὐτῷ ἐντέρῳ τῷ κάτω, ὡς κατὰ λόγον τῆς φύσης. καίτοι γε οὐ πάνυ πορίμη ἐστὶν ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα, ὀλλ' ἐγχρονίζει περὶ ὑποχόνδρια. καὶ γὰρ οὖν ἧσσον οὗτος διουρητικὸς γίνεται τὸ ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ. πτυάλου δὲ μᾶλλον ἀναγωγός ἐστι τοῦ ἑτέρου ὁ γλυκύς. [83] καὶ οἷσι μὲν διψώδης ἐστὶ πινόμενος, ἧσσον ἂν τούτοισιν ἀνάγοι ἢ ὁ ἕτερος οἶνος, οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου. ὁ δὲ λευκὸς οἰνώδης οἶνος ἐπῄνηται μὲν καὶ ἔψεκται τὰ πλεῖστα καὶ τὰ μέγιστα ἤδη ἐν τῇ (289) τοῦ γλυκέος οἴνου διηγήσει. ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου

vinum dulce et vinoſum et album et nigrum et aquam mulſam et aquam et acetum mulſum his notis in morbis acutis diſtinguere oportet. Dulce quidem vinoſo minus caput gravat et minus caput ferit, magisque ſane quam alterum inteſtinorum dejectiones movet, viſcerum tamen tumores hepatis nempe et lienis auget. Neque igitur his qui amaram colligunt bilem convenit, nempe quod his ſitim facit. Quin etiam in ſuperiore inteſtino flatum excitat, neque tamen inferiori inteſtino pro flatus ratione eſt adverſum, etſi ſane non valde penetrat a dulci vino flatus, ſed circa praecordia immoratur. Et certe hoc minus urinas prorſus movet quam vinoſum album. Sputum tamen potentius altero educit quod dulce eſt. Et quibus quidem epotum ſitim facit, iis minus quam aliud vinum educit. Quibus vero minime ſiticuloſum eſt, alio magis educit. At vero vinum album vinoſum plurimum et maxima ex parte laudatum quidem et vituperatum eſt in vini dulcis enarratione. Ad veſicam autem al-

Ed. Chart. XI. [85.] Foës. I. 392. Ed. Lind. II. (289.)
καὶ διουρητικὸς καὶ καταῤῥηκτικὸς, αἰεὶ πολλὰ προσωφελέοι ἂν ἐν ταύτῃσι τῇσι νούσοισι, καὶ γὰρ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ' ὅμως ἡ κατὰ κύστιν κάθαρσις ὑπ' αὐτοῦ γινομένη ῥύεται, ἢν προιρέπηται ὁκοῖον δεῖ. καλὰ δὲ ταῦτα τεκμήρια ἐστι τῆς περὶ οἴνου ὠφελίης καὶ βλάβης, ὁκόσα ἀκαταμάθητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισι. κιῤῥῷ δὲ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν ἐς τάδε ἂν χρήσαιο, εἰ καρηβαρίη μὲν μὴ ἐνείη, μηδὲ φρενῶν ἅψις, μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου, μηδὲ τὸ οὖρον ἴσχοιτο, τὰ διαχωρήματα δὲ πλαδαρώτερα καὶ ξυμπατωδέστερα εἴη ἐν δὴ τοῖσι τοιουτέοισι πρέπει ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ, καὶ ὁκόσα τουτέοισιν ἐμφερέα. προξυνιέναι δὲ δεῖ ὅτι τὰ μὲν ἄϊῳ πάντα καὶ τὰ κατὰ κύστιν ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ, τὰ δὲ κατ' ἔντερον καὶ μᾶλλον ὀνήσει, ἢν ἀκρατέστερος ᾖ. μελίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νούσου ἐν τῇσιν ὀξείῃσι νούσοισι τὸ ἐπίπαν μὲν τοῖσι πικροχόλοισι καὶ μεγαλοσπλάγχνοισιν ἧσσον ἐπιτήδειον ἢ τοῖσιν οὐ τοιούτοισιν ἐστὶν,

tero magis penetrat et cum urinam provocet et ſemper perrumpat, multum in his morbis contulerit. Quamvis enim ad alia altero ſit minus idoneum, quae tamen ab ipſo ſit per veſicam purgatio liberat, ſi uti debet impellatur. Bonae hae ſunt notae de vini utilitate et noxa, quae ſenioribus incognitae fuerunt. Fulvo vino vero et nigro auſtero in his morbis ad haec uti poſſis, ſi utique capitis gravitas non inſit, neque mentis perculſio neque ſputum ſurſum ferri prohibeatur, neque etiam urina inhibeatur, ſed alvi egeſtiones humentiores et ramentoſiores fuerint. In his ſane vel maxime ex albo mutationem facere convenit et quaecunque iis ſimilia exiſtunt. Iſtud autem inſuper noſſe oportet, ſi dilutius fuerit vinum ſuperiores omnes partes et quae circa veſicam ſunt minus laedere, meracius vero iis quae circa inteſtina magis prodeſſe. At aqua mulſa per totum morbum in acutis epota, iis prorſus qui bilem amaram coacervant et quibus viſcera intumeſcunt, minus quam non talibus eſt

Ed. Chart. XI. [86. 91.] Foeſ. I. 392. 393. Ed. Lind. II. (289. 290.)

[86] διψωδές γε μὴν ἧσσον τοῦ γλυκέος οἴνου. πνεύμονός τε γὰρ μαλθακτικόν ἐστι καὶ πτυέλου ἀναγωγὸν μετρίως καὶ βηχὸς παρηγορικόν. ἔχει γὰρ σμηγματωδές τι, ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον· || ἔστι δὲ καὶ οὐρητικὸν μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων κωλύῃ, καὶ δια(290)χωρητικὸν δὲ κάτω χολωδέων, ἔστι μὲν ὅτε καλῶν, ἔστι δ' ὅτε κατακορεστέρων μᾶλλον τοῦ καιροῦ καὶ ἀφρωδεστέρων. μᾶλλον δὲ τὸ τοιοῦτο τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίνεται. πτυάλου μὲν οὖν ἀναγωγὴν καὶ πνεύμονος μάλθαξιν τὸ ὑδαρέστερον μελίκρητον ποιέει μᾶλλον. τὰ μέντοι ἀφρώδεα διαχωρήματα καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα, καὶ μᾶλλον θερμά, τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει. τὸ δὲ τοιόνδε διαχώρημα ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα. οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα σβεννύει, ἀλλὰ ὁρμᾷ, δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει, ἑλκωδές τε ἐστὶ καὶ ἐντέρων καὶ ἕδρης. ἀλεξιτήρια δὲ τούτων γεγράψεται. [91] ἄνευ μὲν οὖν ῥοφημάτων μελικρήτῳ χρεώμενος ἀντ' ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νού-

idonea. Sitim tamen minus quam dulce vinum infert. Pulmonem enim emollit et ſputum mediocriter educit tuſſimque ſedat. Habet namque detergens quiddam, quod plus quam par eſt viſcidum ſputum reddit. Mulſa quoque urinas abunde provocat, niſi quid ex viſceribus prohibeat. Quin et vitioſa magis per alvum dejicit interdum laudabilia quidem, interdum etiam bile ſincera plus quam par eſt colorata et magis ſpumantia, idque biliosis et viſceris alicujus inflammatione laborantibus potius contingit. Mulſa igitur dilutior ſputum magis educit et pulmonem emollit. At ſpumantes alvi egeſtiones et plus quam convenit ſincera bile exaturatas calidioresque ſincera magis quam aquoſa demittit. Talis autem dejectio et alias graves quidem habet noxas. Neque enim praecordiorum ardorem extinguit, ſed concitat implaciditatemque et incontinentem membrorum jactationem efficit, inteſtinaque et ſedem exulcerat, quorum medelae ſcribentur. In hujusmodi igitur morbis, relictis ſorbitionibus,

Ed. Chart. XI. [91.] Foës. I. 393. Ed. Lind. II. (290. 291.)
σοισι πολλὰ ἂν εὐτυχοίης καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης. οἷσι δὲ δοτέον καὶ οἷσι μὴ δοτέον, τὰ μέγιστα εἴρηται καὶ δι' ἃ οὐ δοτέον. κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων, ὡς καταγυιοῖ τοὺς πίνοντας καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται. ἐκλήθη δὲ τοῦτο διὰ τοὺς ἀποκαρτερέοντας. ἔνιοι γὰρ μελικρήτῳ μόνῳ χρέονται ποτῷ, ὡς τοιοῦδε δῆθεν ἐόντος. τὸ δὲ οὐ παντάπασιν ὧδε ἔχει. ἀλλ' ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, ἢν μὴ ἐκταράσσῃ τὴν κοιλίην. ἀτὰρ καὶ οἴνου λευκοῦ καὶ λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου ἧ μὲν ἰσχυρότερον, ἧ δὲ ἀσθενέστερον. μέγα μὴν διαφέρει καὶ οἴνου καὶ μέλιτος (291) ἀκρητότης ἐς ἰσχὺν ἀμφοῖν. ὅμως τοίνυν εἰ καὶ διπλάσιον μέτρον οἴνου καὶ ἀκρήτου πίνοι τις ἢ ὁκόσον μέλι ἐκλείχοι, πολλῷ ἂν δήπου ἰσχυρότερος εἴη ὑπὸ τοῦ μέλιτος μοῦνον, εἰ μὴ ταράσσοι τὴν κοιλίην. πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίη ἂν αὐτέῳ. εἰ μέντοι ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον ἄγαν, πλησμονῶδες ἂν εἴη καὶ φυσῶδες, καὶ τοῖσι

si aqua mulsa alterius potionis loco utaris, ut multa feliciter consequeris, ita non multum successu frustraberis. Quibus ergo danda sit et quibus aut quas ob causas minime exhibenda, maxima ex parte dictum est. Damnata est autem ab hominibus aqua mulsa, quod epota ad extremam imbecillitatem deducat, ideoque brevi mortem afferre existimata est. Quod quidem propter eos qui vita per inediam discedunt dictum est. Sunt enim qui ea sola in potu utantur, tanquam certe talis existat. Verum non prorsus ita se res habet, sed sola epota aqua longe valentior existit, nisi alvum conturbarit. Sed et vino albo, tenui, paucifero et inodoro quodammodo est validior, quodammodo etiam debilior. Atqui vini et mellis meracitas, si utriusque vires conferas, insigne habet discrimen. Nam etsi vini meri bis tantundem ad id mellis quod delingit quis biberit, is longe certe validior a solo melle, ubi ventrem non turbaverit, reddetur. Multis enim partibus plus stercoris ipsi prodibit. Si tamen post ptisanae sorbitionem quis aquam mulsam superbibat, valde replet et inflat praecordiorumque visceribus est inuti-

Ed. Chart. XI. [91. 95.] Foës. I. 393. Ed. Lind. II. (291.)
κατὰ τὰ ὑποχόνδρια σπλάγχνοισιν ἀξύμφορον. προπινόμενον μὲν πρὸ ῥοφήματος μελίκρητον οὐ βλάπτει ὅκως μεταπινόμενον, ἀλλά τι καὶ ὠφελέει. [95] ἑφθὸν δὲ μελίκρητον ἐσιδεῖν μὲν πολλῷ κάλλιον τοῦ ὠμοῦ. λαμπρὸν γὸρ καὶ λεπτὸν καὶ λευκὸν καὶ διαφανὲς γίγνεται. ἀρετὴν δὲ ἥντινα αὐτέῳ προσθέω διαφέρουσάν τι τοῦ ὠμοῦ οὐκ ἐχω. οὔτε γὰρ ἡδιόν ἐστι τοῦ ὠμοῦ, ἢν τυγχάνοι γε τὸ μέλι καλὸν ἐόν. ἀσθενέστερον μέντοι γε τοῦ ὠμοῦ καὶ ἀκοπρωδέστερόν ἐστιν. ὧν οὐδέτερον εἰς τιμωρίην προσδέεται μελίκρητον. ἄγχιστα δὲ χρηστέον αὐτῷ τοιῷδε ἐόντι, εἰ τὸ μέλι τυγχάνοι πονηρὸν ἐὸν καὶ ἀκάθαρτον καὶ μέλαν καὶ μὴ εὐῶδες. ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῶν κακοτήτων αὐτέων τὰ πλείονα τοῦ αἴσχεος. τὸ δὲ ὀξύμελι καλεόμενον ποτὸν πολλαχοῦ μὲν εὔχρηστον ἐν ταύτῃσι τῇσιν νούσοισιν εὑρήσεις ἐόν. καὶ γὰρ πτυάλου ἀναγωγόν ἐστι καὶ εὔπνοον. καιροὺς μέντοι τοιούσδε ἔχει. τὸ μὲν γὰρ κάρτα ὀξὺ οὐδὲν ἂν μέζον ποιήσειε πρὸς τὰ πτύελα τὰ μὴ ῥηϊδίως ἀνιόντα. εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγκέρχροντα καὶ ὄλισθον ἐμποιήσειεν καὶ ὥσπερ διαπτερώσειε τὸν

lis. Neque quidem ſi ante ſorbitionem bibatur laedit, ut poſtea epota, verum etiam quodammodo juvat. Cocta autem aqua mulſa, aſpectu quidem quam cruda longe eſt pulchrior. Splendida ſiquidem et tenuis, alba et pellucida exiſtit. Neque vero aliquam ei virtutem quae crudam antecellat attribuere poſſum. Non enim cruda eſt ſuavior, ſi mel probum eſſe contigerit, cruda tamen eſt imbecillior et minus habet ſtercoris. Quorum neutro ut juvare poſſit aqua mulſa indiget. Praecipue vero ejusmodi cocta utendum, ſi mel pravum fuerit, impurum, nigrum et mali odoris. Coctura namque hujus pravitatis vitium magna ex parte aufertur. Acetum autem mulſum, oxymeli vocatum, epotum, multiplicem quidem in his morbis utilitatem habere comperies. Nam et ſpiritum ſurſum educit et facilem reddit ſpirationem. Has vero habet utendi opportunitates. Quod quidem valde acre eſt, nihil moderati effecerit ad ſputa quae non facile exeunt. Nam ſi ea educeret quae ſtridulam in faucibus aſperitatem faciunt et lubricitatem induceret, ac veluti ſi

Ed. Chart. XI. [95. 98.] Foël. I. 393. 394. Ed. Lind. II. (292.)

(292) βρόγχον, παρηγορήσειεν ἂν τὸ πλεύμονα· μαλθακτικὸν γὰρ αὐτέου. καὶ εἰ μὲν ταῦτα συγκυρήσειεν, μεγάλην ἂν ὠφελείην ποιήσειεν. ἔστι δ' ὅτε τὸ κάρτα ὀξὺ, οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ πτυέλου, ἀλλὰ προσεγλίσχρηνέ τε καὶ ἔβλαψε. μάλιστα δὲ τοῦτο πάσχουσιν οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι καὶ ἀδύνατοι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα. ἐς μὲν οὖν τόδε προστεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ κάμνοντος, κἢν ἐλπίδα ἔχῃ διδόναι. || διδόναι δὲ, ἢν δίδως ἀκροχλίαρον καὶ κατ' ὀλίγον τὸ τοιόνδε καὶ μὴ λάβρως. [98] τὸ μέντοι ὀλίγον ἔποξυ. ὑγραίνει μὲν τὸ στόμα καὶ φάρυγγα. ἀναγωγὸν δὲ πτυέλου ἐστὶ καὶ ἄδιψον. ὑποχονδρίῳ δὲ καὶ σπλάγχνοισι καὶ τῇσι τοιαύτῃσιν εὐμενές. καὶ γὰρ τὰς ἀπὸ μέλιτος βλάβας ταύτας κωλύει. τὸ γὰρ χολῶδες ἐν μέλιτι κολάζεται. ἔστι δὲ καὶ φυσέων καταῤῥηκτικὸν, καὶ ἐς οὔρησιν προτρεπτικόν. ἑντέρου μέντοι τῷ κάτω μέρει πλαδαρώτερον, καὶ ξύσματα ἐμποιέει. ἔστι δ' ὅτε καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξείῃσι νούσοισι γίνεται, μάλιστα μὲν ὅτι φῦσαν κωλύει περαιοῦσθαι, ἀλλὰ παλινδρομέειν

guttur dilataret, pulmonem utique leniret, cum ipſum emolliat. Quae ſiquidem contingerent, magnam utilitatem praeſtarent. Interdum vero quod valde acre eſt ſputum minime educit, ſed magis glutinoſum reddit noxiamque facit. Maximeque ita affecti ſunt qui cum alioqui pernicioſe habent, neque tuſſire neque ea quae intus continentur excreare poſſunt. Ad hoc igitur aegrotantis robur conjicere oportet, et ſi de eo ſpem conceperis exhibere. Et cum dare volueris perquam tepidum paulatimque hujusmodi, neque affatim exhibebis. Quod autem parum acre eſt, os quidem et fauces humectat, ſputum educit et ſitim ſedat, praecordiis et viſceribus ibi contentis eſt benevolum. Nam et mellis noxas inhibet, cum quod in eo bilioſum eſt corrigat, flatus etiam perrumpere facit et urinas promovet, inteſtini tamen inferiorem partem plus aequo humentem reddit et ramenta inducit. Interdum quoque et in acutis morbis hoc pravum eſt, maxime quidem quod flatum penetrare vetat, quin etiam

Ed. Chart. XI. [98. 101.] Foës. I. 394. Ed. Lind. II. (292. 293.)
ποιέει. ἔτι δὲ καὶ ἄλλως γυιοῖ καὶ τὰ ἀκρωτήρια ψύχει. ταύτην καὶ οἶδα μοῦνην δι' ὀξυμέλιτος γινομένην βλάβην, ἥτις καὶ ἀξίη γραφῆς. ὀλίγον δὲ τὸ τοιόνδε ποτὸν νυκτὸς μὲν καὶ νήστει πρὸ ῥοφήματος ἐπιτήδειον προπίνεσθαι. ἀτὰρ καὶ ὁκόταν πολὺ μετὰ ῥόφημα ᾖ, οὐδὲν κωλύει πίνειν. [101] τοῖσι δὲ ποτῷ μοῦνον διαιτωμένοισι ἄνευ ῥοφημάτων διὰ τόδε οὐκ ἐπιτήδειόν ἐστιν (293) αἰεὶ καὶ διὰ παντὸς χρέεσθαι τούτῳ, μάλιστα μὲν διὰ ξύσιν ἢ τρηχησμὸν τοῦ ἐντέρου. ἀκόπρῳ γὰρ ἐόντι μᾶλλον ἐμποιέοι ἄν, καὶ ταῦτα κενεαγγείης παρεούσης. ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτο ἄν. ἦν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχέειν, ὅσον μοῦνον γινώσκεσθαι. οὕτω γὰρ καὶ ἃ φιλέει βλάπτειν ἥκιστα ἂν βλάπτοι, καὶ ἃ δεῖται προσωφελέειν προσωφελοίη ἄν. ἐν κεφαλαίῳ δ' εἰρῆσθαι αἱ ἀπὸ ὀξέος ὀξύτητες πικροχόλοισι μᾶλλον ἢ μελαγχολικοῖσι ξυμφέρουσι. τὰ μὲν γὰρ πικρὰ διαλύεται καὶ ἐκφλεγματοῦται,

ſurſum recurrere facit, praeter haec autem alias debilitat et extrema refrigerat. Atque haec ſola eſt ex aceto mulſo noxa ſcriptione certe digna. Exiguum autem ejusmodi potum nocte quidem et jejuno ante ſorbitionem propinare convenit, quanquam et longo poſt ſorbitionem intervallo nihil vetat bibere. Qui vero ſolo potu circa ſorbitiones in victus ratione utuntur, iis hoc uti ſemper et perpetuo ob id non convenit et maxime quidem propter inteſtini abraſionem vel exaſperationem. Nam cum ſtercore ſit vacuum, citius haec fient, idque accedente vaſorum exinanitione. Poſtea autem et aqua mulſa vires ſuas amiſerit. Si tamen multum hujus potus uſum ad totum morbum conferre poſſe ſperaveris, paulum aceti ut tantum agnoſci poſſit affundere oportet. Ita enim et quae laedere ſolet minime laedet et proderit quibus prodeſſe opus eſt. Ut autem in ſumma dicatur, aceti aciditas biliosis naturis magis confert quam melancholicis. Amara enim diſſolvuntur et in pituitam transeunt, dum ab ipſo in ſublime attolluntur. Nigra vero fermentantur, in

Ed. Chart. XI. [101.] Foës. I. 394. Ed. Lind. II. (293. 294.)
μετεωριζόμενα ὑπ' αὐτέου. τὰ δὲ μέλανα ζυμοῦται καὶ μετεωρίζεται καὶ πολλαπλασιοῦται. ἀναγωγὸν γὰρ μελάνων ὄξος. γυναιξὶ δὲ τὸ ἐπίπαν πολεμιώτατον ἢ ἀνδράσιν ὄξος. ὑστεραλγὲς γάρ ἐστί. ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν ἔχω ἔργον ὅ τι προσθᾶ. οὔτε γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι περιπλευμονικοῖσιν, οὔτε πτυέλου ἀναγωγὸν, ἀλλ' ἧσσον τῶν ἄλλων, εἴ τις διὰ παντὸς ὕδατι ποτῷ χρέοιτο. μεσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου ὕδωρ ἐπιῤῥοφεόμενον ὀλίγον πτυέλου ἀναγωγόν ἐστι διὰ τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν. πλημμυρίδα γάρ τινα ἐμποιέει. ἄλλως δὲ οὔτε δίψαν παύει, ἀλλ' ἐπιπικραίνει. χολῶδες γὰρ φύσει χολώδει καὶ ὑποχονδρίῳ κακὸν, καὶ κάκιστον ἑωυτοῦ καὶ χολωδέστατον καὶ φιλαδυναμώτατον, ὅταν ἐς κενεότητα ἐσέλθῃ, καὶ σπληνὸς δὲ αὐξη(294)τικὸν καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένον ᾖ· καὶ ἐγκλυδαστικόν τε καὶ ἐπιπολαστικὸν, βραδύπορόν τε γὰρ ἐστὶ διὰ τὸ ὑπόψυχρον καὶ ἄπεπτον εἶναι, καὶ οὔτε διαχωρητικὸν οὔτε διουρητικόν. προσβλάπτει δέ τι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι

sublime attolluntur, et multis paribus augentur. Acetum namque nigra sursum educit. Mulieribus autem quam viris acetum longe magis est adversum, nempe cum uterum dolore afficiat. Ad aquam autem praeter quam quod in morbis acutis bibitur, nullum quidem aliud munus habeo quod conferam. Neque enim tussim lenit in pulmonum inflammationibus, neque sputum educit, imo caeteris minus, si quis perpetuo aquae potione utatur. Verum si inter acetum mulsum et aquam mulsam exigua aqua sorbeatur, sputum educit propter potuum qualitatis transmutationem. Quandam enim intus inundationem facit. Alioqui neque sitim sedat, sed irritat, siquidem biliosae naturae biliosa est et praecordiis mala, se ipsamque malitia superat biliosissimaque est viresque maxime labefactat, ubi in vacuitatem venerit. Lienem etiam et hepar ubi succensum fuerit auget, intus fluctuat et innatat. Nempe quod frigida sit et non cocta, tarde permeat, et neque dejectiones neque urinas movet. Nonnihil etiam insuper ob id laedit, quod natura stercoris expers

Ed. Chart. XI. [101. 104.] Foëſ. I. 394. 395. Ed. Lind. II. (294.)
φύσει. ἢν δὲ δὴ καὶ ποδῶν ψυχρῶν ποτὲ ἐόντων ποθῇ, πάντα ταῦτα πολλαπλασίως βλάπτει ἐς ὅ τι ἂν αὐτέων ὁρμήσῃ. [104] ὑποπτεύσαντι μέντοι ἐν ταύτῃσι τῇσι νούσοισι ἢ καρηβαρίην ἰσχυρὴν ἢ φρενῶν ἄψιν, παντάπασιν οἴνου ἀποσχετέον. ὕδατι δὲ ἐν τῷ τοιῷδε χρηστέον ἢ ὑδαρέα καὶ λευκὸν παντελῶς δοτέον οἶνον καὶ ἄοσμον παντάπασι καὶ μετὰ τὴν πόσιν αὐτοῦ ὕδωρ μεταποτέον ὀλίγον. οὕτω γὰρ ἂν ἧσσον τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο τῆς κεφαλῆς καὶ γνώμης. ἐν οἷσι δὲ μάλιστα αὐτῶν ὕδατι ποτῷ χρηστέον καὶ ὁκότε πολλῷ κάρτα καὶ ὅκου μετρίῳ καὶ ὅκου ψυχρῷ καὶ ὅκου θερμῷ, τὰ μέν που πρόσθεν εἰρέαται, τὰ δὲ ἐν αὐτέοισι τοῖσι καιροῖσι ῥηθήσεται. || περὶ δὲ τῶν ἄλλων ποτῶν οἷον τὸ κρίθινον, καὶ τὰ ἀπὸ χλοιῆς ποιεύμενα καὶ τὰ ἀπὸ σταφίδος καὶ στεμφύλων καὶ πυρῶν καὶ κνίκου καὶ μύρτων καὶ ῥοιῆς καὶ τῶν ἄλλων, ὅτε οὖν ἄν τινος αὐτέων καιρὸς ᾖ χρέεσθαι, γεγράψεται παρ' αὐτῷ τῷ νουσήματι, ὅκως τε καὶ τἆλλα τῶν συνθέτων φαρμάκων. λουτρὸν δὲ συχνοῖσι τῶν νουσημάτων ἀρήγοι ἂν χρεομένοισιν, ἐς τὰ μὲν ξυνε-

fit. Quod ſi pedibus etiam dum frigentibus aliquando ebibatur, multo majores has noxas faciet ad quamcunque tandem inclinaverit. In ejusmodi tamen morbis, ubi vehementem capitis gravitatem vel mentis laeſionem afferre ſuſpicatus fueris, vino omnino eſt abſtinendum, tuncque aqua utendum, aut vinum aquoſum et album et penitus inodorum prorſus dandum et poſt illius potionem aquae exiguum ſuperbibendum. Hac enim ratione vini robur caput mentemque minus feriet. In quibus autem maxime aquae potione utendum, et quando liberaliter et quando moderate et quando frigida et quando calida, partim quidem antea dictum eſt, partim etiam ſuo dicetur tempore. At de reliquis potibus qualis eſt hordeaceus et qui ex virente herba et uva paſſa et vinaceis et tritico et cnico et myrti baccis et malo punico atque ex aliis parantur, tum quando horum aliquo uti tempeſtivum fuerit, ſcribetur in ipſo morbo non ſecus ac de aliis etiam compoſitis medicamentis. Balneum vero in plerisque morbis ad uſum contu-

Ed. Chart. XI. [104. 107.] Foës. I. 395. Ed. Lind. II. (294. 295.)
χέως, ἐς τὰ δ' οὔ. ἔστι δὲ ὅτε ἧσσον χρηστέον (295) διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων. ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα καὶ οἱ θεραπεύοντες ὡς δεῖ. εἰ δὲ μὴ παγκάλως λούοιτο, βλάπτοιτ' ἂν οὐ σμικρά· καὶ γὰρ σκέπης ἀκάπνου δεῖ, καὶ ὕδατος δαψιλέος καὶ τοῦ λουτροῦ συχνοῦ καὶ μὴ λίην λάβρου, ἤν γε μὴ οὕτω δέοι, καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι, ἢν δὲ σμήχηται, θερμῷ χρέεσθαι αὐτέῳ καὶ πολλαπλασίῳ ἢ ὡς νομίζεται σμήγματι, καὶ προσκαταχεῖσθαι μὴ ὀλίγῳ, καὶ ταχέως μετακαταχεῖσθαι. [107] δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς τὴν πίελον, καὶ ἐς εὐέμβατον καὶ ἐς εὐέκβατον. εἶναι δὲ καὶ τὸν λουόμενον κόσμιον καὶ σιγηλόν, καὶ μηδὲν αὐτὸν προσεξεργάζεσθαι, ἀλλ' ἄλλους καὶ καταχέειν καὶ σμήχειν, καὶ μετακέρασμα πολλὸν ἡτοιμάσθαι καὶ τὰς ἐπανιλήσιας ταχείας ποιέεσθαι, καὶ σπόγγοις χρέεσθαι ἀντὶ στλεγγίδος, καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα. κεφαλὴν μέντοι ἀνεξηράνθαι χρὴ ὡς οἷόν τε μάλιστα ὑπὸ σπόγγου ἐκμασσομένην, καὶ μὴ διαψύχεσθαι τὰ ἄκρεα μήτε τὴν κεφα-

lerit partim quidem assidue, partim vero minime. Interdumque eo minus utendum, cum ad id homines sint imparati. In paucis enim domibus quae sunt ad agendum necessaria aut accommodata praeparata reperiuntur, neque ministri quales decet. At nisi quis perbelle lavetur, non mediocrem incurret noxam. Nam et tecto fumo carente opus est et aqua liberali et frequenti balneo, sed non admodum large affuso, nisi res ita postularit. Et detersione quidem potius minime utendum. Quod si detersione opus sit, calido ipso et multo copiosiore quam fieri soleat detersorio medicamento utendum, et non pauca aqua affundenda et celeriter diffundenda. Via ad solium sit brevis et ad facilem tum ingressum tum exitum. Qui lavatur moderate se componat et taceat nihilque ipse faciat, sed alios perfundere et detergere permittat. Multa etiam medii temperamenti mixtio paranda, et celeres fieri perfusiones debent spongiisque strigilis loco utendum, neque valde siccum corpus inungendum. Caput tamen spongia detersum, quoad ejus maxime fieri poterit resiccari oportet, neque extremae corporis par-

Ed. Chart. XI. [107. 111.] Foes. I. 395. Ed. Lind. II. (295. 296.)

λὴν μήτε τὸ ἄλλο σῶμα, καὶ μήτε νεορρόφητον μήτε νεόποτον λούεσθαι, μηδὲ ῥοφεῖν μηδὲ πίνειν ταχὺ μετὰ τὸ λουτρόν. μέγα μέντοι μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων ᾖ φιλόλουτρος ἄγαν καὶ εἰθισμένος λούεσθαι. καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοῖδε καὶ (296) ὠφελέονται λουσάμενοι καὶ βλάπτονται μὴ λουσάμενοι. ἁρμόζει δὲ ἐν περιπλευμονίῃσι μᾶλλον ἢ ἐν καύσοισι τοὐπίπαν. καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὴν καὶ στήθεα καὶ μετάφρενον παρηγορικόν ἐστι τὸ λουτρὸν, καὶ πτυέλου πεπαντικὸν καὶ ἀνάγωγον, καὶ εὔπνοον καὶ ἄκοπον. μαλθακτικὸν γὰρ καὶ ἄρθρων καὶ τοῦ ἐπιπολαίου δέρματος, καὶ οὐρητικὸν δὲ, καὶ καρηβαρίην λύει, καὶ ῥῖνας ὑγραίνει. ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστιν, ὧν πάντων δεῖ. ἢν μέντοι τῆς παρασκευῆς ἔνδειά τις ᾖ ἑνὸς ἢ πλειόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον βλάπτειν. ἓν γὰρ ἕκαστον αὐτέων μεγάλην φέρει τὴν βλάβην, μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν ὡς δεῖ. [111] ἥκιστα δὲ λούειν καιρὸς οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν. ἀτὰρ οὐδὲ οἷσιν ἑστήκει μᾶλλον τοῦ καιρο-

tes neque caput neque reliquum corpus refrigerari debet. Et neque poſt recentem ſorbitionem neque poſt potum lavandum neque ſtatim a balneo ſorbendum aut bibendum. Magni tamen referre exiſtimandum eſt, ſi aeger dum valebat balnei valde cupidus fuerit et lavari aſſuetus. Tales enim appetunt magis et loti utilitatem ſentiunt et laeduntur non loti. In totum autem pulmonum inflammationibus magis quam febribus ardentibus convenit. Nam lateris, pectoris et dorſi dolorem balneum mitigat, ſputum maturat, educit et facilem ſpirationem reddit et laſſitudines tollit, cum articulos et extimam cutim emolliat, urinas provocat, capitis gravitatem ſolvit et nares humectat. Atque hujusmodi bona balneo adſunt, quibus omnibus eſt opus. Sin vero apparatus penuria in uno vel pluribus deficiat, verendum eſt ne magis laedat quam conferat. Eorum namque ſingula non convenienter a miniſtris praeparata, magnam offenſionem afferunt. At quibus alvus eſt in morbis plus aequo humida,

Ed. Chart. XI. [111.] Foël. I. 395. 396. Ed. Lind. II. (296. 297.)

ροῦ καὶ μὴ προεληλύθη. ἀλλ' οὐδὲ τοὺς γεγυωμένους χρὴ λούειν, οὐδὲ δὴ τοὺς ἀσώδεας ἢ ἐμετικοὺς, οὐδὲ τοὺς ἐπανερευγμένους χολῶδες, οὐδὲ τοὺς ἐκ ῥινῶν αἱμορῥαγέοντας, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι. τοὺς δὲ καιροὺς οἶδας. ἢν δὲ ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν, ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μοῦνον. ἢν οὖν αἱ παρασκευαὶ ἔωσιν ἐπιτήδειοι καὶ ὁ κάμνων μέλλῃ εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης ἡμέρης. τοὺς δὲ φιλολουτρέοντας καὶ δὶς τῆς ἡμέρης εἰ λούοις, οὐδὲν ἁμάρτοις. χρέεσθαι δὲ λουτροῖσι τοῖσι ὕλῃσι πτισάνῃσι χρεομένοισι παραπουλὺ μᾶλλον ἐνδέχεται ἢ τοῖσι χυλῷ (297) μοῦνον χρεομένοισι. ἐνδέχεται δὲ καὶ τούτοισι ἐνίοτε. ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μοῦνον χρεομένοισιν. ἔστι δὲ καὶ οἷσι τούτων ἐνδέχεται. || τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισιν οὕς τε μέλλει λουτρὸν ὠφελέειν ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης οὕς τε μή. οἷσι μὲν γὰρ προσδέεταί τινος κάρτα τουτέων, ὁκόσα λουτρὸν ἀγαθὰ ποιέει λούειν, καὶ ὅσα ἂν

iis balneum minime opportunum eſt, neque iis quibus plus juſto ſiſtitur, neque prius ſoluta eſt. Sed neque eos qui viribus ſunt exolutis lavare oportet, neque ſtomachi faſtidio laborantes neque vomiturientes neque bilioſum eructantes neque quibus ſanguis ex naribus profluit, niſi parcius quam occaſio poſtulet effluat. Occaſiones autem noſti. Sin vero parcius quam expediat profluxit, lavare convenit, ſive corpus univerſum in reliquis, ſive caput dumtaxat utilitatem ſentiat. Si igitur apparatus convenientes fuerint, aegerque non gravate balneum ferre poſſe videatur, quotidie lavare expedit. Lavandi autem cupidos ſi bis die laveris, nihil peccabis. Caeterum qui tota ptiſana utuntur, multo tutius aſſumere balnea poſſunt quam qui ſolo ſucco, quanquam et ii interdum uti poſſunt, minime vero qui ſolo potu, quibus tamen partim quoque licet. Ex his autem quae antea ſcripta ſunt conjiciendum eſt quibus in ſingulis victus rationis modis profuturum ſit balneum et quibus minime. Quibus namque eorum aliquid maxime deeſt quae balneum bonum

Ed. Chart. XI. [111. 117.] Foës. I. 396. Ed. Lind. II. (297.)

λουτρῷ ὠφελέηται. οἷσι δὲ τούτων μηδενὸς προσδεῖ καὶ πρόσεστιν αὐτέοισι τῶν σημείων, ἐφ' οἷσι λούεσθαι ξυμφέρει, οὐ δεῖ λούειν. [117] καῦσος δὲ γίνεται, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια ἐν θερινῇ ὥρῃ ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐς ἑωυτὰ, καὶ πυρετὸς πολὺς ἴσχει, τό τε σῶμα ὡς ὑπὸ ὀστεοκόπου ἐχόμενον κοπιᾷ καὶ ἀλγέει. γίνεται δὲ ὡς ἐπιτοπουλὺ καὶ ἐκ πορείης μακρῆς καὶ δίψεος μακροῦ, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται. γίνεται δὲ ἡ γλῶσσα τρηχείη καὶ ξηρὴ καὶ μέλαινα κάρτα, καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγέει, τά τε ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίνεται, καὶ δίψαι σφοδραὶ ἔνεισι καὶ ἀγρυπνίη, ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν. τῷ τοιῷδε δὲ δίδου πίνειν ὕδωρ τε καὶ μελίκρητον ἐφθὸν ὑδαρὲς ὁκόσον ἐθέλει. κὴν πικρὸν τὸ στόμα γίνηται, ἐμέειν ξυμφέρει, καὶ τὴν κοιλίην ὑποκλύσαι. ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, γάλα ὄνου ἑψήσας κάθαιρε. ἅλμυρὸν δὲ μηδὲν μηδὲ δριμὺ προσφέρειν, οὐ γὰρ ὑποίσει. ῥοφήματα δὲ ἕως ἂν ἔξω τῶν κρισίμων γένηται μὴ δίδου. κὴν αἷμα ἐκ τῶν ῥινῶν

reddere et juvare poſſunt, eos lavare minime expedit. Quos autem nihil horum deficit et quibus praeſentia ſunt ſigna in quibus lavari conducit, hos lavare oportet. Fit autem febris ardens cum reſiccatae venulae tempore aeſtivo acres et bilioſos tenues humores ad ſe attraxerint, et febris multa detinet, corpusque oſſaria laſſitudine vexatum laborat ac dolet. Fit quoque magna ex parte ex longo itinere et longa ſiti, ubi areſactae venulae acres calidasque fluxiones ad ſe attraxerint. Fit etiam lingua aſpera et ſicca valdeque nigra, et ob ventris morſum dolor eſt, alvi egeſtiones tum valde liquidae tum pallidae fiunt, ſitis adeſt vehemens et vigiliae interdumque mentis alienationes. Huic aquae et mulſae coctae et aquoſae quantum volet potui exhibeto, et ſi os amarum fuerit, vomere conducit et alvum ſubluere. Quod ſi ad haec non ſolvatur, lacte aſinino cocto purgato. Salſum autem nihil neque acre exhibeto, neque enim feret aeger. Sorbitionem vero niſi judicationis dies exceſſerit, non dabis. Et ſi ex naribus ſanguis profluxerit, ſolvitur

Ed. Chart. XI. [117. 123.] Foës. I. 396. Ed. Lind. II. (297. 298.)
ῥυῇ, λύεται τὸ πάθος. κἢν ἱδρῶτες ἐπιγένωνται κριτικοὶ (298) γνήσιοι μετ᾽ οὔρων λευκῶν καὶ παχέων καὶ λείων ὑφισταμένων [123] κἢν ἀπόστημά που γένηται. ἢν δ᾽ ἄνευ τούτων λυθῇ, ὑποστροφὴ πάλιν ἔσται τῆς ἀῤῥωστίης ἢ ἰσχίων ἢ σκελέων ἄλγημα ξυμβήσεται, καὶ πτύσεται παχέα ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι. καύσου γένος ἄλλο. ἡ κοιλίη ὑπάγουσα δίψης ἐστὶ μεστὴ, γλῶσσα τρηχείη, ξηρὴ, ἁλυκώδης, οὔρων ἀπόληψις, ἀγρυπνίη, ἀκρωτήρια ἐψυγμένα. τῷ τοιούτῳ ἢν μὴ αἷμα ἐκ ῥινῶν ῥυῇ, ἢ ἀπόστημα περὶ τὸν τράχηλον γένηται ἢ σκελέων ἄλγημα καὶ πτύσματα παχέα πτύσῃ. ταῦτα δὲ ξυστάσης τῆς κοιλίης γίνεται ἢ ἰσχίου ὀδύνη ἢ αἰδοίου πελίωμα οὐ κρίνεται, καὶ ὄρχις ἐνταθεὶς κριτικὸν, ῥοφήματα ἐπισπαστικὰ δίδου. τὰ δ᾽ ὀξέα πάθεα φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νόσημα καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ καὶ ῥώμη παρῇ αὐτέοισιν. ἢν μὲν οὖν σύναγχος ᾖ καὶ ἐκλίκτοισιν ἀνακάθαιρε, εἴτ᾽ ἄλλό τι τῶν πλευριτικῶν. ἢν δὲ ἀσθενέστεροι φαίνωνται, ἢν καὶ πλείω τοῦ αἵματος ἀφέλῃς, κλυσμῷ κατὰ τὴν κοιλίην χρέεσθαι

affectio, atque ſi ſudores judicatorii legitimi obvenerint, cum urinis albis et craſſiſtet levibus ſedimentis, et ſi abſceſſus aliquis fiat. Sin vero citra haec ſolvatur, revertetur morbus vel coxae vel crurum dolor continget, et ſi evaſurus ſit, craſſa expuet. Febris ardentis aliud genus eſt, in quo alvus ſubit, ſitis eſt intenſa, lingua aſpera, ſicca, ſalſa, urinae intercipiuntur, vigiliae torquent et refrigerantur extrema. Huic judicatio minime continget, niſi ſanguis ex naribus profluxerit, aut abſceſſus circa collum aut crurum dolor oboriatur et ſputa craſſa expuat, quae alvo ſuppreſſa contingunt, aut coxae dolor aut pudendi livor obveniat. Teſticuli quoque contenſio judicationis ſignificationem facit. Sorbitiones attractorias exhibeto. At in morbis acutis ſanguinem detrahes, ſi vehemens fuerit morbus et qui aegrotant aetate florenti fuerint et virium robore valuerint. Si igitur angina aut aliquis alius lateris morbus aegrum divexarit, medicamentis quae delinguntur repurgato. Sin vero detracto copioſo ſanguine aeger debilior videatur, infu-

Ed. Chart. XI. [123. 131.] Foës. I. 396. Ed. Lind. II. (298. 299.) διὰ τρίτης ἡμέρης, ἕως ἂν ἐν ἀσφαλείῃ γένοιτο ὁ νοσέων καὶ λιμοῦ χρήζοι. φλεγμαίνοντα ὑποχόνδρια μὴ πνευμάτων ἀπολήψει φρενῶν ἐντάσιες, ἢ πνευμάτων προστάσιες ὀρθοπνοίης ξηρῆς, οἷσι μὴ πῦον ὕπεισιν, ἀλλὰ ὑπὸ πνευμάτων ἀπολήψιος τὰ παθήματα ταῦτα ὑπογίνεται. μάλιστα δὲ ἥπατος περιωδυνίαι καὶ σπληνὸς βάρεα καὶ ἄλλαι φλεγμασίαι τε καὶ ὑπὲρ φρενῶν περιω(299)δυνίαι τε καὶ ξυστροφαὶ νοσημάτων οὐ δύνανται λύεσθαι ἤν τις πρῶτον ἐπιχειρέῃ φαρμακεύειν. ἀλλὰ φλεβοτομίη τῶν τοιῶνδε ἡγεμονικόν ἐστιν. ἔπειτα δὲ ἐπὶ κλυσμῶν, ἢν μὴ μέγα καὶ ἰσχυρὸν τὸ νόσημα ᾖ. εἰ δὲ μή, καὶ ὕστερον φαρμακείης δεῖ. δέεται δὲ ἀσφαλείης καὶ μετριότητος μετὰ φλεβοτομίην φαρμακείη. [131] ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων εὐθέως ἐπιχειρέουσι λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιρέουσιν. οὐ γὰρ ἐνδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ἀντέχοντα τῷ νουσήματι καὶ ὑγιεινὰ συντήκουσιν. ἀσθενέος δὲ τοῦ σώματος γενομένου τὸ νόσημα ἐπικρατέει, ὁκό-

ſum alvi per clyſterem tertio quoque die exhibebis, donec in tuto aeger fuerit et fame opus habeat. Praecordia in tumorem ſublata non ex ſpirituum interceptione, ſepti transverſi contenſiones, protenſae ſpirationes, cum erectae cervicis ſpiratione, ſicca quibus pus minime ſubeſt, ſed quibus ex ſpirituum interceptione iſta contingunt. Potiſſimum vero jecoris vehementiſſimi dolores et lienis gravitates, atque aliae inflammationes et graviſſimi ſupra transverſum dolores et morborum collectiones ſolvi nequeunt, ſi quis eas primum medicamento purgante aggreſſus fuerit. Verum in his venae ſectio praeferenda eſt. Deinde ad inſuſa per alvum veniendum, niſi magnus et vehemens morbus fuerit, alioqui etiam poſtea medicamento purgante utendum. Quod et poſt venae ſectionem ſecuritate et moderatione indiget. Quicunque autem ſtatim per initia morborum inflammationes medicamento purgante ſolvere tentant, ii de contenta quidem atque inflammata parte nihil detrahunt, cum nihil cedat quae adhuc cruda eſt affectio, quae vero morbo reſiſtunt et ſana ſunt contabefaciunt. At debili reddito corpore

Ed. Chart. XI. [131.] Foës. I. 396. 397. Ed. Lind. II. (299. 300.)
ταν δὲ τὸ νόσημα ἐπικρατήσῃ τοῦ σώματος, || τὸ τοιόνδε ἀνιάτως ἔχει. τὸ δὲ ἄφωνον τινὰ ἐξαίφνης γενέσθαι φλεβῶν ἀπολήψιες λυπέουσιν, ἢν ὑγιαίνοντι τόδε ξυμβῇ ἄνευ προφάσιος ἢ ἄλλης αἰτίης ἰσχυρῆς. φλεβοτομέειν οὖν χρὴ τὸν βραχίονα τὸν δεξιὸν τὴν εἴσω φλέβα καὶ ἀφαιρέειν τοῦ αἵματος κατὰ τὴν ἕξιν καὶ τὴν ἡλικίην διαλογιζόμενον τὸ πλεῖον καὶ τὸ ἔλασσον. ξυμπίπτει δὲ τοῖσι πλείστοισιν αὐτέων τοιάδε· ἐρυθήματα προσώπου, ὀμμάτων στάσιες, χειρῶν διαστάσιες, ὀδόντων τρισμοί, σφυγμοὶ σιαγόνων, συναγωγὴ καὶ κατάψυξις ἀκρωτηρίων, πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας. ὁκόταν ἀλγήματα προσγένηται, μελαίνης χολῆς καὶ δριμέων ῥευμάτων ἐπιῤῥύσιες γίνονται. ἀλγέει δὲ τὰ ἐντὸς δακνόμενος. δηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες ἐντείνονταί τε καὶ φλεγμαίνουσαι ἐπι(300)σπῶνται τὰ ἐπιῤῥέοντα, ὅθεν διαφθαρέντος τοῦ αἵματος καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, καταψύξιές τε γίνονται ὑπὸ τῆς στάσιος καὶ σκοτώσιες καὶ ἀφωνίη καὶ καρηβαρίη καὶ σπασμοί, ἢν ἤδη ἐπὶ τὴν

morbus ſuperior evadit, qui ubi corpus ſuperarit, curationem non admittit. Cum quis repente voce defecerit, venarum interceptiones affligunt, ubi id bene valenti citra manifeſtam occaſionem aut validam aliam cauſam contigerit. Venam igitur incidere oportet brachii dextri internam et ſanguinem detrahere, habita ſecundum habitum et aetatem pluris aut minoris ratione. Horum autem quamplurimis iſta accedunt, faciei rubores, oculorum immobilitates et manuum diſtentiones, dentium ſtridores, pulſationes, maxillarum adductio, extremorum refrigeratio et ſpirituum in venis interceptiones. Cum dolores acceſſerint, bilis atrae acriumque humorum affluxiones fiunt. Demorſae autem partes internae dolent, demorſaeque et admodum arefactae venae tum intenduntur tum inflammatione tentatae ea quae affluunt attrahunt. Ex quo corrupto ſanguine et ſpiritibus vias quae in ipſo ſecundum naturam habent pervadere nequeuntibus perfrigerationes fiunt ob ſtabilitatem, vertigines, vocis defectio, capitis gravitas et convulſiones, ſi jam

Ed. Chart. XI. [131. 136.] Foës. I. 397. Ed. Lind. II. (300.)
καρδίην ἢ τὸ ἧπαρ ἢ ἐπὶ τὴν φλέβα διέλθῃ, ἔνθεν ἐπίληπτοι γίνονται ἢ παραπλῆγες, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ ῥεύματα καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι καταξηρανθῇ. ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντας φλεβοτομέειν ἐν ἀρχῇσιν εὐθέως μετεώρων ἐόντων πάντων τῶν λυπεόντων πνευμάτων καὶ ῥευμάτων. εὐβοηθητότερα γάρ ἐστι καὶ ἀναλαμβάνοντα καὶ τὰς κρίσιας ἐπιθεωροῦντα φαρμακεύειν, ἢν μὴ κουφίζηται ἄνω. τὴν δὲ κάτω κοιλίην ἢν μὴ ὑποχωρέῃ κλυσμῷ, ὄνου γάλα ἑφθὸν δίδου καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτυλῶν. ἢν δὲ ῥώμη αὐτὸν περιέχῃ, πλεῖον ἑξκαίδεκα. [136] κύναγχος δὲ γίνεται, ὁκόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πουλὺ καὶ κολλῶδες ὥρην χειμερινὴν ἢ ἐαρινὴν ἐς τὰς σφαγίτιδας φλέβας ἐπιῤῥυῇ, καὶ τὸ ῥεῦμα πλεῖον διὰ τὴν εὐρύτητα ἐπισπάσωνται. ὁκόταν δὲ ψυχρόν τε ἐὸν καὶ κολλῶδες ἐμφράξῃ, τοῦ τε πνεύματος τὰς διεξόδους καὶ τοῦ αἵματος ἀποφράσσον, πήγνυσι τὰ ξυνέγγυς τοῦ αἵματος καὶ ἀκίνητον καὶ στάσιμον ποιέει, φύσει ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν. διὰ τοῦτο πνίγονται τῆς γλώττης ἀπο-

ad cor aut hepar aut ad venam pervenerint. Hinc morbi comitiales aut partium resolutiones fiunt, si in loca quae eas partes ambiunt fluxiones inciderint, et spiritibus exire nequeuntibus exaruerint. His sane prius adhibitis fomentis statim per initia venam secare convenit, cum adhuc sublati sunt qui affligunt tum spiritus tum humores. Facilius enim remedia adhibentur. Et recreatis viribus et ad judicationes adhibita consideratione, si non levetur ventrem superiorem medicamento purgare oportet, ad inferiorem vero alvum, nisi per infusum subducatur, lac asininum coctum exhibeto nec minus quam duodecim heminas bibat, et si virium robur adfuerit plus quam sedecim. Angina fit cum sub hiemem aut vernum tempus multa et lenta fluxio ex capite ad jugulares venas defluxerit, eaeque propter amplitudinem, copiosiorem fluxionem attraxerint. Frigida autem et viscida existens obstruit, et spiritus sanguinisque vias occludens proximum quemque condensat eumque immobilem et stabilem reddit, cum natura sit frigidus et obstruere natus. Ob id suffocantur, lingua livente

Ed. Chart. XI. [136. 137.] Foël. I. 397. Ed. Lind. II. (300. 301.) πελιουμένης καὶ στρογγυλουμένης καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας τὰς ὑπὸ τὴν γλῶσσαν. τῆς γὰρ (301) ὑποτεμνομένης σταφυλῆς οἱ δὲ κιονίδα καλοῦσιν, ἑκατέρωθεν φλὲψ παχεῖα. ὁκόταν γοῦν πλήρεις αὗται ἐοῦσαι ἐς τὴν γλῶσσαν ἐναποστηρίζονται ἀραιὴν ἐοῦσαν καὶ σπογγοειδέα, διὰ τὴν ξηρασίην. ἡ δ' ὑπὸ βίης τὸ ἐκ τῶν φλεβῶν δεχομένη ὑγρὸν ἐκ πλατείης μὲν στρογγύλη γίνεται, ἐξ εὐχρόου δὲ πελιδνή, ἐκ μαλθακῆς δὲ σκληρὴ, ἐξ εὐκάμπτου δὲ ἄκαμπτος. ὥστε ταχέως ἀποπνίγεσθαι, ἢν μή τις ὀξέως βοηθῇ. φλεβοτομίην τε ποιεύμενος ἀπὸ βραχιόνων καὶ τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας ὑποτάμνων, καὶ φαρμακεύων τοῖσιν ἐκλικτοῖσι, καὶ ἀναγαργαρίζων θερμοῖσι, καὶ τὴν κεφαλὴν ὑποξυρῶν, καὶ κήρωμα κεφαλῇ καὶ τραχήλῳ περιτιθέναι, καὶ εἰρίοις περιελίσσειν, καὶ σπόγγοισι μαλθακοῖσι, καὶ ὕδατι θερμῷ ἐκπιεζεῦντα πυριῆν. πίνειν τε ὕδωρ καὶ μελίκρητον μὴ ψυχρά. χυλὸν δὲ προσφέρειν, ὁκόταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ. [137] ὁκόταν ἐν θερινῇ ἢ μετοπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταῤῥυῇ, καὶ νιτρώδες ἅτε ὑπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον. δάκνει δὲ τὸ τοιόνδε ἐὸν

et rotunda reddita ac reflexa, propter eas venas quae linguae ſubſunt. Secta namque uva quam quidam columellam appellant, utraque ex parte vena craſſa apparet. Plenae igitur ipſae exiſtentes in linguam quae propter ſiccitatem rara eſt et ſpongioſa, innixae ſunt. Ea vero prae violentia humorem ex venis recipiens ex lata rotunda efficitur, ex bene colorata livida, ex molli dura, ex bene flexibili flecti contumax. Ex quo cito ſuffocari contingit, niſi quis brevi ſuccurrat, venis in brachiis et ſub lingua ſectis et medicamentis ad delingendum exhibitis et calidis oris collutionibus. Capite etiam abraſo ceratum tum collo tum capiti apponi debet, et obvolutis lanis molli ſpongia ex aqua calida expreſſa fotus adhiberi. Aqua autem et mulſa minime frigida potui exhibeatur, et ptiſanae cremorem ſumat, ubi jam ex judicatione in tuto verſabitur. Cum aeſtate vel autumno ex capite calida et nitroſa fluxio defluxerit, utpote tempore acris et calida reddita, cum ejusmodi fuerit mordet,

Ed. Chart. XI. [137.] Foës. I. 397. 398. Ed. Lind. II. (301. 302.) καὶ ἕλκοῖ καὶ πνεύματος ἐμπίμπλησι καὶ ὀρθόπνοια παραγίνεται, καὶ ξηρασίη πολλὴ, || καὶ τὰ θεωρεύμενα ἰσχνὰ φαίνεται, καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται, καὶ δοκέῃ ὁ τέτανος ἐντετάσθαι, καὶ ἡ φωνὴ ἀπέρρωγε, καὶ τὸ πνεῦμα σμικρὸν καὶ ἡ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαία παραγίνεται. οἳ τοιοίδε τὴν ἀρτηρίαν ἕλκοῦνται, καὶ τὸν πνεύμονα πίμπλανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι. τοῖσι τοιουτέοισιν ἢν μὴ εἰς τὰ ἔξω μέρεα τοῦ τραχ(302)ήλου ἐκουσίη ἀποφέρηται, δεινοτέρη καὶ ἀφυκτοτέρη ἐστὶ διὰ τὴν ὥρην, ὅτι ἀπὸ θερμῶν καὶ δριμέων. ἢν πυρετὸς λάβῃ παλαιῆς κόπρου οὐχ ὑπεούσης, ἢ νεοβρῶτι ἐόντι, ἤν τε ξὺν ὀδύνῃ πλευροῦ ἤν τε μὴ, ἡσυχίην ἄγειν μέχρις οὗ καταβῇ τὰ σιτία πρῶτον ἐς τὴν κάτω κοιλίην. πόματι δὲ χρεέσθω ὀξυμέλιτι. ὁκόταν δὲ ἐς τὴν ὀσφῦν βάρος ἵκῃ, κάτω κλύσαι κλυσμῷ ἢ καθᾶραι φαρμάκῳ. ὁκόταν δὲ καθαρθῇ, διαιτᾶν ῥοφήματι πρῶτον καὶ πόματι μελικρήτῳ· ἔπειτα σιτίοισι καὶ ἰχθύσιν ἑφθοῖσι καὶ οἴνῳ ὑδαρεῖ, ἐς νύκτα ὀλίγῳ, ἡμέρῃ δὲ ὑδαρὲς μελίκρητον.

exulcerat et ſpiritu implet, erectae cervicis ſpiratio cum ſiccitate multa accedit, et quae in ore conſpiciuntur gracilia apparent, et cervicis tendones poſteriores intenduntur videnturque velut nervorum diſtentione corripi, vox eſt abrupta et ſpiratio parva et ſpiritus retractio crebra eſt et violenta. Iis arteria exulceratur, pulmo incenditur, neque externum aërem admittere queunt. Quibus niſi ſponte ad exteriores cervicis partes deferatur, gravior et inevitabilior fit affectio tum ob anni tempus tum quod a calidis et acribus fit humoribus. Si febris corripuerit, veteri ſtercore non ſubeunte vel recenti cibo accepto, ſive cum lateris dolore ſive non, is quieti permittendus dum primum ad inferiorem alvum cibi recrementa deſcenderint. Potu vero aceto mulſo utendum. At cum gravitas ad lumbos devenerit, inferiorem alvum infuſo ſubluere aut medicamento purgante uti oportet. Poſt purgationem primum ex ſorbitione victum inſtituere et aquae mulſae potum, deinde cibos et piſces coctos, et vinum aquoſum ad noctem exiguum, interdiu

Ed. Chart. XI. [137. 140.] Foës. I. 398. Ed. Lind. II. (302. 303.) ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν οὕτως, ἢ βαλάνῳ ἢ κλυσμῷ, εἰ δὲ μὴ, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίην, εἶθ' οὕτως κλυσμῷ ὑπαγαγεῖν. [140] ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἢν σοι δοκέῃ φαρμακεύειν ἐπιτηδείως ἔχειν, εἴσω τριῶν ἡμερῶν μὴ φαρμακεύειν, ἀλλ' ἢ τεταρταῖον. ὁκόταν δὲ φαρμακεύσῃς τοῖσι ῥοφήμασι χρεόμενος, διαφυλάσσων τοὺς παροξυσμοὺς τῶν πυρετῶν, ὅκως μηδέποτε προσοίσῃς ἐόντων μηδὲ μελλόντων ἔσεσθαι, ἀλλὰ ληγόντων ἢ παυσαμένων καὶ ὡς πορρωτάτω ἀπὸ τῆς ἀρχῆς. ποδῶν δὲ ψυχρῶν ἐόντων μήτε ποτὸν μήτε ῥόφημα μήτ' ἄλλο μηδὲν δίδου τοιόνδε, ἀλλὰ μέγιστον ἡγεῖο τοῦτ' εἶναι διαφυλάσσεσθαι, ἕως ἂν διάθερμοι σφόδρα γένωνται. (303) εἶθ' οὕτω τὸ ξυμφέρον πρόσφερε. ὡς γὰρ ἐπιτοπουλὺ σημεῖον ἐστὶ μέλλοντος παροξύνεσθαι τοῦ πυρετοῦ ψύξις ποδῶν. εἰ δ' ἐν τοιούτῳ καιρῷ προσοίσεις ἅπαντα, τὰ μέγιστα ἐξαμαρτήσεις. τὸ γὰρ νούσημα αὐξήσεις οὐ μικρῶς. ὁκόταν δὲ ὁ πυρετὸς λήγῃ, τοὐναντίον οἱ πόδες

vero mulſam aquoſam. Quod ſi flatus graveolentes fuerint, vel glans vel alvi infuſum proderit. Alioqui in aceti mulſi potu continere oportet, donec cibi ad inferiorem alvum deſcenderint, tuncque per infuſum alvum ſubducere. At ſi liquidam alvum habenti febris ardens oboriatur, ſi tibi medicamentum purgans idoneum videatur, id tribus primis diebus non exhibendum, ſed vel quarto. Poſt medicamenti purgantis exhibitionem ſorbitionibus uteris obſervatis febrium acceſſionibus, ut neque cum jam praeſentes ſunt, neque cum mox adfuturae ſunt, unquam exhibeantur, ſed cum vel ceſſant vel quieverunt et quam longiſſime a principio receſſerunt. Frigentibus autem adhuc pedibus, neque potum neque ſorbitionem neque aliud quippiam ejusmodi exhibebis. Verum maximi ponderis eſſe exiſtimato, ſi expectes dum valde incaluerint, tumque quod utile eſt exhibeas. Siquidem ut plurimum acceſſionis febrilis ſignum eſt pedum frigiditas. Quo tempore ſi quid exhibueris, maxime per omnia peccaveris. Morbum namque non parum auxeris. At ubi febris deſinit, pedes vice verſa reliquo cor-

Ed. Chart. XI. [140. 141.] Foës. I. 398. Ed. Lind. II. (303.)
θερμότεροι γίνονται τοῦ ἄλλου σώματος. αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας ἐξαπτόμενος ἐκ τοῦ θώρηκος, ἐς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα. συνδεδραμηκότος δὲ ἄλεος τοῖ θερμοῦ ἅπαντος ἄνω καὶ ἀναθυμιωμένου ἐς τὴν κεφαλήν, εἰκότως οἱ πόδες ψυχροὶ γίνονται, ἄσαρκες καὶ νευρώδεες φύσει ὑπάρχοντες. ἔτι δὲ πολὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων ψύχονται, συναθροιζομένου τοῦ θερμοῦ εἰς τὸν θώρηκα, καὶ πάλιν ἀνάλογον λυομένου τοῦ πυρετοῦ καὶ κατακερματιζομένου ἐς τοὺς πόδας καταβαίνει. κατὰ τόνδε οὖν τὸν χρόνον ἡ κεφαλὴ καὶ ὁ θώρηξ κατέψυκται αὐτέων. εἵνεκεν τουτέου προσαρτέον, ὅτι ὁκόταν οἱ πόδες ψυχροὶ ἔωσι, θερμὴν ἀνάγκη τὴν κοιλίην εἶναι καὶ πολλῆς ἄσης μεστὴν καὶ ὑποχόνδριον ἐκτεταμένον καὶ ῥιπτασμὸν τοῦ σώματος, διὰ τὴν ἔνδοθεν ταραχὴν, καὶ μετεωρισμὸν γνώμης, καὶ ἀλγήματα, καὶ ἕλκεται, καὶ ἐμέειν ἐθέλει, καὶ ἢν πονηρὰ ἐμέῃ, ὀδυνῆται. θέρμης δὲ καταβάσης ἐς τοὺς πόδας καὶ οὔρου διελθόντος, ἢν μὴ ἱδρώσῃ, πάντα λωφᾷ. κατὰ τόνδε οὖν τὸν καιρὸν δεῖ τὸ ῥόφημα διδόναι. τότε δὲ ὄλεθρος. (141) ὁκόσοισι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσιν πυρετοῖσιν

pore calidiores evadunt. Ubi enim pedes refrigerat, augetur et ex thorace accenſa flammam ad caput remittit. Toto autem calore confertim ſurſum concurrente et ad caput exhalante, non immerito pedes cum natura excarnes ſint et nervoſi, refrigerantur. Praeterea etiam a calidis locis multum diſtantes refrigerantur, ſeſe colligente ad thoracem calore. Rurſusque eadem ratione cum febris ſolvitur, et in minutas partes diſſipatur, ad pedes calor deſcendit. Quo tempore cum caput ipſorum et thorax refrigeratur, ea de cauſa cibus exhibendus. Cum namque frigidi pedes fuerint, ventrem calore et multo faſtidio redundare neceſſe eſt, praecordiaque intendi et corpus varie jactari propter internam turbationem, mentis abalienationem et dolores aeger vellicatur, vomere affectat et cum prava vomuerit dolet. At deſcendente calore ad pedes urinaque exeunte, quamvis minime ſudor erumpat, ſedantur omnia, eoque tempore ſorbitionem exhibere convenit, alioqui perniciosa eſt. Quibus per ſe-

Ed.Chart.XI. [141. 143.] Foës.I. 398. 399. Ed. Lind.II. (303. 304.)
ὑγρὴ, τουτέοισι διαφερόντως τοὺς (304) πόδας θερμαίνων καὶ περιστέλλων, κηρώμασι καὶ ταινιδίοισι περιελίσσων πρόσεχε, ὅκως μὴ ἔσονται ψυχρότεροι τοῦ λοιποῦ σώματος. ‖ θερμοῖσι δὲ οὖσι θέρμασμα μηδὲν πρόσφερε, ἀλλὰ παρατήρει ὅκως μὴ ψυχθήσονται. πόματι δὲ χρέεσθαι ὡς ἐλαχίστῳ ὕδατι ψυχρῷ ἢ μελικρήτῳ. ὁκόσοισι δὲ ἐν πυρετοῖσι κοιλίη ὑγρὴ καὶ γνώμη τεταραγμένη, καὶ οἱ πολλοὶ τῶν τοιουτέων τὰς κρονίδας ἀφαιρέουσι καὶ τὰς ῥῖνας σκάπτουσι καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον. αὐτοὶ δὲ ἀφ' ἑωυτῶν οὐδὲν λέγουσι κατηρτημένον. δοκέει οὖν μοι τὰ τοιάδε μελαγχολικὰ εἶναι. ὅσων τοιῶνδε ἐόντων, ἢν ἡ κοιλίη ὑγρὴ ᾖ καὶ συντήκῃ, δοκέῃ μοι τὰ ῥοφήματα ψυχρότερα καὶ παχύτερα προσφέρειν, καὶ τὰ πόματα σταλτικὰ καὶ οἰνωδέστερα ἢ στυπτικώτερα. ὁκόσοισι δὲ τῶν πυρετῶν δῖνοί τε ἀπ' ἀρχῆς καὶ σφυγμοὶ κεφαλῆς εἰσὶ καὶ οὖρα λεπτὰ, τουτέοισι προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνόμενον τὸν πυρετόν. οὐ θαυμάσαιμι δ' ἂν οὐδ' εἰ παραφρονήσειαν. [143] οἷσιν ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα ἢ καὶ παχέα, τοὺς τοιούσδε ὑποκαθαίρειν, ἢν καὶ τὰ ἄλλα ξυμφέρῃ. ὁκόσοισι δὲ ἐν ἀρχῇ

bres alvus perpetuo eſt liquida, ubi pedes eximie caleſeceris, ceratis contexeris faſciisque obvolveris, attendere animum oportet, ut ne ſint reliquo corpore frigidiores. Quod ſi caleant nihil calidi adhibendum, ſed videndum ut ne refrigerentur. Potus ſit quam minimus, aqua frigida aut mulſa. At quibus per febres alvus eſt liquida, et mens perturbata et ex his multi floccos vellunt, nares fodiunt et parum quidem ad interrogata reſpondent, per ſe vero nihil compoſitum dicunt, iis ſane talia melancholica eſſe arbitror. His ita ſe habentibus ſi alvus liquida fuerit et colliqueſcens, ſorbitiones frigidiores et craſſiores exhibendae mihi videntur, et potiones quae alvum ſiſtant vinoſiores potius quam adſtringentes. Quibus autem per febres ab initio vertigines et capitis pulſationes adſunt, et urina tenuis, in his expectandum ut ad indicationes febris ingraveſcat, neque mirandum ſi delirent. Quibus per initia urinae nebuloſae ſunt, aut etiam craſſae exiſtunt, hos ſi alia quoque conferant, purgare

Ed. Chart. XI. [143.] Foës. I. 399. Ed. Lind. II. (304. 305.)
τὰ οὖρα λεπτὰ, μὴ φαρμάκευε τοὺς τοιούτους, ἀλλ' ἢν δοκέῃ κλύσαι. τούτους ξυμφέρει οὕτως θεραπεύεσθαι τῷ σώματι ἡσυχίην ἄγοντα, ἀλείφοντά τε καὶ περιστέλλοντα ὁμαλῶς. ποτῷ δὲ χρέεσθαι μελικρήτῳ ὑδαρεῖ, καὶ ῥοφήματι χυλῷ πτισάνης ἐς ἑσπέρην. κοιλίην δὲ ὕπαγε κατ' ἀρχὰς κλυσμῷ. φάρμακα δὲ μὴ πρόσαγε τούτοισιν. ἢν γάρ τι κινήσῃς κατὰ κοιλίην, τὸ οὖρον οὐ πεπαί(305)νεται, ἀλλ' ἄνιδρός τε καὶ ἄκριτος ὁ πυρετὸς ἐπὶ πολὺν χρόνον ἔσται. τὰ δὲ ῥοφήματα ὁκόταν ἐγγὺς τῶν κρισίων ᾖ, μὴ δίδου, ἢν θορυβῆται, ἀλλ' ὅταν ἀνῇ καὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. φυλάσσεσθαι δὲ χρὴ καὶ πάντων τῶν πυρετῶν τὰς κρίσιας καὶ ἀφαιρέειν τὰ ῥοφήματα κατὰ τοῦτον τὸν καιρόν. μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοὶ οἵδε γίνεσθαι καὶ ἀποσκήμματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ περὶ ὦτα καὶ τράχηλον. ἢν δὲ μὴ ψυχρὰ, ἄλλας ἴσχει μεταβολάς. ῥέει δὲ καὶ αἷμα ἐκ ῥινῶν, καὶ αἱ κοιλίαι τοῖσι τοιουτέοισιν ἐκταράσσονται. ὁκόσοισι δὲ πυρετοὶ ἀσώδεές εἰσι καὶ ὑποχόνδρια συντείνουσι καὶ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτέῳ, καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλεί-

oportet. Quod ſi inter initia urinae tenues fuerint, eos minime purgabis, ſed ſi viſum fuerit, per infuſum alvum ſublues. Hos ita curare conducit, ut aeger corpore quieſcat, tum inungatur tum aequaliter contegatur. Potu utatur mulſa aquoſa et ptiſanae ſucco in ſorbitione ad veſperam. Alvum ab initio per infuſa ſubducito, medicamenta autem purgantia minime exhibeto. Si quid enim circa ventrem commoveris, urina non coquitur, ſed citra ſudorem et indicationem febris diutius perſeverabit. Sorbitiones autem ne dederis cum prope indicationes fuerint et perturbatio adfuerit, verum ubi remiſerit et res in melius proceſſerit. Omnium vero febrium indicationes obſervandae, atque eo tempore ſorbitiones detrahendae. Hae vero febres protrahi ſolent et abſceſſus habere circa aures et cervicem, ſi quidem infernae partes frigidae fuerint. Quod ſi minime frigidae fuerint, alias habent mutationes. Fluit namque ſanguis ex naribus et iis alvi conturbantur. At quos febres detinent cum anxietudine et praecordiorum contentione, ii

Ed. Chart. XI. [143. 146.] Foës. I. 399. Ed. Lind. II. (305. 306.)

στης ἐπιμελείας καὶ φυλακῆς δέονται. διάγειν δὲ τούτοισι προσφέροντας μηδὲν ἄλλο ἢ ὀξύμελι ὑδαρές. ῥόφημα δὲ μὴ πρόσφερε, ἕως ἂν λήξῃ καὶ τὸ οὖρον πεπανθῇ. [146] κατακλίνειν δὲ ἐς ζοφερὰ οἰκήματα καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι στρώμασι πλεῖστον χρόνον ἐπὶ τὰ αὐτὰ καρτερέοντα καὶ ὡς ἥκιστα ῥιπτάζειν. μάλιστα γὰρ τοῦτο τοὺς τοιούτους ὠφελέει. ἐπὶ δὲ τὸ ὑποχόνδριον λίνου σπέρμα ἐγχρίων ἐπιτίθει, φυλασσόμενος ὅκως μὴ φρίξῃ προστιθέμενος. ἔστω δὲ ἀκροχλίαρον ἑφθὸν ὕδατι καὶ ἐλαίῳ. τεκμαίρεσθαι δὲ ἐκ τῶν οὔρων τὸ μέλλον ἔσεσθαι. ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω, (306) ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα. ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνον τε σημαίνει καὶ ἀνάγκη τῷ νοσήματι μεταβάλλειν καὶ ἐπὶ τὰ χείρω καὶ ἐπὶ τὰ βελτίω τὴν ἀνωμαλίην. τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν, ἐᾶν μέχρις ἂν καταστῶσιν, ὁκόταν δὲ στῶσιν, ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων. εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων, διὸ προσεκτέον

jacentes ſtare loco neſciunt et extremis omnibus perfrigerantur, magnamque tum curam tum cuſtodiam requirunt. Hos ſic tranſigere oportet, ut nihil praeter acetum mulſum dilutum exhibeas neque ſorbitionem offeras, donec febris deſierit et urina concocta fuerit. Recumbere autem debent in domo obſcura, et ſtratis quam molliſſimis reclinati longo tempore eundem decubitum perferre, et quam minime incontinenter ſe jactare. Id enim eos praecipue juvat. Ad praecordia lini ſemen illitum impone ea obſervatione ut ne inhorreſcat is cui apponitur, ſitque exacte tepidum ex aqua et oleo coctum. Ex urinis vero quid futurum ſit conjiciendum. Craſſiores namque et pallidiores meliores, tenuiores et nigriores deteriores. Quod ſi mutationem habeant, temporis longinquitatem indicant, morbusque neceſſario tum ad pejus tum ad melius inaequalitatem commutat. Inconſtantes autem febres, donec conſiſtant, ſinere oportet, atque ubi conſtiterint victu, et conveniente curatione occurrendum, adhibita eorum quae ſecundum naturam ſunt ratione. Aegrotantium vero facies multae ſunt,

Ed. Chart. XI. [146. 149.] Foës. I. 399. 400. Ed. Lind. II. (306.) τῷ ἰωμένῳ, ὅκως μὴ διαλήσεταί τις τῶν προφασίων μήτε τῶν κατὰ λογισμὸν μήτε ὁκόσα ἐς ἀριθμὸν ἄρτιον ἢ περισσὸν δεῖ φανῆναι. [149] μάλιστα μὲν ὧν δεῖ περισσὸν ἀριθμὸν εὐλαβέεσθαι, ὡς αὗται αἱ ἡμέραι ἑτεροροπέας ποιέουσι τοὺς κάμνοντας. || φυλάσσεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέρην, ἐν ᾗ ἦρκται ἀσθενέειν ὁ κάμνων ἰδόντα τὴν ἀρχὴν ἐξ ὅτου καὶ ὅτε. ἡγέεται γὰρ τοῦτο πρῶτον εἰδῆσαι. ὁκόταν δὲ ἔρῃ αὐτὸν καὶ διασκέψῃ ταῦτα πάντα, πρῶτον μὲν κεφαλὴν ὅκως ἔχῃ, εἰ ἀνάλγητος καὶ μὴ βάρος ἔχῃ ἐν ἑωυτῇ· ἔπειτα ὑποχόνδρια καὶ τὰ πλευρὰ εἰ ἀνάλγητα. ὑποχόνδριον μὲν γὰρ, εἰ ἐπίπονον ἦν ἢ ἐπῃρμένον ἢ ἔχῃ τινὰ σκολιότητα ἢ κόρον, ἢ πλευροῦ ἀλγηδὼν ἐνῇ καὶ ἅμα τῷ ἀλγήματι ἢ βηχίον ἢ στρόφος ἢ πόνος κοιλίης. ὅταν δέ τι τούτων παρῇ, ἐν ὑποχονδρίῳ μὲν μάλιστα λύειν τὴν κοιλίην κλυσμοῖσι. πινέτω δὲ μελίκρητον θερμὸν ἀφεψημένον. καταμανθάνειν δὲ καὶ τοῖσιν ἐξαναστάσεσιν εἰ λυποθυμέει, καὶ εἰ τοῦ πνεύματος

ideoque medico advertendum eſt, ut ne eum manifeſta aliqua cauſa lateat, tum earum quae ratiocinatione conſiderantur, tum earum quas die pari aut impari apparere neceſſe eſt. Imprimis igitur dies impares verendi ſunt, nempe quod hi dies magnam aegrorum in hanc vel illam partem inclinationem efficiant. Obſervare itaque primum diem oportet quo aeger debilis eſſe et unde et quando initium morbi coepit, quod certe praecipuum cognitu exiſtimatur. Poſtquam autem ipſum interrogaveris, omniaque etiam in conſiderationem adhibueris, primum quidem caput quonam ſe habeat modo, num dolore vacet et nullam in ſe gravitatem ſentiat, deinde praecordia et latera num dolore careant. Circa praecordia ſiquidem ſpectandum num dolorem ſentiant, aut in tumorem attollantur vel obliquitatem vel ſatietatem habeant, vel lateris dolor aſſuerit, ſimulque cum dolore aut tuſſicula aut tormina aut ventris dolor affligant. Ubi namque horum quicquam in praecordiis adſuerit, praecipue alvum per infuſa ſolvere convenit. In potu vero aqua mulſa calida decocta utatur. Conſiderandum etiam ſi cum exſurgit animo linquatur aut facile ſpiri-

Ed. Chart. XI. [149. 150.] Foës. I. 400. Ed. Lind. II. (307.)
εὐ(307)φορίη αὐτὸν ἔχει, ἰδεῖν τε καὶ διαχώρησιν, μή τι μέλαν διεχώρησεν ἰσχυρῶς χρῶμα, καὶ εἰ καθαρόν, ὁκοῖα ὑγιαίνοντος ἂν εἴη διαχωρήματα, καὶ ὁ πυρετὸς ἐς τὴν τρίτην ἐπιπαροξυνόμενος. κατιδὼν δὲ εὖ μάλα τοὺς τοιούσδε ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους, πρὸς ταῦτα ἤδη καὶ τὰ ἄλλα συνορῇν, καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρῃ ὅμοιον ἔχῃ τι τῶν αὐτῶν τούτων, κινδυνώδης ὁ κάμνων γίνεται. τὰ δὲ σημεῖα, ἢν μὲν μέλαινα διαχώρησις, θάνατον σημαίνει, ἢν δὲ ὁμοίη τῷ ὑγιαίνοντι, ὁκόταν ἀνὰ πάσας τὰς ἡμέρας φαίνηται, σωτήριον, [150] ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ, ἐνῇ δὲ τοῦ πνεύματος εὐφορίη, διαναστὰς ἐπὶ τὸν θρόνον ἢ αὐτοῦ ἐν τῇ κλίνῃ, ἢν ἀψυχίη ἐνῇ. ταῦτα δὲ ὁκόταν προσῇ τῷ κάμνοντι ἢ τῇ καμνούσῃ καταρχὰς, παραφροσύνην οἷου ἐσομένην. προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν. ἢν γὰρ τρομεραὶ ἔωσιν, προσδέχου τῷ τοιῷδε ἀπόστασιν αἵματος ἐκ ῥινῶν ἐσομένην. ὁρῇν δὲ χρὴ καὶ τοὺς μυκτῆρας, ἢν ὁμοίως τὸ πνεῦμα δι' ἀμφοτέρων ἕλκηται, καὶ ἢν πολὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίνεσθαι σπασμός. ἢν δὲ σπασμὸς γένηται

tum trahit. Inſpicienda quoque alvi egeſtio num vehementer colore nigro tincta fuerit, vel pura, quales ſunt ſanorum dejectiones, vel etiam num febris tertio die ingraveſcat. Ubi autem hujusmodi tertianos circuitus in his morbis probe admodum inſpexeris, praeterea etiam alia conſideranda ſunt, et ſi quartus dies ſimiliter in his ipſis quodammodo ſe habeat, aeger in periculo verſatur. Quod vero ad ſigna attinet, nigra alvi dejectio mortem ſignificat, quae autem ſani egeſtioni ſimilis eſt, ſi per omnes dies appareat, ſalutaris. At ſi glande ſubdita alvus non ceſſerit et facilis ſpiratio adfuerit, ſi ubi ad deſidendum exſurrexerit, aut in ipſo lecto animo deficiat, haec ſi vel aegro vel aegrae inter initia affuerint, delirium affore exiſtima. Attendendum quoque ad manus, quae ſi tremulae fuerint, huic ſperandum eſt ſanguinem e naribus profluxurum. Nares quoque inſpiciendae num ex utrisque aequaliter ſpiritus ducatur, et ſi multus ex naribus feratur, convulſio fieri aſſolet. Quae ſi contingat, mors huic

Ed. Chart. XI. [150. 152.] Foës. I. 400. Ed. Lind. II. (307. 308.)
τῷ τοιῷδε, θάνατος προσδόκιμος, καὶ καλῶς ἔχει προλέγειν. εἰ δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχείη γένηται καὶ ἀψυχίαι ἐνέωσι, φιλέει τῷ τοιῷδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ. ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ καὶ τῇ ὑδατοποσίῃ καὶ μελικρήτου πόσει καὶ χυλοῖσι παραφύλασσε μηδὲν πιστεύων τῇ ἀνέσει τῶν πυρετῶν. ὅσοι δὲ τοιάδε ἔχουσι σημεῖα, ἐπικίνδυνοί εἰσι θνήσκειν. ὁκό(308)ταν δὲ ταῦτα συνειδῇς, οὕτω προλέγειν, ἤν σοι ἀρέσκῃ, θεωρήσας εὖ μάλα. [152] ὁκόταν δὲ πυρετοῖσι φοβερόν τι γένηται πεμπταίοισιν ἐοῦσι, ἡ κοιλίη τε ἐξαίφνης ὑγρὰ διαχωρήσῃ καὶ ἀψυχίη γένηται, ἢ ἀφωνίη ἐπιλάβῃ ἢ σπασμώδης γένηται ἢ λυγμώδης, ἐπὶ τούτοισι καὶ ἀσώδης φιλέει γενέσθαι, καὶ περὶ ὑποχόνδριον καὶ μέτωπον ἱδρῶτες καὶ αὐχένα ὄπισθεν τῆς κεφαλῆς. οἱ δὲ ταῦτα πάσχοντες θνήσκουσιν οὐκ εἰς μακρὸν πνευματωθέντες. ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ σκέλεα γίνεται φυματώδεα καὶ ἐγχρονιζόμενα, μὴ ἐκπεπαίνηται ἔτι ἐόντων ἐν πυρετοῖσι καὶ προσπέσῃ πνιγμὸς ἐν φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ φάρυγγα, καὶ μὴ σβεσθῇ,

expectanda eſt, eamque praedicere pulchrum fuerit. At ſi in febre hiberna lingua aſpera fuerit, et animi deliquia incidant, huic etſi febris remiſſio contingere conſuevit, eum tamen in perfecta inedia continere, et aquae ac mulſae portione ptiſanaeque cremore conſervare oportet, neque febris remiſſioni fidendum eſt, quod ejusmodi ſigna aegrum de vita periclitari teſtentur. Quae ubi cognoveris optimeque contemplatus fueris, ita ſi lubet praedicere poteris. Cum vero in febribus quinto die quid formidoloſum contigerit, aut alvus liquida repente dejecerit, aut animi deliquium inciderit, vel vocis defectio prehenderit vel convulſio vel ſingultus ex quibus anxietate aeger premi conſuevit, ſudoresque ſub naſo et circa frontem ac cervicem poſteriore capitis parte ſuboriri. Qui caſibus conflictantur hujusmodi, ſuſpirioſi non multo poſt moriuntur. Quibus autem per febres tubercula in cruribus oriuntur, tractuque temporis perſeverante etiam febre, non maturantur et circa fauces ſuffocatio incidit, nullo tumore in faucibus exiſtente, neque

Ed. Chart. XI. [152.] Foës. I. 400, 401. Ed. Lind. II. (308, 309.)
φιλέει τῷ τοιῷδε αἷμα ἐκ τῶν ῥινῶν ῥέειν. κ' ἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου· ἢν δὲ μὴ, μακρήν. ὁκόσῳ δ' ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον καὶ μῆκος. ἢν δὲ τἆλλα ῥήϊστα γένηται, προσδέχεσθαι τᾷ τοιῷδε ἐς πόδας ἀλγήματα. || ἢν δὲ ἅψηται τοῦ ποδὸς καὶ ἐπώδυνος γενόμενος παραμένῃ πυριφλεγὴς γενόμενος καὶ μὴ λυθῇ, κατὰ μικρὸν ἥξει, καὶ ἐς αὐχένα ἀλγήματα καὶ ἐς κληῖδα καὶ ἐς ὦμον καὶ ἐς στῆθος καὶ ἐς ἄρθρον, καὶ τοῦτο δεήσει φυματῶδες γενέσθαι. σβεννυμένων δὲ τούτων ἢν αἱ χεῖρες ἐφέλκωνται ἢ τρομεραὶ γένωνται, σπασμὸς τὸν τοιόνδε ἐπιλαμβάνει καὶ παραφροσύνη. ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρὺν, καὶ ἐρυθήματα ἴσχει, καὶ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνει, καὶ σκληρὴ φλεγ(309)μονὴ κατέχει, καὶ οἰδέει ἰσχυρῶς ὁ ὀφθαλμὸς, καὶ παραφροσύνη μέγα ἐπιδιδοῖ. αἱ δὲ νύκτες μᾶλλον σημαίνουσιν ἢ αἱ ἡμέραι τὰ περὶ τὴν παραφροσύνην. τὰ δὲ σημεῖα μάλιστα γίνεται πολλὰ ἐπὶ τὸν περισσὸν ἀριθμὸν ἢ ἐπὶ τὸν ἄρτιον. ὁκοτέρῳ δ' ἂν τούτων τῶν

tubercula concoquantur, ſed extincta fuerint, iis ſanguis ex naribus effluere conſuevit. Qui ſi multus quidem fluxerit, morbi ſolutionem portendit, ſin minus, longitudinem, quoque minus fluxerit, eo deteriorem et longiorem. Quod ſi reliqua facillima fuerint, huic dolores ad pedes expectandi ſunt, qui ſi pedem attigerint, diuturnoque dolore affecerint, et inflammatio circum oborta paulatim non levetur, ad cervicem dolores pervenient et ad jugulum, humerum, pectus et articulum, huncque tuberculoſum fieri neceſſe eſt. His vero extinctis ſi manus contrahuntur vel tremulae evadant, eum convulſio et deſipientia prehendit. Quin etiam in ſuperciliis puſtulas et rubores habet, et una ex palpebris juxta alteram repullulat, dura inflammatio detinet, oculus vehementer intumeſcit et delirium valde increſcit. At noctes magis quam dies delirii ſignificationem praebent. Multa autem ſigna maxime contingunt ad numerum imparem potius quam parem. Utrovis tamen numero contingant, lethales morbi ſuccedunt. Hos ſi quidem ab initio medicamentis purgare volueris, id ante quintum diem faciendum, ſi

Ed. Chart. XI. [152. 154.] Foës. I. 401. Ed. Lind. II. (309.)
ἀριθμῶν γίνηται, ὀλέθριοι ἐπιγίνονται. [154] τοὺς τοιούτους δὲ ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς πέμπτης ἢν βορβορύξῃ ἡ κοιλίη. εἰ δὲ μή, ἐᾶν ἀφαρμάκευτον εἶναι. ἢν δὲ διαβορβορύξῃ καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμμωνίῳ ὑποκάθαιρε μετρίως. τῇ δὲ ἄλλῃ θεραπείῃ ὡς ἐλάχιστα προσφέρειν πόματα καὶ βοφήματα, ἵνα βελτιόνως ἔχῃ, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην ἐπανέντες. ὁκόταν πυρέττοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη προσγένηται, οὐ φιλέει ἥκειν λύσις ταχείη, οὐδ' ἀπαλλαγὴ τοῦ νουσήματος γίνεσθαι, ἀλλὰ χρόνον τῷ τοιῷδε σημαίνει. ὁκόταν δὲ φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ, μακρότερον ξυμπίπτει. ὁκόταν δὲ πυρέσσοντι τεταρταίῳ ἡ γλῶσσα ἐκτεταραγμένα διαλέγηται καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέῃ ὑγρὰ, φιλέει παραληρεῖν ὃ τοιόσδε. ἀλλὰ χρὴ παραφυλάσσειν παρεπόμενον τοῖσιν ἀποβαίνουσι. θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων αἵματος ἀπόστασις ἐξαπίνης συντονίην καὶ πολλὴν φλεγμασίην κατὰ τὰς φλέβας δηλοῖ καὶ ἐς τὴν ὑστεραίαν λεπτῶν οὔρων ἐπιφάσιας, καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ καὶ τὸ σῶμα ἐκ γυμνασίων ᾖ εὐσαρκώσιος ἔχῃ, ᾖ μελαγχολικὸς, ᾖ ἐκ πόσιος

venter murmuraverit, alioqui a medicamentis abſtinendi. Quod ſi murmuraverit alvique egeſtiones bilioſae fuerint, ſcammonio exhibito moderate purgandum. Quod autem ad reliquam curationem attinet, quam parciſſimi potus et ſorbitiones, quo melius ſe res habeat, exhibendae, donec remiſſione facta decimumquartum exegerint diem. Febricitanti ſub decimumquartum diem ſi vox defecerit, huic neque cita morbi ſolutio neque liberatio venire aſſolet, ſed temporis longinquitas indicatur. Cum vero hoc die apparuerit, longior morbus incidit. Febricitanti ubi quarto die lingua perturbate loquitur, et alvus bilioſa liquida dejicit, is delirare aſſuevit. Sed ex eventis quid conſequatur obſervandum. In acutis morbis aeſtiva et autumnali tempeſtate repentina ſanguinis ſtillatio contentionem et multum circa venas fervorem ſignificat, et poſtero die urinas tenues futuras. Ac ſi aetate viguerit aeger fueritque corpore exercitato, bene carnoſo et melancholico, aut ex potatione manus tremulae

Ed. Chart. XI. [154. 157.] Foës. I. 401. Ed. Lind. II. (309. 310.)
χεῖρες τρομεραί, καλῶς (310) ἔχει παραφροσύνην προειπεῖν
ἢ σπασμόν. [157] κἢν μὲν ἐν ἀρτίῃσιν ἐπιγένηται, βέλτιον,
ἐν κρισίμῃσι δὲ ὀλέθριον, ἢν μὴ πολὺ ἅλις ἀποσυθὲν αἷμα
ἐξόδους ποιήσηται τῆς πλεονεξίης κατὰ ῥῖνας, ἢ κατὰ ἕδρην
ἢ ἐμπυήσεις ἢ μεταστάσεις ἢ ἀποστάσεις ἢ πόνους ἐν τῷ
ὑποχονδρίῳ ἢ ἐς ὄρχιας ἢ ἐς σκέλεα. λυθέντων δὲ τούτων
ἔξοδοι γίνονται, πτυσμοὶ, παχέων οὔρων, λείων, λευκῶν
ἔξοδοι, πυρετῷ λυγγώδει, ὀπὸν σιλφίου. ὀξύμελι δαῦκον τρί-
ψας πιεῖν δίδου, καὶ χαλβάνην ἐν μέλιτι, καὶ κύμινον ἐκ-
λικτικόν, καὶ χυλὸν πτισάνης ἐπὶ τουτέοισι ῥοφέειν. ἄφυκτος
δὲ ὁ τοιοῦτος, ἢν μὴ ἱδρῶτες κριτικοὶ καὶ ὕπνοι ὁμαλοὶ
ἐπιγένωνται, καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ ἢ ἐς
ἀπόστασιν στηρίξῃ. κόκκαλος καὶ σμύρνα ἐκλικτόν. πίνειν δὲ
τούτοισι διδόναι ὀξύμελι ὡς ἐλάχιστον· ἢν δὲ διψώδεες ἔωσι,
σφόδρα τοῦ κριθίνου ὕδατος. τὰ δὲ περιπλευμονικὰ καὶ πλευ-
ριτικὰ ὧδε χρὴ σκέπτεσθαι, ἢν ὀξύς τε ὁ πυρετὸς ᾖ, καὶ
τὰ ὀδυνήματα τοῦ ἑτέρου πλευροῦ ἢ ἀμφοτέρων, καὶ τοῦ

fuerint, delirium aut convulsionem recte praedixeris. Et si quidem paribus diebus accesserint, melius, judicatoriis vero diebus perniciosum, nisi multus irruens sanguis viam redundantiae per nares aperuerit, aut per sedem fecerit aut abscessus aut humorum transpositus aut praecordiorum dolores aut ad testes aut ad crura attulerit. Quibus concoctis viae sunt sputis et urinae excernuntur crassae, leves, albae. In febre singultuosa laseris succum, acetum mulsum, daucum tritum potui exhibeto et galbanum ex melle cum cumino delingendum, posteaque ptisanae cremore sorbendum dato. Neque is evadere potest, nisi judicatorii sudores et somni aequales accesserint, urinaeque crassae et acres percurrerint, aut ad abscessum morbus se converterit. Nux pinea cum myrrha in ecligmate detur. His vero acetum mulsum quam minimum potui exhibeatur, sed si admodum siticulosi fuerint, aqua hordei. Circa pulmonum et laterum inflammationes istud considerandum, num febris adsit acuta et dolores alterius lateris aut utriusque affligant, et num

Ed. Chart. XI. [157. 159.] Foës. I. 401. 402. Ed. Lind. II. (310. 311.) πνεύματος δὲ ἀναφερομένου ἢν πονέῃ καὶ βῆχες ἐνέωσι καὶ πτύσματα ἀνήει πυῤῥὰ ἢ πέλια, ἢ καὶ λεπτὰ καὶ ἀφρώδεα καὶ ἀνθηρὰ καὶ εἴ τι ἄλλο διάφορον ἔχοι παρὰ τὰ μεμαθηκότα, τούτοισιν οὕτω χρὴ διάγειν. [159] ἢν μὲν ὀδύνη ἄνω περαίνει πρὸς κληῖδα ἢ περὶ μαζὸν ἢ περὶ βραχίονα, τάμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴσω, ἐφ' ὁκότερον ἂν ᾖ τῶν μερέων καιὰ τόδε. ἀφαιρέειν δὲ κατὰ τὴν τοῦ || σώματος ἕξιν καὶ (311) ὥρην καὶ ἡλικίην καὶ χροιὴν πλεῖον καὶ θαρσέων. κὴν ὀξὺ τὸ ἄλγημα ᾖ, ἄγειν πρὸς λειποψυχίην· ἔπειτα ὑποκλύζειν μετὰ τοῦτο. ἢν δὲ ὑποκάτω τοῦ θώρηκος ᾖ τὸ ἄλγημα καὶ συντείνῃ λίην, τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε. μεσηγὺ δὲ τῆς καθάρσιος μηδὲν δίδου. μετὰ κάθαρσιν δὲ ὀξύμελι. φαρμακεύειν δὲ τεταρταῖον. τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλίζειν, καὶ ἢν μὴ κουφίζῃ, οὕτως ὑποκάθαιρε. φυλακὴ δὲ ἔστω ἕως ἀπυρέτου καὶ ἑβδόμης· ἔπειτα ἢν ἀσφαλὴς γένηται ἐὼν, οὕτω. χυλῷ ὀλίγῳ καὶ λεπτῷ τὸ πρῶτον σὺν μέλιτι μίσγων δίδου. ἢν δὲ ἀνάγηται

laboret dum ſpiritus ſurſum fertur, tuſſes adſint, et ſputa educantur ruſa aut livida, vel etiam tenuia et ſpumoſa et florida, atque ſi quid diſcrepet ab iis quae illis contingere conſueverunt. Iis haec inſtituenda curatio. Si quidem dolor ſurſum ad jugulum tendat vel ad mammam et brachium, internam brachii venam ſecare oportet, ea parte qua dolor affligit, et ſanguinem detrahere pro corporis habitu, anni tempore, aetate et colore, plusque et cum majore fiducia ſi dolor acutus fuerit, ad animi usque deliquium ducere, poſtea alvi infuſum per clyſterem exhibere. Quod ſi ſub thorace dolor valde urgeat, lateris morbo affecto alvum medicamento purgabis. At medio purgationis tempore nihil dandum, poſt purgationem autem acetum mulſum exhibendum. Quarto die medicamentum purgans propinato, tribusque primis diebus alvum per infuſum ſubluito, atque ſi ſic non levetur, aliquantulum purgato. Cuſtodia deinde opus eſt, dum aeger febris ſit expers et ad ſeptimum diem pervenerit. Deinde ſi in tuto verſari videatur, ſic primum tenuem modicumque ſuccum ex melle exhibeto.

Ed. Chart. XI. [159.161] Foës. I. 402. Ed. Lind. II. (311. 312.) ῥηϊδίως καὶ εὔπνοος ᾖ καὶ ἀνώδυνος τὰ πλευρά, κατὰ σμικρὸν παχυτέρῳ τε καὶ πλείονι καὶ δὶς τῆς ἡμέρης. [161] ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλάσσῃ, ἔλασσόν τε τὸ πόμα καὶ τὸ ῥόφημα ὀλίγον χυλὸν λεπτὸν καὶ ἅπαξ, καὶ ἐν ὁποτέρῃ ἂν ὥρῃ βέλτιον διάγει. γνώσῃ δὲ καὶ ἐκ τῶν οὔρων. δεῖ δὲ ῥόφημα προσφέρειν τοῖσιν ἐκ τῶν νουσημάτων μὴ πρότερον ἢ πέπονα τὰ οὖρα ἢ πτύσματα ἴδῃς γεγενημένα. ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ, ἀναγκαῖον διδόναι ἔλασσον καὶ λεπτότερον. οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν, οὐδὲ πέσσειν ὁμοίως, οὐδὲ τὰς κρίσιας ὑπομένειν. ἀλλ' ἐπειδὰν ξυντήξιες ὦμων γένωνται καὶ τὰ ἀντέχοντα ἀποβάλλῃ, ἀνθέξει οὐδέν. (312) πέπονα δέ ἐστι τὰ μὲν πτύελα, ὅκόταν γένηται ὅμοια τῷ πύῳ, τὰ δὲ οὖρα τὰς ὑποστάσιας ὑπερύθρους ἔχοντα ὁκοῖον ὄροβος. οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων καὶ χλιάσματα προστιθέναι καὶ κηρώματα. ἀλείφειν δὲ τὰ σκέλεα καὶ ὀσφῦν θερμῷ, καὶ λῖπος ἐγκαταλείφειν. ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν. ἀκμαζούσης δὲ τῆς περιπλευμονίης,

Quod ſi facile ſputum educatur, bene ſpiret et circa latera dolore careat, paulo craſſiorem et copioſiorem bisque die dato. Si vero non facile liberetur, minorem potionem et paucam ſorbitionem cremorem tenuem, et ſemel exhibeto, eo quo melius degit tempore, quod ex urinis deprehendes. Sorbitionem autem his in morbis non prius offerre oportet quam urinas et ſputa concocta videris. At ſi ex medicamento purgante frequenter dejecerit, minorem quidem et tenuiorem exhibere neceſſe eſt. Neque enim dormire ob vaſorum inanitionem, neque concoquere ſimiliter, neque indicationes ſuſtinere poterit. Verum ubi crudorum colliquationes extiterint, et quae renituntur rejecerit, nihil repugnabit. Concocta autem ſputa quidem ſunt, ubi puri ſimilia extiterint, urinae vero, ubi ſedimenta habuerint ervo ſimilia. At ad caeteros laterum dolores tepefactoria et ceromata apponere nihil prohibet, crura etiam et lumbos oleo calido inungere et pinguedine illinere. Ad praecordia autem lini ſemen cataplasmate ad mammas usque imponere. Pulmonis

Ed. Chart. XI. [161. 162.] Foës. I. 402. Ed. Lind. II. (312.)
ἀβοήθητον μὴ ἀνακαθαιρομένου καὶ πονηρὸν ἢν δίσπνους ᾖ καὶ τὰ οὖρα λεπτὰ καὶ δριμέα καὶ οἱ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίνονται. οἱ τοιοῦτοι γὰρ ἱδρῶτες πονηροὶ, ὑπὸ πνιγμοῦ καὶ ῥωγμῆς καὶ βίης ἐπικρατεόντων τῶν νουσημάτων. ἢν μὴ οὖρα πολλὰ καὶ παχέα ὁρμήσῃ καὶ πτύσματα πέπονα ἔλθῃ, ὅ τι δ' ἂν τούτων αὐτοματίσῃ, λύσει τὸ νούσημα. [162] περιπλευμονίης ἐκλικτὸν, χαλβάνη καὶ κόκκαλος ἐν μέλιτι ἀττικῷ, ἀβρότονον ἐν ὀξυμέλιτι, πέπερι, ἐλλέβορος μέλας ἀποζέσας καὶ πλευριτικῷ ἐν ἀρχῇ περιωδύνῳ ἐόντι δίδου. ἀγαθὸν δὲ καὶ τὸ πάνακες ἐν ὀξυμέλιτι ἀναζέσαντα καὶ διηθέοντα διδόναι πίνειν, καὶ ἡπατικοῖσι καὶ τῇσιν ἀπὸ τῶν φρενῶν περιωδυνίῃσι, καὶ ὁκόσα δεῖ ἐς κοιλίην ἢ ἐς οὔρησιν, ἐν οἴνῳ καὶ μέλιτι. τὰ δὲ ἐς κοιλίην σὺν ὑδαρεῖ μελικρήτῳ πίνειν πλείω δίδου. δυσεντερίη ἀπόστημα ἢ ἔπαρμά τι παυσαμένη ποιήσει, ἢν μὴ ἐς πυρετοὺς ἢ ἱδρῶτας καὶ οὖρα παχέα καὶ λευκὰ καὶ λίαν ἐπιφανῆ ἢ ἐς τριταίους

inflammatio ubi ſtatim attigerit, niſi repurgetur, remedium non admitit, pravaque eſt ſi aeger difficulter ſpiret, urinae tenues ſint et acres ſudoresque circa cervicem et caput oborti ſint. Hi enim ſudores mali ſunt ex ſuffocatione, impetu et violentia, ubi ſuperior morbus evadit, contingentes, niſi urinae multae et craſſae proruperint, et ſputa cocta prodierint. Quicquid autem ex his ſponte evenerit morbi ſolutionem adferet. Ad pulmonis inflammationem medicamentum in ecligmate, nux pinea et galbanum ex melle Attico. Abrotanum in aceto mulſo, piper, veratrum nigrum ubi decoxeris lateris dolore affecto etiam inter initia, ubi dolor urget, exhibeto. Confert etiam panacem ex aceto mulſo decoctum et percolatum propinare, tum hepaticis tum ſepti transverſi dolore plurimum affectis. Et quaecunque per alvum aut per urinas deducere voles, ex melle et vino exhibeto. Verum quae per alvum cum aquoſa mulſa copioſiore propinato. Inteſtinorum difficultas ſi ceſſavit, vel abſceſſum vel tumorem aliquem pariet, niſi in febres vel ſudores vertatur, et urinae craſſae, albae et leves appa-

Ed. Chart. XI. [162. 163.] Foël. I. 402. 403. Ed. Lind. II. (313.)
ἢ ἐς (313) κιρσὸν ἢ ἐς ὄρχιν ἢ ἐς σκέλεα ἢ ἐς ἰσχία στηρίξῃ ἢ ὀδύνῃ. ἐν πυρετῷ χωλώδει πρὸ τῆς ἑβδόμης μετὰ ῥίγεος ἴκτερος ἐπιγενόμενος λύει τὸν πυρετόν. ἄνευ δὲ ῥίγεος ἢν ἐπιγένηται ἔξω τῶν καιρῶν, ὀλέθριον. τέτανος δὲ ὀσφύος καὶ ἀπὸ μελαγχολικῶν διὰ φλεβῶν, πνευμάτων ἀπολήψιες ὁκόταν ἔωσι, φλεβοτομίῃ λύεται. [163] ὁκόταν δὲ ἀπὸ τῶν τενόντων σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται καὶ ἱδρῶτες περὶ τράχηλον καὶ πρόσωπον, || ὑπὸ τοῦ πόνου δακνομένων καὶ ξηραινομένων τῶν τενόντων καὶ τῶν οὐρωδέων οἱ παχύτεροι τὴν ῥάχιν ξυνέχουσιν, ἢ οἱ μέγιστοι σύνδεσμοι καταπεφυκότες ἕως ἐς πόδας ἀποτελευτῶσι τῷ τοιῷδε, ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένηται καὶ τὰ ἑπόμενα οὖρα πέψιν ἔχοντα ἔλθῃ καὶ ἱδρῶτες κριτικοί. πίνειν οἶνον κρητικὸν οἰνώδεα, καὶ ἄλητον ἑφθὸν ἐσθίειν, καὶ κηρωτῇ ἀλείφειν καὶ ἐγχρίειν. τά τε σκέλεα περιελίσσειν ἕως τῶν ποδῶν, θερμῷ προσβρέχων ἐν σκάφῃ, καὶ βραχίονας ἕως δακτύλων κατελίσσειν, καὶ ὀσφῦν ἀπὸ τοῦ τραχήλου ἕως τῶν ἰσχίων, σίαλον ἐγκηρώσας

ruerint, vel in tertianas vel varicem vel teſtem vel crura vel in coxendices dolor obfirmetur. In bilioſa febre morbus regius ante diem ſeptimum cum rigore ſuccedens febrem ſolvit, citra rigorem vero intempeſtive obortus lethalis. Nervorum diſtentio circa lumbos et ex atrabilariis humoribus per venas, ſpirituum interceptiones ſi adfuerint, venae ſectione ſolvuntur. Cum autem per tendones vehementer anteriore parte revelluntur, ſudoresque circa cervicem et faciem oboriuntur, prae dolore vellicatis et reſiccatis iis qui ad oſſis ſacri extremum pertinent tendonibus, qui craſſiſſimi ſpinam continent, qua parte maxima exoriuntur ligamenta et ad pedes usque deſinunt. Huic niſi febris et ſomnus acceſſerit, et quae conſequuntur urinae concoctae ſudoresque judicatorii prodierint, vinum Creticum vinoſum bibendum et farinam coctam edendam exhibeto. Cerato quoque inungere atque illinere convenit, cruraque in pelvi calida madefacta ad pedes usque velamentis involvere, et brachia et digitos usque contegere lumbosque a collo ad coxas molli pelle pinguedine et cera

Ed. Chart. XI. [163. 165.] Foës. I. 403. Ed. Lind. II. (313. 314.) μαλαχῷ δέρματι, ὅκως καὶ τὰ ἔξωθεν περιέξει, καὶ διαλιπὼν πυρία τοῖσιν ἀσκίοισι θερμὸν ὕδωρ ἐγχέων καὶ περιτείνων σινδόνιον, ἐπανάκλινε αὐτόν. κοιλίην δὲ μὴ λίην λύσῃς, ἢν μὴ βαλάνῳ, ἢν πολὺς ὁ χρόνος ᾖ καθ' ὃν ἀδιαχώρητος μένει, καὶ ἢν ἐπιδιδῷ τί σοι ἐπὶ τὸ βέλτιον. εἰ δὲ μή, τοῦ μόδου (314) τῆς ῥίζης τρίβων ἐν οἴνῳ εὐώδει καὶ δαῦκον πίνειν δίδου πρωΐ νήσιει πρὸ τοῦ βρέχειν, καὶ ταχὺ ἐπὶ τούτοισι τὸ ἄλευρον ἑφθὸν χλιαρὸν ἐσθιέτω ὡς πλεῖστον, καὶ οἶνον ὁκόταν βούληται, εὔκρητον ἐπιπινέτω, καὶ ἢν μέν σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον· εἰ δὲ μή, προλέγειν. τὰ δὲ νουσήματα πάντα λύεται ἢ κατὰ στόμα ἢ κατὰ κοιλίην ἢ κατὰ κύστιν ἢ τινὸς ἄλλου τοιούτου ἄρθρου. ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη κοινὴ ἁπάντων. [165] ἐλλεβορίζειν δὲ χρὴ οἷσιν ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα, ὁκόσοι δὲ ἐξ ἀποστημάτων ἢ φλεβορρᾳγίης ἢ δι' ἀκρησίην ἢ δι' ἄλλην τινὰ ἰσχυρὴν αἰτίην ἔμπυοι γίνονται, μὴ δίδου ἐλλέβορον τοῖσι τοιουτέοισιν, οὐδὲν γὰρ ὠφελήσει, καὶ ἢν τι πάθῃ, αἴτιον δόξει εἶναι ἐλλέ-

illita, ita ut anteriora etiam contineat circumdare. Ex intervallis etiam fomentis per utriculos utitor, calidaque affusa et obvoluto linteo, ipsum in conclavi decumbere jubeto. Alvum vero ne nimium nisi glande solvito, si ex longo tempore non dejecerit, et si quid in melius tibi processerit, bene se res habet. Alioqui modi radicem ex vino odorato tritam, et daucum mane jejuno ante perfusionem propinato, et post haec cito farinam coctam tepidam quam plurimam edat, vinumque bene temperatum cum volet superbibat. Et si quidem tibi in melius processerit, bene res habet, alioqui praedictione utendum. At morbi omnes solvuntur aut per os aut per alvum aut per vesicam aut alium quendam ejusmodi articulum. Sudor vero omnibus communis est. Veratrum autem exhibendum quibus a capite fluxio fertur. At iis qui ex abscessibus aut ex venae ruptione aut ob intemperantiam aut aliam validam quandam ob causam suppurati fiunt, veratrum minime dandum, cum nihil juvet, et si quid aeger patiatur, veratrum in

Ed. Chart. XI. [165. 166.] Foël. I. 403. Ed. Lind. II. (314. 315.) βορος. ἢν δὲ διαλύηται τὸ σῶμα ἢ πόνος ἐν κεφαλῇ ἢ ἐμπεπλασμένα τὰ οὔατα ἢ ῥὶς ἢ πτυελισμὸς ἢ γουνάτων βάρος ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅ τι ἂν συμβαίνῃ μήτε ὑπὸ ποτῶν μήθ' ὑπὸ ἀφροδισίων, μήτε ὑπὸ λύπης μήτε ὑπὸ φροντίδων μήτε ἀγρυπνιῶν. κ̄ ἢν μέν τι τουτέων ἔχῃ αἴτιον, πρὸς τοῦτο ποιέεσθαι τὴν θεραπείην. τὰ δὲ ἐκ πορείης ἀλγήματα, πλευρέων, νότου, ὀσφύος, ἰσχίων καὶ ὁκόσα ἀναπνέοντες ἀλγέουσι πρόφασιν ἔχοντες. πολλάκις γὰρ μεμάθηκε φοιτῆν ἐκ κραιπαλέων καὶ βρωμάτων φυσωδέων ἀλγήματα ἐς ὀσφῦν καὶ ἐς ἰσχία, οἷσι δ' ἂν αὐτέων ᾖ τοιάδε, (315) δυσουρέεται. τούτων δὲ πορείη αἰτίη καὶ κορυζέων καὶ βράγχων. [166] ὁκόσα δὲ ἀπὸ διαιτημάτων τὰ μὲν πολλὰ ἕκαστος ὡς ἂν παρὰ τὸ ἔθος διαιτηθῇ, μάλιστα ἐπισημαίνει, καὶ γὰρ ὁκόσοι ἂν μὴ μεμαθηκότες ἀριστῆν, ἢν ἀριστήσωσιν, ὄγκος πολὺς αὐτοῖσι τῆς γαστρὸς καὶ νυσταγμὸς καὶ πληθώρη. ἢν δὲ ἐπιδειπνήσωσι, κοιλίη ἐκταράσσεται.

cauſa eſſe videatur. Si vero exoluto fuerit corpore, vel caput doluerit aut aures aut nares oppleantur aut ſputatio aut genuum gravitas male vexet, aut corpus praeter conſuetudinem intumeſcat, quicquid horum contigerit exhibebis, dum neque ex potibus, neque ex rebus venereis, neque ex moerore aut curis, neque ex vigiliis iſta contingant. Et ſi quidem horum aliquid in cauſa fuerit, ad id curationem inſtituere oportet. Dolores laterum, dorſi, lumborum, coxarum ex itinere contingunt, et quaecunque inter reſpirandum ex occaſione manifeſta dolorem faciunt. Plerumque namque ex crapulis cibisque flatulentis ad lumbos et coxas dolores venire conſueverunt. Atque ex his caſibus urinae difficultas accedit. Horum vero ex via defatigatio cauſa eſt, itemque gravedinis et raucedinis. Quae autem ex victus ratione contingunt, horum quidem magnam partem unusquisque pro mutata praeter conſuetudinem victus forma praecipue ſignificationem praebet. Qui enim prandere minime ſoliti pranſi ſunt, his magnus ventris tumor adeſt et dormitatio et plenitudo. Si vero inſuper coena-

Ed. Chart. XI. [166.] Foës. I. 403. 404. Ed. Lind. II. (315. 316.)
ξυμφέρει δὲ τουτέοισιν ἐκλουσαμένοισιν καθεύδειν, κοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὴν περίοδον. κ᾽ ἢν μὲν λαπαχθῇ, δειπνῆσαι καὶ πιεῖν οἶνον ἐλάσσονα ἀκρητέστερον. ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίσασθαι τὸ σῶμα θερμῷ, καὶ ὑδαρέα οἶνον λευκὸν ἢ γλυκὺν ἢν διψῇ ἐπιπιόντα ἀναπαύεσθαι. ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι. τὰ δ᾽ ἄλλα ὁμοίως τοῖσιν ἐκ κραιπάλης διαισάσθω. τὰ δὲ ἀπὸ πομάτων ὁκόσα μὲν ὑδαρέα βραδυπορώτερά ἐστι καὶ ἐγκυκλέεται || καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια, καὶ ἐς οὖρησιν οὐ κατατρέχειν. τοιούτου δὲ πόματος πληρωθεὶς μηδὲν ἔργον ὀξέως διαπράξῃ, ὁκόσα τῷ σώματι ξυνταθέντι βίῃ ἢ τάχει πονέειν ξυμβαίνει. ὡς μάλιστα δὲ ἡσυχαζέτω, ἕως ἂν καταπεφθῶσι μετὰ τῶν σιτίων. ὁκόσα δὲ τῶν πομάτων ἀκρητέστερά ἐστιν ἢ αὐστηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιέει, τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι καὶ θερμόν τι ῥοφέειν, πρὸς ὅπερ μάλιστα ἡδίστως ἔχουσι. νεστείη δὲ πονηρὸν πρὸς τὴν κεφα(316)λαλγίην καὶ κραιπάλην. ὁκόσοι δὲ

verint, alvus exturbatur. His a balneo dormire confert, et a ſomno lenta deambulatione multos conficere circuitus, et ſi quidem venter emollitus fuerit, coenare et paucum vinum, ſed meracius bibere. Quod ſi alvum non exonerarint, corpus oleo calido inungere, et ſi ſitis adfuerit, epoto vino aquoſo albo dulci quieſcere, et ſi non dormierint, amplius quieſcere. In reliquis ſimilis iis victus ratio qualis crapula gravatis inſtitui debet. Ex potionibus autem quae quidem aquoſiores ſunt tardius permeant, et velut in orbem actae circum praecordia fluitant neque ad mictionem decurrunt. Quibus ſi quis repletus fuerit, is nullum opus ex his celeriter conficiet quae corporis contentionem, robur aut celeritatem ad laborem requirunt. Quam plurimum autem quieſcat, donec una cum cibis concoctae fuerint. At vero meraciores et auſteriores potiones in corpore palpitationem et in capite pulſationem efficiunt. Hi bene habent ſi inſuper dormiant et calidum aliquid ex his quae ipſis ſunt ſuaviſſima ſorbeant. Jejunium autem ad capitis dolorem et crapulam

Ed. Chart. XI. [166. 167.] Foës. I. 404. Ed. Lind. II. (316.)
μονοσιτέουσι, κεῖνοι καὶ ἀδύνατοί εἰσι καὶ οὐρέουσι θερμὸν παρὰ τὸ ἔθος κενεαγγέοντες. γίνεται δὲ καὶ τὸ στόμα ἁλικὸν καὶ πικρὸν, καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ, καὶ κροτάφους ἐπιξυντείνονται, καὶ τὸ δεῖπνον οὐ δύνανται πέσσειν, ὅκως περ ἢν ἠριστηκότες ἔωσι. τούτους δὲ χρὴ πίνειν ἔλασσον ἢ μεμαθήκασι, καὶ ὑγροτέρην μᾶζαν ἀντὶ ἄρτου, καὶ λαχάνων λάπαθα ἢ μαλάχην ἢ πτισάνην ἢ σεῦτλα. πίνειν δὲ κατὰ τὸ σιτίον, οἶνον, ὁκόσον ξύμμετρον καὶ ὑδαρέστερον, καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως οὖρα καταδράμῃ καὶ οὐρήσῃ. χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσιν. [167] βρώματα δὲ μάλιστα ἐπισημαίνει. σκόροδον φῦσαν καὶ θέρμην περὶ τὸν θώρηκα, καὶ κεφαλῆς βάρος, καὶ ἄσην καὶ εἴ τι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν παροξύνειεν ἄν. οὐρητικὸν δὲ καὶ τοῦτο ἔχει ἀγαθόν, ἄριστον δὲ αὐτοῦ φαγέειν, εἰ μέλλοι τι ἐς πόσιν ἰέναι ἢ μεθύειν. τυρὸς δὲ φῦσαν ἐμποιέει, καὶ στεγνότητα καὶ σιτίων ἔξαψιν ποιήσει, τό τ' ὠμὸν καὶ ἄπεπτον. κάκιστον δὲ ἐν ποτῷ φαγεῖν πεπληρωμένοισιν.

malum eſt. Qui ſemel tantum die cibum capiunt, ii et imbecilli evadunt et calidam urinam reddunt praeter conſuetudinem vaſis exinanitis, os falſum et amarum redditur, in quovis opere ſunt tremuli, tempora ipſis diſtenduntur, nequē coenam perinde coquere poſſunt ac ſi pranſi eſſent. Hos minus quam pro conſuetudine bibere convenit, mazamque liquidiorem panis loco aſſumere et inter olera lapathum aut malvam aut ptiſanam et betas. In cibo vinum bibant quantum videatur eſſe moderatum et dilutius et a coena parum deambulent, donec urina decurrat eamque reddiderint, piſcibus coctis etiam utantur. Cibi autem de ſe maxime indicia praebent. Allium flatum et caliditatem circa thoracem facit, capitis gravitatem et anxietudinem parit, et ſi quis alius dolor fieri conſueverit, eum graviorem reddit. Urinam autem ciet eaque dote eſt praeditum. Optime autem editur ei qui ſe ad compotationem comparare volet aut jam ebrius eſt. Caſeus flatum et adſtrictionem parit, cibos incendit, crudum et incoctum edulium exiſtit, ejusque eſus inter potandum repletis deterrimus.

Ed. Chart. XI. [167. 170.] Foës. I. 404. Ed. Lind. II. (316. 317.) ὅσπρια δὲ πάντα φυσώδεα καὶ ὠμὰ καὶ ἑφθὰ, καὶ πεφρυγμένα καὶ βεβρεγμένα καὶ χλωρά. τούτοισι δὲ μὴ χρέεσθαι ἢν μὴ μετὰ καὶ ἑτέρων σιτίων. ἔχει δὲ καὶ ἰδίας μοχθηρίας ἕκαστον αὐτέων. ἐρέβινθος μὲν φῦσαν ὠμὸς καὶ πεφρυγμένος καὶ πόνον ἐμποιέει. φακὸς δὲ στύφει καὶ ἄραδον ἐμποιέει, (317) ἢν μετὰ τοῦ φλοιοῦ ᾖ. θέρμος δὲ ἥκιστα τουτέων κακὰ ἔχει. σιλφίου δὲ καυλὸς καὶ ὀπὸς ἔστι μὲν οἷσι μάλιστα, τοῖσι δὲ ἀπείροισιν οὐ διέρχεται ἡ κοιλίη, ἀλλὰ καλέεται ξηρὴ χολέρη. μάλιστα δὲ γίνεται, ἢν μετὰ πολλοῦ τυροῦ μιχθῇ ἢ κρεηφαγίης βοείων κρεῶν. [170] τὰ μὲν γὰρ μελαγχολικὰ παθήματα καὶ παροξυνθείη ἂν ὑπὸ βοείων κρεῶν. ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτέων καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι. βέλτιστα δ' ἂν καὶ ἀπαλλάττοιεν, εἰ διέφθοισί τε χρέοιντο καὶ ὡς παλαιοτάτοισι. αἴγεια δὲ κρέα συμφορώτερα. πλὴν ὅσα τε βοείοισιν ἔνι κακὰ πάντα ἔχει, ἤγουν τήν τε ἀπειρίην καὶ φυσωδέστερα καὶ ἐρευγματώδεα. καὶ χολέρης γεννητικά. ἔστι δὲ τὰ εὐωδέστατα στερεὰ καὶ ἥκιστα, ταῦτα ἄριστα δίεφθα καὶ ψυχρά. τὰ δὲ ἀηδέστατα

Legumina omnia flatuosa sunt et cruda et elixa et frixa tum etiam macerata tum viridia. Neque his nisi cum aliis cibis utendum. Sed horum unumquodque sua habet vitia. Cicer flatum quidem tum crudum tum frictum et dolorem parit. Lens adstringit et turbationem inducit, si cum cortice fuerit. Ex his lupinus minimum horum malorum habet. Laserpitium tum caule tum succo quibusdam quidem maxime, inexpertis vero per alvum minime descendit, et choleram aridam nominatam parit, idque praecipue si cum multo caseo aut bubularum carnium esu misceatur. Nam et melancholicae affectiones carnium bubularum esu ingravescunt, quod earum natura minime superari queat, neque quilibet ventriculus eas concoquere possit. Quo periculo optime defungentur qui iis percoctis et perquam vetustis utentur. Caprinae carnes omnia quae bubulis insunt vitia habent, et cruditatem flatusque et ructus magis movent et choleram gignunt. Sunt autem quae odoratissimae, solidae et suavissimae eaeque optimae percoctae et frigidae. Quae vero in-

Ed. Chart. XI. [170. 172.] Foës. I. 404. 405. Ed. Lind. II. (317. 318.)

καὶ δυσώδεα καὶ σκληρά, ταῦτα κάκιστα, ἀλλὰ δὴ καὶ τὰ πρόσφατα. βέλτιστα δέ ἐστιν ἐν θέρους καιρῷ· ἐν δὲ μετοπώρου καιρῷ κάκιστα. χοίρου δὲ πονηρά, ὁκόταν ᾖ ἐνωμότερα ἢ περικαῆ. χολερώτερα δ' ἂν εἴη καὶ ἐκταρακτικά. ὕεια δὲ βέλτιστα τῶν κρεῶν ἁπάντων. κράτιστα δὲ τὰ μήτε ἰσχυρῶς πίονα μήτε πάλιν ἰσχυρῶς λεπτά, μήτε ἡλικίην φέροντα παλαιοῦ ἱερείου. ἐσθίειν δὲ ἄνευ τῆς φορινῆς καὶ ὑπόψυχρα. [172] χολέρης δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται. || καὶ ψόφοι ἔνεισι, καὶ ὀδύνη πλευρέων καὶ ὀσφύος. διαχωρέει δὲ οὐδὲν κάτω, ἀλλ' (318) ἀπεστέγνωται. τὸν τοιόνδε διαφύλαξον ὅκως μὴ ἐμέσηται, ἀλλ' ἡ κοιλίη ὑπελεύσηται. κλύσον οὖν ὅτι τάχος θερμῷ καὶ ὡς λιπαρωτάτῳ, καὶ ἐς ὕδωρ ἀλείφων ὡς πλεῖστον κάθιζε θερμὸν, ἐν σκάφῃ κατακλίνων, καὶ τοῦ θερμοῦ παράχεε κατὰ μικρὸν, καὶ ἢν θερμαινομένῳ αὐτέῳ ἡ κοιλίη ὑπάγῃ, λέλυται. ξυμφέρει δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε καὶ πίνειν οἶνον λεπτὸν καὶ παλαιὸν καὶ ἀκρητέστερον, καὶ ἔλαιον δίδου, ὥστε ἡσυχίη καὶ ἡ κοιλίη ὑπίῃ καὶ

ſuaviſſimae, graveolentes et durae, eae peſſimae, quin etiam recentes. Optimae etiam ſunt aeſtate, autumno vero peſſimae. Porcelli carnes pravae ſunt, cum crudiores aut perambuſtae fuerint. Nempe tum choleram magis gignent et turbationem facient. Suillae autem carnium optimae ſunt, praeſtantiſſimae vero quae neque vehementer pingues, neque contra vehementer graciles, neque veteris victimae aetatem aſſecutae edendaeque ſine pelle et ſubfrigidae. In cholera ſicca venter inflatur et ſtrepitus inſunt, et laterum ac lumborum dolor, nihilque infra dejicit alvus, ſed adſtringitur. Ita affectus ne vomat videto, verum ut alvus ſubducatur. Infuſu igitur per clyſterem calido et perquam pingui quam citiſſime utitor, perunctumque in calidam quamplurimam, in ſolio collocatum calida ſenſim affuſa demittito. Et ſi cum caleſactus fuerit alvus ſubducatur, morbus ſolutus eſt. Huic etiam dormire conſert et vinum tenue vetus ac meracius bibere. Oleum quoque exhibeto, ut quieſcat et alvus ſubeat ac ſolvitur morbus. A cibis atque

Ed. Chart. XI. [172. 174.] Foël. I. 405. Ed. Lind. II. (318. 319.)
λέλυται. σιτίων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθω. ἢν δὲ μὴ ἀνῇ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ἕως ἂν καθαρθῇ. ἢν δὲ ὑγρὴ ἡ κοιλίη ᾖ καὶ χολὴ ὑποχωρέῃ καὶ στρόφοι καὶ ἔμετοι καὶ πνιγμοὶ, τούτοισιν κράτιστον ἀτρεμίζειν. πίνειν δὲ μελίκρητον καὶ μὴ ἐξεμέειν. [174] ὑδρώπων δύο φύσιες, ὧν ὁ μὲν ὑποσαρκίδιος ἐγχειρέων γίνεσθαι ἄφυκτος, ὁ δὲ μετ' ἐμφυσημάτων πολλῆς εὐτυχίης δεόμενος. μάλιστα δὲ ὑπὸ ταλαιπωρίης καὶ πυρίης καὶ ἐγκρατείης ξηρὰ καὶ δριμέα ἐσθιέτω. οὕτω γὰρ οὐρητικώτατος ἂν εἴη καὶ ἰσχύοι μάλιστα. ἢν δὲ δύσπνοος ᾖ καὶ ἡ ὥρη ἐαρινὴ ἐοῦσα τύχῃ καὶ ἡλικίη ἅμα ἀκμάζῃ καὶ ῥώμη ᾖ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρέειν. εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου ἀποβάπτων ἐσθιέτω, καὶ ὡς ἐλάχιστα πίνων καὶ ὡς πλεῖστα πονεέτω, καὶ κρέα ὕεια σαρδώδεα ἐσθιέτω μετὰ ὄξους ἐφθά, ὅκως πρὸς τοὺς προσάντεας περιπάτους ἀντέχῃ. ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς ἔχουσι καὶ δριμέα τὰ ὑπο(319)χωρήματα καὶ ἀνώμαλα διέρχεται, ὑπὸ συντήξιος αὐτέοισιν. ἢν

omnibus aliis abſtineat. Quod ſi dolor minime remiſerit, lac aſininum donec purgatus fuerit et bilis ſubducatur torminaque vexent, vomitiones et ſuffocationes, iis optimum eſt quieſcere, aquam mulſam bibere ac minime vomere. Hydropum cumduae ſint naturae, hic quidem qui hypoſarcidios, velut ſub carne, dicitur, ubi hominem aggreditur, evitari non poteſt. Alter vero cum flatibus multam felicitatem ad curationem requirit, praecipueque multos labores, ſotum et temperantiam. Sicca edat et acria, nempe cum hac ratione plurimam urinam reddat, et maxime viribus valeat. Quod ſi difficultate ſpirandi teneatur, anni tempus aeſtivum fuerit, aetas vigeat et virium robur adſit, ſanguinem ex brachio detrahere convenit. Deinde panes calidos vino nigro et oleo intinctos edat, quam pauciſſimo potu utatur, quam plurimum laboret, ſuillaque ex aceto cocta vescatur, ut aſperis obambulationibns reluctari poſſit. Qui ventres inferiores calidos habent, et acres inaequalesque dejectiones prodeunt, id iis ex colliquatione contingit. Quibus qui-

Ed. Chart. XI. [174. 176.] Foës. I. 405. Ed. Lind. II. (319.)
μὲν δυνατοὶ ἔωσιν, ἐλλεβόρῳ τῷ λευκῷ ἀντισπάσαι· ἢν δὲ μὴ, ὁ χυλὸς τῶν σιτανίων πυρῶν παχὺς, ψυχρὸς, καὶ τὸ φάκιον ἔτνος, καὶ ἄρτοι ἐγκρυφίαι, καὶ ἰχθύες πυρέσσοντι μὲν ἑφθοὶ, ἀπυρέτῳ δὲ ἑόντι ὀπτοὶ, καὶ οἶνος μέλας ἀπυρέτῳ. ἢν δὲ μὴ, ὕδωρ ἀπὸ μεσπίλων ἢ μύρτων ἢ μήλων ἢ οὔων, ἢ φοινικοβαλάνων, ἢ οἰνάνθης ἀμπελικῆς. [176] ἢν δὲ πυρετὸς μὴ ἔχοι καὶ στρόφοι ἔωσι, γάλα βόειον θερμὸν ὀλίγον τὸ πρῶτον. ἔπειτα ἐκ προσαγωγῆς πλεῖον, καὶ λίνου σπέρμα, καὶ πύρινα ἄλφιτα, καὶ τῶν αἰγυπτίων κυάμων ἐξελὼν τὰ πικρά, καταλήσας καὶ ἐπιπάσσων πινέτω, καὶ ὠὰ ἡμιπαγέα ἐσθιέτω ὀπτὰ καὶ σεμίδαλιν, καὶ κέγχρον, καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι, ἑφθὰ ψυχρὰ ἐσθίειν, καὶ τὰ τούτοισιν ὅμοια καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω. τῆς διαιτητικῆς ἐστι μέγιστον παρατηρεῖν καὶ φυλάσσειν, ὥσπερ ἐν τοῖς ὀξέσι καὶ ἐν τοῖσι μακροῖσι ἀῤῥωστήμασι, καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν καὶ τὰς ἀνέσιας, ὥστε τοὺς καιροὺς διαπεφυλάχθαι, ὁκότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν, καὶ

dem ſi validae vires fuerint, veratrum album ad revulſionem exhibendum. Alioqui ſuccus tritici ſitanii craſſus et frigidus exhibendus, et lentis freſum panesque ſubcinericei, ac pisces febricitanti quidem elixi, ſine febre autem aſſi. Vinum etiam nigrum non febricitanti dandum, alioqui aqua ex meſpilis aut myrti baccis aut malis aut ſorbis aut palmulis aut vitium oenanthe. Quod ſi febris non detineat, adſintque tormina, lac aſininum calidum modicum primum, deinde ſenſim progreſſu facto amplius et lini ſemen ac triticeam polentam ammixa hordeacea, vel fabam Aegyptiam detracto cortice amaro inſpergens potui exhibeto, aut ova edat ſemiconcreta aſſa et ſimilam milium et alicam ex lacte coctam. Eaque cocta frigida edenda hisque ſimilia tum potu tum cibo aſſumenda. In victus ratione maximum eſt operae pretium animadvertere et obſervare tum febrium intenſiones tum remiſſiones, non modo in acutis morbis, verum etiam in longis, quo temporum occaſiones caveas quibus cibi minime offerri debent, et quando

Ed. Chart. XI. [176. 177.] Foës. I. 405. 406. Ed. Lind. II. (319. 320.) ἀσφαλέως ὁκότε δεῖ προσενεγκεῖν εἰδέναι. ἔτι δὲ ὁκόταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσιος. [177] εἰδέναι δὲ τοὺς κεφαλαλγικοὺς ἐκ γυμνασίων ἢ δρόμων ἢ πορειῶν ἢ κυνηγεσίων ἢ ἄλλου τινὸς πόνου ἀκαίρου ἢ ἐξ ἀφροδισίων. τοὺς ἀχρόους, τοὺς βραγχαλέους, τοὺς σπληνώδεας, τοὺς λειφαίμους, τοὺς πνευματώδεας, (320) τοὺς ξηρὰ βήσσοντας καὶ διψώδεας, τοὺς φυσώδεας, φλεβῶν ἀποληψίας, ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰ, καὶ μετάφρενον, τοὺς ἀπονεναρκωμένους, καὶ ἀμαυρὰ βλέποντας, καὶ οἷσιν ἦχοι τῶν οὐάτων ἐμπίπτουσι, καὶ τῆς οὐρήθρης ἀκρατέως διακειμένους. || τοὺς ἰκτεριώδεας καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσι, καὶ αἱμορραγέοντας ἐκ ῥινὸς ἢ καθ' ἕδρην σφοδρῶς, ἢ ἐν ἐμφυσήμασιν ἐόντας, ἢν πόνος αὐτοῖσιν ἐπιτρέχῃ σφοδρὸς καὶ μὴ ἐπικρατέωσι. τῶν τοιῶνδε μηδένα φαρμακεύειν. κίνδυνόν τε γὰρ ἔξει καὶ οὐδὲν ὀνήσεις. τάς τε ἀπὸ ταυτομάτου ἀπαλλάξιας καὶ κρίσιας ἀφαιρήσεις. ἢν δὲ αἷμα τινὶ ξυμφέρει ἀφαιρέειν, στερεὴν πρότερον ποιέειν τὴν κοιλίην καὶ οὕτως

tuto offerendi ſunt cognoſcas, atque etiam quando plurimum ab intenſione abfuerint. Animadvertere autem eos oportet quibus caput vel ob exercitationes vel curſus vel iter vel venationem vel alium aliquem intempeſtivum laborem dolet vel ex rebus venereis. Decolores etiam, raucedinoſos, lienoſos, ſanguine defectus, ſpirituoſos, ſicca tuſſi laborantes, ſiticuloſos, flatuoſos et venarum interceptiones: intenta quoque habentes praecordia, latera et dorſum ac ſtupore detentos obſcure videntes, eosque quibus aures tinniunt, et qui urinariam fiſtulam incontinentem habent, auriginoſos et quorum alvi cruda dejiciunt, quique ſanguinem copioſum ex naribus aut ſede profundunt, aut qui inflationibus detinentur, ſi eos vehemens dolor vexet neque ſuperiores exiſtant. Horum quidem nullos medicamento purgante vacuaveris. Neque enim res periculo caret, nihilque profeceris tum etiam ſpontaneas liberationes et judicationes auferes. At ſi cui ſanguinem detrahere conſert, alvum firmam reddere atque hoc modo detrahere

Ed. Chart. XI. [177. 181.] Foës. I. 406. Ed. Lind. II. (320. 321.) ἀφαιρέειν καὶ λιμοκτονέειν καὶ οἶνον ἀφαιρέειν αὐτέων. ἔπειτα τῇ διαίτῃ τῇ προσηκούσῃ τὰ ἐπίλοιπα αὐτέων καὶ πυρίησιν ἐνίκμοισιν θεράπευε. ἢν δέ σοι κατάπυκνος ἡ κοιλίη δοκέῃ εἶναι, μαλθακῷ κλύσματι ὑπόκλυζε. ἢν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως ἄνω κάθαιρε. κάτω δὲ μηδενὶ τῶν τοιῶνδε. κράτιστα δὲ ἐς οὔρησιν καὶ ἐς ἱδρῶτας καὶ ἐς περιπάτους ἄγειν, καὶ τρίψει ἡσύχῳ χρέο, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν. ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβέτωσαν αὐτόν. κἢν μὲν ἐν τῷ θώρηκι ὑπὲρ τῶν φρενῶν λυπέῃ τὸ πάθος, αὐτὸν ἀνακαθίζειν ὡς πλειστάκις, καὶ ὡς ἥκιστα προσκλινέσθωσαν ἐς ὅτε δυνατοί εἰσι, καὶ καθίζοντα ἀνατρίβειν μὲν πολὺν (321) χρόνον πολλῷ θερμῷ· ἢν δὲ ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἴσχει τὰ ἀλγήματα, ἀνακέεσθαι ξυμφέρει καὶ μηδεμίην κίνησιν κινέεσθαι τῷ τοιῷδε σώματι ξυμφέρει, ἔξω τῆς ἀνατρίψιος. τὰ δὲ ἐκ τῆς κάτω κοιλίης λυόμενα δι' οὔρων καὶ ἱδρώτων, ἢν ὀλισθῇ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται τὰ σμικρά· τὰ σφόδρα δὲ πονηρόν. οἱ τοιοῦτοι γὰρ

oportet, et inediam imperare vinumque ei demere. Deinde in reliquo convenientem victus rationem inſtituere et fomentis humidis curare. Quod ſi condenſata tibi alvus videatur, molli infuſo alvum ſublues. At ſi medicamentum purgans tibi exhibendum viſum fuerit, per veratrum ſupra cum ſecuritate purgabis, at deorſum eorum meminem. Optimum eſt autem ſi ad urinas, ſudores et deambulationes aegrum adducas et levi frictione utaris, ut ne habitum denſiorem efficias. Quod ſi in lecto decumbat, eum alii perfricent. Ac ſi quidem in thorace ſupra ſeptum transverſum affectus fuerit, eum ut plurimum deſidere convenit et quam minimum reclinari, dum vires valeant, ſedentemque longo tempore oleo multo calido perfricari. At ſi in inferiore alvo ſub ſepto transverſo dolores teneant, jacere conducit, nulloque modo corpus moveri praeter quam frictione. Quae vero ex inferiore alvo per urinas et ſudores ſolvuntur, ſi mediocriter delabantur, ſua ſponte ſolvuntur quae parva ſunt, ſed vehementia prava exiſtunt. Qui enim

Ed. Chart. XI. [181. 182.] Foës. I. 406. Ed. Lind. II. (321.)
ἢ ἀπόλλυνται ἢ ἄνευ ἄλλων κακῶν οὐ γίνονται ὑγιεῖς, ἀλλ' ἀποστηρίζει τὰ τοιουτότροπα. πόμα ὑδρωπιῶντι. κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν ἑκάστης καὶ πόδας καὶ πτερά, τρίψας ἐν τρισὶ κυάθοις ὕδατος τὰ σώματα, ὁκόταν δὲ πονέῃ ὁ πιών, θερμῷ βρεχέσθω. ὑπαλειψάμενος δὲ πρότερον νῆστις πινέτω, ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξ ἀλείφατος. [182] ἴσχαιμον. ὀπὸν συκῆς ἐν εἰρίῳ προσθεῖναι εἴσω πρὸς τὴν φλέβα, ἢ πιτύην συστρέψαντα ἐμβῆσαι ἐς τὸν μυκτῆρα, ἢ χαλκίτιδος τῷ δακτύλῳ προσεπισπασάμενος πίεσον, καὶ τοὺς χόνδρους ἔξωθεν προσπιέζειν ἑκατέρωθεν, καὶ τὴν κοιλίην λῦσον ὄνου γάλακτι ἑφθῷ, καὶ τὴν κεφαλὴν ξυρῶν ψυκτικὰ πρόσφερε, ἢν ἐν ὥρῃ θερμῇ γίνηται. σησαμοειδὲς ἄνω καθαίρει ἡ πόσις ἡμιόλιον δραχμῆς ὁ σταθμὸς ἐν ὀξυμέλιτι τετριμμένον. ξυμμίσγεται δὲ καὶ τοῖσιν ἑλλεβόροισι καὶ ἧσσον πνίγει τὸ τρίτον μέρος τῆς πόσιος. τριχώσιος ὑποθεὶς τὸ ῥάμμα τῇ βελόνῃ τῇ τὸ κύαρ ἐχούσῃ, κατὰ τὸ ὀξὺ τῆς ἄνω τύσιος τοῦ βλεφάρου ἐς τὸ κάτω διακεντήσας δίες

sic habent, aut intereunt aut non sine aliis malis conſaneſcunt, ſed quae ſunt ejuscemodi aliquo firmari ſolent. Potionem aquae ſubter cutem laboranti concinnabis, ſi cantharidum trium ablato cujusque capite, pedibus et alis corpora ex tribus aquae cyathis contrita exhibueris. Ubi vero ex epoto medicamento laborarit, calida perfundatur, ex oleo tamen prius inunctus jejunus bibat, edatque panes calidos ex oleo. Sanguinem ſiſtes ſici ſucco lana excepto intro ad venam appoſito. Aut coagulo intorto in nares immiſſo, vel ſi chalcitidem prius extenſam digito apprimas, et cartilagines utraque ex parte foris comprimas alvumque lacte aſinino cocto ſolvas et capiti raſo refrigerantia adhibeas, ſi anni tempeſtas calida fuerit. Seſamoides ſurſum purgat ſesquidrachmae pondere ex aceto mulſo tritum potu exhibitum. Admiſcetur etiam veratris tertia potionis parte et ita minus ſuffocat. Pilos in palpebris enaſcentes, trichoſin vocant, curaveris, ſi ſubjectum acui foramen filum habenti in ſuperiore palpebrae parte acuminata et tenſa

Ed. Chart. XI. [182.] Foës. I. 406. 407. Ed. Lind. II. (321. 322.)

καὶ ἄλλο ὑποκάτω τούτου. ἀνατεί(322)νας δὲ τὰ ῥάμματα ῥάψον καὶ κατάδει, ἕως ἂν ὑποπέσῃ. κὴν μὲν ἱκανῶς ἔχῃ· ἢν δὲ μή, εἰ ἐλλείπῃ, ὀπίσω ποιέειν τὰ αὐτὰ, καὶ τὰς αἱμορροΐδας τὸν αὐτὸν τρόπον διώσεις. τῇ βελόνῃ ὡς παχύτατον εἰρίου οἰσυπηροῦ ῥάμμα καὶ ὡς μέγιστον ἀποδήσας; ἀσφαλεστέρη γὰρ γίνεται ἡ θεραπείη. εἶτα ἀποπιέσας τῷ σηπτῷ χρέο, καὶ μὴ βρέχε πρὶν ἀποπέσῃ, καὶ αἰεὶ μίην καταλίμπανε, καὶ μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι. εἶτα γυμναζέσθω καὶ διυρούτω. γυμνασίου δὲ τρίψις πολλὴ ἀπὸ ἄρθρου. δρόμου δὲ ἀπεχέσθω καὶ μέθης καὶ τῶν δριμέων ἔξω ὀριγάνου. ἐμεέτω δὲ δι' ἑπτὰ ἡμερέων ἢ τρὶς ἐν τῷ μηνί. οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα. || οἶνον δὲ πυῤῥὸν, αὐστηρὸν, ὑδαρέα τε καὶ ὀλίγον πινέτω. τοῖσι δὲ ἐμπύοισι σκύλλης καταταμὼν κυκλισμοὺς ἑψεῖν ὕδατι, καὶ ἀποζέσας εὖ μάλα ἀπόχεον, καὶ ἐπιχέας ἄλλο ἕψε, ἕως ἂν ἅπτομένῳ διεφθὸν καὶ μαλθακὸν φαιῇ. εἶτα τρίψας λεῖον σύμμισγε κύμινον πεφρυγμένον, καὶ

perpunctione facta deorsum transmiseris, aliudque sub hoc interiore parte trajeceris, fila extensa consueris et deligaris, quoad decidant. Ac si haec quidem sufficiant, bene se res habet, alioqui si quid deficit, rursus eadem facienda. Eodem quoque modo ora venarum in ano sanguinem fundere solita, haemorrhoidas vocant, intruso in acum quam crassissimo et maximo lanae succido filo deligabis. Securior enim evadit haec curatio. Deinde compressas medicamento putrefacies neque persundes donec deciderint, unamque perpetuo relinques. Post haec etiam ubi vires resumpserit, medicamentum purgans ex veratro propinabis. Deinde exercitatione utatur et exsudet, pro exercitatione sit frictio multa matutina, cursu abstineat, ebrietate et acribus praeterquam origano. Vomat autem septimo quoque die aut ter in mense. Hoc enim pacto corpus optime habebit. Vinum bibat fulvum, austerum, aquosum et paucum, purulentis diffectos scyllae orbiculos ex aqua coquito, et ubi optime deferbuerit, diffundito aliaque affusa coquito, dum tactui percocti et molles appareant. Deinde ubi laevigatum triveris, cuminum perfrictum, alba sesama et amygdalas re-

Ed. Chart. XI. [182. 183.] Foës. I. 407. Ed. Lind. II. (322. 323.) λευκὰ σήσαμα, καὶ ἀμυγδάλας νέας τρίψας ἐν μέλιτι ἐκλικτὸν δίδου, καὶ ἐπὶ τούτῳ οἶνον γλυκύν. ῥοφήματα δὲ μήκωνος τῆς λευκῆς ὑποτρίψας ὁκόσον λεκίσκιον ὕδατι διεὶς, σητανίου πλύματι ἀλεύρου ἐψήσας, μέλι ἐπιχέας, χλιερὸν ἐπιῤῥοφέων, οὕτω διαγέτω τὴν ἡμέρην. εἶτα ἐς τὰ ἀποβαίνοντα λογιζόμενος τὸ δεῖπνον δίδου. δυσεντερίης. κυάμων καθαρῶν τεταρτημόριον, καὶ ἐρυθροδάνου δυοκαίδεκα κάρφεα λεῖα συμμίξαντα καὶ ἐψῆσαν(323)τα, λιπαρὰ διδόναι ἐκλείχειν. ὀφθαλμῶν. σποδὸς πεπλυμένη λιπαρῶς πεφυρημένη, ὡς στέαρ μὴ ὑγρὸν λεῖον τρίψας ὀμφακίῳ τῷ τῆς πικρῆς ὄμφακος ἀνυγρήνας, ἐν ἡλίῳ τε [183] ἀναξηρήνας, ὑγραίνειν ὡς ἐνάλειπτον. ὁκόταν δὲ ξηρὸν γένηται, τρίψας λεῖον ξηρὸν ὑπάλειφε τοὺς ὀφθαλμοὺς καὶ παράπασσε τοὺς κανθούς. ὑγρῶν. ἐβένου δραχμὴν, χαλκοῦ κεκαυμένου ἐννέα ὀβολοὺς ἐπ' ἀκόνης τρίβων, κρόκου τριόβολον. ταῦτα τρίψας λεῖα παράχεε οἴνου γλυκέος κοτύλην ἀττικήν. κἄπειτα ἐς τὸν ἥλιον θεὶς κατακαλύψας ὁκόταν συνεψηθῇ, τούτῳ χρέο. πρὸς τὰς

centes tritas admiſce, eaque melle excepta in ecligmate exhibeto, poſteaque vinum dulce bibat. Sorbitiones ſumat peplum album tritum a cetabuli parvi menſura, aqua loturae farinae ſetaniae maceratum et coctum, melleque affuſo tepidum ſorbeat, eoque modo diem transigat. Deinde adhibita conſequentium ratione coenam exhibeto. Ad inteſtinorum difficultatem fabarum purarum quadrantem et duodecim rubiae ſurculos tritos admiſceto et coquito et ex pingui aliquo delingendum porrigito. Oculis medeberis ſi ſpodium lotum velut farinae maſſam probe ſubactum, non liquidum, laeviter teras acerbo uvae immaturae et amarae ſucco humectatum ac in ſole reſiccatum, ita ut illini poſſit humectaveris. Ubi vero ſiccum extiterit, laeviter tritum ſiccum oculis illine eorumque angulis inſperge. Humentibus iisdem medetur. Ebeni drachmam, aeris uſti obolos novem in cote terito, croci obolos tres. His tritis et laevigatis vini dulcis heminam Atticam affundito. Deinde ſoli expoſito et contecto, ubi concoctum fuerit, eo utitor. Ad

Ed. Chart. XI. [183.] Foës. I. 407. Ed. Lind. II. (323. 324.)

περιωδυνίας. χαλκίτιδος δραχμὴ σταφυλῆς, ὁκόταν δύο μέρεα ληφθῇ, ἐκπιέσας. σμύρναν καὶ κρόκον τρίψας, συμμίξας τὸ γλεῦκος ἕψησον ἐν τῷ ἡλίῳ, καὶ τούτῳ ὑπάλειφε τοὺς περιωδυνέοντας. ἔστω δὲ ἐν χαλκῷ ἀγγείῳ. ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις. πίεσαι τοῖσι δακτύλοισι. κ' ἢν αἴσθηται, τὰ ὑστερικά ἐστιν· ἢν δὲ μὴ, σπασμώδεα. τοῖσιν ὑδρωπιώδεσι μηκώνιον. λεκίσκιον ἀττικὸν στρογγύλον. πόσις. λεπίδος μηλαὶ τρεῖς τῷ πλάτει, καὶ ἀλήτου σητανίου κολλήσαντα. ταῦτα λεῖα τρίψας κατάποτα δίδου. κάτω ὕδωρ καθαίρει, καὶ κοιλίην ἐκκοπρεῖ ἐς ἰσχάδας ὅπου τοῦ τιθυμάλλου ἀπόσταζε, ἑπτάκις ἑκάστην, εἶτα ἐς καινὸν ἄγγος συνθεὶς ταμιεύεσθαι δίδου τῷ εἰρημένῳ πρὸ τῶν σιτίων, καὶ τὸ μηκώνιον τρίβων ὕδωρ ἐπιχέων καὶ διηθέων, ἄλευρον φυρῶν, ἰτρίον ὀπτῶν, μέλι παραχέων τοῖσι ὑδρωπικοῖσι, (324) τρώγειν δίδου καὶ ἐπιπίνειν οἶνον γλυκὺν, ὑδαρέα ἢ μελίκρητον ὑδαρές. τὸ δὲ ἀπὸ τῶν κοπρίων μηκώνιον ξυλλέγων ταμιεύου καὶ θεράπευε.

vehementes eorum dolores. Chalcitidis drachmam uvae expreſſae partes duas, myrrham et crocum terito, muſto admixto in ſole excoquito, eoque intenſos oculorum dolores illinito. Sit autem in vaſe aeneo. Uteri ſtrangulatum ut dignoſcas, duobus digitis comprimito, et ſi ſentit, uteri ſtrangulatio eſt, alioqui convulſio. Ad aqua inter cutem laborantes. Pepli rotundi, quod meconium dicitur, acetabulum parvum atticum potui exhibeto. Squamae aeris quantum ſpecilla lata tria capiunt cum ſetaniae farinae tenui polline agglutina. Haec leviter trita in catapotia dato. Aquam deorſum purgant et ex alvo ſtercus deturbant. In caricas ſingulas ſucci tithymalli guttas ſeptem inſtilla. Deinde novo vaſe repoſitum medicamentum et reconditum praedicto ante cibos exhibeto. Peplum meconium dictum terito, aqua affuſa excolato et farina ſubactum in placentam coque mel coctum infundens, aqua inter cutem laborantibus edendum praebeto et vinum dulce aquoſum aut mulſam aquoſam ſuperbibendam. At quod ab excrementis meconium collegeris, recondito ac curato.

Ed. Chart. VII. [357. 358.] Foël. I. 407. 408. Ed. Lind. I. (363.)

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΟΠΩΝ ΤΩΝ ΚΑΤΑ ΑΝΘΡΩΠΟΝ.

[357] (363) Ἐμοὶ δοκέει ἀρχὴ μὲν οὖν οὐδὲ μία εἶναι τοῦ σώματος, ἀλλὰ πάντα ὁμοίως ἀρχὴ καὶ πάντα τελευτή. κύκλου γὰρ γραφέντος ἀρχὴ οὐχ εὑρέθη, καὶ τῶν νοσημάτων ἐπὶ παντὸς ὁμοίως τοῦ σώματος. τὸ μὲν ξηρότερον πεφυκὸς νόσοις λάζεσθαι καὶ μᾶλλον πονέειν, τὸ δὲ ὑγρὸν ἧσσον. τὸ μὲν γὰρ ἐν τῷ ξηρῷ νόσημα πήγνυταί τε καὶ οὐ διαπαύει, τὸ δ' ἐν τῷ ὑγρῷ διαῤῥεῖ καὶ τοῦ σώματος ἄλλοτ' ἄλλο μάλιστα ἔχει καὶ ἀεὶ μεταλλάσσον || ἀνάπαυσιν ποιέει καὶ θᾶσσον παύεται, ὥστε οὐ πεπηγός. τοῦ δὲ σώματος τὰ μέλεα ἕκαστα τὸ ἕτερον τῷ ἑτέρῳ ὁπόταν ἔνθα ἢ ἔνθα ὁρμήσῃ, νοῦσον παραυτίκα ποιέει, ἡ κοιλίη τῇ κεφαλῇ καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ, καὶ τἆλλα πάντα οὕτω κατὰ λόγον, ὥσπερ ἡ κοιλίη τῇ κεφαλῇ καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ. [358] ἡ γὰρ κοιλίη ὁπόταν ὑπεκχώρησιν μὴ ποιέῃ τὴν μετρίην, καὶ ἐσίῃ ἐς αὐτὴν, ἄρδει τῇ ὑγρότητι τὸ σῶμα τῇ ἀπὸ τῶν σιτίων τῶν προσφερομέ-

HIPPOCRATIS DE LOCIS IN HOMINE LIBER.

Nullum mea quidem opinione corporis eſt principium, ſed omnes partes ex aequo et principium et finis eſſe videntur. Deſcripto namque circulo principium non invenitur. Eademque ratio morborum in toto corpore. Quod enim ſiccius eſt, morbis obnoxium eſſe magisque dolere ſolet, humidum vero minus. Morbus namque qui in parte ſicca eſt, fixus eſt neque interquieſcit. Qui vero in humida, diffluit et alias aliam praecipue corporis partem occupat, et ſemper commutando quietem facit citiusque conquieſcit, cum fixus non ſit. Unaquaeque vero corporis pars altera alteri cum hinc vel illinc perruperit, ſtatim morbum facit, venter capiti et caput carnibus ac ventri et reliquae omnes eadem ratione, quemadmodum venter capiti et caput carnibus ac ventri. Niſi enim venter moderate ſubducatur, et ſi in eum cibus immittatur, ingeſtorum ciborum humiditate corpus irrigat, ipſa vero humiditas a ventre interſepta magna copia ad ca-

Ed. Chart. VII. [358.] Foës. I. 408. Ed. Lind. I. (363. 364.)

νων. αὐτὴ δὲ ἡ ὑγρότης ἀπὸ τῆς κοιλίης ἀποφρασσομένη ἐς τὴν κεφαλὴν ὠδοιπόρησεν ἀθρόη, καὶ ἐς τὴν κεφαλὴν ἐπὴν ἀφίκηται, οὐ χωρευμένη ὑπὸ τῶν τευχέων τῶν ἐν τῇ κεφαλῇ ῥεῖ ἢ ἂν τύχῃ καὶ πέριξ τῆς κεφαλῆς καὶ ἐς τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου, καὶ ἡ μὲν ἐν τῷ ὀστέῳ ἐνδέδυκεν, ἡ δὲ περὶ τὸν ἐγκέφαλον (364) διὰ λεπτοῦ τοῦ ὀστέου, καὶ ἣν μὲν ἐς τὴν κοιλίην πάλιν ἀφίκηται, τῇ κοιλίῃ νοῦσον ἐποίησεν· ἣν δ' ἄλλη πῃ τύχῃ, ἄλλη νοῦσον ποιέει, καὶ τἆλλα οὕτως ὥσπερ τοῦτο τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιέει, καὶ κάλλιστος οὕτως εὐτρεπίζειν τὰ νοσεύμενα διὰ τῶν τὰς νούσους ποιεύντων. οὕτω γὰρ ἂν κάλλιστα τὴν ἀρχὴν τοῦ νοσευμένου τις ἰῷτο. τὸ δὲ σῶμα αὐτὸ ἑωϋτῷ ταὐτόν ἐστι καὶ ἐκ τῶν αὐτῶν σύγκειται. ὁμοίως δὲ οὐκ ἔχοντος καὶ τὰ σμικρὰ αὐτοῦ καὶ τὰ μεγάλα καὶ τὰ κάτω καὶ τὰ ἄνω, καὶ εἴ τις βούλεται τοῦ σώματος ἀπολαβὼν μέρος κακῶς ποιέειν τὸ σμικρότατον, πᾶν τὸ σῶμα αἰσθήσεται τὴν πεῖσιν ὁποίη ἄν τις ᾖ, διὰ τόδε, ὅτι τοῦ σώματος τὸ σμικρότατον πάντα ἔχει ὅσα περ καὶ τὸ μέγιστον. τοῦτο δ' ὁποῖον

put viam affectat. Quo cum pervenerit, a capitis vaſis minime contenta quocunque datur effluit, et in capitis ambitum et in cerebrum per os tenue et partim quidem os ſubit, partim vero circum cerebrum per os tenue fertur. Quod ſi ad ventrem rurſus quidem pervenerit, ventri morbum inducit. Si vero in aliam quampiam partem inciderit, ei ipſi morbum facit. Ad eundem etiam modum reliquae partes altera alteri morbum inducit. Hacque ratione optimum fuerit aegrotantes partes per eas quae morbos fuciunt ad curationem accommodare. Sic enim quam optime quis ejus quod aegrotat principium ſanaverit. Corpus autem ipſum ſibi ipſi idem eſt et ex eisdem conſtat. Non eodem tamen modo ſe habent ejus partes magnae et parvae, itemque infernae et ſupernae. Ac ſi vel minima corporis pars malo aliquo afficiatur, eam affectionem qualiscunque tandem fuerit totum corpus ſentiet, quod minima corporis pars eadem omnia habeat quae et maxima. Eaque minima

Ed. Chart. VII. [358.] Foël. I. 408. Ed. Lind. I. (364. 365.)
ἄν τι πάθῃ τὸ σμικρότατον ἐπαναφέρει πρὸς τὴν ὁμοεθνίην, ἕκαστον πρὸς τὴν ἑωϋτοῦ, ἤν τε κακὸν ἤν τε ἀγαθὸν ᾖ, καὶ διὰ ταῦτα καὶ ἀλγέει καὶ ἥδεται ὑπὸ ἕθνεος τοῦ σμικροτάτου τὸ σῶμα, ὅτι ἐν τῷ σμικροτάτῳ πάντ' ἔνι τὰ μέρεα, καὶ ταῦτα ἐπαναφέρουσιν ἐς τὰ σφῶν αὐτῶν ἕκαστα καὶ διαγγέλλουσιν πάντα. φύσις δὲ τοῦ σώματος ἀρχὴ τοῦ ἐν ἰητρικῇ λόγου, πρῶτον διατέτρηται ᾗ ἐσακούομεν. τὰ μὲν γὰρ περὶ τὰ ὦτα πέριξ κενεὰ οὐκ εἰσακούει ἄλλο ἢ ψόφον καὶ ἰαχήν. ὅ τι δ' ἂν διὰ τῆς μήνιγγος ἐς τὸν ἐγκέφαλον ἐσέλθῃ, τοῦτο διαφραδέως ἀκούειαι ταύτῃ, καὶ μούνῃ τρῆσις διὰ τῆς μήνιγγός ἐστι περὶ τὸν ἐγκέφαλον περιτεταμένης. κατὰ δὲ τὰς ῥῖνας τρῆμα μὲν οὐκ ἔνεστιν, σομφὸν δὲ (365) οἷον σπογγιά, καὶ διὰ τοῦτο διὰ πλέονος ἀκούει ἢ ὀσφραίνεται. κατὰ πολὺ γὰρ σκίδναται ἡ ὀδμὴ τῆς ὀσφρήσιος καὶ ἐς τοὺς ὀφθαλμοὺς φλέβια λεπτὰ ἐς τὴν ὄψιν ἐκ τοῦ ἐγκεφάλου διὰ τῆς μήνιγγος τῆς περιεχούσης φέρονται. ταῦτα δὲ τὰ φλέβια τὴν ὄψιν τρέφουσιν τῷ ὑγρῷ τῷ καθαρωτάτῳ τῷ ἀπὸ τοῦ ἐγκεφάλου, ἐς ὃ καὶ ἐμφαίνεται ἐν τοῖσιν ὀφθαλ-

pars quicquid tandem protulerit, ad cognationem et gentilitatem refert, quaeque ad ſuam ſive bonum ſive malum id fuerit. Ac propterea corpus ob minimae partis cognationem dolorem aut voluptatem percipit, quod in minima partes omnes inſunt, eaeque ad ea quae ſui ſunt generis ſingula referunt et omnia denunciant. At vero corporis natura principium in artis medicae ſpeculatione obtinet, eaque primum qua parte audivimus perforata eſt. Vacua enim circa aures loca nil aliud praeter ſtrepitum et clamorem inaudiunt. Quicquid vero per membranam ad cerebrum pervenerit, id plane hac parte auditur, ubi unicum foramen per membranam circumvolventem penetrat. Ad nares autem foramen quidem non tendit, ſed laxum quiddam velut ſpongia, eamque ob cauſam per longius intervallum audit quam olfacit. Longe enim ab olfactu odor diſpergitur. Ad oculos etiam venulae tenues ad viſionem ex cerebro per ambientem membranam tendunt. Haec venulae humore puriſſimo de cerebro viſionem alunt, in quo etiam rerum ſpecies

Ed. Chart. VII. [358. 359.] Foës. I. 408. 409. Ed. Lind. I. (365.)

μοῖσιν. ταῦτα δὲ τὰ φλέβια καὶ ἀποσβεννύασι τὰς ὄψεις ὅταν ξηρανθῶσιν. μήνιγγες δὲ τρεῖς εἰσιν αἱ τοὺς ὀφθαλμοὺς φυλάσσουσαι, ἡ μὲν ἐπάνω παχυτέρη, ἡ δὲ διὰ μέσου λεπτοτέρη, ἡ δὲ τρίτη λεπτὴ, ἡ τὸ ὑγρὸν φυλάσσουσα. τούτων ἡ μὲν ἐπάνω καὶ παχυτάτη νοῦσος ἢν κωφωθῇ, ἡ δὲ διὰ μέσου ἐπικίνδυνος· αὕτη καὶ ὅταν ῥαγῇ, ἐξίσχει [359] οἷον κύστις. ἡ δὲ τρίτη ἡ λεπτοτάτη πάμπαν ἐπικίνδυνος, ἡ τὸ ὑγρὸν φυλάσσουσα. μήνιγγες δὲ δύο εἰσὶ τοῦ ἐγκεφάλου, ἡ μὲν ἐπάνω παχυτέρη, ἡ δὲ λεπτὴ τοῦ ἐγκεφάλου ἁπτομένη οὐκέτι ἡ αὐτὴ, ἐπὴν τρωθῇ. || φλέβες δὲ περαίνουσι μὲν ἐς τὴν κορυφὴν διὰ τῆς σαρκὸς ἔχουσαι πρὸς τὸ ὀστέον. φέρονται δὲ διὰ τῆς σαρκὸς δύο μὲν ἐκ τῆς κορυφῆς κατ' ἰθὺ, ᾗ αἱ ὀφρύες συγκλείονται, καὶ τελευτῶσιν ἐς τοὺς καν θοὺς τῶν ὀφθαλμῶν. μία δὲ ἀπὸ τῆς κορυφῆς ἐς τὴν ῥῖνα φέρεται καὶ σχίζεται ἐς τὸν χόνδρον τῆς ῥινὸς ἑκάτερον. ἄλλαι δύο φλέβες παρὰ τοὺς κροτάφους φέρονται ἐν μέσῳ τῶν κροτάφων καὶ τῶν ὤτων, αἳ πιέζουσι τὰς ὄψεις καὶ σφύζουσιν ἀεί. μόναι γὰρ αὗται οὐκ ἄρδουσι τῶν φλεβῶν, ἀλλ'

in oculis apparent. Eaedem quoque ubi reſiccatae fuerint viſionem extinguunt. Membranae vero tres ſunt oculos ipſos cuſtodientes, ſuperna quidem craſſior, media vero tenuior et tertia tenuis, quae humorem conſervat. Ex his ſuperior quidem et craſſiſſima ſi laeſa fuerit, morbum facit. Media vero ipſa etiam periculi plena eſt, et ubi rupta fuerit, foras velut veſica prominet. Tertia tenuiſſima omnino periculoſa, quae humorem conſervat. Cerebri autem membranae duae ſunt, ſuperna quidem una craſſior, altera quae cerebrum contingit tenuis, neque ubi vulnerata fuerit coaleſcit. Venae autem ad verticem quidem per carnem permeant et oſſi cohaereſcunt. Et vertice vero duae quidem recta per carnem feruntur, qua parte ſupercilia clauduntur et ad oculorum angulos deſinunt. Una autem de vertice ad nares fertur, et in utramque narium cartilaginem ſcinditur. Aliae duae venae juxta tempora feruntur, inter tempora et aures, quae oculos premunt ſemperque pulſant. Ex venis enim hae ſolae ſanguine minime rigantur, ſed avertitur ab ipſis

Ed. Chart. VII. [359.] Foëſ. I. 409. Ed. Lind. I. (365. 366.)

ἀποτρέπεται ἐξ αὐτῶν τὸ αἷμα. τὸ δ' ἀποτρεπόμενον ἀποσυμβουλεύει τῷ ἐπιῤῥέοντι, καὶ τὸ μὲν ἀποτρεπόμενον βουλόμενον ἀπο(366)χωρέειν, τὸ δ' ἄνωθεν ἐπιῤῥέον βουλόμενον κάτω χωρέειν ἐνταῦθα ὠθεύμενά τε καὶ ἀναχεόμενα πρὸς ἄλληλα καὶ κυκλούμενα σφυγμὸν παρέχουσιν τοῖσι φλεβίοισιν. ἡ δὲ ὄψις τῷ ἀπὸ τοῦ ἐγκεφάλου ὑγρῷ τρέφεται. ὅταν δέ τι τοῦ ἀπὸ τῶν φλεβῶν λάβῃ, τῇ ῥύσει ταράσσεται καὶ οὐκ ἐμφαίνεται ἐς αὐτὸ καὶ προκινέεσθαι δοκέει ἐν αὐτῷ τοτὲ μὲν οἷον εἴδωλον ὀρνίθων, τοτὲ δὲ οἷον φακοὶ μέλανες, καὶ τἄλλα οὐδὲν ἀτρεκέως κατ' ἀληθείην δύναται ὁρᾶν. ἄλλαι δύο φλέβες ἐν μέσῳ τῶν τε ὤτων καὶ τῶν ἄλλων φλεβῶν, αἳ φέρονται ἐς τὰ ὦτα καὶ πιέζουσι τὰ ὦτα. ἄλλαι δύο φλέβες ἐκ τῆς συγκλείσεως τοῦ ὀστέου ἐς τὰς ἀκοὰς φέρονται. αἱ δὲ κάτω τοῦ σώματος τετραμμέναι δύο μὲν φλέβες παρὰ τοὺς τένοντας τοῦ τραχήλου, φέρονται δὲ καὶ παρὰ τοὺς σπονδύλους, καὶ τελευτῶσιν ἐς τοὺς νεφρούς. αὗται δὲ καὶ ἐς τοὺς ὄρχιας περαίνουσιν, καὶ ὅταν αὗται πονέσωσιν, αἷμα οὐρέει ἄνθρωπος. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς φέ-

ſanguis. Qui vero avertitur, ei qui influit motum habet contrarium, et qui quidem avertitur, cum diſcedere cupiat; qui autem ex ſuperioribus partibus affluit, infra procedere, hic mutuo inter ſe propulſa ac diffuſa et in orbem agitata venulis pulſum praebent. Cum autem viſio ex cerebro humore nutriatur, ſi quid humoris a venis acceperit, fluxione turbatur, neque in eo apparent rerum ſpecies, ſed obverſari videntur interdum quidem velut avicularum imagines, interdum vero ut lentes nigrae nihilque de caetero exacte re vera cernere poteſt. Aliae duae venae per medium aurium et reliquarum venarum ad aures tendunt iisque incumbunt. Aliae duae venae ex oſſis conjunctione ad aures feruntur. Ex his autem quae ad inferiorem corporis partem connectuntur, duae quidem venae juxta cervicis tendines et juxta vertebras feruntur, ac in renes deſinunt eademque etiam ad teſtes permeant, cumque hae male affectae fuerint, homo cruentam lotium reddit. Aliae duae venae ex

Ed. Chart. VII. [359.] Foël. I. 409. Ed. Lind. I. (366. 367.)

ρονται ἐς τοὺς ὤμους, καὶ δὴ καὶ ὠμιαῖαι καλέονται. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς παρὰ τὰ ὦτα ἐν τοῖς ἔμπροσθεν τοῦ τραχήλου ἑκατέρωθεν ἐς τὴν κοίλην φλέβα καλεομένην φέρονται. ἡ δὲ κοίλη φλὲψ περαίνεται μὲν ὡς ὁ οἰσοφάγος, πέφυκε δὲ μεταξὺ τοῦ τε βρόγχου καὶ τοῦ οἰσοφάγου. φέρεται δὲ διὰ τῶν φρενῶν καὶ διὰ τῆς καρδίης καὶ μεταξὺ τῶν φρενῶν, καὶ σχίζεται ἐς τοὺς βουβῶνας καὶ ἐς τοὺς μηροὺς ἐντὸς καὶ τὰς διασφαγὰς ἐν τοῖσι μηροῖσι ποιέεται καὶ ἐς τὰς κνήμας φέρεται ἐντὸς παρὰ τὰ σφυρά. αὗται καὶ ἄκαρπον ποιέουσι τὸν ἄνθρωπον ὅταν ἀποτμηθῶσιν, αἳ καὶ ἐς τοὺς (367) μεγάλους δακτύλους τελευτῶσιν. ἐκ δὲ τῆς κοίλης φλεβὸς ἀποπέφυκεν ἐς τὴν χεῖρα τὴν ἀριστερήν. φέρεται δ' ὑποκάτω τοῦ σπληνὸς ἐς τὴν λαπάρην τὴν ἀριστερήν, ὅθεν ὁ σπλὴν ἀποπέφυκεν διὰ τοῦ ἐπιπλόου, καὶ τὴν ἀποτελεύτησιν ἴσχει ἐς τὸν κίθαρον. ἀποπέφυκε δὲ κατὰ τὰς φρένας καὶ ξυμβάλλει τῇ ὠμιαίῃ κάτω τοῦ ἄρθρου τοῦ ἀγκῶνος καὶ τοῦ σπληνὸς τέμνεται αὕτη, καὶ ἄλλη ἐς τὴν δεξιὴν τὸν αὐτὸν τρόπον ἀποπέφυκεν ἀπὸ τῆς κοιλίης.

vertice ad humeros tendunt et eae ſane humerales appellantur. Aliae duae venae ex vertice juxta aures per anteriorem cervicis partem utrinque in cavam appellatam venam deferuntur. At vero vena cava velut gula quidem producitur, mediaque inter guttur et gulam exiſtens per ſeptum transverſum fertur et per cor et inter ſeptum. Ad inguina autem et femora interiore parte ſcinditur et disparationes in cruribus facit, et ad tibiarum interiorem partem juxta malleolos fertur. Eae ſi ſectae fuerint, hominem infoecundum reddunt, quae et in magnos digitos deſinunt. Ex vena autem cava propago in manum ſiniſtram deducitur et ſubter lienem fertur ad ſiniſtri lateris inanitatem, unde lien per omentum emergit et ad thoracem deſinit. Exoritur autem juxta ſeptum transverſum et cum humerali committitur infra cubiti articulum, ipſaque lienis gratia ſecatur. Alia etiam ad dextram manum eodem modo a cava propaginem emittit. Hae autem omnes venae inter ſe communicant et mutuo confluunt.

Ed. Chart. VII. [359.] Foës. I. 409. 410. Ed. Lind. I. (367. 368.)
κοινωνέουσι δὲ πᾶσαι αἱ φλέβες καὶ διαῤῥέουσιν ἐς ἑωϋτάς. αἱ μὲν γὰρ σφίσιν ἑωϋταῖς ξυμβάλλουσιν, αἱ δὲ διὰ τῶν φλεβίων τῶν διατεταμένων ἀπὸ τῶν φλεβῶν, αἳ τρέφουσι τὰς σάρκας, ταύτη διαῤῥέουσι πρὸς ἑωϋτὰς, καὶ ἀπὸ τῶν φλεβῶν ὅ τι ἂν νόσημα γένηται ῥᾷόν ἐστιν ἢ ἀπὸ τῶν νεύρων. διαῤῥεῖ γὰρ σὺν τῷ ὑγρῷ τῷ ἐνεόντι ἐν τῇσι φλεψὶ καὶ οὐκ ἀτρεμίζει, καὶ ἡ φύσις τῇσι φλεψὶν ἐν ὑγρῷ ἐστιν ἐν τῇσι σαρξί. τὰ δὲ νεῦρα ξηρά τέ ἐστι καὶ ἀκοίλια καὶ πρὸς τῷ ὀστέῳ πεφύκασιν, καὶ τρέφονται δὲ τὸ πλεῖστον ἀπὸ τοῦ ὀστέου. τρέφονται δὲ καὶ ἀπὸ τῆς σαρκὸς καὶ τὴν χροὴν καὶ τὴν ἰσχὺν μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς πεφύκασιν. || καὶ ὑγρότερα μέν εἰσι τοῦ ὀστέου καὶ σαρκοειδέστερα, ξηρότερα δ᾽ εἰσὶν ἢ αἱ σάρκες καὶ ὀστοειδέστερα. νόσημα δ᾽ ὅ τι ἂν ἐς αὐτὰ ἔλθῃ ῥώννυταί τε καὶ ἀτρεμίζει ἐν τῷ αὐτῷ καὶ χαλεπόν ἐστιν ἐξάγειν. μάλιστα δ᾽ ἐσέρχονται τέτανοί τε καὶ ἄλλα ἀφ᾽ ὧν τρόμος τὸ σῶμα λαμβάνει καὶ τρέμειν ποιέει. τὰ δὲ νεῦρα πιέζουσιν τὰ ἄρθρα, παρατεταμένα τέ ἐστι παρ᾽ ὅλον τὸ σῶμα. (368) ἰσχύουσι δὲ μάλιστα ἐν ἐκείνοισιν

Aliae ſiquidem ſibi invicem committuntur, aliae vero per venulas, quae a venis diſtenduntur et carnes nutriunt, ea parte inter ſe confluunt. Quicunque autem a venis morbus oritur, is levior eſt quam qui a nervis. Diffluit enim una cum humore in venis contento, neque quieſcit, venarumque ea natura eſt ut humorem contineant et carnibus diſtribuant. Nervi vero cum ſicci ſunt, tum cavitatibus carent, et oſſi adhaereſcunt maximamque partem ab oſſe nutriuntur, et ſi quoque ex carnibus alimentum habent coloremque et robur inter os et carnem medium natura ſortiti ſunt, et humidiorem quidem carnoſioremque quam os, ſicciorem vero et ad os magis accedentem quam carnes naturam obtinent. Quicumque autem morbus ad eos acceſſerit, eodem loco firmatur et conſiſtit, nec niſi aegre expellitur. Praecipue vero cor appetunt diſtentiones, aliique morbi ex quibus tremor corpus prehendit, quique tremorem inducunt. Nervi autem articulos conſtringunt, per totum corpus diſtenti, potiſſimumque validi et

Ed. Chart. VII. [359.] Foës. I. 410. Ed. Lind. I. (368.)

τοῦ σώματος καὶ ἀεὶ παχύτατά ἐστιν, ἐν οἷσι τοῦ σώματος αἱ σάρκες ἐλάχισταί εἰσι. καὶ τὸ μὲν σῶμα πᾶν ἔμπλεον νεύρων, περὶ δὲ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν οὐκ ἔστιν νεῦρα, ἀλλὰ ἶνες παρόμοιαι νεύροις μεταξὺ τοῦ τε ὀστέου καὶ τῆς σαρκὸς λεπτότεραι καὶ στερεώτεραι, αἱ δὲ νευροκοίλιοι. αἱ κεφαλαὶ ῥαφὰς ἔχουσιν, αἱ μὲν τρεῖς, αἱ δὲ τέσσαρας. αἱ μὲν τέσσαρας ἔχουσαι κατὰ τὰ ὦτα ἑκατέρωθεν ῥαφὴ ἄλλη ἔμπροσθεν, ἄλλη ἐξόπισθεν τῆς κεφαλῆς. οὕτω μὲν ἡ τὰς τέσσαρας ἔχουσα· ἡ δὲ τὰς τρεῖς κατὰ τὰ ὦτα ἑκατέρωθεν καὶ ἔμπροσθεν. ὥσπερ δὲ ἡ τὰς τέσσαρας ἔχουσα οὐ διαπέφυκεν, οὐδὲ ταύτῃ ῥαφή. ὑγιεινότεροι δ' εἰσὶ τὴν κεφαλὴν οἱ τὰς πλέονας ῥαφὰς ἔχοντες. ἐν τῇσιν ὀφρύσι διῃλθον τὸ ὀστέον καὶ ἡ σύγκλεισις τῶν γενύων ἔν τε τῷ γενείῳ μέσῳ καὶ ἄνω πρὸς τῇ κεφαλῇ. σπονδύλους οἱ μὲν πλέονας, οἱ δὲ ἐλάσσονας ἔχουσιν. καὶ οἱ μὲν πλέονας ἔχοντες δυοῖν δεόντοιν εἴκοσί εἰσιν, ὧν οἱ μὲν ἄνω πρὸς τῇ κεφαλῇ, οἱ δὲ κάτω πρὸς τῇ ἕδρῃ. πλευραὶ ἑπτά, τὰ μὲν ὄπισθεν τοῦ σώ-

et ſemper maxime craſſi ſunt, in his corporis partibus in quibus pauciſſimae carnes ſunt totumque corpus nervorum plenum eſt. At circa faciem et caput non ſunt nervi, ſed fibrae nervorum non abſimiles inter os et carnem tenuiores et ſolidiores, partim etiam nervi cavitatem habentes. Capita ſuturas habent, alia quidem tres, alia quatuor. Quae quidem quatuor habent, his ſunt juxta aures utraque ex parte et una ſutura anteriore, altera poſteriore capitis parte. Et ſic quidem ſe habet caput quod quatuor ſuturas habet. Quod vero tres ad aures utrinque et anteriore parte. At velut in eo quod quatuor habet, hac parte, poſteriore ſcilicet, nulla ſutura enascitur. Qui plures ſuturas habent, hi capite melius valent. Inter ſupercilia os intercedit et maxillarum conjunctio in medio mento et ſuperiore parte ad caput eſt. Vertebras hi quidem plures, hi vero pauciores habent. Quibus pauciores, his ſunt duodeviginti, quarum aliae quidem ſurſum ad caput, aliae vero deorſum ad ſedem feruntur. Coſtae ſeptem partim quidem poſteriore corpo-

Ed. Chart. VII. [359. 361.] Foël. I. 410. Ed. Lind. I. (368. 369.)

ματος πρὸς τοὺς σπονδύλους, τὰ δ' ἔμπροσθεν ἐν τῷ στέρνῳ πρὸς ἑωϋτάς. κλεῖδες ἄρθρα ἔχουσι, τὰ μὲν ἐν μέσῳ τοῦ στέρνου κατὰ τὸν βρόγχον κατὰ ταῦτα ἤρθρωνται, τὰ δὲ πρὸς τοὺς ὤμους κεκλιμένα πρὸς τὰς πλάτας, αἳ ἐπὶ τοῖς ὤμοις ἀεὶ πεφύκασιν. αἱ δὲ πλάται πρὸς τὰ γυῖα ἤρθρωνται, ἐπιβάλλουσαι ἐπὶ τὸ ὀστέον τὸ ἐν τῷ γυίῳ. παρὰ δὲ τὸ ὀστέον περόναι (369) δύο παρήκουσιν, ἡ μὲν ἔνδοθεν, ἡ δὲ ἐκτός. αἳ πρὸς τὰς πλάτας τῷ ὀστέῳ προσπεφυκυῖαι ἤρθρωνται κάτω. αἱ δ' ἐν τῷ ἀγκῶνι κάτω μὲν περόνῃ ἤρθρωνται, κάτω πεφυκυῖαι, ἄνω δὲ σμικρῷ τῆς περόνης ἐς τὸν ἀγκῶνα τό τε ὀστέον καὶ ἡ περόνη ἐς τὸ αὐτὸ συμβάλλοντα ἄρθρον ἐν τῷ κυβίτῳ ποιέουσι. παρὰ δὲ τὸν πῆχυν περόναι παρήκουσι λεπταὶ [361] πάνυ τέσσαρες, αἱ μὲν δύο ἄνω, αἱ δὲ δύο κάτω, καὶ πρὸς μὲν τὸν ἀγκῶνα δύο περόναι πεφυκυῖαι ἄνω ἐκ τοῦ ὀστέου πεφύκασιν. αὗται σὺν τῷ ὀστέῳ πεφυκυῖαι παρὰ τὸ τοῦ ὀστέου ἄρθρον ἤρθρωνται ἐς τὸ κύβιτον. αἱ δὲ κάτω κείμεναι καὶ ἐντὸς κεκλιμέναι, αὗται ἀμφότεραι

ris parte ad vertebras, partim vero anteriore in pectore inter ſe committuntur. Claviculae articulos habent partim quidem in medio pectore juxta guttur, eaque parte articulis connectuntur, partim vero ad humeros ad ſcapulas reclinatos, quae humeris ſemper adhaereſcunt. At ſcapulae ad membra articulis connectuntur, ſuper os quod in membro eſt incumbentes. Ab hoc oſſe appendices duae protenduntur, una quidem interiore parte, altera exteriore, quae ad ſcapulas oſſi cohaereſcentes inferiore ex parte articulis conjunguntur. Quae vero ſunt in cubiti flexu, infra quidem radio in articulum conjunguntur, juxta os natura ſua cavum, paulum autem ſupra radium in cubiti gibbum tum os tum radius in eundem locum committuntur, et articulationem in cubiti gibbo efficiunt. Ad ulnam vero appendices protenduntur valde tenues quatuor, duae quidem ſuperiore parte, duae vero inferiore et ad cubiti quidem gibbum duae appendices adnatae ſuperiore parte ex oſſe exoriuntur. Hae cum oſſe cohaereſcentes ad oſſis articulum in cubiti

Ed. Chart. VII. [361.] Foës. I. 410. 411. Ed. Lind. I. (369. 370.) ξυμβάλλουσαι πρὸς τὴν περόνην τὴν ἄνωθεν ἀπὸ τοῦ γυίου φερομένην, ἐντὸς τοῦ γυίου ἤρθρωνται καὶ περόνην καλευμένην ποιέουσιν, αὗται ἐωϋταῖς ξυμβάλλουσαι ἐν τῷ κυβίτῳ ἐντός. κάτω δὲ πρὸς τὴν χεῖρα τὸ ὀστέον ἄρθρον ἔχει. αἱ δὲ περόναι ταύτῃ ἄπαλαὶ ἐοῦσαι, αἱ μὲν δύο οὐκ ἐξήκουσιν ἐς τὸ ἄρθρον, ἡ δ' ἄνω καὶ ἡ κάτω σὺν τῷ ὀστέῳ ἤρθρωνται πρὸς τὴν χεῖρα. αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά. ὅσα γὰρ ὀστέα πρὸς ἑωϋτὰ συμβάλλουσιν πάντα ἄρθρα ποιέουσιν. δάκτυλοι ἄρθρα ἔχουσιν πολλά, ἕκαστος τρία· ἓν μὲν ὑπὸ τῷ ὄνυχι ἐν μέσῳ τοῦτε ὄνυχος καὶ τοῦ κονδύλου, ἄλλο ἐν τῷ κονδύλῳ, ᾗ καὶ ξυγκάμπτουσιν τοὺς δακτύλους. ἄλλο τρίτον ᾗ ὁ δάκτυλος ἀπὸ τῆς χειρὸς ἀποπέφυκεν. ἐν δὲ τοῖσιν ἰσχίοισιν ἄρθρα δύο εἰσὶν αἱ κοτύλαι κα(370)λεύμεναι καὶ οἱ μηροὶ ἐς ταῦτα ἐνήρθρωνται. || παρὰ δὲ τοὺς μηροὺς περόναι δύο παρήκουσιν, ἡ μὲν ἐντός, ἡ δ' ἐκτός, καὶ ἐς τὸ ἄρθρον οὐδετέρη ἐξήκει, οὐδ' ἑτέρωθεν, ἀλλὰ πρὸς τῷ ὀστέῳ προσπεφύκασιν πρὸς τῷ μηρῷ. ὁ δὲ μηρὸς ἄνωθεν μὲν ᾗ ἐς

gibbum articulo committuntur. Quae vero infra ſitae ſunt et intro reclinatae, eae utraeque ad radium qui ſuperiore parte ad membrum defertur, concurrentes interiore membri parte articulo committuntur, eaeque inter ſe interiore cubiti parte commiſſae radium appellatum efficiunt. Inferiore vero parte ad manum os articulum habet. Cum autem hac parte appendices tenerae exiſtant, duae quidem in articulum non tendunt, ſuperior vero et inferior cum oſſe ad manum articulo committuntur. Manus multos habent articulos. Quae enim oſſa inter ſe connectuntur, omnia articulos faciunt. Digiti multos habent articulos, tres unusquisque. Unum quidem ſub ungue inter unguem et tuberculum, alterum in ipſo tuberculo, qua parte etiam digitos inflectunt, tertium qua parte digitus ex manu emergit. In coxendicibus autem duo ſunt articuli, acetabula appellata et iis femora articulo connexa. Ad femora duae appendices porriguntur, una quidem intus, altera foris, neutraque in articulum tendit neque ex altera parte, ſed oſſi in ipſo femore annexae ſunt; femur autem ſuperiore quidem parte,

Ed. Chart. VII. [361.] Foëſ. I. 411. Ed. Lind. I. (370.)

τὴν κοτύλην ἐμβάλλει δίκραιός ἐστι τοιῇδε δικραιότητι. ἐπὶ μὲν τοῦ ἐντὸς κεκλιμένου τῶν δικραίων ἐπὶ τοῦ ἄκρου ἐπιπέφυκεν στρογγύλον καὶ λεῖον, ὃ καὶ ἐς τὴν κοτύλην ἐμβάλλει, τὸ δ' ἕτερον τὸ ἔλασσον τῶν δικραίων τὸ ἐκτὸς μᾶλλον ἔξω ἐξέχει καὶ φαίνεται ἐν τῷ πυγαίῳ κάτω καὶ ἰσχίον καλέεται. πρὸς δὲ τὸ γόνυ τὸ ὀστέον τοῦ μηροῦ τοιόνδ' ἐστὶ δίκραιον. τῷ δὲ δικραίῳ τούτῳ τὸ ὀστέον ἡ κνήμη καλεομένη οἷον ἐν γιγλύμῳ ἐνήρμοσται. ἄνωθεν δὲ τοῦ ἐνηρμοσμένου ἡ μύλη ἐπίκειται, ἣ ἀποκωλύει ἐς τὸ ἄρθρον ἀναπεπταμένων ἐσβῆναι τὴν ὑγρότητα τὴν ἀπὸ τῆς σαρκός. παρὰ δὲ τὴν κνήμην περόναι δύο παρήκουσιν, αἳ κάτωθεν μὲν πρὸς τοῦ ποδὸς τὰ σφυρὰ τελευτῶσιν, ἄνωθεν δὲ πρὸς τοῦ γόνατος οὐκ ἐξήκουσι πρὸς τὸ ἄρθρον. πρὸς δὲ τὸν πόδα ἡ κνήμη κατὰ τὰ σφυρὰ ἄρθρον ἔχει καὶ ἄλλο κατώτερον τῶν σφυρῶν, καὶ ἐν τοῖσι ποσὶν ἄρθρα πολλά, ὥσπερ καὶ ἐν τῇσι χερσίν. ὅσα γὰρ τὰ ὀστέα, τοσαῦτα καὶ ἄρθρα καὶ ἐν τοῖσι δακτύλοισι τῶν ποδῶν τὸν ἀριθμὸν ἴσα κατὰ ταῦτα. ὄρθρα δὲ πολλὰ ἐν τῷ σώματι σμικρὰ οὐχ ὁμοίως

qua in acetabulum immittitur, hoc modo biſidum eſt. In ea quidem bicipitii parte, quae intro inclinat, in ſummo adnatum eſt rotundum ac leve, quod in acetabulum ingreditur. Altera vero pars minor quae in biſurculo protuberat, foras magis prominet et inferiore parte ad nates apparet, coxendixque nominatur. Ad genu autem femoris os hoc modo biſidum eſt. Huic vero bicipitio os, quod tibia appellatur, velut in cardine adaptatur. Supra id quod adaptatum eſt mola incumbit, quae ad articulum dum extenditur humiditatem a carne deſcendere prohibet. Ad tibiam autem pertingunt appendices duae, quae inferiore quidem parte ad pedis malleolos deſinunt, ſuperiore vero ad genu, non perveniunt ad articulum. Ad pedem autem tibia juxta malleolos articulum habet, aliumque infra malleolos. In pedibus articuli multi quemadmodum etiam in manibus ſunt. Quot enim oſſa, tot ſunt articuli et in pedum digitis pari numero et eodem ſe habent modo. Multi quoque in corpore articuli parvi ſunt, non ſimili tamen modo

Ed. Chart. VII. [361. 362.] Foës. I. 411. Ed. Lind. I. (370. 371.)

πᾶσιν, ἀλλὰ ἄλλα ἄλλοις. ταῦτα δὲ τὰ γεγραμμένα πᾶσιν ὁμοίως εἰσὶν, ἄλλα τε φλέβιά εἰσιν ἄλλοις. ἀλλ' οὐκ ἄξια λόγου. μύξα πᾶσιν ἐστὶ φύσει, καὶ ὅταν αὕτη καθαρὴ ᾖ, ὑγιαίνουσι τὰ ἄρθρα καὶ διὰ τοῦτο (371) εὐκίνητά ἐστιν, ὥστε ὀλισθαίνοντα πρὸς ἑωϋτά. πόνος δὲ καὶ ὀδύνη γίνεται, ὅταν ἀπὸ τῆς σαρκὸς ὑγρασίη ῥυῇ πονησάση. τὸ πρῶτον μὲν πήγνυται τὸ ἄρθρον. οὐ γὰρ ὀλισθηρὴ ἡ ὑγρότης ἡ ἐπερῤῥυηκυῖα ἀπὸ τῆς σαρκός. ἔπειτα ὥστε πολλὴ λίην νεμομένη καὶ οὐκ ἀρδομένη ἐκ τῆς σαρκὸς ἀεὶ ξηραίνεται, καὶ ὥστε πολλὴ ἐοῦσα καὶ οὐ χωρεῦντος τοῦ ἄρθρου ἐκχεῖ, κακῶς τε πεπηγυῖα μετεωρίζει τὰ νεῦρα, οἷσι τὸ ἄρθρον συνδέδεται καὶ ἄδετα ποιέει καὶ διαλελυμένα καὶ διὰ τοῦτο χωλοὶ γίνονται, καὶ ὅταν μὲν τοῦτο μᾶλλον γίνηται, μᾶλλον, ὅταν δὲ ἧσσον, ἧσσον. [362] ἐς δὲ τὴν κοιλίην καὶ τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα χωρέουσιν. ἐκ δὲ τῆς κοιλίης ἶνες ἐς τὴν κύστιν, ἢ διηθεῖ τὸ ὑγρὸν, τεταμέναι εἰσίν. ῥόοι δὲ γίνονται καὶ διαψυχομένης τῆς σαρκὸς λίην καὶ διαθερμαινομένης καὶ ὑπερφλεγμαινούσης. ῥόοι δὲ διὰ μὲν τὸ ψῦχος γίνονται, ὅταν

in omnibus, ſed aliis alii, hi autem a nobis enumerati in omnibus ſimiliter ſe habent. Aliae quin etiam ſunt aliis venae, nec tamen effatu dignae. Mucus omnibus a natura ineſt et cum purus fuerit, bene valent articuli, ideoque facile moventur, cum ſint inter ſe lubrici. Oboritur autem labor et dolor, ubi vexaverit quae a carne fluit humiditas. Imprimis quidem rigidus fit articulus. Neque enim lubrica eſt quae ex carne affluxit humiditas. Deinde ſua copia valde diſperſa neque a carne irrigata ſemper reſiccatur, cumque eam ob multitudinem articulus capere non poſſit, effluit, maleque concreſcens nervos quibus articulus connectitur, attollit, elaxat et diſſolvit. Eamque ob cauſam vel magis vel minus claudi fiunt. At vero quae eduntur aut bibuntur in ventrem ſerpuntur, et ex ventre fibrae in veſicam extenduntur, qua parte humorem transmittit. Fluxiones autem contingunt et perfrigerata valde carne et ſupertumefacta. Propter frigus quidem fluxiones fiunt, cum capitis caro et

Ed. Chart. VII. [362.] Foës. I. 411. 412. Ed. Lind. I. (371. 372.) ἡ σὰρξ ἡ ἐν τῇ κεφαλῇ καὶ αἱ φλέβες τεταμέναι ἔωσιν. αὗται φριξάσης τῆς σαρκὸς καὶ ἐς μικρὸν ἀφικνουμένης καὶ ἐκφλιψάσης ἐκθλίβουσι τὴν ὑγρότητα, καὶ αἱ σάρκες ἅμα αὗται ἀντεκθλίβουσιν ἐς μικρὸν ἀφικνούμεναι, καὶ αἱ τρίχες ἄνω ὀρθαὶ γίνονται, ὥστε πάντοθεν ἅμα ἰσχυρῶς πιεζόμεναι. ἐντεῦθεν ὅ τι ἂν ἐκφλιβῇ ῥεῖ ᾗ ἂν τύχῃ. ῥεῖ δὲ καὶ διὰ τὴν θερμότητα, ὅταν αἱ σάρκες ἀραιαὶ γινόμεναι διόδους ποιήσωσιν καὶ τὸ ὑγρὸν θερμανθὲν λεπτότερον γένηται. πᾶν γὰρ τὸ ὑγρὸν θερμαινόμενον λεπτότερον γίνεται, καὶ πᾶν τὸ ὑπεῖκον ῥεῖ, μάλιστα δ' ὅταν λίην ὑπερφλεγμήνῃ, διὰ τόδε ῥεῖ. (372) αἱ σάρκες λίην ἔμπλεαι γινόμεναι ὅ τι ἂν μὴ δύνωνται χωρέει, ῥεῖ τὸ ὑγρὸν τὸ μὴ δυνάμενον χωρέεσθαι. ῥεῖ δὲ ᾗ ἂν τύχῃ. ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοίαι γένωνται, ῥεῖ καὶ τὸ χωρίον ᾗ ἂν τύχῃ, ἔστ' ἂν συμπιεχθῶσιν αἱ δίοδοι τοῦ ῥόου, δι' ἰσχνότητα ὅταν τὸ σῶμα ξηρανθῇ. || ὥστε γὰρ τὸ σῶμα κοινωνέον αὐτὸ ἑωϋτῷ διαλαμβάνει καὶ ἄγει καθ' ὅ τι ἂν ὑγρὸν ἐπιτύχῃ ἐς ἑωϋτὸ ξηρόν. ἄγειν δὲ οὐ χαλεπὸν αὐτό ἐστιν, ὥστε τοῦ σώματος κενοῦ τε καὶ οὐ συν-

venae diſtentae fuerint, eaeque carne propter horrorem in anguſtum coacta et elidente humorem exprimunt, ſimul etiam carnes ipſae in anguſtum contractae viciſſim exprimunt, et capilli velut undique ſimul vehementer compreſſi eriguntur. Hinc quod expreſſum fuerit quocunque ſors tulerit fluit. Quin et ob caliditatem fluit, cum carnes rareſactae transitus praebuerint humorque caleſactus tenuior evaſerit. Quicquid enim humidum concalfactum fuerit, tenuius evadit et quicquid cedit, fluit. Potiſſimum autem ubi quid valde ſupertumefactum fuerit, hanc ob cauſam fluit. Carnes admodum repletae cum copiam capere nequeant, humor qui contineri non potuit effluit fluitque quocunque datum fuerit. Omnino autem fluidis factis fluxionibus, fluidus etiam ſit locus in quem fertur, quoad fluxionis viae prae gracilitate compreſſae fuerint, cum corpus reſiccatum fuerit. Cum enim corpus ſibi ipſi communicet, quamcunque in partem humor obtigerit, ſiccitatem in ſe ſuſcipit ac deducit. Neque vero ipſam deducere eſt difficile, cum cor-

Ed. Chart. VII. [362. 363.] Foës. I. 412. Ed. Lind. I. (372. 373.)
οιδέοντος ὑπὸ ἰσχνότητος· ὅταν δὲ τὰ κάτω ξηρὰ γένωνται, τὰ δ' ἄνω ὑγρά· μᾶλλον δὲ τὰ ἄνω ὑγρά ἐστι τεύχεα· αἱ γὰρ φλέβες ἄνω πλεόνες εἰσιν ἢ κάτω καὶ αἱ σάρκες ἐλάττονες ὑγρότητος δεόμεναι αἱ ἐν τῇ κεφαλῇ· ἄγει δὴ τὸ ξηρὸν τοῦ σώματος τὸ ἐκ τῆς κεφαλῆς ὑγρὸν, καὶ ἅμα καὶ δίοδοί εἰσιν τῷ ἄγοντι μᾶλλον ἢ τῷ ἀγομένῳ. καὶ γὰρ αὗται κερδαίνουσιν ὥστε ξηραὶ ἐοῦσαι, καὶ ἅμα καὶ τὰ ὑγρὰ πέφυκε κάτω χωρέειν, καὶ ἢν βραχείη τις ἀνάγκη γένηται. ῥόοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά, ὁ μὲν κατὰ τὰς ῥῖνας, ὁ δὲ κατὰ τὰ ὦτα, ὁ δὲ κατὰ τοὺς ὀφθαλμούς· οὗτοι οἱ ῥόοι καταφανέες ἐκ τῆς κεφαλῆς τοῖσιν ὀφθαλμοῖσιν. ἐπὴν δ' ἐς τὸν κίθαρον ῥυῇ ὑπὸ [363] ψύχους, χολὴ γίνεται. μᾶλλον δὲ ῥεῖ ἐς τὸν κίθαρον ὑπὸ ψύχους διὰ τόδε, ὅτι εὖρουν γίνεται ἐς τὸν βρόγχον· ὥστε οὐδὲ ξυγκεκαλυμμένον. ὑπὸ δὲ τοῦ ψύχους καὶ κόπος ἔχει. διὰ τοῦτο τοὺς ὑπὸ τῆς χολῆς ἐχομέ(373)νους, ὅτι αἱ σάρκες ὅταν εὐχυμίη ἢ οὐκ ἀτρεμίζουσιν, ἀλλὰ σείονται, καὶ σειόμεναι μοχθέουσιν καὶ κοπιῶσιν,

pus vacuum exiſtat, minimeque prae gracilitate intumeſcat. Cum autem inferiores partes ſiccae evaſerint, ſuperiores vero humidae, ſuperiora enim vaſa magis humida ſunt, cum plures venae ſint parte ſuperiore quam inferiore et capitis carnes minore indigeant humiditate, tum ſane ſicca corporis pars humorem ex capite ducit, ſimulque meatus ei quae ducit magis patent quam ei a qua ducitur. Cum enim ipſi ſicci exiſtant, ex eo ſibi quaeſtum parant, ſimulque humores natura deorſum ferri ſolent, vel ſi vis modica contingat. At vero fluxiones ex capite ſeptem ſunt. Quaedam ſi quidem in carnes, quaedam in aures, quaedam etiam in oculos decumbit. Atque hae quidem ex capite fluxiones oculis ſunt conſpicuae. Ubi vero in thoracem ob frigus defluxerit, bilis exiſtit. Quod ideo fere contingit, quod ad guttur facile defluat, cum minime ſit contectum. Eos vero qui a frigore bile vexantur laſſitudo eam ob cauſam detinet, quod carnes bene habitae minime quieſcunt, ſed concutiuntur, concuſſaeque moleſtia et laſſitudine tentantur, non

Ed. Chart. VII. [363.] Foeſ. I. 412. Ed. Lind. I. (373.)

ὥστε σειόμεναι ὥσπερ ἐν τῇσιν ὁδοιπορίῃσιν. καὶ ἔμπυοι γίνονται, ὅταν ἐς τὸν κίθαρον ῥέῃ καὶ φθισιῶντες. ὅταν δ' ἐς τὸν μυελὸν ῥόος γένηται, φθίσις ἄλλη γίνεται. ὅταν δ' ὄπισθεν ἐς τοὺς σπονδύλους καὶ ἐς τὰς σάρκας ῥιῇ, ὕδρωψ γίνεται, καὶ τῷδ' ἐστὶ γιγνώσκειν. ἦν ξηρὰ τὰ ἔμπροσθεν ᾖ, ἡ κεφαλὴ καὶ αἱ ῥῖνες καὶ οἱ ὀφθαλμοὶ καὶ τοῖσιν ὀφθαλμοῖσι γίνεται ὑμβλυώσσειν καὶ χλωροὶ γίνονται καὶ τὸ ἄλλο σῶμα, καὶ οὐκ ἀποπτύει οὐδέν, οὐδ' ἦν πολὺ ῥέῃ. οὐδὲ γὰρ ὁ ῥόος διὰ τῆς σαρκὸς μέσης ῥέων τῆς ὄπισθεν καὶ τῆς ἔμπροσθεν ὑπεστραμμένος ξηρὰ τὰ ἔμπροσθεν ποιέει. τὴν δ' ὄπισθεν ὑγρὴν σάρκα, καὶ τὴν ἐντὸς μᾶλλον πρὸς τὴν κοιλίην ἢ ἐκτὸς πρὸς τὴν ῥῖνα. διὰ τοῦτο δὲ ἐκτὸς μᾶλλον ἢ ἐντὸς στερεώτερον τὸ σῶμα καὶ στενωτέρας διαπρήσιας ἔχει. ὥστε δὲ λεπταὶ ἐοῦσαι συμπιλέονται καὶ ἀκέονσιν αὗται σφίσιν ἐωϋταῖς, καὶ ῥόος οὐ δύναται ταύτῃ ἰέναι οὐδείς. αἱ δ' εὐρύτεραί τέ εἰσιν αἱ ἐντὸς καὶ λεπτότερα τὰ μεταξὺ ἔχουσαι. ὁ δὲ ῥόος ὥστε ἀφ' ὑψηλοτέρων καὶ λεπτὰ τὰ ἀντικωλύοντα ἔχων, ῥεῖ καὶ πίμπλησιν ὑγρότητος

ſecus ac ex via concuſſae. Quin etiam cum in thoracem fluxio decubuerit, ſuppurati et tabidi fiunt. Cum vero in medullam fluxio contigerit, tabes coeca oritur. Quod ſi vero in vertebras et carnes defluxerit, aqua inter cutem ſuboritur. Inde vero dignoſcas licet, quod anteriores partes ſiccae ſunt, caput ſcilicet, nares et oculi. Quin et oculorum caligo accedit et una cum reliquo corpore ex virore palleſcunt, neque quicquam expuitur, ne ſi multum quidem defluat. Fluxio enim per mediam carnem poſteriore parte delapſa et ab anteriore averſa, anteriores partes ſiccas reddit carnemque in poſteriora irrigat, eamque magis quae ad interiora eſt ad ventrem, quam quae ad exteriora ad nares. Eamque ob cauſam corpus exteriore parte magis quam interiore ſolidum exiſtit et foramina habet anguſtiora. Quae cum tenuia ſint, conſtipantur, ipſaque ſibi ipſis medentur, nullaque hac parte fluxio ferri poteſt. Intra autem cum latiora ſunt tum intermedia tenuiora habent, fluxio vero cum ex altioribus delabatur et tenuia contra ſe objecta ha-

Ed. Chart. VII. [363.] Foës. I. 412. Ed. Lind. I. (373. 374.)
τὰς σάρκας. καὶ ἀπὸ τῶν σιτίων ἐς τὸ αὐτὸ χωρέουσα ἡ ὑγρότης διέφθαρται, διεφθαρμένη δ' αὐτὴ ὑπὸ τῆς συμμίξιος καὶ τὸ ῥέον σὺν αὐτῇ ἀπὸ τῆς κεφαλῆς τρέφουσι τὸ σῶμα. λίην δὲ πολλῷ ὑγρῷ αἱ σάρκες τρεφόμεναι καὶ νοσηλῷ θάλλου(374)σαι, ὑδρωπος ἐμπλεαί εἰσιν. ἢν δ' ὀλίγον ῥεύσῃ, ἰσχιάδα καὶ κέδματα ἐποίησεν, ἐπὴν ῥέον παύσηται. ὥστε γὰρ ὀλίγον ἐρρυηκὸς καὶ πάντοθεν ὠθεύμενον ὑπὸ παντὸς κρέσσονος ἐόντος, ἐς τὰ ἄρθρα ἀποφυγὴν ποιέεται. γίνεται δὲ κέδματα καὶ ἰσχιάδες καὶ ἀπὸ τοιούτων νοσημάτων ὑγιῶν γιγνομένων· ὅταν τὸ μὲν νόσημα τὸ ποιέον ὑγιὲς γένηται, καταληφθῇ δέ τι ἐν τῇ σαρκὶ καὶ μὴ ᾖ αὐτῷ ἡ ἔξοδος, μήτ' αὖ ἔσω μήτε ἔξω, ἀλλ' ἐς τὸ δέρμα φῦμα ποιήσῃ, ἐξιὸν φεύγει ἐς τὸ ὑπεῖκον ἐς τὰ ἄρθρα καὶ ἢ κέδματα ἢ ἰσχιάδα ἐποίησεν. ἢν δὲ συνοιδήσωσιν αἱ ῥῖνες καὶ φλέγματος ἐμπλεαι ἔωσιν συμπεπηγότος τούτου, χρὴ τὸ φλέγμα τὸ συμπεπηγὸς λεπτύνειν ἢ πυρίῃσιν ἢ φαρμάκῳ καὶ μὴ ἀποτρέπειν. ἢν γὰρ

beat, defluit et carnes humiditate replet. Quin et humiditas, quae ex cibis eodem defertur, corrumpitur ipſaque ex commixtione corrupta et quae cum ea ex capite defluit corpus nutriunt. Plurimo vero humore carnes nutritae et morboſo turgidae aqua inter cutem replentur. Quod ſi parum defluxerit, coxarium morbum et diuturnos articulorum affectus, *κέδματα* dicuntur, facit, ſi fluere ceſſaverit. Nam cum exiguum ſit quod affluit et undiquaque a potentioribus partibus depulſum, ad articulos ſe recipit. Diuturni quoque articulorum affectus, *κέδματα* dicti, et coxendicum morbi, iis qui ab ejusmodi morbis convaluerunt, contingunt, quando quod morbum facit ſanum evaſerit, in carne vero quid remanſerit, cui cum neque intro denuo, neque foras exitus pateat, ſed in cute tuberculum creet, in ipſo exitu confugit ad id quod cedere poteſt, articulos nimirum, et aut articulorum diuturnos affectus, *κέδματα* vocant, aut coxendicum morbum parit. Quod ſi nares intumuerint et pituita eaque concreta repleantur, ea ubi concreverit aut fomentis aut medicamentis extenuanda minimeque avertenda eſt. Et-

Ed.Chart.VII. [363. 364.] Foës.I. 412. 413. Ed. Lind.I. (374. 375.)
ἀποτρεφθὲν ἄλλῃ πορεύσει, παντὶ τὸ ῥέεθρον μείζονα νόσον ποιέοι· ὁπόταν δ' ἐς τὰ ὦτα ῥέῃ, τὸ πρῶτον ὀδύνην παρέχει· || βίῃ γὰρ χωρέει. πόνον δὲ παρέχει, ἔστ' ἂν ἀποσυριγγωθῇ. ἐπὴν δὲ μάθῃ ῥεῖν, οὐκέτι πόνον ποιέει, τῷ ὑπὸ τῆς ὀδύνης ἐχομένῳ φάρμακον θερμὸν φύσει χλιαρὸν ποιήσαντα, διέντα [364] μετώπῳ ἐγχεῖν, καὶ ὄπισθεν σικύην ἐμβάλλειν, ἢν τὸ ἀριστερὸν ἀλγέῃ, ἐς τὸ δεξιὸν, καὶ ἢν τὸ δεξιὸν, ἐς τὸ σκαιόν. μὴ κατακρούειν δὲ, ἀλλ' ὡς ἂν ἕλκῃ μοῦνον. ἢν δὲ μὴ πρὸς ταῦτα παύηται, ψύχοντα ἐγχεῖν φύσει (375) ψυχρὰ καὶ φάρμακον πίσαι ὅ τι ἂν κάτω ὑποχώρησιν ποιέῃ, ἄνω δὲ μή, ὥσπερ οὐδ' ἀρήγει ἐμέειν καὶ τἆλλα ψύχειν, καὶ ἀεὶ δὲ ἐκ τοῦ ὑγιὲς μὴ ποιέοντος τρόπου μεταλλάσσειν, καὶ ἢν μὲν κάκιον ποιέῃ, ἔχου ἐς τὸ ὑπεναντίον. ἢν δὲ ῥέπῃ ἐς τὸ ὑγιὲς τὸ πάμπαν μὴ ἀφελεῖν τι τῶν προσφερομένων, μηδ' ἀποζευγῆσαι μηδὲ προσθεῖναι ἄλλο τι. ἢν δὲ ἐσυριγγωμένον ἤδη ᾖ καὶ πεπυωμένος ῥέῃ ἰχὼρ πουλὺς καὶ κακὸν ὀζόμενος,

enim ſi averſa alio feratur, omnino fluxio majorem morbum efficiet. Cum vero ad aures fluxerit, primum dolorem exhibet, vi enim fertur. Dolorem autem exhibet, quoad fiſtula contracta fuerit. Ubi autem fluere conſueverit, non amplius infeſtat. At vero ei quem dolor detinet medicamentum natura calidum tepefactum et metopio ſubactum infundendum et retro cucurbitula admovenda, ad dextram, ſi ſiniſtra auris doluerit, ad ſiniſtram vero, ſi dextra. Nec vero ſcalpello cutis pertundenda, ſed ut trahat tantum. Quod ſi per haec dolor minime ſedetur, ea quae natura refrigerant frigida infundito et medicamentum quod infra dejectionem moveat propinato, ſupra autem minime, cum vomitus nihil conferat, et in reliquo refrigerantibus utendum. Semperque modus qui ſanitatem non inducit permutandus eſt. Quod ſi gravius quidem malum reddiderit, contrariam viam amplectitor. Sin vero ad ſanitatem vergat, nihil omnino ex his quae adhibentur auferendum, neque aliud quicquam adjungendum aut apponendum. At ubi jam contracta fiſtula fuerit, multaque ſanies purulenta et graveolens

Ed. Chart. VII. [364.] Foës. I. 413. Ed. Lind. I. (375. 376.)
τοῦτο ὧδε ποιέειν. σπογγιὰν δεύων ξηραίνοντι τινὶ φαρμάκῳ ξηρῷ, πρὸς τὴν ἀκοὴν ὡς πελαστάτω προσθεῖναι, καὶ πρὸς τὰς ῥῖνας καθαρτήριον ὅπως τοῦ ἐς τὰ ὦτα ῥέοντος πρόσθεν ἐς τὰς ῥῖνας φέρηται καὶ μὴ ἐς τὴν κεφαλὴν πάλιν ἀποχωρέῃ νοσηλὸν ἐόν. ὅταν δ' ἐς ὀφθαλμοὺς ῥεῦμα ἴῃ, φλεγμαίνουσιν οἱ ὀφθαλμοὶ καὶ οἰδέουσιν. τοῦτον χρὴ φαρμάκῳ ἢ τῷ ὑγρῷ ἢ τῷ ξηρῷ ἐν παστῷ ἰᾶσθαι. ἢν δ' αὐτέως φλεγμήνωσιν, μὴ ἔγχριε μηδὲν, ἀλλ' ἢ καῦσαι κατωτάτω ἰσχυροτάτῳ ἢ ἄλλῳ τινὶ ἀπισχνῆναι ὑποχωρητικῷ φαρμάκῳ, φυλασσόμενος μὴ ἔμετον ποιήσῃς. ἢν δὲ οἷον λίθοι ὑποτρέχωσιν, φάρμακον ἐγχρίειν ὅ τι πλεῖστον ἄγειν δάκρυον μέλλει, καὶ τὸ ἄλλο σῶμα ὑγραίνοντα καὶ φλεγμαίνειν ποιέοντα, ὡς ὑγρότεροι οἱ ὀφθαλμοὶ γένωνται καὶ ἐκκεκλυσμένοι, ὡς τὸ δάκρυον συμπεπηγὸς ὑποτρέχειν ποιῇς. ὅταν δ' ἐς τοὺς ὀφθαλμοὺς κατὰ σμικρὸν ῥέῃ καὶ κνιπότητα παρέ(376)χῃ, τοῦτον ἐγχρίειν μαλθακώδει, ὅ τι μέλλει ξηραίνειν ἅμα καὶ δάκρυον ὀλίγον ἄγειν, καὶ πρὸς τὰς ῥῖνας φάρμακον προσ-

effluxerit, iſtud ita faciendum. Spongiam ſicco quodam medicamento ſiccandi facultate praedito imbutam, quam penitiſſime in aurem indito et medicamentum purgans naribus admoveto, ut quod prius ad nares defluebat, in nares feratur, neque id cum morboſum exiſtat, ad caput rurſus redeat. At vero cum ad oculos fluxio decubuerit, oculi inflammatione et tumore vexantur. Sic affectus medicamento aut liquido aut ſicco aſperſo curandus eſt. Quod ſi ſubito inflammationem concipiant, nihil omnino illinito, ſed vel fortiſſimo aliquo medicamento quam maxime infernas partes urito, vel alio quopiam alvum ſubducito et attenuato cautione adhibita ne vomitum provoces. Quod ſi velut lapilli decurrant, medicamentum quod plurimam lachrymam cieat illinito et reliquum corpus humectum et tumidum reddito, quo oculi humidiores evadant ac colluantur, ut concretam lachrymam decurrere facias. Cum autem paulatim in oculos fluxerit pruritumque exhibuerit, ſic affectum molli medicamento, quod ſiccare ſimulque modicam lachrymam ciere poſſit, illinito, naribusque medicamentum admoveto aut

Ed. Chart. VII. [364.] Foës. I. 413. Ed. Lind. I. (376.)

φέρειν ἢ ἑκάστης ἡμέρης ἢ διὰ τρίτης τῷ αὐτῷ χρώμενος. τοιόν τε ἔστω τὸ φάρμακον ὅ τι μὴ πλεῖον ἢ ἐμβάφιον ἀπάγειν μέλλει κατὰ τὰς ῥῖνας, ἀπάγειν δὲ κατὰ σμικρὸν, τὸ δὲ κατὰ τοὺς ὀφθαλμοὺς ἀποξηραίνειν. ὡς ὅ τι ἂν τὸ τῶν ὀφθαλμῶν φάρμακον ἀποξηρήνῃ καὶ ἀποφράξῃ καὶ κατὰ τὰς ῥῖνας ἀποτράπηται. τὰ δὲ φάρμακα τὰ τῆς κεφαλῆς καθαρτήρια, ἃ μὲν αὐτῶν ἰσχυρά ἐστιν, ἀπὸ τῆς κεφαλῆς ἄγουσιν ὕλης, ἄσσα δὲ ἀσθενέα, ἀπὸ τῶν ὀφθαλμῶν, καὶ αὐτόθεν ἀπὸ τῶν πέλας τῆς ῥινός. ἢν δ' ἀπὸ τῆς σαρκὸς καὶ τοῦ ὀστέου μύξης ὑποστάσης μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς ῥεῦμα ἐς τοὺς ὀφθαλμοὺς ἐγγένηται, τῷδε δῆλόν ἐστιν ὅτι ἐντεῦθεν ῥεῖ τὸ ῥεῦμα τὸ ἐπὶ τῇ κεφαλῇ φλιβόμενον καὶ ὑπείκει καὶ ἕλκεα ἐς τὴν κεφαλὴν ἐκθύουσιν καὶ κατὰ τοὺς ὀφθαλμοὺς δακρύουσιν καὶ οὐχ ἕλκοῦνται τὰ βλέφαρα οὐδὲ δάκνει, οὐδ' ἀμβλυώσσειν ποιέει, ἀλλ' ὀξὺ ὁρῶν γίνεται. τὸ γὰρ ῥεῦμα οὐχ ἁλμυρόν ἐστιν ὡς οὐκ ἀπὸ τοῦ ἐγκεφάλου, ἀλλὰ μυξῶδες μᾶλλον. τοῦτον ὧδε χρὴ ἰᾶσθαι· φαρμάκῳ καθαίρειν χρὴ τὴν κεφαλὴν μὴ ἰσχυρῷ, καὶ τὸ σῶμα ἰσχναίνειν καὶ σιτίοισι καὶ φαρμάκοισι κάτω ὑπάγοντα, ὡς

singulis diebus, aut tertio quoque die eodem utens. Sit autem medicamentum ejus generis, quod non amplius quam acetabulum per nares educat, idque paulatim. Quod vero oculis admovetur, siccandi facultate valeat, uti quod oculorum medicamentum resiccarit et obturarit, etiam per nares deducatur. At medicamenta caput purgantia, quae quidem sunt valentia, a toto capite deducunt, quae vero imbecillia ab oculis et inde a vicinis naso partibus. Quod si muco inter os et carnem subsistente, ex carne et osse in oculos fluxio decumbat, ex eo cognosces, quod his ex locis defluat. Quod in capite comprimitur, cedit et ulcera in capite erumpunt, oculique illachrymantur, palpebrae non exulcerantur, neque mordet fluxio neque oculorum aciem hebetat, sed aeger acutius cernit. Siquidem fluxio minime salsa est, cum de cerebro non procedat, verum mucosa magis. Sic affectus hac ratione curandus est. Caput medicamento non valenti purgandum et corpus tum cibis tum medicamentis infra

Ed. Chart. VII. [364. 365.] Foël. I. 413. 414. Ed. Lind. I. (376. 377.)
ἀποξηρανθῇ ἰσχναινουμένου τοῦ σώματος, ἢ ἐκτρεφθῇ τῷ κατὰ τὰς ῥῖνας προστιθεμένῳ φαρμάκῳ. πρὸς δὲ τοὺς ὀφθαλμοὺς οὐδὲν δεῖ φάρμακον προσφέρειν. ἢν δὲ μηδ' οὕτως ὑγιὲς γίνηται, τὴν κεφαλὴν κατατάμνειν ἔστ' ἂν πρὸς τὸ ὀστέον ἴῃς, μὴ μετεώρους [365] μηδ' ἐπικαρσίους τὰς τομὰς ποιέειν. || τάμνειν δὲ ἄχρι τούτου ἄχρις ἂν (377) τοῦ ὀστέου θίγῃς. τάμνειν δὲ πυκνὰ ὡς ἂν τὸ συνεστηκὸς ἐξέλθῃ θᾶσσον διὰ τῶν ἑλκέων ἀποῤῥέον, ἅμα δὲ αἱ τομαὶ πυκναὶ ἐοῦσαι πρόστασιν ποιέωσιν τῇ σαρκὶ πρὸς τὸ ὀστέον. οὕτως ἰᾶσθαι δεῖ, εἰ τούτῳ τοιάδε ἡ ἀποτελεύτησις γίνεται. ἢν μὴ ταῦτ' εὐτρεπῆ εἴῃ οὐκ ἐκήκλυσται, ὥστ' ἐκκλυσομένην ὀξὺ ὁρᾶν ποιέειν, αἰεὶ τῷ ἐφισταμένῳ μαρμαρυγώδης μᾶλλον γίνεται καὶ τὸ ὀξὺ ὁρῶν τοῦ ἀνθρώπου ἀποσβέννυται. ἢν δ' ἐς τὴν ὄψιν ἐς τὸ ὑγρὸν καθαρὸν αἱματῶδές τι ἐσέλθῃ ὑγρὸν, τούτῳ ἡ ὄψις ἔνδον ἐμβαίνεται τοῦ ὀφθαλμοῦ, οὐ στρογγύλον ἐὸν διὰ τόδε. ἐν ᾧ ἂν τὸ αἱματῶδες ἐνῇ, τοῦτο οὐκ ἐμφαίνεται, τούτῳ δὴ ἐλλείπει τὸ φαινόμενον περιφερὲς εἶναι, καὶ προκινέεσθαι αὐτῷ δοκέει πρὸ τῶν ὀφθαλμῶν καὶ οὐδὲν κατ' ἀλήθειαν ὁρᾷ. τούτου χρὴ τὰς φλέ-

ſubducentibus attenuandum, quo attenuato corpore fluxus reſiccetur, aut per medicamentum naribus admotum divertatur. Quod ſi ne ſic quidem convaleſcat, caput ad os usque ſecandum, non ſublimibus neque transverſis ſecturis, ſed ad os ipſum pertingentibus et crebris quidem, quo collectus humor citius per ulcera effluat ſimulque crebrae futurae efficiant, uti caro ad os inſiſtat. Eaque curatio hujusmodi ſucceſſum eſt habitura. Sin minus haec commode praeparata fuerint, non eſt elotus oculus, ut iſta elotione acutius cernere poſſit, ſemperque potius ab incumbente humore ſplendeſcens redditur, hominisque acies extinguitur. Quod ſi in ipſius viſus humorem purum cruentus aliquis humor inciderit, huic pupilla intus in oculo minime eſſe rotunda ob eam cauſam apparet, quod in quo cruentum illud ineſt viſionem non recepit, huicque quod cernitur deſinit rotundum eſſe et ante oculos ei quaedam obverſari videntur, nihilque quicquam re vera ut eſt cernit. Huic venas adurito,

Ed. Chart. VII. [365.] Foës. I. 414. Ed. Lind. I. (377. 378.)

βας ἀποκαίειν τὰς πιεζούσας τὰς ὄψεις, αἳ σφύζουσιν αἰεὶ καὶ μεταξὺ τοῦ τε ὠτὸς καὶ τοῦ κροτάφου πεφύκασι, καὶ ἐπειδὰν ταύτας ἀποφράξῃς, πρὸς τοὺς ὀφθαλμοὺς φάρμακα ὅσα ὑγραίνει πρόσφερε, καὶ δάκρυον ἄπαγε ὡς πλεῖστον, ὅπως τὸ συνεστηκὸς ἐν τοῖσιν ὀφθαλμοῖσιν ἐκκλυθῇ, τὸ τὴν νοῦσον παρέχον, ἢν δ' ὀφθαλμὸς ῥαγῇ, μαλθακοῖσι φαρμάκοισιν χρῆσθαι καὶ στρυφνοῖσιν. ὡς στυφόμενοι τὸ ἕλκος ἐς μικρὸν συνίῃ καὶ ἡ οὐλὴ λεπτὴ ᾖ. ὅταν δ' ἀρ' ἠπηγέμον, δακρύειν τῷ ὀφθαλμῷ ἀρήγει. ὁπόταν δὲ ἐς τὸν κίθαρον ῥέῃ καὶ χολὴ ᾖ, τῷδε δῆλόν ἐστιν. ὀδύνη ἔχει ἐς τὴν λαπάρην, καὶ ἐς τὴν κληῖδα πρὸς τὴν ἐς τὴν λαπάρην καὶ πυρετὸς καὶ ἡ γλῶσσα τὰ ἄνω χλωρὴ γίνεται, καὶ ἀποχρέπτεται ξυμπεπηγότα. ταύτης τῆς (378) νούσου ἑβδομαίῳ ὁ κίνδυνός ἐστιν ἢ ἐνναταίῳ. ὁκόταν ἀμφότερα τὰ πλευρὰ ἀλγέῃ, τὰ δ' ἄλλα ὅμοια ᾖ τῇ ἑτέρῃ, αὕτη μὲν περιπλευμονίη ἐστὶν, ἡ δ' ἑτέρη πλευρῖτις. αὗται δὲ γίνονται διὰ τόδε· ὅταν ἐς τὸν πλεύμονα ῥεύσῃ ἐκ τῆς κεφαλῆς διὰ τοῦ βρόγχου καὶ τῶν ἀρτηριῶν, ὃ πνεύμων ἅτε ψαφαρὸς ἐὼν καὶ ξηρὸς φύ-

quae videndi aciem premunt, quaeque ſemper pulſant et inter aurem et tempora a natura ſitae ſunt, easque ubi occluſeris, medicamenta quae humectant oculis adhibeto, lachrymamque quam plurimam educito, uti quod in oculis conſiſtit et morbum facit colluatur. Quod ſi rumpatur oculus, mollibus et acerbis medicamentis utendum, ut conſtrictum ulcus in anguſtum redigatur cicatrixque tenuis fiat. Cum vero albugo fuerit, lachrymae oculo conferunt. At cum in thoracem fluxio decubuerit biliſque fuerit, quod hinc manifeſtum eſt dolor lateris mollitudinem prehendit et claviculam, quae ei e regione reſpondet, febris adeſt linguaque ſuperiore parte ex viridi palleſcit et concreta excreantur. In hoc morbo periculum ſeptimo aut nono die inſtat. Ubi utraque latera doluerint, reliquaque ſimiliter ut in priore ſe habuerint, haec quidem pulmonis inflammatio eſt, illa vero pleuritis: eamque ob cauſam oriuntur. Cum de capite per guttur et arterias aſperas in pulmonem fluxio incubue-

Ed. Chart. VII. [365. 366.] Foës. I. 414. Ed. Lind. I. (378.)

σει, ἕλκει ἐφ' ἑωϋτὸν τὸ ὑγρὸν ὅ τι ἂν δύνηται, καὶ ἐπὴν εἰσρύσῃ, μείζων γίνεται καὶ ὅταν μὲν ἐς ὅλον ῥεύσῃ, μείζων ὁ λοβὸς γενόμενος ἀμφοτέρων ἔμψαυσεν τῶν πλευρέων καὶ περιπλευμονίην ἐποίησεν. ὅταν δὲ τῆς ἑτέρης μοῦνον, πλευρίτις ἦ. ἡ περιπνευμονίη πολὺ ἐπικινδυνοτέρη ἐστὶ καὶ ὀδύναι πολὺ ἰσχυρότεραί εἰσιν αἱ ἐς τὰς λαπάρας καὶ ἐς τὰς κληῖδας, καὶ ἡ γλῶσσα πολὺ ὠχροτέρη, καὶ τὴν φάρυγγα ἀλγέει ὑπὸ τοῦ ῥεύματος, καὶ κόπος ἔχει ἰσχυρὸς καὶ πνεῦμα ἑκταῖον ἢ ἑβδομαῖον λάζεται. τοῦτον ἢν μὴ ἑβδομαῖον ὁ πυρετὸς ἀφῇ, ἀποθνήσκει καὶ ἀποπνίγεται, ἢ ἀμφότερον. ἢν δ' ἐνναταῖον δύο ἡμέρας διαλιπὼν [366] λάζηται, ὡς τὰ πολλὰ καὶ οὗτος ἢ ἀποθνήσκει ἢ ἔμπυος διαφεύγει. ἢν δὲ δωδεκαταῖον, ἔμπυος γένηται. ἢν δὲ τεσσαρεσκαιδεκαταῖον, ὑγιὴς γίνεται, καὶ ἔμπυοι ὅσοι ὑπὸ περιπλευμονίης ἢ πλευρίτιδος γίνονται, οὐκ ἀποθνήσκουσιν, ἀλλ' ὑγιέες γίνονται. ὡς τὰ πολλὰ ἔμπυοι γίνονται, ὅταν ῥεῦμα ἐς τὸ αὐτὸ ὥσπερ ἐπὶ τῇσι χολῇσιν γένηται. ἀλλὰ τῇσι μὲν χολῇσι πολὺ ἀποῤῥεῖ

rit, is nimirum ſua natura rarus et ſiccus cum exiſtat, quicquid humoris poteſt in ſe attrahit et ubi influxerit, major redditur et ſi quidem in totum fluxerit, fibrae majores redditae utrumque latus attingunt, pulmonisque inflammationem faciunt, cum vero alterum tantum, lateralis ſit morbus, pleuritis dictus. Pulmonis inflammatio longe periculi plenior eſt et dolores ad laterum mollitudinem et claviculas multo vehementiores habet, linguaque longe eſt pallidior, fauces ex fluxione dolor occupat, vehemens laſſitudo detinet et ſpirandi difficultas ſexto aut ſeptimo die prehendit. Hunc niſi febris ſeptimo die dimiſerit, moritur aut ſuffocatur, aut utrumque contingit. Quod ſi nono die duobus interpoſitis diebus corripiat, hic etiam ut plurimum aut moritur aut ſuppuratus evadit. Si vero duodecimo die, ſuppuratus ſit, ſi decimoquarto, convaleſcit. Et qui ex pulmonis inflammatione, aut morbo laterali pus intro colligunt, minime moriuntur, ſed convaleſcunt. Purulenti vero ut plurimum ſiunt, cum fluxio ad eundem locum velut in bilis fluxionibus decubuerit, ſed in bilis quidem fluxionibus multum de-

Ed. Chart. VII. [366.] Foës. I. 414. 415. Ed. Lind. I. (379.)

(379) καὶ ἀποῤῥεῦσαν παύεται. τοῖσι δ' ἐμπύοισιν ἔλασσόν τε ῥεῖ καὶ οὐ παύεται καὶ ἔμπυοι γίνονται, ὅταν ἔλασσον ἀποχρέμπτωνται ἢ ἐπιῤῥεῖ ἐς τὸν πλεύμονα. τοῦτο γὰρ τὸ ἐν τῷ πλεύμονι συνιστάμενόν τε καὶ ἐπιῤῥέον πῦον γίνεται. || τὸ δὲ πῦον συνιστάμενον ἐν τῷ πλεύμονι καὶ ἐν τῷ κιθάρῳ ἕλκοῖ καὶ σήπει, καὶ ἐπὴν ἕλκωθῇ, ἀπὸ τοῦ ἡλκωμένου ἐπιῤῥεῖ καὶ ἐπαναχρεμπτομένου. ἅμα μὲν ἡ κεφαλὴ μᾶλλον ῥεῖ σειομένη, ἅμα δὲ ἐκ τοῦ ἡλκωμένου ἐν τῷ κιθάρῳ καὶ τῷ πλεύμονι μᾶλλον ῥεῖ, καὶ τὰ ἕλκεα κινεύμενα ἐπαναῤῥήγνυται. ὥστε καὶ εἰ παύσαιτο τὸ ἀπὸ τῆς κεφαλῆς ῥέον, τὸ ἀπ' αὐτέων τῶν ἑλκέων ἱκανὸν ἔσται νοῦσον παρασχεῖν. γίνεται δὲ καὶ ἀπὸ ἕλκους ἔμπυος καὶ ῥᾴων αὕτη ἡ νοῦσος. γίνεται δὲ καὶ ἐκτὸς τοῦ πλεύμονος, μάλιστα μὲν ἀπὸ ῥήγματος καὶ ὅταν ἡ σὰρξ φλασθῇ. κατὰ τοῦτο γὰρ πῦον ξυνίσταται καὶ συνιστάμενον εἴ τις σείῃ τὸ σῶμα, κλυδάζεται καὶ ψόφον παρέχει, καὶ καίνονται ταῦτα. φθίσις δὲ γίνεται, ὅταν ἐς τὸ αὐτὸ ὥσπερ τῷ ἐμπύῳ ὁ ῥόος γένηται διὰ τοῦ βρόγχου καὶ τῶν ἀορτέων αἳ ξυνέχουσι τὸν πλεύμονα

fluit, et ubi defluxit, ſedatur, purulentis vero tum minus defluit tum minime ſedatur. Purulenti quin etiam fiunt, cum minus excreant quam ad pulmonem defluat. Quod enim in pulmone colligitur et defluit, in pus vertitur. Pus autem in pulmone et thorace collectum ulcerat et putrefacit. Et ubi ulcus exſiccatum fuerit, ab ulcerata parte, et ab eo quod per ſputum repurgatur defluit. Ac ſimul quidem caput concuſſum magis fluit, ſimulque ex ulcerato thorace et pulmone magis fluit et ulcera motu ipſo reſiccantur, ut etiamſi quod a capite defluit ceſſet, id tamen quod ab ipſis ulceribus procedit, ad morbum faciendum ſatis eſſe poſſit. Fit etiam ab ulcere purulentus et levior hic morbus eſt. Fit vero etiam extra pulmonem, potiſſimum quidem ex rupto et ubi caro contuſſa fuerit, circa quam pus colligitur, collectumque ſi quis corpus concutiat, fluctuat et ſtrepitum facit. Et haec quidem inuſtione curantur. At vero tabes ſit cum ad eundem locum, velut in purulento fluxio fertur per guttur et aſperas arterias aortas appellatas, quae pulmonem et guttur

Ed. Chart. VII. [366.] Foës. I. 415. Ed. Lind. I. (379. 380.)

καὶ τὸν βρόγχον. ἐς δὲ τὸν πλεύμονα ῥέει θαμινὰ κατ' ὀλίγον καὶ ὑγρότητα ἐν τῷ πλεύμονι μὴ ποιεῖ πολλήν. ξηραινόμενον γὰρ τὸ ἐπιῤῥέον ἐν τῷ βρόγχῳ πεπηγὸς, ὥστε οὐκ ἐκκλυζόμενον, ἀλλὰ κατ' ὀλίγον ἐπιῤῥέον καὶ ἐνεχόμενον βῆχα ποιέει. ἔν τε τῇσιν ἀορτῇσιν ἐνεχόμενον τὸ ῥέον, ὥστε στενὰς διατρήσιας ἐχούσας τὰς ἀόρτας, στενοχωρίην τῷ πνεύματι παρέχει καὶ τοῦτο ποιέει πνεῦμα ἔχειν. ὥστε γὰρ ἀναλιπόμενον ἀεὶ ἐπιθυμέει (380) ἀναπνεῖν, καὶ ἐν τῷ πλεύμονι ὥστε οὐκ ἰσχυρῶς ὑγρῷ ἐόντι ξυσμὸς ἐγγίνεται. ὅταν δὲ πολὺ ἀπορῥοῇ τῆς κεφαλῆς οὔτ' ἐν τῷ πλεύμονι ξυσμὸς γίνεται. πολὺ γὰρ αὐτέῳ τὸ ἐπιῤῥέον ἐστὶ καὶ ἔμπυοι ἐκ τῶν φθίσιων τούτων γίνονται, ὅταν ὑγρότερον τὸ σῶμα γένηται, καὶ ὅταν ξηρότερον γένηται ἐκ τῶν ἐμπύων φθισιῶντες. ἔμπυοι τῷδε δῆλοι γίνονται. τὴν λαπάρην ἀρχομένων πόνος ἔχει. ἐπὴν δὲ πῦον ξυνεστήκει ἤδη, ὅ τε πόνος ὁμοίως ἔχῃ, βήξ τε γίνεται καὶ ἐπαναχρέμπτεται πῦον καὶ πνεῦμα ἔχει. ἢν δὲ μή πω ἐῤῥώγῃ ἐν τῇ λαπάρῃ, σείεται καὶ ψοφέει οἷον ἐν

conjungunt. Defluit autem in pulmonem ſenſim aſſidue, nec copioſam in pulmone humiditatem facit. Dum enim reſiccatur quod defluit in gutture concreſcens, nimirum cum non eluitur, ſed ſenſim influit ac detinetur, tuſſim inducit et in aſperis arteriis, aortis dictis, detentum quod influit, cum hae anguſta foramina habeant, anguſtiam ſpiritui exhibet eamque ſpirandi difficultatem facit, ut ea velut deficiente ſemper reſpirare deſideret. Quin etiam in pulmone, cum non admodum humidus exiſtat, pruritus exoritur. Cum vero multum ex capite defluxerit, pruritus in pulmone non ſit, cum ſiquidem copioſum ſit quod in ipſum defluit, et ſuppurati ex tabidis hujusmodi fiunt, ubi humidius corpus redditum fuerit contraque ubi ſiccius, ex ſuppuratis tabidi. Suppuratos hac ratione dignoſcas. Lateris mollitudinem ab initio dolor detinet, ubi vero jam pus collectum eſt et dolor ſimiliter vexat cum tuſſis ſuboritur, tum pus excreatur et difficultas ſpirandi occupat. Quod ſi nondum pus eruperit, in lateris mollitudine concuſſum, velut in utre

Ed. Chart. VII. [366. 367.] Foës. I. 415. Ed. Lind. I. (380. 381.)
ἀσκῷ. ἢν δὲ τούτων μηδὲν προσείη, ἔμπυος δὲ ᾖ, τοῖσιδε χρὴ τεκμαίρεσθαι. πνεῦμα πουλὺ ἔχει, φθέγγεταί τε ὑποβραγχότερον, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ γούνατα. μᾶλλον δὲ κατὰ τὴν λαπάρην ἐν ᾗ τὸ πῖον ἐστὶ, καὶ ὁ κίθαρος συγκεκαμμένος ἐστὶ, καὶ λυσιγυῖα γίνεται καὶ ἱδρὼς περιχεῖται ὅλον τὸ σῶμα, καὶ τοτὲ μὲν δοκέει θερμὸς αὐτὸς ἑωϋτῷ εἶναι, τοτὲ δὲ ψυχρὸς, καὶ οἱ ὄνυχες περιτεταμένοι εἰσὶ, καὶ ἡ κοιλίη θερμὴ γίνεται. τούτοισι χρὴ γινώσκειν τοὺς ἐμπύους. ὅταν δ' ὄπι[367]σθεν ῥεύσῃ ἐς τὴν ῥάχιν, φθίσις γίνεται τούτῳ τοιάδε. τὴν ὀσφῦν ἀλγέει καὶ τὰ ἔμπροσθεν τῆς κεφαλῆς κενὰ δοκέουσιν αὐτῷ εἶναι. χολὴ δὲ τάδ' ἐστὶν ἐπικίνδυνα. ἴκτερος ἢν ἐπιγένηται ἐν τοῖσιν ὀφθαλμοῖσιν καὶ ἐν τοῖσιν ὄνυξιν πελιδνὰ ὅταν γένωνται, καὶ ἐς τὸ σῶμα ὅταν ἔχῃ (381) ἕλκεα καὶ τὰ περὶ τὰ ἕλκεα πελιδνὰ ᾖ, καὶ ὁ ἱδρὼς ὁκόταν μὴ καθ' ὅλον τὸ σῶμα ἐκθύῃ, ἀλλὰ καθ' ἓν μέρος τοῦ σώματος, καὶ ὅταν τοῦ πυρετοῦ ἔτι ὄντος ἐπανακρέμπτηται χλωρὸν, ἢ ἐνεόντος ἐν τῷ πλεύμονι ἔτι τοῦ χλωροῦ ἡ ἐπανάκρεμψις παύσηται. τοῦτο δὲ δεῖ γινώσκειν ὅταν

strepitum edit. At si horum nihil adfuerit, suppuratio tamen adsit, ex his signis conjecturam facias. Magna spirandi difficultas adest, subraucum loquitur, pedes et genua intumescunt, magis vero ex ea lateris mollitudine in qua pus inest, thorax incurvatur et membrorum solutio oritur, sudore etiam totum corpus perfunditur, interdum quidem sibi calidus, interdum etiam frigidus videtur, ungues circumtenduntur et venter incalescit. Atque ex his suppurati dignoscendi sunt. Cum vero posteriore ex parte fluxio in spinam decubuerit, huic tabes ejusmodi suboritur. Lumbos dolor occupat et anteriores capitis partes ipsi vacuae videntur. At vero bilis hoc modo periculi plena est, si in oculis regius morbus oboriatur, in unguibus livores suborti fuerint, corpus ulcera habeat partesque circa ulcera lividae fuerint, cum sudor non toto corpore, sed aliqua tantum corporis parte erumpit et cum febre remanente ex pallido virescens excreatur, aut si excreatio cessat cum adhuc in pulmone remanet ex pallido virescens. Quod ipsum contineatur

Ed. Chart. VII. [367.] Foël. I. 415. 416. Ed. Lind. I. (381.)

ἐνῇ καὶ ὅταν μὴ ἐνῇ. ὅταν ἐνῇ, ἐμψοφεῖ ἐν τῇ φάρυγγι ἀναπνέοντος καὶ πνεῦμα ἐπικίνδυνον καὶ λὶξ καὶ ὁ πυρετὸς ἀπιὼν, ἀποχρέμματος ἔτι ἐν τῷ πλεύμονι ἐόντος, καὶ ἡ κοιλίη ἀσθενέος ἤδη ἐόντος ὑποχωρέουσα. || ταῦτα πλευρίτιδος καὶ περιπλευμονίης ἐπικίνδυνα. πλευρῖτιν ὧδε χρὴ ἰᾶσθαι. τὸν πυρετὸν μὴ παύειν ἑπτὰ ἡμερέων. πότῳ δὲ χρήσθω ἢ ὀξυμελικρήτῳ ἢ ὄξει καὶ ὕδατι. ταῦτα δὲ χρὴ προσφέρειν ὡς πλεῖστα, ὡς ἐπίτεγξις γένηται καὶ γινομένη ἐπανάχρεμψιν ποιέῃ, καὶ τὴν ὀδύνην παύειν θερμαντηρίοισι φαρμάκοισιν καὶ καταῤῥοφεῖν διδόναι ὅ τι ἐπανάχρεμψιν ποιήσει, καὶ λουτροῖσι χρῆσθαι τεταρταίοισιν. τῇ δὲ πέμπτῃ καὶ τῇ ἕκτῃ χρίειν ἐλαίῳ. τῇ δὲ ἑβδόμῃ λούειν, ἢν μὴ ὁ πυρετὸς μέλλῃ ἀφιέναι, ὡς ὑπὸ τοῦ λουτροῦ ὅ ἱδρὼς ἐγγένηται, καὶ ἔτι τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ ἰσχυροτάτοισι χρῆσθαι τοῖσιν ἐπαναχρεμπτηρίοισι φαρμάκοις, ὡς τὴν ἑβδόμην ὅ τι ῥᾳϊστα ἡμέρην ἀγάγῃ. ἢν δὲ μηδὲ τῇ ἑβδόμῃ ἡμέρῃ παύσηται, τῇ ἐννάτῃ παύσεται, ἢν μή τι ἄλλο τῶν ἐπικινδύνων γένηται. ἐπὴν δὲ ὁ πυρετὸς ἀφῇ ῥοφήματα ὡς ἀσθενέστατα ποιέων προσφερέειν. ἢν δὲ

necne dignoſcendum. Cum remanet, in faucibus reſpirantis ſtrepitum edit, difficultas ſpirandi periculi plena adeſt et ſingultus febrisque diſcedit excreatione adhuc in pulmone exiſtente et debili jam aegro alvus ſecedit. Iſta ſunt pulmonum inflammationis et lateralis morbi periculoſa indicia. Lateris morbi haec inſtituenda curatio eſt. Febrem per ſeptem dies ne ſedato, potione vero aut aceto mulſo aut aceto et aqua utendum eaque quam plurima offerenda, ut quae inde contingit madefactio excreationem faciat. Dolor medicamentis calefacientibus ſedandus et ſorbitione exhibendum quicquid excreationem movere poſſit. Balneis etiam quarto die utendum, quinto autem et ſexto oleo illinendum. Septimo lavandum, niſi febris dimiſerit, uti ex balneo ſudor ꝙboriatur. Quinto inſuper et ſexto validiſſimis utendum excreationem promoventibus medicamentis, quo quam facillime ſeptimum transigat diem. Quod ſi neque ſeptimo die deſierit, nono deſinet, niſi aliud quiddam periculum contingat. At ubi febris dimiſerit, ſorbitiones quam debiliſſimae

Ed. Chart. VII. [367.] Foël. I. 416. Ed. Lind. I. (381. 382.)
ἰηθμὸς ἐγγίνηται, ἢν μὲν ἔτι νεαροῦ τοῦ σώματος ἐόντος, τῶν (382) ποτῶν ἀφαιρέειν, ἢν δὲ τοῦ πυρετοῦ ἀφίκοντος, πυρίνοις τοῖς ῥοφήμασι χρῶ, καὶ τὴν περιπλευμονίην τὸν αὐτὸν τρόπον ἰῶ. τοὺς ἐμπύους καθαίρειν τὴν κεφαλὴν μὴ ἰσχυροῖσι φαρμάκοισιν, ἀλλὰ κατὰ μικρὸν ἀποτρέπειν ἐς τὰς ῥῖνας καὶ ἅμα διαχωρητικοῖσιν σιτίοισι χρῆσθαι, καὶ ἐπὴν ἡ ἀρχὴ τοῦ νοσήματος μηκέτι ᾖ, ἀλλ' ἐκτρέπεται ὁ ῥόος, ἐπανάχρεμψιν ποιέεσθαι, καὶ βῆχα ποιέειν, καὶ ἐγχύτοισι φαρμάκοισιν χρῆσθαι καὶ σιτίοισιν ἅμα. ὁπόταν δὲ δεῖ ἀπόχρεμψιν ποιέεσθαι, καὶ πλέοσι σιτίοισι καὶ ἁλυκοῖσι χρῆσθαι καὶ λιπαροῖσι, καὶ οἴνῳ αὐστηρῷ, καὶ βῆχα ποιέειν ὅταν ὧδε ἔχῃ, καὶ τοὺς ὑπὸ τῆς φθίσιος τὸν αὐτὸν τρόπον τἆλλα, πλὴν τὰ σιτία μὴ πολλὰ ἅμα, καὶ τὰ ὄψα μὴ πλέονα ἢ τὰ σιτία καὶ τῷ οἴνῳ ὑδαρεῖ χρῶ ἐπὶ τῷ σιτίῳ, ὡς μὴ θερμαίνῃ καὶ τῷ σώματι ἀσθενεῖ ἐόντι θερμότητα παρέχῃ καὶ ἅμα ἀμφότερα θερμαίνωσιν ἐν τῷ αὐτῷ χρόνῳ καὶ θερμωλῇ ποιέουσιν ῥεῦμα πουλύ. ὁπόταν διὰ τοῦ οἰσοφάγου ἐς τὴν κοιλίην ῥεύσῃ, νῆσις γίνεται κάτω, ἔστι δ' ὅτε καὶ ἄνω.

offerantur. Si vero vacuatio oboriatur, ſi quidem corpus adhuc juvenile exiſtat, potum ſubducito. Quod ſi febris deceſſerit, triticeis ſorbitionibus utitor. Eodemque modo pulmonis inflammationem curato. Suppuratis caput minime validis medicamentis purgandum, ſed ſenſim ad nares avertendum, cibisque ventrem ſubducentibus utendum. Et ubi morbi principium non amplius fuerit, ſed fluxus divertitur, excreatio promovenda et tuſſis excitanda et tum medicamentis quae infunduntur tum cibis utendum. Cum autem excreatio movenda eſt, pluribus etiam cibis tum ſalſis tum pinguibus vinoque auſtero utendum et cum hoc modo habuerit, tuſſis excitanda. Tabidos quin etiam quo ad reliqua curabis ad eundem modum, praeterquam quod cibaria non multa ſimul exhibenda, neque opſonia plura quam cibaria et vino diluto inter cibos, ne calefaciat, utendum et in corpore debili calorem exhibeat et utraque ſimul eodem tempore calefaciant et calore multam fluxionem inducant. Ubi per gulam in ventrem fluxio decubuerit, infra accumulatio

Ed. Chart. VII. [368.] Foës. I. 416. Ed. Lind. I. (382. 383.)

[368] τούτῳ ἢν μὲν ὀδύνη ἐνῇ ἐν τῇ γαστρὶ, ὑπεξάγειν πρῶτον φαρμάκῳ ἢ χυλῷ. ἔπειτα φαρμάκῳ ἰσχυροτέρῳ χρῆσθαι. τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσιν ἕως ἂν ἡ ὀδύνη ἔχῃ. ἐπὴν δὲ παύσηται ἡ ὀδύνη καὶ τοῖσι σιτίοισιν ἰσχυτηρίοισι χρῆσθαι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὴν πολλὰς ἡμέρας ἡ νῆσις ἔχῃ, ἰᾶσθαι. ἢν δὲ ἀσθενὴς ᾖ καὶ μὴ δύνηται προσφέρεσθαι ὑπὸ ἀσθενείης, κλύ(383)ζειν πρῶτον μὲν χρὴ χυλῷ πτισάνης· ἔπειτα ἐπὴν τούτῳ καθήρῃς, τῶν στυφόντων τινί. ὁπότε δ' ἐς τὴν σάρκα ὄπισθεν παρὰ τοὺς σπονδύλους ῥεύσαντας ὕδρωπα ποιήσῃ, ὧδε χρὴ ἰᾶσθαι. καίειν τὴν σάρκα τὴν ἐν τῷ τραχήλῳ μεταξὺ τῶν φλεβῶν ἐσχάρας τρεῖς, καὶ ἐπὴν καύσῃς, ξυνάγειν καὶ ποιέειν ὡς ἰσχνοτάτας οὐλὰς, καὶ ἐπὴν ἀποφράξῃς πρὸς τὰς ῥῖνας φάρμακον πρόσφερε, ὡς ἐκτρέπηται καὶ ἀσθενὲς αὖθις, ἕως ἂν ἀποτρεφθῇ, καὶ τὰ μὲν ἔμπροσθεν τῆς κεφαλῆς θέρμαινε, τὰ δ' ὄπισθεν ψῦχε, καὶ ἐπήν σοι ἐκτεθερμασμένος ᾖ τὰ ἔμπροσθεν τῆς κεφαλῆς, σιτία ἐσθίειν τὰ φλεγματωδέστατα καὶ ἥκιστα διαχωρητικὰ,

interdumque ſupra ſit. Huic quidem ſi dolor in ventre adfuerit, is primum medicamento aut ſucco ſubducendus, deinde medicamento valentiore utendum, cibis vero alvum ſubducentibus quamdiu dolor detinuerit. At ubi dolor ſedatus fuerit, cibis roborantibus utendum. Ad eundem vero modum etiam ubi per multos dies accumulatio detinuerit, curato. Quod ſi imbecillus fuerit et prae imbecillitate iſta offerri nequeant, primum quidem ptiſanae ſucco alvus per infuſum eluenda, deinde ubi per hunc purgaris, adſtringente aliquo utendum. Cum autem in carnem poſteriore parte juxta vertebras illapſa fluxio aquam inter cutem excitarit, hunc in modum curato. Cervicis carnem quae in medio eſt venarum tribus cruſtis inurito, inuſtum conſtringito et quam tenuiſſimas cicatrices facito. Et ubi viam intercluſeris, medicamentum ad nares admoveto, ut eo divertatur et imbecillum rurſus, donec alio avertatur, ac anteriores quidem capitis partes calefacito, poſteriores vero refrigerato. Et poſtquam partibus capitis anterioribus excalfactus tibi videbitur, cibos edat, qui corpus maxime tumefaciunt et minime

Ed. Chart. VII. [368.] Foëſ. I. 416. 417. Ed. Lind. I. (383. 384.)
ὡς ὅτι μάλιστα διευρυνθῶσιν αἱ ῥοιαὶ αἱ ἔμπροσθεν τῆς κεφαλῆς. ἔπειτα δ' ἐπὴν ἀποφράξῃς καὶ ἀποτρέψῃς τὴν ἐπίῤῥησιν, ἤν τι πρὶν ἢ εὐτρεπίζειν τὸ ῥεῦμα ἐς τὸ σῶμα ἔλθῃ, ὧδε χρὴ ἰᾶσθαι. || ἢν μὲν μᾶλλον πρὸς τὸ δέρμα ἐκκεχωρηκὸς ᾖ, τὰ ἔξωθεν πυριῶντα· ἢν δ' ἔνδον πρὸς τὴν κοιλίην, ἔξωθεν δὲ μὴ δῆλον ᾖ, φάρμακον πιπίσκοντα· ἢν δ' ἐπ' ἀμφότερα, ἀμφοτέρων ἀφαιρέειν. ἐπιτηδεύειν δὲ χρὴ ἐγγυτάτην ἔξοδον ποιέειν, ἤν τε κάτω, ἤν τε ἄνω, ἤν τε ἄλλη ὕπη τοῦ σώματος ἔξοδοί εἰσιν. ὁπόταν ἰσχιὰς ἀπὸ ῥόου γένηται, σικύην χρὴ προσβάλλειν καὶ ἕλκειν ἔξω καὶ μὴ καταικρούειν καὶ ἔνδοθεν θερμαντήρια φάρμακα (384) πιπίσκοντα διαθερμαίνειν, ὅπως ἔξοδος ᾖ καὶ ἔξω ἐς τὸ δέρμα ὑπὸ τῆς ἑλκύσιος τῆς σικύης καὶ ἐντὸς πρὸς τὴν κοιλίην ὑπὸ τῆς θερμασίης. ὁπόταν γὰρ ἀποφραχθῇ καὶ μὴ ἔχῃ ὕπῃ ὁδοιπορέῃ, ὁδοιπορέουσα ἐς τὰ ἄρθρα ῥεῖ ἐς τὸ ὑπεῖκον καὶ ἰσχιάδα ποιέει ἢ ὄπισθεν φθίσιν. τούτῳ τὴν κεφαλὴν καθαρτέον ἀσθενεῖ φαρμάκῳ, ἕως ἂν ἀποτρεφθῇ ὁ ῥόος,

ventrem ſubducunt, quo fluxionis meatus anteriore capitis parte quam maxime dilatentur. Poſteaquam vero viam intercluſeris et id quod affluit averteris, ſi quid prius quam fluxionem ad curationem accommodaris ad corpus pervenerit, hoc modo curare oportet. Siquidem ad cutem magis proceſſerit, externis partibus fomentum adhibendo, ſi vero intro ad ventrem neque foris conſpicuum ſit, medicamentum propinando, ſin utramque in partem, utrimque detrahendo. Diligentia autem adhibenda eſt ut quam proximum exitum facias, ſive ſupra ſive infra ſive alia quavis corporis parte exitus detur. Cum coxendicum morbus ex fluxione oritur, cucurbitula admota foras attrahere oportet, neque cutem ſcalpello pertundere et caleſacientia propinando intus caleſacere, ut exitus pateat tum extra ad cutem per cucurbitulae tractionem tum intra ad ventrem per caliditatem. Ubi namque fluxioni via intercluſa fuerit, neque habuerit quo procedat, via ad articulos facta, in id quod cedit defluit, et coxendicum morbum inducit, aut poſteriorum partium tabem. Sic affecto caput medicamento imbecillo

Ed. Chart. VII. [368. 369.] Foël. I. 417. Ed. Lind. I. (384. 385.)
καὶ τῇ διαίτῃ ὥσπερ ἔμπροσθεν χρῶ. φόρμακον δὲ πίσον ἐλατήριον καὶ κάτω γάλακτι κλύσον. τὰ δ᾽ ἄλλα πυρίησιν ἰῶ. ἐπὴν σπλὴν ὑπὸ πυρετοῦ μέγας γένηται, γίνεται δὲ ὅταν τὸ σῶμα λεπτυνθῇ. τοῖσι γὰρ αὐτοῖσιν ὅ τε σπλὴν θάλλει καὶ τὸ σῶμα φθίνει. ὅταν δὲ τὸ σῶμα λεπτὸν ᾖ καὶ ὁ σπλὴν θάλλῃ καὶ τὸ ἐπίπλοον ἅμα τῷ σώματι λεπτυνθῇ, ἡ πιμελὴ ἡ ἐν τῷ ἐπιπλόῳ ἐκτήκεται. ἐπὴν δὲ ταῦτα κενὰ πιμελῆς γένηται καὶ ἀπὸ τοῦ σπληνὸς θάλλοντος ἀποῤῥέοι ἐς τὸ ἐπίπλοον, ὡς ἐγγύτατα ἐὸν τὸ ἐπίπλοον, ὥστε τεύχεα ἔχον καὶ ταῦτα κενεὰ ἐσδέχεται, καὶ ἐπὴν τὸ νόσημα ἅπαξ ἐν τῷ σώματι γένηται, [369] ἐς τὸ νοσέον τρέπεται, ἢν μή τις εὐτρεπίζῃ. ὡς καὶ τὸ εὐτρεπιζόμενον ἐπὶ κινδύνου. τοῦτον ὧδε ἰᾶσθαι. φάρμακα πιπίσκειν ὑφ᾽ ὧν ὕδωρ καθαιρεῖται καὶ σιτία τὰ φλεγματωδέστατα διδόναι. ἢν δὲ μηδ᾽ οὕτω ῥᾴων γένηται, καίειν ὡς λεπτότατα καὶ ὡς ἐπιπολαιό(385)τητα, ὅπως τὸ ὕδωρ ἴσχειν δύνῃ πέριξ τοῦ ὀμφαλοῦ, κύκλον δὲ ἐς τὸν ὀμφαλὸν μίαν καὶ ἀφιέναι ἑκάστης ἡμέρης. τῶν

purgandum, donec alio avertatur fluxio, et victus ratione velut antea utendum. Medicamentum autem potui exhibeto deorsum purgans, et alvum inferiorem lacte infuso subluito, caetera fomentis curato. Cum lien ex febre tumidus extiterit, quod fit cum corpus extenuatur. Ex iisdem enim et lien augescit et corpus contabescit. Cum autem corpus extenuatur, et lien turgescit, una etiam cum corpore omentum extenuatum fuerit, eius pinguedo colliquescit. Ubi vero partes istae pinguedine vacuae fuerint, et ex liene turgescente in omentum defluxerit, quod cum nimirum valde vicinum existat et vasa vacua habeat, id excipit, atque ubi semel in corpore morbus exortus fuerit, ad id quod morbosum est vertitur, nisi quis recte tractet, ut etiamsi bene tractetur, periculo non careat. Hunc sic curato. Medicamenta per quae aqua purgetur potui exhibenda, et cibi maxime tumefacientes offerendi. Quod si ne sic quidem levius habeat, quam tenuissimis et leviss imis crustis, quo aquam emittere possis, in umbilici ambitu inurito et supra umbilicum unam singulisque diebus emittito. Cumque morbus

Ed. Chart. VII. [369.] Foël. I. 417. Ed. Lind. I. (385.)

νοσημάτων ὅ τι ἂν ἐπικινδυνότατόν ἐστιν, ἐν τούτοισι παρακινδυνεύειν χρή. ἐπιτυχὼν μὲν γὰρ ὑγιᾶ ποιήσεις, ἀτυχήσας δ' ὅπερ καὶ ὡς ἔμελλε γίνεσθαι, τοῦτ' ἔπαθε. παιδίῳ δὲ χρὴ ὕδρωπα ὧδε ἰᾶσθαι. τὰ οἰδέοντα καὶ ὕδατος ἔμπλεα ἐξοίγειν μαχαιρίῳ, πυκνὰ καὶ σμικρὰ ἐξοίγοντα. ἐξοίγειν δ' ἐν μέρει ἑκάστῳ τοῦ σώματος καὶ πυρίῃσι χρήσασθαι καὶ ἀεὶ τὸ ἐξοιγόμενον χρίειν θερμαντηρίῳ φαρμάκῳ. πλευρῖτις ξηρὴ ἄνευ ῥόου γίνεται ὅταν ὁ πλεύμων λίην ξηρανθῇ ὑπὸ δίψης ἀναγκαίης. ὁ γὰρ πλεύμων ἅτε ξηρὸς ἐὼν, ἐπήν τι μᾶλλον ξηρανθῇ τῆς φύσιος, ἰσχνὸς γίνεται καὶ ἀκρατὴς γενόμενος καὶ κλισθεὶς ἐς τὸ πλευρὸν ὑπ' ἀκρασίης ψαύει τοῦ πλευροῦ, καὶ ἐπὴν θίγῃ, ὑγροῦ ἐόντος ἅπτεται καὶ πλευρῖτιν ποιέει. τότε δὲ καὶ ὀδύνη γίνεται ἐς τὸ πλευρὸν καὶ ἐς τὴν κληῖδα καὶ πυρετὸς καὶ ἐπαναχρέμπτεται λευκόν. τοῦτον χρὴ πολλοῖσι πότοισιν ἰᾶσθαι καὶ λούειν καὶ τῆς ὀδύνης φάρμακον διδόναι, καὶ τἆλλα τὰ ἀνάχρεμψιν ποιεῦντα. οὗτος ἐν ἡμέρῃσιν ἑπτὰ ὑγιὴς γίνεται, καὶ τὸ νόσημα ἀκίνδυ-

inter alios maxime periculi plenus ſit, in his periclitari oportet. Nam ſi quidem ſucceſſerit, ſanum reddes, ſin vero fruſtatus fueris, nihil gravius quam quod eventurum erat perpetietur. At in puero aquam inter cutem ſic curato. Tumidas et aquae plenas partes gladiolo aperito, crebroque ac parum et a ſingulis corporis partibus educito, ſomentisque utitor et ſemper quod apertum eſt caleſaciente medicamento illinito. Lateralis morbus ſiccus citra fluxionem oritur, cum ex vehementi ſiti pulmo admodum reſiccatus fuerit. Pulmo enim cum ſiccus exiſtat, ubi amplius quam pro natura reſiccatus fuerit, gracilis evadit et impotens redditus ad latus prae impotentia inclinatur, ipſumque contingit, eoque contacto, cum humidum exiſtat, ei adhaereſcit et morbum lateralem facit. Tunc vero dolor ad latus et jugulum oboritur et febris et album excreat. Hic multis potionibus curandus eſt et lavandus, eique medicamentum quod dolorem ſedet exhibendum, aliaque quae excreationem faciunt. Hic intra ſeptimum diem convaleſcit, neque

Ed. Chart. VII. [569.] Foës. I. 417. 418. Ed. Lind. I. (385. 386.)

νόν ἐστιν, καὶ σιτία οὐ χρὴ διδόναι. πυρετοὶ δι' αὐτὸ δὲ γίνονται, ὅταν τοῦ σώματος ὑπερφλεγμήναντος αἱ σάρκες ἀνοιδήσωσιν καὶ τὸ φλέγμα καὶ ἡ χολὴ κατακλεισθέντα ἀτρεμίζωσι, καὶ μὴ ἀνα(386)ψύχηται μηδὲν μήτ' ἐξιὸν μήτε κινεύμεον μήτ' ἄλλου ὑπιόντος. ὁπόταν κόπος ἔχῃ καὶ πυρετὸς καὶ πλησμονὴ, λούειν χρὴ πολλῷ || καὶ χρίειν ὑγρὸν καὶ θερμαίνειν ὡς μάλιστα, ὡς ἢ θερμωλὴ ἀνοιχθέντος τοῦ σώματος ὑπὸ τοῦ ἱδρῶτος ἐξέλθῃ. ἐξῆς δ' εὖ αὐτὰ ποιέειν καὶ τρεῖς καὶ τέσσαρας ἡμέρας, καὶ ἢν μὴ παύηται, φάρμακον πίσαι χοληγωγικὸν καὶ ψύχειν τὸν πυρετὸν πρὶν ἢ τεταρταῖος ἔῃ. μηδ' ὡς ἂν τὸ σῶμα θάλλῃ πιπίσκειν φάρμακον. οὐ γὰρ κρίνονται εἰ μὴ σμικρὸν, ὥστε συνοιδέοντος τοῦ σώματος. ἐπὴν δὲ ἰσχνὸς ἔῃ, πιπίσκειν, καὶ ἠνήσεται πυρετῷ. σιτίον μὴ προσφέρειν μηδὲ ῥοφήμασιν ὑπεξάγειν, καὶ πιὼν ὕδωρ θερμὸν καὶ μελίκρατον καὶ ὄξος σὺν ὕδατι. ταῦτα δὲ πιπίσκειν ὡς πλεῖστα. ἢν γὰρ μὴ ψυχρὸν ἐσίῃ τὸ ποτὸν θερμὸν ἐὸν καὶ μένον, ἐκ τοῦ σώματος τοῦ νοσέοντος ἀφαι-

morbus periculosus est, neque cibos exhibere oportet. At vero febres hanc ob causam oriuntur. Cum corpore tumidiore reddito carnes intumuerint, pituita bilisque conclusae conquieverint, nihilque refrigeretur neque exeat neque moveatur neque aliud quid subeat. Cum lassitudo febris et plenitudo detinuerit, multa atqua lavandum, et liquido illinendum et quam maxime calefaciendum, quo calor aperto per sudorem corpore exeat, haecque consequenter tribus aut quatuor diebus facienda. Quod si non sedetur, medicamentum quod bilem educat propinato et febrem perfrigerato, prius quam ad quartanam deveniat. Neque tamen dum corpus turgescit medicamentum potui exhibendum. Non enim judicationem nisi parvam subeunt, nimirum corpore intumescente. Cum autem gracilis fuerit, propinandum, et expurgabitur. In febre cibus minime offerendus, neque sorbitionibus alvus subducenda. In potu exhibenda calida, aqua mulsa et acetum cum aqua, eaque quam plurima propinanda. Potus enim minime frigidus in corpus ingestus, cum calidus existat et maneat, ex aegro corpore detrahit,

Ed. Chart. VII. [369. 370.] Foës. I. 418. Ed. Lind. I. (386. 387.)
ρέει, ἤν τε διουρήσῃ ἤν τε διιδρώσῃ. πάντη δὲ ἀνοιγόμενόν τε καὶ ἀναπνέον καὶ κινούμενον τὸ σῶμα συμφέρον ποιήσει. ἐπὴν δὲ ἰσχνὸν ἐόντα καίῃ, δῆλον ὅτι οὐ διὰ τὸ φλεγμαίνειν ὁ πυρε[370]τὸς ἔχει, καὶ ἢν μὴ παύηται τρέφειν καὶ φλεγμαίνειν ποιέειν, καὶ ἢν μηδ' οὕτω ξυμφέρῃ, δῆλον ὅτι οὐκ ἐχρῆν τὸν πυρετὸν παρέχειν. τοῦτον χρὴ φάρμακον πίσαι, ὡς ὑπεξάγῃ ὅπῃ ἂν μᾶλλον ὁ πυρετὸς ἔχῃ, ἤν τε κάτω ἤν τε ἄνω. ἢν μὲν (387) ἄνω, ἄνω· ἢν δὲ κάτω, κάτω. οὐδὲν δ' ἧσσον δεῖ τοὺς ἀσθενέοντας τῶν ἰσχυρῶν φαρμάκων πιπίσκειν, ἀλλ' ὁμοίως ἢ μοῦνον οὕτω, τοῖσι μὲν ἰσχυροῖς ἰσχυρὸν, τοῖσι δ' ἀσθενέσιν ἀσθενές. τὰς δὲ πυρώσιας ποτοῖσι καὶ ῥοφήμασιν, ὥσπερ τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν καμμάρῳ ἢ ἄλλῳ τινὶ τοιούτῳ, καὶ ἐπὴν ναυτιῶτο τῷ ψυκτηρίῳ, θερμαντηρίοισι χρῶ ἐξῆς. ἐπὴν δὲ μὴ παύηται, ψυκτηρίοισι πάλιν χρῆσθαι. ἕτερον ὧδε χρὴ ἰᾶσθαι. ἐπὴν παραλάβῃς, τρέφε καὶ λουτροῖσι καὶ πιαντηρίοις καὶ πτοῖσι καὶ σιτίοισι καθυγραίνειν τρεῖς ἢ τέσσαρας ἡμέρας. ἐπὴν δ'

sive urinas deducat, sive sudorem eliciat. Undique enim apertum corpus et respirans ac motum, quod conducat faciet. Quod si gracilem febris urat, manifestum quod non ob corporis tumorem febris detinet, ac si non cesset, nutrire et tumidum reddere oportet. Quod si ne sic quidem conducat, manifestum non oportuisse per oblatos cibos febrem inducere. Huic medicamentum propinandum quod educat qua parte magis febris detinet, sive superiore sive inferiore. Et si superiore quidem, supra, si inferiore, infra. Nihilo vero minus etiam debilibus medicamenta valentia sunt propinanda, sed similiter, aut hoc modo tantum, robustis quidem ut valens, debilibus vero debile exhibeatur. Ardores autem potionibus et sorbitionibus veluti febrem refrigerante medicamento exsolvito, aut alio quopiam id genus. Ac ubi ex refrigerante ad nauseam devenerit, calefacientibus deinceps utitor. Quod si non cesset, refrigerantibus rursus utendum. Morbum regium ad hunc modum curare oportet. Ubi curandum susceperis, nutrito, lavato et pinguefacientibus tum potibus tum cibis tribus aut quatuor

Ed. Chart. VII. [370.] Foës. I. 418. Ed. Lind. I. (387. 388.)
ὑγρανθῇ τὸ σῶμα, καθαίρειν καὶ ξηραίνειν τὸ σῶμα, λιπαρά τε ἐξαίφνης ἐξαρύσαι, πάντη τε προσφέρων φάρμακον, εἰ δυνατὸν ᾖ ὑγρότητα ἐξάγειν. πρὸς δὲ τὴν κεφαλὴν καθαρτηρίῳ ἀσθενεῖ, καὶ οὐρητικὰ πιπίσκειν, καὶ πρὸ τῶν σιτίων τοῦτον τὸν χρόνον, ἢν καθάρῃς τὴν τεταραγμένην ὑγρότητα, κατὰ ποτὸν δίδου, ὡς μὴ τρέφηται ἀπὸ τούτου τοῦ χρόνου τὸ σῶμα. ὅταν δὲ ἰσχναίνηται, καὶ λουτροῖσι καθαίρειν. τοῦ δὲ σικύου τοῦ ἀγρίου τὴν ῥίζαν κόψας, ἐς ὕδωρ ἐμβαλὼν, ἀπὸ τούτου λοῦε. χοληγαγὰ δὲ φάρμακα μὴ πίπισκε, ὡς μὴ ταράσσῃ μᾶλλον τὸ σῶμα τοῦτον. ἐπὴν δὲ ξηρὸν ᾖ τὸ τεταραγμένον, τρέφε μηδενὶ ὑποχωρητικῷ φαρμάκῳ μηδὲ διουρητικῷ, ἀλλ᾽ οἴνῳ οἰνώδει καὶ ἄσσα ἐρυθρότερον ποιέει (388) τὸν ἄνθρωπον τούτοισιν. ἢν δὲ χλωρὸς ᾖ, πάλιν ἐξαρῦσαι, ξηραίνειν δὲ μηδαμᾶ, ὡς μὴ παγῇ χλωρὸς ἐών. θηρίον ἐπέρχεται ἐπὶ τὸ σῶμα διὰ τόδε. ἐπὴν φλεγμαίνῃ ἡ σὰρξ ἡ περιξ καὶ οἱ κρημνοὶ μεγάλοι ἔωσιν τοῦ ἕλκεος καὶ τὸ ἕλκος ὑγρὸν καὶ ἐπὶ τοῦ ἕλκεος ἐξηρασμένος ἐπῇ ἰχὼρ ἢ τὸ ἕλκος

diebus humectato. Ubi vero corpus humectatum fuerit, purgato ipſumque exſiccato pinguiaque confeſtim ſubmoveto et undique admoto medicamento ſi fieri poſſit, humiditatem educito, ad caput imbecillo purgatorio utitor, et quae urinas ducant propinato, et ante cibos eo tempore quo turbatam humiditatem repurgaris, potui exhibeto, ne poſt hoc tempus corpus nutriatur. Cum vero extenuatum fuerit, balneis purgato et cucumeris agreſtis radicem contuſam et in aquam conjectam, inde balneum parato. Medicamenta bilem educentia ne propinato, ne corpus ipſum magis conturbent. Ubi vero ſiccum fuerit quod conturbatum fuit, nutrito, nullo admixto alvum ſubducente, aut urinas ciente medicamento, ſed vino generoſo et his quae rubicundiorem reddant. Quod ſi colore ſit ex viridi palleſcente, rurſus exhaurito neque ullo modo reſiccato, ne color ille deſixus inhaereſcat. Ulcus ferinum hanc ob cauſam corpus invadit. Ubi caro circumcirca inflammationem conceperit et ulceris labra intumuerint, ulcusque in humidum et in ulcere ſanies

Ed. Chart. VII. [370. 371.] Foës. I. 418. 419. Ed. Lind. I. (388 389.)
συμπεπηγὸς ᾖ, ξυγσεσηπὼς ὁ ἰχὼρ ὁ ἀπὸ τοῦ ἕλκεος ἀποῤῥέων κωλύεται ἔξω χωρέειν ὑπὸ τοῦ ἐπιπεπηγότος ὑπὸ τοῦ ἕλκεος πρὸς τὴν σάρκα. ἡ δὲ σὰρξ ὑποδέχεται ὥστε μετέωρος ἐοῦσα ὑπὸ φλεγμασίης, καὶ ὅτ' ἂν ἀφίκηται ὁ ἰχὼρ, ὑποῤῥέων σήπει καὶ μετεωρίζει. τοῦτον φαρμάκοισιν ὑγραίνοντας αὐτὸ τὸ ἕλκος χρίειν, ὡς ὑγραινομένου ἔξω τὸ ῥεῦμα ῥέῃ ἐκ τοῦ ἕλκεος καὶ μὴ ὑπὸ τὴν σάρκα, καὶ τὰ καταῤῥοα τοῦ ἕλκεος ψύχουσι φαρμάκοισιν, ὡς χειμιοῦσα συμπέληται ἡ σὰρξ καὶ μὴ διαῤῥαγεῖσα ἀντεπιῤῥέῃ, || καὶ τἄλλα δὲ ἕλκεα ψύχουσι περιχρίειν καὶ ἐπ' αὐτὰ τὰ ὑγραίνοντα ἐπιτιθέναι. κύναγχος ἀπὸ αἵματος γίνεται, ὅταν τὸ αἷμα παγῇ τὸ ἐν τῇσι φλεψὶ τῇσιν ἐν τῷ τραχήλῳ, τούτων ἀπὸ τῶν ἐν τοῖσι γυίοισι φλεβῶν αἷμα ἀφαιρέειν καὶ ἅμα κάτω ὑπεξάγειν, ὡς τὸ τὴν νοῦσον παρέχον τοῦτο κατασπασθῇ, καὶ γλῶσσαν, ὁπόταν ἕλκεα μεγάλα σχῇ, ὡσαύτως εὐτρεπιστέον. τὰ νοσήματα χρὴ ἀπ' ἀρχῆς ἰᾶσθαι· ὅσα μὲν ἀπὸ τῶν ῥόων [371] γίνεται, τοὺς ῥόους παύειν (389) πρῶτον, ὅσα δ' ἀπ'

reſiccata inerit, aut ulcus compactum fuerit, putris ab ulcere ſanies defluens, a compacto ulcere foras ad carnem prodire prohibetur, caro autem ſuſcipit, cum nimirum ex inflammatione ſublimis exiſtit, cumque eo pervenerit ſubterfluens ſanies, putreſacit et attollit. Hunc medicamentis humectantes ulcus ipſum illinere oportet, uti ex humectato ulcere foras fluxio neque ſubter carnem effluat. Et quae ad ulcus affluunt, refrigerantibus medicamentis illinenda, uti caro frigore condenſata coeat et minime diffracta rurſus fluxionem immittat. Quin et reliqua ulcera refrigerantibus medicamentis oblinenda ſunt, iisque humectantia adhibenda. Angina a ſanguine oritur, cum ſanguis in venis quae in collo ſunt concreſcit. Sic affectis a venis quae in brachiis ſunt ſanguinem detrahito, ſimulque alvum ſubducito, ut id quod morbum exhibet avellatur. Linguam quoque cum magna ulcera habuerit ſimiliter tractato. Morbi quidem circa initia curandi ſunt, et in his quidem qui a fluxionibus oriuntur, primum fluxiones ſedandae. Qui vero alia ex

Ed. Chart. VII. [371.] Foël. I. 419. Ed. Lind. I. (389.)
ἄλλου, παύειν τὴν ἀρχὴν τοῦ νοσήματος καὶ εὐτρεπίζειν· ἔπειτα τὸ συνερρυηκὸς, ἢν μὲν πολὺ ᾖ, ἐξάγειν, ἢν δὲ ὀλίγον, διαιτῶν καθιστάναι. κεφαλῆς κατάγματα. ἢν μὲν τὸ ὀστέον καταγῇ καὶ ξυντριβῇ, ἀκίνδυνον, καὶ ἰᾶσθαι χρὴ τοῦτον ὑγραίνουσι φαρμάκοισιν. ἢν δὲ ῥαγῇ, καὶ ῥωγμὴ ἐγγένηται, ἐπικίνδυνον. τοῦτον πρίειν ὡς μὴ κατὰ τὴν ῥωγμὴν τοῦ ὀστέου ἰχὼρ ῥέων τὴν μήνιγγα σήπῃ. ὥστε γὰρ κατὰ στενὸν εἰσιὼν μὲν, ἐξιὼν δὲ οὔ, λυπέει καὶ μαίνεσθαι ποιέει τὸν ἄνθρωπον. τοῦτον χρὴ πρίειν ὡς ἔξοδος ᾖ τῷ ἰχῶρι, μὴ μοῦνον ἔσοδος, εὐρέος διαπρισθέντος, καὶ φαρμάκοισι χρῆσθαι ἅσσα ἐφ' ἑωυτὰ τὸ ὑγρὸν ἕλκουσιν καὶ λούειν. πυρεταίνοντι κεφαλὴν μὴ κάθαιρε, ὡς μὴ μαίνηται. θερμαίνουσι γὰρ τὴν κεφαλὴν καθαίροντα φάρμακα. πρὸς δὴ τὸ ἀπὸ τοῦ πυρετοῦ θερμὸν τὸ ἀπὸ τοῦ φαρμάκου προσελθὸν μανίην ποιέει. θανάσιμα τρώματα. ἐφ' ὧν ἄν τινι κακῶς ἔχοντι χολὴν μέλαιναν ἀπεμέσῃ, ἀποθνήσκει ὁ τὸ τρῶμα ἔχων καὶ ὑπὸ ἰνηθμοῦ ὁ ἐνεχόμενος καὶ ἔχων ἀσθενέως καὶ λεπτὸς ἐὼν ἐξα-

causa, in his morbis principium ſedandum et curandum. Deinde quod influxit, ſi quidem copioſum eſt, educendum, ſin modicum, victus ratione compeſcendum. In capitis fracturis, ſi os quidem fractum ſit et contritum, periculo vacat et medicamentis humectantibus curandum. Quod ſi fiſſum fuerit et fiſſura intro procedat, periculi plenum eſt. Huic ferram adhibere oportet, ne ſanies per oſſis fiſſuram affluens, membranam putreſaciat. Nam cum per anguſtum quidem ſubeat, nec tamen exeat, moleſtia afficit, hominemque ad inſaniam adigit. Huic terebram adhibere oportet, ut late terebrato oſſe ſaniei exitus, neque ſolum ingreſſus pateat et medicamentis quae humorem ad ſe attrahant utendum ac lavandum. Febricitanti caput ne purgato, ut ne ad inſaniam agatur. Caput ſiquidem medicamenta purgantia calefaciunt, ſaneque ad febrilem calorem medicamenti calor accedens inſaniam excitat. Lethalium vulnerum haec ſigna ſunt. Si quis quavis ex cauſa male affectus bilem atram vomitione refuderit, moritur qui vulnus habet, quique evacuatione detentus imbecillus ac extenuatus derepente ſic-

Ed. Chart. VII. [371.] Foës. I. 419. Ed. Lind. I. (389. 390.)
πίνης ξηρὸν καθίζει, ἀποθνήσκει. ἐπὴν ὑπὸ θερμωλῆς ἐχομένῳ ἑλκύδρια ἐκθύωσιν ἀσθενεῖ ἐόντι πέριξ πελιδνά, ἀποθνήσκει. ἐπὴν ὑπό τινος νοσήματος ἐχομένῳ ἀσθενεῖ ἤδη ἐόντι πελιδνὰ ἐκθύῃ, θανάσιμον. ἐπὴν φάρμακόν τις πιὼν ὑπερνοσῇ καὶ κάτω καὶ ἄνω (390) ὑπεκχωρέῃ, οἶνον καταῤῥοφεῖν τὸ μὲν πρῶτον κεκρημένον, ἔπειτα ἄκρητον θαμινὰ διδόναι καὶ παύεται. φάρμακον δὲ μήτ' ἰνηθμῶν μήτ' ἐμετήριον. χολὴ δ' ἐπὴν αὐτομάτη ῥαγῇ ἢ κάτω ἢ ἄνω, χαλεπωτέρα παύειν. ἡ γὰρ αὐτομάτη ὑπὸ βίης γινομένης τῷ σώματι βιᾶται. ἢν δ' ὑπὸ φαρμάκου ῥέῃ, οὐχ ὑπὸ συγγενέος βιᾶται. ἐπὴν παραλάβῃς οἰνώμενόν τε καὶ ἐμεῦντα, μὴ παύειν τὸν ἔμετον. ὁ γὰρ ἔμετος τὸν ἰνηθμὸν παύει. ῥάων δὲ ἔμετος ὕστερον παύσαιτο. ἢν δ' ἂν ἀσθενὴς ᾖ ὁ ταῦτα πάσχων, ὕπνου φάρμακον ἐμετηρίσας διδόναι. τὸ μὲν αἷμα ὁπόταν νοῦσον ποιέει, ὀδύνην παρέχει, τὸ δὲ φλέγμα βάρος ὡς τὰ πολλά. τῶν νοσημάτων ὧν μὴ ἐπίστηταί τις φάρμακον πίσαι μὴ ἰσχυρόν. ἢν δὲ ῥάων γένηται, δέδεικται ὁδὸς, εὐτρεπιστέον

cus confidet, moritur. Ubi caliditate detento ulcuſcula in ambitu livida imbecillo exiſtenti eruperint, moritur. Cum quopiam morbo detento, imbecillo jam exiſtenti, livores eruperint, lethale. Cum quis ex medicamenti potione male affectus fuerit et infra ſupraque demittit, vinum primo quidem dilutum, deinde meracum frequenter ſorbendum exhibeto, et ſedabitur. Medicamentum autem neque purgans neque vomitum excitans dato. Si bilis ſua ſponte aut infra aut ſupra proruperit, difficilius ſedatur. Quae enim ſponte fertur, vi corpori illata propellitur. Quod ſi ex medicamento effluat, a nulla re cognata cogitur. Cum evacuatum et vomentem curandum ſuſceperis, vomitum ne ſedato. Vomitus ſiquidem evacuationem ſedat, facilius autem poſtea vomitus ſedabitur. Quod ſi ita affectus debilis fuerit, a vomitu medicamentum ſomnum concilians exhibeto. Sanguis quidem cum morbum facit, dolorem inducit, pituita vero ut plurimum gravitatem. In morbis quos quis minime cognoſcit, medicamentum minime vehemens potui exhibendum.

Ed. Chart. VII. [371. 372.] Foës. I. 419. 420. Ed. Lind. I. (390. 391.) ἐστὶν ἰσχνάναντα. ἢν δὲ μὴ ῥᾷον ᾖ, ἀλλὰ χαλεπώτερον ἔχῃ, τἀναντία. [372] ἢν μὴ ἰσχναίνειν ξυμφέρῃ, φλεγμαίνειν συνοίσει καὶ θαμινὰ μεταλλάσσειν, ταύτῃ τῇ γνώμῃ χρώμενος. τῶν δὲ νοσημάτων ἤν τις ἰσχύοντος μὲν τοῦ ἀλγέοντος παραλλάξεται, τοῦ δὲ νοσήματος ἀσθενέος, ἐνταῦθα μὲν ἰσχυροτέρῳ θαρσεῦντα τῷ φαρμάκῳ τοῦ νοσήματος χρῆσθαι. ὥστε καὶ ἤν τι τοῦ ὑγιαίνοντος ἦν ἀπάγειν σὺν τῷ ἀσθενέοντι, οὐδεμία βλάβη ἐστίν. ἐπὴν δὲ τὸ νόσημα ἰσχυρότερον, τὸν δὲ νοσέοντα ἀσθενέα λάβῃς, ἀσθενέσι τοῖσι φαρμάκοισιν εὐτρεπίζειν ὅσσα αὐτοῦ τοῦ νοσήματος περιέσονται καὶ (391) ἀπάξουσιν, ἀσθενέστερον δὲ μηδὲν ποιήσουσιν τὸν ἀλγέοντα. || γυμναστικὴ δὲ καὶ ἰητρικὴ ὑπεναντία πέφυκεν, ἡ μὲν γὰρ γυμναστικὴ οὐ δεῖται μεταλλαγὰς ποιέειν, ἀλλ' ἡ ἰητρική. τῷ μὲν γὰρ ὑγιαίνοντι οὐκ ἀρήγει ἐκ τοῦ παρεόντος μεταλλάσσειν, τῷ δὲ ἀλγέοντι. τῶν δὲ νοσημάτων ὅσσα μὲν ἕλκεα ἐόντα ὑπερέχοντα τοῦ ἄλλου σώματός εἰσιν, ἅμα τοῖσι φαρμάκοισιν καὶ λιμῷ χρὴ ἰῆσθαι. ῥόου ξυμφέρον

Quod ſi inde levior aeger evadat, demonſtrata via eſt et extenuando curatio inſtituenda eſt. Sin vero minime levius, ſed aegrius habeat, contraria facienda. Si extenuare minime conducit, tumidum reddere contulerit, crebroque permutare, hoc conſilio uſus. Quibus in morbis robuſto aegro, quis permutatione utetur, morbo vero debili, tunc quidem audacter valentiore quam morbus eſt medicamento utendum, ut quamvis quod ſanum eſt una cum aegroto educatur, nulla inde ſit noxia. At ubi morbum valentiorem, aegrum vero debilem nactus fueris, debilibus medicamentis curatio inſtituenda eſt, quae morbo ſuperiora ſint, ipſumque adducant, aegrum autem nihilo debiliorem efficiant. Ars corporum exercitatrix, quae gymnaſtica dicitur, et medicina contrariae inter ſe eſſe ſolent. Siquidem quae exercitationibus praeeſt, nullis eget permutationibus, velut medicina. Sano namque praeſentem ſtatum permutare nihil prodeſt, ſed aegroto. Morbi quicunque ulcerum genere continentur et reliquo corpore ſupereminent, una cum medicamentis etiam fame

Ed. Chart. VII. [372.] Foës. I. 420. Ed. Lind. I. (391. 392.)

ἐκ κεφαλῆς ῥέοντος ἔμετος, τὰ παλαιὰ νοσήματα χαλεπώτερον ἰᾶσθαι τῶν νέων. ἀλλὰ νοσήματα τὰ παλαιὰ νέα πρῶτον ποιέειν, ἕλκος πεπωρωμένον ἐκβάλλοντα τὸ σκληρὸν σηπτηρίῳ φαρμάκῳ, ἔπειτα συνάγειν. τῶν φαρμάκων ὅσα φλεγμαίνειν ποιέει μάλιστα, ταῦτα συνάγουσι τὰ καθαρὰ τὰ διισχναίνοντα. ταῦτα δὲ καθαίρουσιν. ἢν δέ τις συνάγῃ τὰ μήπω ὡραῖα ἐόντα, τὸ νοσέον τρέφει σῶμα ὃ ἂν ἕλκος ἔχῃ, καὶ ἢν μὲν συνάγειν δέῃ τὸ ἕλκος καὶ ἐμπλῆσαι, φλεγμαίνειν ἀρήγει, καὶ ἢν ἐν κεφαλῇ σάρκα βούλῃ. ἐπανατρεφομένη γὰρ ἡ σὰρξ ὑπὸ τῶν σιτίων ὠθέει τὴν ὑπὸ τοῦ φαρμάκου σηπομένην καὶ ξυμμαχεῖ. τὴν δὲ μετέωρον ἢ λείην ἰσχναίνειν τοῖσι σιτίοισι. τοὺς ἀνιωμένους καὶ νοσέοντας καὶ ἀπάγχεσθαι βουλομένους, μανδραγόρου ῥίζαν πρωῒ πιπίσκειν ἔλασσον ἢ ὡς μαίνεσθαι. σπασμὸν ὧδε χρὴ ἰᾶσθαι. πῦρ παρακαίειν ἑκατέρωθεν τῆς κλίνης, καὶ μανδραγόρου ῥίζαν πιπίσκειν ἔλασσον ἢ (392) ὡς μαίνεσθαι, καὶ πρὸς τοὺς τένοντας τοὺς ὀπισθίους σακκία προστιθέναι θερμά. ἀπὸ σπα-

curandi ſunt. Fluxione ex capite manante vomitus conſert. Morbi vetuſti difficilius quam recentes curantur, verum vetuſtos morbos primum recentes facito. Ulcus calloſum, ubi quod durum eſt medicamento putrefaciente expuleris, demum conſtringito. Medicamenta quae tumorem facere maxime ſolent, ea pura conſtringunt, quae vero extenuant, ea purgant. Quod ſi quis quae nondum matura ſunt conſtringat, corpus morboſum nutrit quod ulcus habuerit. Et ſiquidem ulcus conſtringere ac implere opus ſit, tumefacere juvat, vel ſi carnem in capite producere velis. Cibis enim connutrita caro eam quae a medicamento computruit propellit et debellat. Flatum vero in tumorem et laevem cibis extenuare oportet. Moerore confectis et male habentibus, mortemque laqueo ſibi conſciſcere volentibus, mandragorae radicem mane propinato, minore tamen pondere quam quod furorem excitet. Convulſionem hoc modo curare oportet. Ex utraque lecti parte ignem ſuccendito et mandragorae radicem propinato, minore quam quod inſaniam excitet pondere, et ad poſteriores tendones ſacculos ca-

Ed. Chart. VII. [372. 373.] Foës. I. 420. Ed. Lind. I. (392.)

σμοῦ πυρετὸς ἢν ἐπιλάβῃ, παύεται αὐθημερὸν ἢ τῇ ὑστεραίῃ ἢ τῇ τρίτῃ ἡμέρῃ. ἀπὸ ῥήγματος πυρετὸς οὐ λάζεται πλεῖον ἢ τρεῖς ἢ τέσσαρας ἡμέρας. ἢν δὲ λάζηται οἰόμενος ἀπὸ ῥήγματος ἔχειν, ἀπ' ἄλλου τινὸς λάζοιτο ἄν καὶ οὐ χρὴ ὡς ἂν ἀπὸ ῥήγματος εὐτρεπίζειν. ὁπόταν ἄνθρωπος συντεταμένος ἢ τοὺς πόδας καὶ τὰς χεῖρας, μανίην ἑωυτῷ ποιέει. φλέβα δὲ ὧδε χρὴ καίειν ἐπιτήδειον, ὥστε τὸ νόσημα ὃ ἂν καὶ ᾖ νοσέων. ἢν κεκαυμένος ᾖ ἄνθρωπος, ῥέῃ δὲ τὸ τοῦ αἵματος, ὡς μὴ ἐπικίνδυνον ᾖ τοῦτο αὐτῷ, ἀμφότερα ταῦτα ἐστὶ ποιέειν. ἢν διακαύσῃς ταύτῃ ἐν τῷ πόνῳ οὗ εἵνεκα ἐκαίετο, οὐ ξυμφύεται. ὠφέλησε δὲ τῷ ῥόῳ. ἢν γὰρ διακαῇ, οὐ ῥέει. ἐπὴν γὰρ διακαῇ τὸ ἄκρον, ἑκάτερον ἀνατρέχει τῆς φλεβὸς ἢ διακαῇ καὶ συναναίνεται. ἢν δὲ καταλελειμμένον ᾖ, ὑπὸ τοῦ καταλελειμένου διαῤῥέοντος τοῦ ῥεύματος ὑγραίνεται. ἢν δὲ αἷμα ῥέει ἐκ φλεβὸς διακαίειν ἐπικαρσίην. [373] ἢν δὲ μὴ παύηται, πρὸς ταῦτα ἄνω καὶ κάτω ἑκατέρωθεν διατάμνειν, ὡς ἀποτρεφθῇ τὸ αἷμα ῥέον. διαλελημμένον γὰρ

lidos admoveto. A convulsione si febris prehendit, eodem die cessat aut postero aut etiam tertio. Ex rupto febris non ultra tres aut quatuor dies prehendit. Quod si prehendat, ratus quis ex rupto ea detineri, alia quapiam ex causa corripuit, neque ea veluti ex rupto tractanda. Cum homo distortis pedibus aut manibus fuerit, insaniam sibi inducit. Venam autem sic inurere oportet, ut morbo quocunque quis aegrotarit conveniat. Si inustus quis fuerit, fluat autem sanguis, ut ne ipsi periculum afferat, ambo haec facere licet. Si inusseris qua parte dolor est, cujus gratia urebatur, non coalescit, verum ad fluxum contulit. Si enim perusta fuerit, minime effluit. Tunc enim utcunque venae extremum qua parte perustum est recurrit, simulque exsiccatur. Quod si quid relictum fuerit, ab ea parte quae relicta est profluente humectatur. At si sanguis ex vena effluit, eam obliquam perurito. Quod si non cesset, ad haec superiore et inferiore parte utrimque incidito, quo sanguinis fluxus avertatur. Interceptus enim facilius quam confertus, medicamento seda-

Ed. Chart. VII. [373.] Foës. I. 420. 421. Ed. Lind. I. (392. 393.)

φαρμάκῳ ῥᾷον παύειν ἢ τὸ ἀθρόον. ὀδύνης ἐν κεφαλῇ τοῦ αἵματος ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν, ἢν δὲ μὴ παύηται, ἀλλὰ πολυχρόνιον ᾖ, διάκαιε τὰς φλέβας καὶ ὑγιὴς γίνεται. ἢν δὲ κεφαλὴν καθάρῃς, μᾶλλον πονέεις. ἰητρικὴν οὐ δυνατόν ἐστι ταχὺ μαθεῖν διὰ τόδε, ὅτι (393) ἀδύνατόν ἐστι καθεστηκός τι ἐν αὐτῇ σόφισμα γενέσθαι. οἷον ὁ τὸ γράφειν ἕνα τρόπον μαθὼν ὃν διδάσκουσι πάντα ἐπίσταται, καὶ οἱ ἐπιστάμενοι πάντες ὁμοίως διὰ τόδε, ὅτι τὸ αὐτὸ καὶ ὁμοίως ποιεύμενον νῦν τε καὶ οὐ νῦν οὐκ ἂν τὸ ὑπεναντίον γένοιτο. ἀλλ' ἀεὶ ἐνδικέως ὅμοιόν ἐστιν, καὶ οὐ δεῖ καιροῦ. ἡ δὲ ἰητρικὴ νῦν τε καὶ αὐτίκα οὐ τὸ αὐτὸ ποιέει, καὶ πρὸς τὸν αὐτὸν ὑπεναντία ποιέει, καὶ ταῦτα ὑπεναντία σφίσιν ἑωυτοῖσιν. πρῶτον ὑπεκχωρητικὰ οὐκ ἀεὶ ποιέουσιν καὶ τὰ ὑπεκχωρητικὰ ἀμφότερα ποιέουσιν. τάχα δὲ οὐδ' οὕτως ἔχουσιν τὰ ὑπεκχωρητικὰ τοῖσι στασίμοις ὡς ὑπεναντία. ἐπιστάσης τῆς κοιλίης διὰ τὴν λίην στάσιν φλεγμῆναν || τὸ σῶμα, ἐς τὴν κοιλίην φλέγματος ἀφικομένου. οὕτως ἡ στάσις ὑπεκχώρησιν ἐποίησεν. ἐπὴν γὰρ τὸ φλέγμα ἐς τὴν κοιλίην ἐσέλθῃ,

tur. In capitis dolore ſanguinem ex venis detrahito. Quod ſi non ceſſet, ſed diuturnus ſit, venas inurito et convaleſcit. Si vero caput purgaveris, magis affliges. Ars medica ut cito addiſcatur fieri nequit, propterea quod in ea firma aliqua doctrina tradi non poteſt. Verbi gratia, qui uno modo quem docent pingere dedicit, omnia novit, et qui ſciunt omnes eodem modo, ideo quod idem eſt et eodem modo ſit et nunc et non nunc, neque contrario modo fieri poteſt, ſed ſemper merito ſimile eſt, neque temporis occaſione opus eſt. Ars vero medica et nunc et paulo poſt non idem facit et ſibi contraria facit eaque ſibi ipſis contraria. Primum alvum ſubducentia non ſemper hoc faciunt. Neque forte ſic ſe habent alvum ſubducentia ut alvum ſiſtentibus ſint contraria. Alvo ſuppreſſa, ob vehementem ſuppreſſionem corpus tumidum redditur, pituita ad ventrem pervenient, ſic ſuppreſſio alvi ſubductionem facit. Ubi enim pituita ad ventrem pervenerit, evacuatio contingit.

Ed. Chart. VII. [373.] Foës. I. 421. Ed. Lind. I. (393. 394.)
ἰνηθμὸς γίνεται. ἐν τούτῳ δὲ τὰ ὑπεκχωρητικὰ φύσει στάσιμον ποιέουσιν ἐν τῇ κοιλίῃ. ἢν μὲν μὴ ὑπεκχωρητικὰ ποιέῃς, ἐκλύηται δὲ τὸ νοσεῖν ποιέον καὶ ὑγραίνεται, ἐπὴν ἐκκλυσθῇ, γίνεται ὑγιής. καὶ οὕτω τά τε στάσιμα τοῖσιν ὑπεκχωρητικοῖσιν στάσιν ποιέουσι τῆς κοιλίης καὶ τοῖσι στασίμοισι τὰ ὑπεκχωρητικά. τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἐρυθροὺς καὶ τοὺς χλωροὺς καὶ τὰ φλεγματώδεα χλωροὺς ποιέει καὶ ἀχρόους καὶ τὰ ἰσχναινόμενα εὐχρόους. ἑκατέρου δ' ἐστὶ φάρμακον τὰ ὑπεναντία τῷ ὑπεναντίῳ. αὐτίκα ὅτ' ἂν φλεγμαίνῃ, χλωρὸς ἐὼν ἐκλύεται, (394) ἢν μή τι ἰσχναίνῃ φάρμακον προσενεχθὲν, ἐνθάδε τῷ φλεγμαίνοντι τὸ ἰσχναῖνον ὠφέλησεν. τούτων δὲ τὸ ποτὲ ὠφελεύμενον τῷ ὠφελεῦντι νῦν ὠφελεῖ ἐνταῦθα, ὁπότ' ἂν ὑπὸ ἰσχνότητος ἄχροος καὶ χλωρὸς ᾖ. ἢν γάρ τις φλεγματῶδες προσφέρῃ, παύεται τὸ χλωρόν. ὀδύνη τε γέγηται καὶ διὰ τὸ ψυχρὸν καὶ διὰ τὸ θερμὸν καὶ διὰ τὸ πλέον λίην καὶ διὰ τὸ ἔλασσον. καὶ ἐν μὲν τοῖσιν ἐψυγμένοισι φύσει τοῖσιν ἐκ τοῦ σώματος πρὸς τὸ δέρμα, διὰ

Hoc vero modo quae natura alvum ſubducunt, alvum remorantur. Siquidem alvum minime ſubducentia reddideris, exſolvatur autem id quod morbum facit et humectetur, poſtquam exſolutum fuerit, ſanus evadit. Eaque ratione quae ſiſtunt ſubducentibus alvum remorantur, viciſſimque alvum ſubducentia ſiſtentibus. Eodem modo ſe res habet circa rubicundos et ex viridi palleſcentes. Quae tumorem corporis faciunt, ex viridi palleſcentes et decolores reddunt, et quae extenuant, bene coloratos. Utriusque vero remedium eſt contrarium contrario adhibitum. Verbi gratia, cum intumuerit qui ex viridi palleſcit, is exſolvitur, niſi attenuans aliquod medicamentum adhibitum fuerit, hicque intumeſcenti attenuans profuit. Ex his autem quod aliquando utilitatem percepit, nunc ei qui profuit hic prodeſt, ſi quando ex attenuatione decolor et ex viridi palleſcens extiterit. Si quis enim tumorem inducens medicamentum adhibuerit, color ille ex viridi palleſcens ſedatur. Dolor etiam oritur ob frigus et ob calorem et propter nimiam copiam et propter paucitatem. Et in natura perfrigeratis ad cutem cor-

Ed. Chart. VII. [373. 374.] Foës. I. 421. Ed. Lind. I. (394. 395.)
τὸ θερμαινόμενον λίην ὀδύνη γίνεται. ἐν δὲ τοῖσι θερμοῖσι φύσει διὰ τὸ ψυχρὸν, καὶ ἐν μὲν τοῖσι ξηροῖσι φύσει ὑγραινομένοισι, ἐν δὲ τοῖσι ὑγροῖσι φύσει ξηραινομένοισι. τὴν γὰρ φύσιν διαλλασσομένοις ἑκάστοισι καὶ διαφθειρομένοις αἱ ὀδύναι γίνονται· ὑγιαίνονταί τε αἱ ὀδύναι τοῖσιν ὑπεναντίοισιν. ἴδιον ἑκάστῳ νόσημα τί ἐστι. τοῖσι θερμοῖσι φύσει διὰ τόδε τὸ ψυχρὸν νοσέουσι. θερμαίνονται καὶ τἄλλα τούτων κατὰ λόγον. ἄλλος ὅδε τρόπος. διὰ τὰ ὅμοια νοῦσος γίνεται, καὶ διὰ τὰ ὅμοια προσφερόμενα ἐκ νοσεύντων ὑγιαίνονται. οἷον στραγγουρίην τὸ αὐτὸ ποιέει οὐκ ἐοῦσαν καὶ ἐοῦσαν τὸ αὐτὸ παύει, καὶ βὴξ κατὰ τὸ αὐτὸ [374] ὥσπερ καὶ στραγγουρίη ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται. ἄλλος ὅδε τρόπος. πυρετὸς ὁ διὰ φλεγμασίην γινόμενος. τοτὲ μὲν ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται, τοτὲ δὲ τοῖσιν ὑπεναντίοισιν ἐγένετο. τοτὲ μὲν γὰρ εἴ τις βούλεται λούειν ὕδατι θερμῷ καὶ ποτὰ πολλὰ διδόναι, (395) ὑγιὴς γίνεται διὰ τὸ φλεγμαίνον τοῖσι φλεγμαίνειν ποιέουσιν προσφερομένοισιν, ὃ ὢν πυρετὸς γίνεται ὑγιής, καὶ εἴ τις βούλεται φάρμακον πίσαι ὑποχωρητικὸν καὶ ἐμετικὸν, τὸν αὐτὸν τρόπον τοῖσί τε ποι-

poris partibus, ob nimium calorem dolor suboritur et in calidis natura ob frigus. Et in siccis quidem natura, dum humectantur, et in humidis natura, dum resiccantur. Cum enim cuiusque natura immutatur et corrumpitur, dolores fiunt, et sanantur contrariis, idque proprium est cuique morbo. Velut in natura calidis ob ipsam frigiditatem male habentibus calefiunt dolores et curantur, reliquaque eadem ratione se habent. Alio modo per similia morbus oritur et per similia oblata ex morbis sanantur. Veluti stranguriam cum non adest, idem facit, et si adsit, sedat. Tussisque eodem modo ut urinae stillicidium ab iisdem fit et sedatur, interdum vero a contrariis. Etenim si quis interdum calida lavet et copiosum potum exhibeat, sanus evadit et propter tumefactionem exorta febris, oblatis tumorem inducentibus sanescit. Ac si quis medicamentum alvum subducens aut vomitum movens propinare velit, ad eundem

Ed. Chart. VII. [374.] Foël. I. 421. Ed. Lind. I. (395.)

ἐουσι παύεται καὶ τοῖσι παύουσι γίνεται. τοῦτο μὲν γὰρ εἴ τις ἐμέοντι ἀνθρώπῳ βούλεται ὕδωρ δοῦναι πιεῖν πολύ, ἐκκλυσθήσεται δι' ἃ ἐμέει σὺν τῷ ἐμέτῳ. αὐτῷ μὲν διὰ τὸ ἐμέειν ὁ ἔμετος παύεται. ὧν δὲ διὰ τὸ παύειν ὅτι κάτω ποιήσει αὐτῷ ἐλθεῖν, ἐξ ἐκείνου ὃ ἐνεὸν ἔμετον ποιέει ἀμφοτέροισι τοῖσι ὑπεναντίοισι τρόποις ὑγιὴς γίνεται, καὶ εἰ μὲν οὕτως εἶχε, πᾶσι καθεστήκει ἄν. οὕτω τὰ μὲν τοῖς ὑπεναντίοισιν εὐτρεπίζεσθαι οἷά τε ἐστὶ καὶ ἀφότου ἐγένετο, τὰ δὲ τοῖσιν ὁμοίοισιν οἷά τε ἐστὶ καὶ ἀφότου ἐγένετο. τούτου δ' αἴτιόν ἐστιν ἡ τοῦ σώματος ἀσθενείη. τὸ γὰρ σῶμα ὑπὸ μὲν τῶν σιτίων ἴσων ἴσως τρέφεται. ὑπὸ δὲ τοῦ σώματος τὰ σιτία κρατέεται. ἐπὴν δὲ πλέον ἢ ἔλασσον προσενέγκηται ἢ ὡς ἄλλο μεταλλάξας κρατέεται. κρατέεται δὲ καὶ τὰ σιτία, καὶ ὁπόταν κρατέηται τὸ σῶμα ὑπὸ τῶν προσοισμάτων, θάλλειν ποιέει ταῦτα καὶ κρατέει ἅμα τοῦ σώματος τά τε ὑπεναντία ποιέουσιν αὐτίκα. τὸ λοῦσθαι θερμῷ, ἕως μὲν ἂν τὸ σῶμα κρατέῃ τοῦ προσοίσματος, θάλλει. ἐπὴν δὲ κρατηθῇ, ἰσχνὸν ποιέει τὸ σῶμα, καὶ τὸ εὐωχέεσθαι ὁμοίως τοῦ

modum ab iis quae excitant ſedatur et a ſedantibus excitatur. Etenim ſi quis vomenti copioſam aquam potui exhibeat, una cum vomitu eluentur ea quae vomitus cauſa ſunt. Huic quidem per vomitum vomitus ſedatur, illi vero per ea quae ſedant, quoniam ipſi per inferiora demittunt quod intus vomitum facit. Sicque utrisque contrariis modis homo convaleſcit. Ac ſiquidem in omnibus hoc modo ſe habeat, conſtitutum quidem ſic fuerit, haec quidem contrariis curari quaecunque ſint et quacunque ex cauſa fiant, illa vero ſimilibus, quaecunque tandem ſint et a quacunque cauſa fiant. Cuius rei cauſa exiſtit corporis debilitas. Corpus enim a cibis aequalibus aequaliter nutritur, a corpore vero cibi ſuperantur. Ubi vero plus aut minus ingeſſerit aut alioqui immutatus fuerit, ſuperatur et cibi ſuperantur, cumque ſuperantur, ut corpus ab oblatis vigorem accipiat efficiunt, iique ſimul corpus ſuperant, ac ſtatim contraria efficiunt. Calida lavari dum quidem corpus calidam admotam ſuperat, vigere corpus facit, ſin ſuperatum fuerit, gra-

Ed. Chart. VII. [374.] Foës. I. 421. 422. Ed. Lind. I. (395. 396.)

λοῦσθαι ποιέει. ταῦτα μὲν γὰρ ἕως μὲν (396) ἂν κρατέωνται θάλλειν ποιέουσιν. ἐπὴν καὶ || κρατέωσιν, ὑπεκχωρήσεις τε ποιέουσιν καὶ ἀλλοίας κακίας· ὁπότε δὲ ὃ προσφέρεται, τοῦτο μεταλλάσσεται, ἀνάγκη καὶ τὸ προσφερόμενον μετατρέπεσθαι. τὸ γὰρ σῶμα μετατρεπόμενον νικώμενον καὶ ὀλιγοεργές ἐστιν, καὶ ὑπὸ παντὸς τὰς παλιγκοτίας παρέχει. τοῦτο δὲ ποιέει καὶ τὰ ὑποχωρητικὰ καὶ τὰ θάλλειν ποιέοντα ἰσχναῖνον ταῦτα τὸ σῶμα ποιέουσιν, καὶ τἆλλα πάντα τὰ ὑπεναντία τούτοισι πάσχοντα. ἡ δὲ ἰητρικὴ ὀλιγόκαιρός ἐστιν, καὶ ὃς τοῦτο ἐπίσταται, ἐκεῖνο καθέστηκεν, καὶ ἐπίσταται τὰ εἴδεα καὶ τὰ μὴ εἴδεα, ἃ μή ἐστιν ἐν ἰητρικῇ ὁ καιρὸς γνῶναι. ὅτι τὰ ὑποχωρήματα οὐχ ὑποχωρητικὰ γίνεται, καὶ τἆλλα ὅτι ὑπεναντία ἐστὶν, καὶ τὰ ὑπεναντιώτατα οὐχ ὑπεναντιώτατα. ὁ δὲ καιρὸς ὅδ' ἐστί. τὰ σιτία προσφέρειν, ὅσων μέλλει τὸ σῶμα προσφερόμενον τὸ πλῆθος κρατέειν. ὥστ' ἢν μὲν οὕτω ποιέῃ, πᾶσα ἀνάγκη τὸ ὑποχωρητικὸν σιτίον προσφερόμενον ὑποχωρητικὸν εἶναι, καὶ τὸ φλεγματῶδες φλεγματῶδες. ἢν κρατέῃ οὖν τὸ σῶμα τῶν σιτίων,

cile reddit. Et comeſſatio idem quod balneum efficiet. Haec ſiquidem dum ſuperantur corporis vigorem faciunt, ubi vero ſuperaverint, tum alvi dejectiones, tum varia vitia adſerunt. Quando vero id cui offertur immutatur, id quod offertur immutari neceſſe eſt. Immutatum enim corpus cum evictum ſit, parum eſt efficax et ex quovis offenſiones renovat. Hoc autem efficiunt quae alvum ſubducunt et quae vigorem inducunt, haec corpus extenuatum reddunt et reliqua omnia quae his contrario modo afficiuntur. At vero ars medica brevem habet occaſionem, et qui hoc novit, illud conſtitutum habet, et novit quae ſint rerum ſpecies, vel non, ad quas cognoſcendas occaſio non eſt in arte medica, nempe quod alvi ſubductiones per alvum non ſecedunt et reliqua quod contrario modo ſe habent et quod maxime contraria, non ſunt maxime contraria. Haec eſt autem ciborum offerendorum occaſio, ut ea copia exhibeantur quam corpus ſuperare valeat. Quod ſi contingat cibum alvum ſubducentem oblatum alvum ſubducere et corpus tumefacientem tu-

Ed. Chart. VII. [374. 375.] Foës. I. 422. Ed. Lind. I. (396. 397.) οὔτε νοῦσος οὔτε ὑπεναντίωσις γίνεται προσφερομένων, καὶ αὐτὸς ὁ καιρός ἐστιν ὃν δεῖ τὸν ἰητρὸν εἰδέναι. ἐπὴν δὲ τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται, καὶ οἱ πρὶν ὑπερπεσεῖν οἴονται ἔχειν καὶ τὸ θερμαίνεσθαι. ἕως μὲν γὰρ ἂν τὸ σῶμα τοῦ προσοίσματος κρατέῃ, τρέφεται τὸ σῶμα. ἐπὶ δὲ τοῦτον τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται, ἰσχναίνεται γάρ. καὶ τἆλλα πάντα δὲ τὰ φλεγμαί(397)νειν ποιεῦντα, ἕως μὲν ἂν κρατέῃ τὸ σῶμα ἔτι τε πρὸς τὸν καιρὸν καὶ τὰ κατὰ φύσιν ποιέουσιν ἕκαστον. τὰ φλεγματώδεα φλεγμαίνειν. ἐπὴν δὲ ὑπερβάλλῃ τὸν καιρὸν, τὰ ὑπεναντία γίνεται. [375] πάντα φάρμακά εἰσι τὰ μετακινέοντα τὸ παρεόν. πάντα δὲ τὰ ἰσχυρότερα μετακινέουσιν. ἔξεστι δὲ, ἢν μὲν βούλῃ, φαρμάκῳ μετακινέειν· ἢν δὲ μὴ βούλῃ, σιτίῳ. ἅπαντα δὲ νοσέοντι μετακινέειν ἐκ τοῦ παρεόντος ἀρήγει. ἢν γὰρ μὴ μετακινήσῃς τὸ νοσέον, αὔξεται. φάρμακα οὐ χρὴ τὰ ἰσχυρὰ φύσει ἐπὶ τῶν ἀσθενέων νοσημάτων διδόναι, ὀλιγότητι τοῦ φαρμάκου ἀσθενὲς ποιεῦντα. ἀλλὰ τοῖσι μὲν

mefacere omnino neceſſe eſt. Si igitur cibos corpus ſuperaverit, neque morbus neque ex his quae offeruntur contrarietas oritur, eaque eſt occaſio quam medicus cognitam habere debet. Ubi vero occaſionem praetergreſſus fuerit, contrarium accidit, et antequam eo deveniant, ſe incaleſcere exiſtimant. Quamdiu enim quod offertur corpus ſuperaverit, id nutritur. Ubi vero hanc occaſionem praetergreſſum fuerit, contrarium contingit, ſiquidem extenuatur. Quin et reliqua omnia et quae tumefaciunt quoad ea corpus ſuperaverit, praetereaque pro occaſione oblata fuerint, etiam in ſingulis ſuam naturam ſervant et tumorem excitant. At ubi occaſionem exceſſerint, contraria contingunt. Omnia medicamenta ſunt, quae praeſentem ſtatum dimovent, valentiora autem omnia immutant. Licet autem, ſi quidem velis, medicamento transmovere, ſin minus, cibo. Aegrotanti vero omnia e praeſenti ſtatu dimovens opem ſert. Niſi enim quod morbum facit dimoveris, augetur. In morbis debilibus medicamenta natura valentia minime ſunt exhibenda, neque imbecillitas medicamenti paucitate metienda eſt.

Ed. Chart. VII. [375.] Foëſ. I. 422. Ed. Lind. I. (397. 398.)
ἰσχυροῖσι φύσει φαρμάκοις ἰσχυροῖσι χρῆσθαι, τοῖς δ' ἀσθενέσι φαρμάκοις μὴ ἰσχυροῖσι. μηδὲ τὰ ποιεῦντα τὸ φάρμακον, ἀλλὰ κατὰ φύσιν ἑκάστοισιν. τοῖσι μὲν ἀσθενέσι ἀσθενῆ φάρμακα φύσει, τοῖσι ἰσχυροῖσι νοσήμασιν ἰσχυρὰ φύσει τὰ φάρμακα. τὰ δὲ νοσήματα ἢ πελαστάτω πέφυκεν ἐξάγειν. ταύτῃ δ' ἐξάγειν ᾗ ἑκάστῳ ἔξοδος ἐγγυτάτω. τὰ ὑποχωρητικὰ τοιάδε ἐστίν· ὅσα ὀλισθηρὰ καὶ τμηματώδεα, καὶ ὅσα ἐν τοῖσι θερμοῖσιν λεπτύνονται. ἡ γὰρ κοιλίη θερμή ἐστι, καὶ τὄλλα τὰ ἁλμυρὰ καὶ ὅσα τῶν τοιούτων πλεῖστον ἔχουσι, τὰ δ' οὐ διαχωρητικὰ, ἀλλὰ στάσιμα, ὅσα φῦσαν παρέχουσιν. τὰ γὰρ ὑγρὰ ξηραινόμενα φῦσαν ποιέουσι, καὶ τὰ στύφοντα, (398) καὶ τὰ ὑπὸ θερμοῦ πεπνύμενα καὶ τὰ ψαθυρὰ καὶ τὰ ξηρά. πάντα δὲ τὰ ἐντὸς φλεγμαίνειν ποιέουσιν προσφερόμενα, ὅσσα τὰ ἐκτὸς ἰσχναίνουσιν. ταῦτα δὲ καὶ ἰσχυτήριά ἐστι καὶ φλεγματώδεα, καὶ τὰ ὑποχωρητικὰ ἰσχναίνοντα θερμαίνουσι τὰ τοιαῦτα. ἔτι δὲ τὰ ὀξέα καὶ φλεγματώδεα. πάντα δὲ τὰ ψύχοντα τὰ ἐν τῇ κοιλίῃ. τὰ δὲ

Sed in valentibus natura valentibus medicamentis utendum, debilibus vero non valentia medicamenta danda. Neque medicamentum transmutandum eſt, ſed ſingulis ſecundum ſuam naturam exhibendum, ita ut debilibus quidem debilia natura medicamenta, valentibus vero morbis valentia natura medicamenta exhibeantur. Morbi autem per eam partem cui maxime vicini eſſe ſolent educendi. Per eam autem partem qua ſingulis quam proximus eſt exitus, educi debent. Haec alvum ſubducunt, quaecunque lubricant et incidunt et quaecunque in calidis attenuantur. Venter enim calidus eſt et reliqua quae ſalſa ſunt et quae ex his plurimum habent. Minime autem alvum ſubducunt, ſed ſiſtunt quaecunque flatum exhibent. Humida enim reſiccata flatum pariunt, quaeque adſtringunt et quae calore concreſcunt, friabilia ſunt et ſicca. Quaecunque autem foris extenuant, ea omnia intro aſſumpta tumefaciunt, eademque roborant et tumorem inducunt, quaeque alvum ſubducentia extenuant, eadem calefaciunt. Ad haec vero etiam acida pituitoſa ſunt. Quaecunque autem ventrem refrigerant;

Ed. Chart. VII. [375.] Foëſ. I. 422. 423. Ed. Lind. I. (398. 399.) τοιαῦτα ὑποχωρητικά ἐστι, καὶ τὰ ψυχρὰ καὶ τὰ ὑγρά. ὁπόταν δὲ μὴ ὑποχωρητικὰ ἔωσι, θερμαίνουσιν. ψύχουσι δὲ καὶ τὰ θερμὰ ἐς τὴν κοιλίην προσφερόμενα καὶ ταχύ· διαχώρησιν δὲ μὴ ποιεύμενα θερμά ἐστιν ἐν τῇ κοιλίῃ. τούτων ὅσα πλησμονὴν ποιέει, μάλιστα φλεγματώδεά ἐστιν. ἃ δὲ πλεῖστα προσφερόμενα οὐ ποιέει πλησμονήν, διαχωρητικά. ἰητρικὴ δή μοι δοκέει ἤδη ἀνευρῆσθαι ὅλη, ἥτις οὕτως ἔχει. ἥτις διδάσκει ἕκαστα καὶ τὰ ἔθεα || καὶ τοὺς καιρούς. ὃς γὰρ οὕτως ἰητρικὴν ἐπίσταται, ἐλάχιστα τὴν τύχην ἐπιμένει. ἀλλὰ καὶ ἄνευ τύχης καὶ ξὺν τύχῃ εὐποιηθείη ἄν. βέβηκε γὰρ ἰητρικὴ πᾶσα καὶ φαίνεται τῶν σοφισμάτων τὰ κάλλιστα ἐν αὐτῇ συγκείμενα, ἐλάχιστα τύχης δεῖσθαι. ἡ γὰρ τύχη αὐτοκρατὴς καὶ οὐκ ἄρχεται. οὐδ᾽ ἐπ᾽ εὐχῇ ἐστὶν αὐτὴν ἐλθεῖν. ἡ δ᾽ ἐπιστήμη ἄρχεταί τε καὶ εὐτυχής ἐστιν, ὁπόταν βούληται ὁ ἐπισταμένος χρῆσθαι. ἔπειτα τί καὶ δεῖται ἰητρικὴ τύχης; εἰ μὲν ἔστι τῶν νοσημάτων φάρμακα σαφῆ, οἶμαι, οὐκ ἐπιμένει τὴν τύχην τὰ φάρ(399)μακα ὑγιᾶ ποιῆσαι τὰ νοσή-

eadem alvum ſubducunt, et quae frigida ſunt et humida, cum vero alvum minime ſubducunt, calefaciunt. Calida autem in ventrem aſſumpta, cito etiam refrigerant. Quae vero alvum non movent in ventre calida exiſtunt. Ex his quae plenitudinem inducunt, maxime tumefaciunt. Quae vero plurima ingeſta plenitudinem non faciunt, ea alvum dejiciunt. Ars ſane medica jam mihi tota inventa eſſe videtur, quae ſic comparata eſt, ut ſingulas et conſuetudines et temporum occaſiones doceat. Qui enim hoc pacto artis medicae cognitionem habet, is minimum ex fortuna pendet, ſed et citra fortunam et cum fortuna recte eam adminiſtrabit. Firma enim eſt ars tota medica, ejusque praeceptiones ex quibus conſtat pulcherrimae, fortuna minimum indigere videntur. Sui enim juris eſt fortuna, nullius imperio paret, neque felici ſucceſſu caret, ſi quis ea inſtructus uti volet. Deinde quanam in re Medicina fortunae indiget? Si quidem explorata ſunt morborum medicamenta, quemadmodum reor, ea ut morbis ſanitatem adferant, minime fortunam

Ed. Chart. VII. [375, 376.] Foeſ. I. 423. Ed. Lind. I. (399. II. 526.)

ματα, εἴ πέρ ἐστι τὰ φάρμακα. εἰ δὲ σὺν τῇ τύχῃ διδόναι ὠφελέει, [376] οὐδὲν μᾶλλον τὰ φάρμακα ἢ καὶ τὰ μὴ φάρμακα σύν γε τῇ τύχῃ ὑγιᾶ ποιέουσι προσφερόμενα τοῖσι νοσήμασιν. ὅστις τὴν τύχην ἐξ ἰητρικῆς ἢ ἐξ ἄλλου τινὸς ἐξελάσει, φάμενος οὐ τοὺς καλῶς τι πρῆγμα ἐπισταμένους χρῆσθαι τύχῃ, τὸ ὑπεναντίον δοκέει μοι γινώσκειν. ἐμοὶ γὰρ δοκέουσιν μοῦνοι καὶ ἐπιτυγχάνειν καὶ ἀτυχεῖν οἱ καλῶς τι καὶ κακῶς πρῆξαι ἐπιστάμενοι. ἐπιτυγχάνειν τε γὰρ τοῦτ' ἐστὶ τὸ καλῶς ποιέειν. τοῦτο δὲ οἱ ἐπιστάμενοι ποιέουσιν. ἀτυχεῖν δὲ τοῦτ' ἐστὶν, ὃ ἤν τις μὴ ἐπίστηται, τοῦτο μὴ καλῶς ποιέῃ. ἀμαθὴς δὲ ἐὼν πῶς ἂν ἐπιτύχοιεν; εἰ γάρ τι καὶ ἐπιτύχοι, οὐκ ἂν ἀξίως λόγου τὴν ἐπιτυχίην ποιήσαιτο. ὁ γὰρ μὴ καλῶς ποιέων οὐκ ἂν ἐπιτύχοι τἄλλα τὰ εἰκότα μὴ πράσσων. (526) τὰ γυναικεῖα νοσεύματα καλεύμενα αἱ ὑστέραι πάντων τῶν νοσημάτων αἴτιαί εἰσιν. αὗται γὰρ ὅπῃ ἂν ἐκ τῆς φύσιος μετακινηθέωσι νούσους παρέχουσιν, ἤν τε προέλθωσιν ἤν τε παραχωρήσωσιν, καὶ ὅταν μὲν μὴ βάλλουσαι

morantur, ſi quidem medicamenta ſunt. Quod ſi cum fortuna ea exhibere juvat, non magis medicamenta quam quae talia non ſunt, una quidem cum fortuna morbis oblata ſanitatem reſtituunt. At vero quisquis fortunam ex arte medica aut quovis alio negotio penitus ejicit, negatque eos qui probe aliquid noverunt fortuna uti, is mihi contra quam debet ſentire videtur. Ii enim ſoli vel ſucceſſu potiri vel eo fruſtrari videntur, qui recte quid vel male facere noverunt. Eſt enim proſpere ſuccedere recte facere, quod faciunt qui ſciunt. At vero ſucceſſu fruſtrari eſt cum quis quod minime ſciat, id non recte faciat. Ignaro enim quomodo proſpere ſuccedere queat? Quod ſi quid etiam ex animi ſententia ſuccedat, non magni certe faciendum ſucceſſum habebit. Nam qui non recte facit, huic ex animi ſententia ſuccedere non poterit, cum reliqua quae ſunt conſentanea non faciat. Morborum omnium, qui muliebres vocantur, uteri in cauſa ſunt. Hic enim quocunque e ſede naturali moti fuerint, morbos afferunt, ſive foras proceſſerint ſive intro ceſſerint. Et quandoquidem uteri non demiſſo ſuo

Ed. Chart. VII. [376.] Foës. I. 423. Ed. Lind. II. (526. 527.)
τὸ στόμα αἱ μῆτραι καὶ μὴ ψαύουσαι τῶν κρημνῶν μετακεκινημέναι ἔωσιν ἔξω σμικροτάτη νοῦσός ἐστιν. ἐπεὶ δὲ προκινηθέωσιν ἐς τὸ ἔμπροσθεν καὶ ἐμβάλλωσι τὸ στόμα ἐς τὸν κρημνὸν, πρῶτον μὲν ψαύσασα πόνον παρέσχεν, εἶτα ἀποφραχθεῖσα ἡ μήτρη καὶ ἐπιπωμασθεῖσα ὑπὸ τῆς ἐμβλήσεως τῆς ἐς τὸν κρημνὸν, οὐ γίνεται ῥόος τὰ καταμήνια. τοῦτο δὲ συνιστάμενον οἴδός τε καὶ ὀδύνην παρέχει, καὶ ἢν μὲν κάτω κατελθοῦσα καὶ ἀποστραφεῖσα ἐμβάλλῃ ἐς τὸν βουβῶνα, ὀδύνην παρέξει. ἢν δὲ ἄνω ἐπαναχωρήσασα ἀποστραφῇ καὶ ἀποφραχθῇ καὶ οὕτω διὰ τὴν ἀραιότητα νοῦσον παρέχει. ὁπόταν δὲ διὰ τοῦτο νοσέῃ, ἐς τὰ ἰσχία καὶ τὴν κεφαλὴν ὀδύνην ποιέει. ὁπόταν δὲ αἱ μῆτραι πλησθεῖσαι συνοιδήσωσιν, οὐ ῥεῖ οὐδὲν καὶ πλέαι γίνονται. ἐπὴν δὲ πλέαι γίνωνται, ψαύουσι δὲ τῶν ἰσχίων, ὀδύνας παρέχουσιν καὶ ἐς τὰ ἰσχία καὶ τὸν βουβῶνα, καὶ οἷον σφαῖραι ἐν τῇ γαστρὶ ὑποτρέχουσιν, καὶ τὴν κεφαλὴν ποι(527)έουσιν, τοτὲ μὲν ἐς τὸ ἕτερον μέρος, τοτὲ δὲ ὅλην. οἵη γίνεται καὶ ἡ νοῦσος. ὧδε δὴ ταῦτα εὑτρεπιστέον. ἢν μὲν προέλθῃ μοῦνον καὶ ἢ

osculo, neque muliebris pudendi labra attingentes foras emoti fuerint, leviſſimus eſt morbus. Ubi autem demiſſo in pudendi labra oſculo in anteriora proceſſerint, primam quipem ipſo contactu dolorem exhibet, deinde obturato utero et obducto, ex eo quod in pudendi labra ſe immittit profluvium menſtruum non contingit, quod ubi collectum fuerit, tumorem et dolorem praebet. Ac ſiquidem inferiora petat, et averſus ad inguina incumbat, dolorem afferet. Quod ſi ſurſum ſe recipiens averſus et occluſus fuerit, ſic quoque propter raritatem morbum adfert, et ubi ex eo aegrotarit, ad coxendices et caput dolorem immittit. Cum vero repleti uteri in tumorem ſublati fuerint, nihil effluit et pleni evadunt. Quod ubi evenit, coxendices contingunt et ad coxendices et inguina dolorem adferunt, ac tanquam pilae in ventre diſcurrunt, caputque dolore afficiunt, modo quidem altera parte, modo vero totum, qualis etiam morbus contingit. Haec ſane hoc modo curanda ſunt. Siquidem ſolum foras proceſſerit, ut inungere liceat, quocunque

Ed. Chart. VII. [376. 377.] Foeſ. I. 423. 424. Ed. Lind. II. (527.)
διαχρίειν, χρῶ ᾧτινι βούλει τῶν κακόδμων, ἢ κέδρῳ ἢ μυσεωτῷ ἢ ἄλλῳ τινὶ τῶν βαρυτέρων καὶ κακὸν ὀζομένων καὶ κάπνιζε καὶ μὴ πυρία μηδὲ σιτίῳ μηδὲ πότῳ οὐρητικῷ χρῶ τούτου τοῦ χρόνου, μηδὲ λοῦε θερμῷ. ἢν δὲ ἀνακεχωρήκει καὶ μὴ ἀπεστραμμένη ᾖ, τοῖσιν εὐόδμοισιν προσθετοῖσι χρῶ, ὅσα ἀναθερμαίνουσιν ἅμα. ταῦτα δὲ τοιάδε εἰσίν. σμύρνη ἢ μύρῳ εἴθ' ἑνὶ ἄλλῳ εὐόδμῳ καὶ θερμαίνοντι ἅμα. τοιούτοισι προσθετοῖσι χρῶ, καὶ πυριᾶν οἴνῳ κάτωθεν καὶ θερμῷ ὕδατι λούειν καὶ διουρητικοῖσι χρῶ. τὸ δὴλόν ἐστιν, ἢν μὴ ἀποστροφῇ ἀνακεχωρηκυῖα ῥεῦμα γίνεται. ἢν δὲ ἀπεστραμμένη ᾖ, οὐ γίνεται ῥόος τὰ καταμήνια καλεύμενα. τοῦτο τὸ νόσημα πυρίῃ πρῶτον τοιῇδε χρὴ ἰᾶσθαι, ἐς οἶνον ἐρινέα ἐμβάλλοντα θερμαίνοντα τοῦτον περιθέντα σικυωνίην, || περὶ τὸ στόμα τοῦ τεύχεος ἐν ᾧ ἂν θερμαίνηται ὧδε ποιῆσαι. [377] σικυωνίην μέσην διαταμὼν ἐκκενώσας τὸ ἄκρον ἀποταμὼν σμικρὸν, ὡς ἐπ' ἀσκίων τοῦτο περιπωμᾶσαι, ὅπως ἂν ἡ ὀδμὴ διὰ τοῦ στενοῦ ἰεῖσα πρὸς τὴν μήτρην ἀφίκηται,

voles ex graveolentium genere utitor, aut cedro aut pulmento ex allii aut cepae intrito, quod *μυσεωτὸν* dicitur, aut alio quodam ex graviter et male olentibus et ſuffito, minimeque foveto, neque cibum aut potum urinam cientem hoc tempore exhibeto, neque calida lavato. Quod ſi retro ceſſerit minimeque averſus fuerit, bene olentibus ſubditiiis medicamentis, quae una calefaciant, utitor, veluti myrrha aut unguento aut alio quodam odorato ſimulque calefaciente. His ad vulvam appoſitis utitor, ſubterque ex vino fomentum adhibeto et calida lavato, urinamque ducentia adhibeto. Inde autem conſtat ſi averſus non fuerit, cum ſe ſurſum receperit, fluxus contingit. Quod ſi averſus fuerit, fluxus non ſit menſtruus appellatus. Hic morbus primum huiusmodi fomento curandus. Immiſſis in vinum ſicubus immaturis ipſum calefacito, cucurbita ad os vaſis in quo caleſit ad hunc modum appoſita. Cucurbita media diſſecta et repurgata, ſummaque eius parte parum reſciſſa, velut in utriculis fieri aſſolet, ipſum veluti cooperculo circumtegito, quo odor per anguſtum immiſſus ad uterum pertingat, et ca-

Ed. Chart. VII. [577.] Foës. I. 424. Ed. Lind. II. (527. 528.)
καὶ θερμῷ ὕδατι αἰονᾶν καὶ φαρμάκοισιν θερμαίνουσι χρῆσθαι προσθετοῖσι. θερ(528)μαίνοντα δ' ἐστὶ τὰ ἄγοντα τῶν πρόσθεν. τὰ δὲ τοιάδε βόλβιτον, χολὴ βοὸς, σμύρνα, στυπτηρίη, χαλβάνη καὶ ἄλλο ὃ τοιοῦτόν ἐστι. τούτων ὡς πλείστοισι καὶ ὑπεξάγειν ἐλατηρίοισιν φαρμάκοισιν κάτω ὅσα ἔμετον ποιέουσιν, ἀσθενέουσιν, ὅπως μὴ ἰνηθμὸς γένηται ἐκ τῆς ὑπερινήσιος. τὰ δὲ προσθετὰ ὧδε χρὴ ποιέειν, ἢν βούλῃ ἰσχυρὰ ποιέειν. μέλι ἡμίεφθον ποιέων ἐμβαλλέων γεγραμμένων προσθετῶν τῶν ἄγειν ποιούντων, καὶ ἐπὴν ἐμβάλλῃς, ποίησον ὥσπερ τὰς βαλάνους τὰς πρὸς τὴν ἕδρην προστιθεμένας. μακρὰς δὲ ποιέει καὶ λεπτὰς ταύτας· τὴν δὲ γυναῖκα ὑπτίην κατακλίνας ἄνω τοὺς πόδας ποιήσας τῆς κλίνης τοὺς πρὸς ποδῶν. ἔπειτα πρόσθες καὶ θερμαίνει ἐν ἀκηδίῃ ἄλλῳ τινὶ, ἕως ἂν κατατακῇ. ἢν δὲ ἀσθενέστερον βούλῃ τὸ προσθετὸν προστιθέναι ἐς ὀθόνιον ἐνδέων, καὶ ἢν ὑγρότητος ἔμπλεαι οὖσαι αἱ μῆτραι τὸ στόμα συνοιδήσωσιν καὶ ἀρροίην παράσχωσι, ῥόον χρὴ ποιέοντα ἰᾶσθαι προσθετοῖσι φαρμάκοισιν καὶ πυριῶντα, ὡς γέγραπται, οὕτω

lida perfundito medicamentisque calidis ſubdititiis utitor. Ex his autem quae ſupra relata ſunt, calefaciunt quae educunt et quae ſunt huiusmodi, ſtercus bubulum, fel bubulum, myrrha, alumen, galbanum et ſi quid aliud id genus. Harum quam plurimis alvum etiam medicamentis deorſum purgantibus ſubducito, debilibus quae vomitum faciunt, ut ne ex immodica purgatione evacuatio contingat. Peſſos autem ſubdititios ſi valentes deſideras, ſic conficito. In mel ſemicoctum ex medicamentis appeſititiis praeſcriptis immitte quae educere poſſunt, et cum immiſeris, glandulas ad earum inſtar quae in ſedem immittuntur efformato, easque longas et tenues fingito. Deinde mulieri ſupinae in lectulum a pedibus altius inſtratum reclinatae glandulas apponito et panniculo illigatum aut alia re conſimili calefacito, dum colliqueſcat. Quod ſi debiliorem glandulam apponere voles, in tenue linteum obligato. At ſi humore plenis uteris oſculum intumeſcat et menſium ſuppreſſionem praebeant, fluxum medicamentis ſubdititiis procurando curare oportet et fomentis,

Ed. Chart. VII. [377. VI. 443.] Foël. I. 424. Ed. Lind. II. (528. 529.) ποιεῦντα, ὥσπερ καὶ τὴν πρόσθεν ἀῤῥοίην, καὶ εἰ ἐς τὸ πρόσθεν προσχωρέουσα ἀποστραφῇ, ῥόον χρὴ ποιέειν, ὥσπερ ἐπὶ τῆς πρότερον ἀῤῥοίης. ὅταν δὲ ῥόος ᾖ λίην, οὔτε θερμαίνειν χρὴ θερμῷ ὕδατι οὔτ' ἄλλῳ οὐδενὶ, οὔτε οὐρητικοῖσι χρῆσθαι οὔτε σιτίοισι διαχωρητικοῖσι. τῆς γε κλίνης τὰ πρὸς ποδῶν ὑψηλότερα εἶναι, ὡς μὴ ἡ κατάκλισις εὔροος ᾖ, καὶ προσθετοῖσιν ἅμα τοῖς στύ(529)φουσι χρῶ. οἱ δὲ ῥόοι ὁπόταν μὲν εὐθέως ἵκηται ἡ κάθαρσις, εὐθέως ὑφαίμονος γίνονται. ὁπόταν δ' ἧσσον ἴῃ, πυώδεες, καὶ τῇσι νεωτέρῃσιν ὕφαιμα μᾶλλον. αἱ δὲ πρεσβύτεραι μυξώδεα μᾶλλον ἔχουσιν τὰ καταμήνια καλεύμενα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΥΓΡΩΝ ΧΡΗΣΙΟΣ.

[443] I. (599) Ὕδωρ ποτὸν, ἁλμυρὸν, θάλασσα. ποτὸν μὲν κατ' ἰητρεῖον κράτιστον, καὶ γὰρ σιδηρίοισι καὶ χαλκείοισι κράτιστον, καὶ φαρμάκοισι τοῖσι πλείστοισι παλαιομέ-

ut dictum eſt, ſic adhibitis, ut in priore fluxus ſuppreſſione. Quin etiam ſi anteriorem in partem progreſſus uterus averſus fuerit, fluxionem concitare velut in ſuperiore menſium ſuppreſſione opportet. Cum vero profluvium nimium fuerit, neque calida neque alio quopiam calefacere oportet, neque alvum ducentibus cibis utendum. Lectus a pedibus altior ſternendus, ut ne declinatio profluvio faciliorem viam praebeat, ſimulque adſtringentibus peſſis ſubdititiis utitor. Profluvia vero, ſi quidem ſubito purgatio proceſſerit, confeſtim ſubcruenta fiunt, ſi vero tardius prodierit, purulenta. Ex junioribus fere ſubcruenta prodeunt, ſeniores autem mucoſos magis appellatos menſes habent.

HIPPOCRATIS DE LIQVIDORVM VSV LIBER.

Aqua ad potum accommodata, ſalſa, mare. Potui quidem apta, ad officinam medicam optima. Ad ferramenta enim et aeramenta optima et ad plurima inveterata medica-

Ed. Chart. VI. [443.] Foës. I. 424, 425. Ed. Lind. I. (599. 600.)
νοισι κοινότατον. ἐς δὲ χρῶτα γνῶναι δεῖ ὅτι τοῦτο ἢ τέγξει ἢ ψύξει ἢ θερμάνσει, ἄλλῳ δὲ οὐδενὶ ὠφελέει ἢ βλάπτει ποτόν. ὅπου ὀλίγου ποτοῦ σπόγγῳ χρήσῃ, ἄριστον ὀφθαλμοῖσιν. αὐτὸ τὸ δέρμα ἐφήλκωται θερμοῦ αἰωνήσει. πυρίη τοῦ σώματος ἅπαντος ἢ μέρεος, δέρματος σκληροῦ, μάλθαξις· συντεταμένου χάλασις, νεύρων, σαρκῶν ἐκχύμωσις, ἰδρῶτος ἄφοδος, ὑγρῆναι προσκλήσει οἷον ῥῖνας, κύστιν, φύσας. σαρκῶσαι, ἁπαλῦναι, τῆξαι, μινυθίσαι χροιὴν ἀνακαλέσαι, χροιὴν ἀνασκευάσαι. ὕπνικὸν καὶ κατὰ κεφαλῆς καὶ ἄλλων. σπασμῶν, τετάνων παρηγορικόν. ὀδύνας (600) κωφοῖ, ὠτός, ὀφθαλμῶν, ὅσα τοιαῦτα. τὰ ψυχρὰ θερμῆναι οἷον πίσσα ἕλκεσιν, πλὴν τοῖσιν αἱμορῥαγεῖσιν ἢ μέλλουσι, κατήγμασιν, ἐκπτώμασι, τοῖσιν ἄλλοισι οἷσιν ἂν ὀθόνια ἰητρὸς, καρηβαρίῃ. τὸ μέτριον ἑκάστῳ μὴ πρόσω || οἴδαμεν βασανίζειν, οἷον τὸ θερμὸν τῷ χρωτὶ ἐξ ὑπερβολῆς ἐφ' ἑκάτερα, ὡς ἀμφοῖν μὴ ἁμαρτάνῃ, σημαινόμενος ταῖς βλάβαις, ἢ οὐκ ὠφελείαις, οἷον χλιαροῦ. δεῖ γὰρ τῇσιν βλάβῃσιν ἢ τῇσιν ὠφε-

menta convenientiſſima. At corpori admota aut humectat aut refrigerat aut calefacit. Potu vero ad nullum alium uſum utilis eſt aut noxia. Si potabili modica cum ſpongia ntaris, ad oculos eſt optima. Calidae aſperſione ipſa ſumma cuticula exulceratur. Fotus corporis totius aut partis. Cutis durae emollitio, intenſae relaxatio, nervorum, carnium, ſuccorum effuſio, ſudoris diſceſſus, prolutione humectare, velut nares, veſicam, flatus, carne implere, tenerum reddere, liquefacere, imminuere, colorem revocare, colorem diſſipare. Somnum conciliat capiti affuſa et aliis partibus. Convulſiones, diſtentiones lenit, auris, oculorum dolores obtundit et quae ſunt ejuſcemodi. Frigida calefacere, velut pix, ulceribus, praeterquam ex quibus ſanguis effluit aut effluxurus videtur, fractis, luxatis, reliquis quibus per lintea medicus medetur, capitis gravitati. In unoquoque quod moderatum, ne ultra exploremus, velut calidum corpori adhibitum, exceſſu in utramque partem vitato, ut utraque ex parte minime aberret, qui conjecturam ex eo quod nocet aut non juvat ſumpſerit, velut in tepida. Iis enim quae

Ed. Chart. VII. [443. 444.] Foës. I. 425. Ed. Lind. I. (600. 601.)
λείψιν κἂν ὦσι χρῆσθαι μέχρι τοῦ ὠφελέοντος ἢ μέχρι τοῦ βλάπτοντος. τέγξις μὲν οὖν ἀσθενὲς, ψύξις δὲ καὶ [444] θάλψις ἰσχυρὸν, ὡς ἐξ ἡλίου. τὸ δὲ ψυχρὸν θερμὸν ἐὸν ὡς ποτὸν ἀσθενέοντι. ἀλλὰ τὸ μὲν θερμὸν μὴ πρόσω καίειν, κρίνει δ' αὐτὸς πλὴν τοῖσιν ἀφώνοισιν ἢ παραπληγικοῖσιν ἢ νεναρκωμένοισιν ἢ οἷα ἐπὶ τρώμασι κατεψυγμένοισιν ἢ ὑπερωδύνοισι. τούτοισι δὲ ἀναίσθητα. λάθοις γὰρ ἂν κατακαύσας, καὶ τὰ ἐκπτώματα δὲ τὰ βαθέα καὶ τὰ μεγάλα ἤδη καὶ πόδες ἀπέπεσον καταψυχθέντες, ἐκ καταχύσιος θερμοῦ. ἀλλὰ τούτοισιν ὁ τοῦ καταχέοντος χρὼς κριτὴς, καὶ ψυχροῦ δὲ ὡσαύτως. τούτων δ' αὐτῶν τὸ ὀλίγον ἑκατέρου ἀσθενὲς, τὸ δὲ πολὺ ἰσχυρόν. ἀλλὰ μὴν ἐᾶν μέχρι γένηται οὗ ἕνεκα ποιέεται· τὸ ἔσχατον προπαύειν πρὶν γενέσθαι. τούτων δὲ ἑκατέρων βλάπτει. βλάπτει δὲ ταῦτα τὸ θερμὸν πλέον χρεομένοισι· σαρκῶν (601) ἐκθήλυνσιν, νεύρων ἀκράτειαν, γνώμης νάρκωσιν, αἱμορῥαγίας, λειποθυμίας· ταῦτα ἐς θάνατον· τὸ

laedunt aut juvant et si sunt ejusmodi, eousque uti convenit, quoad juvare vel laedere videantur. Madefactio igitur debile quid est, refrigeratio vero et calefactio validum quid, velut ex sole. At quae calida est, frigida videtur, velut potabilis aqua aegrotanti. Verum calida ne ulterius procedat, ut urat. De his autem ipsi aegroto judicium permittendum, praeterquam in voce defectis aut leviter sideratis aut stupore affectis aut velut in vulneribus perfrigeratis aut vehementi dolore conflictatis. Iis vero haec non sentiuntur. Neque enim si aduras sentiunt, ut nec profundas ac magnas luxationes. Iam vero etiam quibusdam pedes perfrigerati deciderunt ex calidae affusione. Verum in his ejus qui affundit cutis judex esto, ac similiter in frigida. Harum utraque modice adhibita, debilis, copiose vero blanda est. Verum finere oportet, donec id contingat cujus gratia fiunt, prius tamen desinendum quam extremum succedat. Harum autem utraque noxiam adfert. Et calidae copiosior usus haec parit incommoda, crurum effeminationem, nervorum impotentiam, mentis torporem, sanguinis profusiones, animi deliquia, ex quibus mors contingit. Fri-

Ed. Chart. VI. [444.] Foës. I. 425. Ed. Lind. I. (601.)

δὲ ψυχρὸν σπασμοὺς, τετάνους, μελασμοὺς, ῥίγεα πυρετώδεα. αἱ μὲν μετριότητες ἐκ τούτων, τὰ δ' ἄλλα βλάπτει καὶ ὠφελέει τὰ εἰρημένα ἡδονῇσι καὶ εὐφορίῃσι καὶ ἀχθηδόσι καὶ δυσφορίῃσιν, αἳ καθ' ἓν ἕκαστον αὐτῶν ὁμολογοῦσαι φαίνονται ὑγιέες. σῶμα τὸ μὲν ἐν σκέπῃ εἰθισμένον, ὅτι ἄηθες ὅ τι προσωτάτω τοῦ οἰκείου θάλπεος. ἐγγύτατα δὲ τοῦ ἀλλοτρίου ψύχεος, διὰ ταῦτ' ἄρα τῷ θερμῷ ἥδεται καὶ φέρειν δύναται. ἐγκέφαλος καὶ ὅσα ἀπὸ τούτου ψυχρῷ μὲν ἄχθεται, θερμῷ δ' ἥδεται, καὶ ἦν ἄρα ᾖ ψυχρότερον καὶ στερεώτερον φύσει, καὶ πρὸς ὅτου οἰκείου θάλπεος, καὶ πλεῖστα αὐτῶν. διὰ τοῦτο ὀστέοισιν, ὀδοῦσι, νεύροισι τὸ ψυχρὸν πολέμιον. τὸ δὲ θερμὸν φίλιον, ὅτι ἀπὸ τούτου σπασμοὶ, τέτανοι, ῥίγεα πυρετώδεα. ἃ τὸ μὲν ψυχρὸν ποιέει, τὸ δὲ θερμὸν παύει. διὰ τοῦτο καὶ ἀπὸ τοῦ θερμοῦ ἡδοναὶ καὶ προκλήσιες. ἀπὸ δὲ τοῦ ψυχροῦ ἀλγηδόνες καὶ ἀποτρέψιες. διὰ τοῦτο ὀσφὺς, στῆθος, νῶτον, ὑποχόνδρια, μᾶλλον ψυχρῷ ἄχθεται. θερμῷ δ' ἥδεται καὶ φέρειν δύναται διὰ τοῦδ'.

gida vero convulſiones, diſtenſiones, nigrores, rigores febriles affert. Ac moderatus quidem horum uſus juvat. Reliqua autem praedicta omnia laedere vel prodeſſe conſpiciuntur, ex voluptate et tolerandi facilitate, ex dolore etiam et ferendi moleſtia, quae ſingula pro cujusque confeſſione ad ſalubritatem conſentire videntur. Corpus quidem tegi ſolitum, quicquid minime eſt aſſuetum et longiſſime a familiari calore abeſt, alieno vero frigori eſt proximum, averſatur, ideoque calida delectatur et ferre poteſt. Cerebrum quaeque ex eo oriuntur, frigida quidem offenduntur, calida vero delectantur, etiamſi natura ſit frigidius et ſolidius. Eam ob cauſam oſſibus, dentibus, nervis frigida adverſa eſt, calida vero grata, quoniam convulſiones, diſtenſiones, rigores febriles, quos frigida creat, calida ſedat. Propterea etiam calida voluptates et illecebras facit, frigida vero dolores et averſationes. Ob id lumbi, pectus, dorſum, praecordia, magis offenduntur frigida, calida vero gaudent, eamque perferunt. Eam ſane ob cauſam lumbi, dorſum, pectus, praecordia contraria perpetiuntur, quod ſint contraria. Idcirco

Ed. Chart. VI. [444.] Foël. I. 425. Ed. Lind. I. (601. 602.)
ἄρα ὀσφὺς, νῶτον, στῆθος, ὑποχόνδρια, τὰ ἐναντία πέπονθεν ὅτι ἐναντιαῖα. διὰ τοῦτ' ἄρα τούτῳ τῷ χωρίῳ. ἀσῶδες ἐνταῦθα χρωμένοισι τῷ θερμῷ. τὸ δὲ ψυχρὸν παύει. διὰ τοῦτ' ἄρα ποτῷ ψυχρῷ ἥδεται. διὰ τοῦτ' ἄρα βρώμασι τοῖσι θερμοῖσιν ἥδεται. διὰ τοῦτ' ἄρα καὶ κατὰ ἀκρέων ἐν λειποθυμίαις (602) τὸ ψυχρὸν καταχεόμενον ὠφελέει. ὅτι δὲ τὰ ὄπισθεν τῶν ἔμπροσθεν τὸ θερμὸν μᾶλλον ἀνέχεται τὰ εἰρημένα αἴτια. ὅτι δὲ καὶ τὰ ψυχρὰ ὀρθῶς. τά τε γὰρ ἄκρεα ἔμπροσθεν καὶ οὐκ ἐν σκέπῃ εἰθισμένα. ὥσπερ τὸ ἔνδον τοῦ ἔξω. μνηστέον δὲ καὶ ὅτι ἑκάτερον ἐφ' ἑκατέρου τοῦ σώματος κρέσσον τοῦ δέρματος τοῦ ἔξω, ὅτι συνεχές τε ἑωυτῷ καὶ νεύρῳ ἐναίμῳ διὰ τὸ ἔξω τοῦ οἰκείου θερμοῦ. ἐν τῷ ἔξω ψυχρὰ εἶναι ἐπ' ἀμφοῖν πυκνὰ κρατέεται καὶ ἑκατέρων πυκνὰ δεῖται. πυκνὰ δὲ μᾶλλον θερμοῦ ἐς ἡδονήν. πάσχει δὲ καὶ ἄκρεα τοιοῦτο, ὥστε ταχέως ἐνακούειν πολλῶν. βραδέως δὲ πρῶτον ἐπαείρεται καὶ φλεβῶν δῆλον αἳ πρότερον καὶ ὕστερον. οὕτως πάντα φαίνεται, ὅκου τε ψύχεται ἄκρεα, ὅκου τε θερμαίνεται ἐν κενεαγγικοῖσι, ἐν λειποθυ-

sane anxietatem hac in parte a calida obortam frigida sedat. Ideoque etiam frigidae potu gaudet, et cibariis calidis delectatur. Ideoque sane in animi defectionibns frigida summis partibus affusa prodest. Quae autem dicta sunt, in causa sunt, cur partes posteriores calidam magis ferant quam anteriores, quodque etiam frigida recte ferant. Extremae etiam partes anteriores sunt et frigori externo assuetae, neque tegi solitae ut internae. Sciendum autem quod utrumque in utraque corporis parte cutem externam superat, quae cum sibi ipsi et nervo sanguineo sit continua, eo quod extra proprium calorem in frigore externo versatur, ab utrisque frequenter superatur et utrorumque frequenter indiget, frequentius tamen calido ad voluptatem. Tale quiddam etiam partibus extremis contingit, ideoque cito multa sentiunt, tarde autem primum attolluntur. Ex venis etiam alias prius, aliae posterius affici constat. Sic conspiciuntur omnia ubi tum refrigerantur extremae partes, tum calescunt in vasorum evacuationibus, in animi defectionibus. Neque citra

Ed. Chart. VI. [444. 445.] Foës. I. 425. 426. Ed. Lind. I. (602. 603.)

μικοῖσι, καὶ κατὰ λόγον εἰκότως ἄρα φλέβας καὶ || τὰ ἀπὸ τουτέων ἕπεται καὶ θερμαίνει. πρῶτον τὸ θερμὸν [445] οἷον τῶν χειρῶν τὰ εἴσω. τὰ δ' ἕλκεα θερμῷ ἥδεται ὁμολογουμένως, ὅτι ἐν σκέπῃ εἴθισται. εἰκότως ἄρα τῷ ἑτέρῳ ἄχθεται. εἰκότως ἄρα καὶ αὗται αἱ φλέβες, ὅτι ἐν θερμῷ εἰσίν. εἰκότως ἄρα καὶ αὐτὸς ὁ θώρηξ, καὶ αὐτὴ ἡ κοιλίη κρατουμένη ὑπὸ τοῦ ψυχροῦ μάλιστα ἀγανακτεῖ καὶ θανατοῖ, ὅτι μάλιστα ἀηθέα. ἀλλὰ πλεῖστον ἀπέχει τοῦ παθεῖν. τούτου γὰρ ἐγγύτατα τοῦτο τὸ δεῖσθαι. εἰκότως ἄρα ποτῷ ψυχρῷ ἥδεται. οὕτω ὁμολο(603)γέει ταῦτα πάντα, ὅτι δὲ μάλιστα πάντα τὰ ἀποσύρματα καὶ τὰ ἐπικαύματα ἐπιπολῆς οὐ μάλιστα εἰθισμένα ἐν σκέπῃ, μάλιστα ἐν ψυχρῷ ἀγανακτεῖ. εἰκότως. τάχιστα γὰρ κρατέεται, καὶ τὰ βαθύτατα εἰ κρατοῖτο, μάλιστ' ἂν ἄχθοιτο. ἔπειτα καὶ τῆς φύσιος τῆς νευρώδους μετέχει. ὅτι ὑπογάστριον ἥδεσθαι δοκέει θερμῷ, σκεπτέον τὸ χωρίον καὶ μετέχει, καὶ ἄκρεα καὶ κύστις καὶ γονὴ καὶ ἄλλος γόνος ὁ γυμνὸς, ἔστι τε φύσει ψυχρότερος ἢ

rationem ſane venas ſequuntur, quae ex illis dependent, eaque primum calida calefacit, velut internas manus. At vero ulcera calida delectari, quod tegi ſint ſolita, omnium opinione conſtat. Neque ſane injuria ab altera moleſtia afficiuntur. Jure ſane ipſae etiam venae, quae ſint in calido. Jure ſane ipſe etiam thorax, ipſeque ventriculus a frigida ſuperatus vehementer aegre ferſ et lethaliter afficitur ob maximam inſolentiam. Verum plurimum abeſt ab eo ut patiatur, cum ipſa indigentia huic ſit maxime propinqua. Jure itaque frigidae potu gaudet. Sicque omnia iſta inter ſe conſentiunt. Iam vero valde conſentaneum eſt, ut omnia in ſuperficie deſquamata et ambuſta non admodum tegi ſolita frigidam aegerrime ferant, cum citiſſime ſuperentur. Quaeque valde in profundo ſunt poſita, ſi ſuperentur, maxima utique moleſtia afficientur, idque ſane ſi natura nervoſa conſtent. Quod autem imus venter calida delectari videatur, conſiderandus locus eſt. Quin etiam partes extremae et veſicae et uterus et aliae partes genitales denudatae ſuapte

Ed. Chart. VI. [445.] Foës. I. 426. Ed. Lind. I. (603. 604.)
ὡς τις οἴεται. ἄνω γὰρ οὐ κάτω θερμὸν ἀΐσσει. διὰ ταῦτα ἥδεται, ὅτι μετὰ τὸ θερμὸν ψύχεται τὸ σῶμα διαψυχθὲν μᾶλλον. μετὰ δὲ τὸ ψυχρὸν ἀναθερμαίνεται μᾶλλον συσταλέν. οἷον καὶ τὰ ὕδατα ψυκτέα θερμαντέα διὰ λεπτότητα. ὅτι μετὰ τὸ θερμὸν σκληρύνεται μᾶλλον ἐπιξηρανθέν. οἷον ὀφθαλμοὶ μετὰ τὸ ψυχρόν. τὸ μὲν γὰρ ὅμοιον τῷ περιέχοντι, τὸ δὲ οὔ. θάλασσα δὲ τοῖσι κνησμώδεσι καὶ δακνώδεσιν, καὶ λούειν καὶ πυριῆν θερμῇ, τοῖσι μὲν ἀήθεσιν ὑπολιπαίνονται, πρὸς ἕλκεα δὲ πυρίκαυτα καὶ ἀποσύρματα καὶ ὅσα τοιαῦτα πολέμιον. ἐπιτήδειον δὲ τοῖσι καθαροῖσι, ἀγαθὸν καὶ ἰσχναίνειν εὖ ὡς τὰ τῶν ἁλιέων ἕλκεα. ταῦτα γὰρ οὐδ' ἐκπυεῖ, ἢν μὴ ψαύῃ καὶ πρὸς ὑποδεσμίδας, καὶ τὰ νεμόμενα παύει καὶ ἵστησιν. ὡς ἄλες καὶ ἁλμυρίδες καὶ λιτρόν. πάντα δὲ ταῦτα σμικρῷ μὲν χρωμένῳ ἐρεθιστικά, προσνικῶντι δὲ ἀ(604)γαθά. βέλτιον δὲ θέρμῃ πρὸς τὰ πλεῖστα, ὄξος δὲ χρωτὶ μὲν καὶ ἄρθροισι παραπλήσιον θαλάσσῃ, καὶ δυνα-

natura frigidiores ſunt quam quis exiſtimet. Surſum enim, non deorſum caliditas prorumpit. Idcirco calida delectatur, quod poſt calidae uſum corpus perfrigeratum magis frigeſcit, et poſt frigidae uſum contractum magis recaleſcit. Velut aquam cum refrigerare volumus, caleſacere oportet, ut ei tenuitatem conciliemus, cum poſt calidi uſum magis indureſcat ac reſiccetur, non aliter quam oculi poſt frigidae uſum. Illud enim ambienti eſt ſimile, hoc vero minime. Aqua marina his qui pruritum ſentiunt et ab acribus humoribus mordentur, tum lotione tum fotu calida prodeſt, his quidem qui minime aſſueti ſunt moleſtiam quandam exhibet. Ulceribus autem ex ambuſtione et abraſione et reliquis hujusmodi adverſatur. Puris vero eſt accommodata et valet ad probe extenuandum et ad piſcatorum ulcera, ut quae neque ſuppurent, niſi attigeris et ad prima fracturarum ſubligamina. Quin etiam depaſcentia ulcera ſedat ac ſiſtit, non ſecus ac ſal, ſalſugo et nitrum. Haec autem omnia parciore quidem uſu adhibita irritant, liberaliore vero proſunt. Praeſtat autem ad plurima calida. Acetum cuti et articulis admotum eandem habet cum aqua marina facultatem, po-

Ed. Chart. VI. [445.] Foël. I. 416. Ed. Lind. I. (604.)

τώτερον, καταχέειν καὶ πυριῆν καὶ ἕλκεσι τοῖσι νεστρώτοισι θρόμβοισιν οὖ μέλασμα αἰδοίων. καῦσις οὐάτων ἢ καὶ ὀδόντων. θερμῷ δὲ ταῦτα τά τε ἄλλα καὶ τῇ ὥρῃ συντεκμαίρεσθαι ἐκ τήξεως ἅλες, καὶ πρὸς ἄλλα δὲ ὅσα λειχῆσιν, λέπρῃσιν, ἀλφοῖσι συντείνει παχυνθὲν ἐν ἡλίῳ θερμῷ, μάλιστα δὲ ὄνυξι λεπροῖσι. κρατέει γὰρ μετὰ χρόνον, μυρμηκίας ἀπαλύνει, καὶ τοὺς ἐν ὠσὶν ἰᾶται ῥύπους, μαλάσσει δὲ καὶ χρῶτα. πολλαχῇ δὲ καὶ ἄλλῃ, εἰ μὴ ὀδμῇ ἔβλαπτε καὶ μάλιστα γυναῖκας. ἐδύνατο δ' ἂν καὶ ποδαγρίῃ, εἰ μὴ ὁ χρὼς ἐτιτρώσκετο. ταῦτα καὶ τρὺξ ὄξους ποιέειν. οἶνος δὲ γλυκὺς ὅσα χρόνια τρώματα συνεχέως χρωμένῳ αὐταρκὴς, ἀτὰρ καὶ ἐς φαρμακοποσίην. αὐστηρὸς δὲ ὁ λευκὸς καὶ μέλας οἶνος ψυχρὸς ἐπὶ τὰ ἕλκεα ἐνδέχεται, ψυχρὸς διὰ τὴν θέρμην. εἰρία δὲ ὅσα μὲν ψύξιος οὕνεκα ἢ καταχεῖται ἢ ἐνίεται ἢ ἐμβάπτηται ὡς ὕδωρ ψυχρότατον. ὅσα δὲ ψύξιος ὁ μέλας οἶνος καὶ εἰρία καταρῆναι. οἷον καὶ φύλλα τευτλίων ἢ ὀθό-

tentiorem tamen perfuſione et fotu obtinet. Valet etiam ad ulcera recens vulneratis et ad ſanguinis grumos, ubi nigredines ſunt in pudendis et aurium ac dentium ardor adeſt. Calidum autem haec et alia praeſtat. Sed et ex anni tempore conjectura facienda eſt. Ex eliquatione ſalis etiam ad alia quaecunque impetiginibus, lepris et vitiliginibus conducunt et in ſolo calido inſpiſſatum, praecipue vero unguibus ſcabris confert, quos temporis progreſſu ſuperat, verucas formicarias attenuat, aurium ſordibus medetur, cutem etiam emollit. Multis quoque aliis modis valeret, niſi odore, praecipueque mulieribus noceret. Valeret etiam ad pedum dolorem, niſi cutem vulneraret. Eadem aceti faex praeſtat. Vinum dulce diuturnis vulneribus aſſiduo uſu idoneum, quin etiam ad medicamentorum purgantium potiones eſt accommodatum. At auſterum vinum tum album tum nigrum frigidum ad ulcera adhibetur, frigidum propter caliditatem. Lanae quae refrigerationis quidem gratia aut perfunduntur aut induntur aut imbuuntur, velut aqua frigidiſſima adhibendae. Quae vero adſtrictionis gratia, ea vino nigro cum lana irrigato, velut etiam betarum folia, aut

Ed. Chatt. XI. [445.] Foël. I. 426. 427. Ed. Lind. II. (604. 605.)
νια βάπτεται ἐπὶ τὰ πλεῖστα. ὅσα δ' ἔνι στύψιος, οἷον κισσοῦ φύλλα ὁ λευκὸς, καὶ ὅσα στρυφνότερα ἢ ψαυθυρώτερα, οἷον κισσός τε καὶ βάτος, ῥοὺς σκυτοδεψικὴ, ἐλελίσφακος, καὶ ὅσα μαλθάσσειν δεῖ, οἷον ἄλητον ἑφθὸν, (605) τὸ ψυχρὸν ὠφελέει. τὰ ἐρυθρὰ οἷα ἄλλη καὶ ἄλλη ἐκθύει ὑποπλάτη. οἷα οἱ τοὺς σπλῆνας ὁλκηροὺς ἀνίσχουσιν. εὐσάρκοισι δὲ καὶ ἀπαλοσάρκοισιν ὑπέρυθρα, μέλασι δὲ καὶ οἷαι στρογγύλαι ἐοῦσαι θολικὰς λέγουσι καὶ ἐν || αὐτῇσι τῇσι θερμολουσίῃσιν ἀνίσταται γενόμενα, καὶ γυναιξὶν ἐκ γυναικείων ἀναδρομὴ, ὑπὸ χρῶτα καὶ ὑπὸ ἐρεθισμὸν δέρματος ἢ ἱματίων τρηχείων ἀήθει φορήσει, καὶ ἐξ ἱδρώτων ἐξόδου ἢ ἐκ ψύχεος. ἐξαίφνης πρὸς πῦρ ἐλθόντι ἢ λουτρὰ θερμὰ ταῦτα ἢν ὕστερον ποιήσει. ἔτι οὐδαμῶς ἐκθύει. ἐπεὶ ὅσα γε ἐκ ψύχεος γίνεται ἢ ὑκόσα τρηχύνεται κεγχρώδεα, εἶτ' ἐφελκοῦται, τὸ μὲν ψυχρὸν βλάπτει, τὸ δὲ θερμὸν ὠφελέει. ἃ δὲ ὄμφω ὠφελέει, τὰ ἐν ἄρθροισιν οἰδήματα καὶ ἄιευ ἕλκεος

linteola, in plurimis quae adſtrictione valent intincta adhibentur, qualia ſunt hederae albae folia, aut ſi quae ſunt magis acerba ac friabilia, velut hedera et rubus, rhus coriarius, ſalvia. At ea etiam quae emollitione indigent quale quod farina cocta facit. Frigida puſtulis rubicundis prodeſt, quales latiusculae alia atque alia parte irrumpunt, velut in iis quae lienes habent tumidos exoriuntur. In opimo autem corporis habitu et molli carne praeditis, admodum rubrae exiſtunt, in nigris vero, veluti rotundae, *αἰθόλικας* vocant, et quales in calidis lavacris excitatae oboriuntur, ac mulieribus ex menſtruorum ſub cutem recurſu fiunt et ex cutis irritatione aut inſolita aſperorum veſtimentorum geſtatione et ob ſudoris exitum aut cum quis ex frigore derepente ad ignem aut calida lavacra acceſſerit. Quod ſi poſterius haec fecerit, neutiquam amplius erumpunt. Quandoquidem quae ex frigore oriuntur, aut ad inſtar milii exaſperantur, dein exulcerantur, iis quidem nocet frigida, calida vero prodeſt. Quibusdam autem utraque prodeſt, velut ſunt articulorum tumores et pedum ſine ulcere dolores et convulſa

Ed. Chart. VII. [445.] Foës. I. 427. Ed. Lind. I. (605. 606.)
ποδαγρικὰ καὶ σώματα πλεῖστα, τοῦτο ψυχρὸν πολλὸν καταχεόμενος ἱδρῶσιν ἰσχναίνει, καὶ ὀδύνην ναρκοῖ. νάρκη δὲ μετρίη ὀδύνης λυτικὸν, καὶ τὸ θερμὸν ἰσχναίνει καὶ μαλθάσσει. τοῖσι δὲ ποδαγρικοῖσι, παρέσεσι, τετάνοισι, σπασμοῖσι, τὰ τοιαῦτα, συντάσιες, τρόμοι, παραπληγία, τὰ τοιαῦτα χαλῶσι, ἢ χωλώσιες, νάρκαι, ἀναυδίαι, τὰ τοιαῦτα. κάτωθεν ἀπολήμψιες. φυλάσσεσθαι δὲ ἐν τῇ ψυχρῇ χρήσει ψυχροῖσι χρεόμενος μᾶλλον ἢ τἀναντία. τὰ δὲ ἐς τὰ ἄρθρα ἐσκληρυσμένα, ἢ ὑπὸ φλεγμονῆς. ὁκότε γενομένης ἢ ἀγκύλης προῦργ' ἰάσασθαι ἐς ἀσκίον θερμὰ ἐγχέοντας, τὴν χεῖρα ἐναποδῆσαι καὶ ὄμματα δακρύου πα(606)ρηγορικόν. καταλείφοντα, πρὸς τὰ δριμέα, λίπος προσηνὲς, ὥστε μὴ ἅπτεσθαι τὸ ἀλμῶδες, καὶ τοῖσι βοθρίοισι διάνηψις καὶ πλήρωσις ἐς φύσιν ἄγουσα. ὀφθαλμοῖσι θερμὸν, ὀδύνῃσιν, ἐμπυήσεσιν, δακρύων δακνωδέων ξηροῖσιν ἅπασι. τὸ ψυχρὸν ἀνωδύνουσιν, ἐξερυθροῖσι. τοῖσι δὲ εἰθισμένοισι συστροφὰς κατὰ φλέβας

pleraque. Hoc conſtat frigidam copioſam ſudoribus affuſam extenuare et dolorem ſtupefacere. Moderatus autem ſtupor dolorem tollit. Calida autem attenuat et emollit. Pedum doloribus, reſolutis, diſtentis, convulſio haec conferunt. Diſtentiones, tremores, leves ſiderationes ejusmodique affectiones remittunt, aut claudicationes, torpores, vocis defectiones atque alia ejusmodi et inferiores ſuppreſſiones. In frigidae tamen uſu potius quam calidae quatenus ea utaris attendendum. At articulis induratis aut ob inflammationem quandoque obortam aut ob contractionem ante omnia mederi convenit, calida in utriculum infuſa et manu ad alligatum immiſſa. Oculorum lachrymas lenit, ſi quis acrimoniam leni aliquo unguento illinat, ne eas ſalſus humor attingat. Foſſulis quoque, quae ſunt corneae profunda ulcera, ablutio confert et repletio ad naturalem habitum adducens. Calida oculis prodeſt, doloribus, ſuppurationibus ex lacrymis mordacibus et quibusvis aliis ex ſiccitate ortis. Frigida dolore carentibus, valde rubicundis, humorum collectiones in venis facere ſolitis, qualia ſunt aceroſa circa

Ed. Chart. VII. [445.] Foeſ. I. 427. Ed. Lind. I. (606. 607.)
ποιέειν, οἷα ἀχυρώδεα κατὰ θώρηκα καὶ ἀλλὰ σκληρά. ἀρχῇ δὲ καὶ ὑστέρῃσιν οὐ πάνυ ἐνδέχεται. αἷμα ἐν ψύχει οὐρέουσιν. ἕλκεσι τὸ μὲν ψυχρὸν δακνώδες. δέρμα περισκληρύνει, ὀδυνώδεα, ἀνεκπύητα ποιέει, πελιαίνει, μελαίνει, ῥίγεα πυρετώδεα, σπασμοὺς, τετάνους. ἔστι δὲ ὅκου ἐπὶ τετάνῳ ἄνευ ἕλκεος νέω εὐσάρκω θέρεος μέσου ψυχροῦ πολλοῦ κατάχυσις θέρμης ἐπανάκλησιν ποιέει. θέρμη δὲ ταῦτα ῥέεται. τὰ δὲ ἐν κεφαλῇ καὶ καρηβαρίας. τὸ θερμὸν ἐκπυητικὸν οὐ ἐπὶ παντὶ ἕλκει. μέγιστον σημεῖον ἐς ἀσφάλειαν. δέρμα μαλθύσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων, σπασμῶν, τετάνων παρηγορικόν. τὸ δ' ἐν κεφαλῇ καὶ καρηβαρίαν λύει. πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι. μᾶλλον δὲ τοῖσιν ἐψιλωμένοισι. τούτων δὲ μάλιστα τῶν ἐν κεφαλῇ τρώμασιν ἑκουσίοισι καὶ ἀκουσίοισι, καὶ ὅσα ὑπὸ ψύχεος ἢ θνήσκει ἢ ἕλκοῦται. ἔτι ἑλκώμασι δ' ἑκουσίοισίν τε καὶ ἀκουσίοισιν. οἷσιν ἀποσύρματα ἕρπησιν ἐσθιομένοισιν, μελαινομένοισιν ἢ ἐν νούσοισιν ἢ ἐν ἀκοῇ ἢ ἐν ἕδρῃ ἢ ὑστέρῃ, (607) τούτοισι πᾶσι τὸ

thoracem et feſtucis ſimilia aliaque dura. Recto vero inteſtino et uteris non admodum confert, neque ſanguinem in frigore cum urina reddentibus. Ulceribus frigida quidem mordax eſt, cutem obdurat, tumorum dolentium ſuppurationem impedit, livorem et nigredinem inducit, rigores febriles, convulſiones item ac diſtentiones. Interdum quoque in diſtentione absque ulcere, aetate juvenili, corporis habitu carnoſo, aeſtate media, frigidae larga profuſio calorem revocat. Calore autem haec ſolvitur. Calida, etſi non in omni ulcere ſuppurationem promovet, maximo tamen eſt ſecuritatis indicio, cutem emollit, attenuat, dolorem tollit, rigores, convulſiones, diſtentiones mitigat, ipſa quoque capitis gravitatem ſolvit. Plurimum autem oſſium fracturis confert, praecipue vero denudatis, ex hisque maxime capitis vulneribus et iis quae a frigore aut moriuntur aut ulcerantur. Ulcerationibus itidem tum voluntariis tum involuntariis et quibus cutis abraſa eſt, herpetibus exedentibus, denigratis, ſive in gingivis ſive in aure ſive in ano ſive in utero. His omnibus

Ed. Chart. VII. [445.] Foëſ. I. 427. Ed. Lind. I. (607.)

θερμὸν φίλιον καὶ κρίνον. τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον. πλὴν ὁκόσα αἱμορῤῥαγέειν ἐλπὶς οὕτω καταχύσησιν ὑγρῶν ἐπιχρίσησιν ἀλείπτων, ἐπιθέσησι φύλλων ἢ ὀθονίων καταπλάσεις. ὁκόσα ἢ ψύξις ἢ θέρμη ὠφελέει ἢ βλάπτει.

calida grata eſt et ad indicationem confert, frigida vero adverſa eſt et interimit, praeterquam in quibus ſanguinis profluvium metuimus. Atque ad hunc modum adhibendae ſunt liquidorum perfuſiones, unguentorum illitus, foliorum aut linteorum impoſitiones et quaecunque in cataplaſmate adhibita refrigeratione et caliditate prodeſſe aut nocere poſſe videntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Ed. Chart. VII. [531. 532.] Foël. I. 446. Ed. Lind. II. (1.)

Ὅς ἂν περὶ ἰήσεως ἐθέλῃ ἐρωτᾶν τε ὀρθῶς καὶ ἐρωτῶντι ἀποκρίνεσθαι καὶ ἀντιλέγειν ὀρθῶς, ἐνθυμέεσθαι χρὴ τάδε. πρῶτον μὲν ἀφ' ὧν αἱ νοῦσοι γίνονται πᾶσαι τοῖσιν ἀνθρώποισιν. ἔπειτα δὲ ὁκόσα ἀνάγκας ἔχει τῶν νοσημάτων, ὡς ὅταν γένηται εἶναι ἢ μακρὰ ἢ βραχέα ἢ θανάσιμα ἢ μὴ θανάσιμα, ἢ ἔμπηρόν τι τοῦ σώματος (532) γενέσθαι ἢ μὴ ἔμπηρον, καὶ ὁκόσα ἐπὴν γένηται ἐνδοιαστὰ ἢ κακὰ ἀπ' αὐτέων ἀποβαίνει ἢ ἀγαθὰ, καὶ ἀφ' ὁκοίων νουσημάτων ἐφ' ὁκοῖα μεταπίπτει, καὶ ὁκόσα ἐπιτυχίῃ ποιέουσιν οἱ ἰητροὶ

HIPPOCRATIS DE MORBIS LIBER PRIMUS.

Qui de morborum curatione tum ſcite interrogare tum ad quaeſita reſpondere volet et commode objecta refutare, haec ſecum reputare convenit. Primum quidem ex quibus morbi omnibus hominibus oriuntur. Deinde vero qui morbi cum neceſſarias cauſas habeant, aut longi ſunt aut breves aut lethales aut minime lethales, num pars aliqua corporis mutila reddatur, necne. Et qui ubi exorti ſunt eventa habent dubia aut mala aut bona et ex quibus in quosnam tranſitiones fiant, quaeque medicis in aegrorum

Ed. Chart. VII. [532.] Foës. I. 446. Ed. Lind. II. (1. 2.)

θεραπεύοντες τοὺς ἀσθενέοντας, καὶ ὁκόσα ἀγαθὰ ἢ κακὰ οἱ νοσέοντες ἐν τῇσι νούσοισι πάσχουσι, καὶ ὁκόσα ἀκαιρίη ἢ λέγεται ἢ ποιέεται ὑπὸ τοῦ ἰητροῦ πρὸς τὸν νοσέοντα, ἢ ἀπὸ τοῦ νοσέοντος πρὸς τὸν ἰητρὸν, καὶ ὁκόσα ἀκριβῶς ποιέεται ἐν τῇ τέχνῃ καὶ λέγεται καὶ ἅτε ὀρθὰ ἐν αὐτῇ καὶ ἅτε μὴ ὀρθά, καὶ ὅ τι αὐτῆς ἀρχὴ ἢ τελευτὴ ἢ μέσον ἢ ἄλλό τι ἀποδε(2)δειγμένον τῶν τοιούτων, ὅ τι καὶ ὀρθῶς ἐστὶν ἐν αὐτῇ εἶναι ἢ μὴ εἶναι, καὶ τὰ σμικρὰ καὶ τὰ μεγάλα καὶ τὰ πουλλὰ καὶ τὰ ὀλίγα καὶ ὅ τι ἅπαν ἐστὶν ἐν αὐτῇ ἓν καὶ πάντα καὶ ὅ τι ἓν, καὶ τὰ ἀνυστὰ νοῆσαί τε καὶ εἰπεῖν καὶ εἰ δέῃ μήτε νοῆσαι μήτε εἰπεῖν μήτε ποιῆσαι, καὶ ὅ τι εὐχειρίη ἐν αὐτῇ καὶ ὅ τι ἀχειρίη καὶ ὅ τι καιρὸς καὶ ὅ τι ἀκαιρίη καὶ τῶν τεχνέων τῶν ἄλλων ᾗσί τε ἔοικε καὶ οἷσιν οὐδὲν ἔοικε, καὶ τοῦ σώματος ὅ τι θερμὸν ἢ ψυχρὸν ἢ ξηρὸν ἢ ὑγρὸν, καὶ ὅ τι ἰσχυρὸν ἢ ἀσθενὲς ἢ πυκνὸν ἢ ἀραιὸν, καὶ ὁκόσα τῶν πολλῶν ὀλίγα γίνεται ἢ ἐπὶ τὸ κάκιον ἢ ἐπὶ τὸ ἄμεινον, καὶ ὅ τι καλῶς ἢ αἰσχρῶς ἢ βραδέως ἢ ταχέως ἢ ὀρθῶς ἢ μὴ ὀρθῶς, καὶ ὅ τι κακὸν

curatione proſpere ſuccedunt et quae aegrotantibus in morbis mala aut bona contingunt, quaeque intempeſtive dicuntur aut fiunt a medico erga aegrum, aut ab aegro erga medicum, quae etiam in arte exacte fiunt aut dicuntur et quae in ea recta vel quae non recta, quodque eius principium vel finis vel medium aut aliud quid ex his, quod in ea recte ſe habere vel non habere demonſtretur et quae parva, quae magna, quaeque copioſa et pauca. Quodque totum in ea unum eſt et omnia quicquid unum. Et quae effici poſſe conſtat cum intelligere tum dicere, et ſi opus eſt, neque noſſe neque dicere neque facere. Et quicquid in ea promptitudinem habet aut non habet, et quicquid opportunum et inopportunum. Quibusque aliis artibus ſimilis ſit et quibus nihil ſimilis. Corpusque quodnam calidum aut frigidum aut ſiccum aut humidum, et quodnam robuſtum aut debile aut denſum, aut rarum. Et quae ex multis pauca fiunt, aut in pejus aut melius vertunt. Quodque honeſte vel turpiter vel tarde vel cito vel recte vel non recte et quod-

Ed. Chart. VII. [532.] Foës. I. 446. 447. Ed. Lind. II. (2. 5.)

ἐπὶ κακῷ ἀνάγκη γίνεσθαι. ταῦτα ἐνθυμηθέντα διαφυλάσσειν δεῖ ἐν τοῖσι λόγοισιν, ὅ τι ἂν δή τις τούτων ἁμαρτάνῃ ἢ λέγων ἢ ἐρωτῶν ἢ ἀποκρινόμενος, καὶ ἢν πουλλὰ ἐόντα σμικρὰ, καὶ ἢν ἀδύνατα ἐόντα δυνατὰ φῇ εἶναι. ἢ ὅ τι ἂν ἄλλο ἁμαρτάνῃ λέγων, ταύτῃ φυλάσσοντα χρὴ ἐπιτίθεσθαι ἐν τῇ ἀντιλογίᾳ. αἱ μὲν οὖν νοῦσοι γίνονται ἅπασαι τῶν μὲν ἐν τῷ σώματι ἐνεόντων ἀπό τε χολῆς καὶ φλέγματος, τῶν δὲ ἔξωθεν ἀπὸ πόνων καὶ τρωμάτων. ἀλλὰ καὶ τοῦ θερμοῦ καὶ ὑπερθερμαίνοντος, καὶ τοῦ ψυχροῦ καὶ ὑπερψύχοντος, καὶ τοῦ ξηροῦ καὶ ὑπερξηραίνοντος, καὶ τοῦ ὑγροῦ καὶ ὑπερυγραίνοντος, || καὶ ἡ μὲν χολὴ καὶ τὸ φλέγμα γινομένοισί τε συγγίνεται καὶ ἔστιν ἐν τῷ σώματι ἢ πλέον ἢ ἔλασσον. τὰς δὲ νούσους παρέχεται τὰς μὲν ἀπὸ σιτίων καὶ (3) ποτῶν, τὰς δὲ ἀπὸ τοῦ θερμοῦ ὑπερθερμαίνοντος καὶ ἀπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος. ἀνάγκη δὲ τὰ τοιάδε ἔχει ὥστε γίνεσθαι ὁκόταν γίνηται, ἐν μὲν τοῖσι τρώμασι νεῦρα τὰ παχέα τιτρωσκομένους ἀνάγκη χωλοῦσθαι, καὶ τῶν μυῶν

nam malum malo ſuccedere neceſſe eſt. Quae animo ſecum reputantem in oratione obſervare oportet, et in quo quis aut dicendo aut veſtigando aut reſpondendo ab his aberret, an quae multa ſunt, pauca, et quae fieri non poſſunt, ea fieri poſſe aſſerat, et quicquid aliud dicendo peccarit, hoc modo obſervando, contraria oratione inſectari. Morbi igitur omnes oriuntur partim quidem ex his quae in corpore inſunt, pituita et bile, partim vero ex his quae extra obveniunt, laboribus et vulneribus, quin et a calido ſupra modum calefaciente et frigido ſupra modum refrigerante et ſicco plus aequo reſiccante et humido etiam plus aequo humectante. Ac bilis quidem et pituita una oriuntur cum his quae in nobis naſcuntur et in corpore modo plus, modo minus inſunt. Morbos autem exhibent partim quidem ex cibis et potibus, partim vero ex calido ſupra modum calefaciente et frigido ſupra modum refrigerante. Haec autem cum fiunt ex neceſſitate contingunt, in vulneribus quidem, ſi craſſi nervi et muſculorum capita, in femoribus praeſertim vulnus acceperint, neceſſaria eſt claudicatio. Moritur

Ed. Chart. VII. [532. 533.] Foës. I. 447. Ed. Lind. II. (3.)
τὰς κεφαλὰς μάλιστα τῶν ἐν τοῖσι μηροῖσιν. ἀποθνήσκει δὲ ἢν τις ἐγκέφαλον τρωθῇ ἢ ῥαχίτην μυελὸν ἢ ἧπαρ ἢ φρένας ἢ κύστιν ἢ φλέβα αἱμορρόον ἢ καρδίην. μὴ ἀποθνήσκειν δὲ τιτρωσκόμενον ἐν οἷσι ταῦτα τῶν μελέων μὴ ἐνείη, ἀλλὰ τούτων προσωτάτω ἐστί. τῶν δὲ νουσημάτων τὰ τοιάδε ἔχει ἀνάγκας ὥστε ὑπ' αὐτῶν ἀπόλλυσθαι ὅταν γένωνται. φθίσις, ὕδρωψ ὑποσαρκίδιος, καὶ [533] γυναῖκα ὑκόταν ἔμβρυον ἔχουσαν περιπνευμονίη ἢ καῦσος λάβῃ ἢ πλευρῖτις ἢ φρενῖτις ἢ ἐρυσίπελας ἐν τῇσιν ὑστέρῃσι γένηται. ἐνδοιαστὰ δὲ τὰ τοιαῦτα ἀπολλύναι τε καὶ μὴ περιπνευμονίη. καῦσος, φρενῖτις, πλευρῖτις, κυνάγχη, σταφυλὴ, ἡπατῖτις, σπληνῖτις, νεφρῖτις, δυσεντερίη, γυναικὶ ῥόος αἱματώδης. τὰ δὲ τοιάδε οὐ θανάσιμα, ἢν μή τι αὐτοῖσι προσγένηται, κέδματα, μελαγχολίη, ποδάγρη, ἰσχιὰς, τεινεσμὸς, τεταρταῖος, τριταῖος, στραγγουρίη, ὀφθαλμίη, λέπρη, λειχὴν, ἀρθρῖτις, ἔμπηροι δὲ πολλάκις ἀπὸ τῶνδε γίνονται πουλλοί. ἀπόπληκτοι μὲν χεῖρας καὶ πόδας καὶ φωνῆς ἀκρατέες καὶ

etiam ſi quis vulneratum habet cerebrum aut ſpinalem medullam aut jecur aut ſeptum transverſum aut veſicam aut venam aliquam multum ſanguinem effundentem aut cor. Ex vulnere autem minime mori contingit, ſi his partibus vulnus acceptum non fuerit, ſed ab his quam longiſſime abſit. At hi morbi ex neceſſitate cum adſunt mortem afferunt, tabes, aqua ſubter cutem, mulierem utero gerentem ſi pulmonis inflammatio aut febris ardens aut morbus lateralis aut phrenitis aut ſi eryſipelas in utero oriatur. Hi vero morbi dubium habent vitae exitum, pulmonis inflammatio, febris ardens, phrenitis, lateris dolor, angina, uva, hepaticus et ſplenicus affectus, renum morbus, inteſtinorum difficultas, in muliere ſanguinis fluor. Iſti vero minime lethales, niſi quid ipſis accedat, diuturnae in articulos fluxiones, κέδματα dictae, melancholia, podagra, coxendicum affectus, crebra et inanis deſidendi voluntas quartana, tertiana, ſtranguria, lippitudo, lepra, impetigo, morbus articularis. Multi autem plerumque ab his parte aliqua corporis mutilantur, manuum quidem et pedum reſolutione

Ed. Chart. VII. [533.] Foeſ. I. 447. Ed. Lind. II. (3. 4.)

παραπλῆγες ὑπὸ μελαίνης χο(4)λῆς, χωλοὶ δὲ ὑπὸ ἰσχιάδων. ὄμματα δὲ πηροῦνται καὶ ἀκοὴν ὑπὸ φλέγματος καταστηρίξαντος. μακρὰ δὲ τάδε ἀνάγκη εἶναι, φθίσιν, δυσεντερίην, ποδάγρην, κέδματα, φλέγμα λευκὸν, ἰσχιάδα, στραγγουρίην, γεραιτέροισι δὲ νεφρῖτιν. γυναιξὶ δὲ ῥόον αἱματώδη, αἱμορροΐδας, σύριγγας, καῦσος, φρενῖτις, περιπνευμονίη, κυνάγχη, σταφυλὴ, πλευρῖτις ταχέως κρίνει. μεταπίπτει δὲ τάδε. ἐκ πλευρίτιδος εἰς καῦσον, καὶ ἐκ φρενίτιδος ἐς περιπνευμονίην. ἐκ δὲ περιπνευμονίης καῦσος οὐκ ἂν γένοιτο. ἐς δυσεντερίην τεινεσμός. ἀπὸ δὲ δυσεντερίης λειεντερίη. ἐκ δὲ λειεντερίης ἐς ὕδρωτα, καὶ ἐκ λευκοῦ φλέγματος ἐς ὕδρωπα, καὶ ἐκ περιπλευμονίης καὶ πλευρίτιδος ἐς ἔμπυον. τὰ δὲ ἐπὶ κακοῖσιν ἀνάγκη κακὰ γίνεσθαι. ῥῖγος ἢν λάβῃ, πῦρ ἐπιλαμβάνει, καὶ νεῦρον ἢν διακοπῇ, σπασμὸν ποιεῖ, καὶ μήτε συμφῦναι δια-

tentantur, vocis impotentia tenentur et ab atra bile leviter reſolvuntur, claudi ex coxendicum morbo evadunt, oculis et auditione privantur, pituita illuc incumbente. Longos autem hos eſſe neceſſe eſt, tabem, inteſtinorum difficultatem, podagram, diuturnas in articulos fluxiones, *κέδματα* dictas, pituitam albam, morbum coxarium, ſtranguriam: ſenibus vero renum dolorem, mulieribus fluorem ſanguineum, venarum quae in ano ſunt profluvium, haemorrhoidas vocant, fiſtulas. Febris ardens, phrenitis, pulmonum inflammatio, angina uva, lateris dolor cito ad indicationem perveniunt. Hi autem in alios tranſeunt, morbus lateralis in febrem ardentem et phrenitis in pulmonum inflammationem, ex pulmonis autem inflammatione febris ardens non fit. Crebra et inanis egerendi voluntas, *τεινεσμὸς* dicitur, in inteſtinorum difficultatem tranſit et ad inteſtinorum difficultatem inteſtinorum levitas ſive lienteria conſequitur. Ex inteſtinorum laevitate et pituita alba in aquam intercutem transitus fit et ex pulmonis inflammatione et morbo laterali in thoracis ſuppurationem. Haec vero mala malis ſuperveniro neceſſe eſt. Si rigor corripuerit, calor igneus ſuccedit, et nervus praeciſus convulſionem facit et ut minime coaleſcit,

Ed. Chart. VII. [533.] Foël. I. 447. 448. Ed. Lind. II. (4. 5.)

κοπὲν φλεγμῆναί τε ἰσχυρῶς, καὶ ἢν ὁ ἐγκέφαλος σεισθῇ τε καὶ πονέσῃ, πληγέντος, ἄφωνον παραχρῆμα γενέσθαι ἀνάγκη καὶ μήτε ὁρᾶν μήτε ἀκούειν. ἢν δὲ τρωθῇ, πυρετόν τε ἐπιγενέσθαι καὶ χολῆς ἔμετον, καὶ ἀπόπληκτόν τι τοῦ σώματος γενέσθαι καὶ ἀπολέσθαι. ἐπίπλοον δὲ ἢν ἐκπέσῃ, ἀνάγκη τοῦτο ἀποσαπῆναι, καὶ ἢν αἷμα ἐκ τρώματος ἢ φλεβὸς ῥυῇ, ἐς τὴν ἄνω κοιλίην ἀνάγκη τοῦτο πῦος γενέσθαι. καιροὶ δὲ τὸ μὲν καθάπαξ εἰπεῖν, πολλοί τέ εἰσιν ἐπὶ (5) τῇ τέχνῃ καὶ παντοῖοι, ὥσπερ καὶ τὰ νουσήματα καὶ τὰ παθήματα καὶ τούτων θεραπεῖαι. εἰσὶ δὲ ὀξύτατοι μὲν ὅσοις ἢ ἐκψύχουσι δεῖ τι ὠφελῆσαι ἢ οὐρῆσαι ἢ ἀποπατῆσαι μὴ δυναμένοισιν ἢ πνιγομένοισιν ἢ γυναῖκα τίκτουσαν ἢ τιτρωσκομένην ἀπαλλάξαι ἢ ὅσα τοιαῦτα ἐστί. || καὶ οὗτοι μὲν ὀξέες καὶ οὐκ ἀρκέει ὀλίγῳ ὕστερον. ἀπόλλυνται γὰρ οἱ πουλοὶ ὀλίγῳ ὕστερον. ὁ μέντοι καιρός ἐστιν ἐπὴν πάθῃ τούτων ὅ ἄνθρωπος ὅ τι ἢν τις πρὸ τοῦ τὴν ψυχὴν μεθιέναι ὠφεληθῇ, τοῦτο ἐπὰν ἐν καιρῷ λάβῃ ὠφελεῖται. ἔστι μὲν οὖν σχεδόν τι οὗτος ὁ καιρὸς καὶ ἐν τοῖσιν ἄλλοισι νουσήμασιν.

ita vehementer inflammatur. Et ſi cerebrum tum concuſſum fuerit, tum alicui ex plaga doluerit, eum illico voce deficere neque videre neque audire neceſſe eſt. Sin vero vulneratum fuerit, febrem et bilis vomitionem ſuccedere, corporisque partem aliquam reſolutam fieri ac perire. Omentum ſi procidat, ut putrefiat neceſſe eſt. Quod ſi ſanguis ex vulnere aut vena in ſuperiorem ventrem fluxerit, id in pus verti neceſſe eſt. Opportunitates autem, ut ſemel dicam, multae ſunt in arte et variae, velut et morbi et affectiones, eorumque curationes. Ac celerrimae quidem ſunt, quibus aut animo deficientibus opitulari licet, aut qui neque urinam neque ſtercus reddere poſſunt aut qui ſuffocantur aut mulierem praegnantem aut vulneratam liberare aut quae ſunt ejusmodi. Et haec quidem celeres, neque confert paulo poſt, cum plerique paulo poſtea moriantur. Opportunitas tamen eſt, cum quid tale homini contingit, ſi quis ante quam animam emittat juvetur, id ubi tempore opportuno ſumpſerit ſuccurret. Eſt igitur haec fere opportuni-

Ed. Chart. VII. [533. 534.] Foël. I. 448. Ed. Lind. II. (5. 6.)
ἀεὶ γὰρ ἐν ᾧ ἄν τις ὠφελήσῃ, ἐν καιρῷ ὠφέλησεν. [534] ὁκόσα δὲ τῶν νοσημάτων ἢ τρωμάτων μὴ ἐς θάνατον φέρει, ἀλλὰ καίριά ἐστιν ὀδύναι τε γίνονται ἐν αὐτέοισιν, ἀλλ᾽ οἷά τέ ἐστιν ἦν τις ὀρθῶς θεραπεύσῃ παύσασθαι. τούτοισι δὲ οὐκ ἀρκέουσι γινόμεναι ὠφέλειαι ἀπὸ τοῦ ἰητροῦ ὅταν γίνονται, καὶ γὰρ μὴ παρεόντος ἰητροῦ ἐπαύσαντο ἄν. ἕτερα δὲ νουσήματά ἐστιν, οἷσι καιρός ἐστι θεραπεύεσθαι τὸ πρωΐ τῆς ἡμέρης. διαφέρει δὲ οὐδὲν ἢ πάνυ πρωΐ ἢ ὀλίγῳ ὕστερον. ἕτερα δὲ νουσήματά ἐστιν, οἷσι καιρὸς θεραπευθῆναι, ἅπαξ τῆς ἡμέρης καὶ ὁπηνίκα γε οὐδὲν διαφέρει. ἕτερα δὲ διὰ τρίτης ἢ τετάρτης ἡμέρης, καὶ ἕτερα ἅπαξ τοῦ μηνός, καὶ ἕτερά γε διὰ τριῶν μηνῶν, καὶ τοῦ τρίτου ἱσταμένου ἢ φθίνοντος οὐδὲν διαφέρει. τοιοῦτοι δὲ οἱ καιροί εἰσιν ἐν οἷσι καὶ ἀκριβίην οὐκ ἔχουσιν ἄλλην ἢ ταύτην. (6) ἀκαιρίη δέ ἐστι τὰ τοιάδε. ὅσα μὲν πρωΐ δεῖ θεραπεύεσθαι, ἢν μεσημβρίη θεραπεύεται. ἀκαίρως δὲ ταύτη ἐπεὶ ῥοπὴν ἴσχει ἐς τὸ κάκιον, διὰ τὴν μὴ ἐν καιρῷ θεραπείην. ὅσα δὲ ἐς τάχα ἦν

tas etiam in aliis morbis. Semper enim quocunque tempore quis auxilium attulerit, opportuno tempore auxilium attuliſſe dicitur. Qui vero morbi aut vulnera minime mortem afferunt, ſed periculo ſunt obnoxia et dolores habent, poſſunt tamen ſi quis recte curaverit ſedari. His non conferunt adhibita a medico remedia, ubi admoventur. Etenim etiam non praeſente medico ceſſare poſſunt. Sunt autem alii morbi, qui opportune matutino diei tempore curantur, nihilque refert an ſummo mane, an paulo poſterius. Alii vero morbi ſemel die opportune curantur, neque refert quando id fiat. Quidam etiam tertio quoque aut quarto die, quidam etiam ſemel menſe, et alii quidem tertio quoque menſe, neque refert an tertio ineunte aut deſinente id fiat. Atque ejusmodi ſunt temporum opportunitates, in quibus non aliam quam iſtam exquiſitam diligentiam invenias. Temporis autem inopportunitatem habent, quae quidem mane curanda ſunt, ſi meridie curentur. Intempeſtive autem hac ratione fiunt, quandoquidem ad pejus inclinant, ob minime opportunam curationem. Quae vero celerem

Ed. Chart. VII. [534.] Foeſ. I. 448. Ed. Lind. II. (6.)

τε μεσημβρίης ἤν τε ὀψὲ ἤν τε τῆς νυκτὸς θεραπεύηται, ἀκαίρως θεραπεύεται, καὶ ἢν τοῦ ἦρος δέοι θεραπευθῆναι, θεραπεύοιτο δὲ χειμῶνος, ἢ τοῦ μὲν χειμῶνος δέοι, τοῦ θέρεος δὲ θεραπεύηται, ἢ ὅ τι ἤδη δεῖ θεραπεύεσθαι, τοῦτο δὲ ἀναβάλληται, ἢ ὅ τι ἀναβάλλεσθαι δεῖ, τοῦτ' ἤδη θεραπεύηται. τὰ τοιαῦτα ἀκαίρως θεραπεύεται. ὀρθῶς δὲ ἐν αὐτῇ καὶ οὐκ ὀρθῶς τὰ τοιάδε. οὐκ ὀρθῶς μὲν τήν τε νοῦσον ἑτέρην ἐοῦσαν ἑτέρην φανέειν, καὶ μεγάλην ἐοῦσαν μικρὴν φανέειν, καὶ σμικρὴν ἐοῦσαν μεγάλην, καὶ περιεσόμενον μὴ φάναι περιέσεσθαι, καὶ μέλλοντα ἀπολεῖσθαι μὴ φάναι ἀπολεῖσθαι, καὶ ἔμπυον ἐόντα μὴ γινώσκειν. μηδὲ νούσου μεγάλης τρεφομένης ἐν τῷ σώματι γινώσκειν, καὶ φαρμάκου δεόμενον ἢ πότου τοῦ δεῖ μὴ γινώσκειν, καὶ τὰ δυνατὰ μὴ ἐξιῆσθαι, καὶ τὰ ἀδύνατα φάναι ἐξιήσεσθαι. ταῦτα μὲν οὖν εἰσι κατὰ γνώμην οὐκ ὀρθῶς. κατὰ δὲ χειρουργίαν τάδε. πῦον ἐν ἕλκει ἐνεὸν ἢ ἐν φύματι μὴ γινώσκειν, καὶ τὰ κατήγματα καὶ τὰ ἐκπτώματα μὴ γινώσκειν, καὶ μηλῶντα κε-

curationem poſtulant, ſive meridie ſive veſperi ſive noctu curentur, intempeſtive curantur, et ſi quae vere curari debeant hieme curentur, aut quae hieme aeſtate curentur, aut ſi quod jam curari oporteat id ipſum differatur, aut quod differri oportuit, ſi jam curetur, haecque omnia intempeſtivam curationem habent. In arte autem iſta recte vel non recte fiunt. Non recte quidem fit, ſi cum alius morbus exiſtat, alium apparere dicas, ſi cum magnus ſit, parvum, et ſi cum parvus ſit, magnum pronuncies et eum qui ſuperſtes futurus eſt ſuperſtitem futurum non affirmare, neque eum qui periturus eſt, periturum dicere, et eum qui ſuppuratus eſt non cognoſcere neque noſſe ſi magnus in corpore morbus increſcat et ſi quis medicamento aut potione indigeat, utro opus ſit neſcire et quae ſanari poſſunt, minime ſanari poſſe et quae non poſſunt, ſanari poſſe affirmare. Atque haec quidem non recto mentis conſilio fiunt. Iſta vero malam habent manuum tractationem, ulceris aut tuberculi pus non cognoſcere, oſſa fracta et ubi ſuis ſe-

Ed. Chart. VII. [534.] Foël. I. 448. 449. Ed. Linᵭ. II. (6. 7.)
φαλὴν μὴ γινώσκειν, εἰ τὸ ὀστέον κατέηγε. μηδ' εἰς κύστιν αὐλίσκον καθιέντα δύνασθαι καθιέναι. μηδὲ λίθου ἐν κύστει ἐνεόντος γινώσκειν. μηδ' ἔμπυον ἐόντα διαιρέοντα γι(7)νώσκειν, καὶ τάμνοντα ἢ καίοντα ἐκλείπειν ἢ τοῦ βάθεος ἢ τοῦ μήκεος, ἢ καίειν τε καὶ τάμνειν, ἃ οὐ χρὴ, καὶ ταῦτα μὲν, οὐκ ὀρθῶς δὲ τά τε νουσήματα γινώσκειν ἅ τέ ἐστι καὶ ἀφ' ὅτων, καὶ τὰ μακρὰ αὐτῶν καὶ τὰ βραχέα καὶ τὰ θανάσιμα καὶ τὰ μὴ θανάσιμα καὶ τὰ μεταπίπτοντα καὶ τὰ αὐξανόμενα, καὶ τὰ μαραινόμενα, καὶ τὰ μεγάλα καὶ τὰ σμικρὰ, καὶ θεραπεύοντα τὰ μὲν ἀνυστὰ ἐκθεραπεύειν, τὰ δὲ μὴ ἀνυστὰ εἰδέναι, διότι οὐκ ἀνυστὰ, καὶ θεραπεύοντα τοὺς τὰ τοιαῦτα ἔχοντας ὠφελέειν ἀπὸ τῆς θεραπείης ἐς τὸ ἀνυστόν. τὰ δὲ προσφερόμενα τοῖσι νοσέουσιν ὧδε χρὴ φυλάσσειν, τά τε ὀρθῶς καὶ τὰ μὴ ὀρθῶς. ἤν τις ἃ δεῖ ξηραίνειν ὑγραίνῃ, ἢ παχύνειν δέῃ, μὴ προσφέρῃ ἀφ' ὧν δεῖ παχύνειν. ἢ ἃ δεῖ λεπτύνειν μὴ λεπτύνῃ, || ἢ ψύχειν μὴ ψύχῃ, ἢ θερμαίνειν μὴ θερμαίνῃ, ἢ σήπειν μὴ σήπῃ καὶ

dibus exceſſerunt, non noſſe, capitis os ſpecillo admoto fractumne ſit non dignoſcere, et fiſtulam in veſicam immiſſam demittere non poſſe, neque lapidem in veſica neque pus thorace collectum ex concuſſione noſſe et ſecando aut urendo fundum aut latitudinem non attingere et urere aut ſecare quae non oportet. Et haec quidem non recte fiunt, iſta autem recte, ſi quis morbos quinam ſint et ex quibus oriantur cognoſcat et quinam ex his longi, quinam breves et qui lethales et qui minime lethales, qui in alios tranſeunt, qui increſcunt, quinam emarceſcunt, qui magni, qui parvi et inter curandum hos quidem curari poſſe, hos vero non poſſe et noſſe quamobrem non poſſint et dum curantur qui ita ſe habent, curatione quoad ejus fieri poteſt prodeſſe. At quae aegrotantibus offeruntur, ea ſic obſervare oportet, rectene an non recte fiant, ſi quis quae ſiccari oportet humectet, aut ſi quae incraſſare convenit, ea non exhibeat ex quibus incraſſare oportet, aut quae attenuanda non attenuet, aut refrigeranda non refrigeret, aut cale-

Ed. Chart. VII. [534. 535.] Foës. I. 449. Ed. Lind. II. (7. 8.)
τὰ λοιπὰ κατὰ τὸν αὐτὸν λόγον τούτοισι. [535] τὰ δὲ τοιάδε ἀνθρώποισιν ἀπὸ ταυτομάτου ἐν τῇσι νούσοισι γίνονται, τά τε κακὰ καὶ τὰ ἀγαθά. πυρέσσοντι μὲν καὶ χολῶντι ἐν καιρῷ σκεδασθεῖσα ἔξω ἡ χολὴ ἀγαθόν, ὑπὸ τὸ δέρμα δὲ κεχυμένη καὶ ἐσκεδασμένη εὐπετέστερα ἔχειν τε τῷ ἔχοντι καὶ τῷ ἰωμένῳ ἰῆσθαι. κεχυμένη δὲ καὶ ἐσκεδασμένη πρὸς ἔν τι τοῦ σώματος προσπεσοῦσα κακόν. κοιλίη ταραχθεῖσα ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ περιπνευμονίης ἢ ἐμπύῳ ἐόντι κακόν. πυρέσσοντι δὲ ἢ τρῶμα τετρωμένῳ κοιλίη ἀποξηρανθεῖσα κακόν. (8) ὑφύδρῳ καὶ σπληνώδεϊ ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ ταραχθεῖσα ἡ κοιλίη ἰσχυρῶς ἀγαθόν. ἐρυσίπελας ἢν ἔξω κατακεχυμένον ἔσω τράπηται, κακόν· ἢν δ' ἔσω κατακεχυμένον ἔξω τράπηται, ἀγαθόν. διαῤῥοίη δὲ ἐχομένῳ ἰσχυρῇ ὁ ἔμετος γενόμενος ἀγαθόν. γυναικὶ αἷμα ἐμεούσῃ τὰ καταμήνια ῥαγῆναι ἀγαθόν· ὑπὸ ῥόου δὲ πιεζομένῃ ἐς τὰς ῥῖνας ἢ ἐς τὸ στόμα μεταπεσεῖν τὸν ῥόον ἀγαθόν. γυναικὶ ὑπὸ σπασμοῦ πιεζομένῃ ἐκ τόκου πυρετὸν ἐπιγενέσθαι

facienda non calefaciat, aut putrefacienda non putrefaciat et reliqua ſecundum rationem. Haec autem in morbis tum bona tum mala ſua ſponte hominibus contingunt. Febricitanti quidem et bilioſo, ſi bilis ſuo tempore extra diſperſa fuerit, bono eſt. Sub cutem vero effuſa ac diſperſa, aegroto toleratu facilior et medico curatu promptior. Effuſa autem ac diſſipata et in unam aliquam corporis partem incumbens malo eſt. In morbo laterali aut pulmonis inflammatione detento aut ſuppuratum thoracem habenti alvus perturbata malo eſt. Febricitanti vero aut accepto vulnere alvus reſiccata malum denunciat. Sub aquoſo et lienoſo albaque pituita detento alvus vehementer perturbata bono eſt. Si eryſipelas foras diffuſum intro vertatur, malum, ſi vero intus effuſum foras vertatur, bonum. Vehementi alvi profluvio detento ſuccedens vomitus bono eſt. Mulieri ſanguinem vomenti profluvium menſtruum erumpere bonum. Ei autem quae fluore muliebri urgetur ad nares aut os fluorem tranſire bono eſt. Mulieri ex partu convulſione infeſtatae

Ed. Chart. VII. [535.] Foeſ. I. 449. Ed. Lind. II. (8.)

ἀγαθὸν, καὶ τετάνου ἔχοντος καὶ σπασμοῦ πῦρ ἐπιγενέσθαι ἀγαθόν. τὰ γὰρ τοιαῦτα δι' οὐδεμίην οὔτε ἀμαθίην οὔτε σοφίην ἰητρῶν γίνεταί τε καὶ οὐ γίνεται, ἀλλ' ἀπὸ τοῦ αὐτομάτου καὶ ἐπιτυχίης γενόμενά τε ὠφελέει καὶ βλάπτει κατὰ τὸν αὐτὸν λόγον. ἐπιτυχίη δὲ τὰ τοιάδε οἱ ἰητροὶ ποιέουσιν ἐν τῇ θεραπείῃ ἀγαθά. ἄνω φάρμακον δόντες καθαίρουσι καὶ ἄνω καὶ κάτω καλῶς, καὶ γυναικὶ φάρμακον δόντες κάτω χολῆς ἢ φλέγματος, ἐπιμήνια οὐ γινόμενα κατέῤῥηξαν, καὶ σπλῆνα ἔμπυον ἔχοντι κάτω φάρμακον δόντες ὥστε χολὴν καὶ φλέγμα καθῆραι, πῦος κάτω ἐκάθηραν ἀπὸ τοῦ σπληνὸς καὶ ἀπήλλαξαν τῆς νούσου, καὶ λιθιῶντι φάρμακον δόντες τὸν λίθον ἐς τὸν οὐρητῆρα προσέωσαν ὑπὸ βίης τοῦ φαρμάκου, ὥστε ἐξουρηθῆναι, καὶ πῦον ἔχοντι ἐν τῇ ἄνω κοιλίῃ ἐν φύματι, οὐκ εἰδότες ὅ τι ἔχει, δόντες ἄνω φάρμακον ὅ τι φλέγμα καθαίρει, ἤμεσε τὸ πῦον καὶ ἐγένετο ὑγιής, καὶ ἐκ φαρμάκου ὑπερκαθαιρόμενον ἄνω θεραπεύοντες, καταῤῥα-

ſi febris ſuccedat, bono eſt. Si diſtentio aut convulſio detineat, febrem ſupervenire bonum. Haec enim ejusmodi ex nulla medicorum inſcitia neque ſcientia contingunt, ſed cum ſponte feliciter ſuccedant, eadem ratione tum juvant tum nocent. Haec autem medicis inter curandum bene feliciterque ſuccedunt, ſi medicamento purgante exhibito purgatio per ſuperiora et inferiora recte procedat. Et ſi mulieri exhibito medicamento, quod bilem aut pituitam deorſum educat, menſes retardati erumpaut. Et ſi cui lienem ſuppuratum habenti medicamento exhibito, quod bilem et pituitam deorſum educat, pus ex liene per inferiora expurgarunt et morbo liberarunt. Sique calculum habenti exhibito medicamento purgante calculum in meatum urinarium medicamenti vi protruſerunt, ita ut cum urina exeat. Et ſi ei qui pus in ſuperiore ventre ex tuberculo collectum habet, id ipſum ignorantes, medicamentum quod pituitam ſurſum educat exhibuerint, isque pus vomitione reiecerit, ſanusque evaſerit. Et cum curando eum qui ex medicamento per ſuperiora purgante ſupra modum purgatur, alvo

Ed. Chart. VII. [535. 536.] Foës. I. 449. Ed. Lind. II. (8. 9.)

γείσης τῆς κοιλίης (9) ἀπὸ ταυτομάτου τοῦ ἐμέτου ὑγιᾶ ἐποίησαν. κακὰ δὲ τάδε ἀπεργάζονται ἀπὸ ἀτυχίης. φάρμακον δόντες ἄνω χολῆς ἢ φλέγματος φλέβα ἐν τοῖσι στήθεσιν ἔρρηξαν ὑπὸ τοῦ ἐμέτου, οὐδὲν ἔχοντος πρόσθεν ἄλγημα ἐν τῷ στήθει φανερὸν καὶ ἐγένετο νοῦσος, καὶ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἄνω φάρμακον δόντες, κάτω ῥαγεῖσα ἡ κοιλίη, ἐξέτρωσε τὸ ἔμβρυον, καὶ ἔμπυον θεραπεύοντι ἡ κοιλίη ῥυεῖσα διαφθείρει, καὶ ὀφθαλμοὺς θεραπεύοντι καὶ ὑπαλείψαντι ὀδύναι ἐνέπεσον ὀξύτεραι. κἢν οὕτω τύχῃ, ῥήγνυνται οἱ ὀφθαλμοὶ καὶ ἀμαυροῦνται καὶ αἰτιῶνται τὸν ἰητρὸν, ὅτι ὑπήλειψε, καὶ λεχοῖ ἐπὶ γαστρὸς ὀδύνης, ἢν δοίη τι ὁ ἰητρὸς καὶ κακῶς σχῇ ἢ καὶ [536] ἀπόλλυται, ὁ ἰητρὸς αἴτιος. σχεδὸν δὲ ὅσα ἀνάγκας ἔχει ὥστε γίνεσθαι ἐν τοῖσι νουσήμασι καὶ τρώμασι, κακὰ ἐπὶ κακοῖσι, τὸν ἰητρὸν αἰτιῶνται τούτων γινομένων, καὶ τὴν ἀνάγκην τὴν τὰ τοιαῦτα ἀναγκάζουσαν γίνεσθαι οὐ γινώσκουσιν, καὶ ἢν ἐπὶ πυρέσσοντι ἢ τρῶμα ἔχοντι ἐσελθὼν καὶ προσενέγκας τὸ πρῶτον μὴ ὠφελήσῃ, ἀλλὰ τῇ ὑστεραίῃ κάκιον ἔχῃ, τὸν ἰητρὸν αἰτιῶν-

sponte erumpente, a vomitu sanum reddunt. At mala haec adversa fortuna perpetrant medici, si exhibito quod pituitam sursum educat, venam in pectore prae vomitione ruperint, cum nullus antea ibi manifestus dolor existeret et morbus contrahatur. Si mulieri utero gerenti exhibito medicamento sursum purgante, alvus affatim deorsum erumpens, foetum abortione ejecit. Si suppuratum dum curatur, alvus profluens perdit. Sique dum oculos curat et inungit, vehementiores dolores incidunt, ac forte fortuna oculi rumpuntur et obscurantur, idque medico crimini dant, qui oculos sublleverit. Et si puerperae in ventris dolore quid medicus exhibuerit et male habeat aut etiam pereat, medicus in culpa esse dicitur. Ac fere in morbis et vulneribus ubi mala malis ex causis necessariis succedunt, cum ista contingunt in medicum causam conferunt, neque talia ex necessitate fieri agnoscunt. Et si ad febricitantem aut vulneratum ingressus et oblatum quam primum remedium non juvet, sed postridie aeger pejus habeat, in medicum culpam rejiciunt.

Ed. Chart. VII. [536.] Foël. I. 449. 450. Ed. Lind. II. (9. 10.)

ται. ἢν δὲ ὠφελήσῃ, τοῦτο δὲ οὐχ ὁμαλῶς ἐπαινέουσι, χρῆν γὰρ πεπονθέναι αὐτὸν δοκέουσι. τὰ δὲ ἕλκεα φλεγμαίνει καὶ ἐν τῇσι νούσοισιν ἔστιν ὀδύνας ἧσι χρὴ γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιάδε ὥστε μὴ γίνεσθαι. || νεῦρον διακοπὲν οὐ συμφύει, οὐδὲ κύστις, οὐδὲ τῶν ἐντέρων τι τῶν λεπτῶν οὐδὲ φλὲψ αἱμόῤῥους, οὐδὲ γνάθου τὸ λεπτὸν, οὐδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα. ἀρχὴ δὲ ἰήσιος ἀποδεδειγμένη μὲν οὐκ ἔστιν ἥτις ὀρ(10)θῶς ἀρχή ἐστι πάσης τῆς τέχνης οὐδὲ δεύτερον οὐδὲν οὐδὲ μέσον οὐδὲ τελευτή. ἀλλὰ ἀρχόμεθά τε αὐτῆς ἄλλοτε λέγοντες ἄλλοτε ἐργαζόμενοι, καὶ τελευτῶμεν ὡσαύτως, καὶ οὔτε λέγοντες ἀρχόμεθα ἐκ τῶν αὐτῶν λόγων, οὐδ' ἢν τῶν αὐτῶν λέγωμεν οὐδὲ εἰς τοὺς αὐτοὺς τελευτῶμεν, καὶ ἐργαζόμενοι κατὰ τὸν αὐτὸν λόγον οὔτε ἀρχόμεθα ἐκ τῶν αὐτῶν ἔργων οὔτε τελευτῶμεν ἐς τὰ αὐτά. εὐχειρίη δέ ἐστι τὰ τοιάδε, ὅταν τις τάμνων ἢ καίων μήτε νεῦρον τάμνῃ ἢ καύσῃ μήτε φλέβα, καὶ ἢν ἔμπυον καίῃ, ἐπιτυγχάνῃ τοῦ πύου, καὶ τάμνοντα δὲ κατὰ τὸν αὐτὸν λόγον, καὶ κατήγματα συντιθέναι ὀρθῶς, καὶ ὅ τι ἂν τοῦ σώματος ἐκπέσῃ ἐκ τῆς φύσιος, ὀρθῶς ἐς τὴν φύσιν τοῦτο

Quod si prosit, id tamen non perinde laudant, cum id ei contingere oportere existimant. Ulcera vero inflammantur in morbis et in quibusdam dolores fieri oportet, neque aliter contingere potest. Nervus praecisus non coalescit neque aliquod ex tenuibus intestinis neque vena multum effundens sanguinem neque tenuis genae pars neque praeputium. Principium autem medicationis nullum est demonstratione quidem constans, quod universae artis recte principium sit nec secundum aliquod nec medium nec finis, sed quandoque in ea a verbis, quandoque ab opere initium sumimus eodemque modo definimus. Ad eandem rationem in opere neque ab iisdem operibus initium sumimus neque in eadem definimus. Apta vero manuum tractatio in his est, si quis secando aut urendo neque venam neque nervum attingat et in purulento urendo si ad pus deveniat, et in secando eadem ratione. Si fracturas recte componat et corporis particulam quae naturali loco exciderit, si recte in

Ed. Chart. VII. [536. 537.] Foës. I. 450. Ed. Lind. II. (10. 11.) ἀπώσαιεν. λαβεῖν τε ἃ δεῖ ἰσχυρῶς καὶ λαμβάνοντα δὲ πιέζειν καὶ ὅσα ἀτρέμα λαβεῖν τε δεῖ καὶ λαβόντα μὴ πιέζειν καὶ ἐπιδέοντα στρεβλὰ μὴ ποιέειν ἐξ εὐθέων. μηδὲ πιέζειν ἃ μὴ δεῖ, καὶ ψαύοντα ὅκου ἂν ψαύῃ μὴ ὀδύνην παρέχειν ἐκ περισσοῦ. ταῦτα μὲν οὖν ἐστιν εὐχειρίη. τὸ δὲ τοῖσι δακτύλοισιν εὐσχημόνως λαμβάνειν ἢ καλῶς ἢ μὴ καλῶς, ἢ μακροῖσιν ἢ βραχέσιν, ἢ καλῶς ἐπιδεῖν καὶ ἐπιδεσίας παντοίας, οὐ πρὸς τῇ τέχνῃ κρίνεται εὐχειρίης πέρι, ἀλλὰ χωρίς. ὁκόσοι ἔμπυοι γίνονται τὸν πλεύμονα ἢ τὴν ἄνω ἢ τὴν κάτω κοιλίην, ἢ φύματα ἴσχουσιν εἴτε ἐν τῇ ἄνω κοιλίῃ εἴτε ἐν τῇ κάτω, ἢ ἐν τῷ πλεύμονι ἢ ἕλκεα ἔνδοθεν, ἢ αἷμα ἐμέουσιν ἢ πτύουσιν, ἢ ἄλγημά τι ἔχουσιν ἢ ἐν τοῖσι στήθεσιν ἢ ἐν τῷ νώ(11)τῳ, ταῦτα πάντα ἴσχουσι, τῶν μὲν ἐν τῷ σώματι ἐνέοντων ἀπὸ χολῆς καὶ φλέγματος τῶν δὲ ἔξωθεν, ἀπὸ τοῦ ἠέρος [537] ἐπιμιγνυμένου τῷ συμφύτῳ θερμῷ. ἀτὰρ καὶ ἀπὸ πόνων καὶ τρωμάτων, καὶ ὁκόσοι μὲν τὸν

ſuum locum compellat. Quae vehementer apprehendere oportet, ea ſi apprehendendo premat et quae leviter apprehendenda ſunt apprehendendo non premat. Quae recta ſunt deligando, ſi minime detorqueat, neque premat quae premenda non ſunt. Et quicquid attigerit, in contactu ſi nullum ſupervacaneum dolorem exhibeat. Atque haec quidem ad aptam manuum tractationem pertinent. At digitis decenter aut probe aut non probe aut longis aut brevibus aliquid apprehendere aut probe deligare, et cujusquemodi deligaturas facere non in arte ad promptam manuum tractationem pertinere judicandum, ſed ſeparatim tractandum. Qui pulmone aut ſuperiore aut inferiore ventre pus colligunt, aut tubercula ſive ſuperiore ſive inferiore ventre aut pulmone habent, aut ulceribus interioribus laborant, aut ſanguinem vomitione vel ſputo rejiciunt, aut dolore aliquo aut in pectore aut dorſo conflictantur, haec omnia illis contingunt, ex his quidem quae in corpore inſunt, a bile et pituita, ex his vero quae corpus extra afficiunt, ab aëre inſito calori commixto, quinetiam a laboribus et vulneribus.

Ed. Chart. VII. [537.] Foës. I. 450. Ed. Lind. II. (11.)

πλεύμονα ἔμπυοι γίνονται, ἀπὸ τῶνδε γίνονται. ἢν περιπλευμονίῃ ληφθεὶς μὴ καθαρθῇ ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλ' ὑπολειφθῇ ἐν τῷ πλεύμονι πτύαλόν τε καὶ φλέγμα, ἔμπυος γίνεται, καὶ ἢν μὲν αὐτίκα θεραπευθῇ, διαφεύγει ὡς τὰ πουλλά. ἢν δὲ ἀμεληθῇ ἐν τῷ πλεύμονι, διαφθείρεται ἐνισταμένου τε καὶ σηπομένου, ἕλκοῦταί τε ὁ πλεύμων καὶ διάπυος γίνεται, καὶ οὐκ ἔτι ἔσω ἕλκει ἐς ἑωυτὸν ὅ τι καὶ ἄξιον λόγου τῆς τροφῆς, οὔτε τι ἀποκαθαίρεται ἀπ' αὐτοῦ ἄνω οὐδὲν, ἀλλὰ πνίγεταί τε καὶ δυσπνοιεῖ ἀεὶ ἐπὶ μᾶλλον, καὶ ῥέγχει ἀναπνέων καὶ ἀναπνέει αὐτόθεν ἄνωθεν ἐκ τῶν στηθέων. τέλος δὲ ἀποφράσσεται ὑπὸ τοῦ πτύσματος καὶ ἀποθνήσκει. γίνεται δὲ καὶ ἔμπυος καὶ ἢν ἐκ τῆς κεφαλῆς φλέγμα οἱ καταῤῥυῇ ἐς τὸν πλεύμονα, καὶ τὸ μὲν πρῶτον ὡς τὰ πολλὰ λανθάνει καταῤῥέον, καὶ βῆχά τε παρέχει λεπτὴν, καὶ τὸ σίαλον πικρότερον ὀλίγῳ τοῦ εἰωθότος, καὶ ἄλλοτε θέρμη λεπτή. ὁκόταν δὲ ὁ χρόνος προΐῃ, τρηχύνεταί τε ὁ πλεύμων καὶ ἕλκοῦται ἔνδοθεν ὑπὸ τοῦ φλέγματος, ἐνισταμένου καὶ σηπομένου, καὶ βάρος παρέχει τοῖσι στήθεσι,

Atque ex his quidem cauſis pus in pulmone colligitur. Si pulmonis inflammatione detentus diebus qui talia decernere creduntur non purgetur, ſed ſputum et pituita in pulmone remaneat, ſuppuratus fit. Qui ſi confeſtim curetur, plerumque evadit, ſin vero neglectus fuerit, pulmo ab eo quod inhaeret putreſcente tum corrumpitur tum ulceratur, et pus colligit neque amplius intro ad ſe effatu memorabile alimentum attrahit, neque ab eo quicquam per ſuperiora repurgatur, ſed cum ſuffocatur, tum ſemper majore ſpirandi difficultate premitur et inter reſpirandum ſtertit, indeque ſuperiore pectore reſpirat, tandem vero obturatis a ſputo meatibus perit. Fit quoque ſuppuratus, ſi ipſi pituita ex capite in pulmonem defluxerit, ac primum quidem ut plurimum latenter defluit tenuemque tuſſim exhibet ſputumque paulo ſolito amarius exiſtit calorque tenuis adeſt. Progreſſu vero temporis tum pulmo exaſperatur, tum intus a pituita inhaereſcente et putreſcente exulceratur, pondus-

Ed. Chart. VII. [537.] Foes. I. 450. 451. Ed. Lind. II. (11. 12.) καὶ ὀδύνην ὀξείην πρόσω καὶ ὀπίσω, θέρμαι τε ὀξύτεραι ἐμπίπτουσιν ἐς τὸ σῶμα, καὶ πλεύμων ἀπὸ τῆς θερμασίης ἄγει ἐς ἑωυτὸν ἐκ παντὸς σώματος φλέγμα καὶ μάλιστα ἐκ τῆς κεφαλῆς. ἡ δὲ κεφαλὴ θερμαινομένη (12) ἐκ τοῦ σώματος καὶ τοῦτο σηπόμενον πτύει ὑπόπαχυ. ὅσῳ δ' ἂν ὁ χρόνος προΐῃ, εἰλικρινὲς πτύει πῦος, || καὶ οἱ πυρετοὶ ὀξύτεροι γίνονται, καὶ ἡ βὴξ πυκνὴ καὶ ἰσχυρὴ καὶ ἡ ἀσιτίη διακναίει, καὶ τέλος ἡ κοιλίη ἡ κάτω ταράσσεται. ταράσσεται δὲ ὑπὸ τοῦ φλέγματος. τὸ δὲ φλέγμα ἀπὸ τῆς κεφαλῆς καταβαίνει. οὗτος ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται, καθάπερ εἴρηται ἐν τοῖσιν ἔμπροσθεν, διὰ πύου τοῦ πλεύμονος καὶ σαπροῦ γενομένου, ἢ τῆς γαστρὸς ῥυείσης τῆς κάτω. γίνεται δὲ καὶ ἀπὸ τῶνδε ἔμπυος ὁ πλεύμων, ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ. ῥήγνυται δὲ ὑπὸ πόνων, καὶ ὅταν ῥαγῇ, αἱμορῥοιεῖ τὸ φλέβιον. κὴν μὲν παχύτερον ἔῃ, μᾶλλον· ἢν δὲ λεπτότερον, ἧσσον, καὶ τὸ μὲν παραυτίκα τοῦ αἵματος πτύει, τὸ δέ, ἢν μὴ στεγνωθῇ ἡ φλὲψ, χεῖται εἰς τὸν πλεύμονα καὶ σήπεται ἐν αὐτῷ, καὶ ὅταν σαπῇ πῦον ποιεῖ. προ-

que in pectore et dolorem acutum ante et retro exhibet, corpus vehementer incalescit, pulmo a calore ad se pituitam ex toto corpore praecipueque ex capite trahit. Caput vero calefactum ex corpore eamque putrescentem subcrassam expuit. Quanto vero longius tempus processerit, tanto sincerum magis pus expuit et febres acutiores fiunt, tussisque crebra et vehemens inedia vexat et ad extremum inferior alvus turbatur. Turbatur autem a pituita quae ex capite descendit. Hic cum eo pervenerit, perit, quemadmodum in superioribus dictum est, ubi pulmo purulentus et putridus extiterit aut venter deorsum effluxerit. Ex his quoque purulentus pulmo existit, cum quaedam in eo parva vena rupta fuerit, quae ex laboribus rumpitur. Et cum rupta fuerit, crassior quidem plus fundit sanguinis, tenuior vero minus, partimque confestim quidem sanguinem expuit, partim vero, nisi adstricta vena fuerit, in pulmonem effunditur, in eoque putrescit, cumque putruerit, pus facit. Procedente vero

Ed. Chart. VII. [537. 538.] Foeſ. I. 451. Ed. Lind. II. (12. 13.) ἰόντος δὲ τοῦ χρόνου ἄλλοτε πῦον εἰλικρινὲς, ἄλλοτε πῦον ὕφαιμον, ἄλλοτε τὸ αἷμα, καὶ ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμεῖ τὸ πλήρωμα ἀφ' ἑωυτοῦ ἄλες τοῦ αἵματος. τό τε πῦον πτύεται παχὺ ὑπὸ τοῦ προσγινομένου καὶ ἐνσηπομένου φλέγματος. οὗτος ἢν καταληφθῇ ἀρχομένου τοῦ νουσήματος πρὶν ἢ τὴν φλέβα αἱμορρόειν καὶ χαλᾶν ἰσχυρῶς, πρίν τε λεπτυνθῆναι καὶ κλινοπετέα γενέσθαι καὶ τὴν κεφαλὴν ἄρξασθαι φθίνειν καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, ἐξάιτης τῆς τοιήσδε νούσου γίνεται. ἢν δ' ἀμεληθῇ καὶ ταῦτα καταλάβῃ, ὥστε παθέειν ἢ (13) πάντα ἢ τὰ πλεῖστα, ἀπόλλυται. ἀπόλλυται δὲ οὗτος ἢ ὑπὸ τῶν αὐτῶν ἃ εἴρηκα ἔμπροσθεν ἢ ὑπὸ ἐμέτου, αἵματος πουλλοῦ πολλάκις ἐμεσυμένου. ἢν δὲ τὸ φλέβιον παντάπασι μὲν μὴ διαῤῥαγῇ, σπάδων δ' ἐν αὐτῷ ἐγγένηται, γίνεται δὲ μάλιστα οἷον κιρ[538]σός. ὃ καὶ παραυτίκα μὲν ὅταν γένηται, ὀδύνην τινὰ παρέχει λεπτὴν καὶ βῆχα ξηρήν. ἢν δὲ χρονίσῃ τε καὶ ἀμεληθῇ, διαδιδοῖ αἵματος μὲν πρῶτον ὀλίγον καὶ ὑπομελαν, ἔπειτα δὲ ἐπὶ πλεῖόν τε καὶ εἰλικρινέστατον. εἶτα πῦον, καὶ πάσχει

tempore interdum pus ſincerum, interdum ſubcruentum, quandoque etiam ſanguinem, et ſi vena copia magna redundarit, ipſum copioſum ſanguinem confertim à ſe vomitione rejicit, pusque craſſum ab accedente pituita intus putrefacta expuitur. Hic ſi per morbi initia ante quam vena ſanguinem effundere et vehementer laxari coeperit, curatione praeoccupetur et prius quam extenuetur ac lecto decumbat et prius quam caput corrumpi reliquumque corpus tabeſcere incipiat, incolumis ab ejusmodi morbo evadit. Quod ſi neglectus fuerit iſtaque prehenderint, ita ut his omnibus aut plerisque affectus ſit, perit. Hic autem perit ex iis quae ante dixi aut ex vomitu, copioſo ſanguine vomitione rejecto. At ſi vena quidem non omnino rupta fuerit, ſed ea praecipue velut varix diſtenditur, quod etiam confeſtim quidem ubi factum fuerit, dolorem quendam tenuem et tuſſim ſiccam exhibet. Si vero diutius traxerit et neglecta fuerit, primum quidem paucum et ſubatrum ſanguinem transmittit, mox etiam copioſiorem et maxime ſin-

Ed. Chart. VII. [538.] Foës. I. 451. Ed. Lind. II. (13. 14.)

τε ὅσα περ ἐν τοῖσιν ἔμπροσθεν εἴρηται. συμφέρει δὲ τοῖσι τοιούτοισιν ἢν καταρχὰς λάβῃς θεραπεύειν. ὥστε αἵ τε φλέβες ἐξιέμεναι ἐκ τῶν χειρῶν, καὶ δίαιτα, ὑφ' ἧς ἔσται ξηρότατός τε καὶ ἀναιμότατος. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ τὰ ἐν τῷ πλευρῷ φλέβια πάσχει, ὅσα ἔσω ἀκρόπλοά εἰσιν. ὁκόταν οὖν πονήσῃ, κιρσοειδέα τε γίνεται καὶ μετέωρα ἔσω, καὶ ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει. ἐκρήγνυταί τε καὶ πτύουσί τε ἀπὸ σφέων αἷμα, καὶ ἐνίοτε καὶ ἐμέουσι καὶ ἔμπυοι γίνονται καὶ ὡς τὰ πουλλὰ διεφθάρησαν. ἢν δὲ θεραπευθῶσιν ἀρχομένου τοῦ νουσήματος, αὖθις κατὰ χώρην ἰζάνουσιν εἰς τὸ πλευρὸν τὰ φλέβια καὶ γίνεται ταπεινὰ, καὶ ὁ μὲν πλεύμων ἀπὸ τούτων ἔμπυος γίνεται καὶ τὰ ἀπ' αὐτοῦ πάσχουσί τε τὰ τοιαῦτα καὶ τελευτῶσιν οὕτω. τὴν δὲ ἄνω κοιλίην ἔμπυοι γίνονται πολλαχῶς, καὶ γὰρ ὅταν φλέγμα ῥυῇ ἔκ τε κεφαλῆς, ἅλες ἀθρόον ἐς τὴν ἄνω κοιλίην, σήπεταί τε καὶ γίνεται πῦος. σήπε(14)ται δὲ ἐν ἡμέρῃσι μάλιστα μιῇ καὶ εἰκοστῇ. τοῦτο οὖν διασείεται καὶ ἐγκλυδάζεται, τὸ πυος εἰς τὰ πλευρὰ προσπῖπτον. οὗτος ἢν καυθῇ ἢ τμηθῇ πρὶν χρο-

cerum, deinde pus, et patitur quae in ſuperioribus dicta ſunt. His confert, ſi circa exordia curandos ſuſceperis, ut manuum venae relaxentur et victus ratione utatur ex qua ſicciſſimus et maxime exanguis evadat. Ad hunc vero eundem modum etiam venis in latere, quae intus in ſummo innatant, accidit. Cum igitur ex labore varicum modo intus elevatae fuerint, ſi quidem neglectae fuerint, haec perpetiuntur et ſponte ſanguis erumpit ac expuitur, eumque interdum vomitione rejiciunt et ſuppurati fiunt ac plerumque pereunt. Quod ſi inter initia morbi curationem adhibeant, rurſus venulae ſuo loco ad latus ſubſidunt et humiles fiunt. Et pulmo quidem ab his ſuppuratus redditur et ab ipſo talia perpetiuntur, ſicque moriuntur. At vero multis modis ſuperiore ventre pus colligunt. Nam cum pituita multa e capite confertim in ſuperiorem ventrem confluxerit, putreſcit et pus evadit. Putreſcit autem maxime diebus uno et viginti. Pus igitur ad latera illabens commovetur et intus fluctuat. Hic ſi antequam pus diutius per-

Ed. Chart. VII. [538.] Foës. I. 451. 452. Ed. Lind. II. (14.)

νίσαι τὸ πῦος, ὑγιὴς γίνεται ὡς τὰ πολλά. γίνονται δὲ κατὰ τὴν ἄνω κοιλίην ἔμπυοι καὶ ἐκ πλευρίτιδος, ὁκόταν ἰσχυρὴ γένηται, καὶ ἐν τῇσι κυρίῃσιν ἡμέρῃσι μήτε σαπῇ μήτε πυσθῇ, ἀλλ' ἑλκωθῇ τὸ πλευρὸν ὑπὸ τοῦ προσπεπηγότος φλέγματος καὶ χολῆς, καὶ ὁκόταν ἕλκος γένηται, ἀναδιδοῖ ἀπὸ ἑωυτοῦ πῦος, καὶ ἐκ τῶν πλησίον χωρίων ὑπὸ θερμασίης ἄγει ἐφ' ἑωυτὸ φλέγμα. || καὶ τοῦτο ὁκόταν σαπῇ πτύεται πῦος. ἐνίοτε δὲ καὶ ἐκ τῶν φλεβίων διαδιδοῖ ἐς τὸ ἕλκος αἷμα, καὶ γίνεται σηπόμενον πῦος. οὗτος ἢν μὲν παραχρῆμα ὑπολειφθῇ, ὑγιὴς γίνεται ὡς τὰ πολλά. ἢν δὲ ἀμεληθῇ, διαφθείρεται. γίνονται δὲ ἔμπυοι καὶ ἢν φλέγμα ἔκ τε κεφαλῆς ῥυὲν πρὸς τὸ πλευρὸν προσπαγῇ καὶ σαπῇ. τότε γὰρ τὸ πλευρὸν ὡς τὰ πολλὰ καίεται καὶ πάσχει ὅσαπερ ἐκ πλευρίτιδος ὅταν ἔμπυος γένηται. γίνονται δὲ καὶ ὁκόταν ὑπὸ ταλαιπωρίης ἢ ἐκ γυμνασίης, ἢ ἄλλως πως ῥαγῇ ἢ ἔμπροσθεν ἢ ὄπισθεν. ῥαγῇ δὲ ὥστε μὴ παραυτίκα πτύσαι αἷμα, ἀλλ' ἐν τῇ σαρκὶ σπάδων γένηται καὶ ἡ σὰρξ σπασθεῖσα εἰρύσῃ ἰκμάδα ὀλίγην καὶ γένηται ὑποπέλιδνος, καὶ παραυ-

maneat, uratur aut ſecetur, plerumque ſanus evadit. Ex morbo quoque laterali ſuperiore ventre purulenti fiunt, cum vehemens fuerit, neque diebus judicare ſolitis computruerit, neque per ſputum rejectus fuerit, ſed adhaereſcente ad latus pituita et bile ipſum ulceratum fuerit, cumque ulcus factum fuerit, ex ſe pus effundit et de vicinis locis calore pituitam ad ſe adducit, quae ubi computruit, pus expuitur. Interdum vero etiam ex venis ſanguis ſe ad ulcus transfundit, qui putrefactus in pus vertitur. Hic ſi conſertim curandus ſuſcipiatur, plerumque ſanus evadit, ſi vero negligatur, perit. Purulenti quoque etiam fiunt, ſi pituita e capite in latus defluat, illicque adhaereſcens putreſcat. Tum enim plerumque latus ipſum incenditur eademque perpetitur quae qui ex morbo laterali purulentus evadit. Fiunt etiam cum ex immoderato labore aut exercitatione aut quavis alia ratione parte anteriore aut poſteriore ruptio ita facta fuerit, ut non confeſtim ſanguis expuatur, ſed vulſum in carne contingit, quae divulſa paucam humiditatem attrahit et ſub-

Ed. Chart. VII. [538. 539.] Foës. I. 452. Ed. Lind. II. (14. 15.)
τίκα μὲν μὴ αἰσθάνηται ὁ παθὼν ὑπὸ ῥώμης καὶ εὐεξίης. εἰ δὲ καὶ αἰσθάνεται, μηδὲν πρᾶγμα ἡγήσεται. οὗτος ὅταν καταλάβῃ ὥστε αὐτὸν ὑπὸ πυρετῶν ληφθέντα λεπτυνθῆναι ἢ πο[539]σίων ἢ λαγνείης ἢ ἄλλου του ἢ σὰρξ ἡ τετρωμένη (15) ὑποξηραίνεταί τε καὶ ὑποθερμαίνεται καὶ ἕλκει ἰκμάδα ἐς ἑωυτὴν, ἀπὸ τῶν πλησίον καὶ φλεβῶν καὶ σαρκῶν. ὅταν δὲ εἰρύσῃ, οἰδίσκεταί τε καὶ φλεγμαίνει καὶ ὀδύνην παρέχει λεπτὴν, καὶ βῆχα ἀραιήν τε καὶ ξηρὴν τὸ πρῶτον. ἔπειτα ἐπὶ μᾶλλον ἕλκει τε ἐς ἑωυτὴν καὶ ὀδύνην παρέχει ἰσχυροτέρην καὶ βῆχα πυκνοτέρην καὶ πτύει τὸ μὲν πρῶτον ὑπόπυον, ἐνίοτε δὲ ὑποπέλιδνον καὶ ὕφαιμον. ὅσῳ δὲ ἂν ὁ χρόνος προΐῃ, ἕλκει τε μᾶλλον ἐς ἑωυτὴν καὶ σήπει, καὶ αὐτῆς τῆς σαρκὸς ὅσον πελιδνὸν ἐγένετο τὴν ἀρχὴν, τοῦτο πῦος γίνεται, καὶ ὀδύνην παρέχει ὀξείην καὶ πυρετὸν καὶ βῆχα πολλήν τε καὶ πυκνὴν καὶ τὸ πτύσμα εἰλικρινὲς πτύει πῦος. ἢν δὲ χρονίσῃ τὸ πῦος ἐν τῇ κοιλίῃ, διαθερμαίνεται ὑπ' αὐτοῦ τὸ σῶμα πᾶν, μάλιστα δὲ τὰ ἐγγυτάτω. θερμαινομένου δὲ τοῦ σώματος μάλιστα ἐκτήκεται τὸ ὑγρὸν, καὶ τὸ μὲν

livida evadit. Quod quidem qui ita affectus eſt prae robore aut bono corporis habitu non ſtatim ſentit, aut ſi ſentit, pro nihilo reputat. Hic cum perceperit ſe ſic febribus detineri ut extenuetur aut ex potionibus aut venere aut quavis alia re caro vulnerata aliquantulum reſiccatur et incaleſcit et ex vicinis tum venis tum carnibus humiditatem ad ſe trahit, cumque attraxerit intumeſcit et inflammatur doloremque tenuem inducit et tuſſim raram et ſiccam primum, deinde magis ad ſe adhuc attrahit, vehementioremque dolorem et tuſſim crebriorem infert, et primum quidem aliquantum purulentum expuit, interdum vero ſublividum et ſubcruentum. Quoque plus temporis interceſſerit, eo magis ad ſe trahit et putrefacit, et quicquid in carne circa initia lividum erat, in pus vertitur, doloremque excitat acutum et febrem et tuſſim tum multam tum crebram, et pus ſincerum per ſputum rejicit. Quod ſi pus in ventre diu traxerit, ab eo totum corpus praecipueque partes maxime vicinae incaleſcunt, incaleſcente autem corpore humidum

Ed. Chart. VII. [539.] Foës. I. 452. Ed. Lind. II. (15. 16.)
ἀπὸ τῶν ἄνω ἐς τὴν ἄνω κοιλίην μάλιστα συῤῥεῖ καὶ γίνεται πῦος πρὸς τῷ ἐνεόντι, τὸ δὲ καὶ ἐς τὴν κάτω κοιλίην ῥεῖ, καὶ ἐνίοτε ταράσσεται ἡ κοιλίη ὑπ' αὐτοῦ καὶ διέφθειρε τὸν ἄνθρωπον. τὰ γὰρ ἐσιόντα τῶν σιτίων διαχωρέει ἄπεπτα, καὶ τροφὴ ἀπ' αὐτῶν οὐ γίνεται τῷ σώματι, καὶ ἡ τοῦ πτύσματος ἄνω κάθαρσις οὐχ ὁμαλὴ γίνεται, ἅτε διατεθερμασμένης τῆς κοιλίης καὶ ἀγούσης πάντα κάτω ἐφ' ἑωυτήν, καὶ ὑπὸ μὲν τοῦ πτύσματος πνίγεταί τε καὶ ῥέγχει οὐ καθαιρόμενος. ὑπὸ δὲ τῆς γαστρὸς ῥεούσης ἐξασθενέει καὶ ὡς τὰ πουλλὰ διαφθείρεται. μάλιστα δὲ ἐν τῇσι τοιαύτῃσι τῶν νούσων τὸ ῥεῦμα τοῦτο ἡ κεφαλὴ (16) παρέχει, ἅτε κοίλη ἐοῦσα καὶ ἄνω ὑπερκειμένη. ὁκόταν γὰρ διαθερμανθῇ ὑπὸ τῆς κοιλίης, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ σώματος τὸ λεπτότατον τοῦ φλέγματος. ὅταν δὲ ἁλισθῇ ἐν αὐτῇ, ἀποδιδοῖ πάλιν ἁλες καὶ παχύ, ὥσπερ εἴρηται, καὶ αὐτοῦ τὸ μὲν ἐς τὴν ἄνω κοιλίην καταῤῥεῖ, τὸ δὲ ἐς κάτω. ὁκόταν οὖν ἄρξηται ἡ κεφαλὴ ῥεῖν καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, οὐκ ἔτι ὁμαλῶς οὐδὲ καυθέντες περιγίνονται. κρατέει γὰρ πρὸς μὲν τοῦ πύ-

maxime colliqueſcit. Et partim quidem a ſuperioribus partibus in ſuperiorem ventrem praecipue confluit et in pus vertitur, ad id quod jam intus eſt accedens. Partim vero ad inferiorem ventrem defluit, ab eoque interdum alvus turbatur et hominem perimit. Cibi enim ingeſti per alvum ſecedunt, nullumque corpori ab his alimentum accedit, neque ſputi per ſuperiora aequabilis ſit expurgatio, cum nimirum incaleſcens alvus deorſum omnia ad ſe deducat. Et a ſputo quidem ſuffocatur et non repurgatus ſtertit, ab alvo autem fluente debilis evadit et plerumque perit. In hujusmodi autem morbis hanc fluxionem caput excitat, nimirum cum cavum exiſtat et ſuperiore parte locatum. Cum enim ab alvo concaleſactum fuerit, tenuiſſimam pituitam e corpore ad ſe trahit, quam in ſe coacervatam rurſus confertam et craſſam, velut dictum eſt, reddit, partimque in ſuperiorem ventrem, partim vero in inferiorem defluit. Ubi igitur caput fluere corpusque reliquum non amplius aequabiliter colliqueſcere coeperit, ne uſtione quidem ſuperſtites

Ed. Chart. VI. [539.] Foëſ. I. 452. 453. Ed. Lind. II. (16. 17.) ους τὰ ἐπιῤῥέοντα κακὰ ἢ τὰ ἀποῤῥέοντα. αἱ δὲ σάρκες τηκόμεναι μᾶλλον ὑπὸ τῶν κακῶν ἢ τρεφόμεναι ὑπὸ τῶν εἰσιόντων. οὗτοι ὁκόσοι τοιουτότροπα νουσήματα ἴσχουσι, καὶ ἀπὸ τούτων ἔνιοι μὲν δι' ὀλίγον ἀπόλλυνται, ἔνιοι δὲ πουλὺν χρόνον ἕλκουσι. διαφέρει γὰρ σῶμα σώματος || καὶ ἡλικίη ἡλικίης καὶ πάθημα παθήματος καὶ ὥρη ὥρης, ἐν ᾗ ἂν νοσέωσι, καὶ οἱ μὲν ταλαιπωρότεροί εἰσιν ἐν τῇσι νούσοισιν, οἱ δὲ παντάπασι ταλαιπωρέειν ἀδύνατοι. οὔκουν ἐστὶ τὸ ἀκριβὲς τοῦ χρόνου ἐν ᾧ ἀπόλλυνται οὔτε εἰ πολλὸν οὔτ' εἰ ὀλίγον. οὔτε γὰρ οὗτος ὁ χρόνος ἀκριβὴς ὢν ἔνιοι λέγουσιν ὡς τὰ πολλὰ, οὐδὲ αὐτὸ τοῦτο ἐκπύει. διαφέρει γὰρ καὶ ἔτος ἔτεος καὶ ὥρη ὥρης, ἀλλ' ἤν τις θέλῃ περὶ αὐτῶν ὀρθῶς γινώσκειν καὶ λέγειν, γνώσεται ὧδε πᾶσαν ὥρην καὶ ἀπολλυμένους καὶ περιγενομένους καὶ πάσχοντας ἅπερ ἂν πάσχωσι. τὴν δὲ κάτω κοιλίην ἔμπυοι γίνονται, μάλιστα μὲν ὅταν φλέγμα ἢ χολὴ συσιῇ ἄλες μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος. (17) γίνονται δὲ καὶ ἀπὸ σπασμῶν, καὶ ὅταν

evadunt. At pus enim influentia mala accedunt, quae exſuperant ea quae defluunt, carnesque magis a malis colliqueſcunt, quam ab ingeſtis cibis nutriantur. Qui morbis hujusmodi detinentur, ab his quidem intra breve tempus pereunt, quidam etiam diutius trahunt. Praeſtat enim corpus corpori, aetas aetati et affectio affectioni et anni tempeſtas tempeſtati, in qua aegrotarint. Quidam enim morbos facilius tolerant, quidam vero omnino tolerare nequeunt. Non igitur certum tempus in quo pereunt dari poteſt, neque ſi longum neque ſi breve futurum ſit. Neque enim certum tempus eſt, quod quidam praedicunt, cum plerumque neque hoc ipſum ſuppuret. Annus namque inter ſe et anni tempora differunt. Verum qui volet recte de his decernere ac praedicere, ſic judicabit, quovis anni tempore et perire et ſupereſſe et quae patiuntur evenire. At vero inferiore ventre ſuppurati evadunt, praecipue quidem cum pituita et bilis inter carnem et cutim affatim collecta fuerit; fiunt etiam et ex convulſionibus, cumque vena divulſa rupta fue-

Ed. Chart. VII. [539. 540.] Foës. I. 453. Ed. Lind. II. (17.)

φλέβιον σπασθὲν ῥαγῇ, τὸ αἷμα ἐκχυθὲν σήπεται καὶ ἐμ-
[540]πύει. ἢν δὲ ἡ σὰρξ σπασθῇ ἢ φλασθῇ, ἕλκει τε ἐκ
τῶν παρ' ἑωυτῇ φλεβίων αἷμα καὶ τοῦτο σήπεται καὶ ἐμπύει.
τούτοισιν ἢν μὲν ἔξω ἀποσημήνῃ καὶ πῦος ἐξέλθῃ, ὑγιέες
γίνονται. ἢν δὲ ἐκραγῇ αὐτόματον, ἔσω ἀπόλλυνται. κεχυμέ-
νον δὲ πῦος ἐν τῇ κάτω κοιλίῃ, ὥσπερ ἐν τῇ ἄνω εἴρηται
ἐγγίνεσθαι οὐκ ἂν δύναιτο ἐγγενέσθαι, ἀλλ' ὥσπερ μοι εἴ-
ρηται ἐν χιτῶσί τε καὶ ἐν φύμασιν ἐγγίνεται, καὶ ἢν μὲν ἔν-
δον ἀποσημήνῃ, δυσπετὲς γνῶναι. οὔτε γὰρ διασείσαντά ἐστιν
εἰδέναι. γινώσκεται δὲ μάλιστα τῇ ὀδύνῃ ἔνθα ἔῃ, καὶ ἢν
καταπλάσῃς τῇ κεραμίτιδι ἢ ἄλλῳ τῷ τοιούτῳ, ἀποξηραίνει
δι' ὀλίγου. ἐρυσίπελας δὲ ἐν τῷ πλεύμονι γίνεται, ὅταν
ὑπερξηρανθῇ ὁ πλεύμων. ὑπερξηραίνεται δὲ καὶ ὑπὸ καύμα-
τος καὶ ὑπὸ πυρετῶν καὶ ὑπὸ ταλαιπωρίης καὶ ἀκρασίης,
καὶ ὁκόταν ὑπερξηρανθῇ, ἕλκει τοῦ αἵματος πλεῖστον ἐφ'
ἑωυτόν. μάλιστα μὲν καὶ πλεῖστον ἐκ τῶν μεγάλων φλεβῶν.
αὗται γὰρ αὐτῷ ἐγγύτατα εἰσι καὶ ἐπίκεινται ἐπ' αὐτῷ.

rit, et ſanguis effuſus putreſcit et pus intus gignit. Quod ſi caro divulſa aut contuſa fuerit, ſanguinem ex venis quae ſunt in ejus ambitu attrahit, isque putreſcit et pus intus gignit. His ſi quidem de ſe foras ſignificationem praebuerit, et pus exierit, ſani evadunt, ſi vero ſponte intus erumpat, pereunt. Effuſum autem pus inferiore ventre generari haudquaquam poterit, velut in ſuperiore ventre fieri dictum eſt, ſed in tunicis et tuberculis innaſcitur, velut a me dictum eſt. Et ſi quidem internas de ſe notas praebuerit, non facile deprehenditur, cum nec concutiendo cognoſcere liceat. Ex dolore tamen praecipue ubi fuerit dignoſcitur, et ſi argillam aut aliud quid ejuſcemodi illeveris, brevi id reſiccat. At vero eryſipelas in pulmone gignitur, cum ſupra modum is reſiccatus fuerit, quod vel ab ardore vel febribus vel nimio labore vel intemperie contingit. Qui cum maxime reſiccatus fuerit, plurimum ſanguinem in ſeſe trahit, eumque praecipue ex magnis venis, quae ei maxime vicinae ſunt ipſique ſuperincumbunt. Trahit autem etiam ex aliis vicinis

Ed. Chart. VII. [540.] Foeſ. I. 453. Ed. Lind. II. (17. 18.)
ἕλκει δὲ καὶ ἐκ τῶν ἄλλων τῶν πλησίον. ἕλκει δὲ τὸ λεπτότατον καὶ ὀσθενέστατον. ὁκόταν δὲ ῥύσῃ, πυρετὸς ἀπ' αὐτοῦ γίνεται ὀξὺς, καὶ βὴξ ξηρὴ καὶ πληθώρη ἐν τοῖσι στήθεσι καὶ ὀδύνη ὀξείη ἐν τοῖσιν ἔμπροσθεν καὶ ὄπισθεν. μάλιστα δὲ κατὰ τὴν ῥάχιν, ἅτε τῶν φλεβῶν τῶν μεγάλων διαθερμαινομένων, καὶ ἐμέουσιν ἄλλοτε μὲν ὕφαιμον, ἄλλοτε δὲ πελιδνόν. ἐμέουσι δὲ καὶ (18) φλέγμα καὶ χολὴν, καὶ ἐκψυχοῦσι πυκνά. ἐκψυχοῦσι δὲ διὰ τοῦ αἵματος τὴν μετάστασιν ἐξαπίνης γινομένην, καὶ μάλιστα διασημαίνει τοῦτο, ὅταν ἐπὶ τοῦ πλεύμονος ἐπιγένηται ἐρυσίπελας, καὶ τοῦ πυρετοῦ ἔῃ συνεχὴς λῆψις. τούτῳ εἰ μὲν δύο ἢ τριῶν ἢ τεττάρων τὸ πλεῖστον ἡμερέων διαχυθῇ καὶ μεταστῇ τὸ ἔνδον ἐς τὸ ἔξω, ὑγιὴς γίνεται ὡς τὰ πολλά. ἢν δὲ μὴ διαχυθῇ καὶ μεταστῇ, ἐνσήπεταί τε καὶ ἔμπυος γίνεται καὶ ἀπόλλυται. ἀπόλλυται δὲ δι' ὀλίγου ἅτε τοῦ πλεύμονος ἐμπύου ἐόντος ὅλου καὶ σαπροῦ. ἢν δὲ ἔξω κατακεχυμένον εἴσω τράπηται καὶ λάβηται τοῦ πλεύμονος, τούτου οὐδεμίη ἐλπὶς περιγενέσθαι. ὅταν γὰρ προαπεξηραμένος ὁ πλεύμων εἰρύσῃ ἐς ἑωυτὸν, οὐκ ἂν

magis tenuem et debilem. Cum autem traxerit, febris acuta oritur, et tuſſis ſicca, plenitudo in pectore, dolor vehemens in anterioribus et poſterioribus partibus, praecipue vero ad ſpinam cum nimirum magnae venae incaleſcant, et interdum quidem ſuberuentum, interdum vero lividum vomunt, pituitam vero et bilem etiam vomunt, crebroque animo linquuntur, quod ob repentinam ſanguinis transmutationem contingit. Idque praecipue obortum eſſe in pulmone eryſipelas indicat, ſique febris aſſidua prehenderit. Huic ſiquidem duobus aut tribus aut quatuor ad ſummum diebus diffuſum fuerit, et quod intus eſt foras tranſierit, plerumque ſanus evadit. Si vero neque diffuſum neque transmutatum fuerit, intus putreſcit et ſuppuratus evadit, ac brevi perit, cum nimirum totus pulmo purulentus ac putridus exiſtat. Quod ſi extra diffuſum intro vertatur pulmonemque prehendat, hunc ſupereſſe poſſe nulla ſpes eſt. Cum enim antea reſiccatus pulmo ad ſeſe traxerit, non amplius transmit-

Ed. Chart. VII. [540. 541.] Foës. I. 453. 454. Ed. Lind. II. (18. 19.)
ἔτι μετασταίη, ἀλλὰ παραχρῆμα ὑπὸ τοῦ καύματος καὶ τῆς ξηρασίης οὐκ ἔτι δέχεται οὐδὲν, οὔτε ἄνω ἀναδιδοῖ οὐδὲν, ἀλλὰ διέφθειρε. φῦμα δὲ γίνεται ἐν τῷ πλεύμονι ὧδε. ὁκόταν φλέγμα ἢ χολὴ συστραφῇ, σήπεται, καὶ ἕως μὲν ἂν ἔτι ὠμότερον ἔῃ, ὀδύνην τε παρέχει λεπτὴν καὶ βῆχα ξηρήν. ὁκόταν δὲ πεπαίνηται, ὀδύνη γίνεται καὶ πρόσθεν καὶ ὄπισθεν ὀξείη, καὶ θέρμαι λαμβάνουσι καὶ βὴξ ἰσχυρή. καὶ ἢν μὲν ὅτι τάχιστα πεπανθῇ καὶ ῥαγῇ καὶ ἄνω τράπηται τὸ πῦον, || καὶ ἀναπτυσθῇ πᾶν, καὶ κοιλίη, ἐν ᾗ τὸ πῦον, προσπίεσή τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ καὶ ἀνακαθαίρηται, ἀποξηρανθῆναι δὲ παντάπασι μὴ δύνηται, [541] ἀλλ' αὐτὸ ἀφ' ἑωυτοῦ τὸ φῦ(19)μα ἀναδιδοῖ τὸ πῦον, ὀλέθριον τοῦτο, καὶ ἀπὸ τῆς κεφαλῆς δὲ καὶ τοῦ ἄλλου σώματος φλέγμα καταῤῥέον ἐς τὸ φῦμα, σήπεταί τε καὶ πῦον γίνεται καὶ πτύεται δι' οὗ ἐφθάρη. διαφθείρεται δὲ ὑπὸ γαστρὸς ῥυέσης, ἀφ' ὥνπερ καὶ ἐπὶ τῶν πρόσθεν εἴρηται. λεσχηνευο-

tit, ſed conſeſtim prae ardore ac ſiccitate neque quicquam amplius ſuſcipit aut ſurſum diſtribuit, ſed corrumpit. Pulmonis vero tuberculum ad hunc modum oritur. Cum pituita aut bilis collecta fuerit, putreſcit, et quamdiu quidem adhuc crudum fuerit, tum dolorem tenuem, tum tuſſim ſiccam exhibet. Vbi vero maturuerit, anteriore et poſteriore parte gravis dolor oritur, calores invadunt et tuſſis vehemens. Et ſi quidem pus quam citiſſime maturuerit, eruperit, ſurſum vergat, et totum expuatur, venterque in quo pus erat conſidat ac reſiccetur, prorſus ſanus evadit. Si vero quam citiſſime ruptum fuerit, maturuerit ac repurgatum fuerit, neque tamen penitus reſiccari poſſit, ſed ipſum tuberculum ex ſe pus effundat, pernicioſum id eſt et ex capite reliquoque corpore pituita ad tuberculum defluens, putreſcit, in pus vertitur ac expuitur, ex quo corruptus perit. Perit autem ex ventris profluvio ex his quae antea dicta ſunt, ipſoque confabulante et omnia aeque ut prius intelligente reſiccatur ac reſrigeratur, omnesque corporis venae

Ed. Chart. VII. [541.] Foës. I. 454. Ed. Lind. II. (19.)

μένου τε αὐτοῦ καὶ φρονέοντος, πάντα χρήματα ὁμαλῶς ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ ἀποξηραίνεταί τε καὶ ἀποψύχεται, καὶ συμμύει τὰ φλέβια τὰ ἐν τῷ σώματι πάντα, ἅτε τοῦ αἵματος ἐξ αὐτέων ἐκκεκαυμένου ὑπὸ πυρετοῦ. ἐνίοτε δὲ ὑπὸ χρόνου τε πλήθεος καὶ μεγέθεος τῆς νούσου καὶ τῶν ἐνεόντων κακῶν καὶ τῶν προσεπιγινομένων. ἢν δὲ μὴ δύνηται πολλοῦ χρόνου ῥαγῆναι μήτε ἀπὸ ταυτομάτου μήτε ὑπὸ φαρμάκων, τήκεται ὁ ἀσθενῶν ὑπὸ ὀδυνέων ἰσχυρῶν καὶ ἀσιτίης καὶ βηχὸς καὶ πυρετῶν καὶ ὡς τὰ πολλὰ διαφθείρεται. ἢν δὲ ἤδη λελεπτισμένῳ καὶ κλινοπετεῖ ἐόντι ῥαγῇ τὸ πῦον, οὐδ' οὕτω μάλα ἀναφέρουσιν, ἀλλὰ διαφθείρονται τρόπῳ τοιῷδε. ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ, πεπανθὲν δὲ ἐκχυθῇ ἐπὶ τὰς φρένας τὸ πολλὸν αὐτοῦ, τὸ παραυτίκα δοκέει μὲν ῥᾴων εἶναι, προϊόντος δὲ τοῦ χρόνου ἢν μὲν ἀναπτύσῃ πᾶν καὶ ἡ κοιλίη, ἐν ᾗ τὸ πῦος ἐνῇ, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται. ἢν δὲ ὅ τε χρόνος πλείων γένηται καὶ αὐτὸς ἀσθενέστερος καὶ ἀναπτύσαι μὴ δύναται, ἀλλὰ καυθῇ ἢ τμηθῇ καὶ τὸ πῦος ἐξέλθῃ, παραυτίκα μὲν καὶ οὕτω δή τι δοκέει ῥᾴων γεγονέναι, προ-

contrahuntur, cum nimirum ipſarum ſanguis a febre exuſtus ſit, interdum vero tum ex temporis longitudine et morbi magnitudine, tum etiam ex inſtantibus ac ſupervenientibus malis. Quod ſi neque ſponte neque a medicamentis multo tempore rumpi non poſſit, dolorum dehementia, inedia, tuſſi ac febribus qui laborat conſumitur ac plerumque perit. Si vero extenuato et lecto decumbenti pus eruperit, neque ſic admodum ſuſtinent, ſed eo modo perimuntur. Quod ſi quam citiſſime ruptum quidem et maturatum fuerit, magnaque ſui parte ad ſeptum transverſum effundatur, confeſtim quidem levius habere videtur, progreſſu tamen temporis, ſi quidem totum per ſputum rejiciat et venter in quo pus inerat conſidat ac reſiccetur, ſanus evadit. Verum ſi tum tempus longius, tum ipſe debilior fuerit, neque expuere poſſit, ſed per uſtionem aut ſectionem pus exeat, confeſtim quidem hoc ſane etiam modo levius habere videtur, progreſſu tamen temporis

Ed. Chart. VI. [541.] Foël. I. 454. Ed. Lind. II. (19. 20.)
ἰόντος δὲ τοῦ χρόνου διαφθείρεται ὑπὸ τῶν αὐτῶν ὑφ' ὧνπερ καὶ ἐν τῇ πρώτῃ εἴρηται. (20) ἐν δὲ τῷ πλευρῷ γίνεται μὲν φύματα καὶ ἀπὸ φλέγματος καὶ ἀπὸ χολῆς κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῷ πλεύμονι. γίνεται δὲ καὶ ἀπὸ τῶν πόνων, ὁκόταν τι τῶν φλεβίων σπασθὲν ῥαγῇ, μὴ ῥαγῇ δὲ παντελῶς, ἀλλὰ σπάδων ἐν αὐτῷ γένηται. ἢν μὲν οὖν ῥαγῇ, παραυτίκα τὸ αἷμα τὸ ἐκχυθὲν ἐκ τοῦ φλεβίου σήπεταί τε καὶ ἐκπύει. εἰ δὲ σπάδων ἐν τῷ φλεβίῳ γένηται, τοῦτο κατ' ὀρχὰς μὲν ὀδύνην τε παρέχει καὶ σφύζει. προϊόντος δὲ τοῦ χρόνου διαδιδοῖ ἡ φλὲψ τοῦ αἵματος ἐς τὴν σάρκα καὶ τοῦτο σηπόμενον ἐν τῇ σαρκὶ πῦος γίνεται. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἡ σὰρξ ἢν μὲν μᾶλλον πονέσῃ, πλέον τε τοῦ αἵματος ἕλκει ἐς ἑωυτὴν ἐκ τῶν ἐγγυτάτω φλεβῶν καὶ παραχρῆμα ἐκπύει. ἢν δὲ ἧσσον πονέσῃ, σχολαίτερον τε καὶ ἕλκει καὶ ἐκπύει. ἐνίοισι δὲ ὁκόταν ἀσθενέα γένηται τὰ σπάσματα ἐν τῇσι σαρξὶν ἢ ἐν τῇσι φλεψὶν, οὐκ ἐκπυίσκεται, ἀλλὰ γίνεται ὀλγήματα πολυχρόνια καὶ καλέουσι ῥήγματα, καὶ ὁκόσα μὲν ἐν τῇ σαρκὶ γίνεται ὧδε γίνεται. ὁκό-

ab his quae in priore dicta ſunt perimitur. In latere autem tubercula quidem oriuntur tum a pituita tum a bile, non aliter quam in pulmone. Ex laboribus quoque etiam oriuntur, cum vena aliqua divulſa rupta fuerit, neque tamen penitus rupta fuerit, ſed ita ut in ipſa convulſio facta ſit. Si quidem igitur rupta fuerit, confeſtim ſanguis ex vena effuſus putreſcit et in pus vertitur. Quod ſi convulſio in vena facta ſit, haec quidem per exordia dolorem excitat et pulſat, progreſſu vero temporis ſanguinem ad carnem transmittit, qui in carne putreſcens in pus vertitur. Ad eandem vero rationem etiam caro, ſi quidem plus laborarit, plurimum ad ſe ſanguinem ex maxime vicinis venis trahit et confeſtim in pus vertit. Si vero minus laborarit, et tardius trahit, et pus efficit. Quibusdam autem cum imbecilla in carnibus ac venis convulſa facta fuerint, non ſuppurant, ſed diuturni fiunt dolores et ruptiones vocantur. Et quae quidem in carne fiunt, ad hunc modum fiunt. Cum caro aut

Ed. Chart. VII. [541. 542.] Foël. I. 454. 455. Ed. Lind. II. (20. 21.)
ταν ἡ σὰρξ πονέσῃ τι ἢ σπασθεῖσα ἢ πληγεῖσα ἢ ἄλλο τι παθοῦσα, γίνεται, ὥσπερ προεῖπον, πελιδνὴ, οὐκ εἰλικρινεῖ αἵματι, ἀλλὰ λεπτῷ τε καὶ ὑδαρεῖ καὶ τούτῳ ὀλίγῳ. ὅταν δὲ ὑπερξηρανθῇ μᾶλλον τοῦ εἰωθότος, διαθερμαίνεταί τε καὶ ὀδύνην παρέχει καὶ ἕλκει ἐς ἑωυτὴν ἀπὸ τῶν φλεβίων καὶ σαρκῶν τῶν πλησίον τὸ ὑγρόν, καὶ ὁκόταν ὑπερυγρανθῇ καὶ τοῦτο αὐτὸ τὸ ὑγρὸν ὑπερθερμανθῇ ὑπ' αὐτῆς τῆς σαρκὸς, σκίδναται ἀνὰ τὸ σῶμα πᾶν, οἷόν περ εἰρύσθη, καὶ μᾶλλον δή τι σκίδναται ἐς τὰς φλέβας ἢ ἐς τὰς σάρκας. ἕλκουσι γὰρ αἱ φλέβες μᾶλλον τῶν σαρ(21)κῶν. ἕλκουσι δὲ καὶ αἱ σάρκες. [542] || ὁκόταν δὲ ἐς πολλὸν ὑγρὸν τὸ ἐν τῷ σώματι ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς ἑλκυσθῇ, ἄδηλον γίνεται καὶ ἀνώδυνον, καὶ ἀντὶ νενοσηκότος γίνεται ὑγιὲς τῷ χρόνῳ. ἢν δὲ διαθερμανθῇ τε μᾶλλον ἡ σὰρξ καὶ εἰρύσῃ πλέον τὸ ὑγρὸν, ὀδύνην παρέχει, καὶ ὅπῃ ἂν τοῦ σώματος ἀπ' αὐτῆς ὁρμήσῃ καὶ καταστηρίξῃ, ὀδύνην παρέχει ὀξείην, καὶ δοκέουσιν ἔνιοι αὐτοῖσι τὸ ῥῆγμα μεθιστάναι. τὸ δὲ οὐκ ἀνυστόν. ἐγγυτάτω δὲ ἕλκεός ἐστιν ὁκόσα τοιαῦτα καὶ

divulsa aut ex plaga aut aliquo modo affecta dolorem aliquem habuerit, livida, velut antea dixi, evadit non sincero sanguine, sed tenui et aquoso eoque pauco. Ubi vero plus solito reliccata fuerit, tum incalescit, tum dolorem exhibet, et ad se ex venis et carnibus propinquis humiditatem trahit, ac ubi supra modum humectata fuerit, eaque humiditas a carne admodum incaluerit, per totum corpus qualis attracta est dispergitur. Et magis sane in venas quam in carnes spargitur, cum hae magis quam carnes trahant, quamquam etiam carnes trahunt. Cum vero ad copiosam corporis humiditatem pauca a carne attracta fuerit, obscura et doloris expers evadit et pro morbosa temporis tractu sanescit. Quod si caro tum magis incaluerit tum copiosam humiditatem traxerit, dolorem exhibet et ad quamcunque corporis partem ab ipsa cum impetu delata fuerit ac incubuerit, dolorem gravem excitat et quibusdam videtur ruptum transmutatum esse, quod tamen fieri non potest. Sed quae sunt ejusmodi et alia prope ad ulcus accedunt. Humiditas au-

Ed. Chart. VII. [542.] Foës. I. 455. Ed. Lind. II. (21. 22.)

ἄλλα. τὸ ἀπὸ τῆς σαρκὸς ὑγρὸν ἀΐσσει διὰ τῶν φλεβίων. ὅταν δὲ διαθερμανθῇ τε καὶ παχυνθῇ καὶ γένηται πλέον, καὶ ὀδύνην παρέχει, ἔστ' ἂν γένηται ὅμοιον τῷ ἄλλῳ ὑγρῷ κατὰ λεπτότητα καὶ ψυχρότητα. ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι γίνεται, αὐτὸ μὲν τὸ φλέβιον ὁκόσον ἔσπασται κατὰ χώρην μένει, ὅταν δὲ σπασθῇ, σπᾶται δὲ ὑπὸ τόνου καὶ βίης γίνεται οἷον κιρσός. διαθερμαίνεται δὲ καὶ ἕλκει ἐς ἑωυτὸν νοτίδα τινὰ ὑγρήν. ἡ δὲ νοτίς ἐστιν ἀπὸ χολῆς καὶ φλέγματος, καὶ ὁκόταν μιχθῇ τό τε αἷμα καὶ τὸ ὑγρὸν τὸ ἀπὸ τῆς σαρκὸς, παχύνεται τὸ αἷμα καὶ πολλαπλασίως αὐτὸ ἑωυτοῦ ταύτῃ ᾗ ἂν ἡ φλὲψ τυγχάνῃ ἐσπασμένη καὶ νοσωδέστερον γίνεται καὶ στασιμώτερόν τι ἐπιπλέον, καὶ ὁκόταν πλέον γένηται, μετανέστη τὸ πλήρωμα, ᾗ ἂν τύχῃ, καὶ ὀδύνην παρέχει ὀξείην ὥστε ἐνίοισι δοκέειν τὸ ῥῆγμα ἑωυτοῖσι μεθιστάναι. καὶ ἢν τύχῃ ὥστε ἐς τὸν ὦμον μεθιστάναι, βάρος τε ἐν τῇ χειρὶ παρέχει καὶ (22) νάρκην καὶ νωθρίην, καὶ ἢν μὲν ἐς τὴν φλέβα σκιμφθῇ ἢ ἐς τὸν ὦμόν τε καὶ τὸν νῶτον τείνῃ, παύεται ἡ ὀδύνη παραχρῆμα ὡς τὰ πολλά. γί-

tem de carne per venas prorumpit, cumque incaluerit et craſſior copioſiorque evaſerit, dolorem exhibet, donec reliquo humori tenuitate et frigiditate ſimilis extiterit. Quod autem attinet ad ea quae in venis fiunt, ipſa quidem vena in quantum convellitur loco manet, cum vero convulſa fuerit, quod contentione et vi accidit, ſimilis fit varici. Incaleſcit autem et ad ſe vaporem quendam humidum attrahit, qui ex bile et pituita provenit, cumque ſanguis et humiditas de carne permixta fuerint, incraſſeſcit ſanguis ipſeque multis modis qua parte venam convelli contingit, ſe ipſo morboſior et longe ſtabilior evadit, cumque copioſior extiterit, plenitudo quolibet transfertur doloremque gravem adfert, ita ut quibusdam ruptum loco migraſſe videatur. Quod ſi forte ad humerum tranſierit, gravitatem in manu et ſtuporem ac torporem inducit. Et ſi in venam incubuerit aut ad humerum et dorſum tendat, confeſtim plerumque dolor ſedatur. Fiunt etiam convulſiones ex laboribus, ex caſibus, ex plaga et ſi quis onus ma-

Ed. Chart. VII. [542.] Foës. I. 455. Ed. Lind. II. (22.)

γεται δὲ σπάσματα καὶ ἀπὸ πόνων καὶ πτωμάτων καὶ ἀπὸ πληγῆς καὶ ἢν τις ὄχθος μέζον αἴρηται καὶ ἀπὸ δρόμων καὶ πάλης καὶ τῶν τοιούτων πάντων. ὁκόσοι δὲ ἀπὸ τρωμάτων ἔμπυοι γίνονται ἢ ὑπὸ δόρατος ἢ ἐγχειριδίου ἢ τοξεύματος ἔσω τρωθῶσι, τέως μὲν ἢν ἔχῃ τὸ ἕλκος ἔξω ἀναπνοὴν ἀνὰ τὸ ἀρχαῖον τρῶμα, ταύτῃ τε τὸ ψυχρὸν ἐπάγεται ἐφ' ἑωυτὸ καὶ τὸ θερμὸν ἀφ' ἑωυτοῦ ταύτῃ ἀφίησι καὶ ἀποκαθαίρεται εὐκόλως τὸ πῦον καὶ δι' ἣν τι ἄλλο. καὶ ἢν μὲν ὑγιανθῇ τό τε εἴσω καὶ τὸ ἔξω ὁμοῦ, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ τὸ μὲν ἔξω ὑγιανθῇ, τὸ δὲ ἔσω μὴ ὑγιανθῇ, ἔμπυος γίνεται, καὶ ἢν ὑγιανθῇ μὲν ὁμοῦ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ἡ δὲ οὐλὴ ἔσω ἀσθενὴς γένηται καὶ τρηχείη καὶ πελιδνή, ἀνελκοῦται ἐνίοτε καὶ ὧδε ἔμπυος γίνεται. ἀνελκοῦται δὲ καὶ ἤν τι πονέσῃ πλέον καὶ ἢν λεπτυνθῇ καὶ ἢν φλέγμα ἢ χολὴ πρὸς τῇ οὐλῇ προσπαγῇ, καὶ ἢν ἰούσῳ ἑτέρῃ ληφθεὶς λεπτυνθῇ. ὅταν δὲ γένηται ἕλκος, ἢν τε οὕτως ἢν τε προσυμφυῇ τὸ ἔξω τοῦ ἔσω, ὀδύνην τε παρέχει ὀξείην καὶ βῆχα καὶ πυρετόν, καὶ τήν τε ψύξιν ἐπάγεται αὐτὸ ἑωυτῷ τὸ ἕλκος διὰ τὸ πλέον τε θερμότερον εἶναι, καὶ αὐτὸ

jus tollat et ex curſibus ac lucta et omnibus id genus. Qui autem ex vulneribus purulenti fiunt aut haſta aut pugione aut jaculo intro vulnus acceperint, quamdiu quidem ulcus per antiquum vulnus foris aërem attraxerit, ea parte frigidum ad ſe inducit et calidum a ſe emittit et pus facile aut ſane ſi quid aliud expurgatur. Et ſi quidem tum interna parte, tum externa ſimul ſaneſcat, penitus ſanus evadit. Sin autem externa quidem parte ſaneſcat, interna vero minime, purulentus fit. At ſi ſimul quidem tum interna tum externa parte ſeneſcat, cicatrix autem intus debilis, aſpera et livida exiſtat, quandoque refricatur, eoque modo purulentus evadit. Iterum vero etiam exulceratur, ſi quid plus juſto laborarit et extenuatus fuerit, pituitaque et bilis ad cicatricem affigatur et ſi morbo alio detentus extenuatus fuerit. Cum autem ulcus extiterit aut hoc modo, vel ſi pars externa prius quam interna coaleſcat, dolorem vehementem et tuſſim et febrem affert, ipſumque ulcus cum amplius calidum exiſtat,

Ed. Chart. VII. [542. 543.] Foël. I. 455. 456. Ed. Lind. II. (22. 23.)
ἀφ' ἑωυτοῦ ἀποπνεῖ τὸ θερ[543]μὸν καὶ τὸ πῦον ἀποκαθαίρεται καὶ προσιητρεύεταί τε διὰ πλείονος καὶ σχολαιότερον ὑγιαίνεται. ἐνίοτε δὲ οὐδ' ὑγιαί(23)νεται. ἡ γὰρ σὰρξ τό τε ἕλκος ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ σώματι ἕψεται καὶ ὑπερυγραίνεται, ὥστε μὴ δύνασθαι μήτε ξηρανθῆναι μήτε σαρκοφυῆσαι μήτε ὑγιανθῆναι. ἀλλ' ὁκόταν ὁ χρόνος προΐῃ, τελευτῶ πάσχων τὰ τοιαῦτα, ἃ καὶ ἐν τῇ πρόσθεν εἴρηται. ἢν δὲ τύχῃ ὥστε τρωθῆναί τι τῶν φλεβίων τῶν παχυτέρων καὶ ἔσω ῥυῇ τὸ αἷμα καὶ σαπῇ, ἔμπυον γίνεται. || καὶ ἢν μὲν τοῦτο τὸ πῦον πτυσθῇ πᾶν καὶ ἡ φλὲψ ἡ τετρωμένη στεγνωθῇ καὶ τὸ ἕλκος ὑγιανθῇ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ μὴ δύνηται μήτε τὸ ἕλκος συμφυῆναι τὸ ἔνδον μήτε ἡ φλὲψ στεγνωθῇ ἡ τετρωμένη, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε ἀναδιδοῖ αἷμα, καὶ ἢν παραυτίκα ἐμέηται καὶ πτύηται ἢ καὶ σήπηται καὶ πῦον πτύηται, διαφθείρεται ὡς τὰ πολλά, ἢ παραυτίκα ἐμέων αἷμα ἢ ὑστέρῳ χρόνῳ ὑφ' ὧν καὶ ἐν τῇ πρόσθεν εἴρηται διαφθειρόμενος. πολλάκις δὲ ὅσοι τι τῶν φλεβίων ἔσω τιτρώσκονται ὑπὸ

sibi ipsi refrigerationem inducit et a se caliditatem exhalat, pusque expurgatur et longiore tempore curatur, tardiusque sanescit, quandoque vero minime sanescit. Caro etenim ulcusque ab ardore corporis coquitur et supra modum humectatur, ut neque reficcari neque carnem producere neque sanescere queat. Verum procedente tempore, qui hoc modo, velut etiam antea dictum est, afficitur perit. Quod si forte fortuna contigerit ut ex crassioribus venis aliqua vulneretur sanguisque intro fluat et putrescat, in pus vertitur. Ac siquidem totum hoc pus expuatur et vulnerata vena constringatur, ulcusque intus et foris sanescat, prorsus convalescit. Quod si neque ulcus intus coalescere possit, neque vena consolidetur, sed subinde sanguinem effundat et si confestim vomitione aut sputo refundatur, aut etiam putrescat et pus expuatur, plerumque perit, aut confestim sanguinem vomitione reiiciens, vel postea ab iisdem causis quae prius dictae sunt consumptus. At saepe quibus vena aliqua ex vul-

Ed. Chart. VII. [543.] Foël. I. 456. Ed. Lind. II. (23. 24.)
τρωμάτων ἢ ὑπό τινων πόνων ἢ γυμνασίων ἢ ὑπ' ἄλλου του, ὁκόταν συμφυῇ καὶ δοκέῃ ὑγιὲς εἶναι τὸ φλέβιον, ἀναῤῥήγνυται ἑτέρῳ χρόνῳ. ἀναῤῥήγνυται δὲ ὑπὸ τῶν αὐτῶν ὑφ' ὧν περ καὶ πρόσθεν πάσχειν. ὁκόταν δὲ ἀναῤῥαγῇ, αἱμορῥοεῖ, καὶ παραυτίκα ἀπόλλυνται ἐμέοντες αἷμα πολλόν τε καὶ πολλάκις. ἢ ἄλλοτε μέν τε καὶ ἄλλοτε αἷμα ἐμέουσι πρόσφατον. πῦον δὲ πτύοντες ἀνὰ πάσην ἡμέρην πολλόν τε καὶ παχὺ, διεφθάρησαν τρόπῳ τοιούτῳ ἢ παραπλησίῳ, ὡς καὶ ἐν τῇσιν ἄλλῃσι νούσοισιν εἴρηται. (24) τοῖσι δὲ ταῦτα τὰ νουσήματα ἔχουσι καὶ ὅσα τοιαῦτα διαφέρει ἐς τὸ εὐπετεστέρως τε ἀπαλλάσσειν καὶ δυσπετεστέρως. ἀνήρ τε γὰρ γυναικὸς, νεώτερος γεραιτέρου καὶ γυνὴ νεωτέρη παλαιοτέρης, καὶ πρὸς τούτοισιν ἥ τε ὥρη τοῦ ἔτεος, ἐν ᾗ ἂν νοσέωσι, καὶ ἢν ἐξ ἑτέρης νούσου νουσήσωσιν, ἢ μὴ ἐξ ἑτέρης. διαφέρει δὲ καὶ πάθημά τε παθήματος μέζον τε καὶ ἔλασσον, καὶ χρὼς χρωτὸς, καὶ θεραπείη θεραπείης. τούτων δὲ οὕτω διαφερόντων ἀνάγκη διαφέρειν καὶ τὸν χρόνον, καὶ τοῖσι μὲν πλέω γίνεσθαι, τοῖσι δὲ ἐλάσσω δὲ καὶ ἀπόλλυσθαι ἢ μὴ,

neribus, laboribus aut exercitationibus aut alia re quavis ſauciatur, cum coaluerit aut ſana eſſe videbitur, iterum alio tempore vena perrumpitur, idque ex iisdem cauſis a quibus prius affectus erat. Qua iterum rupta ſanguinem effundunt, confeſtimque copioſo et crebro ſanguine vomitione reddito pereunt aut ſubinde recentem ſanguinem vomunt, multum autem et craſſum pus per totum diem ſpuentes, eodem aut conſimili modo conſumuntur, velut in aliis morbis dictum eſt. At vero in his qui eiusmodi aut ſimilibus morbis detinentur, multum ad faciliorem aut difficiliorem a morbo liberationem intereſt virne ſit an mulier, juvenis an ſenex, et mulier juvencula an vetula. Inſuper quoque quo anni tempore et num ex alio morbo aegrotent necne. Praeſtat etiam affectus affectui, major minori, corpus corpori et curatio curationi. Quae cum ita ſe habeant, tempus etiam differre neceſſe eſt et alios quidem longiore tempore, alios vero breviore perire aut non, et aliis quidem mala per-

Ed. Chart. VII. [543. 544.] Foës. I. 456. Ed. Lind. II. (24. 25.)
καὶ τοῖσι μὲν παραμόνιμά τε εἶναι καὶ μέζω, τοῖσι δὲ ἐλάσσω τε καὶ ὀλιγοχρόνια. τοῖσι δὲ παραμένειν ἐς τὸ γῆρας τὰ νουσήματα καὶ συναποθνήσκειν, τοὺς δὲ ἀπόλλυσθαι δι' ὀλίγου ὑπ' αὐτῶν. καὶ ὁκόσοι μὲν νεώτεροι πάσχουσι τούτων ὅσα, εἴρηται ἀπὸ πόνων παθήματα γίνεσθαι πάσχουσι πλέω τε καὶ ἰσχυρότερα καὶ ἀλγέουσιν οὗτοι μᾶλλον τῶν ἄλλων, καὶ παραυτίκα ἔκδηλα αὐτοῖσιν, ὥστε ἢ πτύσαι ἢ αἷμα ἐμέσαι. τὰ δὲ καὶ γινόμενα λανθάνει αὐτοὺς ὑπὸ εὐεξίης τοῦ σώματος. οἱ δὲ γεραίτεροι πάσχουσι μὲν ὀλιγάκις, καὶ ὅταν πάθωσιν, ἀσθενέστερα πάσχουσιν, ἅτε ἀσθενέστεροι ἐόντες, καὶ ἐπανίουσι μᾶλλον καὶ ἐπιμελέονται μᾶλλον τῶν παθημάτων. γίνεται οὖν τὴν ἀρχὴν τὸ παράπαν ἧσσον τῷ γεραιτέρῳ ἢ νεωτέρῳ, καὶ ὁκόταν γένηται, τῷ μὲν γεραιτέρῳ ἀσθενέστερα γίνεται, τῷ δὲ νεωτέρῳ ἰσχυρότερα, καὶ τῷ μὲν νεωτέρῳ, ἅτε τοῦ σώματος τόνον τε ἔχοντος καὶ [541] ξηρασίην, καὶ τὴν σάρκα πυ(25)κνήν τε καὶ ἰσχυρὴν καὶ πρὸς τοῖσιν ὀστέοισι προσκαθημένην, καὶ περὶ αὐτὴν τοῦ δέρματος περιτεταμένου, ὁκόταν τι πονήσῃ πλέον τοῦ εἰωθότος μᾶλλον καὶ ἐξαίφνης, σπασμοί τε γίνονται ἰσχυροὶ καὶ ῥήγμα-

durare et majora esse, aliis vero minora et brevioris temporis, alios quoque ad senectutem usque comitari et cum illis mori, alios vero ab ipsis intra breve tempus interire. Et quibus quidem junioribus quae ex laboribus affectiones fieri dictae sunt contingunt, ii magis et vehementius afficiuntur, plusque caeteris dolent et confestim iis manifestae fiunt, ita ut sanguinem aut sputo aut vomitione reiiciant. Quaedam etiam propter locum corporis habitudinem fieri non sentiunt. Seniores vero raro quidem et debilius afficiuntur, cum debiliores existunt, iisque leviores sunt affectiones, earumque majorem curam habent. Seniori igitur haec per initia minus contingunt quam juniori, cumque fiunt, seniori quidem debiliores, juniori vero vehementiores existunt. Et majori quidem ob corporis intentas vires et siccitatem carnemque densam et validam ad ossa adhaerescentem et cutem ei undique obtentam, si quid plus solito laborarit, vehementes convulsiones magis et derepente con-

Ed. Chart. VII. [544.] Foes. I. 456. 457. Ed. Lind. II. (25.)

τα πολλά τε καὶ παντοῖα τῶν φλεβῶν καὶ τῶν σαρκῶν. καὶ τούτων τὰ μὲν παραυτίκα ἔκδηλα γίνονται, τὰ δ' ὑστέρῳ χρόνῳ ἀναφαίνεται. τοῖσι δὲ γεραιτέροισι τόνος ἰσχυρὸς οὐκ ἔνι. αἵ τε σάρκες περὶ τὰ ὀστέα περιῤῥέουσι, καὶ τὸ δέρμα περὶ τὰς σάρκας, καὶ αὐτὴ ἡ σὰρξ ἀραιή τε καὶ ἀσθενής, καὶ οὔτε τι ἂν πάθοι τοιοῦτον ὁμοίως ὡς καὶ ὁ νεώτερος, καὶ ἢν τι πάθῃ, πάσχει ἀσθενέα τε καὶ παραυτίκα οἱ ἔκδηλα γίνεται. || τοσούτῳ μὲν ἐν τῇ ἀρχῇ τῶν παθημάτων δυσχερέστερον ἀπαλλάσσουσιν οἱ νεώτεροι τῶν γεραιτέρων. ὁκόταν δὲ ἡ νοῦσος ἐμφανὴς γένηται, καὶ ἢ πῦος ἢ αἷμα πτύωσιν, ἢ ἀμφότερα, ὅσοι μὲν νεώτεροί εἰσιν, ἅτε τοῦ σώματος εὐτόνου τε ὄντος καὶ πυκνοῦ, οὐ δύνανται ἀποκαθαίρεσθαι ὁμαλῶς ἀπὸ τῶν ἑλκέων τῶν ὧν ἐν τῇ ἄνω κοιλίῃ τὸ πῦον. ὅ τε γὰρ πλεύμων οὐ κάρτα ἕλκει ἐς τὰς ἀρτηρίας πυκνότερος ἐὼν, αἵ τε ἀρτηρίαι λεπταὶ καὶ στεγναὶ οὖσαι οὐκ εἰσδέχονται τὸ πῦον, εἰ μὴ ὀλίγον τε καὶ ὀλιγάκις. ὥστε ἀνάγκη τὸ πῦος ἐν τῷ θώρακί τε καὶ ἐπὶ τῶν ἑλκέων ἀθροίζεσθαί τε καὶ παχύνεσθαι. τῷ δὲ ἀφηλικεστέρῳ ὅ τε

tingunt, multaeque et variae venarum et carnium ruptiones. Atque horum partim quidem manifesta fiunt, partim vero postea comparent. Senioribus autem valida corporis firmitas non inest, carnesque circum ossa diffluunt, cutisque carnes ambiens et ipsa rara est ac debilis et neque senior ejuscemodi aut similiter ut junior afficitur, sed levius afficitur, statimque manifestum redditur. Adeo quidem per affectionum exordia difficilius juniores quam seniores liberantur. At vero quibus morbus conspicuus redditur, quique pus aut sanguinem aut utrumque expuunt, si quidem juniores fuerint, cum nimirum firmum et densum corpus habeant, non aequaliter ab ulceribus, quae pus in superiore ventre habent, repurgari possunt. Neque enim pulmo, cum densior existat, admodum ad arterias trahit, arteriaeque tenues et angustae pus nisi paucum et raro non excipiunt, ut proinde pus in thorace et ulceribus colligi et crassescere necesse sit. Ei vero qui iam florentem aetatem exegit, pulmo

Ed. Chart. VII. [544.] Foës. I. 457. Ed. Lind. II. (25. 26.)

πλεύμων ἀραιότερος καὶ κοιλότερος καὶ αἱ ἀρτηρίαι εὐρύτεραι ὥστε μὴ ἐγχρονίζειν τὸ πῦος ἐν τῇ κοιλίῃ καὶ ἐπὶ τῶν ἑλκέων, καὶ ὅ τι ἂν ἐπιγένηται, τοῦτο ἀνάγκη πᾶν ἀνασπᾶσθαι (26) ἄνω ὑπὸ τοῦ πλεύμονος ἐς τὰς ἀρτηρίας καὶ παραχρῆμα ἐκπτύεσθαι. τῷ μὲν οὖν νεωτέρῳ, ἅτε τῶν παθημάτων ἰσχυροτέρων ἐόντων καὶ τῆς καθάρσιος οὐ γινομένης κατὰ λόγον τοῦ πτύσματος, οἵ τε πυρετοὶ ὀξύτεροι καὶ πυκνότεροι γίνονται, καὶ ὀδύναι ἐμπίπτουσιν ὀξεῖαι αὐτοῦ τε τοῦ παθήματος καὶ τοῦ ἄλλου σώματος, ἅτε τῶν φλεβίων ἐντόνων τε ἐόντων καὶ ἐναίμων. ὅταν δὲ ταῦτα διαθερμανθῇ, ὑφ' ἑωυτῶν ὀδύναι διαΐσσουσιν ἄλλοτε ἄλλῃ τοῦ σώματος καὶ οὗτοι μὲν διαφθείρονται ὡς τὰ πολλὰ δι' ὀλίγου, τοῖσι δὲ γεραιτέροισιν, ἅτε τῶν παθημάτων ἀσθενεστέρων ἐόντων καὶ τοῦ πτύσματος ἀπ' αὐτῶν καθαιρομένου. οἵ τε πυρετοὶ λεπτότεροι καὶ ὀλίγοι γίνονται, καὶ ὀδύναι ἔνεισι μὲν, ἔνεισι δὲ λεπταὶ, καὶ παντάπασι μὲν τῶν παθημάτων τῶν τοιούτων οὐκ ἀπαλλάσσονται οὐδὲ οἱ γεραίτεροι, ἀλλ' ἔχοντες αὐτὰ πουλὺν χρόνον καταφθείρονται, καὶ ἄλλοτε πῦον πτύουσιν, ἄλλοτε δὲ οὐδέτερον. τέλος δὲ συναποθνήσκει αὐτοῖ-

rarior et magis cavus eſt, arteriaeque ampliores, adeo ut pus in ventre et ulceribus diutius non immoretur, et quicquid inſuper acciderit, id totum a pulmone in arterias ſurſum attrahi, conſeſtimque expui neceſſe ſit. In juniore igitur cum affectiones ſint vehementiores, et purgatio pro ſputi ratione non procedit, febres acutiores et crebriores oriuntur, doloreſque graves tum ipſius affectus tum reliqui corporis incidunt, cum nimirum venae contentae ſint et ſanguine refertae. Ubi vero hae incaluerint, ex ipſis dolores alias ad aliam corporis partem pervadunt, et hi quidem plerumque intra breve tempus pereunt. Senioribus vero cum debiliores ſint affectiones, et ab his ſputum repurgetur, tum febres leniores paucaeque oriuntur, tum dolores adſunt quidem, ſed exiles. Et ab hujusmodi quidem affectionibus ne ſenes quidem prorſus liberantur, ſed multo tempore morbum trahentes conſumuntur, interdumque pus ſpuunt, interdum ſanguinem, quandoque vero neutrum, tandem

Ed. Chart. VII. [544. 545.] Foël. I. 457. Ed. Lind. II. (26, 27.)
σιν. ἀποθνήσκουσι δὲ οὕτως, ὅταν τι αὐτοὺς νόσημα τούτῳ
ᾧ ἂν ἔχωσι παραπλήσιον καταλάβῃ, ὥστε ἔχειν καὶ τοῦτο
καὶ ὃ ἂν ἔχωσι νούσημα ἰσχυρότερον γίγνεται καὶ ὡς τὰ
πολλὰ διαφθείρονται. ταῦτα δέ ἐστι τὰ μάλιστα ἐξεργαζό-
μενα τῶν νουσημάτων, πλευρῖτίς τε καὶ περιπλευμονίη. [545]
πυρετὸς δὲ ἀπὸ τῶνδε γίνεται. ὁκόταν χολὴ ἢ φλέγμα θερ-
μαιθῇ, θερμαίνεται τὸ ἄλλο πᾶν σῶμα ἀπὸ τούτων, καὶ
καλέεται τοῦτο πυρετός. θερμαίνεται δὲ ἡ χολὴ καὶ τὸ φλέ-
γμα ἔνδοθεν μὲν ἀπὸ σιτίων καὶ ποτῶν, ἀφ' ὧν καὶ τρέφεται
καὶ αὔξεται, ἔξω(27)θεν δὲ ἀπὸ πόνων καὶ τραυμάτων, καὶ ὑπὸ
τοῦ θερμοῦ ὑπερθερμαίνοντος καὶ ὑπὸ τοῦ ψυχροῦ ὑπερψύχον-
τος. θερμαίνεται δὲ καὶ ἀπὸ ὄψιος καὶ ἀκοῆς. ἐλάχιστα δὲ
ἀπὸ τούτων. τὸ δὲ ῥῖγος ἐν τῇσι νούσοισι γίνεται μὲν καὶ
ἀπὸ τῶν ἔξωθεν ἀνέμων καὶ ὕδατος καὶ αἰθρίης καὶ ἑτέρων
τοιούτων. γίνεται δὲ καὶ ἀπὸ τῶν ἐσιόντων σιτίων καὶ ποτῶν.
μάλιστα δὲ καὶ ἰσχυρότερον γίνεται, ὅταν χολὴ καὶ φλέγμα
συμμιχθῇ ἐπὶ τῷ αὐτῷ αἵματι, ἢ τὸ ἕτερον ἢ ἀμφότερα.
μᾶλλον δὲ ἢν τὸ φλέγμα μοῦνον ξυμμιχθῇ. ψυχρότατον γὰρ
φύσει τὸ φλέγμα, θερμότατον δὲ τὸ αἷμα. ψυχρότερον

etiam una cum his moriuntur. Sic autem moriuntur, cum aliquis morbus huic quem habent ſimilis eos prehenderit, ita ut hoc detineantur et is quem prius habuerint vehementior exiſtat, et ut plurimum conſumpti pereunt. At morbi qui haec potiſſimum efficiunt ſunt morbus lateralis et pulmonum inflammatio. Ex his autem febris gignitur. Cum bilis aut pituita incaluerit, ab his reliquum totum corpus caleſcit et hoc appellatur febris. Caleſcit autem bilis et pituita intra quidem a cibis et potibus, ex quibus et nutritur et increſcit, extra vero a laboribus et vulneribus et a calido ſupra modum calefaciente et a frigido plus aequo refrigerante. Incaleſcit quoque etiam a viſu et auditu, ab his autem minimum. At vero rigor in morbis fit quidem etiam ab externis, ventis, aqua et aëre ſereno et aliis id genus. Fit quoque et ab ingeſtis cibariis et potibus. Praecipue autem vehementior fit, cum bilis et pituita, aut ex his alterum, aut utrumque ſanguini permixtum fuerit. Magis tamen ſi ſola pituita per-

Ed. Chart. VII. [545.] Foës. I. 457. 458. Ed. Lind. II. (27. 28.)
δέ τι καὶ ἡ χολὴ τοῦ αἵματος. ὅταν οὖν ταῦτα συμμιχθῇ ἢ ἀμφότερα ἢ τὸ ἕτερον ἐς τὸ αἷμα, πήγνυσι τὸ αἷμα. οὐ παντάπασι δὲ, οὐδὲ γὰρ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος, εἰ τὸ αἷμα πυκνότερόν τε καὶ ψυχρότερον γένοιτο πολλαπλασίως αὐτὸ ἑωϋτοῦ. ψυχομένου οὖν τοῦ αἵματος ἀνάγκη ψύχεσθαι καὶ τὸ ἄλλο σῶμα πᾶν, || καὶ καλέεται ῥῖγος ὁκόταν τοῦτο τὸ τοιοῦτον γένηται. κἢν μὲν ἰσχυρὸν γένηται ῥῖγος, ἰσχυρότερός ἐστι καὶ ὁ τρόμος. αἱ γὰρ φλέβες συσπώμεναι καὶ συνιόντος καὶ πηγνυμένου τοῦ αἵματος συσπῶσί τε τὸ σῶμα καὶ τρέμειν ποιέουσιν. ἢν δέ τι ἧσσον ἡ σύνοδος τοῦ αἵματος γένηται, τοῦτο δὲ καλέεται ῥῖγος. φρίκη δὲ λέγεται τὸ ἀσθενέστατον. ὅτι δὲ μετὰ τὸ ῥῖγος ἀνάγκη πυρετὸν ἐπιλαβεῖν ἢ πλέω ἢ ἐλάσσω, ὧδε ἔχει. ὁκόταν τὸ αἷμα διαθερμαίνεταί τε καὶ ἀποβίηται καὶ ἀπίῃ πάλιν ἐς τὴν ἑωϋτοῦ φύσιν, συν(28)διαθερμαίνεται καὶ τοῦ φλέγματος καὶ τῆς χολῆς τὸ ἐν τῷ αἵματι συμμεμιγμένον, καὶ γίνεται τὸ αἷμα θερμότερον αὐτὸ ἑωϋτοῦ πολλαπλασίως. τούτων οὖν

mixta fuerit. Pituita enim natura frigidiſſima eſt, ſanguis vero calidiſſimus, bilis autem aliquanto ſanguine frigidior. Ubi igitur haec una cum ſanguine permixta fuerit, aut utraque, aut eorum alterum, ſanguinem condenſant, non penitus tamen. Neque enim vivere homo poſſit, ſi ſanguis multo denſior et frigidior ſeipſo evaderet. Ubi igitur ſanguis refrigeratur, totum corpus refrigerari neceſſe eſt, idque cum evenit, rigor appellatur, et ſi quidem vehemens rigor extiterit, vehementior etiam eſt tremor. Sanguine enim in ſe coëunte et condenſato, dum venae contrahuntur, corpus contrahunt et tremorem excitant. Quod ſi minus in ſe coëat ſanguis, hoc modo rigor appellatur, horror autem dicitur quod eſt debiliſſimum. At vero quod poſt rigorem neceſſario major aut minor febris prehendit, ſic ſe res habet. Cum ſanguis per vim quandam incaluerit, rurſusque in ſuam naturam abierit, quod pituitae et bilis ſanguini permixtum eſt, ſimul incaleſcit, ſanguisque ſe ipſo multo calidior evadit. His igitur percaleſactis poſt rigorem ad ſanguinis calidita-

Ed. Chart. VII. [545. 546.] Foeſ. I. 458. Ed. Lind. II. (28.)
διατεθερμασμένων ἀνάγκη πυρετὸν ἐπιγενέσθαι ὑπὸ τῆς θερμασίης τοῦ αἵματος μετὰ ῥῖγος. ἱδρὼς δὲ γίνεται διὰ τόδε. ὁκόσαι ἂν νοῦσοι κρίνωνται ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων καὶ τὸ πῦρ μεθίει, ἐκτήκεται ἀπὸ τοῦ ἐν τῷ αἵματι φλέγματος καὶ τῆς χολῆς τὸ λεπτότατον καὶ ἀποκρίνεται, καὶ χωρέει τὸ μὲν ἔξω τοῦ σώματος, τὸ δὲ ἔνδον, καὶ αὐτοῦ ἐν τῷ σώματι ὑπολείπεται. τὸ δὲ ὑπὸ θερμασίης λεπτυνόμενον ἀτμὸς γίνεται, καὶ σὺν τῷ πνεύματι μισγόμενον ἔξω χωρέει. ἔστι μὲν ταῦτα τοιαῦτα, καὶ ἀπὸ τούτων ἀπογεννᾶται ὁ ἱδρώς. διότι δὲ ὁτὲ μὲν θερμὸς, ὁτὲ δὲ ψυχρός ἐστιν οὕτως. θερμὸς μὲν ἀπὸ διατεθερμασμένου τε τοῦ κακοῦ καὶ ἐκκεκαυμένου καὶ λελεπτυσμένου καὶ ἀσθενέος καὶ οὐ λίην πολλῷ ἀποκρίνεται καὶ ἀνάγκη θερμότερον αὐτὸν ἐκκρίνεσθαι ἐκ τοῦ σώματος. ὁ δὲ ψυχρὸς ἀπὸ πλέονος τοῦ κακοῦ ἀποκρινόμενος, τοῦ τε ὑπολειπομένου καὶ ἔτι ἰσχύοντος καὶ οὔπω σεσηπότος οὐδὲ λελεπτυσμένου [546] οὐδὲ ἐκκεκαυμένου, ψυχρότερος καὶ παχύτερος καὶ κακωδέστερος ἐκχωρέει. δῆλον δὲ τοῦτο ἐν τῷδε. οἱ ψυχρῷ ἱδρῶτι ἱδροῦντες μακρὰς νούσους νοσέουσιν ὡς ἐπιτοπολύ, ἐπισχύοντος τοῦ κακοῦ τοῦ

tem febrem ſupervenire neceſſe eſt. Sudor vero iſtam ob cauſam ſuboritur. Morbi qui praecipuis ad judicationem diebus, judicantur, et ignis dimittit, in his quicquid eſt in ſanguine pituitae et bilis tenuiſſimum eliquatur et ſecernitur, partimque foras prodit, partim vero intus in corpore remanet, quod autem a calore attenuatum eſt in vaporem vertitur, et cum ſpiritu mixtum foras prodit. Haec igitur ſunt ejusmodi et ex his ſudor oritur. Cur autem interdum quidem calidus, interdum vero frigidus ſit, hac ratione contingit. Calidus certe ex percalefacto malo et exuſto attenuatoque ac debili neque admodum multo ſecernitur, eumque ex corpore calidiorem excerni neceſſe eſt; frigidus autem ex malo copioſior ſecretus, ex eoque quod remanet adhuc invaleſcente necdum putrefacto neque attenuato neque exuſto, frigidior, craſſior et graveolentior prodit. Quod inde manifeſtum fit. Qui frigidum ſudorem emittunt plerumque longis morbis conflictantur, invaleſcente

Ed. Chart. VII. [546.] Foël. I. 458. Ed. Lind. II. (28. 29.)
ἐν τῷ σώματι ὑπολειπομένου. οἱ δὲ θερμῷ ἱδρῶτι ἱδροῦντες ταχύτερον ἀπαλλάσσονται τῶν νουσημάτων. πλευρῖτις δὲ καὶ περιπλευμονίη γίνονται ὧδε. ἡ μὲν πλευρῖτις, (29) ὁκόταν πόσιες ἁλέες τε καὶ ἰσχυραὶ κάρτα λάβωσι. διαθερμαίνεται γὰρ τὸ σῶμα ἅπαν ὑπὸ τοῦ οἴνου καὶ ὑγραίνεται. μάλιστα δὲ ἥ τε χολὴ καὶ τὸ φλέγμα διαθερμαίνεταί τε καὶ ὑγραίνεται. καὶ δὴ τούτων κεκινημένων τε καὶ ὑγρασμένων συγκυρήσει ὥστε ῥιγῶσαι μεθύοντα ἤν τε νήφοντα, ἅτε ἐὸν τὸ πλευρὸν ψιλὸν φύσει σαρκὸς, μάλιστα τοῦ σώματος καὶ οὐκ ἐόντος αὐτῷ ἔσωθεν τοῦ ἀντιστηρίζοντος οὐδενὸς, ἀλλὰ κοιλίης αἰσθάνεται μάλιστα τοῦ ῥίγεος. καὶ ὁκόταν ῥιγώσῃ τε καὶ ψυχθῇ, συνέλκεταί τε καὶ συσπᾶται ἥ τε σὰρξ ἡ ἐπὶ τῷ πλευρῷ καὶ τὰ φλέβια, καὶ ὅσον τε ἐν αὐτῇ τῇ σαρκὶ ἔτι χολῆς καὶ φλέγματος ἢ ἐν τοῖσιν ἐν αὐτῇ φλεβίοισι, τοῦτο πολλὸν ἢ πῶν ἀποκρίνεται ἔσω συνωθεύμενον πρὸς τὸ θερμὸν, πυκνουμένης τῆς σαρκὸς ἔξωθεν, καὶ προσπήγνυται πρὸς τῷ πλευρῷ καὶ ὀδύνην παρέχει ἰσχυρὴν καὶ διαθερμαίνεται, καὶ διὰ τῆς θερμότητος ἄγει ἐφ' ἑωϋτὸ καὶ

malo quod in corpore remanet. Qui vero calidum ſudorem emittunt, celerius morbis defunguntur. At vero morbus lateralis et pulmonum inflammatio ad hunc modum oriuntur. Lateris quidem morbus, qui pleuritis dicitur, cum cumulatae et validae potiones admodum occuparint. Ex vino enim incaleſcit totum corpus et humectatur, potiſſimum vero bilis et pituita. Quibus ſane agitatis et humectatis temulentum ſive ſobrium rigore corripi continget, praeſertim cum latus ex reliquo corpore praecipue natura carne nudatum ſit, neque quicquam intus habeat quod renitatur, praeter ventriculum: ideoque maxime rigorem ſentit. Cumque rigorem et perfrigerationem ſenſerit, tum caro quae eſt in latere tum venulae contrahuntur et convelluntur, et quicquid in ipſa carne aut in ejus venulis bilis et pituitae ineſt, id magna ex parte aut totum intro ad caliditatem propulſum carne extra condenſata ſecernitur, et ad latus impingitur, doloremque vehementem excitat et incaleſcit, propterque calorem ad ſe ex proximis venis et

Ed. Chart. VII. [546.] Foës. I. 458. 459. Ed. Lind. II. (29. 30.) ἀπὸ τῶν πλησίον φλεβῶν καὶ σαρκῶν φλέγμα τε καὶ χολήν. γίνεται μὲν οὖν τούτῳ τῷ τρόπῳ. ὁκόταν δὲ τὰ πρὸς τὸ πλευρὸν προσπαγέντα σαπῇ καὶ πτυσθῇ, ὑγιέες γίνονται. ἢν δὲ τό τε ἀρχαῖον πολλὸν προσπαγῇ πρὸς τὸ πλευρὸν καὶ ἄλλο προσεπιγένηται, αὐτίκα ἀπόλλυνται, || οὐ δυνάμενοι ἀναπτύσαι ὑπὸ πλήθους τοῦ σιάλου, ἢ ἔμπυοι γίνονται. καὶ οἱ μὲν ἀπόλλυνται, οἱ δὲ διαφεύγουσι. διαδηλοῖ δὲ ταῦτα ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἢ ἐννέα ἢ ἕνδεκα ἢ τεσσαρεσκαίδεκα, ὀδύνην τε παρέχει ἐς τὸν ὦμον καὶ ἐς τὴν κληῖδα καὶ ἐς τὴν μασχάλην διὰ τόδε. ἡ φλὲψ (30) ἡ σπληνῖτις καλεομένη τείνει ἀπὸ τοῦ σπληνὸς ἐς τὸ πλευρὸν, ἐκ δὲ τοῦ πλευροῦ ἐς τὸν ὦμον καὶ ἐς τὴν χεῖρα τὴν ὁριστερήν. ἡ δὲ ἡπατῖτις εἰς τὰ δεξιὰ ὡσαύτως, καὶ ὁκόταν ταύτης τὸ ἐπὶ τοῦ πλευροῦ συνειρυσθῇ ὑπὸ τοῦ ῥίγεος καὶ φρίξῃ τὸ αἷμα τὸ ἐν αὐτῇ, ἔς τε τὴν μασχάλην καὶ τὴν κληῖδα καὶ τὸν ὦμον συνέρχεταί τε καὶ σπᾷ καὶ ὀδύνην παρέχει. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὰ περὶ τὸν νῶτον χωρία διαθερμαίνεται ὑπὸ τοῦ προσπεπηγότος ὑγροῦ πρὸς τῷ πλευρῷ φλέ-

carnibus pituitam et bilem trahit. Id igitur hoc modo contingit. Cum vero quae ad latus impacta ſunt putruerint et per ſputum reddita fuerint, convaleſcunt. Quod ſi et antiquum multum ad latus impingatur et aliud inſuper accedat, ſtatim moriuntur, cum ſalivae copiam expuere nequeant, aut purulenti evadunt, et alii quidem intereunt, alii vero evadunt. Haec autem ſeptem aut novem aut undecim aut quatuordecim diebus de ſe ſignificationem exhibent, doloremque ad humerum et jugulum hanc ob cauſam excitant. Vena quae ſplenitis nominatur a liene ad latus fertur, ex latere vero ad humerum et ad manum ſiniſtram. Jecoraria autem in dextram partem ad eundem modum. Cumque ejus pars quae in latere eſt a rigore contracta fuerit ſanguisque qui in ea continetur inhorruerit, alam et jugulum humerumque petit et convellit et dolore afficit. Ad eandem quoque rationem loca quae circa dorſum ſunt incaleſcunt, ab impacto lateri pituitae et bilis humore, et lateris locis

Ed. Chart. VII. [546. 547.] Foël. I. 459. Ed. Lind. II. (30. 31.)

γματός τε καὶ χολῆς. παρέχει δὲ ὀδύνην ἐνίοτε καὶ τοῖσι τοῦ πλευροῦ κάτωθεν χωρίοισι. πολλάκις δὲ ἢν ἐς τὰ κάτω τράπηται, ὀδύνην διαδιδοῖ ἐς τὴν κύστιν διὰ τῶν φλεβίων καὶ οὐρέει πολλόν τε καὶ χολώδες. νομίζουσι δὲ ταύτης τῆς νούσου τὸ ῥῖγος αἴτιον εἶναι καὶ ἀρχήν. ἡ δὲ περιπλευμονίη γίνεται, ὁκόταν κεκινημένου καὶ ὑγραινομένου τοῦ φλέγματος καὶ τῆς χολῆς ἕλκύσῃ ὁ πλεύμων ὑπὸ θερμασίης ἐφ' ἑωϋτὸν ἀπὸ τῶν πλησίον χωρίων πρὸς τοῖσιν ὑπάρχουσιν [547] ἐν ἑωϋτῷ. διαθερμαίνει μὲν πᾶν τὸ σῶμα καὶ ὀδύνην παρέχει, μάλιστα δὲ τῷ τε νώτῳ καὶ τῇσι πλευρῇσι καὶ τοῖσιν ὤμοισι καὶ τῇ ῥάχει, ἅτε ἀπὸ τούτων ἕλκων ἐς ἑωϋτὸν τὴν ἰκμάδα τὴν πλείστην καὶ ὑπερξηραίνονται ταῦτα καὶ ὑπερθερμαίνονται. ὁκόταν δὲ εἰρύσῃ ἐς ἑωϋτὸν καὶ ἕδρην λάβῃ, ἥ τε χολὴ καὶ τὸ φλέγμα ἐς τὸν πλεύμονα σήπεται καὶ ἐμπυοῦται, καὶ ἢν μὲν ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων σαπέντα πτυσθῇ, περιγίνεται, ἢν δὲ τά τε ἐπελθόντα τὴν ἀρχὴν δέχηται καὶ προσεπιγένηται ἕτερα καὶ μήτε πτύων μήτε σή-(31)πων κρατέῃ, ὑπὸ πλήθεος τῶν ἐπιγινομένων ἀποθνή-

inferioribus quandoque dolorem exhibet et plerumque, ſi ad inferiores partes convertatur, dolorem per venulas ad veſicam transmittit, copioſaque et bilioſa urina redditur, huiusque morbi cauſam et principium rigorem eſſe exiſtimant. At vero pulmonis inflammatio fit, cum commotam et humectatam pituitam et bilem propter calorem ex vicinis locis pulmo ad ſe traxerit, ſuper ea quae jam ipſo exiſtunt. Totum quidem corpus percaleſacit, doloremque praecipue dorſo, lateribus, humeris ac ſpinae exhibet, cum nimirum ab his plurimam ad ſe humiditatem attrahat, haeque partes ſupra modum reſiccantur, nimiumque incaleſcunt. Cum vero ad ſe traxerit, tumque bilis tum pituita ſedem in pulmone fixerit, putreſcit et in pus vertitur. Et ſiquidem praecipuis ad judicationem diebus putrefacta per ſputum reddita fuerint, ſuperſtes evadit aeger. Si vero ſuſceperit quae per initia obvenerunt, aliaque praeterea acceſſerint, et neque putrefacta per ſputum rejiciat, prae copia ſupervenientium plerumque moriuntur. Quod ſi ad

Ed. Chart. VII. [547.] Foëſ. I. 459. Ed. Lind. II. (31.)

σκουσιν ὡς τὰ πολλά. ἢν δὲ πρὸς τὰς ἡμέρας διαγίνωνται τὰς δύο καὶ εἴκοσι καὶ τὸ πῦρ μεθῇ καὶ ἐν ταύτῃσι μὴ ἐκπυσθῇ, ἔμπυοι γίνονται. γίνονται δὲ μάλιστα ἐκ τούτων οἷσιν ἰσχυρόταται ἥ τε πλευρῖτις καὶ ἡ περιπλευμονίη. γίνεται δὲ καὶ ἄπτυστος περιπλευμονίη καὶ πλευρῖτις, ἄμφω ὑπὸ τοῦ αὐτοῦ, ὑπὸ ξηρασίης. ξηραίνει δὲ καὶ τὰ θερμὰ, ὅταν ὑπερθερμαίνῃ, καὶ τὰ ψυχρὰ, ὅταν ὑπερψύχῃ. πήγνυται δὲ τὸ πλευρὸν καὶ τὰ ἐν αὐτῷ τῷ πλευρῷ φλέβια καὶ συσπᾶται, καὶ ὁκόσον ἐν αὐτῷ ἔνι φλέγματος καὶ χολῆς, τοῦτο ὑπὸ τῆς θερμασίης ἐνέσκληκέ τε καὶ ὀδύνην παρέχει καὶ ὑπὸ τῆς ὀδύνης πυρετόν. τούτου ξυμφέρει τὴν φλέβα ἀποσχάσαι τὴν ἐν τῇ χειρὶ, τὴν σπληνῖτιν καλεομένην ἢ τὴν ἡπατῖτιν καθ' ὁποτέρην ἂν εἴη τὸ νούσημα, καὶ οὕτως ἡ ὀδύνη μαλακωτέρη γίνεται τοῦ πλευροῦ τε καὶ τῶν ἄλλων. ἡ γὰρ φλὲψ ὅσον ἔνι ἐν αὐτῇ χολῆς καὶ φλέγματος, αὐτοῦ τοῦ αἵματος νενοσηκότος μετὰ τούτων μεθίει τὸ πουλὺ ἔξω. τὸ δὲ ἐκ τῆς σαρκὸς ὑπό τε φαρμάκων καὶ ποτῶν διαχέεται καὶ ὑπὸ χλιασμάτων προστιθεμένων ἔξωθεν, ὥστε τὴν νοῦσον σκίδνα-

duos et viginti dies perveniunt febrisque dimittit neque in his per ſputum repurgati fuerint, purulenti evadunt. At vero ex his maxime quibus vehementiſſimus laterum morbus aut pulmonis inflammatio contingit. Pulmonis autem inflammatio et morbus lateralis ſine ſputo ambo ex eadem cauſa, ex ſiccitate, contingunt. Siccant vero calida etiam, ubi ſupra modum calefaciunt, et frigida quoque, ſi ſupra modum refrigerant. Induratur autem latus et convellitur, quaeque in eo inſunt venulae, et quantum in eo eſt pituitae et bilis, id a caliditate intus creſcit, doloremque infert et ex dolore febrem. Huic conſert venam pertundere in brachio ſpleniticam appellatam aut jecorariam, ad utram ſane morbus vergit. Sicque lateris et aliarum partium dolor levior contingit. Vena enim quicquid in ea ineſt pituitae et bilis et ſanguinis morboſi una cum his magna ex parte foras emittit. Pars vero ex carne per medicamenta et potiones diffunditur et per calefactoria extrinſecus admota, adeo ut morbus per totum corpus ſpargatur.

Ed. Chart. VII. [547. 548.] Foël. I. 459. 460. Ed. Lind II. (31. 32)

σθαι ὑπὸ πᾶν τὸ σῶμα. καλέεται δὲ αὕτη πλευρῖτις ἄπυστος. ἡ δὲ περιπλευμονίη, ὁκόταν ὁ πλεύμων ὑπερξηρανθῇ καὶ αὐτὸς καὶ ὁκόταν ἐν αὐτῷ ἐτεόν τι χολῆς ἢ φλέγματος, οὔτε σήπει ὁμαλῶς οὔτε τὸ σίαλον ἀναδιδοῖ. || ὅσον τε ἐν αὐτῷ ἐστιν ἰκμάδος ἢ ἀπὸ ποτοῦ ἢ ἀπὸ βοφήματος ἢ ἀπὸ τῶν πλησίον χωρίων, τοῦτο πᾶν ἐκκαίει ὑπό τῆς ὑπερξηρασίης τε καὶ (32) θερμασίης. τούτῳ ξυμφέρει πόματα πίνειν ὑφ' ὧν ὑγραίνεται ὁ πλεύμων καὶ πτύσκεται. ἢν γὰρ μὴ πτυσθῇ, σκληρότερός τε γίνεται ὁ πλεύμων καὶ συναναίνεται καὶ τὸν ἄνθρωπον ἀπόλλυσι. καῦσος δὲ λαμβάνει μὲν μᾶλλον τοὺς χολώδεας, λαμβάνει δὲ καὶ τοὺς φλεγματίας. λαμβάνει δὲ ὧδε. ὁκόταν χολὴ κινηθῇ ἀνὰ τὸ σῶμα καὶ συγκυρήσῃ, ὥστε τὰς φλέβας καὶ τὸ αἷμα εἰρύσαι τῆς χολῆς. εἰρύσαι δὲ τὸ πλεῖστον ἐκ τῶν σαρκῶν καὶ τῆς κοιλίης. τὸ δὲ πρόσθεν ἐτεόν, ἅτε καὶ τῇ φύσει θερμότατον ἐὸν ἐν τῷ σώματι τὸ αἷμα. ὁκόταν γοῦν διαθερμανθῇ ἐκ τῶν σαρκῶν [548] καὶ τῆς κοιλίης, πρὸς τῷ ἐτεόντι μᾶλλον ἔτι ὑπὸ τῆς χολῆς διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν, καὶ τὰ μὲν ὑπὸ τῆς πολλῆς ἰκμάδος οὐ δύναται ἀποξηραίνεσθαι παν-

Et hic morbus lateralis ſine ſputo appellatur, pulmonis vero inflammatio, cum ipſe etiam pulmo ſupra modum exſiccatur, cumque quod in eo bilis aut pituitae ineſt, neque aequabiliter putrefacit neque per ſalivam ſurſum rejicit, et quicquid in eo eſt humiditatis aut ex potione aut ſorbitione aut ex proximis locis, id totum nimia ſiccitate et caliditate exurit. Huic confert potiones bibere ex quibus pulmo humectatur et expuit. Niſi enim expuat, et durior pulmo evadit, ſimulque areſcit et hominem perimit. At vero febris ardens fere bilioſos prehendit, corripit etiam pituitoſos hoc modo. Vbi bilis toto corpore commota fuerit et forte evenerit ut venae et ſanguis magnam bilis copiam ex carnibus et ventriculo trahant. Qui vero prius ineſt, utpote natura calidiſſimus in corpore ſanguis exiſtens, cum ex carnibus et ventriculo incaluerit, ſupra eum qui jam ineſt amplius adhuc a bile reliquum etiam omne corpus caleſacit. Et quaedam quidem partes ob copioſam hu-

Ed. Chart. VII. [548.] Foës. I. 460. Ed. Lind. II. (32. 33.)

τάπασιν. ἢν δὲ ἀποξηρανθῇ, ἀποθνήσκει ὁ ἄνθρωπος. τὰ δὲ ἐν τοῖσιν ἀκρωτηρίοισι τοῦ σώματος, ἅτε ξηρὰ ἐόντα φύσει, ἀποξηραίνεταί τε καὶ ἐκκαίεται ἐξ αὐτῶν τὸ ὑγρὸν τὸ πλεῖστον, καὶ εἰ θέλοις ψαύειν, ψυχρά τε εὑρήσεις αὐτὰ καὶ ξηρά. διὰ τοῦτο ὁκόσοι ὑπὸ καύσου ἁλίσκονται τὰ μὲν εἴσω καίονται ὑπὸ τοῦ πυρός, τὰ δὲ ἔξω ψυχροί εἰσιν, ἥ τε γλῶσσα καὶ ὁ φάρυγξ τρηχύνεταί τε καὶ αὐαίνεται ὑπὸ τοῦ εἴσω πνεύματος καὶ τῆς θερμότητος. ὅσον δ' ἂν ἐν τῇ κοιλίῃ καὶ ἐν τῇ κύστει ἐγγένηται χολῆς, τὸ μὲν ἐν τῇ κοιλίῃ ἐνίοτε μὲν διαταράσσεται κάτω, τὰ δὲ πολλὰ ἐμέεται ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν, ἢ ἐν τέσσαρσιν ἢ ἐν πέντε. (33) ἐμέεται δὲ διὰ τόδε. ὁκόταν ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ' ἑωϋτὴν καὶ γίνεται ἔμετος. διὰ τοῦτο δ' αὐτὸ καὶ ἐς περιπνευμονίην ἐκ καύσου τε καὶ ἐκ πλευρίτιδος μάλιστα μεθίσταται τὰ νουσήματα. ὁκόταν γὰρ ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ' ἑωϋτὴν καὶ ὑποδέχεται ὁ πλεύμων καὶ γίνεται περιπλευμονίη, καὶ ὡς τὰ πολλὰ ἀπόλλυνται, ἅτε

miditatem penitus reſiccari nequeunt. Quod ſi reſiccatae fuerint, homo perit. Quaedam vero in ſummis corporis partibus cum natura ſiccae ſint, reſiccantur, plurimumque ex ipſis humidum exuritur. Quas ſi attingere velis, frigidas ipſas et ſiccas comperias. Eamque ob cauſam qui febre ardente corripiuntur, internis quidem partibus a febre uruntur, externis vero frigidi ſunt, linguaque et fauces ex interno ſpiritu et caliditate exaſperantur et areſiunt. Quicquid autem bilis in ventriculo et veſica gignitur, quod quidem in ventriculo eſt, interdum quidem per inferiora exturbatur, plerumque vero primis diebus aut quatuor aut quinque hanc ob cauſam evomitur. Cum ſuperior ventriculus ſupra modum incaluerit, ad ſe trahit et vomitus excitatur. Eamque ipſam ob cauſam ex febre ardente et morbo laterali in pulmonis inflammationem potiſſimum morbi tranſeunt. Ubi enim ſuperior ventriculus ſupra modum incaluerit, ad ſeſe trahit pulmoque excipit, ſitque pulmonis inflammatio, ac plerumque pereunt cum nimirum debiles

Ed. Chart. VII. [548.] Foës. I. 460. Ed. Lind. II. (33.)

ἀσθενέες ἤδη ἐόντες, καὶ ἑτέρης νούσου καινῆς ἐπιγενηθείσης οὐ δυνάμενοι τὰς ἡμέρας διατελέειν ἄχρις οὗ τὸ σίαλον πεπανθῇ ἐν τῷ πλεύμονι, ἀλλ' ὡς τὰ πολλὰ ἀπόλλυνται ὑπὸ ἀσθενείης, ἔνιοι δὲ περιγίνονται. ὁκόσοισι δὲ ἐς τὴν κύστιν συῤῥεῖ τι χολῆς οὐρέεται παχύ. παχὺ δὲ ὑπὸ φλέγματος. χολώδες δὲ διαχωρέει ὑπὸ τοῦ συγκεκαῦθαι ἐν τῇ κοιλίῃ τὰ ἐτεόντα. φρενῖτίς τε ὧδε ἔχει. τὸ αἷμα τὸ ἐν τῷ ἀνθρώπῳ πλεῖστον ξυμβάλλεται μέρος συνέσιος. ἔνιοι δὲ λέγουσι τὸ πᾶν. ὁκόταν οὖν χολὴ κινηθεῖσα ἐς τὰς φλέβας καὶ ἐς τὸ αἷμα εἰσέλθῃ, διεκίνησε καὶ διούρησε τὸ αἷμα ἐκ τῆς εἰωθυίης συστάσιός τε καὶ κινήσιος καὶ διεθέρμηνε. διαθερμανθὲν δὲ διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν καὶ παρανοεῖται ὁ ἄνθρωπος καὶ οὐκ ἐν ἑωϋτῷ ἐστιν, ὑπό τε τοῦ πλήθεος τοῦ πυρετοῦ καὶ τοῦ αἵματος τῆς διουρήσιός τε καὶ κινήσιος γινομένης οὐ τῆς εἰωθυίης. προσεοίκασι δὲ μάλιστα οἱ ὑπὸ τῆς φρενίτιδος ἐχόμενοι τοῖσι μελαγχολῶσι κατὰ τὴν παράνοιαν. οἵ τε γὰρ μελαγχολώδεες, ὁκόταν φθαρῇ τὸ αἷμα ὑπὸ χολῆς καὶ φλέγματος, τὴν νοῦσον ἴσχουσι καὶ παράνοιοι

exiſtant, alioque ſuborto novo morbo, dies ſuperare nequeunt, dum ſputum in pulmone concoctum fuerit, ſed ut plurimum debilitate pereunt, quidam vero ſuperſunt. Quibus autem ad veſicam bilis aliquid confluit, iis urina craſſa idque a pituita redditur, bilioſum vero deorſum ſecedit, eo quod exuſta ſunt quae in ventre inſunt. Phrenitis autem, quae eſt perpetuum cum febre delirium, ad hunc ſe habet modum. Sanguis qui in homine exiſtit magnam partem ad prudentiam confert, ut quidam vero dicunt, totam. Ubi igitur bilis commota venas et ſanguinem ſubierit, ex ſolita compage et motione ſanguinem dimovet et ſero diluit et percaleſacit. Qui percaleſactus totum etiam reliquum corpus caleſacit et homini mens alienatur, neque apud ſe eſt propter febris copiam et ſanguinis non conſuetam dilutionem et agitationem. Qui vero phrenitide detinentur, quod ad mentis alienationem, his qui atra bile laborant ſunt aſſimiles. Atra enim bile vexati, cum a bile et pituita ſanguis corruptus fuerit, morbo corripiuntur et mente alienantur, qui-

Ed. Chart. VII. [548. 549.] Foës. I. 460. 461. Ed. Lind. II. (34.)

γίνονται. (34) ἔνιοι δὲ καὶ μαίνονται, καὶ ἐν τῇ φρενίτιδι ὡσαύτως. οὕτω δὲ ἧσσον ἡ μανίη τε καὶ ἡ παραφρόνησις γίνεται, ὅσῳ περ ἡ χολὴ τοῦ φλέγματος ἀσθενεστέρη ἐστίν. ὕφαιμον δὲ καὶ πελιδνὸν ἐν τῇ πλευρίτιδι καὶ περιπνευμονίῃ τὸ πτύαλον διὰ τόδε πτύουσι. || κατ' ἀρχὰς μὲν ὡς τὸ πουλὺ οὐδέτερα πτύουσιν, οὔτε πελιδνὸν οὔτε ὕφαιμον. εἰδέναι δὲ χρὴ τὴν νοῦσον ἰσχυρὴν ἐοῦσαν. ὁκόταν δὲ τὸ σίαλον ὑπόπαχυ ἄρξωνται πτύειν, καὶ καθαίρονται μάλιστα τότε. πτύεται δὲ ἀπὸ διατάσιος τῶν φλεβῶν, τῆς μὲν πλευρίτιδος [549] ἐκ τῶν ἐν τῷ πλευρῷ, τῆς δὲ περιπνευμονίης ἐν τῷ πλεύμονι καὶ θερμασίην ἐπάγει ἐφ' ἑωϋτήν. ἢν δὲ ῥηγματίης ἔῃ ὁ τὴν νοῦσον ἔχων καὶ σαβακὸς ἀπὸ τῆς πρώτης ἡμέρης, αἷμα καὶ ὕφαιμον πῦος καὶ πελιδνὸν σὺν σιάλῳ πτύει. τὸ δὲ πελιδνὸν ἀπὸ τοῦ αἵματος γίνεται, ἢν ὀλίγον συμμίγηται ἐς πουλὺ σίαλον καὶ μὴ παραυτίκα πτύηται, ἀλλὰ ἐμμένει ἡμισαπὲς ἐὸν καὶ ἐκτεθηλυσμένον ἐν τῷ σώματι. ἀποθνήσκουσι δὲ ἀπὸ μὲν τῆς πλευρίτιδος, ὁκόταν

dam etiam inſaniunt. Et in phrenitide ſimiliter contingit, Quo vero bilis pituita eſt imbecillior, eo minor tum inſania, tum mentis alienatio contingit. At in morbo laterali et pulmonis inflammatione hanc ob cauſam ſubcruentum et lividum ſputum expuunt. Per exordia quidem ſaepe neutrum expuunt, neque lividum neque ſubcruentum. Noſſe autem oportet morbum vehementem exiſtere. Ubi vero ſputum aliquantum craſſum ſpuere coeperint, tum praecipue purgantur. Expuitur autem ex venarum diſtenſione, in morbo laterali quidem ex his quae ſunt in latere, in pulmonis vero inflammatione ex his quae ſunt in pulmone, qui caliditatem ad ſeſe trahit. Quod ſi aegro abſceſſus intro ruptus fuerit et purulentus evadat, ſtatim primo die ſanguinem et pus ſubcruentum et lividum cum ſalivo expuit. Lividum autem a ſanguine evadit, ſi pauci ſanguinis ad multam ſalivam commixio fiat, neque confeſtim ſpuatur, ſed aliquandiu intus remaneat ſemiputrefactum et in corpore effeminatum. Ex morbo autem laterali intereunt, cum circa ex-

Ed. Chart. VII. [549.] Foës. I. 461. Ed. Lind. II. (34. 35.)
πολλὸν μὲν τὴν ἀρχὴν τῷ πλευρῷ προσπαγῇ, φλέγμα τε καὶ χολή, πολλὸν δὲ προσεπιῤῥυῇ καὶ ἐκ τοῦ ἄλλου σώματος, καὶ μήτε πτύων κρατέῃ ὑπὸ πλήθεος μήτε σήπων. πιμπλῶνται δὲ αἱ ἀρτηρίαι ὑπὸ τῶν ἐνεόντων, φλέγματός τε καὶ πύου. τοῦτο δὲ ῥέγχει καὶ ἀναπνεῖ πυκνόν τε καὶ αὐτόθεν. τέλος δὲ ἀποφράσσεται πάντα καὶ ἀποθνήσκει. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ἐκ περιπλευμονίης ἀπόλλυνται. (35) ὅσοι δὲ ὑπὸ καύσου ἀποθνήσκουσι, πάντες ὑπὸ ξηρασίης ἀποθνήσκουσιν. ἀποξηραίνεται πρῶτον μὲν αὐτῶν τὰ ἀκρωτήρια πόδες τε καὶ χεῖρες, ἔπειτα δὲ τὰ ἐπιξηρότερα. ὁκόταν δὲ ἐκκαυθῇ καὶ ἀποξηρανθῇ παντάπασι τὸ ὑγρὸν ἐκ τοῦ σώματος, τὸ μὲν αἷμα πήγνυταί τε παντελῶς καὶ ψύχεται, τὸ δὲ ἄλλο σῶμα ἀποξηραίνεται καὶ οὕτως ἀποθνήσκει. ὑπὸ δὲ τῆς φρενίτιδος ἀπόλλυται ὧδε. παραφρονέουσιν ἐν τῇ νόσῳ διὰ παντὸς, ἅτε τοῦ αἵματος ἐφθαρμένου τε καὶ ἐκκεκινημένου τὴν εἰωθυῖαν κίνησιν, καὶ ἅτε παραφρονέοντες οὔτε τι τῶν προσφερομένων δέχονται ὅ τι ἄξιον λόγου. ὅταν δὲ προΐῃ ὁ χρόνος, μαραίνονταί τε καὶ μινύθουσιν ὑπὸ

ordia copiosa quidem pituita et bilis ad latus impacta fuerit, multaque ex reliquo corpore praeterea affluxerit, quam neque spuendo propter copiam, neque putrefaciendo superare possit. Arteriae autem implentur ab his quae intus sunt, pituita et pure, ob idque stertit crebroque inde respirat, ad extremum autem omnia occluduntur et interit. Ad eundem etiam modum ex pulmonis inflammatione pereunt. At vero qui ex febre ardente intereunt, omnes ex siccitate intereunt. Primum quidem extremae eorum partes, pedes et manus, resiccantur, deinde vero sicciores. Cum autem penitus corporis humor exustus et resiccatus fuerit, sanguis quidem penitus concrescit et perfrigescit, reliquum vero corpus resiccatur eoque modo interit. Ex phrenitide vero ita perit. In hoc morbo perpetuo delirio urgentur, cum nimirum sanguis corruptus et extra solitam agitationem motus sit, cumque desipiant, neque quicquam effatu dignum eorum quae offeruntur suscipiunt. Procedente vero tempore marce-

[549. 550.] Foës. I. 461. Ed. Lind. II. (35. 36.)

ῦ καὶ ὑπὸ τοῦ μηδὲν τρέφεσθαι. καὶ πρῶτα
ιν ἀκρωτηρίοισι μινύθει τε καὶ ψύχεται, ἔπει-
ἐγγυτάτω, καὶ ψύχεος δὲ καὶ πυρὸς καὶ πόνων
ἴσχει. ὅταν τὸ αἷμα τὸ ἐν τῇσι φλεψὶν ὑπὸ
ψυχθῇ, μεταπίπτει τε καὶ συσπᾶται ἄλες,
καὶ τρέμει. τέλος δὲ ψύχεται πάντα καὶ ἀπο-

ΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ
ΤΟ ΔΕΥΤΕΡΟΝ.

36) Οὐρέεται πολλὸν ὅταν ὑπερθερμανθῇ ἡ
ται γὰρ ἐν αὐτῇ τὸ φλέγμα. τηκόμενον δὲ χω-
ς τὰς ῥῖνας, τὸ δὲ ἐς τὸ στόμα, τὸ δὲ διὰ τῶν
γουσιν ἐς τὸ αἰδοῖον. ὅταν δὲ ἐς τὸ αἰδοῖον
ρέει καὶ πάσχει οἷά περ ὑπὸ στραγγουρίης. ἀμ-
ὅταν ἐς τὰ ἐν τοῖσι ὀφθαλμοῖσι φλέβια ἐσέλ-
ὑδαρεστέρη τε γὰρ γίνεται ἡ ὄψις καὶ θολερω-
λαμπρὸν ἐν τῷ ὀφθαλμῷ οὐχ ὁμοίως λαμπρόν

sumuntur tum a febre tum quod nihil nutri-
rimum quidem extremae partes imminuuntur et
ur, deinde etiam proximae. At frigoris et fe-
um hoc habet principium. Cum sanguis qui in
ituita refrigeratus fuerit, confestim in aliam at-
artem transit, et convellitur ac tremit, ad extre-
refrigerantur omnia et interit.

CRATIS DE MORBIS LIBER
SECVNDVS.

aput supra modum percalefactum fuerit, copiosa
tur. Siquidem in eo liquatur pituita, quae li-
n quidem ad nares, partim ad os, partim etiam
quae ad pudendum tendunt secedit. Quo cum
urinam reddit et velut urinae stillicidio afficitur.
culorum venas pituita subierit, oculorum cali-
tur. Visus enim aquosior et turbidior evadit,
orum splendor similiter splendidus est, neque

Ed. Chart. VII. [550. 551.] Foël. I. 461. 462. Ed. Lind. II. (36. 37.)
ἐστιν οὐδὲ καταφαίνεται ἐν αὐτῷ, ἐὰν ἐθέλῃ ὁρᾶν ὁμοίως ὡς καὶ ὅτε λαμπρὸς καὶ καθαρὸς ἦν. οὗτος ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα ὑγιάζεται. || ἢν δὲ χρόνῳ ὕστερον πολλῷ ὑποστρέψῃ ἡ νοῦσος, τὸ δέρμα τῆς κεφαλῆς παχύνεται, καὶ τὸ ἄλλο σῶμα αἴρεται καὶ παχύνεται καὶ εὐχροέει. τοῦτο τὸ φλέγμα εἰς τὰς σάρκας τρέπεται καὶ ὑπὸ τούτου δοκέει παχὺς εἶναι. αἱ γὰρ [551] σάρκες ἅτε διάβροχοι ἐοῦσαι καὶ ἠρμέναι καὶ ἀραιότεραι, ἕλκουσιν ἐκ τῶν φλεβῶν αἷμα καὶ διὰ τοῦτο δοκέουσιν εὔχροοι εἶναι. ἑτέρη νοῦσος· ἡ κεφαλὴ ἑλκέων καταπίμπλαται, καὶ τὸ σῶμα οἰδέει, καὶ ἡ χροιὴ ἰκτερώδης, καὶ ἄλλοτε ἄλλη τοῦ σώματος ἕλκεα ἐκφύει, καὶ πυρε(37)τὸς λαμβάνει ἄλλοτε καὶ ἄλλοτε, καὶ ἐκ τοῦ νώτου ὕδωρ ῥεῖ. τούτῳ, ὅταν ἐν τῇ κεφαλῇ φλέγμα ὑπόχολον ἐντραφῇ, τὰ μὲν ἕλκεα γίνεται, ὅταν τὸ βρέγμα διάβροχον γένηται τῷ φλέγματι καὶ τῇ χολῇ, καὶ ἀραιὸν ἔῃ καὶ ἄλες τὸ φλέγμα καὶ ἡ χολή. ἵσταται γὰρ τοῦτο καὶ σήπεται καὶ ἕλκοῦται. ἐς δὲ τὰ ὦτα λεπτυνόμενον τὸ φλέγμα διαδιδοῖ. ἐν δὲ τῷ ἄλλῳ σώματι τά τε ἕλκεα κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῇ κεφαλῇ γίνεται σεσηπομένου τοῦ αἵμα-

si quis cernere velit, comparet velut cum lucidus et purus erat. Hic quadraginta diebus potiſſimum ſanus evadit. Quod ſi longo poſt tempore morbus redeat, cutis capitis incraſſeſcit, et corpus reliquum tumidum craſſius et bene coloratum redditur. Haec pituita ad carnes vertitur, ideoque aeger craſſior eſſe videtur. Carnes enim cum perfuſae tumidiores et rariores extiterint, ex venis ſanguinem trahunt, ac propterea bene colorati videntur. Alius morbus. Caput ulceribus completur, corpus intumeſcit et colore eſt auriginoſo et alia atque alia corporis parte ulcera erumpunt, febris ſubinde corripit et ex dorſo aqua defluit. Cum in hujus capite pituita aliquantum bilioſa innutrita fuerit, ulcera quidem oriuntur. Ubi ſinciput pituita et bile madefactum fuerit, pituitaque et bilis rara conſertaque extiterit. Haec enim concreſcit, putreſcit et exulceratur. Extenuata vero pituita ad aures transmittitur. In reliquo autem corpore ad eandem rationem qua in capite ulcera oriuntur,

Ed. Chart. VII. [551.] Foës. I. 462. Ed. Lind. II. (37.)

τος καὶ τῆς χολῆς ἢ ἂν τύχῃ ἁλισθέντα. ταύτῃ γὰρ ἡ σὰρξ σήπεται καὶ ἕλκοῦται. προσκατασήπει τὸ ἐσελθὸν τοῦ φλέγματος καὶ τῆς χολῆς καὶ γίνεται πῦον. ἑτέρη νοῦσος. περιωδυνίη τὴν κεφαλὴν ἴσχει, καὶ ἐμέει χολὴν καὶ δυσουρέει καὶ παραφρονέει. οὗτος περιωδυνέει μὲν ὑπὸ τῆς ὑπερθερμασίης τῆς κεφαλῆς, παραφρονέει δὲ ὅταν τὸ αἷμα τὸ ἐν τῇ κεφαλῇ ὑπὸ χολῆς ἢ φλέγματος ὑπερθερμανθῇ καὶ κινηθῇ μᾶλλον τοῦ εἰωθότος. ἐμέει δὲ χολὴν ἅτε κεκινημένης αὐτῆς ἐν τῷ σώματι, καὶ ἡ κεφαλὴ ὑπὸ τῆς θερμασίης ἕλκει ἐφ' ἑωϋτήν, καὶ τὸ μὲν παχύτατον ἐμέει, τὸ δὲ λεπτότατον ἕλκει ἑωϋτήν. οὐρέει δὲ καὶ ἐν ταύτῃ ὑπὸ τῶν αὐτῶν, ὡς καὶ ἐν τῇ πρόσθεν εἴρηται. ἑτέρη νοῦσος. ἢν περὶ τὸν ἐγκέφαλον φλέβια ὑπερεμήσῃ, τὸ μὲν οὔνομα οὐκ ὀρθὸν τῇ νούσῳ. οὐδὲ γὰρ ἀνυστὸν ὑπερεμῆσαι οὐδὲν τῶν φλεβίων οὔτε τῶν ἐλασσόνων οὔτε τῶν μειζόνων. ὀνομαίνουσι δὲ καὶ φασὶν ὑπερέμετον. εἰ δ' ὡς μάλιστα ὑπερεμήσειε, νοῦσος

quacunque in parte putrefactus ſanguis et bilis coacervata fuerint. Ea enim parte caro putreſcit et ulceratur, praetereaque advenientem pituitam et bilem putrefacit, pusque gignitur. Alius morbus. Toto capite dolor obtinet et bilem vomitione rejicit, difficultate urinae premitur et delirat. Huic quidem totum caput dolet, quod ſupra modum calefactum ſit. Mente autem alienatur, cum ſanguis qui eſt in capite a bile et pituita calefactus fuerit, et praeter conſuetudinem agitatus. Bilem vero vomit, cum nimirum ipſa in corpore ſit agitata. Et caput propter caliditatem ad ſe trahit et craſſiſſimum quidem vomit, tenuiſſimum vero ad ſe trahit. Urinam autem reddit in hoc morbo ex iisdem cauſis, velut in ſuperiore dictum eſt. Alius morbus. Si circa cerebrum venulae ſanguinem ſupereffundunt, nomen quidem non recte morbo impoſitum videtur. Neque enim fieri poteſt ut vena aliqua neque ex minoribus neque ex majoribus ſuperevomat. Supervomitum tamen appellant et dicunt. Quod ſi quam maxime ſuperevomat, morbus ab eo fieri minime videtur. Neque

Ed. Chart. VII. [551.] Foëſ. I. 462. Ed. Lind. II. (38.)

ὑπ' αὐτοῦ (38) οὐκ ἔοικε γίνεσθαι. ἀπ' ἀγαθοῦ γὰρ κακὸν οὐχ οἷόν τε γενέσθαι, οὐδ' ἀπὸ κακοῦ ἀγαθὸν γένοιτο ἄν, οὐδ' αὖ ἀγαθὸν πλέον τοῦ δέοντος οἷόν τε γενέσθαι, ἀλλ' ὑπερεμέειν δοκέει ὅταν ἐς τὰς φλέβας χολὴ ἢ φλέγμα ἐσέλθῃ. μετεωρίζονται γὰρ αἱ φλέβες καὶ σφύζουσι, καὶ ὀδύνη κατὰ πᾶσαν τὴν κεφαλὴν ἐγγίνεται, καὶ τὰ ὦτα ἠχέει καὶ ἀκούει οὐδέν, καὶ ἠχέει μὲν ἅτε τῶν φλεβίων σφυζόντων καὶ παλλομένων, τηνικαῦτα γὰρ ἦχος ἔνεστιν ἐν τῇ κεφαλῇ. βαρηκοεῖ δὲ τὸ μέν τι ὑπὸ τοῦ ἔσωθεν ψόφου καὶ ἤχου, τὸ δὲ ὅταν ὁ ἐγκέφαλος καὶ τὰ φλέβια τὰ περὶ αὐτὸν ἐπαρθῇ. ὑπὸ γὰρ τῆς ὑπερθερμασίης ἐμπίπλησι τὸ κατὰ τὸ οὖς κενὸν ὁ ἐγκέφαλος ἑωϋτοῦ, καὶ ἅτε οὐκ ἐνεόντος τοῦ ἠέρος ἰσοπληθέος, ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, οὐδὲ τὸν ἦχον ἶσον παρέχοντος, οὐκ ἐνσημαίνει οἱ τὰ λεγόμενα ὁμαλῶς, καὶ ἀπὸ τούτου βαρηκοεῖ. οὗτος ἢν μὲν ῥαγῇ αὐτῷ ἐς τὰς ῥῖνας ἢ ἐς τὸ στόμα ὕδωρ καὶ φλέγμα, ὑγιὴς γίνεται. ἢν δὲ μὴ ῥαγῇ, ἑβδομαῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ἐν τῇ κεφαλῇ ὑπερεμέσωσι φλέβες, ὑπερεμέουσι δὲ ὑπὸ τῶν αὐτῶν ἃ καὶ ἐν

enim ex bono malum oriri poteſt, ut neque ex malo bonum, neque rurſus bonum plus juſto fieri poteſt. Verum ſuperevomere videntur, ubi bilis et pituita venas ſubierit. Venae enim attolluntur et pulſant et dolor toto capite oboritur, auresque ſonitum percipiunt et nihil audiunt. Ac ſonitum quidem percipiunt, cum minimum venae pulſent ac palpitent. Tunc enim ſonitus in capite percipitur. Graviter vero audiunt, partim quidem ob internum ſtrepitum et ſonitum, partim etiam ubi cerebrum et ipſum ambientes venulae ſuſtolluntur. Nam propter nimiam caliditatem vacuam circa aurem partem cerebrum ex ſe implet et cum nimirum par aëris copia non inſit, velut antea, neque aequalem ſonum exhibeat, ea quae dicuntur non aequaliter de ſe ſignificationem praebent, indeque gravis auditus oboritur. Hic ſi quidem ei ad nares aut ad os aqua et pituita erumpat, ſanus evadit. Sin minus, ſeptimo fere die moritur. Quod ſi in capite venae ſuperevomuerint, ſuperevomunt autem ab iisdem quae antea

Ed. Chart. VII. [551. 552.] Foës. I. 462. 463. Ed. Lind. II. (38. 39.)

τῷ πρόσθεν εἴρηται. σημήϊον δὲ ὅτι τοιούτῳ τρόπῳ ὑπερεμέουσι τόδε. ὅταν τις ἢ χεῖρα τοῦτο πάσχουσαν ἐπιτάμῃ ἢ κεφαλὴν ἢ ἄλλο τι τοῦ σώματος, τὸ αἷμα μέλαν ῥέει καὶ θολερόν καὶ νοσώδες. || καίτοι οὐδὲ αἷμα δίκαιον [552] εἰπεῖν κατ' οὔνομα, ἀλλ' ἐρυθρὸν καὶ εἰλικρινὲς ῥεῖν. ὅταν δὲ ὑπερεμέσωσιν ἀπὸ τῶν αὐτῶν, ἴσχει ὀδύνη καὶ σκοτοδυνίη καὶ βάρος ἔχει τὴν κεφαλήν. ὀδύνη μὲν ὑπὸ τῆς ὑπερθερμασίης τοῦ αἵματος, σκο(39)τοδυνίη δὲ ὅταν ἄλες ἐπὶ τὸ πρόσωπον χωρήσῃ τὸ αἷμα, βάρος δὲ ἅτε τοῦ αἵματος πλείονος ἐόντος ἐν τῇ κεφαλῇ καὶ θολερωτέρου καὶ νοσωδεστέρου ἢ ἔσωθεν. σφακελισμὸς ἐγκεφάλου. ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἔχει ἐκ τῆς κεφαλῆς τὴν ῥάχιν καὶ ἐπὶ τὴν καρδίαν φοιτᾷ, ἀψυχίη καὶ ἱδρὼς καὶ ἄϋπνος τελέθει, καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ. πολλάκις δὲ καὶ αἷμα ἐμέει. σφακελίζεται δὲ ὁ ἐγκέφαλος τρόπῳ τοιῷδε. ὁκόταν ἢ ὑπερθερμανθῇ ἢ ὑπερψυχθῇ, ἢ χολώδης ἢ φλεγματώδης γένηται μᾶλλον τοῦ εἰωθότος. ὅταν δέ τι τούτων πάθῃ, ὑπερθερμαίνει καὶ τὸν νωτιαῖον μυελὸν, καὶ διαθερμαινόμενος

dicta ſunt, quodque hoc modo fiat, ejus rei hoc eſt indicium. Ubi quis aut manum aut caput aut aliam corporis partem ita affectam ſecuerit, ſanguis ater et turbidus ac morboſus effluit, quamvis neque ſanguinem nominare aequum ſit, niſi qui ruber et ſincerus effluit. Cum autem ex iisdem cauſis ſuperevomuerint, caput dolor, tenebricoſa vertigo et gravitas occupat. Dolor quidem ex ſanguinis nimia caliditate, tenebricoſa vero vertigo, cum ſanguis conferta copia ad faciem proceſſerit. Gravitas autem nimirum cum ſanguis turbidior et morboſior in capite majore ſit copia quam intus. Cerebri ſideratio. Si cerebrum ſideratio occupaverit, dolor ex capite ſpinam occupat et ad cor permeat, animo linquitur, ſudor adeſt et inſomnia, ex naribus ſanguis effluit et plerumque ſanguis vomitione refunditur. Sideratur autem hoc modo cerebrum, cum aut ſupra modum caleſactum aut refrigeratum fuerit aut plus ſolito bilioſum aut pituitoſum extiterit. Ubi ſane horum aliquid contigerit, ſpinalem medullam ſupra modum caleſacit, quae etiam incale-

Ed. Chart. VI. [552.] Foës. I. 463. Ed. Lind. II. (39. 40.)

καὶ οὗτος, ὀδύνην τῇ ῥάχει παρέχει. ἀψυχέει δὲ ὅταν προσίστηται πρὸς τὴν καρδίην φλέγμα ἢ χολή. προσίστασθαι δὲ ἀνάγκη κεκινημένων καὶ ὑγρασμένων. ἱδρὼς δὲ γίνεται ὑπὸ πόνου. τὸ αἷμα δὲ ἐμέει ὅταν αἱ φλέβες μὲν ἐν τῇ κεφαλῇ ὑπὸ τοῦ ἐγκεφάλου θερμανθῶσιν, αἱ δὲ παρὰ τὴν ῥάχιν ὑπὸ τῆς ῥάχιος, ἡ δὲ ῥάχις ὑπὸ τοῦ νωτιαίου μυελοῦ, ὁ δὲ μυελὸς ὑπὸ τοῦ ἐγκεφάλου, ὅθεν περ πέφυκεν. ὅταν οὖν θερμανθῶσιν αἱ φλέβες καὶ τὸ αἷμα ἐν αὐτῇ συζέσῃ, διαδιδοῦσιν αἱ μὲν ἀπὸ τῆς κεφαλῆς ἐς τὰς ῥῖνας, αἱ δ' ἀπὸ τῆς ῥάχιος αἱμορρόοι ἐς τὸ σῶμα. οὗτος τριταῖος ἀπόλλυται ἢ πεμπταῖος ὡς τὰ πολλά. ἑτέρη νοῦσος. ἐξαπίνης ὀδύνη λαμβάνει τὴν κεφαλὴν καὶ παραχρῆμα ἄφωνος γίνεται καὶ ἀκρατὴς ἑωϋτοῦ. οὗτος (40) ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μή μιν πῦρ ἐπιλάβῃ. εἰ γὰρ ἐπιλάβῃ, ὑγιαίνει. πάσχει δὲ ταῦτα, ὅταν αὐτῷ μέλαινα χολὴ ἐν τῇ κεφαλῇ κινηθεῖσα ῥυῇ, καὶ μάλιστα καθ' ὃ τὰ πλεῖστά ἐστι φλέβια, ἐν τῷ τραχήλῳ φημὶ καὶ τοῖς στήθεσιν. ἔπειτα καὶ τῇ ἑξῆς ἀπόπληκτος γίνεται καὶ ἀκρατὴς, ἅτε τοῦ αἵματος ἐψυγμέ-

ſcens ſpinae dolorem exhibet. Animi autem deliquium adeſt, ubi pituita et bilis ad cor impegerit, quod his agitatis et humectatis fieri neceſſe eſt. Sudor vero ex dolore oritur. Sanguinem autem vomitione refundit, cum capitis quidem venae a cerebro calefactae fuerint, quae vero ad ſpinam ſunt a ſpina, ſpina autem a ſpinali medulla, et ſpiualis medulla a cerebro, unde originem ducit. Cum igitur venae incaluerint et ſanguis in his efferbuerit, venae quidem capitis ad nares transmittunt, quae vero ad ſpinam ſunt ſanguinem continentes, ad corpus. Hic tertio aut plerumque quinto die moritur. Alius morbus. Dolor derepente caput prehendit, ſtatimque vox deficit et ſui impotens evadit. Hic intra ſeptem dies, niſi eum febris corripuerit, interit. Quod ſi corripuerit, convaleſcit. Haec autem affectio contingit cum ei bilis atra in capite agitata fluxerit, praecipueque in partem in qua plurimae ſunt venae in ceruicem nempe et pectus. Deinde poſtridie reſolutione corporis tenatur, et fit ad motionem impotens, ſanguine nimirum perfrigerato. Quod ſi

Ed. Chart. VII. [552. 553.] Foës. I. 463. Ed. Lind. II. (40.)

νου. καὶ ἢν κρατήσῃ ὥστε τὸ αἷμα θερμανθῆναι, ἤν τε ὑπὸ τῶν προσφερομένων ἤν τε ὑφ' ἑωϋτοῦ, μετεωρίζεταί τε καὶ διαχέεται, καὶ κινέεται καὶ τὴν πνοὴν ἐσάγεταί τε καὶ ἀφρέει καὶ χωρίζεται τῆς χολῆς καὶ ὑγιὴς γίνεται. ἢν δὲ μὴ κρατήσῃ, ψύχεται μᾶλλον. καὶ ὅταν παντάπασι ψυχθῇ καὶ ἐκλείπει ἐξ αὐτοῦ τὸ θερμόν, πήγνυται καὶ κινηθῆναι οὐ δύναται, ἀλλὰ ἀποθνήσκει. ἢν δὲ ἐκ θωρήξιος ταῦτα πάθῃ, καὶ γὰρ πάσχει ὑπὸ τῶν αὐτέων καὶ ἀπόλλυται. τερηδών. ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἐκ τοῦ ὀστέου, χρόνῳ δὲ ἀφίσταται τὸ δέρμα ἀπὸ τῆς κεφαλῆς ἄλλη καὶ ἄλλη. οὗτος δὲ ταῦτα πάσχει ᾧ τινι ἐν τῇ διπλόῃ τοῦ ὀστέου, ὅταν φλέγμα ἐπιγινόμενον ἀποξηρανθῇ. ταύτῃ γὰρ ἀραιὸν γίνεται καὶ ἐκλείπει [553] ἐξ αὐτέου ἡ ἰκμὰς πᾶσα. καὶ ἅτε ξηροῦ ἐόντος ἀφίσταται τὸ δέρμα ἀπ' αὐτοῦ. αὕτη ἡ νοῦσος οὐ θανάσιμός ἐστιν. ἑτέρη νοῦσος. ἢν βλητὸς γένηται, ἀλγέει τῆς κεφαλῆς τὸ πρόσθεν. καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὑμαλῶς ὁρᾷ, καὶ κωμαίνει, καὶ αἱ φλέβες σφύζουσι, καὶ πυρετὸς ἴσχει βληχρὸς, καὶ τοῦ σώματος ἀκρασίη. οὗτος

ſuperior evadat, adeo ut ſanguis incaleſcat, ſive ab his quae offeruntur, ſive ex ſeſe elevatur, diffunditur ac movetur ſpirationemque inducit et ſpumeſcit, a bile ſeparatur et convaleſcit. Si vero minime ſuperet, magis refrigeratur, cumque omnino refrigeratus fuerit, eumque calor defecerit, concreſcit neque moveri poteſt, ſed moritur. Quod ſi ex ebrietate ſic afficiatur, id enim ex ea contingere ſolet, etiam moritur. Caries in capitis oſſe. Cum vero oſſis caries contigerit, dolor ex oſſe invadit. Spatio autem temporis cutis a capite modo hac, modo illa parte diſcedit. Ita autem afficitur, cum ad duplicatam oſſis laminam accedens pituita reſiccata fuerit. Hac enim parte rareſcit et omnis ab eo humiditas deficit, cumque ſiccum exiſtat, cutis ab eo diſcedit. Hic morbus minime lethalis eſt. Alius morbus. Si derepente velut ſidere ictus concidat, anteriore capitis parte dolor invadit, neque oculis facile videt et ſopore detinetur, venae ſaliunt et febris lenta detinet et corporis ad

Ed. Chart. VII. [553.] Foës. I. 463. 464. Ed. Lind. II. (40. 41.)
ταῦτα πάσχει, ὅταν (41) αἱ ἐν τῇ κεφαλῇ φλέβες θερμανθῶσιν καὶ θερμανθεῖσαι εἰρύσωσι φλέγμα ἐς ἑωυτάς. ἡ μὲν οὖν ἀρχὴ τῆς νούσου ἐκ τούτου γίνεται, τὸ δὲ ἔμπροσθεν τῆς κεφαλῆς διὰ τόδε ἀλγέει, ὅτι αἱ φλέβες ἐν ταύτῃ εἰσὶν αἱ παχύταται, καὶ ὁ ἐγκέφαλος ἐς τὸ πρόσω μᾶλλον κεῖται τῆς κεφαλῆς ἢ ἐς τοὔπισθεν. || καὶ τοῖσιν ὀφθαλμοῖσιν διὰ τοῦτο οὐχ ὁρᾷ προκειμένου τοῦ ἐγκεφάλου καὶ φλεγμαίνοντος. τὸ δὲ σῶμα διὰ τόδε ἀκρασίαι ἴσχουσιν. αἱ φλέβες ἐπὴν ἑωϋτὰς ἐρύσωσι φλέγμα, ἀνάγκη ὑπὸ ψυχρότητος τοῦ φλέγματος τὸ αἷμα ἑστάναι μᾶλλον νῦν ἢ ἐν τῷ πρὶν χρόνῳ καὶ ἐψῦχθαι. μὴ κινουμένου δὲ τοῦ αἵματος οὐχ οἷόν τε μὴ οὐχὶ καὶ τὸ σῶμα ἀτρεμίζειν καὶ κεκωφῶσθαι. καὶ ἢν μὲν τὸ αἷμα καὶ τὸ ἄλλο σῶμα κρατήσῃ ὥστε διαθερμανθῆναι διαφεύγει. ἢν δὲ τὸ φλέγμα κρατήσῃ, ἐπιψύχεται μᾶλλον τὸ αἷμα καὶ πήγνυται. καὶ ἢν ἐς τοῦτο ἐπιδιδοῖ ψυχόμενον καὶ πηγνύμενον, πήγνυται παντελῶς καὶ ἐμψύχεται ὁ ἄνθρωπος καὶ ἀποθνήσκει. κυνάγχη. κυνάγχη δὲ γίνεται ὅταν ἐν τῇ κεφαλῇ φλέγμα κινηθὲν ῥυῇ ἄλες κάτω καὶ στῇ ἐν τῇσι

motum impotentia. Hic ita afficitur, ubi capitis venae calefactae pituitam ad ſe attraxerint. Morbi igitur principium inde oritur. Eam verò ob cauſam anteriorem capitis partem dolor occupat, quod in ea venae ſunt craſſiſſimae et cerebrum anteriore magis capitis parte quam poſteriore poſitum habet. Proptereaque oculis non videt, illuc procumbente cerebro ac inflammato. Ad motionem vero impotentiae ideo corpus detinent. Ubi venae pituitam ad ſe traxerint, pituitae frigiditate uti nunc ſanguis magis quam antea ſiſtatur et refrigeretur neceſſe eſt. At non moto ſanguine fieri non poteſt, quin corpus quieſcat et profundo ſomno veluti alto ſopore detineatur. Et ſiquidem ſanguis reliquumque corpus ſuperarit, adeo ut caleſcat, aeger evadit. Quod ſi pituita ſuperaverit, ſanguis magis refrigeratur et concreſcit. Et ſi refrigeratio et concretio magis increſcant, homo prorſus congelatus ac refrigeratus perit. Angina. Oritur autem angina, cum pituita in capite agitata, deorſum conſertim fluxerit et in maxillis ac circa

Ed. Chart. VII. [553.] Foës. I. 464. Ed. Lind. II. (41. 42.)
σιαγόσι καὶ περὶ τὸν τράχηλον. οὗτος οὔτε τὸ σίαλον δύναται καταπίνειν. ἀναπνεῖ δέ τε βιαίως καὶ ῥέγχει, καὶ ἔστιν ὅτε καὶ πυρετὸς αὐτὸν ἴσχει. τὸ μὲν οὖν νούσημα ἀπὸ τούτου γίνεται, καὶ ἄλλοτε ὑπ' αὐτὴν τὴν γλῶτταν, ἄλλοτε ὑπὲρ τῶν στηθέων ὀλίγον. σταφυλή. σταφυλὴ δὲ γίνεται ὅταν ἐς τὸν γαργαρεῶνα καταβῇ φλέγμα ἀπὸ τῆς κεφαλῆς, καὶ κα(42)τακρήμναται καὶ γίνεται ἐρυθρός. ἢν δὲ πλείων χρόνος γένηται, μελαίνεται. μελαίνεται δὲ ὧδε. ἐπιφλεβός ἐστιν ὁ γαργαρεὼν παχέης, καὶ ἐπὴν φλεγμήνῃ, θερμαίνεται, καὶ ὑπὸ τῆς θερμασίης ἕλκει καὶ ἐκ τῆς φλεβὸς τοῦ αἵματος καὶ μελαίνεται ὑπ' αὐτοῦ. διὰ τοῦτο δὲ καὶ ἢν μὴ ὀργῶντα τάμῃς, παραχρῆμα ἀποσπαρθάζουσιν. ἡ γὰρ φλὲψ διαθερμαίνει καὶ ὑπὸ τῆς θερμασίης ἐμπιπλεῖ τὰ περὶ τὸν γαργαρεῶνα αἵματος, καὶ δι' ὀλίγου ἀποπνίγονται. ἀντιάδες. ἀντιάδες δὲ καὶ ὑπογλωσσίδες καὶ οὐλα καὶ γλῶσσα καὶ ὅσα τοιαῦτα ταύτῃ πεφυκότα, ταῦτα πάντα νοσέει ἀπὸ τοῦ φλέγματος. τὸ δὲ φλέγμα ἀπὸ τῆς κεφαλῆς καταβαίνει. ἡ δὲ κεφαλὴ ἐκ τοῦ σώματος ἕλκει. ἕλκει δὲ ὅταν διαθερμανθῇ.

cervicem conſtiterit. Hic ſalivam deglutire non poteſt, nec niſi per vim ſpiritum attrahit ac ſtertit, interdumque eum febris detinet. Ea igitur eſt morbi origo et interdum ſub ipſa lingua, interdum paulo ſupra pectus contingit. Uva curgulionis affectus. Fit autem uva, cum ad curgulionem ex capite pituita delata fuerit, isque pendulus et rubicundus evadit et ſucceſſu temporis ad hunc modum nigreſcit. Curgulio venoſus eſt et craſſus et ubi inflammationem concepit, incaleſcit, propterque caliditatem ſanguinem a quo nigreſcit ex vena attrahit. Quare niſi turgentem feces, confeſtim ſeſe vibrando ſpiritum et animam efflant aegri. Vena enim calefacit et prae caliditate circumſtantia curgulionem loca ſanguine implet, intraque breve tempus ſuffocantur. Tonſillae. Tonſillae autem et partes ſublingua intumeſcentes gingivarum et linguae tumores quaeque id genus hoc loco contingere ſolent, eae omnes partes ex pituita afficiuntur. Pituita autem ex capite deſertur. Caput vero ubi calefactum fuerit, ex corpore trahit. Incaleſcit autem a ci-

Ed. Chart. VII. [553. 554.] Foël. I. 464. Ed. Lind. II. (42. 43.) διαθερμαίνεται δὲ ὑπὸ σιτίων καὶ ἡλίου καὶ πόνων καὶ πυρός. ὅταν δὲ διαθερμανθῇ, ἕλκει τὸ λεπτότατον ἐς ἑωϋτὴν ἐκ τοῦ σώματος. ὅταν δὲ εἰρύσῃ, καταβαίνει καὶ πάλιν ἐς τὸ σῶμα. [554] νοῦσοι αἱ ἀπὸ τῆς κεφαλῆς γινόμεναι. ὅταν πλήρης γένηται ἡ κεφαλὴ καὶ τύχῃ ὑπό τινος τούτων διαθερμανθῆναι, νάρκη ἴσχει τὴν κεφαλὴν καὶ οὐρέει συχνὰ καὶ τὰ ἄλλα πάσχει ἅπερ ὑπὸ στραγγουρίης, ὁ αὐτὸς ἡμέρας ἐννέα ταῦτα πάσχει, καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ὕδωρ καὶ βλαίννα, ἀπαλλάττεται τῆς νούσου, καὶ παύεται τῆς στραγγουρίης, οὐρέει τε ἀπόνως, καὶ πουλὺ καὶ λευκὸν ἐς τὰς εἴκοσιν ἡμέρας, καὶ ἡ ἐκ τῆς κεφαλῆς ὀδύνη ἐκλείπει, (43) καὶ ἐκ τῶν ὀφθαλμῶν ἐσορῶντι κλέπτεταί οἱ ἡ αὐγή, καὶ δοκέει τὸ ἥμισυ τῶν προσώπων ὁρᾶν. οὗτος τεσσαρακοσταῖος ὑγιὴς παντελῶς γίνεται. ἐνίοτε δὲ πολλοῖς ὑπανέστρεψεν ἡ νοῦσος ἑβδόμῳ ἔτει ἢ τεσσαρεσκαιδεκάτῳ, καὶ τὸ δέρμα οἱ παχύνεται τὸ τῆς κεφαλῆς, καὶ ψαυόμενον ὑπείκει, καὶ ἀπ' ὀλίγων σιτίων ἁπαλὸς καὶ εὔχροος φαίνεται καὶ ἀκούει οὐκ ὀξέα. ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς ἀρχομένῳ τῆς νούσου πρόσθεν ἢ ῥαγῆναι κατὰ τὰς

bariis, ſole, laboribus et igne. Morbi ex capite orti. Cum caput repletur et ex horum aliquo incaleſcere contingit, torpor caput detinet et crebro urinam reddit, aliisque afficitur quae ex ſtranguria contingere ſolent, eaque novem diebus patitur. Et ſi quidem per nares aut aures aqua vel mucus erumpat, a morbo vindicatur, ſtranguria ceſſat urinamque multam et albam ad viginti dies citra laborem reddit, capitis dolor deſinit et intuenti ſplendor ex oculis ipſi clam ſubducitur et dimidiatas rerum facies ſibi cernere videtur. Hinc intra quadrageſimum diem prorſus convaleſcit, multis tamen quandoque morbus ſeptimo, aut decimo quarto anno revertitur. Capitis cutis ei craſſeſcit et tactui cedit ac ex paucis cibariis mollis beneque coloratus apparet, neque acute audit. Cum ſic habentem per morbi initia offenderis, antequam per nares et aures aqua erumpat, eumque intenſus dolor detineat, deraſo capite circum frontem ſcorteo

Ed. Chart. VII. [554.] Foës. I. 464. 465. Ed. Lind. II. (43. 44.) ῥῖνας τὸ ὕδωρ καὶ κατὰ τὰ ὦτα καὶ ἔχει αὐτὸν ἡ περιωδυνίη, ἀποξυρήσαντα χρὴ αὐτὸν τὴν κεφαλὴν περιδέοντα περὶ τὸ μέτωπον τὸν ἀσκὸν τὸν σκύτινον, ὕδατος ἐμπιπλῶντα ὡς ἂν ἀνέχηται θερμοτάτου ἐᾶν αὐτὸν χλιαίνεσθαι, καὶ ἐπὴν ἀποψυχθῇ, ἕτερον ἔχειν, ἢν δὲ ἀσθενέῃ, παύεσθαι, καὶ διαλιπὼν αὖθις ποιέειν ταὐτά ἔστ' ἂν χαλάσῃ ἡ περιωδυνίη, καὶ ἢν ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύσαι αὐτὸν, καὶ πιπίσκοντα τῶν οὐρητικῶν μελίκρητα διδόναι ἐπιπίνειν ὑδαρέα καὶ θαλπέσθω ὡς μάλιστα. ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης λεπτόν. || ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ λινοζώστιν ἑψήσας ἐν ὕδατι τρίβων, διηθέων τὸν χυλὸν συμμίσγειν ἴσον τοῦ ἀπὸ τῆς πτισάνης χυλοῦ καὶ τοῦ ἀπὸ τῆς λινοζώστιος καὶ μέλι ὀλίγον παραμίσγειν ἐς τὸν χυλόν. τοῦτον ῥοφάνειν τρὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον μελιχρὸν, ὑδαρέα, λευκὸν, ὀλίγον ἐπὶ τῷ ῥοφήματι. ἐπὴν δέ οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας τὰ βλαιννώδεα, καὶ οὐρέει παχὺ καὶ τῆς ὀδύνης ἀπηλλαγμένος ἐκ τῆς κεφαλῆς τῷ ἀσκῷ μηκέτι χρήσθω, (44) ἀλλὰ λουόμενος πολλῷ θερμῷ πινέτω τὰ διουρητικὰ καὶ μελίκρητα ὑδαρέα. καὶ τὰς μὲν πρώτας ἡμέρας κέγχρον λει-

utriculo, aqua quam ferre poterit calidiſſima, pleno alligato, ipſum calefieri ſinito, ubique refrixerit alterum adhibeto. Quod ſi debilis evadat, ceſſato et intermiſſione facta rurſus eadem repetito, quoad vehemens dolor remittat. Si vero alvus non ſubducatur, eum ſubluito et propinatis urinam ducentibus, aquam mulſam aquoſam ſuperbibendam exhibeto et quam maxime foveto, ſuccumque ptiſanae tenuem ſorbeat. Quod ſi venter non ſubducatur, mercurialem aqua coctam terito, ſuccum percolato, ejusque parem portionem cum ptiſanae ſucco permiſceto et pauco melle ſucco admixto, hunc ter die ſorbeat, vinumque mulſum, aquoſum, modicum, poſt ſorbitionem propinato. At poſtquam ei per nares mucoſa eruperint, et urinam craſſam reddiderit, doloreque capitis liberatus fuerit, utre ne amplius utatur, ſed multa calida lotus urinam moventia et aquam mulſam aquoſam bibat. Et primis quidem diebus milium lingat et cu-

Ed. Chart. VII. [554. 555.] Foël. I. 465. Ed. Lind. II. (44.)

χέτω, καὶ κολοκύντην ἐσθιέτω ἢ τεῦτλα τρεῖς ἡμέρας. ἔπειτα σιτίοισι χρήσθω ὡς μαλθακωτάτοισι καὶ διαχωρητικωτάτοισι, προστιθεὶς ὀλίγον ἀεὶ τῶν σιτίων. ἐπὴν δὲ τεσσαράκοντα ἡμέραι διέλθωσι, καθίσταται γὰρ μάλιστα ἡ νοῦσος ἐν τοσούτῳ χρόνῳ, καθήρας αὐτοῦ τὴν κεφαλὴν, πρότερόν οἱ φάρμακον δοὺς κάτω κάθηρον, ἢν ὥρη ἔῃ τοῦ ἔτεος. ἔπειτα ὀρρὸν μεταπίσαι ἑπτὰ ἡμέρας· ἢν καὶ ἀσθενήσῃ, ἐλάσσονας. ἢν δὲ ὑποστρέψῃ ἡ νοῦσος, πυριάσας αὐτὸν ὅλον ἐς αὔριον, δίδου ἐλλέβορον πίνειν. κἄπειτα διαλείπειν ὅσον ἄν σοι δοκέῃ χρόνον καὶ τότε τὴν κεφαλὴν καθήρας κατωτερικὸν δοὺς φάρμακον, καῦσον τὴν κεφαλὴν ἐσχάρας ὀκτὼ, [555] δύο μὲν παρὰ τὰ ὦτα, δύο δὲ ὄπισθεν τῆς κεφαλῆς, ἔνθεν καὶ ἔνθεν ἐν τῇ κοτίδι. δύο ἐν τῇ ῥινὶ παρὰ τοὺς κανθούς. τὰς φλέβας καίειν δὲ τὰς μὲν παρὰ τὰ ὦτα, ἕστ' ἂν παύσωνται σφύζουσαι. τοῖσι δὲ σιδηρίοισι σφηνίσκους ποιησάμενος, διακαίειν πλαγίας τὰς φλέβας. ταῦτα ποιήσαντι ὑγιείη ἐγγίνεται. ἄλλη νοῦσος. ἑλκέων καταπίμπλαται τὴν κεφαλὴν καὶ τὰ σκέλεα οἰδίσκεται, ὥσπερ ἀπὸ ὑδροποσίης, καὶ ἐν τῇσι

curbitam aut betas tribus diebus edat, deinde cibis quam molliſſimis et alvum maxime ſubducentibus utatur, pauco ſemper cibo addito. Diebus vero quadraginta elapſis, tanto enim tempore morbus praecipue circumſcribitur, ubi ipſius caput repurgaveris, primum medicamentum deorſum purgans exhibebis, ſi anni tempeſtas permiſerit, deinde ſerum ſeptem diebus propinabis, aut ſi debilis exiſtat, paucioribus. Quod ſi revertatur morbus, toti corpori fomento adhibito, poſtridie veratrum potui exhibeto, deinde quantum videbitur intermiſſione facta, tuncque ad caput repurgandum exhibito medicamento deorſum purgante, caput octo cruſtis inurito, duabus quidem ad aures, duabus vero ad poſteriorem capitis partem, hinc atque hinc ad cervicis initium duabus in naribus juxta oculorum angulos. Venas autem juxta aures quoad pulſare ceſſent urito, ferramentis vero quae cuneolos faciant, eas tranſverſas perurito. Atque haec ubi feceris ſanitas continget. Alius morbus. Ulceribus circa caput impletur et crura intumeſcunt, velut ex aquae potu tibiae

Ed. Chart. VII. [555.] Foes. I. 465. Ed. Lind. II. (44. 45.)
κνήμησιν ἐμπλάσσεται, καὶ ἢν πέσῃς, ἡ χροιὴ ἰκτερώδης, καὶ ἐκφύει ἕλκεα ἄλλοτε ἄλλῃ, μάλιστα δὲ περὶ τὰς κνήμας, καὶ φαίνεται πονηρὰ προσιδέειν. ἀποφλεγμήναντα δὲ ταχέως ὑγιέα γίνονται, καὶ πυρε(45)τὸς ἄλλοτε καὶ ἄλλοτε λαμβάνει. ἡ δὲ κεφαλὴ ἀεὶ θερμὴ γίνεται, καὶ ἐκ τῶν ὤτων ὕδωρ ῥέει. ὅταν οὕτως ἔχει, φάρμακόν οἱ δοῦναι, ὑφ' οὗ φλέγμα καὶ χολὴ καθαιρεῖται ἄνω. ἢν μὲν ψῦχος ἔῃ, προπυριάσας καὶ λούσας θερμῷ. ἔπειτα διαλείπων ἡμέρας τρεῖς τὴν κεφαλὴν καθῆραι. μετὰ δὲ κάτω φάρμακον πίσαι. ἢν δὲ ὥρη ἔῃ καὶ ὀρρὸν μεταπιέτω. εἰ δὲ μή, γάλα ὄνου. μετὰ δὲ τὰς καθάρσιας σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω καὶ διαχωρητικωτάτοισι, καὶ ἀλουτεέτω. ἢν δὲ ἡ κεφαλὴ ἕλκωται, τρύγα κατακαίων οἰνηρὴν, σμῆγμα ποιῶν σύμμισγε τοῦ βαλάνου τὸ ἔκλεμμα λεῖον τρίβων. λίτρον συμμίσγων ἴσον ἀποσμήξας τούτοισι λούσθω πολλῷ θερμῷ. χριέσθω δὲ τὴν κεφαλὴν δαφνίδας τρίψας καὶ κικίδας καὶ σμύρναν καὶ λιβανωτὸν καὶ ἀργυρίου ἄνθος καὶ ὕειον ἄλειφα καὶ δάφνιον ἔλαιον. ταῦτα μίξας χρίειν. τὸν δὲ μετὰ ταῦτα χρόνον ἐμέτοισι χρήσθω τρὶς τοῦ

ulceribus offarciuntur, ac ſi premas, color eſt auriginoſus, ulceraque alias alia corporis parte, praecipueque in tibiis pullulant, et maligna aſpectu apparent, depoſita vero inflammatione celeriter ſanantur, febrisque ſubinde corripit, caput perpetuo calet et ex auribus aqua effluit. Cum ſic habet, medicamentum ei exhibeto quod pituitam et bilem ſurſum purget, ſi quidem frigus fuerit, ubi prius foveris et calida laveris. Deinde trium dierum intermiſſione facta caput purgato, poſteaque medicamentum deorſum purgans bibendum dato, et ſi anni tempus opportunum fuerit, ſerum deinceps propinato, ſin minus, lac aſininum. Poſt purgationes autem cibis quam pauciſſimis maximeque alvum ſubducentibus utatur neque lavet. Quod ſi caput ulceretur, ſmegmate ex vini foece uſta parato, glandis putamen leviter tritum admiſceto, nitri pari portione admixta, quibus defrictus multa calida lavetur. Caput autem inungatur baccis lauri tritis, gallis, myrrha, thure, argenti flore, adipe ſuillo et oleo laurino, quibus commixtis illinito. Poſt haec

Ed. Chart. VII. [555.] Foël. I. 465. 466. Ed. Lind. II. (45. 46.) μηνὸς, καὶ γυμναζέσθω καὶ θερμολουτεέτω. ἢν δέ σοι τάδε ποιέοντι ἐκ μὲν τοῦ ἄλλου σώματος ἡ νοῦσος ἐξεληλύθη, ἐν δὲ τῇ κεφαλῇ ἔτι ἕλκεά οἱ γίνηται, καθάρας τὴν κεφαλὴν αὖθις, φάρμακον κάτω μεταπίσαι. ἔπειτα ξηρήσας τὴν κεφαλὴν καταταμέειν τομὰς ἀραιὰς, καὶ ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, ἀτατρῖψαι. ἔπειτα εἴρια πινόεντα οἴνῳ ῥαίνων ἐπιδεῖν, καὶ ἐπὴν ἀπολύσῃς, περισπογγίζειν καὶ μὴ βρέχειν. ἔπειτα κυπάρισσον ἐπιπάττειν ἐλαίῳ ὑποχρίων. τοῖσι δὲ εἰρίοισι ἐπιδέσμοισι χρήσθω, ἔστ' ἂν ὑγιὴς γένηται. (46) Ἄλλη νοῦσος. || περιωδυνίη λαμβάνει τὴν κεφαλὴν καὶ ἐπὴν κινήσῃ τὶς ἧττον, ἐμέει χολήν. ἐνίοτε δὲ καὶ δυσουρέει καὶ παραφρονέει. ἐπὴν δ' ἑβδομαῖος γένηται, ἐνίοτε ἀποθνήσκει. ἢν δὲ τὴν ἑβδόμην διΐῃ, καὶ ἐνναταῖος ἢ ἑνδεκαταῖος. ἢν μή οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα. ἢν δὲ ῥαγῇ, ὑπεκφυγγάνει. ῥεῖ δὲ ὑπόχολον ὕδωρ. ἔπειτα τῷ χρόνῳ πῦον γίνεται ἐκσαπέν. ὅταν οὖν οὕτως ἔχῃ, ἕως μὲν ἂν ἡ περιωδυνίη ἔχῃ κατ' ἀρχὰς, πρὶν ῥαγῆναι ἐκ τῶν ῥινῶν καὶ τῶν ὤτων, σπόγγους ἐν

autem vomitionibus ter in menſe utatur, exerceat ſe et calida lavetur. Quod ſi cum haec feceris, morbus quidem ex reliquo corpore diſceſſerit, in capite autem adhuc ipſi ulcera oriantur, rurſus capite purgato, medicamentum deorſum purgans poſtea propinato, deinde caput deraſum levibus inciſuris incidito, cumque ſanguis effluxerit, confricato, mox lanas ſuccidas vino madidas obvolvito, cumque ſolveris, ſpongia detergito nec madefacito. Deinde inſparſo cypariſſi pulvere, oleo ſublinito. Laneis autem vinculis quoad ſanus evadat utatur. Alius morbus. Caput dolor vehemens prehendit, et ubi quis vel paululum agitatur, bilem vomit, interdum vero difficulter urinam reddit et mente alienatur, cumque ad ſeptimum diem pervenerit, quandoque moritur. Quod ſi hunc tranſmiſerit, etiam nono aut undecimo die, niſi ei per nares vel aures fluxerit. Si vero eruperit, evadit. Fluit autem aqua aliquantulum bilioſa, deinde ſucceſſu temporis putredine in pus vertitur. Cum igitur ita habuerit, quoad quidem dolor vehemens detinuerit, per initia antequam ex naribus et auribus erumpat, ſpon-

. [555. 556.] Foël. I. 466. Ed. Lind. II. (46. 47.)
βρέχων, ἄσσον προστιθέναι πρὸς τὴν κεφαλήν.
οιούτοισι χαλῷ, τῷ ἀσκῷ χρῆσθαι τῷ αὐτῷ
ἐπὶ τῆς προτέρης. πινέτω δὲ μελίκρητα ὑδαρέα.
πὸ τοῦ μελι[556]κρήτου, τὸ ἀπὸ τῶν κριμνῶν
ροφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης καὶ ἐπι-
ὸν οἶνον ὑδαρέα. ἐπὴν δὲ ῥαγῇ κατὰ τὰ ὦτα
ἀνῇ καὶ ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητι-
μένος ἐξ ὀλίγων, προστιθεὶς ἀεί, καὶ λούσθω
κεφαλῆς, καὶ τὰ ὦτα διακλύζειν ὕδατι καθαρῷ,
ω σπογγίαν μέλιτι ἐμβάπτων. ἢν δέ τοι μὴ ξη-
ως, ἀλλὰ χρόνιον γένηται τὸ ῥεῦμα, διακλύσας,
ργύρου ἄνθος, σανδαράχην, ψυμμίθιον, ἴσον ἑκά-
ρίβων ἐμπιπλεὶς τὸ οὖς σάσσειν, καὶ ἢν παραῤ-
άλλειν τοῦ φαρμάκου. ἐπὴν δὲ ξηρὸν γένηται τὸ
ρας ἐκλύσαι τὸ φάρμακον. ἔπειτα, κωφὸν γὰρ γί-
ρῶτον ἀπο(47)ξηρανθὲν, πυριᾶν αὐτὸν βλητρῇσι
ὦτα. καταστήσεται γὰρ οὕτω μόλις καὶ ἐν χρόνῳ.
υσι δὲ καὶ ἢν ἐς τὸ οὖς περιωδυνίη γινομένη μὴ

madefactas capiti propius admoveto. Si vero
e remittat, utre eo modo quo in priore morbo
quam autem mulſam aquoſam bibat, ſin minus
n, aquam in qua farina hordei craſſior macerata
ſanae vero ſuccum ſorbeat et vinum album aquo-
bibat. Ubi autem per aures eruperit febrisque
miſerit, cibis utatur alvum ſubducentibus, a pau-
lucto, ſemper aliquid addendo. Calida caput la-
res aqua limpida proluat, ſpongiamque melle im-
ponat. Quod ſi ne ſic quidem reſiccetur, verum
fluxio evadat, poſt colluvionem factam argenti-
, ſandaracham, ceruſam, ſingula pari portione te-
a immittito, his aures impleto ac refercito, et ſi
fluat, aliquid de medicamento ſuperinjicito. Cum
reſiccata fuerit, ubi expurgaveris medicamentum
einde cum primum auris reſiccata obſurdeſcat, le-
ientis aures foveto. Sic enim non niſi agre ac
pore conquieſcet. Moriuntur quoque ſi etiam ve-

Ed. Chart. VII. [556.] Foës. I. 466. Ed. Lind. II. (47.)

ῥαγῇ ἐν τοῖσιν ἑπτὰ ἡμέρῃσιν. ἢ τοῦτον λούειν πολλῷ θερμῷ καὶ σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἐκμάσσων χλιαρους προστιθέναι πρὸς τὸ οὖς. ἢν δὲ μηδὲ οὕτω ῥήγνυται, πυριᾶν αὐτῷ τὸ οὖς. ῥοφήμασι δὲ καὶ πόμασι τοῖσιν αὐτοῖσι χρῆσθαι οἷσί περ ἐπὶ τοῖσι πρόσθεν. ἑτέρη νοῦσος. ἢν ὕδωρ ἐπὶ τῷ ἐγκεφάλῳ γένηται, ὀδύνη ὀξείη ἴσχει διὰ τοῦ βρέγματος καὶ τῶν κροτάφων ἄλλοτε ἄλλη, καὶ ῥῖγος καὶ πυρετὸς ἄλλοτε καὶ ἄλλοτε καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει καὶ ἀμβλυώσσει, καὶ ἡ κόρη σχίζεται καὶ δοκέει ἐκ τοῦ ἑνὸς δύο ὁρᾶν, καὶ ἢν ἀναστῇ, σκοτοδινίη μὶν λαμβάνει. καὶ τὸν ἄνεμον οὐκ ἀνέχεται οὐδὲ τὸν ἥλιον, καὶ τὰ ὦτα τέτριγε, καὶ τῷ ψόφῳ ἄχθεται ἀκούων, καὶ ἐμέει σίελα καὶ λάπην, ἐνίοτε δὲ καὶ τὰ σιτία καὶ τὸ δέρμα λεπτύνεται τῆς κεφαλῆς καὶ ἥδεται ψαυόμενος. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν δοῦναί οἱ πιέειν φάρμακον ἄνω, ὅ τι φλέγμα ἄξει, καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι. ἔπειτα διαλείπων φάρμακον πίσαι κάτω. ἔπειτα σιτίοισιν ἀνακομίζειν αὐτὸν, ὡς ὑποχωρητικωτάτοισιν ὀλίγα ἀεὶ προστιθείς. ἐπὴν δὲ κατεσθίῃ ἤδη

hemens dolor aurem occupet, neque intra ſeptem dies eruperit. Hunc calida multa lavato et ſpongias aqua calida maceratas, tepidas expreſſas, ad aurem apponito. Quod ſi ne ſic quidem rumpatur, ei fomentum ad aurem admoveto. Sorbitionibus autem et potionibus iisdem quibus in ſuperioribus utitor. Alius morbus. Aqua ſi in cerebro ſuborta fuerit, dolor acutus ſinciput et tempora interdumque alia capitis parte detinet, ſubindeque rigor ac febris oculorum regiones dolor occupat, iique caligant, pupilla ſcinditur et ex uno duo ſibi cernere videtur, et ſi ſurrexerit, ipſum tenebricoſa vertigo prehendit, neque ventum neque ſolem ſuſtinet, aures tinniunt, auditoque ſtrepitu indignatur, ſalivam et pituitam vomitione refundit, quandoque vero etiam cibos, capitis cutis extenuatur et contactu gaudet. Cum ita habeat, primum quidem medicamentum ſurſum purgans, quod pituitam educat, exhibeto, poſt haec caput purgato, deinde intermiſſione facta medicamentum deorſum purgans propinato, mox eum cibis quam maxime alvum ſubducentibus relicito, ſenſim

Ed. Chart. VII. [556. 557.] Foës. I. 466. 467. Ed. Lind. II. (47. 48.)
τὰ σιτία ἀρκοῦντα, ἐμέτοισι χρήσθω νῆστις τῷ φακείῳ συμμίσγων μέλι καὶ ὄξος, λάχανα προτρώγων, καὶ τῇ ἡμέρῃ ταύτῃ ἂν ἐμέσῃ, πρῶτον μὲν κυκεῶνα πινέτω λεπτόν. ἔπειτα ἐς ἑσπέρην σιτίοισιν ὀλίγοισι (48) χρήσθω καὶ ἀλουτεέτω καὶ περιπατείτω ἀπὸ τῶν σιτίων καὶ ὄρθρου φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον, καὶ πρὸς πῦρ μὴ προσιέτω. καὶ ἢν μὲν τοιαῦτα ποιήσαντι ὑγιὴς γένηται· εἰ δὲ μὴ προκαθήρας αὐτὸν τοῦ ἕρος πρῶτον μὲν ἐλλεβόρῳ, ἔπειτα καὶ ἐς τὰς ῥῖνας ἐγχέαι φάρμακον, καὶ διαλιπὼν ὀλίγον χρόνον κάτω καθῆραι. ἔπειτα ἀνακομίσας σιτίοισιν, εἶτα καταταμὼν τὴν κεφαλὴν κατὰ τὸ βρέγμα, τρυπῆσαι πρὸς τὸν ἐγκέφαλον καὶ ἰῆσθαι ὡς πρίσμα. ἄλλη νοῦσος. ῥῖγος, ὀδύνη καὶ πυρετοὶ διὰ τῆς κεφαλῆς, [557] || μάλιστα δὲ ἐς τὸ οὖς καὶ ἐς τοὺς κροτάφους καὶ ἐς τὸ βρέγμα, καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει, καὶ αἱ ὀφρύες δοκέουσίν οἱ ἐπικέεσθαι, καὶ τὴν κεφαλὴν βάρος ἔχει, καὶ ἢν τίς μιν κινήσῃ, οὐρήσει, καὶ οὐρέει πουλὺ καὶ ῥηϊδίως καὶ τοὺς ὀδόντας ναρκᾷ καὶ αἱμωδίη ἔχει καὶ αἱ φλέβες αἴρονται καὶ σφύζουσι τῇ κε-

ſemper adiiciendo. Ubi vero jam ſatis ciborum comederit, jejunus vomitionibus utatur, lenticulae decocto melle et aceto admixto, olera comedens, eoque die quo vomuerit primum quidem cyceonem liquidum bibat, deinde ſub veſperum paucis cibis utatur neque lavet, poſt cibos deambulet et mane ventum et ſolem devitans neque ad ignem accedat. Quod ſi cum haec feceris, ſanus evadat, ſat eſt, ſin minus, ubi eum vere primum quidem veratro ante purgaveris, deinde etiam in nares medicamentum infundito et parvo tempore intermiſſo deorſum purgato. Deinde poſtquam cibis eum refeceris, demum ſecto juxta ſinciput capite, ad cerebrum uſque perforato et velut ſectionem per terebram curato. Alius morbus. Rigor, febris et dolor caput vexat, praecipue vero ad aurem et tempora, ac ſinciput, oculorum regiones dolet, ſupercilia velut pondus incumbere videntur et caput gravatur, ac ſi quis eum agitet, urinam reddit copioſe et facile, dentes torpor et ſtupor detinet, venae attolluntur et in capite pulſant, quietem ferre

Ed. Chart. VII. [557.] Foes. I. 467. Ed. Lind. II. (48. 49.)

φαλῇ, καὶ οὐκ ἀνέχεται ἠρεμέων, ἀλλ' ἀλύει καὶ ἀλλοφρονέει ὑπὸ τῆς ὀδύνης. τούτῳ ἢν μὲν κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ῥαγῇ, ὕδρωψ ῥεῖ ὑπόπυος καὶ ὑγιὴς γίνεται· ἢν δὲ μὴ, ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν ὡς τὰ πολλά. αὕτη ἡ νοῦσος γίνεται μάλιστα ἐκ λιπυρίης, ἐπὴν ἀπαλλαγεὶς τοῦ πυρὸς ἀκάθαρτος ἐὼν ἢ σιτίων ἐμπλησθήσεται ἢ θωρήξεται ἢ ἐν ἡλίῳ κάμῃ. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν ἀφεῖναι ἀπὸ τῆς κεφαλῆς τοῦ αἵματος ὁπόθεν ἄν σοι δοκέῃ· ἐπὴν δὲ ἀφῇς τὴν κεφαλὴν ξυρήσας, ψύγματά οἱ προσφέρειν, καὶ ἢν μὴ ὑποχωρέῃ ἢ γαστὴρ, ὑποκλύσαι. πίνειν (49) δὲ διδόναι τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρὸν καὶ ἐπιπίνειν ὕδωρ. ἢν δέ οἱ πρὸς τὰ ψύγματα μὴ χαλᾷ, μεταβαλὼν τῷ ἀσκῷ χρῆσθαι καὶ θερμαίνειν. ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητικοῖσι καὶ μὴ ἐμπιπλάσθω. ἐπὴν δὲ γένηται εἰκοσταῖος πεπαυμένης τῆς ὀδύνης, πυριήσας αὐτοῦ τὴν κεφαλὴν πρὸς τὰς ῥῖνας φάρμακον προσίθει καὶ διαλιπὼν ἡμέρας τρεῖς φάρμακον πίσαι κάτω. ἑτέρη νοῦσος. ἢν ὑπερ-

nequit, ſed anxietudine premitur et prae dolore mente alienatur. Huic ſi quidem per nares aut aures eruperit, aqua effluit aliquantum purulenta et convaleſcit, ſin minus, ſeptem diebus fere moritur. Hic morbus praecipue ex febre lipyria ortum habet, cum febre liberatus neque purgatus aut cibis et vino ſe impleverit, aut inebriatus fuerit, aut in ſole ſe exercuerit. Cum ſic habuerit, primum quidem ſanguinem ex capite quacunque parte viſum fuerit demito, eoque detracto, raſo capite ei refrigerantia admoveto, et ſi venter non ſubducatur, per infuſum ſubluendus. Potui autem ptiſanae ſuccus frigidus exhibendus et aqua ſuperbibenda. Quod ſi ad refrigerantia ei non remittat morbus, mutatione facta utre utitor et caleſacito. Ubi vero dolor ſedatus fuerit, cibis alvum ſubducentibus utatur neque impleatur. Cum autem ſedato dolore ad vigeſimum diem pervenerit, fomento capiti adhibito, medicamentum ad nares admoveto et intermiſſione trium dierum facta medicamentum deorſum purgans propinato. Alius morbus. Si venulae co-

Ed. Chart. VII. [557.] Foës. I. 467. Ed. Lind. II. (49, 50.)

ἐμήσαντα τὰ φλέβια τὰ αἵματα τὰ περὶ τὸν ἐγκέφαλον θερμήνῃ τὸν ἐγκέφαλον, πυρετὸς ἴσχει ἰσχυρὸς καὶ ὀδύνη ἐς τοὺς κροτάφους καὶ τὸ βρέγμα καὶ ἐς τοὔπισθεν τῆς κεφαλῆς, καὶ τὰ ὦτα ἠχέῃ καὶ πνεύματος ἐμπίπλαται καὶ ἀκούει οὐδὲν καὶ ἀλύει, καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν ὑπὸ τῆς ὀδύνης. οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑκταῖος. ὅταν οὕτως ἔχῃ, θερμαίνειν αὐτοῦ τὴν κεφαλήν. ἢν γὰρ φαγῇ διὰ τῶν ὤτων ἢ τῶν ῥινῶν ὕδωρ, οὗτος ἐκφυγγάνει τὸν ὄλεθρον. ἢν δὲ φύγῃ τὰς ἡμέρας τὰς ἓξ, διαιτᾶν αὐτὸν ὥσπερ τὴν προτέρην. ἑτέρη νοῦσος. ἢν ὑπερεμήσωσιν αἱ φλέβες ἐς τὴν κεφαλήν, ὀδύνη ἔχει βραχέη τὴν κεφαλὴν πᾶσαν καὶ ἐς τὸν τράχηλον, καὶ μεταβάλλει ἄλλοτε ἄλλα τῆς κεφαλῆς, καὶ ἐπειδὰν ἀναστῇ, σκοτοδινίη μὲν ἴσχει, πυρετὸς δὲ οὐ λαμβάνει. ὅταν οὖν οὕτως ἔχῃ, ξυρήσας τὴν κεφαλήν, ἢν μὴ τοῖσι χλιάσμασιν ὑπακούει, σχίσαι ἀπὸ τῆς κεφαλῆς τὸ μέτωπον, ᾗ ἀπολήγει τὸ δασύ. ἐπὴν δὲ τάμῃς, διαστείλας τὸ δέρμα, ὅταν ἀποῤῥυῇ τὸ αἷμα, ἁλσὶ λεπτοῖσι (50) διαπάσαι. ἐπὴν δέ σοι τὸ αἷμα ἀποῤῥυῇ, συνθεὶς τὴν τομήν, κρόκῃ διπλῇ κατειλίξαι πᾶσαν

piam ſanguinis circa cerebrum ſuperevomuerint et cerebrum caleſecerint, febris ac dolor vehemens ad tempora, ſinciput et poſteriorem capitis partem detinet, aures tinniunt, flatibus implentur, nihil audit, aeſtuat et prae dolore ſeipſe incontinenter jactat. Hic quinto aut ſexto die moritur. Cum ſic habuerit, caput calefacito. Etenim ſi per aures aut nares aqua proruperit, periculum effugit. Quod ſi ſextum diem evaſit, eandem victus rationem quam in priore morbo inſtituito. Alius morbus. Si venae in caput ſuperevomuerint, dolor levis totum caput detinet et ad cervicem pertingit, interdumque ad alias capitis partes transmittit, deinde ubi ſurrexerit, eum tenebricoſa vertigo occupat, febris non prehendit. Cum ſic habuerit, deraſo capite, niſi calefactoriis ceſſarit, a capite frontem qua capillus deſinit, ſcindito, ſectam cutim diducito, ubi ſanguis defluxerit, tenuiſſimo ſale conſpergito. Poſtea vero quam ſanguis defluxerit, totam ſectionem duplici filo involutam componito,

Ed. Chart. VII. [557. 558.] Foes. I. 467. 468. Ed. Lind. II. (50.)
αὐτήν. ἔπειτα περιχρίσας τῇ κηροπίσσῳ σπληνίσκον, ἐπιθεὶς κάτω ἐπὶ τῷ ἕλκει εἴριον πινόεν ἐπιτιθεὶς καταδῆσαι καὶ μὴ λῦσαι ἄχρις ἑπτὰ ἡμερῶν, ἢν μὴ ὀδύνη ἔχῃ· ἢν δὲ ἔχῃ, ἀπολύσασθαι. διδύναι δὲ ἔστ' ἂν ὑγιὴς γένηται, πίνειν μὲν τὸ ἀπὸ τοῦ κρίμνου, ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης καὶ ἐπιπίνειν ὕδωρ. [558] ἑτέρη νοῦσος. ἢν δὲ χολῇ ὁ ἐγκέφαλος, πυρετὸς ἴσχει βληχρὸς καὶ ῥῖγος καὶ ὀδύνη διὰ τῆς κεφαλῆς πάσης. μάλιστα δὲ ἐς τοὺς κροτάφους καὶ ἐς τὸ βρέγμα, καὶ ἐς τὰς χώρας τῶν ὀφθαλμῶν, καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι, καὶ ἐς τὰ ὦτα ὀδύνη ἐσφοιτᾷ, καὶ ἐνίοτε καὶ κατὰ τὰς ῥῖνας χολὴ ῥεῖ, καὶ ἀμβλυώσσουσι τοῖσιν ὀφθαλμοῖσι. καὶ τοῖσι μὲν πλείστοισιν ἐς τὸ ἥμισυ τῆς κεφαλῆς ἡ ὀδύνη ἐσφοιτᾷ, γίνεται δὲ καὶ ἐν πάσῃ τῇ κεφαλῇ. ὅταν οὕτως ἔχῃ, ψύγματά οἱ προστιθέναι πρὸς τὴν κεφαλήν, καὶ ἐπὴν ἥ τε ὀδύνη καὶ τὸ πνεῦμα παύηται, σελίνου χυλὸν ἐς τὰς ῥῖνας ἐνστάζειν, || καὶ μὴ λουέτω ἕως ἂν ἡ ὀδύνη ἔχῃ, καὶ ῥοφανέτω κέγχρον λεπτὸν, μέλι ὀλίγον παραχέων, καὶ πινέτω ὕδωρ. ἢν δὲ μὴ ὑποχωρέῃ, κράμβας ἐσθιέτω καὶ

deinde ſplenium cera et pice illitum, ulceri inferiore parte imponito, lana ſuccida appoſita deligato et ſinito ad dies ſeptem, niſi dolor detineat, qui ſi detineat, ſolvito. Aquam autem in qua farina hordei craſſior macerata fuerit, quoad convaluerit, ei bibendam exhibeto, ptiſanae vero ſuccum ſorbendum, aquam etiam ſuperbibendam dato. Alius morbus. Si cerebrum bilis vexet, febris lenis et rigor detinet, dolorque toto capite, praecipue vero ad tempora, ſinciput et oculorum regiones, ſupercilia ſuspendi videntur et ad aures dolor pervadit, quandoque per nares bilis effluit, oculi caligant et plerisque quidam ad dimidiam capitis partem dolor pervenit, toto etiam capite oritur. Cum ita habuerit, refrigerantia ei ad caput admoveto et ubi dolor et fluxio quieverit, apii ſuccum in nares inſtillato, neque lavet quamdiu dolor detinet et milium liquidum pauco melle affuſo ſorbeat, et aquam bibat. Quod ſi alvus non ſubducatur, braſſicas edat et ſuccum ſor-

Ed. Chart. VII. [558.] Foës. I. 468. Ed. Lind. II. (50. 51.)

τὸν χυλὸν ῥοφανέτω· ἢν δὲ μὴ, τῆς αὐτῆς τῶν φύλλων τὸν αὐτὸν τρόπον, καὶ ἐπήν σοι δοκέῃ καιρὸς εἶναι σιτία προσφέρειν οἷ ὡς ὑποχωρητικώτατα, καὶ ἢν ἀπηλλαγμένου τοῦ ῥεύματος καὶ τῆς ὀδύνης, ὑπὲρ τῆς ὀφρύος αὐτῷ βάρος τι γένηται κατὰ τὸν μυξωτῆρα, ἢν (51) μύξα παχείη ᾖ καὶ σαπρὴ, πυριήσας αὐτὸν ὄξει καὶ ὕδατι καὶ ὀριγάνῳ, ἔπειτα λούσας θερμῷ ὕδατι, προσθεῖναι τὸ ἄνθος τοῦ χαλκοῦ καὶ τὴν σμύρναν πρὸς τὰς ῥῖνας. ταῦτα ποιήσας, ὡς τὰ πολλὰ ὑγιῆ δείξῃς. ἡ δὲ νοῦσος οὐ θανατώδης. ἑτέρη νοῦσος. ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη λάζεται ἐκ τῆς κοτίδος ἐς τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην καταφοιτᾷ ψῦχος, καὶ ἱδρὼς ἐξαπίνης καινὸς τελέθει, καὶ διὰ τῶν ῥινῶν αἷμα ῥεῖ. πολλοὶ δὲ καὶ ἐμέουσιν. οὗτος ἐν τρισὶν ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ τὰς ἑπτὰ ἡμέρας ὑπερφύγῃ, οὐχ ὑπερφεύγουσι δὲ οἱ πολλοὶ, ἢν οὖν τὸ αἷμα ἐμέῃ ἢ ἐκ τῶν ῥινῶν ῥέῃ, μήτε λούειν αὐτὸν θερμῷ, μήτε χλιάσματα προσφέρειν, πίνειν δὲ διδόναι ὄξος λευκὸν ὑδαρέα κιρνῶν, καὶ ἢν ἀσθενέῃ, τῆς πτισάνης ῥοφάνειν. ἢν δὲ πλείονός σοι δοκέῃ τοῦ δικαίου

beat, ſin minus, foliorum ſambuci ſuccum ad eundem modum. Cumque tempeſtivum tibi videbitur, cibos quam maxime alvum ſubducentes ei porrigito. Ac ſi propulſata fluxione et dolore ad ſupercilia juxta naſum pondus quoddam ei incumbere videatur, mucusque craſſus ſit et putridus, fomento ex aceto, aqua et origano adhibito, mox calida loto, aeris florem et myrrham ad nares admoveto. Haec ubi feceris, plerumque ſanum videbis, morbus autem minime eſt lethalis. Alius morbus. Si ſideratum cerebrum fuerit, dolor ex occipitio ad ſpinam tendit et cor frigus permeat, derepente novus ſudor oritur et per nares ſanguis fluit, plerique etiam vomunt. Hic intra tres dies moritur. Quod ſi ſeptimum diem ſuperaverint, plerique vero minime ſuperant, et ſi ſanguinem vomat, aut ex naribus effluat, neque eum calida lavato neque calefactoria admoveto. Acetum vero album aqua temperatum potui exhibeto et ſi debilis fuerit, ptiſanam ſorbendam dato. Quod ſi plus aequo

Ed. Chart. VII. [558.] Foës. I. 468. Ed. Lind. II. (51. 52.)
ἐμέειν τὸ αἷμα ἢ ἐκ τῶν ῥινῶν οἱ ῥέῃ, ὑπὸ μὲν τοῦ ἐμέτου πινέτω ἄλητον σιτάνιον ἐπὶ ὕδωρ ἐπιπάσσων. ἢν δὲ ἐκ τῶν ῥινῶν ῥέῃ, καὶ ἀποδείτω τὰς φλέβας τὰς ἐν τοῖσι βραχίοισι καὶ τὰς ἐν τοῖσι κροτάφοισι, σπλῆνας ὑποτιθείς. ἢν δὲ τούτων οἱ μηδ' ἕτερον ἔῃ, ἀλγέει δὲ τὴν κοτίδα καὶ τὸν τράχηλον καὶ τὴν ῥάχιν καὶ ἐπὶ τὴν καρδίην ἴῃ τὸ ψῦχος, χλιαίνειν ἐν τοῖσιν ὀρόβοισι τὰ στέρνα καὶ τὸν νῶτον καὶ τὴν κοτίδα καὶ τὸν τράχηλον. ταῦτα ποιέων μάλιστα ἂν ὠφελέοι. ἐκφεύγουσι δὲ τὴν τοιαύτην νοῦσον ὀλίγοι. ἑτέρη νοῦσος. ἐξαπίνης ὑγιαίνοντα ὀδύνη ἔλαβε τὴν κεφαλήν, καὶ παραχρῆμα ἄφω(52)νος γίνεται καὶ ῥέγχει καὶ τὸ στόμα κέχηνε, καὶ ἤν τις αὐτὸν καλέῃ ἢ κινήσῃ, στενάζει μοῦνον. συνίει δὲ οὐδέν, καὶ οὐρέει πολὺ, καὶ οὐκ ἐπάγει οὐρέων. οὗτος ἢν μὴ πυρετὸς λάβῃ, ἐν τοῖσιν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ λάβῃ, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται. ἡ δὲ τοιαύτη νοῦσος πρεσβυτέροισι μάλιστα γίνεται ἢ νεωτέροισι. τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ, καὶ θάλπειν ὡς μάλιστα, καὶ ἐνστάζειν μελίκρητον χλιαίνων ἐς

ſanguinem tibi vomitione refundere aut ei ex naribus effluere videatur, a vomitu quidem farinam ſetaniam aquae inſperſam bibat. Si vero ex naribus fluat, brachiorum et temporum venas ſpleniis ſuppoſitis deligato. At ſi horum neutrum affuerit, occipitium autem et ſpinam dolor vexet et ad cor frigus procedat, ervo pectus, dorſum, occipitium et cervicem caleſacito. Haec cum feceris, maxime juveris. Pauci vero ex hoc morbo evadunt. Alius morbus. Derepente ſanum capitis dolor prehendit, confeſtimque vox eum deſicit, ſtertit et os apertum eſt, et ſi quis eum vocet aut agitet, ſolum ingemiſcit, nihil intelligit, urinam copioſam reddit, eamque ſe reddere non percipit. Hic niſi eum febris corripiat, intra ſeptem dies moritur. Quod ſi corripuerit, plerunque ſanus evadit. Huiusmodi autem morbus ſenioribus fere contingit, magisque quam junioribus. Hic cum ſic habeat, multa calida lavandus eſt et quam maxime fovendus, eique aqua mulſa tepida in os inſtillanda. Quod ſi

Ed. Chart. VII. [558. 559.] Foëſ. I. 468. Ed. Lind. II. (52. 53.)
τὸ στόμα. ἢν δὲ ἔμφρων γένηται καὶ ἐκφύγῃ τὴν νοῦσον, ἀνακομίσας αὐτὸν σι[559]τίοισιν, ἐπάν σοι δοκέῃ ἰσχύειν, ἐς τὰς ῥῖνας ἐνθεὶς αὐτῷ φάρμακον καὶ διαλιπὼν ὀλίγας ἡμέρας, κατωτερικὸν δὸς πιεῖν. ἢν γὰρ μὴ καθήρῃς, δεῖμα αὖθις τὴν νοῦσον ὑποστρέψαι. ἐκφυγγάνουσι δὲ οὐ μάλα ἐκ τῆς πρώτης. ἑτέρη νοῦσος. ἢν δὲ ἐκ θωρήξιος ἄφωνος γένηται, ἢν μὲν αὐτίκα δὴ καὶ παραχρῆμα λάβῃ μὶν πυρετὸς, ὑγιὴς γίνεται· ἢν δὲ μὴ λάβῃ, τριταῖος ἀποθνήσκει. ἢν δὲ μὴ οὕτως ἔχοντι ἐπιτύχῃς, λούειν πολλῷ καὶ θερμῷ, καὶ πρὸς τὴν κεφαλὴν σπόγγους ἐν ὕδατι βάπτων θερμῷ προστιθέναι καὶ ἐς τὰς ῥῖνας κρόμμυα ἀπολέπων ἐντιθέναι. οὗτος ἢν μὲν ἀνατείνας τοὺς ὀφθαλμοὺς καὶ φθεγξάμενος παρ' ἑωυτῷ γένηται καὶ μὴ φλυαρῇ, τὴν μὲν ἡμέρην ταύτην κεῖται κωμαίνων, τῇ δ' ὑστεραίῃ ὑγιὴς γίνεται. ἢν δ' ἀνιστάμενος χολὴν ἐμέῃ, μαίνεται καὶ ἀποθνήσκει μάλιστα ἐν πέντε ἡμέρῃσιν, ἢν μὴ κατακοιμηθῇ. τοῦτον οὖν χρὴ τάδε ποιέειν. λούειν πολλῷ καὶ θερμῷ, ἐς τ' ἂν αὐτὸς ἐς ἑωυτὸν παρῇ. ἐπειτα ἀλείψας (53) ἀλείφατι πολλῷ κατακλῖναι ἐς στρώματα μαλθακῶς καὶ ἐπιβάλλειν ἱμάτια, καὶ μήτε λύχνον

ad ſe redeat et morbum effugiat, cum eum cibis refeceris, et vires valere videbuntur, immiſſo in nares medicamento paucisque intermiſſis diebus medicamentum deorſum purgans propinato. Niſi enim purgaveris, metus eſt ne rurſus morbus revertatur. Fere autem ex priore minime evadunt. Alius morbus. At ſi quis ex temulentia voce deficiat, ſi quidem jam confeſtim eum febris corripiat, convaleſcit, ſin minus, intra tertium diem moritur. Cum ita habentem offenderis, multa calida lavato et ſpongias calida imbutas ad caput admoveto et in nares cepas detracto cortice immittito. Hic ſiquidem apertis oculis et voce recuperata ad ſe redeat, neque nugas loquatur, eo die ſopore detentus jacet, poſtero vero convaleſcit. Quod ſi erectus bilem vomuerit, in inſaniam agitur, fereque diebus quinque, niſi dormiat, moritur. Hunc igitur haec facere oportet, multa calida lavare, donec ad ſe redeat, deinde copioſo oleo illitum, in mollibus ſtratis, veſtimentis contectum recumbere, neque apud eum lu-

Ed. Chart. VII. [559.] Foës. I. 468. 469. Ed. Lind. II. (53.)

καίειν παρ' αὐτῷ μήτε φθέγγεσθαι. || ὡς γὰρ ἐπιτοπολὺ ἐκ τοῦ λουτροῦ κατακοιμᾶται, καὶ ἢν κοιμηθῇ, ὑγιὴς γίνεται. ἐπὴν δὲ παρ' ἑωυτὸν γένηται, τὰς πρώτας ἡμέρας τρεῖς ἢ τέτταρας διδόναι κέγχρον λεπτὸν ῥοφάνειν ἢ πτισάνης χυλὸν, καὶ οἶνον μελιτοειδέα πίνειν. ἔπειτα σιτίοισι χρῆσθαι ὡς μαλθακοῖσι καὶ ὀλίγοισιν τὸ πρῶτον. σφάκελος ἐγκεφάλου. ἢν σφάκελος λάβῃ, ἡ ὀδύνη ἴσχει μάλιστα τὸ πρόσθεν τῆς κεφαλῆς ἐκ τοῦ κατὰ μικρὸν καὶ ἀνοιδέει καὶ πελιδνόν γίνεται καὶ πυρετὸς καὶ ῥῖγος καταλαμβάνει. ὅταν οὕτως ἔχῃ, ταμεῖν χρή, ἵν' ἐξοιδέῃ, καὶ διακαθήραντα τὸ ὀστέον, ξύσαι ἕως ἂν ἀφίκηται εἰς τὴν διπλοΐδα. εἶτα ἰᾶσθαι ὡς κάτηγμα. τερηδών. ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἀπὸ τούτου τὸ ὀστέον. τὸ δὲ χρόνῳ λεπτὸν γίνεται καὶ ἀναφυσᾶται καὶ γίνεται ἐπ' αὐτῷ κάτηγμα, καὶ ἢν τοῦτο ἀνατάμῃς, εὑρήσεις ἀνατεῖνον ὀστέον καὶ τρηχὺ καὶ πυῤῥὸν, ἐνίοισι δὲ καὶ διαβεβρωμένον πρὸς τὸν ἐγκέφαλον. ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς, ἢν μὲν ἔτι πέρην διαβεβρωμένον, ἐᾶν ἄριστον καὶ ἰᾶσθαι ὡς τάχιστα τὸ ἕλκος. ἢν δὲ

cernam ardere neque loqui. A balneo enim fere ſomno corripitur, et ſi dormierit, ſanus evadit. At poſtquam ad ſe redierit, tribus quatuorve primis diebus milium liquidum aut ptiſanae ſuccum ſorbendum et vinum mellitum bibendum exhibeto. Deinde cibis molliſſimis primumque paucis utatur. Cerebri ſideratio. Si ſideratio corripit, dolor ſenſim anteriorem fere capitis partem detinet et intumeſcit, liveſcit febrisque ac rigor prehendit. Cum ſic habuerit, qua parte tumeſcit, ſecare oportet et os perpurgatum radere, donec ad duplicatam laminam perruperit, deinde non ſecus ac fracturam curare. Caries. Cum caries in oſſe oborta fuerit, ex ea os dolor corripit, ſucceſſu vero temporis tenue evadit, inflatur, in eoque fractura contingit. Quod ſi ſecueris, os diſtentum, aſperum et ſulvum reperies, quibusdam vero etiam ad cerebrum usque corroſum. Cum ita habentem offenderis, ſiquidem ultra corroſum fuerit, ſinere optimum et quam citiſſime ulcus curare. Si vero perfora-

Ed. Chart. VII. [559. 560.] Foes. I. 469. Ed. Lind. II. (53. 54.) τετρωμένον μὲν μὴ ἔχῃ, τρηχὺ δὲ, ξύσας μέχρι τῆς διπλοΐδος ἰᾶσθαι ὥσπερ τὴν πρόσθεν. ἑτέρη νοῦσος. ἢν βληχὺς γένηται, καὶ ἄλγέει τὸ πρόσθεν τῆς κεφαλῆς, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύνηται ὁρᾶν, ἀλλὰ κῶμά μιν (54) ἔχει, καὶ ἢν αἱ φλέβες ἐν τοῖσι κροτάφοισι σφύζωσι, καὶ πυρετὸς βληχρὸς ἔχῃ, καὶ τοῦ σώματος παντὸς ἀκρησίη καὶ μινύθη. ὅταν οὕτως ἔχῃ, καὶ λούειν αὐτὸν θερμῷ πολλῷ καὶ χλιάσματα πρὸς τὴν κεφαλὴν προστιθέναι. ἐκ δὲ τῆς πυρίης ἐγχεῖν ἐς τὰς ῥῖνας σμύρναν καὶ ἄνθος χαλκοῦ. ῥοφέειν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ πίνειν ὕδωρ, καὶ ἢν μὲν ταῦτα ποιέοντι ῥᾴων γένηται· εἰ δὲ μὴ, ταύτη γὰρ μούνη ἐλπὶς, σχίσαι αὐτοῦ τὸ βρέγμα, καὶ ἐπὴν ἀποῤῥύῃ τὸ αἷμα, [560] συνθεὶς τὰ χείλεα ἰῆσαι καὶ καταδῆσαι. ἢν δὲ μὴ σχίσῃς, ἀποθνήσκει ὀκτωκαιδεκαταῖος, ἢ εἰκοσταῖος ὡς τὰ πολλά. κυνάγχη. πυρετὸς λαμβάνει καὶ ῥῖγος καὶ ὀδύνη τὴν κεφαλὴν, καὶ τὰ σιαγόνια οἰδίσκεται, καὶ τὸ πτύαλον χαλεπῶς καταπίνει. ἀποπτύει δὲ καὶ τὰ σίαλα σκληρὰ κατ' ὀλίγα, καὶ ἐν τῷ φάρυγγι κάτω ῥέγχει. καὶ ἢν καταλαβὼν τὴν γλῶτταν

tum non fuerit, ſed aſperum, deraſum ad duplicatam usque laminam ſicuti praecedens curato. Alius morbus. Si quis ſit velut ſideratus, et capitis anteriore parte dolet, oculisque videre non poteſt, ſed ſopor ipſum detinet et ſi temporum venae pulſent et levis febris totiusque corporis ad motum impotentia detineat et imminuatur; cum ſic habuerit, tum eum multa calida lavato, tum ad caput calefactoria admoveto. A fomento vero myrrham et aeris florem in nares infundito. Ptiſanae ſuccum ſorbendum et aquam bibendam dato. Et ſiquidem cum haec feceris melius habeat, ſat eſt, ſin minus, haec enim unica ſpes eſt, ei ſinciput dividito, cumque ſanguis effluxerit, labra componito curato et deligato. Quod niſi diviſeris, decimooctavo aut vigeſimo die fere moritur. Angina. Febris et rigor corripit, caput dolet, maxillae intumeſcunt, aegre ſputum deglutit, ſalivam duram ſenſim expuit et in imis faucibus ſtertit. Quod ſi apprehenſa lingua conſideraveris, curgulionem quidem non

Ed. Chart. VII. [560.] Foës. I. 469. Ed. Lind. II. (54. 55.)
σκέπτη, ὁ μὲν γαργαρεὼν οὐ μέγας, ἀλλὰ λαπαρός. ἡ δὲ φάρυγξ ἔσωθεν σιάλου γλίσχρου ἔμπλεως καὶ οὐ δύναται ἐκχρέμπτεσθαι καὶ οὐκ ἀνέχεται κεῖσθαι, ἀλλ' ἢν κατακέηται, πνίγεται. τοῦτον ἢν οὕτως ἐπιτύχῃς ἔχοντα ποιέειν τάδε. πρῶτον μὲν σικύας προσβάλλειν πρὸς τὸν σπόνδυλον τὸν ἐν τῷ τραχήλῳ τὸν πρῶτον. ἔπειτα παραξυρήσας ἐν τῇ κεφαλῇ καὶ παρὰ τὸ οὖς τιθέναι ἔνθεν καὶ ἔνθεν, καὶ ἐπὴν ἀποσφίγξῃς τὴν σικύην, ἐᾶν προσκέεσθαι ὡς πλεῖστον χρόνον. ἔπειτα πυριᾶν αὐτὸν ὄξει καὶ λίτρῳ καὶ ὀριγάνῳ καὶ καρδάμου σπέρματι, τρίψας λεῖα, κεράσας τὸ (55) ὄξος ἰσόχοον ὕδατι, καὶ ἄλειφα ὀλίγον ἐπιστάξας διεῖναι τοῦτο. ἔπειτα ἐς χυτρίδια ἐγχέας ἐπιθεὶς ἐπίθημα κάλαμον ἐνθεῖναι κοῖλον. ἔπειτα ἐπιθεὶς ἐπ' ἄνθρακας ἀνάζέσαι, καὶ ἐπὴν διὰ τοῦ αὐλοῦ τοῦ καλάμου ἡ ἀτμὶς ἀνείη, περιχάσκων ἕλκέτω εἴσω τὴν ἀτμίδα, φυλασσόμενος μὴ κατακαύσῃ τὴν φάρυγγα. ἔξωθεν δὲ σπόγγους βάπτων ἐς ὕδωρ θερμὸν, προστιθέσθω πρὸς τὰς γνάθους καὶ τὰ σιαγόνια. ἀναγαργάριστον δὲ αὐτῷ ποιέειν ὀρίγανον καὶ θύμβραν καὶ σέλινον καὶ μίνθην καὶ λίτρον ὀλίγον. μελίκρητόν τε κεράσας ὑδαρὲς, ὄξος ὀλίγον ἐπιστά-

magnum, ſed mollem videbis. Fauces interiores ſaliva viſcida implentur, neque excreare poteſt, neque decubitum ſuſtinet, ſed ſi decumbat, ſuffocatur. Cum ſic affectum offenderis, haec facito. Imprimis quidem cucurbitulas ad primam cervicis vertebram admoveto, deinde capiti ante raſo ad aurem utraque ex parte apponito, et ubi ſcarificaveris, cucurbitulam quam plurimo tempore adhaerere ſinito. Deinde ſuffitum illi ex aceto, nitro, origano et naſturtii ſemine parato. Quae leviter trita, pari aquae menſura ad acetum permixta et pauco oleo inſtillato, macerato, poſtea in ollam infuſa operculo appoſito, arundine cava indita, mox prunis impoſita ferveſacito et ubi per arundinis ſiſtulam ſurſum vapor aſcenderit, eum aperto ore intro trahat, ea cautione adhibita ne fauces adurat. Exteriore vero parte ſpongias aqua calida imbutas ad genas et maxillas apponat. Oris autem collutionem ei facito ex origano, ſatureia, apio, mentha et pauco nitro, aquaque mulſa aquoſa admixta, pau-

Ed. Chart. VII. [560.] Foës. I. 469. 470. Ed. Lind. II. (55. 56.)

ξαι. λεῖα τρίψας τὰ φύλλα τῶν προειρημένων βοτανῶν καὶ τὸ λίτρον τοῦτο διεὶς χλιήνας ἀναγαργαριζέτω. || ἢν δὲ τὸ σίαλον ἴσχηται, μύρτου λαβὼν κλάδον λείην ποιήσας καὶ τὸ ἄκρον αὐτῆς ἐπικάμψας τὸ ἁπαλὸν, κατειλίξας αὐτὸ ἐν εἰρίῳ μαλθακῷ καθορῶν ἐς τὴν φάρυγγα, τὸ σίαλον ἐκκαθαίρειν. καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, βάλανον προστιθέναι ἢ ὑποκλύζειν. ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης καὶ ὕδωρ ἐπιπινέτω. εἰ δέ οἱ οἴδημα ἐκφύῃ καὶ οἰδίσκεται πρὸς τὰ στήθεα καὶ ἐρυθρὸν ἔῃ καὶ καίηται, ἐλπίδες πλέονες σωτηρίης. ποιέειν δέ οἱ τάδε. ἐπὴν ἔξω τράπηται τὸ φλέγμα, τεῦτλα ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν προστιθέναι. ἀναγαργαριζέτω δὲ χλιαροῖσι καὶ ἀλουτεέτω. ταῦτα ποιέων μάλιστα ἂν ἐκφυγγάνῃ. ἡ δὲ νοῦσος θανατώδης καὶ ἐκφυγγάνουσιν ὀλίγιστοι. ἑτέρα κυνάγχη. πυρετὸς καὶ ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ ἡ φάρυγξ φλεγμαίνει, καὶ τὰ σιαγόνια, καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. πτύει δὲ παχὺ καὶ πολλὸν καὶ φθέγγεται (56) χαλεπῶς. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν σικύην προσβάλλειν τὸν αὐτὸν τρόπον ὥσπερ καὶ ἄνωθεν εἴπομεν. ἔπειτα προσίσχειν σπόγγον βρέχων ἐν ὕδατι θερμῷ

cum acetum inſtillato. Praedictarum herbarum foliis laevigatis ac tritis, nitroque in ea macerato, tepido os colluat. Si vero ſaliva retinetur, laevigato myrti ſurculo et ſumma ejusparte tenella inflexa molli lana obvoluta, conſpectis faucibus ſalivam expurgato et ſi venter non ſubeat, glandem adhibeto aut infuſo ſubluito. Ptiſanae autem ſuccum forbeat et aquam inſuper bibat. Quod ſi ei tumor rubicundus enaſcatur et ad pectus intumeſcat et ardeat, ſalutis major ſpes eſt. Haec autem ei facienda ſunt. Ubi foras inflammatio vertitur, betas frigida imbutas admoveto, tepidis autem os colluat et ne lavet. Quibus factis fere evadet. Morbus autem lethalis eſt et omnino pauci evadunt. Alia angina. Febris et dolor caput prehendit, fauces et maxillae inflammantur, neque ſalivam devorare poteſt, ſed craſſum et copioſum expuit et aegre loquitur. Cum ſic habuerit, primum quidem eo quo ſupra diximus modo cucurbitulam admoveto, deinde ſpongiam calida maceratam cervici et maxillis

Ed. Chart. VII. [560. 561.] Foës. I. 470. Ed. Lind. II. (56.)

πρὸς τὸν τράχηλον καὶ τὰ σιαγόνια. ἀναγαργαρίζειν δὲ διδόναι μελίκρητον ὑδαρές. ῥοφάνειν δὲ ἀναγκάζειν τὸν χυλὸν τῆς πτισάνης. ἢν δέ οἱ τὰ τοιαῦτα ποιέοντι τὸ σίαλον μὴ ἐξίῃ, [561] πυριᾶν τὸν αὐτὸν τρόπον ὥσπερ ἐν τῇ πρόσθεν. ἢν δέ οἱ ἐς τὰ στήθεα τράπηται ἢ ἐς τὸν τράχηλον τὸ φλέγμα τεῦτλα ἢ κολοκύντας καταταμὼν, ἐμβαλὼν ἐς ὕδωρ χλιαρὸν ἐπιροφανέτω καὶ πινέτω ψυχρὸν, ὅπως τὸ σίαλον εὐπετέστερον ἀποχρέμπτηται. ὅταν δὲ ἐξοιδήσῃ ἐς τὰ στήθεα, οἱ πλέονες ἐκφεύγουσιν. ἢν δὲ τῆς φάρυγγος καθεστηκυίης καὶ τῶν οἰδημάτων στραφῇ ἐς τὸν πλεύμονα ἡ νοῦσος, πυρετὸς εὐθὺς ἐπανέλαβε καὶ ὀδύνη τοῦ πλευροῦ καὶ ὡς ἐπιτοπολὺ ἀπέθανε, ἐπὰν τοῦτο γένηται. ἢν δε ὑπερφύγῃ ἡμέρας πέντε, ἔμπυος γίνεται, ἢν μή μιν βὴξ ἐπιλάβῃ αὐτίκα. ἢν δὲ ὑπολάβῃ ὑποχρεμψάμενος καὶ ἀποκαθαρθεὶς, ὑγιὴς γίνεται. τοῦτον ἔστ' ἂν ἡ ὀδύνη τὸ πλευρὸν ἔχῃ, χλιαίνειν τὸ πλευρὸν καὶ προσφέρειν ὅσα τῇ περιπλευμονίῃ. ἢν δὲ ὑπερφύγῃ τὰς πέντε ἡμέρας καὶ ὁ πυρετὸς ἀνῇ, ἡ δὲ βὴξ ἔχῃ, τὰς μὲν πρώτας ἡμέρας ῥοφήμασι διαχρῆσθαι.

apponito, aquam mulſam aquoſam ad os colluendum exhibeto et ptiſanae ſuccum ſorbere cogito. Quod ſi ubi haec fecerit ſaliva non exeat, ſuffitum eodem modo velut in ſuperiore parato. Quod ſi ei ad pectus aut ad cervicem inflammatio vertatur, betis aut cucurbitis conciſis in aquam calidam conjectis, frigidam ſuperſorbeat et bibat, quo facilius ſputum excreetur. Cum vero tumor in pectore extuberat, plures evadunt. At ſi faucibus et tumoribus ſedatis ad pulmonem morbus verſus fuerit, conſeſtim febris et lateris dolor inſuper corripit, et ubi hoc contingit, plerumque moritur. Quod ſi dies quinque effugerit, purulentus evadit, niſi ipſum conſeſtim tuſſis corripuerit, quae ſi corripuerit, excreato et repurgato ſputo convaleſcit. Huic quamdiu dolor lateris detinet, latus caleſaciendum et offerenda quae pulmonis inflammationi conveniunt. Quod ſi dies quinque ſuperarit et febris remiſerit, tuſſis vero detinet, primis quidem diebus ſorbitionibus utatur. Cum vero cibos

Ed. Chart. VII. [561.] Foës. I. 470. Ed. Lind. II. (56. 57.)
ἐπὴν δὲ τῶν σιτίων ἄρξηται, ὡς λιπαρώτατα καὶ ἁλικώτατα ἐσθίειν. ἢν δέ τοι βὴξ μὴ ἔῃ, ἀλλὰ γινώσκειν ἔμπυον γινόμενον, δειπνήσαντα ἐπὴν μέλλει καθεύδειν, σκόροδα ἐσθιέτω ὡμὰ ὡς πλεῖστα, καὶ ἐπιπινέτω οἶνον οἰνώδεα ἀκρητέστε(57)ρον. καὶ ἢν μὲν οὕτως οἱ ῥαγῇ τὸ πῦον· ἢν δὲ μὴ, τῇ ὑστεραίῃ λούσας θερμῷ θυμιάσαι, καὶ ἢν ῥαγῇ, ἰῆσθαι ὥσπερ ἔμπυον. ἑτέρη κυνάγχη. φλεγμαίνει τοὔπισθεν τῆς γλώσσης, καὶ τὸ κλεῖθρον τὸ ὑπὸ τῷ βρόγχῳ, καὶ οὐ δύναται καταπίνειν τὸ σίαλον, οὐδ᾽ ἄλλο οὐδέν. ἢν δ᾽ ἀναγκασθῇ, διὰ τῶν ῥινῶν οἱ ῥέει. ὅταν οὕτως ἔχῃ τρίψας μίνθην γλωρὴν καὶ σέλινον καὶ ὀρίγανον καὶ λίτρον καὶ τῆς ῥόου τῆς ἐρυθρῆς μέλιτι διείς, παχὺ ποιέων ἐγχρίειν τὴν γλῶσσαν ἔσωθεν οὗ ἂν οἰδέῃ. ἔπειτα ἀναζέσας σῦκα καὶ ἀποζέσας ἐς ὕδωρ, τρίψας τῆς ῥόου ὀλίγην διῆναι τῷ συκίῳ τούτῳ καὶ ἀναγαργαρίζειν, ἐὰν δύνηται· ἢν δὲ μὴ, διακλύζεσθαι. πίνειν δὲ διδόναι τὸ ἀπὸ τῶν κρίμνων ὕδωρ. ἔξωθεν δὲ τὸν αὐχένα καὶ τὰ σιαγόνια καταπλάσσειν ἀνήτῳ, ἐν

sumere occoeperit, quam pinguissimos et maxime salsos edat. At si tussis non adsit, verum purulentum fieri cognoscas, ubi coenaverit, cumque dormire volet, allia quam plurima cruda edat et vinum generosum meracius superbibat. Quod si sic quidem ei pus eruperit, bene habet; sin minus, postridie ubi calida laveris, suffitum exhibeto, et si eruperit, velut purulentum curato. Alia angina. Linguae pars posterior inflammatione tentatur, locusque sub tonsillis ad guttur, qui Graecis κλεῖθρον dicitur, neque salivam, neque aliud quicquam devorare potest, sed si cogatur, ei per nares effluit. Cum sic habuerit, mentham viridem, apium, origanum, nitrum et rhois rubri portionem terito, melle subigito, iisque crassioribus redditis linguam interiore parte qua intumescit illinito. Deinde ficus aqua decoquito, rhois triti parvam portionem hoc ficuum decocto macerato, eoque si possit ad gargarisandum utatur, sin minus, os colluat. Aquam vero in qua crassiores farinae hordeaceae partes maceratae fuerint, potui exhibeto. Exteriore autem parte collo et maxillis cataplasma ex farina calida in vino et oleo cocta

Ed. Chart. VII. [561. 562.] Foës. I. 470. 471. Ed. Lind. II. (57. 58.) οἴνῳ καὶ ἐλαίῳ ἕψοντα χλιαρῷ, καὶ ἄρτους προστιθέναι θερμούς. ἀποπυΐσκεται γὰρ ὡς τὰ πολλὰ ἐν τῷ κλείθρῳ, καὶ ἢν μὲν ῥαγῇ αὐτόματον, ὑγιὴς γίνεται, ἢν δὲ μὴ, ῥήγνυται ψηλαφήσας τῷ || δακτύλῳ ἢν μαλθακὸν ἔῃ, σιδήριον ὀξὺ προσδησάμενος πρὸς τὸν δάκτυλον τρῆσαι. ταῦτα ποιήσαντι πολλοὶ ὑγιαίνουσιν. ἡ δὲ νοῦσος αὕτη ἥκιστά ἐστι θανατώδης. σταφυλή. ἢν σταφυλὶς ἐν τῇ φάρυγγι γένηται, ἐμπίπλαται ἄκρος ὁ γαργαρεὼν ὕδατος, καὶ γίνεται στρογγύλος τὸ ἄκρον καὶ διαφανὴς, καὶ ἐπιλαμβάνει τὴν πνοιὴν, καὶ ἢν φλεγμαίνῃ τὰ σιαγόνια ἔνθεν καὶ ἔνθεν, ἀποπνίγεται. ἢν δὲ αὐτὸ ὑφ' ἑωυτοῦ γένηται, τούτων μὴ φλεγμαινόντων (58) ἧσσον ἀποθνήσκει. ὅταν οὕτως ἔχῃ, λαβὼν τῷ δακτύλῳ τὸν γαργαρεῶνα ἄνω ἐς τὴν ὑπερώην ἀποπιέσας διατεμνέειν [562] ἄκρον. ἔπειτα διδόναι ἀναγαργαρίζειν τὸ ἀπὸ τῶν φύλλων. λείχειν δὲ ἄληπτον ψυχρὸν καὶ ὕδωρ ἐπιπίνειν καὶ μὴ λούεσθαι. ἀντιάδες. ἢν ἀντιάδες γένωνται, συνοιδέει ὑπὸ τὴν γνάθον ἔνθεν καὶ ἔνθεν καὶ ψαυόμενον σκληρόν ἐστιν ἔξω-

imponito, et panes calidos admoveto. Ut plurimum enim locus ſub tonſillis ad guttur ſuppurat. Quod ſi ſua quidem ſponte eruperit, ſanus evadit, ſin minus, ubi digito immiſſo contrectaveris an molle ſit, acuto ferramento ad digitum alligato perforato. Quibus factis multi convaleſcunt. Hic vero morbus minimum lethalis eſt. Uva curgulionis affectio. Si uva in faucibus oriatur, ſummus curgulio aqua impletur, ejusque extrema pars rotunda et pellucida redditur, reſpirationemque intercipit. Quod ſi maxillae utraque ex parte inflammatione tentatae fuerint, ſtrangulatur. Sin vero citra horum inflammationem haec affectio per ſe exoriatur, minus perit. Cum ſic habuerit, curgulionem digito apprehenſum et ſurſum ad palatum appreſſum extrema parte praecidito. Deinde herbarum hortenſium odorarum et condimentis uſurpatarum decoctum ad gargariſandum dato et farinam frigidam delingendam aquamque ſuperbibendam, neque lavet. Tonſillae. Si tonſillae oriantur, ſub maxillis ex utraque parte tumor ſit, qui ad conta-

Ed. Chart. VII. [562.] Foël. I. 471. Ed. Lind. II. (58. 59.)

θεν, καὶ ὁ γαργαρεὼν ὅλος φλεγμαίνει. ὅταν οὕτως ἔχῃ, καθεὶς τὸν δάκτυλον διωθέειν τὰς ἀντιάδας. πρὸς δὲ γαργαρεῶνα προσχρίειν ἄνθος χαλκοῦ ξηρὸν, καὶ ἀναγαργαρίζειν τὸ ἀπὸ τῶν φύλλων εἰλιθέρει. ἔξωθέν τε καταπλάσσειν, ᾗ ἂν ἀποιδέῃ, ὠμήλυσιν ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψῶν χλιαρήν. ἐπὴν δέ σοι δοκέωσι τὰ φύματα μαλακὰ εἶναι, ἔσωθεν ἀφασσώμενα ὑποτύψαι μαχαιρίῳ. ἔνια δὲ καὶ αὐτόματα καθίσταται. ὑπογλωσσίς. ἢν ὑπογλωσσὶς γένηται, ᾗ γλῶσσα οἰδίσκεται, καὶ τὸ ὑποκάτω καὶ τὸ ἔξω ψαυόμενον σκληρὸν ἐστι, καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. ὅταν οὕτως ἔχῃ, σπόγγον ἐς ὕδωρ θερμὸν ἐμβάπτων προστιθέναι, καὶ τὴν ὠμήλυσιν ἑψῶν ἐν οἴνῳ καὶ ἐλαίῳ καταπλάσσειν ἔξω ᾗ ἂν ἀποιδέῃ. ἀναγαργαρίζειν δὲ τῷ συκίῳ καὶ μὴ λούεσθαι. ἐπὴν δὲ διάπυον γένηται, τάμνειν. ἐνίοτε δὲ αὐτόματον ἐκρήγνυται καὶ καθίσταται οὐ τμηθέν. ἐπὴν δὲ ἔξω ἀποπυήσῃ, διακαῦσαι. (59) φλέγμα συστὰν ἐς τὴν ὑπερώην. ἢν δὲ φλέγμα συσταῖ ἐς τὴν ὑπερώην, ἀποιδέει καὶ ἐμπυΐσκεται.

ctum foris durus eſt et totus curgulio inflammatione vexatur. Cum ſic habuerit, immiſſo digito tonſillas protrudito, ad curgulionem vero aeris florem ſiccum illinito et herbarum hortenſium odoratarum decoctum inſolatum gargariſandum exhibeto et extrinſecus, qua parte tumor eſt, hordeaceam farinam in vino et oleo coctam in cataplasmate tepidam admoveto. Ubi vero tubercula mollia eſſe videbuntur, intus contrectata ſcalpello pertundito. Quaedam tamen etiam ſua ſponte ſedantur. Hypogloſſis. Si hypogloſſis aut tuberculum ſub lingua oriatur, lingua intumeſcit parsque ſub ipſa et externa ad contactum dura eſt et ſalivam devorare non poteſt. Cum ſic habuerit, ſpongiam calida madefactam apponito et farinam hordeaceam vino et oleo incoctam parte exteriore qua intumeſcit in cataplasmate admoveto, ficuum decoctum ad gargariſandum dato, nec lavato. Ubi vero purulentum fuerit, ſecato. Quandoque autem ſua ſponte erumpit et citra ſectionem conſidit. Cum vero parte externa ſuppuraverit, inurito. Inflammatio in palato conſiſtens. Si vero inflammatio in palato contracta fuerit, intumeſcit

Ed. Chart. VII. [562.] Foës. I. 471. Ed. Lind. II. (59.)

ὅταν οὕτως ἔχῃ, καίειν τὸ φῦμα. ἐπὴν δὲ ἐξίῃ τὸ πῦον, κλύζειν τὸ λοιπὸν, πρῶτον μὲν λίτρῳ καὶ ὕδατι χλιαρῷ, ἔπειτα οἴνῳ, ἐπὴν δὲ ἐκκλύσῃ, σταφίδα τρίψας λευκὴν, ἐξελὼν τὸ γίγαρτον ἐντιθέναι ἐς τὸ καῦμα. ἐπὴν δὲ ἐκρυῇ οἴνῳ ἀκρήτῳ χλιαρῷ διακλυζέτω, καὶ ἐπὴν μέλλῃ τι ἐσθίειν ἢ ῥοφάνειν, σπόγγιον ἐντιθέναι. ταῦτα ποιέειν ἔστ' ἂν ὑγιὴς γένηται. πώλυπος. ἢν πώλυπος γένηται ἐν τῇ ῥινὶ, ἐκ μέσου τῶν χόνδρων κατακρέμαται, οἷον γαργαρεών, καὶ ἐπὴν ὦσῃ τὴν πνοιὴν, προσέρχεται ἔξω καὶ ἔστι μαλθακὸν, καὶ ἐπὴν ἀναπνεύσῃ, οἴχεται ὀπίσω, καὶ φθέγγεται σομφὸν, καὶ ἐπὴν καθεύδῃ, ῥέγχει. ὅταν οὕτως ἔχῃ, σπόγγιον καταταμὼν στρογγύλον καὶ ποιήσας οἷον σπείραν, κατειλίξαι λίνῳ αἰγυπτίῳ καὶ ποιῆσαι σκληρόν. εἶναι δὲ μέγεθος ὥστε ἐσαρτίζειν ἐς τὸν μυκτῆρα, καὶ δῆσαι τὸ σπόγγιον λίνῳ τετραχόθι. μῆκος δὲ ἔστω ὅσον πυγονιαῖον ἕκαστον. ἔπειτα ποιήσας αὐτῶν μίαν ἀρχὴν, ῥάβδον λαβὼν κασσιτερίνην λεπτὴν ἐκ τοῦ ἑτέρου κύαρ ἔχουσαν, διείρειν ἐς τὸ στόμα τὴν ῥάβδον ἐπὶ τὸ ὀξὺ, καὶ ἐπὴν λάβῃ, διέρσας διὰ τοῦ κύαρος τὸν λίνον ἕλ-

et ſuppurat. Cum ſic habuerit, tuberculum urito, ubi pus exierit, reliquum eluito, primum quidem nitro et aqua tepida, deinde vino. Poſtquam elueris, uvam albam paſſam detractis acinis tritam in uſturae locum imponito, cumque effluxerit, vino meraco tepido colluat et ubi quid edere aut ſorbere volet, ſpongiam immittito, iſtaque donec convaleſcat facito. Polypus. Si polypus oriatur in naſo, ex mediis cartilaginibus velut curgulio dependet, et ubi ſpiritum expellit, foras mollis progreditur, ubi vero attrahit, regreditur, vocem obſcuram et inter dormiendum ſtertorem facit. Cum ſic habuerit, ſpongiam rotundam conciſam et in orbem velut ſpinam contortam lino Aegyptio convolvito et duram reddito. Sit autem ea magnitudine quae naribus ſit adaptata. Spongiam quadruplici lineo filo, quod cubitali ſit longitudine unumquodque, deligato. Deinde ea in unum principium coacta, ſumptaque tenui virga ſtannea, quae altera parte acus foramen habeat, virgam acuta ſui parte in os transmittito et transmiſſo per acus foramen lineo filo,

Ed. Chart. VII. [562. 563.] Foës. I. 471. 472. Ed. Lind. II. (59. 60.)

κειν, ἔστ' ἂν λάβῃ τὴν ἀρχήν. ἔπειτα χηλὴν ὑποθεὶς ὑπὸ τὸν γαργαρεῶνα ἀντερείδων ἕλκειν ἔστ' ἐξειρύσῃς τὸν πώλυπον. || ἐπὴν δὲ αὐτὸν ἐκ[563]σπάσῃς καὶ παύσηται (60) τὸ αἷμα ῥέον, περιθεὶς περὶ τὴν μήλην ξηρὸν ὀθόνιον μοτῶσαι, καὶ τὸ λοιπὸν ἀναζέσαι τοῦ ἄνθους ἐν μέλιτι καὶ χρίων τὸν μοτὸν προστιθέναι ἐς τὴν ῥῖνα. καὶ ἐπὴν ἤδη τὸ ἕλκος ἀλθαίνηται, μόλιβδον ποιησάμενος ὥστοι καθίκῃ πρὸς τὸ ἕλκος, τοῦτον μέλιτι χρίων προστιθέναι ἔστ' ἂν ὑγιὴς γένηται. ἕτερος πώλυπος. ἐμπίπλαται ἡ ῥὶς κρέασι, καὶ ψαυόμενον τὸ κρέας σκληρὸν φαίνεται, καὶ διαπνεῖν οὐ δύναται διὰ τῆς ῥινός. ὅταν οὕτως ἔχῃ, ἐνθέντα χρὴ σύριγγα καῦσαι σιδηρίοισιν ἢ τρισὶν ἢ τέσσαρσιν. ἐπὴν δὲ καύσῃς, ἐμβάλλειν τοῦ ἑλλεβόρου τοῦ μέλανος τρίψας, καὶ ἐπὴν ἐκσαπῇ καὶ ἐκπέσῃ τὸ κρέας, μοτοὺς τοὺς λιναίους χρίων τῷ μέλιτι ἐπιτίθει σὺν τῷ ἄνθει. ἐπὴν δὲ ἀλθαίνηται, τοὺς μολίβδους χρίων τῷ μέλιτι ἐστίθει, ἄχρις ἂν ὑγιὴς γένηται. ἕτερος πώλυπος. ἔσωθεν ἐκ τοῦ χόνδρου προέχει κρέας στρογγύλον. ψαυόμενον δὲ μαλθακόν ἐστιν. ὅταν οὕτως ἔχῃ,

eam apprehenſam trahito, donec filorum principium apprehendas. Deinde ſpecillo ad ungulae ſimilitudinem biſulco, curgulioni ſubdito, obnixe trahito, donec polypum eduxeris. Cumque extraxeris et ſanguis fluere deſierit, ſiccum linamentum ſpecillo convolutum immittito et de caetero, aeris flore cum melle ferveſacto, linamentum illitum in nares imponito. Ulcere jam percurato, plumbum ita efformatum ut ad ulcus pertingat, melle illitum, donec convaleſcat apponito. Alius polypus. Naſus carne impletur, quae ad contactum dura apparet, neque naribus reſpirare poteſt. Cum ſic habuerit, immiſſa fiſtula, ferramentis tribus aut quatuor inurere oportet. Poſt uſtionem veratrum nigrum tritum injicito et ubi caro computruerit et exciderit, penicillum lineum melle cum aeris flore illitum imponito. Cumque ulcus percuratum fuerit, plumbeas laminas melle illitas indito, donec convaleſcat. Alius polypus. Interiore ex parte caro rotunda ex cartilagine prominet, ad contactum vero

Ed. Chart. VII. [563.] Foël. I. 472. Ed. Lind. II. (60. 61.)
χορδὴν λαβὼν νευρίνην, βρόχον αὐτῇ σμικρὸν ποιήσας κατειλίξαι λίνῳ λεπτῷ, ἔπειτα τὴν ἀρχὴν τὴν ἑτέρην διεῖναι διὰ τοῦ βρόχου, μείζονα ποιήσας τὸν βρόχον. ἔπειτα τὴν ἀρχὴν διεῖραι διὰ τῆς ῥάβδου τῆς καττιτερίνης. ἔπειτα ἐνθεὶς τὸν βρόχον ἐς τὴν ῥῖνα, τῇ μήλῃ τῇ ἐντετμημένῃ περιτείνας τὸν βρόχον περὶ τὸν πώλυπον, ἐπὴν περικαίηται διαίρειν τὴν ῥάβδον ἐς τὸ στόμα, καὶ λαβὼν ἕλκειν τὸν αὐτὸν τρόπον τῆς χηλῆς ὑπερειδούσης. ἐπὴν δὲ ἐξελαύσῃς, ἰῆσθαι ὥσπερ τὸν πρόσθεν. ἕτερος πώλυπος. ἔσω(61)θεν παρὰ τὸν χόνδρον ἀπότευ σκληρὸν φύεται καὶ δοκέει μὲν εἶναι κρέας. ἢν δὲ ψαύσῃς αὐτοῦ, ψοφέει οἷον λίθος. ὅταν οὕτως ἔχῃ, σχίσαντα τὴν ῥῖνα σμίλῃ ἐκκαθῆραι. ἔπειτα ἐπικαῦσαι. τοῦτο δὲ ποιήσας συρράψαι πάλιν τὴν ῥῖνα καὶ ἰῆσθαι τὸ ἕλκος τῷ χρίσματι ἐναλείφων, ῥάκος ἐντιθέναι, καὶ ἐπὴν περισαπῇ, ἐγχρίειν τὸ ἄνθος τὸ ἐν τῷ μέλιτι. ἀλθίσκειν δὲ τῷ μολύβδῳ. ἄλλως. φύεται ἐκ πλαγίου τοῦ χόνδρου ἐν ἄκρῳ οἷον καρκίνια. πάντα δὲ ταῦτα καίειν χρή. ὅταν δὲ καύσῃς, ἐπιπάσαι τοῦ ἑλλεβόρου. ἐπὴν δὲ σαπῇ, κα-

mollis eſt. Cum ſic habuerit, nerveo fune accepto, in eo tenuem laqueum facito, tenui filo convolvito, deinde alterum initium per laqueum transmittito, majore laqueo facto, mox initium per virgam ſtanneam trajicito. Poſtea immiſſum in nares laqueum per ſpecillum inciſum circum polypum extendito, quo obducto, virgam per os trajicito eamque correptam trahito, ſpecillo inſtar ungulae biſulco ad eundem modum ſub curgulione obfirmato. Ubi vero extraxeris, velut ſuperiorem curato. Alius polypus. Interiore ex parte circa cartilaginem durum quid aliqua ex cauſa adnaſcitur, quod caro eſſe videtur, ſi vero attigeris, ſonat velut lapillus. Cum ita habuerit, naſum per ſcalpellum diviſum expurgato, mox inurito, quo facto rurſus naſum conſuito et penicillo unguine illito impoſito, ulcus curato, ac ubi circumputruerit, aeris florem cum melle illinito, plumbea vero lamina immiſſa percurato. Alius. In cartilaginis ſumma parte ex obliquo velut cancri parvi exoriuntur, quos omnes inurere oportet, inuſtos veratro aſpergito. Ubi vero putruerint, aeris

Ed. Chart. VII. [563. 564.] Foës. I. 472. Ed. Lind. II. (61. 62.) θαίρειν τῷ ἄνθει σὺν τῷ μέλιτι. ἀλθίσκειν δὲ τῷ μολίβδῳ. ἕκτερος. ἡ χροιὴ μέλαινα γίνεται, καὶ τὸ πρόσωπον. μάλιστα δὲ τὰ ἐσκιασμένα καὶ οἱ ὀφθαλμοὶ χλωροὶ καὶ ἡ γλῶσσα κάτωθεν καὶ αἱ φλέβες αἱ ὑπὸ τῇ γλώσσῃ παχεῖαι καὶ μέλαιναι καὶ ἄπυρος γίνεται καὶ οὐρέει παχὺ χολῶδες. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ ἀποσχᾶν, ἔπειτα λούοντα πολλῷ τῷ θερμῷ διδόναι πίνειν νήστει, τοῦ ἀσφοδέλου τὰς ῥίζας, ἀποκαθαίρων ἐψῶν ἐν οἴνῳ ἴσον πέντε ῥίζας καὶ σέλινα συμμίξας ὅσον χεῖρα πλήρεα τῶν φύλλων. ἐπιχεῖν δὲ οἴνου γλυκέος τρία ἡμικοτύλια αἰγιναῖα, καὶ λείπειν ἡμικοτύλιον. τοῦτο κιρνὰς κἀκ τῶν αὐτῶν διδόναι πίνειν. ἐπὴν δὲ οὐρήσῃ, σιτίοισι χρῆσθαι διαχωρητικοῖσι, καὶ μετὰ τὸ σιτίον ἐρεβίνθους λευκοὺς τρωγέτω καὶ πινέτω οἶνον λευκὸν, πολὺν, ὑδαρέα, [564] καὶ σέλινα τρωγέτω ἐπὶ τῷ (62) σιτίῳ καὶ πράσα. ποιεέτω δὲ ταῦτα ἓν ἑπτὰ ἡμέρῃσι, καὶ ἢν μέν σοι δοκέῃ ἐν ταύτῃσιν ἡ χροιὴ κεκαθάρθαι ἐπιεικῶς· ἢν δὲ μὴ, καὶ ἑτέρας τρεῖς ταῦτα ποιεέτω. μετὰ δὲ ἐπισχὼν μίαν ἢ δύο ἡμέρας πρόσθες

flore cum melle exterito, plumbea lamina percurato. Morbus regius. Facies nigricat, praecipueque partes in umbra latentes, oculi ex virore palleſcunt, lingua inferiore parte venaeque ſub lingua craſſae ſunt et nigrae, febre caret et urinam craſſam bilioſamque reddit. Cum ſic habuerit, primum quidem venas ſub lingua pertundito, deinde ubi multa calida laveris, aſphodeli radices quinque pari portione repurgatas et vino incoctas apii foliis admixtis quantum manus capere poſſit, jejuno bibendas exhibeto. Vini dulcis tres dimidias heminas Aeginenſes affuſas ad dimidiam heminam coquito, hoc permixtum ex iisdem propinato. Poſtquam vero urinam reddiderit, cibis alvum ſubducentibus utatur, poſt cibum cicer album edat, vinum album, copioſum, aquoſum bibat, apium et porrum in cibo comedat. Haec ſeptem diebus faciat et ſi quidem in his color moderate tibi repurgatus eſſe videatur, ſat eſt, ſin minus, aliis tribus eadem faciat. Poſtea vero unius aut alterius diei mora inter-

Ed. Chart. VII. [564.] Foës. I. 472. 473. Ed. Lind. II. (62.)

φάρμακον πρὸς τὰς ῥῖνας. μετὰ δὲ φάρμακον πίσον κάτω, ὑφ' οὗ χολὴν καθαιρεῖται, καὶ ἢν μὲν σπληνώδης ἔῃ, ὄνου γάλα ἢ ὀρρὸν μετάπισον. ταῦτα ποιέων ὑγιῆ ποιέεις. ἕτερος ἴκτερος. πυρετὸς λαμβάνει βληχρὸς καὶ τὴν κεφαλὴν βάρος ἔχει καὶ οἱ πυρετοὶ ἐπαύσαντο ἐνίοισιν. || αὐτὸς δὲ γίνεται χλωρὸς οἵ τε ὀφθαλμοὶ μάλιστα, καὶ ἀσθενέει, καὶ ἀκρησίη τοῦ σώματος καὶ οὐρέει παχὺ καὶ χλωρόν. τοῦτον θερμῷ λούειν καὶ διδόναι πίνειν διουρητικά. ἐπὴν δέ σοι δοκέῃ καθαρώτερος εἶναι καὶ ἡ χροιὴ βελτίων γένηται, πρόσθες φάρμακον πρὸς τὰς ῥῖνας καὶ μετάπισον κάτω. σιτίοισι δὲ ὡς μαλθακοτάτοισι χρῆσθαι. οἶνον δὲ πινέτω λευκὸν, γλυκὺν, ὑδαρέα. ταῦτα ποιέων ὑγιὴς γίνεται. πυρετοὶ ἀπὸ χολῆς. ἢν χολᾷ ὁ ἄνθρωπος, πυρετὸς αὐτὸν λαμβάνει καθημέρην καὶ ἀφίει. ἔχει δὲ μάλιστα τὸ μέσον τῆς ἡμέρης, καὶ τὸ στόμα πικρὸν, καὶ ὅταν ἄσιτος ᾖ, λυπέει αὐτόν. ἐπὴν δὲ φάγῃ, πνίγεται, καὶ ὑπὸ ὀλίγων τινῶν σιτίων ἐμπίπλαται, καὶ βδελύττεται, καὶ ἐμεσίαι μιν λαμβάνουσιν, καὶ ἐς τὴν ὀσφῦν βά-

posita, medicamentum ad nares admoveto, deinde medicamentum deorsum purgans, ex quo bilis repurgetur propinato. Et si quidem lienosus fuerit, lac asininum aut ferum postea bibendum dato, hisque factis sanum reddes. Alius morbus regius. Febris levis prehendit, caput gravitas detinet, nonullis etiam febris cessat, ipse vero ex virore pallidus evadit, praecipueque oculi, debilis est, corporis ad motionem impotentia gravatur et urinam crassam ac cum virore pallidam reddit. Hunc calida lavato et quae urinas ducunt bibenda exhibeto. Ubi vero purior esse et color tibi melior videbitur, medicamento naribus admoto, etiam medicamentum deorsum purgans postea bibendum dato. Cibis autem quam molliſſimis utatur, vinum album, dulce, aquosum bibat, quibus factis sanum reddes. Febres ex bile. Si quis bile vexetur, febris eum quotidie prehendit et dimittit, potiſſimum vero medio die detinet, os amarum est et cum sine cibo fuerit, offenditur, ubi vero comederit, strangulatur et paucis cibis impletur, eos execratur et

Ed. Chart. VII. [564.] Foël. I. 473. Ed. Lind. II. (62. 63.)

ρος ἐμπίπτει καὶ ἐς τὰ σκέλεα καὶ ὑπνώττει πολλά. τοῦτον ἢν μετὰ τὸ πῦρ ἐξιδρῷ καί οἱ ψυχρὸς καὶ πουλὺς ἢ καὶ τοῦ πυρετοῦ (63) μὴ ἀπαλλάσσηται, ἡ νοῦσος χρονίη γίνεται. ἢν δὲ μὴ, ἱδρῷ θᾶσσον κρίνεται. ὅταν οὕτως ἔχῃ ἐπὴν γένηται ἐνναταῖος, φάρμακον διδόναι. ἢν γὰρ αὐτίκα ἀρχομένου τοῦ πυρετοῦ διδοῖς, ἐπὴν καθαρθῇ, ἐπανέλαβε πυρετὸς καὶ αὖθις φαρμάκου δεῖται. ἐπὴν δὲ τὸ μὲν στόμα μὴ πονέῃ, ἐς δὲ νειέρην γαστέρα στρόφος ἐμπίπτει, φάρμακον πίσαι κάτω, καὶ μετεπίσαι γάλα ὄνου ἢ ὀρρὸν ἢ τῶν χυλῶν τινά. ἢν δ' ἀσθενὴς ἔῃ, ὑποκλύσαι. πρὸ δὲ φαρμάκου τῆς πόσιος ὅς ἂν πυρεταίνῃ, ἑωθεν μὲν διδόναι μελίκρητον ὑδαρές. τὴν δὲ ἄλλην ἡμέρην ἐφ' ἣν ὁ πυρετὸς ἔχει, ὕδωρ ὁπόσον ἂν θέλῃ διδόναι ψυχρὸν πίνειν. ἐπὴν δὲ ἀνῇ ὁ πυρετὸς, ῥοφᾶν διδόναι πτισάνης χυλὸν ἢ κέγχρου λεπτὸν, καὶ ἐπιπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. ἢν δὲ ἔμπυρος ἔῃ καὶ μὴ ἀνῇ μήτε τῆς νυκτὸς μήτε τῆς ἡμέρης, ψαυόμενος δὲ ἢν μὲν τὰ ἄνωθεν ἔχῃ θερμὰ, ἡ κοιλίη δὲ καὶ

vomitionibus tentatur, ad lumbos et crura gravitas decumbit multumque dormit. Huic, ſi poſt febrem frigido et copioſo ſudore exudarit, neque febre liberetur, diuturnus morbus evadit. Si vero minime exudarit, citius judicatur. Cum ſic habuerit, ubi nonum diem attigerit, medicamentum purgans exhibeto. Si enim ſtatim per febris exordia exhibueris, poſtquam purgatus fuerit, febris repetit, rurſusque medicamento indiget. Cum vero os minime laboret, ſed ad imum ventrem termina decumbant, medicamentum deorſum purgans propinato, poſteaque lac aſininum aut ferum aut ſuccum aliquem bibendum dato. Quod ſi debilis fuerit, alvum infuſo ſubluito. At vero ante medicamenti purgantis portionem ſi quis febre vexetur, mane quidem aquam mulſam aquoſam exhibeto, alio vero die quo febris detinet, frigidam quantam volet bibendam dato. Cum vero febris remiſerit, ptiſanae ſuccum aut milium liquidum ſorbendum et vinum album, generoſum, aquoſum ſuperbibendum dato. Quod ſi febre detineatur, neque de nocte neque de die remiſerit, et ad contactum ſuperiores quidem partes calidas ha-

Ed. Chart. VII. [564. 565.] Foës. I. 473. Ed. Lind. II. (63. 64.)
οἱ πόδες εἰσὶ ψυχροὶ καὶ ἡ γλῶσσα τρηχείη, τούτῳ μὴ δῶς φάρμακον, ἀλλ' ὑποκλύζειν μαλθακῷ κλύσματι καὶ διδόναι ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. τὸν δὲ ἄλλον χρόνον πίνειν ὕδωρ ὡς ψυχρότατον. οὗτος ἢν μὲν ἑβδομαῖος ἐξιδρώσῃ καὶ τὸ πῦρ αὐτὸν μεθῇ· ἢν δὲ μὴ, τεσσαρεσκαιδεκαταῖος ἀποθνήσκει ὡς τὰ πολλά. ἄλλος πυρετός. ἔξωθεν ἀφασσόμενος ἐστὶ βλη[565]χρὸς, ἔσωθεν δὲ καίεται καὶ ἡ γλῶσσα αὐτοῦ τρηχείη καὶ πνεῖ διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος θερ(64)μόν. ὅταν δὲ πεμπταῖος γένηται, τὰ ὑποχόνδρια σκληρὰ, καὶ ὀδύνη ἔστι καὶ ἡ χροιὴ οἷον ὑπὸ ἰκτέρου ἐχομένου φαίνεται, καὶ οὐρέει παχὺ καὶ χολῶδες. τοῦτον ἢν μὲν ἑβδομαῖον ὄντα ῥῖγος λάβῃ καὶ πυρετὸς ἰσχυρὸς καὶ ἐξιδρώσῃ· ἢν δὲ μὴ, ἀποθνήσκει ἑβδομαῖος ἢ ἐνναταῖος. λαμβάνει δὲ μάλιστα, ἢν μὴ τὸ ἔτος αὐχμηρὸν γένηται αὕτη ἢ νοῦσος. ὅταν οὕτως ἔχῃ, λούειν θερμῷ ἑκάστης ἡμέρης, καὶ πίνειν διδόναι μελίκρητον ὑδαρὲς πολλὸν, καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης. ἐπὶ δὲ τῷ ῥοφήματι πίνειν οἶ-

beat, venter autem et pedes frigidi ſint et lingua aſpera, huic medicamentum purgans minime exhibeto, ſed molli infuſo alvum ſubluito, et ptiſanae ſuccum bis die frigidum ſorbendum dato, poſteaque vinum aquoſum propinato, reliquo vero tempore aquam quam frigidiſſimam bibendam. Hic ſi quidem ſeptimo die exudarit et febris eum dimiſerit, bene habet, ſin minus, plerumque decimoquarto die moritur. Alia febris. Exteriore parte ad contactum febris levis eſt, intus vero ardet, lingua eſt aſpera, naribus et ore calidum expirat. Ubi vero diem quintum attigerit, praecordia dura ſunt, dolentia, et color qualis in ictero detento apparet, urinamque craſſam ac bilioſam reijcit. Hunc ſi quidem ſeptimo die rigor et vehemens febris prehenderit ac exudarit, bene habet, ſin minus, ſeptimo aut nono die moritur. Corripit autem maxime hic morbus, ſi anni tempus minime ſqualidum fuerit. Cum ſic habuerit, quotidie calida lavato, aquam mulſam aquoſam copioſam propinato et ſuccum ptiſanae frigidum bis die ſorbendum dato et poſt ſorbitionem

Ed. Chart. VII. [565.] Foës. I. 473. 474. Ed. Lind. II. (64. 65.)

νον ὑδαρέα, λευκὸν, ὀλίγον. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύσαι ἢ βάλανον προσθεῖναι. σιτίον δὲ μὴ προσφέρειν, ἕως ἂν ὁ πυρετὸς ἀνῇ. ἐπὰν δὲ παύσηται, φάρμακον πίσαι κάτω. ὑποστρέφει γὰρ ἔστιν ὅτε ἡ νοῦσος, ἢν ἀκάθαρτος διαφέρηται. ἡ νοῦσος αὖτη πάλιν λαμβάνει, ἢν ὑπερχολήσῃ τὸ αἷμα. ἢν τριταῖος πυρετὸς ἔχῃ. ἢν μὲν οὖν μὴ παρεὶς τρεῖς λήψιας τῇ τετάρτῃ λάβῃ, φάρμακον πίσαι κάτω. ἢν δέ σοι δοκέῃ φαρμάκου μὴ δεῖσθαι, || τρίψας τοῦ πενταφύλλου τῶν ῥιζῶν ὅσον ὀξύβαφον ἐν ὕδατι δοῦναι πιεῖν. ἢν δὲ μηδὲ ἐν τούτῳ παύηται, λούσας αὐτὸν πολλῷ θερμῷ πίσαι τὸ τρίφυλλον καὶ ὁπὸν σιλφίου ἐν οἴνῳ ἰσοκρατέι, καὶ κατακλίνας ἐπιβαλέειν ἱμάτια ἕως ἱδρώσῃ. ἐπὴν δὲ ἐξιδρώσῃ, ἢν διψῇ, δοῦναι πιεῖν ἄλφιτον καὶ ὕδωρ. ἐς ἑσπέρην δὲ καὶ κέγχρον ἑψήσας λε(65)πτὸν ῥοφησάτω καὶ οἶνον ἐπιπινέτω. ἕως δ' ἂν διαλείπῃ, καὶ σιτίοις ὡς μαλθακωτάτοισι χρήσθω. πυρετὸς τεταρταῖος. τεταρταῖος πυρετὸς ὅταν ἔχῃ, ἢν μὲν ἐξ ἄλλης νούσου λάβῃ ἀκάθαρτον, φάρμακον πίσαι

vinum aquoſum, album, modicum bibendum. Quod ſi alvus minime ſubeat, per infuſum ſubluito aut glandem apponito. Cibum, quoad febris remiſerit, ne exhibeto, ubi vero ceſſaverit, medicamentum deorſum purgans bibendum dato. Quandoque enim revertitur morbus, ſi impurgatus permanſerit. Idem morbus rurſus prehendit, ſi ſanguis ſupra modum bilioſus fuerit. Si tertiana febris detineat, ſi quidem poſt tres acceſſiones quarta prehendat, medicamentum deorſum purgans propinato, Quod ſi medicamento tibi minime indigere videatur, pentaphylli radices acetabuli quantitate in aqua tritas bibendas dato. Si vero ne ſic quidem ſedetur, ubi multa calida laverit, trifolium et laſeris ſuccum cum vino pari aqua admixta propinato, reclinatumque multis veſtimentis donec exudet contegito. Poſt ſudorem ſi ſitiat, polentam ex aqua bibendam dato, veſperi vero milium tenue coctum ſorbeat, vinumque ſuperbibat. Cibis vero quam molliſſimis utatur, donec dimittat. Febris quartana. Cum febris quartana detinet, ſi quidem ex alio morbo non purgatum corripiat, medicamentum deorſum

Ed. Chart. VII. [565. 566.] Foël. I. 474. Ed. Lind. II. (65.)
κάτω. ἔπειτα τὴν κεφαλὴν καθῆραι, ἔπειτα φάρμακον πίσαι κάτω, ἢν δὲ μὴ ταῦτα ποιήσαντι παύηται, διαλείπων δύο λήψιας μετὰ τὴν κάτω κάθαρσιν λούσας αὐτὸν πολλῷ θερμῷ, πίσον τοῦ καρποῦ τοῦ ὑοσκυάμου ὅσον κέγχρον, καὶ μανδραγόρου ἴσον καὶ ὀποῦ τρεῖς κυάμους καὶ τριφύλλου ἴσον ἐν οἴνῳ ἀκρήτῳ πιέειν. ἢν δὲ ἐρρωμένος καὶ ὑγιαίνειν δοκέων ἐκ κόπου ἢ ἐξ ὁδοιπορίης πυρετήνας καταστῇ αὐτῷ ἐς τεταρταῖον, πυριήσας αὐτὸν, σκόροδα δίδου ἐς μέλι βάπτων. ἔπειτα ἐπιπινέτω φάκιον, μέλι καὶ ὄξος μίξας. ἐπὴν δὲ πλησθῇ, ἐμεσάτω. ἔπειτα λουσάμενος θερμῷ ἐπὴν ψυχθῇ, πιέτω κυκεῶνα ἐφ' ὕδατι. ἐσπέρης δὲ σιτίοισι μαλθακοῖσι καὶ μὴ πολλοῖσι διαχρήσθω. τῇ δὲ ἑτέρῃ λήψει λούσας θερμῷ πολλῷ, ἱμάτια ἐπιβαλὼν ἕως ἐξιδρώσῃ πίσαι παραχρῆμα λευκοῦ ἑλλεβόρου τῶν ῥιζέων ὅσον τριῶν δακτύλων μῆκος, καὶ τοῦ τριφύλλου ὅσον δραχμὴν μέγεθος καὶ ὀποῦ δύο κυάμους ἐν οἴνῳ ἀκρήτῳ. καὶ ἢν ἐμεσίαι μιν ἔχωσιν, ἐμεσάτω· ἢν δὲ μὴ, ὁμοίως μετὰ τὸ καθῆραι τὴν κεφαλήν. [566] σιτί-

purgans propinato, deinde caput repurgato, poſtea medicamentum deorſum purgans iterum dato. Quod ſi nec his factis ceſſet, interpoſitis duabus poſt purgationem per inferiora acceſſionibus, poſt multae calidae balneum, ſemen hyoſcyami milii magnitudine, mandragoram pari portione, laſeris ſuccum trium fabarum quantitate et trifolii parem modum ex vino meraco bibendum exhibeto. Si vero robuſtus eſſe et bene ſibi valere videatur, et ex laſſitudine ac itinere febris in eo contracta ad quartanam perducta ſit, poſt fomenta adhibita allium melle maceratum ipſi exhibeto, deinde lentis cremorem melle et aceto admixto ſuperbibat. Ubi cibo expletus fuerit, vomat poſt calidae balneum, poſtquam refrixerit, cyceonem ex aqua bibat, veſpere vero cibis mollibus neque multis utatur. Secunda autem acceſſione, calida loto et veſtimentis contecto quoad exudet, confeſtim veratri albi radicum trium digitorum longitudinem, trifolii drachmae quantitatem, ſucci laſeris duarum fabarum pondus ex vino meraco propinato. Quod ſi vomitiones ipſum detineant, vomat, ſin minus, eodem modo poſt capitis

Ed. Chart. VII. [566.] Foës. I. 474. Ed. Lind. II. (65. 66.)
οισι δὲ χρήσθω ὡς μαλθακωτάτοισιν καὶ ὀριμυτάτοισιν. ὅταν δὲ ἡ λῆψις μιν ἔχῃ, μὴ νῆστις ἐὼν τὸ φάρμακον πινέτω. (66) πλευρῖτις. πλευρῖτις ὅταν λάβῃ, πυρετὸς καὶ ῥῖγος ἔχει, καὶ ὀδύνη διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος, καὶ ὀρθοπνοίη καὶ βὴξ καὶ τὸ σίαλον λευκὸν καὶ ὑπόχολον, καὶ ἀποβήσσεται οὐ ῥηϊδίως, καὶ διὰ τῶν βουβώνων ὀδύνη, καὶ οὐρέη αἱματώδες, ὅταν οὕτως ἔχῃ. ἢν μὲν τὸ πῦρ ἀνῇ ἑβδομαῖον ὄντα, ὑγιὴς γίνεται· ἢν δὲ μὴ ἀνῇ, ἀφικνέεται ἡ νοῦσος ἐς τὰς ἑνδεκα ἡμέρας ἢ τὰς τεσσαρασκαίδεκα. οἱ μὲν οὖν πολλοὶ ἐν ταύτῃσιν ἀπόλλυνται, ἢν δὲ ὑπερβάλλῃ τὴν τεσσαρεσκαιδεκάτην, ἐκφυγγάνει. ὅταν οὕτως ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. πινέτω δὲ καὶ μέλι, ἀναζέσας αὐτὸ καὶ ἐπιχέας ὄξος ἴσον τῷ μέτρῳ τοῦ μέλιτος. ἔπειτα ὁπόσον ἂν γένηται μέτρον τοῦ ἑφθοῦ μέλιτος καὶ τοῦ ὄξους, ἐπιχέαι ὕδατος ἑνὸς δέοντος τῶν εἴκοσι. τοῦτο διδόναι πίνειν κατ' ὀλίγον πυκνὰ, καὶ μεταμίσγειν ὕδωρ ὄξος ὀλίγον παραχέων. ῥοφεέτω δὲ καὶ κέγχρου χυλόν. μέλι ὀλίγον παραστάζων ψυχρὸν, ὅσον τεταρτημόριον κοτύλης ἐφ' ἑκατέρῳ σιτίῳ, καὶ

purgationem. Cibis vero quam molliſſimis et acerrimis utatur. Cum autem ipſum acceſſio invaſerit, ne jejunus medicamentum bibat. Lateris morbus. Lateris morbus ubi prehendit, febris et rigor detinet, dolor per ſpinam ad pectus pervadit, erectae cervicis ſpiratio, orthopnoeam dicunt, et tuſſis vexat, ſputum album aliquantulum bilioſum non facile tuſſi rejicit, ad inguina dolor eſt et urinam cruentam reddit. Cum ſic habuerit, ſi quidem febris ſeptimo die remiſerit, convaleſcit. Quod ſi non remiſerit, morbus ad undecimum aut decimum quartum diem pervenit. Plerique itaque his diebus intereunt. Si vero decimumquartum diem ſuperet, evadit. Cum hoc modo dolor detinet, fomenta calida admoveto. Mel autem decoctum pari affuſa aceti menſura bibat, deinde ad mellis cocti et aceti menſuram, aquae undevigeſimam portionem affuſam ſenſim et crebro bibendam dato, poſteaque pauco affuſo aceto aquam admiſceto. Milii ſuccum pauco melle inſtillato frigido, quantum heminae quadrantem, in ſingulos cibos ſorbeat et vi-

Ed. Chart. VII. [566.] Foës. I. 474. 475. Ed. Lind. II. (66. 67.) πινέτω οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα, ὀλίγον. ὁ δὲ οἶνος ἔστω ὡς μαλθακώτατος ὀδμὴν μὴ ἔχων. ὅταν δὲ ὁ πυρετὸς ἀφῇ, ἡμέρας μὲν δύο τὸν κέγχρον ῥοφεέτω δὶς τῆς ἡμέρας, καὶ τεῦτλα ἡδύτατα ἐσθιέτω. ἔπειτα μετὰ ταῦτα σκύλακα ἢ ὄρνιθα καθεφθὸν ποιήσας, τοῦ ζωμοῦ ῥοφεέτω καὶ τῶν κρεῶν φαγέτω ὀλίγα. τὸν δὲ λοιπὸν χρόνον μάλιστα ὅσον ὑπὸ τῆς νούσου εἴχετο, ἀριστιζέσθω μὲν τὸν κέγχρον, ἐς ἑσπέρην δὲ σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω καὶ μαλθακωτάτοισιν. ἑτέρη πλευρῖτις. πυρετὸς ἔχει καὶ βὴξ καὶ ῥῖγος καὶ (67) ὀδύνη ἐς τὸ πλευρὸν || καὶ ἐς τὴν κληῖδα ἐνίοτε καὶ τὸ σίαλον πτύει ὑπόχολον καὶ ὕφαιμον. ὅταν τύχῃ ῥηγματίας ὢν τούτῳ ᾧ ἂν ὀδύνη ἔχῃ, μάλιστα προστιθέναι γλιάσματα καὶ λούειν θερμῷ, ἢν μὴ πυρετὸς αὐτὸν πολὺς ἔχῃ· ἢν δὲ μὴ, μή. πίνειν δὲ διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων ἄρτι ὑπόγλυκυ ποιέων, καὶ μεταμίσγειν ὕδωρ, ῥοφάνειν δὲ τὸν χυλὸν τοῦ κέγχρου δὶς τῆς ἡμέρης, καὶ ἐπιπινέτω οἶνον λευκὸν ὑδαρέα, καὶ ἢν ὑπερφύγῃ τὰς τεσσαρεσκαίδεκα ἡμέρας, ὑγιὴς γίνεται. ἄλλη πλευρῖτις. πυρετὸς ἴσχει

num album, generoſum, aquoſum, bibat. Vinum autem ſit quam molliſſimum et minime odoratum. Cum vero febris dimiſerit, duobus quidem diebus milium bis die ſorbeat et betas ſuaviſſime apparatas comedat. Poſt haec catuli aut aviculae decoctae jus ſorbeat et paucas carnes edas. Denique vero, praecipue quamdiu morbo tentabitur, milium in prandio aſſumat, veſperi autem cibariis quam pauciſſimis et molliſſimis utatur. Alter lateralis morbus. Febris et tuſſis detinet et rigor et lateris dolor, quandoque etiam ad jugulum, ſputum expuit aliquantulum bilioſum et ſubcruentum. Quod ſi contigerit ut ei intro abſceſſus ruptus fuerit, qua parte maxime dolor detinet, fomenta calida admoveto et niſi multa febris vexet, calida lavato, ſin minus, minime. In potu vero aquam ſavi recentis maceratione condulcatam exhibeto, poſtea etiam immixta aqua. Milii autem ſuccum bis die ſorbeat et vinum album aquoſum ſuperbibat. Qui ſi quatuordecim dies effugerit, ſanus evadit. Alius latera-

Ed. Chart. VII. [566. 567.] Foës. I. 475. Ed. Lind. II. (67. 68.) καὶ βρυγμὸς καὶ βὴξ ξηρὴ, καὶ ἐκβήσσεται χλωρά. ἔστι δ' ὅτε καὶ πελιδνὰ καὶ τὸ πλευρὸν ὀδύνη λαμβάνει, καὶ τὸ μετάφρενον ὑπέρυθρον γίνεται. χλιαίνεται δὲ τὴν κεφαλὴν καὶ τὰ στήθεα. ποτὲ δὲ τὴν κοιλίην καὶ τοὺς πόδας καὶ τὰ σκέλεα, καὶ ἀνακαθήμενος μᾶλλον βήσσει καὶ ἡ γαστὴρ ταράσσεται καὶ τὸ ἀποπάτημα πάνυ χλωρὸν καὶ κάκοδμον. οὗτος ἐν εἴκοσιν ἡμέραις ἀποθνήσκει. ἢν δὲ ταύτας ἐκφύγῃ, ὑγιὴς γίνεται. τοῦτον ἔστ' ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι, διδόναι πίνειν τὸ ἀπὸ τοῦ κρίμνου, [567] καὶ μεταπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. ῥοφέειν δὲ τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης. ἀντὶ δὲ τοῦ μέλιτος ὑπὸ τὸν χυλὸν μίσγειν, ῥοιῆς χυλὸν οἰνώδεα, ὅταν ἤδη ὁ χυλὸς ἑφθὸς ᾖ, καὶ λούειν μὴ πολλῷ. ἐπὴν δὲ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἔπειτα ἀριστιζέσθω τὸν κέγχρον. ἐς ἑσπέρην δὲ τοῖσι κρέασι τοῖσιν ὀρνιθίοισι καὶ τῷ ζωμῷ καὶ τοῖσι σιτίοισι ὀλίγοισι χρήσθω. τὴν δὲ τοιαύτην νοῦσον ὀλίγοι ἐκφυγγάνουσιν. (68) περιπλευμονίη. πυρετὸς ἴσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον· τὸ δὲ μακρότατον δύο

lis morbus. Febris detinet, dentium ſtridor et tuſſis ſicca vexat, cum virore pallida, quandoque etiam livida tuſſi rejicit, dolor lateris prehendit et dorſum ſubrubrum evadit, caput et pectus calet, interdumque etiam venter, pedes et crura. Erectus ſedens tuſſi magis vexatur, alvus turbatur et alvi egeſtio ex virore admodum pallida eſt et graveolens. Hic intra dies viginti perit, quos ſi effugerit, convaleſcit. Huic donec quatuordecim dies praeterierint, farinae hordeaceae craſſioris maceratae dilutum bibendum exhibeto et vinum album, generoſum, aquoſum poſtea propinato, ptiſanae ſuccum frigidum bis die ſorbendum dato. Cumque jam ſuccus decoctus fuerit, mellis loco mali punici ſuccum vinoſum et ptiſanae ſuccum admiſceto, neque calida multa lavato. Ubi vero dies quatuordecim praeterierint, poſtea milium in prandio aſſumat, veſperi autem avicularum carnibus cum jure et paucis cibis utatur. Ex hoc autem morbo pauci evadunt. Pulmonis inflammatio. Febris ut minimum quatuordecim dies detinet, ad ſummum autem duo-

Ed. Chart. VII. [567.] Foël. I. 475. Ed. Lind. II. (68.)

δεούσας εἴκοσι, καὶ βήσσει ταύτας τὰς ἡμέρας ἰσχυρῶς, καὶ ἀποχρέμπτεται τὸ μὲν πρῶτον σίαλον παχὺ καὶ καθαρὸν ἑβδόμῃ καὶ ὀγδόῃ. ἐπὴν δὲ ὁ πυρετὸς λάβῃ, ἐννάτῃ καὶ δεκάτῃ ὑπόγλυκυ καὶ πυῶδες, ἔστ' ἂν αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι, καὶ ἢν μὲν ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρῃ ξηρανθῇ ὁ πλεύμων καὶ ἐκβήξῃ, ὑγιάζεται. ἢν δὲ μὴ, δύο δεούσαις εἴκοσι προσέχειν, καὶ ἢν μὲν ἐν ταύτῃσι παύσηται τοῦ βήγματος, ἐκφεύγει. ἢν δὲ μὴ παύηται, εἴρεσθαι αὐτὸν, εἰ γλυκύτερον αὐτῷ δοκέει τὸ σίαλον, καὶ ἢν φῇ, ἡ νοῦσος ἐναισίη γίνεται. ὁ γὰρ πλεύμων ἔμπυος γίνεται. τούτῳ χρὴ τὰς μὲν πρώτας ἡμέρας οἶνον διδόναι γλυκὺν, λευκὸν, ὑδαρέα, κατ' ὀλίγον πίνειν πυκνά. ῥοφάνειν δὲ τῆς πτισάνης τὸν χυλὸν διδόναι, μέλι παραμίσγων τρὶς τῆς ἡμέρης, ἔστ' ἂν αἱ ὀκτωκαίδεκα ἡμέραι παρέλθωσι καὶ ὁ πυρετὸς παύσηται. κινδυνεύει δὲ μάλιστα ἐν τῇσιν ἑπτὰ ἢ ἐν τῇσι τεσσαρεσκαίδεκα. ἐπὴν δὲ τὰς ὀκτωκαίδεκα ἡμέρας ὑπερβάλλῃ, οὐκ ἔτι ἀποθνήσκει, ἀλλὰ πτύει πῦον καὶ τὰ στήθεα πονέει καὶ βήσσει. ὅταν οὕτως ἔχῃ, πιπίσκειν τῆστιν τὸ σὺν τῷ ἐλε-

deviginti, quibus diebus vehementer per tuſſim rejicit et primum quidem ſputum craſſum et purum ſeptimo et octavo die excreat. Ubi vero febris prehenderit, nono et decimo die ſubdulce et purulentum, quoad quatuordecim dies praeterierint. Quod ſi decimo quidem quinto die pulmo reſiccatus fuerit et per tuſſim rejiciat, convaleſcit. Sin minus, ad duosdeviginti attendito, quibus quidem ſi ſputum tuſſi rejectum ſedatum fuerit, evadit. At ſi non ceſſet, eum interrogato, num ei ſputum eſſe dulcius videatur. Quod ſi affirmaverit, morbus annuus evadit, cum pulmo pus intro colligat. Huic primis quidem diebus vinum dulce, album, aquoſum paulatim crebro bibendum exhibeto. Ptiſanae vero ſuccum melle ammixto ter die ſorbendum, quoad dies decem et octo praeterierint et febris ceſſaverit. Periculum autem praecipue die ſeptimo et decimoquarto incurrit. Cum vero octodecim dies ſuperaverit, non amplius moritur, ſed pus expuit, pectus dolet et per tuſſim rejicit. Cum ſic habuerit, jejuno lentis decoctum propinato ejusque freſum

Ed. Chart. VII. [567. 568.] Foës. I. 475. 476. Ed. Lind. II. (68. 69.)

λισφάκῳ, καὶ ῥοφάνειν ἔτνος στέαρ συμμίσγων πλέον, ἢν μὴ θάλπος ᾖ. ἢν δ' ᾖ, μὴ ῥοφανέτω, ἀλλὰ σιτίοισι χρήσθω ἁλυκοῖσι καὶ λιπαροῖσι καὶ τοῖσι θαλασσίοισι μᾶλλον ἢ κρέασι, καὶ ἢν σοι δοκέῃ καθαίρεσθαι κατὰ λόγον, ἐγχεῖν καὶ πυριᾶν. ἢν μὲν παχὺ ᾖ τὸ πῦον, πυριᾶν· (69) ἢν δὲ λεπτὸν, ἐγχεῖν. || καὶ τῶν σιτίων ἔχεσθαι ὡς μάλιστα καὶ τῶν δριμέων ἀπέχεσθαι καὶ κρεῶν βοείων καὶ οἰείων καὶ χοιρείων. ὅταν ἐκ περιπλευμονίης ἔμπυος γένηται, πυρετὸς ἴσχει καὶ βὴξ ξηρὴ καὶ δυσπνοίη καὶ οἱ πόδες οἰδέουσι καὶ οἱ ὄνυχες ἕλκονται τῶν χειρῶν καὶ τῶν ποδῶν. τοῦτον ὅταν οὕτως ἔχῃ, ἐπὴν δεκαταῖος γένηται, ἀφ' ἧς ἂν ἄρξηται ἔμπυος γίνεσθαι, λούσας πολλῷ θερμῷ τρίψας ἄρου ῥίζαν, ὅσον ἀστράγαλον μέγεθος καὶ ἁλὸς χόνδρον καὶ μέλι ὀλίγον καὶ ὕδωρ καὶ ἄλειφα ὀλίγον. ἐξειρύσας τὴν γλῶτταν, ἐγχέαι χλιαρόν. ἔπειτα κινῆσαι τὸν ὦμον, καὶ ἢν μὲν ὑπὸ τούτου τὸ πῦον ῥαγῇ, εἰ δὲ μὴ, ἕτερον ποιῆσαι. σιτία δριμέα ἐκχυμώσας καὶ κυκλάμινον ὅσον ὀξίβαφον τῶν μικρῶν ἑκατέρων ἔστω. [568] ἔπειτα ὀπὸν σιλφίου τρίψας ὅσον κύαμον, διεῖ-

multo adipe admixto ſorbendum dato, ſi aeſtus non adfuerit, qui ſi adſit, ne ſorbeat, ſed cibis utatur ſalſis ac pinguibus et marinis potius quam carnibus. Quod ſi tibi rite purgari videatur, infuſo ac fomento utitor, ſi quidem pus craſſum fuerit, foveto, ſed ſi tenue, infundito. Et cibis quam maxime adhaereat, acribus, carnibus bubulis, ovillis et ſuillis abſtineat. Cum ex pulmonis inflammatione purulentus extiterit, febris vexat, tuſſis ſicca, difficultas ſpirandi, pedes intumeſcunt et manuum ac pedum ungues contrahuntur. Cum ſic habuerit, decimo poſt die ex quo purulentus fieri coeperit, huic multa calida loto, ari radicem tritam aſtragali magnitudine, ſalis granum et parum mellis ex aqua et pauco oleo, extracta lingua tepidum infundito, deinde humerum concutito. Quod ſi ex eo quidem pus erumpet, ſat eſt, ſin minus, aliud facito. Ciborum acrium et cyclaminis ſuccum expreſſum, utriusque acetabulum parvum ſumito, deinde laſeris ſuccum tritum fabae quantitate, lactis caprini aut aſi-

Ed. Chart. VI. [568.] Foes. I. 476. Ed. Lind. II. (69. 70.)

ναι καὶ συμμῖξαι γάλακτος ὅσον ὀξύβαφον αἴγειον ἢ ὄνειον, τοῦτο χλιαρὸν ἐγχεῖν. ἢν δὲ ὑπὸ τούτου μὴ ῥαγῇ, ῥαφάνου φλοιὸν καὶ ἄνθος χαλκοῦ ὅσον τρεῖς κυάμους τρίψας λεῖον, διπλάσιον δὲ ἔστω τῆς ῥαφάνου, ἐλαίῳ διεῖναι, ὅσον τεταρτημορίῳ κοτύλης, τοῦτο ἐγχεῖν χλιαρὸν, καὶ ἢν ῥαγῇ τὸ πῦον, σιτίοισιν ὡς ἁλμυρωτάτοισι καὶ λιπαρωτάτοισι χρῆσθαι, καὶ ἢν μὴ ἴῃ τὸ πῦον, κατ' ὀλίγον πυριᾶν κατὰ τὸ στόμα σίου χυλῷ οἴνῳ τορνίῳ, γάλακτι βοείῳ ἢ αἰγείῳ ἴσον ἑκάστου συμμίξας. ἔστω δὲ ὅσον τρεῖς κοτύλαι. ἔπειτα ἐμβάλλειν ἵππου ὄστρακα διαφήνας, τοῦτο ἑλκέτω διὰ τοῦ αὐλοῦ φυλασσόμενος ὅπως μὴ κατακαίηται. ἐπὴν (70) δὲ καθαρώτερον πτύῃ, ἐγχεῖν αὐτῷ κνίκης σπέρμα. λιβανωτόν. ὀρίγανον ἐν οἴνῳ λευκῷ καὶ μέλιτι καὶ ἐλαίῳ ὀλίγῳ. ἐγχεῖν δὲ διὰ τρίτης ἡμέρης. μετὰ δὲ βούτυρον, ῥητίνην ἐν μέλιτι διατήκων, καὶ σιτίοισι μηκέτι χρῆσθαι ἁλμυροῖσι μηδὲ λιπαροῖσι. πινέτω δὲ νῆστις τὰς ἐν μέσῳ ἡμέρας τῶν ἐγχύτων, ἐλελίσφακον, πήγανον, θύμβραν, ὀρίγανον ἴσον ἐν οἴνῳ ἀκρήτῳ ὅσον ὀξύβαφον μετὰ πάντων ἐπιπάσσων. ἢν δὲ μὴ

nini acetabulo dilutum et commixtum tepidum infundito. Si vero ob id non erumpat, raphani corticem et aeris florem trium fabarum quantitate laeviter tritum, olei heminae quadrante ſubactum, tepidum infundito. Sit autem raphani quantitas dupla. Quod ſi pus erumpat, cibis quam ſalſiſſimis et maxime pinguibus utatur. Sed ſi pus minime prodierit, paulatim ad os ſuffitum adhibeto ex ſii ſucco, vino Tornio, lacte bubulo aut caprino, pari cujusque admixta menſura, ita ut trium heminarum modum faciant. Deinde furni teſſas ignitas immittito, hoc per ſiſtulam trahat ea cautione adhibita ut ne aduratur. Ubi vero purius ſputum ſuerit, urticae ſemen, thus, origanum ex vino albo, melle et pauco oleo tertio quoque die infundito, poſtea vero butyrum, reſinam in melle liquefactam, neque amplius cibis ſalſis et pinguibus utatur. Intermediis autem diebus ex infuſis jejunus bibat ſalviam, rutam, ſatureiam, origanum pari portione, ex vino meraco ac acetabuli menſuram cum omni-

Ed. Chart. VII. [568.] Foës. I. 476. Ed. Lind. II. (70. 71.)
ῥαγῇ ὑπὸ τῶν ἐγχύτων, πολλάκις γὰρ ἐκρήγνυται ἐς τὴν κοιλίην καὶ αὐτίκα δοκέει ῥᾴων εἶναι, ὅταν ἐκ στενοῦ ἐς εὐρυχωρίην ἔλθῃ. ἄλλη νοῦσος. ὁκόταν ὁ χρόνος πλείων γένηται, ὅ τε πυρετὸς ἰσχυρὸς καὶ ἡ βὴξ ἐπιλαμβάνει, καὶ τὸ πλευρὸν ὀδυνᾶται, καὶ ἐπὶ μὲν τὸ ὑγιὲς οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ἀλγέον μέρος, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τῶν ὀμμάτων. τοῦτον ὅταν ἡμέρη πέμπτη καὶ δεκάτη γένηται ἀπὸ τῆς ἐκρήξιος, λούσας πολλῷ θερμῷ καθίσας ἐπὶ ἐφέδρου, ὅ τι μὴ ὑποκινήσει. ἕτερος μὲν τὰς χεῖρας ἐχέτω, σὺ δὲ τὸν ὦμον σείων, ἀκροάζεσθαι ἐς ὁκότερον ἂν τῶν πλευρέων τὸ πάθος ψοφέῃ. βούλεσθαι δὲ ἐς τὸ ἀριστερόν. κατ' αὐτὸν οὖν τὸν τόπον τομέειν. ἧσσον γὰρ θανατῶδες. ἢν δέ σοι ὑπὸ τοῦ πάχεος καὶ τοῦ πλήθεος μὴ ψοφέῃ, ὥστε καταμαθεῖν αὐτό, ποιέει γὰρ τοῦτο ἐνίοτε, ὁκότερον ἂν ἀποιδέῃ τῶν πλευρέων καὶ ὀδυνᾶται μᾶλλον, τοῦτο τάμνειν ὡς κατωτάτω ὄπισθεν τοῦ οἰδήματος μᾶλλον ἢ ἔμπροσθεν, ὅκως σοι ἡ ἔξοδος τοῦ πύου εὔροος ᾖ. τάμνειν (71) δὲ μεταξὺ τῶν πλευρέων στηθοειδεῖ μαχαιρίδι

bus his aſperſis. Quod ſi ab his infuſis non prorumpat, nil mirandum. Plerumque enim in ventrem erumpit, confeſtimque melius habere videtur, cum ex anguſto in ampliorem locum venerit. Alius morbus. Cum longius tempus progreſſum fuerit, febris vehemens et tuſſis prehendit, latus dolet, neque in ſanam quidem partem decubitum ferre poteſt, ſed in dolentem, pedes et oculorum cavitates intumeſcunt. Poſt decimumquintum ab eruptione diem huic multa calida loto et in ſella ſtabili collocato alter manus detineat, tu vero agitato humero quonam in latere affectio ſtrepitum faciat auſcultato, votum autem eſt ut in ſiniſtro. Ad hunc igitur locum ſectionem adhibeto quod minus lethale eſt. At ſi prae craſſitudine et copia nullum tibi ſtrepitum edere videatur, quo ipſum deprehendas, quod fit interdum, latus quod intumuerit et magis doluerit, quam infima parte ſub ipſum tumorem potius quam anteriore parte ſecato, quo facilior puri exitus pateat. Primum autem inter

Ed. Chart. VII. [568. 569.] Foël. I. 476. 477. Ed. Lind. II. (71.)
τὸ πρῶτον δέρμα, ἔπειτα ὀξυβελέι ἀποδήσας ῥάκει, τὸ ἄκρον τῆς μαχαιρίδος λιπὼν ὅσον τὸν ὄνυχα τοῦ δακτύλου τοῦ μεγάλου καθεῖναι ἔσω. || ἔπειτα ἀφεὶς τὸ πῦον ὅσον ἄν σοι δοκέῃ, μοτοῦν ἀμολίνῳ μοτῷ λίνον ἐκδήσας. ἀφεῖναι δὲ τὸ πῦον ἑκάστης ἡμέρης ἅπαξ. ἐπὴν δὲ γένηται δεκαταῖος, ἀφεὶς ἅπαν τὸ πῦον ὀθονίῳ μοτοῦν. ἔπειτα ἐγχεῖν οἶνον καὶ ἔλαιον χλιαίνων αὐλίσκῳ, ὡς μήτε ὁ πλείμων ἐξαπίνης εἰωθὼς βρέχεσθαι τῷ πύῳ ἀποξηρανθῇ. ἐξιέναι δὲ τὸ ἔγχυμα τὸ μὲν ἔωθεν ἐς ἑσπέρην, τὸ δὲ ἐς ἑσπέρην ἔωθεν. ἐπὴν δὲ τὸ πῦον λεπτὸν οἷον ὕδωρ ἢ καὶ γλίσχρον τῷ δακτύλῳ ψαυόμενον καὶ ὀλίγον, ἐντιθέναι μοτὸν κασσιτέρινον κοῖλον. ἐπὴν δὲ παντάπασι ξηρανθῇ ἡ κοιλίη, ἀποτάμνων τοῦ μοτοῦ κατὰ μικρὸν συμφύειν τὸ ἕλκος, ἔστ' ἂν ἐξέλῃς τὸν μοτόν. [569] σημήϊον δὲ ἢν μέλλῃ ἐκφεύξεσθαι, ἢν μὲν τὸ πῦον ᾖ λευκὸν καὶ καθαρὸν καὶ ἶνες αἵματος ἐνέωσιν, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται· ἢν δὲ οἷον λεκιθοειδὲς ἀπορρυῇ τῇ πρώτῃ ἢ τῇ ὑστεραίῃ ἀπορρυῇ παχύ, ὑπόχλωρον, ὄζον,

costas cutem specillo lato excisorio secato, deinde specillo acuto panniculo deligato, cuius extremam partem unguis pollicis magnitudine relictam intro adigito. Postea ubi quantum puris videbitur emiseris, vulnus penicillo ex lino crudo, cui filum alligaris, obducito, quotidie pus semel emittito. Post decimum diem, ubi totum pus emiseris, penicillum ex linteo indito, deinde vinum et oleum tepida per fistulam infundito, ne pulmo pure madefeere consuetus derepente reficcetur. Infusum autem matutinum sub vesperam, at vespertinum mane educito. At ubi pus tenue velut aqua aut ad digiti contractum glutinosum et paucum fuerit, stanneum penicillum cavum indito. Cum vero prorsus venter reliccatus fuerit, paulatim resecato penicillo, dum ipsum eximas, vulnus coalescere finito. Indicio autem est evasurum aegrum, si quidem pus album et purum fuerit, fibraeque sanguinis insint, ut plurimum convalescit. At si primo die ovi luteo similem aut postero die crassum defluat, aliquantum ex virore pallidum et graveolens, ubi pus effluxe-

Ed. Chart. VII. [569.] Foes. I. 477. Ed. Lind. II. (71, 72.)
ἀποθνήσκουσιν, ἐπειδὰν ἐκρυῇ τὸ πῦον. ἑτέρα. ὅταν πλευμᾷ, τούτου τὸ σίαλον παχὺ ὑπόχλωρον γλυκὺ βήσσεται, καὶ βρυγμὸς καὶ ὀδύνη ἐς τὸ στέρνον καὶ ἐς τὸ μετάφρενον, καὶ συρίζει ἐν τῇ φάρυγγι λεπτὸν καὶ ἡ φά(72)ρυγξ ξηρὴ γίνεται, καὶ τὰ κοῖλα ἐρυθρὰ καὶ βαρέη ἡ φωνὴ, καὶ οἱ πόδες οἰδίσκονται, καὶ οἱ ὄνυχες ἕλκονται, καὶ καταλεπτύνονται τὰ ἄνω, καὶ μινύθει καὶ μυσάττεται τὸ σίαλον, ἐπὴν ἀποχρεμψάμενος ἔχῃ ἐν τῷ στόματι, καὶ βήσσει τοὺς ὄρθρους καὶ μεσονυκτίου μάλιστα. βήσσει δὲ καὶ τὸν ἄλλον χρόνον καὶ λαμβάνει μᾶλλον γυναῖκα νεωτέρην ἢ πρεσβυτέρην. τούτῳ ἢν μὲν αἱ τρίχες ἤδη ἐκ τῆς κεφαλῆς ῥέωσι καὶ ψιλῶται ἤδη ἡ κεφαλὴ ὡς ἐκ νούσου, καὶ πτύοντι ἐπ' ἄνθρακας βαρὺ ὄζῃ τὸ σίαλον, φάναι αὐτὸν ἀποθανεῖσθαι ἐντὸς ὀλίγου χρόνου. τὸ δὲ κτεῖνον ἔσεσθαι διάῤῥοιαν. ἐπὴν γὰρ ἤδη τὸ πῦον τὸ περὶ τὴν καρδίην σήπηται, τοῦτο ὄζει κνίσης ἐπὶ τοῖσιν ἄνθραξι, καὶ ξυνθερμαινόμενος ὁ ἐγκέφαλος ῥεῖ ἄλμην ἢ κινεῖ τὴν κοιλίην. σημήϊον δὲ τούτου ῥέουσιν ἐκ τῆς κεφαλῆς τρίχες. τοῦτον μὴ ἰᾶσθαι ὅταν οὕτως ἔχῃ. ἢν δὲ

rit, moriuntur. Alius morbus. Cum quis ex pulmonis vitio tabeſcit, huic ſputum craſſum aliquantulum ex viroro palleſcens et dulce per tuſſim rejicitur, dentium ſtridor eſt, dolor pectus et dorſum occupat, tenuis ſibilus in faucibus editur, eaeque ſicceſcunt, cavitates rubent, vox gravis eſt, pedes intumeſcunt, ungues contrahuntur, partes ſuperiores extenuantur et imminuuntur, ſputum ore contentum excreaturus deteſtatur, matutino tempore et media nocte maxime tuſſis vexat, itemque alio tempore, hicque morbus juvenculam mulierem potius quam vetulam prehendit. Si quidem jam capilli ex capite huic defluant, caputque velut ex morbo nudetur et ſuper prunas expuenti ſputum graviter oleat, hunc intra breve tempus periturum aſſerito et ex alvi profluvio periturum. Ubi enim jam pus circa cor computruit, id prunis impoſitum nidorem exhalat et una incaleſcens cerebrum ſalſuginem emittit, quae alvum ciet, cujus rei indicium eſt, quod capilli ex capite defluunt. Hunc cum ita ha-

Ed. Chart. VII. [569.] Foeſ. I. 477. Ed. Lind. II. (72. 73.)
καταρχὰς ἐπιτύχῃς τῇ νόσῳ, φάκιον δὸς πιεῖν. εἶτα διαλιπὼν μίην ἡμέρην ἐλλέβορον δοῦναι κεκριμένον, ὅκως τὴν κάτω κοιλίην μὴ κινήσῃ, καὶ ἐπὴν ἐς τὸ στόμα τῆς νυκτὸς αὐτῷ φοιτᾷ ἅλμη, πρὸς τὰς ῥῖνας αὐτῷ προστίθει φάρμακα πυκνότερα. ἢν δὲ μὴ ῥέει, προστίθει μὲν, διὰ πλέονος δὲ χρόνου, καὶ τοῦ μηνὸς ἅπαξ προσπιπίσκοντα ἐλλέβορον, ὅσον τοῖσι δακτύλοισιν δύο ἄραι, ἐν οἴνῳ γλυκεῖ κεκριμένον. φάκιον δὲ αὐτίκα διδοὺς ἐπιπίνειν. φάρμακα δὲ ὡς ἐλάχιστα πινέτω. ἢν μὴ αὐτῷ οἱ πυρετοὶ ὀξύτεροι ἐπιλαμβάνωσι, τὴν (73) ῥίζαν τὴν λευκὴν καὶ τοῦ ἐλλεβόρου λείχειν. ἐν μέλιτι δὲ οὔ. οὕτω γὰρ ἥκιστα τὴν κοιλίην κινήσει. ἢν δὲ στρόφος ἐγγένηται ἐν τῇ κάτω τῇ κοιλίῃ, πρῶτον μὲν κλύσαι ἐκείνῳ ἐς ὃ ὁ κόκκος συμμίσγεται. ἢν δὲ μηδ' οὕτω παύηται, γάλακτι ὀνείῳ ἑφθῷ κάθηρον. φάρμακον δὲ μὴ δίδου κατωτερικόν. ἢν δὲ πρὸ τοῦ φαρμακίου προπίνων τὸν ἐλλέβορον χολὴν ἐμέει, αὐτῷ τῷ φακίῳ ἐμεέτω. σιτίοισι δὲ χρήσθω, ἢν μὲν οἱ πυρετοὶ ὀξέες ἔχωσι, κρέασι μηλείοισιν ἑφθοῖσι καὶ ὀρνιθί-

buerit ne curato. At ſi per initia tibi morbus obtigerit, lenticulae cremorem propinato, deinde intermiſſo uno die veratrum ita temperatum ut ne inferiorem alvum cieat, exhibeto. Cumque noctu ad os ſalſugo deveniat, crebriora ei medicamenta ad nares admoveto. Sed ſi non effluat, apponito quidem, verum ex majore intervallo et ſemel in menſe, veratro quantum duobus digitis tolli poteſt, ex vino dulci temperato inſuper epoto. Lenticulae vero decoctum confeſtim inde bibendum dato. Medicamenta autem purgantia, niſi eum febres acutiores prehendant, quam pauciſſima bibat. Dracunculi radicem et veratri delingat, non tamen ex melle. Sic enim minime alvum movebit. Quod ſi tormina in alvo inferiore ſuboriantur, eam primum quidem ex infuſo, in quod coccus cnidius commiſcetur, ſubluito. Quod ſi neque ſic ſedentur, lacte aſinino cocto purgato, medicamentum autem deorſum purgans ne exhibeto. Si vero ante medicamentum epoto veratro bilem vomat, ipſo lentis decocto aſſumpto vomat. Cibis autem utatur, ſi quidem febres acutae detinent, carnibus ovillis coctis et volucrium,

Ed. Chart. VII. [569. 570.] Foël. I. 477. 478. Ed. Lind. II. (73. 74.)

οισι καὶ κολοκύνθη καὶ τεύτλοισι. || ζωμὸν δὲ μὴ ῥοφεέτω, μηδὲ βάπτεσθαι. ἰχθύσι δὲ χρήσθω σκορπίοισι καὶ σελάχεσιν ἐφθοῖσι. θερμὸν δὲ μηδὲν ἐσθιέτω. μηδὲ λουέσθω ἢν ὁ πυρετὸς ἔχῃ πολύς. μηδὲ λαχάνοισι δριμέσι χρήσθω, [570] ὅτι μὴ θύμβρῃ ἢ ὀριγάνῳ. οἶνον δὲ λευκὸν πινέτω. ἢν δὲ ἄπυρος ᾖ, θέρμαι δὲ λαμβάνωσιν ἄλλοτε καὶ ἄλλοτε, ἐσθιέτω ἰχθῦς ὡς ἀρίστους καὶ πιοτάτους καὶ λιπαρὰ καὶ γλυκέα καὶ ἁλμυρὰ ὡς μάλιστα καὶ περιπάτοισι χρήσθω μήτε ἐν ἀνέμῳ μήτε ἐν ἡλίῳ, καὶ ἐμεέτω ἀπὸ τῶν σιτίων, ὅταν οἱ δοκέῃ καιρὸς εἶναι, καὶ λοῦσθαι χλιαρῷ πλὴν τῆς κεφαλῆς. σιτίων δὲ ἄρτος ἀμείνων, ὅσοι μὴ μαζοφάγοι εἰσί. τούτοισι δὲ ἀμφότερα συμμίσγειν. ἑτέρη νοῦσος, ἥτις καλέεται φθόη. βὴξ ἔχει καὶ τὸ πτύσμα πολλὸν καὶ ὑγρὸν, καὶ ἐνίοτε ῥηϊδίως ἀναβήσσεται καὶ τὸ πῦον οἷον χάλαζα καὶ διατριβόμενον ἐν τοῖσι δακτύλοισι σκληρὸν καὶ κάκοδμον γί-(74)νεται. ἡ δὲ φωνὴ καθαρὴ καὶ ἀνώδυνος, καὶ οἱ πυρετοὶ οὐ λαμβάνουσι. θέρμη δὲ ἐνίοτε ἄλλως τε καὶ ἀσθενής. τοῦτον χρὴ ἑλλέβορον πιπίσκειν καὶ φάκιον, καὶ εὐωχέειν

cucurbita et betis. Jusculum ne ſorbeat neque ad intinctus utatur. Piſcibus autem utatur ſcorpiis et mollibus aut cartilagineis coctis, neque calidum quicquam comedat neque lavet, ſi multa febris detineat, neque oleribus acribus utatur, excepta ſatureia aut origano, vinum album bibat. At ſi febris ſit expers, calores autem ſubinde corripiant, piſces quam optimos et pinguiſſimos edat et pinguia et dulcia et quam maxime ſalſa. Deambulationibus utatur neque in vento neque in ſole, et poſt cibos cum tempeſtivum videbitur vomat, tepidaque lavet capite excepto. Ex cibariis panis melior iis qui maza non victitant, his vero utraque commiſceto. Alius morbus, qui tabes vocatur. Tuſſis vexat et ſputum copioſum et liquidum, interdumque facile per tuſſim rejicitur, pusque grandini eſt ſimile et digitis tritum durum et graveolens exiſtit. Vox clara et ſine dolore emittitur, neque febres corripiunt, ſed quandoque calor et alioqui debilis eſt. Huic veratrum et lentis decoctum propinato

Ed. Chart. VII. [570.] Foës. I. 478. Ed. Lind. II. (74.)

ὡς μάλιστα ἀπεχόμενον τῶν δριμέων καὶ κρεῶν βοείων καὶ χοιρείων καὶ οἰείων καὶ γυμνάζεσθαι ὀλίγα καὶ περιπατέειν, καὶ ἀπὸ σιτίων ἐμέτοισι χρῆσθαι, καὶ λαγνείης ἀπέχεσθαι. αὕτη ἡ νοῦσος γίνεται ἑπτὰ ἔτεα ἢ ἐννέα. οὗτος ἢν ἐξ ἀρχῆς θεραπευθῇ, ὑγιὴς γίνεται. ἢν ἀφθήσῃ ἡ σύριγξ τοῦ πλεύμονος, πυρετὸς ἴσχει βληχρὸς, καὶ ὀδύνη μέσον τὸ στῆθος, καὶ τοῦ σώματος κνησμὸς, καὶ ἡ φωνὴ βραγχώδης καὶ τὸ σίαλον ὑγρὸν καὶ λεπτὸν πτύει, ἐνίοτε δὲ παχὺ καὶ οἷον πτισάνης χυλόν. καὶ ἐν τῷ στόματι ὀδμὴ οἱ ἐγγίνεται βαρείη οἷον ἀπὸ ἰχθύων ὠμῶν, καὶ ἄλλοτε καὶ ἄλλοτε ἐν τῷ σιάλῳ ἐμφαίνεται σκληρὰ, οἷον μύκης ἀφ' ἕλκεος, καὶ τὰ ἄνω λεπτύνεται, μάλιστα δὲ ἅπας, καὶ οἱ κύκλοι τοῦ προσώπου ἐρυθριῶσι, καὶ οἱ ὄνυχες τῷ χρόνῳ ἕλκονται καὶ ξηροὶ καὶ χλωροὶ γίνονται. τελευτᾷ δὲ αὐτίκα, ἢν μὴ θεραπευθῇ, αἷμα πύον καὶ πῦον. ἔπειτα καὶ πυρετοὶ ἰσχυροὶ ἐπιγινόμενοι αὐτὸν ἔκτειναν. ἢν δὲ θεραπευθῇ, ἐκφυγγάνει ἐκ ταύτης τῆς φθίσιος. θεραπεύειν δὲ χρὴ, φάκια πιπίσκοντα ἐμέειν. ἢν δέ

et quam plurimis cibis ſatiato, dum ab acribus, carnibus bubulis, ſuillis et ovillis abſtineat. Exercitationibus paucis et deambulationibus utatur, poſt illas vomitiones adhibeat, venere abſtineat. Morbus hic ſeptem aut novem annis durat, quod ſi huic per initia curationem adhibeas, ſanus evadit. Alius morbus. Si pulmonis fiſtula ulcere fervido et ſuperficiario laborarit, febris lenis detinet, medio pectore dolor vexat et totius corporis pruritus, vox rauceſſit, ſputum liquidum ac tenue expuit, interdum etiam craſſum ac tenue expuit, interdum etiam craſſum ac velut ptiſanae ſuccum. In ejus ore gravis odor, qualis ex piſcibus contingit, ſuboritur, ſubindeque in ſputo dura quaedam velut fungi fruſtula ex ulcere apparent, ſuperiora atque adeo totus homo extenuatur, malae rubent, ungues temporis ſucceſſu contrahuntur, aridi et ex virore palleſcentes evadunt. Confeſtim autem perit ſanguinem et pus per ſputum rejiciendo, niſi curetur. Poſtea etiam vehementes ſupervenientes febres ipſum interficiunt. At ſi curatus fuerit, ex hac tabe evadit. Curare autem oportet, ut epoto lenticulae decocto

Ed. Chart. VII. [570. 571.] Foës. I. 478. 479. Ed. Lind. II. (74. 75.)

σοι καιρὸς δοκέῃ εἶναι, ἑλλέβορον πίνειν, ἢν μὲν δυνατὸς ἔῃ ὁ ἄνθρωπος, αὐτόθι· ἢν δὲ μή, παραμίσγειν τῷ (75) φακίῳ ἥμισυ πόσιος, διαλείπων ἐν πέμπτῃ ἢ ἐν ἕκτῃ πόσει. τὴν δὲ κάτω κοιλίην μὴ κινέειν φαρμάκῳ, ἢν μὴ οἱ πυρετοὶ λαμβάνωσιν ἰσχυροί. ἢν δὲ μὴ λαμβάνωσι, γάλακτι ὄνου ὑποκαθαίρειν. ἢν δὲ ἀσθενήσῃ ὥστε πίνειν, ὑποκλύσαι. ἧττον δὲ κεφαλήν. καὶ ἢν μὲν τὸ σίαλον ἐς τὸ στόμα ἴῃ πολλὸν καὶ ἁλμυρόν, πρὸς τὰς ῥῖνας προσθεῖναι ὅ τι χολὴν μὴ ἄξει· ἢν δὲ μὴ ἴῃ τὸ ῥεῦμα ἐς τὸ στόμα, μὴ προστιθέναι πρὸς τὴν κεφαλήν. ἐπὴν δὲ τὸ σίαλον δυσῶδες ᾖ, τὰς μεταξὺ τῶν φακίων ἐγχεῖν ἐς τὸν πλεύμονα φάρμακον. μίην δὲ διαλιπὼν ἐπὴν ἔχῃς ἡμέρην, θυμιᾶν. σιτίοισι δὲ χρῆσθαι κρέασι μηλείοισι καὶ ὀρνιθίοισι, καὶ ἰχθύσι σελάχεσι [571] καὶ σκορπίοισιν ἐφθοῖσι. διὰ τετάρτης ἡμέρης τάριχον ἐσθιέτω ὡς ἄριστον καὶ πιότατον, καὶ ἀριστάτω μὲν μᾶζαν, δειπνείτω δὲ ταύτῃ συμμίσγων καὶ ἄρτον καὶ μήτε ῥοφανέτω μηδὲν, μήτε κυκεῶνα πινέτω, || ἢν ἐσθίειν δυνατὸς ᾖ. τὰ δ' ὀψὰ ἡδύνειν

vomat. Quod ſi tempeſtivum tibi videatur veratrum per ſe, ſi quidem per hominis vires liceat, propinato, ſin minus, dimidium potionis ad lenticulae decoctum admiſceto, ita ut quinta aut ſexta potione deſinas. Ventrem autem inferiorem, niſi febres vehementes prehenderint, medicamento purgante ne agitato. Quod ſi non prehenderint, lacte aſinino per inferiora purgato. Si vero adeo debilis ſit, ut bibere nequeat, per infuſum ſubluito, caput autem minus agitato. Quod ſi ſputum quidem copioſum et ſalſum ad os defluat, naribus quod bilem minime ducat apponito. Si vero fluxio ad os non vergat, capiti nihil adhibeto. Cum autem ſputum graveolens fuerit, intermediis inter lenticulae decoctum diebus medicamentum in pulmones per infuſum immittito, intermiſſo vero uno die ſuffito. Cibis utatur, carnibus ovillis et volucrium, piſcibus mollibus et cartilagineis et ſcorpiis coctis. Quarto quoque die ſalſamentum quam optimum et maxime pingue comedat, in prandio quidem maza utatur, in coena vero huic panem admiſceat, neque quicquam ſorbeat, neque cyceonem bibat, ſi comedere poſſit. Opſonia ſeſamo

Ed. Chart. VII. [571.] Foës. I. 479. Ed. Lind. II. (75. 76.)
καὶ ἐσθίειν σισάμῳ ἀντὶ τοῦ πυροῦ, καὶ κοριάνῳ καὶ ἀνήθῳ. σιλφίῳ δὲ μηδὲν χρῆσθαι μηδέ τινι ἄλλῳ λαχάνῳ δριμεῖ, ὅ τι μὴ ὀριγάνῳ ἢ θύμῳ ἢ πηγάνῳ. περιπάτοισι δὲ χρήσθω καὶ πρὸ τοῦ σιτίου καὶ μετὰ τὸ σιτίον, φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον. θωρηξίων ἀπεχέσθω καὶ ἀφροδισίων. λούσθω δὲ χλιαρῷ, πλὴν τῆς κεφαλῆς. ταύτην δὲ ὡς διὰ πλείστου χρόνου. φθίσις νωτιάς. ἡ νωτιὰς φθίσις ἀπὸ τοῦ μυελοῦ γίνεται. λαμβάνει δὲ μάλιστα νεογάμους καὶ φιλολάγνους. γίνονται δὲ ἄπειροι, καὶ (76) ἐσθίειν ἀγαθοὶ, καὶ τήκονται. καὶ ἢν ἐρωτᾷς αὐτὸν, φήσει οἱ ἄνωθεν ἀπὸ τῆς κεφαλῆς κατὰ τὴν ῥάχιν κατέρχεσθαι δοκεῖν οἷον μύρμηκας, καὶ ἐπὴν οὐρέῃ ἢ ἀποπατέῃ, προέρχεταί οἱ θορὸς πουλὺς καὶ ὑγρὸς, καὶ γενεὴ οὐκ ἐγγίνεται, καὶ ὀνειρώσσει, κἂν συγκοιμηθῇ γυναικὶ, κἂν μή. καὶ ὅταν ὁδοιπορήσῃ ἢ δράμῃ, ἄλλως τε καὶ πρὸς ἔπος ἆσθμά μιν καὶ ἀσθενείη λαμβάνει, καὶ τῆς κεφαλῆς βάρος, καὶ τὰ ὦτα ἠχέει. τοῦτον ἐν τῷ χρόνῳ ὅταν ἐπιλάβωσιν πυρετοὶ ἰσχυροὶ, ἀπώλετο ὑπὸ λιπυρίου. ὅταν οὕτως ἔχῃ, ἢν ἐξ ἀρχῆς μεταχειρίσῃ πυ-

pro tritico condita et coriandro et anetho comedat. Lafere ſilphiove ne utatur neque ullo alio olere acri praeterquam origano, aut thymo aut ruta. Deambulationibus autem ante et poſt cibum utatur, vitato vento et ſole, a crapula et venere abſtineat, tepida lavet capite excepto, quod quam rariſſime quidem lavet. Tabes dorſalis. Tabes dorſalis ex ſpinali medulla oritur, praecipue vero recentes ſponſos et libidinoſos corripit. Febris ſunt expertes, bene comedunt et colliquantur. Quod ſi ita affectum perconteris, afferet ſibi videri ex ſuperioribus partibus a capite velut formicas in ſpinam demitti, cumque urinam aut ſtercus reddit, ſemen genitale copioſum et liquidum ei prodit, neque generatio ſit, et inter dormiendum, cum uxore dormiat, necne, veneris ludibria patitur. Cumque alias tum praecipue per locum arduum iter fecerit aut cucurrerit, anhelo-ſus et imbecillus evadit, caput gravatur et aures ſonant. Hic temporis progreſſu vehementibus febribus correptus perit ex lipyria febre. Cum ita habuerit, ſi per exordia cu-

Ed. Chart. VII. [571.] Foës. I. 479. Ed. Lind. II. (76. 77.)

ριάσας αὐτὸν ὅλον, φάρμακον δοῦναι πίνειν ἄνω, καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι. μετὰ δὲ πίσαι κάτω. ἐγχειρέειν δὲ βούλεσθαι μάλιστα τοῦ ἦρος καὶ μεταπίσαι ὀρρὸν ἢ γάλα ὄνειον. βόειον δὲ γάλα διδόναι πιέειν τεσσαράκοντα ἡμέρας. ἐς ἑσπέρην δὲ ἕως ἂν γαλακτοποτέει χόνδρον διδόναι ῥοφεῖν. σιτίων δὲ ἀπεχέσθω. ἐπὴν δὲ παύσηται γαλακτοποτέων, σιτίοισι διακομίζειν αὐτὸν μαλθακοῖσιν ἐξ ὀλίγου ἀρχόμενος, καὶ παχύνειν ὡς μάλιστα, καὶ ἑνιαυτοῦ θωρηξίων ἀπεχέσθω καὶ ἀφροδισίων καὶ ταλαιπωριέων ὅ τι μὴ περιπάτοισι, φυλασσόμενος τὰ ψύχεα καὶ τὸν ἥλιον. λούσθω δὲ χλιαρῷ. πλεύμονος νοῦσος. τὸ σίαλον παχὺ καὶ λιγνῶδες βήσσεται, καὶ ἡ χροιὴ μέλαινα καὶ ὑποιδα(77)λέη, καὶ ὀδύναι λεπταὶ ὑπὸ τὸ στῆθος καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ δυσελκέες γίνονται. ἧσσον δ᾽ ἐπικίνδυνος τοῦ ἑτέρου οὗτος, καὶ ἐκφυγγάνουσι πλέονες. τοῦτον χρὴ ἑλλέβορον πιπίσκειν καὶ αὐτὸν καὶ τοῖσι φακίοισι μίσγοντα, καὶ ἐγχέειν εἰς τὸν πλεύμονα καὶ θυμιᾶν, καὶ εὐωχέειν ἀπεχόμενον κρεῶν βοείων καὶ οἰείων

randum ſuſceperis, fomento toti corpori admoto medicamentum per ſuperiora purgans bibendum exhibeto. Poſteaque caput purgato, deinde vero deorſum purgans propinato. Ad curationem autem vere praecipue aggredi velis, poſteaque ferum aut lac aſininum propinato. Lac vero bubulum per quadraginta dies bibendum exhibeto. Veſperi quamdiu lac bibet, alicam ſorbendam dato, a cibis autem abſtineat. Cum vero a lactis potu ceſſaverit, mollibus cibis a pancis initio ducto eum reficito et quam maxime incraſſato. Per annum crapula, venere et immoderatis exercitationibus abſtineat, praeterquam deambulationibus, in quibus frigora et ſolem vitet. Tepida autem lavet. Pulmonis morbus. Sputum craſſum et atra fuligine tinctum per tuſſim rejicitur, color niger eſt, aliquantulum intumeſcit, dolores leves ſub pectore et ſcapulis detinent et ulcera his aegre ſaneſcunt. Hic morbus ſuperiore minus periculoſus, pluresque evadunt. Huic veratrum per ſe aut lentis decocto admixtum propinare oportet, in pulmonem autem infuſa immittere et ſuffitibus uti, et liberaliter cibum ſumere, dum carnibus bubulis,

Ed. Chart. VII. [571. 572.] Foël. I. 479. 480. Ed. Lind. II. (77.) καὶ χοιρείων καὶ λαχάνων δριμέων, ὅ τι μὴ ὀριγάνῳ ἢ θύμβρῃ καὶ περιπάτοισι χρήσθω. ἐξ ἠοῦς δὲ πρὸς αἶπος ὁδοιπορέειν νῆστιν. ἔπειτα [572] πίνειν τῶν φύλλων ἐπ' οἴνῳ ἐπιπάσσοντα κεκρημένῳ. τὸ δὲ λοιπὸν σιτίοισι χρήσθω τοῖσιν εἰρημένοισιν. ἀρτηρίη τρωθεῖσα. ἢν τρωθῇ ἡ ἀρτηρίη, βὴξ ἔχει καὶ αἷμα βήσσεται, καὶ λανθάνει ἡ φάρυγξ πιμπλαμένη τοῦ αἵματος, καὶ ἐκβάλλει θρόμβους, καὶ ὀδύνη γίνεται ἐκ τοῦ στήθεος ἐς τὸ μετάφρενον ὀξείη, καὶ τὸ σίαλον γλίσχρον καὶ πολὺ καὶ ἡ φάρυγξ ξηρὴ καὶ πυρετὸς καὶ ῥῖγος ἐπιλαμβάνει καὶ κέρχνεται ἡ φάρυγξ, οἷον ὑπὸ λιπαροῦ, ἕς τε μὲν πεντεκαίδεκα ἡμέρας πάσχει τοιαῦτα. μετὰ δὲ πῦον πτύει, καὶ οἷα ἕλκεος κρότωνες καὶ αὖθις βὴξ καὶ ἐρρύγη οὖν τὸ αἷμα, καὶ μετὰ τὸ πῦον παχύτερον πτύει. καὶ ὁ πυρετὸς ἰσχυρότερος γίνεται, καὶ τελευτᾷ ἐς πλεύμονα καὶ καλέεται ῥηγματίας πλεύμονος. || ἢν δὲ μετὰ τὸ πρῶτον αἷμα μὴ πτύσῃ πῦον,. παυσάμενον χρὴ ταλαιπωρίης καὶ γυμνασίων καὶ ἐπ' ὄχημα ἀναβαίνειν, σιτίων ἀπεχόμενον καὶ

ovillis et ſuillis abſtineat et oleribus acribus, praeterquam origano et ſatureia. Deambulationibus utatur et matutino tempore jejunus ad arduum locum iter faciat. Deinde folia hortenſia condimentis uſurpata vino temperato aſperſa bibat. De reliquo cibis commemoratis utatur. Arteria vulnerata. Si arteria vulnerata fuerit, tuſſis detinet, ſanguis tuſſi expuitur, fauces latenter ſanguine implentur, ſanguinis grumos rejicit, dolor acutus ex pectore ad dorſum permeat, ſputum glutinoſum eſt et copioſum, fauces ſiccae, febris et rigor corripit, fauces creperum et ſtridulum ſonum edunt, velut ex pingui aliquo et ad dies quindecim hoc modo afficitur. Poſtea vero pus expuit, ac veluti ulceris fruſtula ricinis ſimilia, hoc eſt cartilagineas pulmonis partes, bronchia dicta, ac rurſus tuſſis, et ſane ſanguis erumpit, poſteaque pus craſſum expuit, febris vehementior evadit et in pulmonem deſinit, vocaturque is, cui ex pulmone velut ex rupto abſceſſu pus erumpit. Quod ſi poſt primum ſanguinem pus non expuat, a vehementi labore et exercitatione quieſcens

Ed. Chart. VII. [572.] Foës. I. 480. Ed. Lind. II. (77. 78.)
ἁλμυρῶν καὶ λιπαρῶν καὶ πιόνων καὶ λαχάνων δριμέων, καὶ ἐπὴν αὐτὸς ἑωϋτοῦ δο(78)κέῃ ἄριστα τοῦ σώματος ἔχειν, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον ἐν μοίρῃ ἑκάτερον, καὶ ἐπὴν τὰ ἕλκεα ὑγιὴς γένηται, ἐνιαυτὸν ἀπεχέσθω θωρηξίων καὶ μὴ ὑπερπίμπλασθαι. μηδὲ τῇσι χερσὶ ταλαιπωρέειν. μηδὲ ἐπ᾽ ὄχημα ἀναβαίνειν, ἀλλὰ ἰπαχύνειν αὐτὸν ὡς μάλιστα τὸ σῶμα. ἄρθρα τοῦ πλεύμονος σπασθέντα. ἐπὴν ἄρθρα σπασθῇ τοῦ πλεύμονος, τὸ πτύσμα λευκὸν πτύει. ἐνίοτε δὲ αἱματῶδες. ἀφρονέει τε καὶ πυρετὸς ἴσχει καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον καὶ τὸ πλευρὸν, καὶ ἢν στραφῇ, βήσσεται καὶ πτάρνυται. τοῦτον ᾗ ἂν ὀδύνη ἔχῃ χλιάσματα προστιθέναι καὶ διδόναι προροφάνειν κενταύριον καὶ δαῦκον, καὶ ἐλελισφάκου φύλλα τρίβων καὶ μέλι καὶ ὄξος ἐπιχέων καὶ ὕδωρ διδόναι καταροφάνειν, καὶ πτισάνης χυλὸν προροφανέτω καὶ ἐπιπινέτω οἶνον ὑδαρέα. ἐπὴν δὲ τῆς ὀδύνης παύσηται, ἐλελίσφασκον κόψας καὶ σήσας καὶ ὑπερικὸν καὶ ἐρύσιμον λεῖα καὶ ἄλφιτον ἴσον ἑκάστου. ταῦτ᾽ ἐπιβαλὼν ἐπὶ οἶνον κεκρημένον διδόναι πίνειν νήστει, καὶ

in vehiculum conſcendat, ubi cibis abſtinuerit ſalſis, unguinoſis, pinguibus et acribus oleribus. Cumque corpus optime habere videbitur, pectus et dorſum viciſſim utrumque inurito. Ulceribus curatis per annum ebrietate abſtineat, non impleatur ſupra modum, neque manibus vehementer laboret neque vehiculum conſcendat, ſed quam maxime craſſum corpus reddatur. Pulmonis utrimque dependentes fibrae convulſae. Si ex pulmone dependens fibra convellatur, ſputum candidum interdumque cruentum expuit, delirio et febre tenetur, dolor pectus, dorſum et latus occupat, et ſi ſe convertat, tuſſi et ſternutatione corripitur. Huic qua parte dolor detinet calefactoria admoveto, centaurium, daucum, ſalviae ſolia trita, melle et aceto affuſo ex aqua ante ſorbenda dato. Ptiſanae etiam ſuccum ante ſorbeat et vinum aquoſum ſuperbibat. Cum vero dolor quieverit, ſalviam tuſam et cribratam, hypericum et eryſimum laevigata cum polenta pari ſingula portione vino temperato

Ed. Chart. VII. [572. 573.] Foël. I. 480. Ed. Lind. II. (78. 79.)
ἢν μὴ νῆστις ᾖ, διδόναι δὲ ῥοφάνειν ἔτνος ἄναλτον. ἢν δὲ θάλπος ᾖ, σιτίοισι διαχρῆσθαι ὡς μαλθακωτάτοισιν, ἀνάλτοισι καὶ ἀκνίσοισιν, ἐπὴν ἤδη ἐπιεικέως ἔχῃ τὸ σῶμα καὶ τὸ στῆθος καὶ τὸν νῶτον. ἢν δὲ ἀμφότερα σπασθῶσι, βὴξ ἴσχει καὶ τὸ σίαλον βλέπεται παχὺ καὶ λευκὸν καὶ ὀδύνη ὀξείη ἴσχει ἐς τὸ στῆθος καὶ ὑπὸ τὰς ὠμοπλάτας. καὶ τὸ πλευρόν, καὶ καῦμα ἔχει καὶ καταπίμπλαται φωδῶν καὶ ξυσμὴ ἔχει καὶ οὐκ ἀνέχεται οὔτε (79) καθήμενος οὔτε κείμενος οὔτε ἑστηκώς, ἀλλὰ δυσθενέει. οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες μὲν οὐ πολλαί. κινδυνεύει δὲ καὶ ἐν τῇσιν ἑπτά. ἢν δὲ καὶ ταύτας διαφύγῃ, ὑγιάζεται. τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ θερμῷ δὶς τῆς ἡμέ[573]ρης, καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι, καὶ διδόναι πίνειν μέλι καὶ ὄξος ῥοφάνειν καὶ χυλὸν πτισάνης καὶ ἐπιπίνειν οἶνον λευκὸν οἰνώδεα. ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται προσφέρειν αὐτῷ ῥάκια ἡμιτυβίου καὶ βάπτων ἐς ὕδωρ, ἐπὶ τὰ στήθεα καὶ τὸν νῶτον ἐπιτιθέναι καὶ πίνειν

admixta jejuno bibenda exhibeto. At ſi jejunus non fuerit, leguminis freſi decoctum ſalis expers ſorbendum dato. Si vero aeſtus fuerit, cibis quam molliſſimis, inſulſis et minime nidoroſis utatur, cum jam moderate corpus et pectus et dorſum ſe habuerit. Quod ſi utrimque dependentes pulmonis fibrae vellicentur, tuſſis detinet, ſputum craſſum et album cernitur, dolor vehemens ad pectus ſub ſcapulis et ad latus occupat, ardor detinet et puſtulis velut ex igne rubentibus completur, pruritus vexat, neque ſedere neque jacere neque ſtare ſuſtinet, ſed infirmis eſt viribus. Hic quarto fere die perit, quem ſi effugerit, ne ſic quidem ſpes multa ſupereſt, cum et ſeptimo die periculum ſubeat, quem ſi ſuperaverit, convaleſcit. Hunc cum ita habuerit, bis die calida multa lavato, cumque dolor detinet, caleſactoria admoveto et mel cum aceto propinato, ſuccumque ptiſanae ſorbendum dato et vinum album generoſum ſuperbibendum. Quod ſi balneo et tepeſactoriis vexetur neque ea ferat, detriti linei panniculi aqua intincti ei ſunt admovendi, et ad pectus et dorſum

Ed. Chart. VII. [573.] Foël. I. 480. 481. Ed. Lind. II. (79. 80.)
διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων ὡς ψυχρότατον, καὶ τὸν χυλὸν ψυχρὸν καὶ ὕδωρ ἐπιπίνειν, καὶ κεῖσθαι πρὸς τὸ ψῦχος. ταῦτα ποιέειν. ἡ δὲ νοῦσος θανατώδης. ἐρυσίπελας ἐν πλεύμονι. ἢν ἐρυσίπελας ἐν πλεύμονι γένηται, βῆξ ἔχει, καὶ τὸ σίαλον ἀποπτύει πουλὺ καὶ ὑγρόν, οἷον ἀπὸ βρόγχου. ἔστι δὲ οὐχ αἱματῶδες, καὶ ὀδύνη ἴσχει τὸ μετάφρενον καὶ τοὺς κενεῶνας καὶ τὰς λαπάρας καὶ τὰ σπλάγχνα μύζει καὶ ἐμέει λάπην καὶ οἷον ὄξος, καὶ τοὺς ὀδόντας αἱμωδίᾳ, καὶ πυρετὸς καὶ ῥῖγος καὶ δίψα λαμβάνει, καὶ ὅταν τι φάγῃ, ἐπὶ τοῖσι σπλάγχνοισι μύζει καὶ ἐρεύγεται ὀξύ, καὶ ἡ κοιλίη τρίζει καὶ τὸ σῶμα ναρκᾷ, καὶ ὅταν ἐμέσῃ, δοκέει ῥᾶον εἶναι. ὅταν δὲ μὴ ἐμέσῃ ἀπιούσης τῆς ἡμέρης, στρόφος καὶ ὀδύνη ἐγγίνεται ἐν τῇ γαστρὶ, καὶ ἀπόπατος ὑγρὸς γινόμενος διεχώρησεν. ἡ δὲ νοῦσος (80) μάλιστα γίνεται ἐκ τῶν ὠρηξίων καὶ ἐκ τῶν κρεοφαγιέων καὶ ἐξ ὕδατος μεταβολῆς. ἴσχει δὲ καὶ ἄλλως. τοῦτον φάρμακον πιπίσκειν κάτω καὶ μεταπιπίσκειν γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ φύσει. || ἢν δὲ σπληνώδης ᾖ, μὴ καθαίρειν μήτε χυλοῖσι μήτε γά-

adhibendi, ſavumque ex aqua maceratum frigidiſſimum propinato et ptiſanae ſuccum frigidum aquamque ſuperbibendam dato. Loco frigido decumbere jubeto, iſtaque facito, verum morbus lethalis eſt. Eryſipelas in pulmone. Si oriatur in pulmone eryſipelas, tuſſis detinet et ſputum multum ac liquidum expuit, velut ex gutture quod cruentum non eſt, dolor dorſum et inanes ac molles laterum partes occupat, viſcera ſtrepitum edunt, pituitam acidam vomit, dentes obſtupeſcunt, febris, rigor ac ſitis corripit, cum quid comederit, in viſceribns ſtrepitus editur, acidum eructat, venter ſtridet et corpus torpeſcit. Cum vomuerit, melius habere videtur, ubi vero minime vomuerit, decedente die tormina et dolor in ventre ſuborinntur et liquidum ſtercus demittitur. Hic morbus maxime ex crapula, carnium eſu et aquae mutatione contingit atque aliis etiam de cauſis detinet. Huic medicamentum deorſum purgans propinato, poſteaque lac aſininum bibat, niſi natura lie-

Ed. Chart. VII. [573.] Foël. I. 481. Ed. Lind. II. (80.)

λακτι μήτε ὀρρῷ, ἀλλ' ὅτι ὀλίγον ἐσελθὼν πολὺ ἐξάξει. ὑποκλύζειν δὲ τὰς κοιλίας καὶ βαλάνους προστιθέναι, ἢν μὴ ἡ κοιλίη ὑποχωρέῃ ἐν πάσῃσι τῇσι νούσοισι, καὶ ψυχρολουτέειν ἐν ταύτῃ τῇ νούσῳ καὶ γυμνάζεσθαι, ὅταν οἱ πυρετοὶ ἀνῶσι καὶ δοκέῃ ἐπιεικέως ἔχειν τοῦ σώματος καὶ τοῦ ἦρος καὶ τοῦ μετοπώρου ἔμετον ἐμποιέειν. σκορόδων δὲ κεφαλὰς καὶ ὀριγάνου δραχμίδα ὅσην τοῖσι δακτύλοισι περιλαβεῖν, ἕψειν ἐπιχέαντα δύο κοτύλας οἴνου γλυκέος καὶ κοτύλην ὄξεος ὡς ὀξυτάτου καὶ μέλιτος ὅσον τεταρτημόριον. ἕψειν δὲ ἕως ἂν ἡ τρίτη μοῖρα λειφθῇ. κἄπειτα γυμνώσας τὸν ἄνθρωπον καὶ λούσας ὕδατι χλιαρῷ πίσαι θερμόν, καὶ πιπίσκειν φάκιον μέλι καὶ ὄξος συμμίσγων ἔστ' ἂν ἐμπλησθῇ. ἔπειτα ἐμεέτω καὶ τὴν ἡμέρην ταύτην πιὼν ἄλφιτον καὶ ὕδωρ ἐκνηστευέτω. ἐς ἑσπέρην δὲ τεῦτλον φαγέτω καὶ μάζης μικρὸν καὶ πινέτω οἶνον ὑδαρέα. ἀνὰ δὲ τὸν ἄλλον χρόνον ἐμεέτω τοῖσι φακίοισι καὶ ἀπὸ σιτίων, καὶ ἢν ἀφίστηται ἡ ὀδύνη ὑπὸ τὰς ὠμοπλάτας, σικύην προβάλλειν καὶ τὰς φλέβας ἀποτύψαι τὰς ἐν τῇσι χερσί. σιτίοισι δὲ χρῆσθαι

nosus fuerit. Quod si sic, ne succis neque lacte neque sero purgato, sed eo quod pauca quantitate sumptum plurimum foras educat. In omnibus morbis ubi alvus non subducitur eam per insusum subluito aut glandes supponito. Hoc in morbo frigidae balneo et exercitatione utendum, ubi febres remiserint et corpus moderate habere videbitur. Vere et autumno vomitus excitandus. Alliorum capita et origani pugillum, quantum digitis comprehenditur, vini dulcis duabus heminis affusis et aceti quam acerrimi hemina una, mellisque quarta parte, coquito dum tertia pars remaneat. Deinde post exercitationes et tepidae balneum homini calidum bibendum exhibeto, lenticulaeque decoctum, melle et aceto admixto dum expleatur propinato, deinde vomat, eoque die polenta ex aqua epota jejunus permaneat. Sub vesperum betam et mazae parum comedat et vinum aquosum bibat. Reliquo tempore ex lenticulae decocto post cibos vomat. Quod si ad scapulas dolor secesserit, cucurbitulam

Ed. Chart. VII. [573. 574.] Foës. I. 481. Ed. Lind. II. (80. 81.)

ἀνάλτοισι καὶ μὴ λιπαροῖσι μηδὲ πίοσι. δριμέα δὲ καὶ ὀξέα ἐσθιέτω καὶ ψυχρὰ πάντα καὶ περιπάτοισι χρήσθω. ταῦ(81)τα ποιέων ἄριστα ἂν διαιτῷτο καὶ διὰ πλείστου χρόνου ἡ νοῦσος γίνοιτο. ἔστι δὲ οὐ θανατώδης, ἀλλ' ἀπογηράσκοντας ἀπολείπει. εἰ δὲ βούλοιο νεώτερον ἐόντα θᾶττον ἀπαλλάξαι τῆς νούσου, καθήρας αὐτὸν, καῦσον τά τε στήθεα καὶ τὰ μετάφρενα. [574] νωτιάς. ῥῖγος καὶ πυρετὸς καὶ βὴξ καὶ δύσπνοια λαμβάνει καὶ τὸ σίαλον πτύει χλωρόν. ἔστι δ' ὅτε καὶ ὕφαιμον καὶ πονέει μάλιστα τὸ μετάφρενον καὶ τοὺς βουβῶνας, καὶ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ οὐρέει αἱματώδες καὶ ἀποθνήσκει ἑβδομαῖος. ἐπὴν δὲ τὰς τεσσαρασκαίδεκα ἐκφύχῃ, ὑγιὴς γίνεται. ἐκφυγγάνει δ' οὐ μάλα. τούτῳ διδόναι μελίκρητον ἀναζέσας ἐν καινῇ χύτρῃ ψύχων, σελίνου φλοιὸν ἀποτέγγων ἢ μαράθρου. τούτῳ διδόναι πίνειν καὶ πτισάνης χυλὸν δὶς τῆς ἡμέρης καὶ ἐπιπίνειν οἶνον λευκὸν ὑδαρέα. ᾧ ἂν ὀδύνη προσίστηται χλιαίνειν καὶ λούειν θερμῷ, ἢν μὴ ὁ πυρετὸς πολὺς ἔχῃ. ἐπὴν δὲ

affigito et manuum venas perfundito. Cibis utatur non falſis neque unguinoſis neque pinguibus, veſcatur acribus et acidis frigidiſque omnibus, ac deambulationibus utatur. Quae cum fecerit, optimam victus rationem ſequetur, morbusque in multum tempus protrahetur. Neque vero lethalis eſt, ſed conſeneſcentes deſerit. Sed ſi juvenem aliquem citius a morbo liberare voles, poſt purgationem ei pectus et dorſum inurito. Dorſalis morbus. Rigor, febris, tuſſis et ſpirandi difficultas prehendit et ſputum cum virore pallidum, interdumque aliquantulum cruentum expuit, dolor dorſum praecipue et inguina vexat, tertio aut quarto die urinam cruentam reddit et ſeptimo die moritur, ubi vero decimumquartum effugerit, convaleſcit, quem fere non effugit. Huic aquam mulſam in olla nova decoctam et refrigeratam, in qua apii aut foeniculi cortex maceratus fuerit, bibendam exhibeto et ptiſanae ſuccum bis die, vinumque album aquoſum ſuperbibendum. Qua dolor inſtat tepefactoria adhibeto, et niſi multa febris detinet, ca-

Ed. Chart. VII. [574.] Foës. I. 481. Ed. Lind. II. (81. 82.)
αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἀριστίζεσθαι μὲν τὸν κέγχρον, ἐς ἑσπέρην δὲ κρέα σκυλακείου ἢ ὀρνίθεια ἑφθὰ ἐσθίειν καὶ τοῦ ζωμοῦ ῥοφάνειν. σιτίοισι δὲ ὡς ἐλαχίστοισι χρῆσθαι τὰς πρώτας ἡμέρας. φῦμα ἐν τῷ πλεύμονι. ἐπὴν φῦμα φύῃ ἐν τῷ πλεύμονι, βὴξ ἔχει καὶ ὀρθοπνοίη καὶ ὀδύνη ἐς τὸ στῆθος ὀξέη καὶ ἐς τὰ πλευρὰ, καὶ ἕως μὲν τῶν τεσσαρεσκαίδεκα ἡμερῶν πάσχει. τοῖσι γὰρ πλείστοισι τοσαύτας ἡμέρας μάλιστα φλεγμαίνει τὸ πάθος τοῦ φύματος, καὶ τὴν κε(82)φαλὴν δὲ ἀλγέει καὶ τὰ βλέφαρα καὶ ὁρᾶν οὐ δύναται, καὶ τὸ σῶμα ὑπόπυῤῥον γίνεται καὶ φλεβῶν ἐμπίπλαται. τοῦτον λούειν πολλῷ θερμῷ καὶ μελίκρητον διδόναι πίνειν ὑδαρὲς, καὶ τῆς πτισάνης τὸν χυλὸν ῥοφάνειν καὶ οἶνον ὑδαρέα ἐπιπίνειν. ἢν δὲ ἡ ὀδύνη πιέζῃ, χλιαίνειν. ἐπὴν δὲ παύσηται, σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι. ἢν δὲ ἀπηλλαγμένον τῆς νούσου δυσπνοίη λαμβάνῃ, ἐπὴν πρὸς ὀρθὸν χωρίον ἴῃ ἢ σπεύσῃ τι ἄλλως, φάρμακον διδόναι, ὑφ' οὗ ἡ κοιλίη ἡ κάτω μὴ κινέεται. καὶ

lida lavato. Ubi vero quatuordecim dies praeterierint, milium in prandio quidem ſumat, ſub veſperam autem carnes catulinas aut volucrium coctas edat et de juſculo ſorbeat, ſed cibis quam pauciſſimis primis diebus utatur. Pulmonis tuberculum. Si in pulmone tuberculum exortum fuerit, tuſſis detinet ſpirandique difficultas quae non niſi erecta cervice obitur, dolor acutus pectus et latera occupat et ad decimum quidem quartum diem ita afficitur. Plerisque enim tuberculi affectus tot diebus inflammationem concipit. Sed et caput et palpebras dolor vexat, videre nequit, corpus ſubfulvum evadit et puſtulis velut ex igne rubentibus completur. Hunc calida multa lavato, aquam mulſam aquoſam propinato et ptiſanae ſuccum ſorbendum vinumque aquoſum ſuperbibendum dato, et ſi dolor premat, tepefactoria admoveto, ubi vero quieverit, cibis quam molliſſimis utatur. Quod ſi morbo liberatum dum ad locum rectum pergit vel alioqui feſtinat, difficultas ſpirandi invadat, medicamentum purgans ex quo alvus inferior mini-

Ed. Chart. VII. [574. 575.] Foël. I. 481. 482. Ed. Lind. II. (82. 83.) ἢν ἅμα τῷ ἐμέσματι πῦον ἕπηται, ἢν μὲν τὸ πῦον ᾖ λευκὸν καὶ ἶνες ἐν αὐτῷ ὕφαιμοι ἔωσιν, ἐκφυγγάνει. || ἢν δὲ πελιδνὸν καὶ χλωρὸν καὶ κάκοδμον, ἀποθνήσκει. καθαίρονται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀφ' ἧς ἂν ῥαγῇ, πολλοῖσι δὲ καὶ ἐνιαυσίη γίνεται ἡ νοῦσος. ποιέειν δὲ χρὴ τοῦτον ἅπερ τὸν ἔμπυον. ἢν δὲ μὴ ῥαγῇ, ἐνίοισι γὰρ τῷ χρόνῳ ἀφίσταται ὡς τὸ πλευρὸν καὶ ἐξοιδίσκεται. τοῦτον χρὴ, ἢν τοιοῦτο γένηται, τάμνειν ἢ καίειν. πλεύμων πλησθείς. ἢν πλησθῇ ὁ πλεύμων, βὴξ ἴσχει καὶ ὀρθοπνοίη καὶ ἆσθμα καὶ τὴν γλῶσσαν ἐκβάλλει καὶ πίμπλαται φωδῶν καὶ ξυσμὸς ἔχει καὶ ὀδύνη ὀξείη ἴσχει ἐς τὸ στῆθος καὶ κατὰ τὰς ὠμοπλάτας, καὶ οὐκ ἀνέχεται οὔτε καθήμενος οὔτ' ἀνακείμενος οὔθ' ἑστηκώς, ἀλλὰ δυσθενεῖ. οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες ὡς τὰ πολλά. κινδυνεύει δὲ πολλάκις καὶ ἐν τῇσιν ἑπτά. ἢν δὲ [575] ταύτας ὑπερεκφύγῃ, ὑγιάζεται. τοῦτον ὅταν οὕτως ἔχῃ, λούειν (83) πολλῷ καὶ θερμῷ δὶς τῆς ἡμέρης, καὶ ὅταν ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι καὶ ἐπιπίνειν διδόναι μέλι καὶ ὄξος

me moveatur exhibeto. Et ſi una cum vomitu pus album et in quo fibrae ſanguinis inſint ſubſequatur, evadit, ſi vero lividum, cum virore pallidum et graveolens, perit. Repurgantur autem in quadraginta diebus, ex quo ruptio facta eſt, multis etiam annuus fit morbus. Huic eadem quae ſuppurato facito. Quod ſi non eruperit, cum quibusdam procedente tempore ad latus abſceſſum faciat et intumeſcat, ubi hoc contigerit, hunc ſecato aut inurito. Pulmo repletus. Si pulmo repleatur, tuſſis, difficultas ſpirandi, quae fit erecta cervice, et anhelatio detinet, linguam exerit, puſtulis velut ex igne rubentibus impletur, pruritus occupat, dolor acutus pectus et ſcapulas vexat, neque ſedere neque recumbere neque ſtare poteſt, ſed infirmis eſt viribus. Hic quarto fere die moritur, quem ſi ſuperaverit, ſpes plerumque ſupereſt, ſaepe tamen etiam ſeptimo die periculum ſubit, quem ſi effugerit, convaleſcit. Hunc, cum ſic habeat, calida multa bis die lavato, cumque dolor detinuerit, tepefactoria admoveto, mel cum aceto coctum bibendum et ptiſanae

Ed. Chart. VII. [575.] Foëſ. I. 482. Ed. Lind. II. (83.)

ἐφθὸν καὶ ῥοφάνειν χυλὸν πτισάνης καὶ ἐπιπίνειν οἶνον. ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, προσφέρειν αὐτῷ ψύγμα καὶ πίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων ὡς ψυχρότατον καὶ κεῖσθαι πρὸς τὸ ψῦχος, ταῦτα ποιέειν. ἡ δὲ νοῦσος χαλεπὴ καὶ θανατώδης. ὁ πλεύμων προσπεσών ἐς τὸ πλευρόν. ἢν ὁ πλεύμων πρὸς τὸ πλευρὸν προσπέσῃ, βὴξ ἴσχει καὶ ὀρθοπνοίη καὶ σίαλον βήσσεται λευκὸν καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον ἴσχει καὶ ὠθέει προσκείμενος καὶ δοκέει τι ἐγκέεσθαι βαρὺ ἐν τοῖσι στήθεσι, καὶ κεντέουσιν ὀδύναι ὀξεῖαι, καὶ τρίζει τὸ αἷμα οἷον μάσθλης, καὶ τὴν πνοιὴν ἐπέχει. καὶ ἐπὶ μὲν τὸ πονέον ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιὲς οὔ, ἀλλὰ δοκέει τι αὐτῷ οἷον ἐκκρέμασθαι βαρὺ ἀπὸ τοῦ πλευροῦ καὶ διαπνέειν δοκέει διὰ τοῦ στήθεος. τοῦτον λούειν θερμῷ πολλῷ δὶς τῆς ἡμέρης καὶ μελίκρητον πιπίσκειν καὶ ἐκ τοῦ λουτροῦ οἶνον λευκὸν κεραννὺς καὶ μέλι ὀλίγον καὶ δαύκου καρπὸν τρίψας καὶ τῆς κενταυρίης δυὸς, τούτοισι διδόναι χλιαρὸν καταροφάνειν καὶ προστιθέναι

ſuccum ſorbendum, vinumque ſuperbibendum praebeto. Quod ſi balneo et tepefactoriis vexetur neque ea ferat, quod refrigeret ei apponito et favum aqua maceratum quam maxime frigidum bibendum dato, et loco frigido decumbat, iſtoque modo curato. Morbus autem aegre curatur et lethalis eſt. Pulmo in latus procumbens. Si pulmo in latus incubuerit, tuſſis et ſpirandi difficultas qua ſpiritus erecta cervice trahitur detinet, ſputum album cum tuſſi expuitur, dolor pectus et dorſum occupat, pulmo lateri adhaereſcens propellit et pondus quoddam lateri incumbere videtur, dolorque acutus pungit, ſanguis velut corium ſtridet et reſpirationem retinet, in latus quidem affectum decubitum ſuſtinet, in ſanum vero minime, verum ei pondus quoddam ex latere dependere et per pectus transpirare videtur. Hunc calida multa bis die lavato et aquam mulſam propinato. A balneo vinum album pauco ammixto melle, in quo dauci et centaureae tritum ſemen maduerit, his tepidum ſorbendum dato, ad latus aquam tepidam in utriculum aut veſicam bu-

Ed. Chart. VII. [575.] Foës. I. 481. Ed. Lind. II. (84.)
πρὸς τὸ πλευρὸν ἐς ἀσκεῖον ἢ ἐς βοείην κύστιν ὕδωρ χλιαρὸν ἐγχέων, καὶ ταινίῃ συνδεῖν τὰ στήθεα καὶ κεῖσθαι ἐπὶ τὸ ὑγιὲς καὶ τὸν χυλὸν διδόναι τῆς πτισάνης χλιαρὸν, καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. ἢν δὲ ἐκ τρώματος τοῦτο γένηται ἢ τιηθέντι ἐμπύῳ, γίνεται γὰρ, τούτῳ κύστιν πρὸς σύριγγα προσδήσας, ἐμπιπλάναι τῆς φύσης καὶ εἰσιέναι ἔσω καὶ μοτὸν στερεὸν κασσιτέρινον ἐντιθέναι καὶ ἀπωθέειν πρόσω. οὕτω διαιτῶν τυγχάνοις ἂν μάλιστα. τοῦ πλευροῦ φῦμα. ἐπὴν πλευρῷ φῦμα γένηται, ἡ βὴξ ἴσχει σκληρὴ καὶ ὀδύνη, καὶ πυρετὸς δὲ ἔγκειται βαρὺ ἐν τῷ πλευρῷ καὶ ὀδύνη ὀξείη ἐς τὸ αὐτὸ ἀεὶ χωρίον λαμβάνει καὶ δίψα ἰσχυρὴ, καὶ ἀπερρέυγεται τὸ πόμα θερμὸν, καὶ ἐπὶ μὲν τὸ ἀλγέον οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιές. ἀλλ' ἐπὴν κατακλίνῃ, δοκέει οἷόν περ λίθος ἐκκρέμασθαι καὶ ἐξοιδέει καὶ ἐξερύθη, καὶ οἱ πόδες οἰδέουσιν. τοῦτον τάμνειν ἢ καίειν. ἔπειτα ἀφιέναι τὸ πῦον, ἔστ' ἂν γένηται δεκαταῖος, καὶ μοτοῦν ὠμολίνῳ. ἐπὴν δὲ γένηται δεκαταῖος, ἐξιεὶς τὸ πῦον πᾶν, ἐσιέναι οἶνον καὶ ἔλαιον χλιάνας, ὡς μὴ ἐξαπίνης ἀποξη-

bulam infuſam admoveto et faſcia pectus alligato ac in latus ſanum decumbere jubeto, ptiſanae ſuccum tepidum et vinum aquoſum ſuperbibendum dato. Quod ſi ex vulnere iſtud contingat, aut cum quis purulentus factus fuerit, id enim accidere ſolet, veſicam fiſtulae adalligatam et flatu impletam huic intro immittito et penicillum ſtanneum ſolidum indito et penitiſſime intrudito. Hac curatione inſtituta voti maxime compos ſies. Lateris tuberculum. Ubi tuberculum in latere ſuboritur, tuſſis dura detinet et dolor et febris pondus in latus incumbit, dolor acutus eundem locum ſemper occupat, ſitis vehemens vexat et calidum potum rejicit, decubitum in latus affectum non ſuſtinet, ſed in ſanum. Verum ubi decumbit velut ſaxum illi ſuſpenſum eſſe videtur, intumeſcit ac rubet, pedesque in tumorem ſublati ſunt. Hunc ſecato aut inurito, deinde pus ad decimum usque diem emittito et penicillum ex lino crudo imponito. Poſt decimum diem ubi totum pus exierit, vinum et oleum, ne derepente ſicceſcat, tepida injicito et lina-

Ed. Chart. VII. [575. 576.] Foës. I. 482. 483. Ed. Lind. II. (84. 85.)
ρανθῇ καὶ μοτοῦν ὀθονίῳ. ἐξιεὶς δὲ τὸ ἐκκεχυμένον, ἐγχέειν ἕτερον. ποιέειν δὲ ταῦτα πέντε ἡμέρας. ἐπὴν δὲ τὸ πῦον λεπτὸν ἀποῤῥέῃ || οἷον πτισάνης χυλὸς καὶ ὀλίγον ἐν τῇ χειρὶ ψαυόμενον ἢ κασσιτέρινον μοτὸν ἐντιθέναι, καὶ ἐπὴν παντάπασι ξηρανθῇ, ἀποτάμνων τε τοῦ μοτοῦ ὀλίγον ἀεὶ ξυμφύειν τὸ ἕλκος πρὸς τὸν μοτόν. ὕδερος πλεύμονος. ἢν δὲ ὕδερος ἐν τῷ πλεύμονι [576] γένηται, πυρετὸς καὶ βὴξ ἴσχει καὶ ἀναπνέει ἀθρόον καὶ οἱ πόδες οἰδέουσι καὶ οἱ ὄνυχες ἕλκονται πάντες καὶ πάσχει οἷά περ ἔμπυος γενόμενος, βληχρότερον δὲ καὶ πολυχρονιώτερον. καὶ ἢν ἐγχέῃς ἢ πυ-(85)ριᾷς ἢ θυμιᾷς, οὐχ ὁμαρτέει πῦον. τούτῳ ἂν γνοίης ὅτι οὐ πῦον, ἀλλὰ ὕδωρ ἐστί. καὶ ἢν πολλὸν χρόνον προσέχων τὸ οὖς ἀκουάζῃ, πρὸς τὰ πλευρὰ ὄζει ἔσωθεν οἷον ὄξος, καὶ ἔως μέν τινος ταῦτα πάσχει, ἔπειτα δὲ ῥήγνυται πρὸς τὴν κοιλίην. καὶ αὐτίκα μὲν δοκέει ὑγιὴς εἶναι καὶ τῆς νούσου ἀπηλλάχθαι. τῷ δὲ χρόνῳ ἡ κοιλίη ἐμπίπραται, καὶ τά τε αὐτὰ κεῖνα πάσχει καὶ μᾶλλον. ἔνιοι δὲ καὶ οἰδίσκονται τὴν γαστέρα καὶ τὴν ὄσχην καὶ τὸ πρόσωπον, καὶ

mento ex linteolo obducito. Ubi quod infuderis emiſſum fuerit, aliud infundito iſtaque per dies quinque facito. Cum autem pus tenue velut ptiſanae cremor et ad manus contactum paucum defluxerit, penicillum ſtanneum immittito. Atque ubi prorſus reſiccatum fuerit, paulatim reſecto penicillo, ulcus ad linamentum ſemper ut coaleſcat ſinito. Aquae copia in pulmone collecta. Si aquae copia in pulmone collecta fuerit, febris et tuſſis vexat, conſertim reſpirat, pedes intumeſcunt, ungues omnes contrahuntur, velut ſuppuratus afficitur, verum remiſſius ac diutius. Quod ſi infuſum aut fomentum aut ſuffitum adhibeas, pus non ſequitur, indeque cognoſcas non pus, ſed aquam intus eſſe. At ſi diutius aure ad latera admota auſcultaveris, intrinſecus velut acetum olet et aliquantisper ita afficitur, poſtea in ventrem erumpit, confeſtimque ſanus et morbo liberatus eſſe videtur. Procedente autem tempore venter incenditur, eademque illa majoraque patitur. Quibusdam etiam venter et ſcrotum ac facies intumeſcit. Et nonnulli iſtud ab

Ed. Chart. VII. [576.] Foël. I. 483. Ed. Lind. II. (85. 86.)
ἔνιοι δοκέουσιν εἶναι ἀπὸ τῆς κοιλίης τῆς κάτω, ὁρῶντες τὴν γαστέρα μεγάλην καὶ τοὺς πόδας οἰδέοντας. οἰδίσκεται γὰρ ταῦτα, ἢν ὑπερβάλλῃς τὸν καιρὸν τῆς τομῆς. τοῦτον χρή, ἢν μὲν ἀποιδήσῃ, ἔξω ταμόντα διὰ τῶν πλευρέων ἰῆσθαι. ἢν δὲ μὴ ἀποιδέῃ, λούσαντα πολλῷ θερμῷ καθίσαι ὥσπερ τοὺς ἐμπύους, καὶ ὅπῃ ἂν ψοφέῃ, ταύτῃ τάμνειν. βούλεσθαι δὲ ὡς κατωτάτω, ὅκως τοι εὔροον ἔῃ. ἐπὴν δὲ τάμῃς, μοτοῦν ὠμολίνῳ, παχὺν καὶ ἔπακρον ποιήσασθαι τὸν μοτὸν καὶ ἀφιέναι τοῦ ὕδατος φειδόμενος ὡς ἐλάχιστα. καὶ ἢν μέν σοι ἐν τῷ μοτῷ πῦον περιγένηται πεμπταίῳ ἐόντι, ὡς τὰ πολλὰ ἐκφυγγάνει. ἢν δὲ μὴ περιγένηται, ἐπὴν ἐξεράσῃς τὸ ὕδωρ, δίψα ἐπιλαμβάνει καὶ βὴξ καὶ ἀποθνήσκει. στῆθος ἢ μετάφρενον ῥαγέν. ἢν τὸ στῆθος ἢ τὸ μετάφρενον ῥαγῇ, ὀδύναι ἴσχουσι τὸ στῆθος καὶ τὸ μετάφρενον διαμπερὲς, καὶ θέρμη ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει καὶ τὸ σίαλον ὕφαιμον βήσσεται. τὸ δ' οἷον θρὶξ διατρέχει διὰ τοῦ σιάλου αἱματώδης. μάλι(86)στα δὲ ταῦτα πάσχει, ἢν τῇσι χερσί τι πονήσῃ ἢ ἐφ' ἅμαξαν ἐπιβῇ ἢ ἐφ' ἵππον. τοῦτον

inferiore alvo provenire exiſtimant, cum ventrem magnum et pedes intumeſcere videant. Quae certe intumeſcunt, ſi ſectionis tempus praeterieris. Hunc quidem ſi exteriore parte intumeſcit, inter coſtas ſectione facta curare oportet. Sin vero minime intumeſcit, poſt multae calidae balneum velut purulentos in ſella collocato et qua parte ſtrepitum edet, ea ſecato, votumque eſt quo ſane facile effluat, ut quam infimo loco id fiat. Poſt ſectionem autem linamentum ex lino crudo craſſum et in ſummo acutum imponito, et quam pauciſſimam aquam emittito. Et ſi quidem quinto die linamentum pure obductum fuerit, plerumque evadit, ſin vero minime obductum fuerit, poſtquam aquam eduxeris, ſitis corripit et tuſſis ac perit. Pectoris et dorſi ruptio. Si pectus aut dorſum ruptum fuerit, dolores pectus et dorſum per totum detinent, calor ſubinde invadit et ſputum ſubcruentum tuſſi rejicit, per quod capillus velut cruentus intercurrit. Eaque maxime contingunt, ſi manibus laborarit, aut in currum aut equum conſcenderit. Hunc anteriore et

Ed. Chart. VII. [576. 577.] Foeſ. I. 483. Ed. Lind. II. (86.)
καίειν καὶ ἔμπροσθεν καὶ ὄπισθεν μοιρήσῃ ἑκάτερον καὶ οὕτως ὑγιὴς γίνεται. ἐπισχεῖν δὲ τὸν πόνον ἐνιαυτὸν καὶ παχῦναι ἐκ τῆς καύσιος. πυρετὸς καυσώδης. πυρετὸς ἴσχει καὶ δίψα ἰσχυρὴ καὶ ἡ γλῶσσα τρηχείη καὶ μέλαινα καὶ χλωρὴ καὶ ξηρὴ καὶ ἐξέρυθρος ἰσχυρῶς, καὶ οἱ ὀφθαλμοὶ χλωροὶ, καὶ ἀποπατέει ἐρυθρὸν καὶ χλωρὸν, καὶ οὐρέει τοιοῦτο καὶ πτύει πολλόν. πολλάκις δὲ καὶ μεθίσταται ὡς ἐπὶ περιπλευμονίην καὶ παρακόπτει. τούτῳ ἂν γνοίης ὅτι περιπλευμονίη γίνεται. οὗτος ἢν μὲν γένηται περιπλευμονικὸς καὶ τεσσαρεσκαίδεκα ἡμέρας ὑπερφύγῃ, ὑγιὴς γίνεται. ἢν δὲ γένηται ἐν ὀκτωκαίδεκα ἡμέρῃσιν, ἢν μὴ ἀκάθαρτος γενόμενος ἔμπυος γένηται, τοῦτον χρὴ πίνειν τὸ ἀπὸ τοῦ κρίμνου καὶ μεταπίνειν ὄξος ὡς εὐωδέστατον λευκὸν καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης δὶς τῆς ἡμέρης. ἢν δὲ ἀσθενὴς ᾖ, τρὶς, καὶ ἐπιπίνειν οἶνον οἰνώδεα, λευκον, ὑδαρέα, καὶ [577] λούειν ὡς ἐλάχιστα. ἢν δὲ ἔμπυος γένηται, διαιτᾶν ὡς ἔμπυον. πυρετὸς λυγγώδης. πυρετὸς ἴσχει σπερχνὸς,

poſteriore parte inurito, ita ut utrimque dividas, ſicque convaleſcit. Per annum a labore compeſcito et ab muſtione incraſſato. Febris ardens. Febris et ſitis vehemens detinet, lingua eſt aſpera, nigra, ex virore pallida, ſicca et valde rubra, oculi ex virore palleſcunt, alvi excrementum dejicit rubrum et ex virore pallidum, talemque urinam reddit et multum ſpuit. Plerumque etiam velut ad pulmonis inflammationem transmutatur et delirat. Ex eo nempe pulmonis eſſe inflammationem cognoſcas. Hic ſi quidem pulmonis inflammatione laborarit et decimum quartum diem ſuperet, convaleſcit. Si vero ad decimumoctavum perveniat, niſi impurgatus purulentus evadat, hunc aquam in qua farinae hordeaceae craſſiora fruſtula macerata fuerint, bibere oportet, poſteaque acetum album quam odoratiſſimum bibere et ptiſanae ſuccum bis die ſorbere, ter vero, ſi debilis exiſtat et vinum generoſum, album, dilutum ſuperbibere et quam minimum lavare. Si vero purulentus fiat, huic purulenti curationem inſtituito. Febris ſingultuoſa. Febris vehemens

Ed. Chart. VII. [577.] Foës. I. 483. 484. Ed. Lind. II. (86. 87.)
καὶ ῥῖγος καὶ βὴξ καὶ λὺγξ, καὶ βήσσει ἅμα τῷ σιάλῳ θρόμβους αἵματος καὶ ἑβδομαῖος ἀποθνήσκει. ἢν δὲ δέκα ἡμέρας ὑπερφύγῃ, ῥᾴων γίνεται. εἰκοστῇ δὲ ἡμέρῃ ἐμπυΐσκεται καὶ βήσσει τὰς πρώτας ἡμέρας πῦον ὀλίγον, ἔπειτα ἐπιπλέον· καθαίρεται δὲ ἐν τεσσαρά(87)κοντα ἡμέρῃσι. τοῦτον τὰς μὲν πρώτας ἡμέρας πιπίσκειν τὸ ὄξος καὶ τὸ μέλι ἐφθὸν, καὶ μεταμίσγειν ὄξος καὶ ὕδωρ ὑδαρὲς πιέων. || ῥοφάνειν μὲν χυλὸν πτισάνης μέλι ὀλίγον παραμίσγων καὶ ῥῖνον ἐπιπίνειν λευκὸν οἰνώδεα. ἐπὴν δὲ δέκα ἡμέραι παρέλθωσιν, ἢν τὸ πῦρ παύσηται καὶ τὸ πτύαλον καθαρὸν ᾖ, τὴν πτισάνην ὅλην ῥοφανέτω ἢ τὸν κέγχρον. ἢν δὲ εἰκοσταῖος τὸ πῦον πτύσῃ, πινέτω, κόψας καὶ σήσας τὸν ἐλελίσφακον καὶ πήγανον καὶ θύμβρην καὶ ὀρίγανον καὶ ὑπερικὸν, ἴσον ἑκάστου ξυμμίσγων, ὅσον σκαφίδα σμικρὴν ξυμπάντων καὶ ἁλφίτων τὸ αὐτὸ ἐπὶ οἴνῳ γλυκεῖ κεκρημένῳ, νήστει πίνειν. καὶ ῥοφανέτω ἢν χειμὼν ᾖ ἢ μετόπωρον ἢ ἔαρ· ἢν δὲ θέρος ᾖ, μή. ἀλλ' ἀμυγδάλια τρίβων καὶ σικίου

detinet, rigor, tuſſis et vomitus ſanguinis grumos cum tuſſi rejicit ac ſeptimo die moritur. Quod ſi decimum diem ſuperaverit, melius habet. Vigeſimo autem die ſuppuratus evadit, primisque diebus pus paucum cum tuſſi rejicit, deinde copioſius, et intra quadrageſimum diem expurgatur. Huic primis quidem diebus acetum cum melle coctum propinato, poſtea commixto aceto et aqua, quo aquoſiorem potionem reddas. Ptiſanae ſuccum pauco admixto melle ſorbeat et vinum album generoſum ſuperbibat. Vbi vero decem dies praeterierint, ſi febris ceſſet ſputumque purum fuerit, ptiſanam integram et milium ſorbeat. Si vero vigeſimo die pus expuat, ſalviam, rutam, ſaturejam, origanum et hypericum, ſingula aequis portionibus admixta, tuſa et cribrata, omnium quantum conchae parvae teſta capit bibat et cum pari polentae modo ex vino dulci temperato jejuno bibenda dato. Sorbitionibus etiam utatur, ſi hiems aut autumnus aut ver fuerit, aeſtate vero minime. Verum amygdalas tritas, cucumeris ſemen torrefactum, ſeſamum,

Ed. Chart. VII. [577.] Foeſ. I. 484. Ed. Lind. II. (87. 88.)
σπέρμα πεφωσμένον καὶ σήσαμον ἴσον ἑκάστου, σύμπαν δὲ ὅσον σκαφίδα, ἐπιχέας ὕδατος ὅσον κοτύλην αἰγιναίαν, ἄλητον ἐπιπάσσων καὶ κηρίον, τοῦτο ῥοφανέτω μετὰ τὸ πόμα. σιτίοισι δὲ χρήσθω λιπαροῖσι καὶ ἁλμυροῖσι καὶ θαλασσίοισι μᾶλλον ἢ κρέασι. λούσθω δὲ θερμῷ τὴν κεφαλὴν ὡς ἐλάχιστα. ταῦτα ποιέων ἀπαλλάσσεται τῆς νούσου. νοῦσος ἡ καλουμένη λήθαργος. βὴξ ἴσχει καὶ τὸ σίαλον πτύει πουλὺ καὶ ὑγρόν, καὶ φλυηρέει, καὶ ὅταν παύσηται φλυηρέων, εὕδει, καὶ ἀποπατέει κάκοδμον, τοῦτον πιπίσκειν τὸ ἀπὸ τοῦ κρίμνου καὶ μεταπιπίσκειν οἶνον λευκὸν οἰνώδεα καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης. ξυμμίσγειν δὲ σίδης χυλὸν καὶ οἶνον ἐπιπίνειν οἰνώ(88)δεα λευκὸν καὶ μὴ λούειν. οὗτος ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ὑγιὴς γίνεται. ἑτέρη νοῦσος ἡ λεγομένη αὐαντή. οὐκ ἀνέχεται ἄσιτος οὐδὲ βεβρωκώς, ἀλλ' ὅταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει καὶ καρδιώσσει καὶ ἐμέει ἄλλοτε ἀλλοῖα, καὶ χολὴν καὶ σίαλα καὶ λάπην καὶ δριμύ, καὶ ἐπὴν ἐμέσῃ, ῥᾴων δο-

singula aequis portionibus, in totum vero quantum conchae teſta capit, aqua heminae Aeginenſis menſura affuſa, aſperſa farina et favo, id poſt potionem ſorbeat. Cibis autem utatur pinguibus et ſalſis et piſcibus marinis potius quam carnibus. Calida lavet, caput vero minime. Quae ſi feceris, morbo liberatur. In morbo qui lethargus vocatur tuſſis detinet, ſputum copioſum et liquidum expuit et delirat, cumque delirium quieverit, dormit et alvi excrementum male olens dejicit. Huic aquam in qua farina hordeacea craſſior macerata fuerit propinato, poſteaque vinum album generoſum bibendum exhibeto, ptiſanae ſuccum etiam mali punici ſucco admixto ſorbeat, vinumque album generoſum ſuperbibat neque lavet. Hic intra dies ſeptem moritur, quos ſi effugerit, ſanus evadit. Alius morbus Graece αὐαντὴ, hoc eſt reſiccatorius dictus. Non inediam, non cibum ſumptum ferre poteſt, ſed jejuno quidem viſcera rugitum edunt et ventriculi os mordetur et alias varia vomit, bilem, ſalivam, pituitam et acre poſtque vomitionem aliquantisper melius habere videtur. Ubi autem cibum ſumſit, ructus

Ed. Chart. VII. [577. 578.] Foël. I. 484. Ed. Lind. II. (88. 89.)
κέει εἶναι ἐπ' ὀλίγον. ἐπὴν δὲ φάγῃ, ἐρύγματά οἱ γίνεται καὶ φλογιᾷ καὶ ἀποπατήσειν ἀεὶ οἴεται πουλύ. ἐπὴν δὲ καθίζηται, φῦσα ὑποχωρέει καὶ τὴν κεφαλὴν ὀδύνη ἔχει καὶ τὸ σῶμα πᾶν ὥσπερ ῥαφὶς κεντέειν δοκεῖ ἄλλοτε ἄλλη, καὶ τὰ σκελεα βαρέα καὶ ἀσθενέα. καὶ μινύθει καὶ ἀσθενὴς γίνεται. τοῦτον φάρμακον πιπίσκειν, πρῶτον μὲν κάτω, ἔπειτα δὲ ἄνω, καὶ τὴν κεφαλὴν καθαίρειν καὶ σιτίων ἀπέχεσθαι γλυκέων καὶ ἐλαιηρῶν καὶ πιόνων καὶ θωρηξίων. ἐμέειν δὲ τοῖσι χοῖσι καὶ ἀπὸ σιτίων, καὶ τὴν ὥρην ὄνου γάλα [578] ἢ ὀρρὸν πιπίσκων φάρμακον προσπίσαι, ὁκοτέρου σοι δοκέῃ μᾶλλον δεῖσθαι. ψυχρολουτέειν τὸ θέρος καὶ τὸ ἔαρ. τὸ φθινόπωρον δὲ καὶ τὸν χειμῶνα ἀλείμματι χρῆσθαι καὶ περιπατέειν καὶ γυμνάζεσθαι ὀλίγα. ἢν δὲ ἀσθενέστερος ᾖ ὥστε γυμνάζεσθαι, ὁδοιπορίῃ χρῆσθαι καὶ σιτίοισι ψυχροῖσι καὶ διαχωρητικοῖσι χρήσθω, καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ. ἡ δὲ νοῦσος χρονίη καὶ ἀπογηράσκοντας ἢν μέλλῃ ἀ(89)πολείπειν· ἢν δὲ μή, συναποθνήσκει. πυρετὸς ὁ φονώδης λεγόμενος. πυρετὸς ἴσχει καὶ ῥῖγος,

ei contingunt, cum rubore incenditur, ſemper ſe copioſum alvi recrementum dejecturum exiſtimat, cum vero deſederit, flatus infra demittitur, caput dolore vexatur, totum corpus huc et illuc velut acu pungi videtur, crura gravantur, debilitantur et imminuuntur, debilisque evadit. Huic medicamentum primum quidem per inferiora purgans, deinde vero per ſuperiora propinato et caput purgato. Cibis abſtineat dulcibus, oleoſis et pinguibus et crapula. Succis poſt cibos vomitum cieto, et ſi anni tempus ferat, poſt exhibitum lac aut ferum aſininum medicamentum, utro tibi magis opus eſſe videatur, inſuper propinato. Frigidae balneo aeſtate et vere utatur, autumno vero et hieme unguento et deambulatione exercitationeque modica. Quod ſi debilior ſit quam ut exerceri queat, iter conficiat, cibis frigidis et alvum dejicientibus utatur et ſi venter non infra ſubeat, molli infuſo ſubluito. Hic morbus diuturnus eſt, nec niſi conſeneſcentes deſerit, alioqui ad mortem usque comitatur. Febris mortifera dicta. Febris et rigor detinet,

Ed. Chart. VII. [578.] Foës. I. 484. 485. Ed. Lind. II. (89.)
καὶ αἱ ὀφρύες ἐπικρεμᾶσθαι δοκέουσι καὶ τὴν κεφαλὴν ἀλγέει καὶ ἐμέει σίαλον θερμὸν καὶ χολὴν πολλήν. ἐνίοτε καὶ κάτω ὑποχωρέει καὶ τοὺς ὀφθαλμοὺς αἱ χῶραι οὐ χωρέουσι, καὶ ὀδύνη ἐς τὸν αὐχένα καὶ ἐς τοὺς βουβῶνας ἴσχει. καὶ δυσθενεῖ καὶ φλυηρέει. οὗτος ἑβδομαῖος ἢ καὶ πρότερον ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ὡς τὰ πολλὰ ὑγιαίνει, ἡ δὲ νοῦσος θανατώδης. τούτῳ ψύγματα χρὴ προσίσχειν πρὸς τὰ σπλάγχνα καὶ πρὸς τὴν κεφαλὴν, καὶ πίνειν διδόναι ἐρρήξαντα τὰς κάχρυς σὺν τοῖσιν ἀχύροισι καὶ ἀποβρέχοντα καὶ ἀπηθέαντα τὸ ὕδωρ ἐν τούτῳ μελίκρητον ποιέοντα, ὑδαρὲς τοῦτο διδόναι. σιτίον δὲ μὴ προσ||φέρειν μηδὲ ῥόφημα ἑπτὰ ἡμερέων ἄχρις, ἢν μὴ ἀσθενὴς σοι δοκέῃ εἶναι. ἢν δὲ ᾖ, χυλὸν πτισάνης ψυχρὸν καὶ λεπτὸν ὀλίγον διδόναι δὶς τῆς ἡμέρης καὶ ἐπιπίνειν ὕδωρ. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσι καὶ τὸ πῦρ μεθῇ, κέγχρον λείχειν. ἐς ἑσπέρην δὲ κολοκύνθην ἢ τεῦτλα διδόναι ὀλίγα καὶ οἶνον λευκὸν ὑδαρέα ἐπιπίνειν, ἐς ἂν γένηται ἐνναταῖος. ἔπειτα σιτίῳ ὡς ἐλαχίστῳ χρήσθω, ἀριστιζόμενος κέγχρον. λουτρῷ δὲ ἔστ᾽

supercilia suspensa esse videntur, caput dolor vexat, salivam calidam et bilem copiosam vomitione rejicit interdumque, per inferiora demittit, oculorum loca eos capere nequeunt dolor cervicem et inguina occupat, infirmis est viribus et delirat. Hic intra septem dies aut etiam prius moritur, quos si superaverit, plerumque convalescit, morbus autem lethalis est. Huic refrigerantia ad viscera et caput admovere oportet, et hordea torrefacta una cum paleis confracta bibenda exhibere, et ex aqua, in qua macerata fuerint excolata, mulsam conficere eamque dilutam propinare. Cibus autem neque sorbitio ante septimum diem offerenda, nisi tibi debilis videatur. Quod si sic, ptisanae succus frigidus et liquidus paucus bis die exhibendus et aqua superbibenda. At ubi septimus dies praeterierit et febris dimiserit, milium delingendum. Sub vesperum cucurbita et betae paucae exhibendae, vinumque album aquosum superbibendum, quoad nonum attingat diem. Deinde quam minimo cibo utatur,

Ed. Chart. VII. [578.] Foëſ. I. 485. Ed. Lind. II. (89. 90.)

ἂν ἡ ὀδύνη ἔχῃ καὶ ὁ πυρετὸς μὴ χρήσθω. ἐπὴν δὲ παύσηται, λούσθω πολλῷ. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέει, ὑποκλύζειν κλύσματι μαλθακῷ ἢ βαλάνους προστιθέναι. ἐπὴν δὲ ἰσχύσῃ, προσθεὶς πρὸς τὰς ῥῖνας φάρμακον μαλθακὸν, τὴν κοιλίην κάτω κάθηρον. ἔπειτα γάλα ὄνου μετάπισον. (90) πελίη νοῦσος. πυρετὸς ἴσχει ξηρὸς καὶ φρὶξ ἄλλοτε καὶ ἄλλοτε καὶ τὴν κεφαλὴν ἀλγέει καὶ τὰ σπλάγχνα ὀδύνη ἔχει, καὶ ἐμέει χολὴν, καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, οὐ δύναται ἀνορᾷν, ἀλλὰ βαρύνεται. καὶ ἡ γαστὴρ σκληρὴ γίνεται καὶ ἡ χροιὴ πελιδνὴ καὶ τὰ χείλεα καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ πελιδνά, καὶ ἐξορᾷ ὡς ἀγχόμενος. ἐνίοτε καὶ τὴν χροιὴν μεταβάλλει καὶ ἐκ πελιδνοῦ ὑπόχλωρος γίνεται. τοῦτον φάρμακον πιπίσκειν καὶ κάτω καὶ ἄνω καὶ ὑποκλύζειν καὶ ἀπὸ τῆς κεφαλῆς ἀποκαθαίρειν, καὶ θερμῷ ὡς ἥκιστα λούειν, ἀλλὰ καὶ ἐπὴν λούηται, εἰληθερεῖν καὶ ὀρθὸν τὴν ὥραν καὶ γάλα ὄνου πιπίσκειν, καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι καὶ ψυχροῖσιν, ἀπεχόμενον τῶν δριμέων καὶ τῶν ἁλμυρῶν. λιπαρωτέροισι δὲ καὶ γλυκυτέροισι καὶ πιοτέροισι

milio in prandio ſumpto. Balneo, quamdiu dolor et febris detinet, ne utatur. Ubi vero quieverit, multa lavet. Quod ſi venter non demittat, eum molli infuſo ſubluito aut glandes ſubdito. At ubi vires valuerint, molli medicamento ad nares admoto, alvum per inferiora purgato, deinde lac aſininum propinato. Lividus morbus. Febris ſicca detinet ſubindeque horror, caput dolet, viſcera dolor occupat, bilem vomitione rejicit, cumque dolor detinet, ſurſum tueri nequit, ſed gravatur, venter indureſcit, color lividus redditur, labra et oculorum candida liveſcunt, perinde ut qui ſtrangulatur aſpicit, interdum etiam colorem mutat, et ex livido cum virore aliquantulum palleſcit. Huic medicamentum tum ſupra tum deorſum purgans propinato, alvum ſubluito et ex capite purgato. Calida quam minimum lavet, verum ubi laverit, inſoletur, ſerum et lac aſininum, ſi anni tempus ferat, bibat, cibus quam molliſſimis et frigidis utatur; acribus et ſalſis abſtineat, unguinoſa vero et dulcia pinguia-

Ed. Chart. VII. [578. 579.] Foës. I. 485. Ed. Lind. II. (90. 91.)
χρήσθω. ἡ δὲ νοῦσος ὡς τὰ πολλὰ συναποθνήσκει τῷ κάμνοντι. νοῦσος ἐρυγματώδης. ὀδύνη λάζεται ὀξείη, [579] καὶ πονέει ἰσχυρῶς καὶ ῥιπτάζει αὐτὸς ἑωϋτὸν καὶ βοᾷ καὶ ἐρεύγεται θαμινά, καὶ ἢν ἀπερυγῇ, δοκέει ῥᾴων εἶναι. πολλάκις δὲ καὶ χολὴν ἀπεμέει ὀλίγην ὅσον βρόχθον καὶ ὀδύνη λαμβάνει ἀπὸ τῶν σπλάγχνων ἐς τὴν νειέρην σταστέρα καὶ τὴν λαπάρην, καὶ ἐπὴν τοῦτο γένηται, ῥᾴων δοκέει εἶναι καὶ ἡ γαστὴρ φυσᾶται καὶ σκληρὴ γίνεται καὶ ψοφέει καὶ ἡ φῦσα οὐ διαχωρέει οὐδὲ ὁ ἀπόπατος. τοῦτον ἢν ὀδύνη ἔχῃ, λούειν πολλῷ θερμῷ καὶ χλιάσματα προστιθέναι. ὅταν δὲ ἐν τῇ γαστρὶ ἡ ὀδύνη ᾖ καὶ ἡ φῦσα, ὑποκλύζειν καὶ (91) τῆς λινοζώστιος ἑψῶν τὸν χυλὸν ξυμμίσγειν τῆς πτισάνης τῷ χυλῷ, καὶ ἐπιπίνειν οἶνον γλυκὺν ὑδαρέα. σιτίον δὲ μὴ προσφέρειν ἔστ' ἂν ἡ ὀδύνη χαλάσῃ. πινέτω δὲ ἐξ ἡμέρας ἐκ νυκτὸς στέμφυλα βρέχων γλυκέα τὸ ὕδωρ τὸ ἀπὸ τούτων. ἢν δὲ μὴ ἔχῃ στέμφυλα, μέλι καὶ ὄξος ἐφθόν. ἐπὴν δὲ τῆς ὀδύνης ἀποκινήσῃ, φαρμάκῳ κάτω τὴν κοιλίην καθαίρειν. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι καὶ ὑποχωρητικοῖσι,

que assumat. Hic autem morbus aegrum plerumque ad mortem usque comitatur. Morbus ructus ciens. Dolor acutus prehendit vehementerque laborat, se ipsum disjicit, vociferatur, frequenter eructat, ac ubi eructaverit, melius habere videtur. Plerumque vero paucam bilem vomitione rejicit, quantum poculi parvi mensura, dolor ex visceribus ad imum ventrem et laterum mollitudinem pertingit, cumque id contigerit, melius habere videtur, venter inflatur et indurescit, sonitum edit, neque flatus neque stercus demittitur. Hunc si dolor detinet, calida multa lavato et tepefactoria admoveto. Cum vero in ventre dolor et flatus extiterit, per infusum subluito et mercurialis succum coctum ad ptisanae succum admisceto et vinum dulce aquosum superbibendum dato. Cibum, quoad dolor remiserit, ne porrigito, aquam autem ex vinaceis dulcibus per noctem maceratis sex diebus bibat. Quod si vinacea non habeat, mel cum aceto coctum bibat. At posiquam dolore vacuus fuerit, medicamento alvum per inferiora purgato. Cibis utatur

Ed. Chart. VII. [579.] Foël. I. 485. 486. Ed. Lind. II. (91. 92.)
καὶ θαλασσίοισι μᾶλλον ἢ κρέασι, κρέασι δὲ ὀρνιθείοισι καὶ μηλείοισιν ἑφθοῖσι καὶ τεύτλα καὶ κολοκύνθην. τῶν δ' ἄλλων ἀπέχεσθαι. ἡ δὲ νοῦσος ὅταν μὲν νέον λάβῃ, χρόνῳ ἐξέρχεται. ἢν δὲ πρεσβύτερον, συναποθνήσκει. νοῦσος φλεγματώδης. λάζεται μὲν καὶ ἄνδρα, μᾶλλον δὲ γυναῖκα, καὶ παχείη μέν ἐστι καὶ εὔχρως. ὁδοιπορέουσα δὲ ἀσθενέει. μάλιστα δὲ ἐπὴν πρὸς ἔπος ἴῃ καὶ πυρετὸς λεπτὸς λαμβάνει. ἐνίοτε καὶ πνίγμα. καὶ ἀπεμέει μὲν ὅταν ἄσιτος ᾖ, χολὴν καὶ σίαλα πολλά. πολλάκις δὲ καὶ ὅταν φάγῃ· τοῦ δὲ σιτίου οὐδὲν, καὶ ὅταν πονήσῃ, ὀδυνᾶται καὶ ἄλλοτε ἄλλη τὸ στῆθος καὶ τὸ μετάφρενον καὶ καταπίμπλαται πομφῶν ὡς ὑπὸ κνίδης. τοῦτον φάρμακον πιπίσκειν καὶ ὀρρὸν καὶ γάλα ὄνου πινέτω. || ἢν δὲ ὀρροποτέῃ, προπίσαι φάρμακον κάτω ὡς πλείστας ἡμέρας, καὶ ἢν ἀπολήγῃ τῆς ὀρροποτίης, μεταπιέ(92)τω γάλα ὄνειον. ἐπὴν δὲ πίνῃ, σιτίων μὲν ἀπεχέσθω. οἶνον δὲ πινέτω ὡς ἥδιστον, ἐπ' ἢν παύσηται καθαιρόμενος.

mollibus et alvum ſubducentibus et marinis potius quam carnibus. Carnibus autem avicularum et ovium coctis, betas etiam et cucurbitam aſſumat, reliquis vero abſtineat. Hic autem morbus ſi juvenem invaſerit, progreſſu temporis decedit, ſenem vero ad mortem comitatur. Morbus pituitoſus. Virum quidem etiam, mulierem tamen magis invadit et haec quidem craſſa eſt et bene colorata, iter faciens imbecilla eſt, praeſertim vero ubi ad arduum aut acclivem locum contendit. Febris tenuis interdumque ſuffocatio prehendit, et jejuna quidem bilem ſalivamque copioſam vomitione rejicit et plerumque ubi cibum ſumpſit, cibi tamen nihil. Cum laborarit dolor, modo pectus, modo dorſum occupat et tumidis ac rubicundis cutis eminentiis velut ab urtica inuſtis completur. Huic medicamentum purgans propinato, ſerum et lac aſininum bibat. Quod ſi ſerum bibat, multis ante diebus medicamentum per inferiora purgans bibendum exhibeto, cumque ſerum bibere deſierit, lac aſininum poſtea bibat, et ubi biberit, cibis quidem abſtineat, vinum autem quam ſuaviſſimum bibat ubi purgari deſierit.

Ed. Chart. VII. [579. 580.] Foeſ. I. 486. Ed. Lind. II. (92.)
ἐπὴν δὲ ἀπολήξῃ τῆς πόσιος, ἀριστιζέτω μὲν κέγχρον, ἑσπέρην δὲ σιτίῳ ὡς μαλθακωτάτῳ χρήσθω καὶ ἐλαχίστῳ. ἀπεχέσθω δὲ πιόνων καὶ γλυκέων καὶ ἐλαιηρῶν καὶ ἄλλοτε καὶ ἄλλοτε μάλιστα τοῦ χειμῶνος. ἀπεμεέτω τῷ φακίῳ λάχανα προτρώγων, καὶ θερμῷ ὡς ἥκιστα λούσθω, ἀλλὰ καὶ εἰληθερεέτω. ἡ δὲ νοῦσος συναποθνήσκει. φλέγμα λευκόν. οἰδέει ἅπαν τὸ σῶμα λευκῷ οἰδήματι καὶ ἡ γαστὴρ παχέη ψαυομένη, καὶ οἱ πόδες καὶ οἱ μηροὶ οἰδέουσι καὶ αἱ κνῆμαι καὶ ἡ ὄσχη, καὶ ἀναπνεῖ ἀθρόον καὶ τὸ πρόσωπον ἐνερευθὲς καὶ τὸ στόμα ξηρὸν καὶ δίψα ἴσχει, καὶ ἐπὴν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει. [580] οὗτος τῆς αὐτῆς ἡμέρης τοτὲ μὲν ῥᾴων γίνεται, τοτὲ δὲ κάκιον ἴσχει. τούτων ἢν μὲν ἡ γαστὴρ ταραχθῇ αὐτομάτη ἀρχομένης τῆς νούσου, ἐγγυτάτω ὑγιὴς γίνεται. ἢν δὲ μὴ ταραχθῇ, φάρμακον διδόναι κάτω, ὑφ' οὗ ὕδωρ καθαιρεῖται, καὶ θερμῷ μὴ λούειν καὶ πρὸς τὴν αἰθρίην κομίζειν καὶ τὴν ὄσχην ἀποτύπτειν, ἐπ' ἣν πίμπρηται. σιτίοισι δὲ χρήσθω ἄρτῳ καθαρῷ ψυχρῷ καὶ τεύτλῳ καὶ ἰχθύσι σκορπίοισιν ἑφθοῖσι. τῷ δὲ ζωμῷ ὡς

Cum vero a potione ceſſaverit, milium in prandio ſumat, ſub veſperum autem cibo quam molliſſimo et pauciſſimo utatur, et pinguibus, dulcibus ac oleoſis abſtineat, ſubindeque, praeſertim hieme, ubi olera ante comederit, ex lenticulae decocto vomat, calida quam minimum lavet, ſed ad ſolem caleſiat. Hic vero morbus ad mortem usque comitatur. Pituita alba. Totum corpus albo tumore intumeſcit, venter ad contactum craſſus eſt, pedes, coxae, tibiae et ſcotum intumeſcunt, reſpiratio coacervata eſt, vultus rubicundus, os aridum et ſitis detinet, cumque comedit, ſpiratio crebra incidit. Hic eodem die interdum quidem melius, interdum vero pejus habet. Huic ſi venter per morbi initia ſua quidem ſponte conturbatus fuerit, ſanitati eſt proximus. Quod ſi non turbetur, medicamentum deorſum purgans ex quo aqua purgetur exhibeto, calida ne lavet, aeri exponito, et ſcrotum ubi inflatum fuerit, pertundito. In cibo pane puro frigido utatur et beta, piſcibusque ſcorpiis coctis, jure autem quam modico. Frigida omnia ſumat, non

Ed. Chart. VII. [580.] Foës. I. 486. Ed. Lind. II. (92. 93.)
ἐλαχίστω καὶ ψυχρὰ πάντα καὶ μὴ γλυκέα μηδὲ λιπαρά. ἀλλὰ τετριμένα καὶ ὀξέα καὶ δριμέα, πλὴν σκορόδου ἢ κρομύου ἢ πράσου. ὀρίγανον δὲ καὶ θύμβρην πολλὴν ἐσθίειν καὶ οἶνον ἐπιπίνειν οἰνώδεα καὶ ὁδοιπορέειν πρὸ τοῦ σιτίου. ἢν δ' (93) ὑπὸ τοῦ φαρμάκου οἰδίσκεται, κλύζειν καὶ τῷ σιτίῳ πιέζειν καὶ περιπάτοισι καὶ ἀλουσίῃ. φάρμακα δὲ ὡς ἐλάχιστα δοῦναι. ἄνω δὲ μηδ' ἔμπροσθεν ἢ τὰ οἰδήματα κατέλθοι ἐς τὸ κάτω. ἢν δὲ ἰσχνοῦ ἤδη ἐόντος πνίγμα ἐν τοῖσι στήθεσιν ἐγγίνεται, ἑλλέβορον δὸς πιέειν καὶ τὴν κεφαλὴν καθῆραι. κἄπειτα κάτω πίσαι. ἡ δὲ νοῦσος μάλιστα διακρίνει ἐν οὐδενί. φροντὶς νοῦσος χαλεπή. δυκέει ἐν τοῖσι σπλάγχνοισιν εἶναι οἴη ἄκανθα καὶ κεντέειν, καὶ ἄσῃ αὐτὸν λάζεται καὶ τὸ φῶς φεύγει καὶ τοὺς ἀνθρώπους, καὶ τὸ σκότος φιλέει καὶ φόβος λάζεται καὶ αἱ φρένες οἰδέουσιν ἐκτὸς καὶ ἀλγέει ψαυόμενος καὶ φοβεῖται καὶ δείματα ὁρᾷ καὶ ὀνείρατα φοβερὰ καὶ τοὺς τεθνηκότας ἐνίοτε. καὶ ἡ νοῦσος ἐνίοτε τοὺς πλείστους λαμβάνει τοῦ ἦρος. τοῦτον πιπίσκειν ἑλλέβορον καὶ τὴν κεφαλὴν καθαίρειν καὶ μετὰ

dulcia neque pinguia, ſed contrita et acida et acria, allio excepto, cepa et porro. Origanum autem et ſatureiam copioſam edat, vinumque aquoſum ſuperbibat et ante cibum iter faciat. At ſi a medicamento intumeſcat, iuſuſo per clyſterem utitor, cibo premito, deambulationibus et illuvie: medicamenta autem purgantia quam pauciſſima exhibeto, minime vero ſurſum purgans, priusquam tumores ad inferiora deſcenderint. Si vero extenuato jam exiſtente in pectore ſuffocatio oboriatur, veratrum bibendum dato, caput purgato, deinde medicamentum deorſum purgans propinato. Hic vero morbus nullum fere deſerit. Cura gravis morbus. Viſcera veluti ſpinarum aculeis pungi videntur, anxietudo ipſum invadit, lucem et homines refugit, tenebras amat, metus corripit, ſeptum transverſum exteriore parte intumeſcit, ad contactum dolet, expaveſcit, in ſomnis terriculamenta et formidanda cernit, quandoque et mortuos. Morbus hic interdum plurimos vere prehendit. Veratrum huic propinato et caput purgato, poſt capitis purgationem medi-

Ed. Chart. VII. [580.] Foës. I. 486. 487. Ed. Lind. II. (93, 94.)
τὴν κάθαρσιν τῆς κεφαλῆς κάτω πίσαι φάρμακον καὶ μετὰ ταῦτα πίνειν γάλα ὄνου. σιτίοισι δὲ χρῆσθαι ὡς ἐλαχίστοισιν, ἢν μὴ ἀσθενὴς ᾖ, καὶ ψυχροῖσι καὶ διαχωρητικοῖσι καὶ μὴ δριμέσι μηδ' ἁλμηροῖσι μηδὲ λιπαροῖσι μηδὲ γλυκέσι. μηδὲ θερμολούσθω μηδὲ οἶνον πινέτω, ἀλλὰ μάλιστα μὲν ὕδωρ· εἰ δὲ μή, οἶνον ὑδαρέα. μηδὲ γυμναζέσθω μηδὲ περιπατείτω. ταῦτα ποιέων ἀπαλλάσσεται τῆς νούσου χρόνῳ. ἢν δὲ μὴ ἐπιμελήσῃ, ξυναποθνήσκει. μέλαινα νοῦσος. μέλαιναν ἐμέει οἷον τρύγα, ὁτὲ μὲν αἱματώδες, ὁτὲ δὲ οἷον οἶνον (94) τὸν δεύτερον, ὁτὲ δὲ οἷον πολύπου θολὸν, ὁτὲ δὲ δριμὺ οἷον ὄξος, ὁτὲ δὲ σίαλον καὶ λάπην, ὁτὲ δὲ χολὴν χλωρήν. καὶ ὅταν μὲν τὸ μέλαν τὸ αἱματῶδες ἐμέῃ, δοκέει οἷον φύνου ὄζειν καὶ ἡ φάρυγξ καὶ τὸ στόμα καίεται ὑπὸ τοῦ ἐμέσματος καὶ τοὺς ὀδόντας αἱμωδιᾷ καὶ τὸ ἔμεσμα τὴν γῆν αἴρει, καὶ ἐπὴν ἀπεμέσῃ, δοκέει ῥᾴων εἶναι ἐπ' ὀλίγον καὶ οὐκ ἄχθεται. || οὔτ' ἄσιτος ὢν οὔτε πλέον βεβρωκὼς, ἀλλ'

camentum per inferiora purgans bibendum exhibeto et poſtea lac aſininum. Cibis quam pauciſſimis, niſi infirmis fuerit viribus, utatur et frigidis ac alvum ſubducentibus, non acribus, non ſalſis, non pinguibus neque dulcibus. Calida non lavet neque vinum bibat, ſed aquam quidem maxime, alioqui vinum dilutum, neque ſe exerceat neque deambulet. Quae cum feceris, temporis ſucceſſu morbo liberabitur. At niſi diligentem curam adhibueris, ad mortem usque comitatur. Morbus niger. Bilem atram tanquam fecem vomit, interdum quidem velut ſanguinem, interdum vero velut vinum ſecundarium, quandoque etiam velut polypi atramentum, quandoque acidum [tanquam] acetum, nonnunquam vero ſalivam et pituitam tenuem, nonnunquam bilem ex viridi pallidam. Et cum nigrum quidem cruentum vomuerit, caedem olere videtur, fauces et os ex vomitu incenduntur, dentes obſtupeſcunt, et quod vomitione rejectum eſt terram attollit, cumque vomuerit, paulo melius habere videtur, neque ſine cibo eſſe neque copioſiorem cibum ingeſtum ferre

Ed. Chart. VII. [580. 581.] Foës. I. 487. Ed. Lind. II. (94. 95.)
ὁκόταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει καὶ τὰ σίαλα ὀξέα. ὅταν δέ τι φάγῃ, βάρος ἐπὶ τοῖσι σπλάγχνοισι, καὶ τὸ στῆθος καὶ τὸ μετάφρενον δοκέει οἷον γραφείοισι κεντῆσθαι, καὶ τὰ πλευρὰ ἔχει ὀδύνη [581] καὶ πυρετὸς βληχρὸς καὶ τὴν κεφαλὴν ἀλγέει καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ καὶ τὰ σκέλεα βαρέα καὶ ἡ χροιὴ μέλαινα καὶ μινύθει. τοῦτον φάρμακον πιπίσκειν θαμὰ καὶ ὀρρὸν καὶ γάλα τὴν ὥρην, καὶ σιτίων ἀπέχειν γλυκέων καὶ ἐλαιηρῶν καὶ πιόνων, καὶ χρῆσθαι ὡς ψυχροτάτοισι καὶ ὑποχωρητικωτάτοισι, καὶ τὴν κεφαλὴν καθαίρειν, καὶ μετὰ τὰς φαρμακοποσίας τὰς ἄνω ἀπὸ τῶν χειρῶν τοῦ αἵματος ἀφιέναι, ἢν μὴ ἀσθενὴς ᾖ, ἢν δὲ ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύζειν μαλθακῷ κλύσματι, καὶ θωρηξίων ἀπέχεσθαι καὶ λαγνείης. ἢν δὲ λαγνεύῃ νῆστις, πυριᾶσθαι. καὶ τοῦ ἡλίου ἀπέχεσθαι, μηδὲ γυμνάζεσθαι πολλὰ μηδὲ περιπατέειν μηδὲ θερμολουτέειν μηδὲ δριμέα ἐσθίειν μηδὲ ἁλυκά. ταῦτα ποιέειν καὶ ἅμα τῇ ἡλικίῃ ἀποφεύγει καὶ ἡ νοῦσος, εἰ καὶ καταγη(95)ράσκει σὺν τῷ σώματι. ἢν δὲ μελανθῇ, συναποθνήσκει. ἄλλη μέλαινα νοῦσος.

poteſt. Verum cum jejunus fuerit, viſcera ſtrepitum edunt et ſaliva aceſcit. Ubi vero cibum ſumpſit, pondus in viſceribus percipitur, pectus et dorſum tanquam ſtilis pungi videntur, latera dolor detinet, febris levis eſt, caput dolet, oculis non videt, crura gravantur, color nigricat et imminuitur. Huic medicamentum purgans crebro propinato et ſerum et lac, ſi anni tempus ferat, et cibis abſtineat dulcibus, oleoſis et pinguibus, utaturque quam maxime frigidis et alvum ſubducentibus, caput purgato et poſt potiones medicamentorum per ſuperiora purgantium, niſi debilis fuerit, ſanguinem ex brachiis detrahito. Quod ſi alvus non dejiciat, molli infuſo ſubluito. Crapula et venere abſtineat, ſed ſi venere utatur, jejunus foveatur et ſole abſtineat neque multum exerceatur neque deambulet, calida non lavet, acria non edat neque ſalſa. Quae cum feceris, cum aetate etiam morbus fugit, etiamſi corpus ad ſenectutem comitetur. Si vero denigretur, ad mortem usque comitatur. Alius

Ed. Chart. VII. [581.] Foës. I. 487. Ed. Lind. II. (95.)

ὑπόπυρος καὶ ἰσχνὸς καὶ τοὺς ὀφθαλμοὺς ὑπόχλωρος γίνεται καὶ λεπτόδερμος καὶ ἀσθενὴς τελέθει. ὅσῳ δ' ἂν χρόνος πλείων ᾖ, ἡ νοῦσος μᾶλλον πονέει καὶ ἐμέει πᾶσαν ὥρην οἷον σταλαγμὸν ὀλίγον κατὰ δύο βρόχθους καὶ τὸ σιτίον θαμινὰ, καὶ σὺν τῷ σιτίῳ χολὴν καὶ φλέγμα, καὶ μετὰ τὴν ἔμεσιν ἀλγέει τὸ σῶμα πᾶν, ἔστι δ' ὅτε καὶ πρὶν ἐμέσαι, καὶ φρῖκαι λεπταὶ καὶ πυρετὸς ἴσχει, καὶ πρὸς τὰ γλυκέα καὶ ἐλαιώδη μάλιστα ἐμέει. τοῦτον καθαίρειν χρὴ φαρμάκοισι καὶ κάτω καὶ ἄνω, καὶ μεταπιπίσκειν γάλα ὄνου καὶ σιτίοισι χρῆσθαι ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι καὶ ἰχθύσιν ἀκταίοισι καὶ σελάχεσι καὶ τεύτλοισι καὶ κολοκύντῃσι καὶ κρέασι τετριμμένοισιν, οἶνον δὲ πίνειν λευκὸν οἰνώδεα ὑδαρέστερον. ταλαιπωρίῃ δὲ ἐν περιπάτοισι χρῆσθαι καὶ μὴ θερμολουτέειν καὶ τοῦ ἡλίου ἀπέχεσθαι. ταῦτα ποιέειν, ἢ δὲ νοῦσος θανατώδης μὲν οὔ, ξυγκαταγηράσκει δέ. σφακελώδης. τὰ ἄλλα μὲν τὰ αὐτὰ πάσχει, ἐμέει δὲ θρόμβους

niger morbus. Subfulvo colore, gracilis, et oculis ex virore palleſcentibus evadit, tenui eſt cute et debilis exiſtit, quoque diutius hic morbus detinet, eo magis affligit et quovis tempore velut ſtillam modicam vomit ad duo parva pocula cibumque frequenter et cum cibo bilem pituitam. Poſt vomitum totum corpus dolet, interdumque etiam prius quam vomat horrores leves et febris detinet, ſumptisque dulcibus et oleoſis praecipue vomit. Hunc medicamentis per inferiora et ſuperiora purgato, poſteaque lac aſininum bibendum exhibeto. Cibis utatur quam molliſſimis et frigidis, piſcibusque littoralibus et cartilagineis, betis, cucurbitis, et carnibus contritis. Vinum album, generoſum, paulo dilutius bibat. Vehementiore autem exercitatione in deambulationibus utatur, neque calida lavet ac ſole abſtineat. Quibus factis lethalis quidem morbus eſt, non tamen ad ſenium usque comitatur. Morbus ſiderationem faciens in reliquis quidem eadem patitur, verum bilis grumos concretos vomit, eodemque modo per inferiora dejicit, ubi ciborum

Ed. Chart. VII. [581. 582.] Foes. I. 487. 488. Ed. Lind. II. (95. 96.) πεπηγότας χολῆς καὶ κάτω ὁμοίως, ἐπὴν τὰ σιτία ἀποπατήσῃ. δρᾶν δὲ χρὴ τὰ αὐτὰ ἅπερ ἐπὶ τῆς προτέρης ἐλέχθη καὶ ὑποκλύζειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

[582] (96) Περὶ μὲν οὖν πυρετῶν ἁπάντων εἴρηταί μοι. ἀμφὶ δὲ τῶν λοιπῶν ἐρέω ἤδη. οἴδημα ἐγκεφάλου. ὁκόταν ὁ ἐγκέφαλος οἰδήσῃ ὑπὸ φλεγμασίης, ὀδύνη ἴσχει ἅπασαν τὴν κεφαλήν. μάλιστα δὲ ὅπη σταίη ἡ φλεγμασίη. ἵσταται δὲ ἐν τῷ κροτάφῳ καὶ τά τε οὔατα ἠχῆς πλήρεα γίνεται καὶ ἀμβλύει ἡ ἀκοὴ καὶ φλέβες τέτανται καὶ σφύζουσι, πυρετός τε καὶ ῥῖγος ἐνίοτε ἐπιλαμβάνει, ἡ τε ὀδύνη ἐκλείπει οὐδέποτε, ἀλλὰ ποτὲ μὲν ἀνίησι, ποτὲ δὲ μᾶλλον πιέζει. βοᾷ τε καὶ ἀναΐσσει ὑπὸ τῆς ὀδύνης, καὶ ὁκόταν ἀνασιῇ, αὖθις σπεύδει ἐπὶ τὴν κλίνην καταπεσεῖν καὶ ῥιπτάζει ἑωυτόν. || οὗτος ἔστι μὲν θανατώδης, ὁκόσων δὲ ἡμερέων ἀποθανεῖται, οὐκ ἔχει κρίσιν. ἄλλοι γὰρ ἄλλως ἀπόλλυνται. ὡς μέντοι ἐπιο-

recrementa excreverit. Eadem autem quae in ſuperiore morbo commemorata ſunt, facienda et alvus per infuſum ſubluenda.

HIPPOCRATIS DE MORBIS LIBER TERTIVS.

Ac de febribus quidem omnibus cum a me dictum ſit, de reliquis jam dicam. Cerebri tumor. Cum cerebrum ex inflammatione intumuerit, dolor totum caput potiſſimumque qua parte inflammatio contrahitur detinet. In auribus autem contrahitur, aures ſono implentur, auditio hebeſcit, venae intenduntur ac pulſant, febris et rigor interdum invadit neque unquam dolor dimittit, ſed quandoque quidem remittit, quandoque etiam magis urget, prae dolore vociferatur ſurſumque proſilit cumque ſurrexerit, confeſtim rurſus ad lectum delabitur ſeque disjicit. Hic quidem lethaliter affligitur, quot vero diebus intereat, judicari non poteſt. Alii enim alio tempore pereunt, plerumque autem

Ed. Chart. VII. [582. 583.] Foeſ. I. 488. Ed. Lind. II. (96. 97.)
πολὺ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσι τελευτῶσιν. εἴκοσι δὲ καὶ μίαν διαφυγόντες ὑγιέες γίνονται. χρὴ δὲ ὁκόταν περιωδυνέῃ ψύχειν τὴν κεφαλὴν, μάλιστα μὲν ξύραντα ἢ ἐς κύστιν ἢ ἐς ἕντερα ἐγχέαντα τῶν ψυκτικῶν τι, οἷον χυλὸν στρύχνου καὶ γῆν κεραμίτιδα, τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν, πρὶν ἢ χλιαρὸν γένηται, καὶ τοῦ αἵματος ἀφαιρέειν καὶ τὴν κεφαλὴν καθαίρειν σελίνου (97) χυλοῖσι μιγνύντα εὐώδεα. ἀοινέειν δὲ τὸ πάμπαν, ῥοφεῖν δὲ πτισάνης χυλὰν καὶ τὴν κάτω κοιλίην λύειν. [583] πλήρωμα ὀδυνῶδες ἐγκεφάλου. ὁκόταν δὲ περιωδυνέῃ ἡ κεφαλὴ ὑπὸ πληρώσιος τοῦ ἐγκεφάλου, ἀκαθαρσίην σημαίνει, καὶ τὴν κεφαλὴν ὅλην περιωδυνίαι ἴσχουσι καὶ παραφρονέει καὶ ἀποθνήσκει ἑβδομαῖος καὶ οὐκ ἂν ἐκφύγοι, ἢν μὴ ῥαγείη τὸ ὑγρὸν ἑβδομαίῳ κατὰ τὰ οὔατα. οὕτω δὲ ἡ ὀδύνη παύεται καὶ ἔμφρων γίνεται. ῥεῖ δὲ πολλὸν καὶ ἄνοσμον. τούτου μᾶλλον μὲν μὴ θεραπεύειν τὰ οὔατα πρὶν ἂν ἐρῴωγὸς ἴδῃς τὰ πῦον. ἢν δὲ βούλῃ καθῆραι τὴν ἄνω καὶ τὴν κάτω κοιλίην, λῦσον χωρὶς ἑκατέρην. ἔπειτα

intra ſeptem dies moriuntur, primum autem et vigeſimum ubi effugerint, convaleſcunt. Cum vero dolor vehemens detinuerit, caput potiſſimum quidem deraſum refrigerare oportet, ex his quae refrigerant aliquid in veſicam aut inteſtina infuſum, velut ſolani ſuccum aut cretam figulinam modo quidem admovere, modo etiam prius quam intepeſcat auferre. Quin et ſanguinem detrahere convenit et caput purgare, odoratis ad apii ſuccos admixtis. Vino in totum abſtineat, ptiſanae ſuccum ſorbeat et inferiorem alvum ſolvat. Cerebri plenitudo dolorem inferens. Cum vero caput ex cerebri plenitudine vehementer doluerit, vitioſorum humorum illuviem indicat, totum caput vehementes dolores occupant, delirat et intra ſeptimum diem moritur, neque evadit, niſi humor ad aures ſeptimo die erumpat. Sic enim tum dolor ſedatur tum ad mentem redit. Copioſus autem et ſine odore effluit. Hujus aures ne prius quidem quam pus erupiſſe videris curato. Quod ſi ſuperiorem et inferiorem ventrem purgare voles, ſeorſum utrumque ſol-

Ed. Chart. VII. [583.] Foës. I. 488. Ed. Lind. II. (97. 98.)
πυριᾶν μὲν τὴν κεφαλὴν ὡς μάλιστα, ὅλην δὲ καὶ διὰ τῶν ὠάτων καὶ διὰ τῶν ῥινῶν. ῥοφεῖν δὲ πτισάνης χυλὸν καὶ ἀοινέειν τὸ πάμπαν. ἐπὴν δὲ ῥαγῇ τὸ πῦον, ἐπίσχειν, ἔστ' ἂν ἡ πολλὴ τῆς ῥύσιος παύσηται. ἔπειτα κλύζειν τὰ ὦατα οἴνῳ γλυκεῖ ἢ γάλακτι γυναικείῳ ἢ ἐλαίῳ παλαιῷ. χλιαροῖσι δὲ κλύζειν καὶ πυριᾶν τὴν κεφαλὴν θαμινὰ ἐν μαλθακῇσι πυρίῃσι καὶ εὐόδμοισιν, ὡς θᾶσσον καθαιρῆται ὁ ἐγκέφαλος. οὗτος μὲν τά γε πρῶτα οὐκ ἀΐει, προϊόντος δὲ τοῦ χρόνου ἥ τε ῥύσις ἧσσόν ἐστι καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσει παντελῶς παυομένη παραγίνεται καὶ ὁμοιοῦται μάλιστα ἑωυτῷ. φυλάττεσθαι δὲ χρὴ ἡλίους, ἀνέμους, πῦρ, καπνὸν, δριμέων ὀδμὰς καὶ τὰ τοιαῦτα, καὶ ἡσυχάζειν διαίτῃ μαλθακῇ χρώμενον, καὶ ὑπὸ κενεαγγέων εὔλυτος ἔστω ἡ κοιλίη ἡ κάτω. βληστοί. οἱ δὲ βληστοὶ (98) λεγόμενοι εἶναι, ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης, ὀδύνην παρέχει τὸ πρόσθεν τῆς κεφαλῆς πρῶτον, καὶ ἀναβλέπειν οὐ δύνανται οἱ μὲν ἀμφοῖν τοῖν ὀφθαλμοῖν, οἱ δὲ θατέρῳ, καὶ κῶμά μιν ἔχει καὶ ἔκφρονές εἰσι, καὶ οἱ κρόταφοι πηδῶσι, καὶ πυρε-

vito. Deinde capiti praeſertim univerſo, ſed per aures et nares fomentum admoveto. Ptiſanae ſuccum ſorbeat et vino in totum abſtineat. Ubi pus eruperit, quoad fluxionis copia quieverit, ſubſiſtito. Poſtea vino dulci aut lacte muliebri aut oleo veteri iisque tepidis aures colluito. Caput crebro mollibus fomentis et odoratis, quo cerebrum citius purgetur, foveto. Hic primis quidem diebus non audit, procedente vero tempore tum fluxio minuitur tum ſimul ac fluxio prorſus quieſcit, auditio redit et ſibi ipſe maxime ſimilis redditur. Vitare autem oportet ſolem, ventos, ignem, fumum ac res odores aliaque id genus et quiete ac molli victus ratione uti. Venter inferior ex vaſorum inanitione lubricus eſſe debet. Sidere icti. Qui ſidere icti eſſe dicuntur cum multa vitioſorum humorum illuvie cerebrum oppletum fuerit, inprimis capitis pars anterior ipſis dolorem exhibet et aliqui quidem ambobus oculis, aliqui vero altero intueri nequeunt, ſopor ipſos detinet, mente

Ed. Chart. VII. [583. 584.] Foël. I. 488. Ed. Lind. II. (98.)
ιὸς λεπτὸς ἔχει καὶ τοῦ σώματος ἀκρασίη. οὗτος ἀποθνήσκει τριταῖος ἢ πεμπταῖος. ἐς δὲ τὰ ἕπτὰ οὐκ ἀφικνέεται. ἢν δὲ ἄρα ἀφίκηται, ἐξάντης γίνεται. τοῦτον ἢν βούλῃ θεραπεύειν, πυριῶν τὴν κεφαλὴν καὶ ταμιὼν ἀνάπνευσιν ποιέειν. ἢν δὲ ὀδύνη ἔχῃ, καὶ πταρμοὺς ἐμποιέειν χρὴ [καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώδεσι καὶ τὴν κάτω κοιλίην καθαίρειν. ἀοινέειν δὲ τὸ πάμπαν. πτισάνῃ δὲ χυλῷ χρῆσθαι. σφακελισμὸς ἐγκεφάλου. ἢν δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει τὴν κεφαλὴν καὶ διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν καὶ αὐτὸν ἐπιλαμβάνει ἀνηκουστίη καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφαλὴν καὶ [584] οἰδέει ὅλος καὶ ἐξαίφνης ἄφωνος δείκνυται καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ καὶ πελιδνὸς γίνεται. τοῦτον ἢν μὲν ἡ νοῦσος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος ῥαΐζει. ἢν δὲ σφόδρα εἰλημμένος ᾖ, θνήσκει τόχα. τούτῳ πταρμούς τε ἐμποιέειν διὰ τῶν εὐωδέων καὶ τὰς κοιλίας ἄμφω καθαίρειν ἐν μέρει ἢ ἑκατέρην, καὶ τῶν εὐωδέων κούφας δὲ ὀδμὰς ἐχόντων τῇσι ῥισὶν ἀείρειν καὶ ῥόφημα λεπτόν τε καὶ χλιαρόν. ἀοινέειν δὲ τὸ πάμπαν. λήθαργοι.

alienantur, tempora ſaliunt, ſebris levis et corporis ad motum impotentia occupat. Hic intra tertium aut quintum diem moritur, neque ad ſeptimum pervenit, ſed ſi pervenerit, incolumis ſane evadit. Huic ſi curationem adhibere voles, capiti fomentum admoveto et ut transpiret ſectionem facito. Sed ſi dolor detinuerit, ſternutationes movere oportet et caput levibus ac odoratis ventremque inferiorem purgare, vino in totum abſtinere et ptiſanae ſucco uti. Cerebri ſideratio. Quod ſi cerebrum ſideratum fuerit, caput dolor occupat et per cervicem ad ſpinam pervadit, ipſe nihil audit, frigus in caput irruit, totus intumeſcit ac derepente voce defectus videtur, ex naribus ſanguis fluit et lividus evadit. Hunc ſi morbus leviter corripuerit, cum ſanguis abierit melius habet. Si vero vehementer correptus fuerit, cito moritur. Huic ſternutationes per odorata movendae et alvus utraque per vices purganda aut altera, odoratorum leves odores naribus admovendi, ſorbitioque tenuis et tepida exhibenda, in totum vero vino abſtinen-

Ed. Chart. VII. [584.] Foël. I. 488. 489. Ed. Lind. II. (98. 99.)
οἱ δὲ λήθαργοι, στάσις μὲν ἡ αὐτὴ τοῦ κακοῦ τῇ περι||πλευμονίῃ, χαλεπωτέρη δὲ (99) καὶ οὐ πάμπαν ἀπήλλακται ὑγρῆς περιπλευμονίης. βραδυτέρη δὲ πουλὺ ἡ νοῦσος. πάσχει δὲ τάδε. βὴξ καὶ κῶμά μιν ἔχει καὶ τὸ σίαλον ὑγρὸν καὶ πολὺ ἀνάγει καὶ ἀδυνατέει σφόδρα, καὶ ὁκόταν μέλλῃ ἀποθανεῖσθαι, κάτω ὑποχωρέει ἐπὶ πολὺ καὶ ὑγρόν. τούτῳ ἐλπὶς μὲν πάνυ βραχεῖα περιγενέσθαι. ὅμως δὲ πτύειν τε ποιέειν ὡς πλεῖστον καὶ θερμαίνειν καὶ ἀοινέειν. ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίνεται. καυσώδης. ἡ δὲ καυσώδης λεγομένη δίψα τε ἔχει πολλὴ καὶ ἡ γλῶσσα πέφρικε. τὸ δὲ χρῶμα αὐτῆς τὸν μὲν πρῶτον χρόνον οἷόν περ εἴωθε, ξηρὴ δὲ σφόδρα. προϊόντος δὲ τοῦ χρόνου σκληρύνεται καὶ τρηχύνεται καὶ παχύνεται καὶ ἐπιμελαίνεται. ἢν μὲν ἐν ἀρχῇ ταῦτα πάθῃ, θάσσους αἱ κρίσιες γίνονται. ἢν δὲ ὕστερον, χρονιώτεραι. τῆς δὲ ἀφέσιος ταῦτα πάντα ἡ γλῶσσα σημαίνει ἅπερ ἐν τῇ περιπλευμονίῃ, καὶ τὰ οὖρα χολώδεα μὲν ἢ αἱματάδεα ἐόντα ἐπίπονα. ξανθὰ δὲ ἀπονώτερα, καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξηρασίης

dum. Lethargus. Lethargi quidem morbi conſtitutio eadem quae et inflammationis pulmonis, peripneumoniae dictae, gravior tamen, neque omnino liberatur ab humida peripneumonia, ſed longe tardior morbus eſt. In quo haec aegro contingunt. Tuſſis et ſopor eam detinet, ſputum humidum et copioſum rejicit, infirmis admodum eſt viribus et morti proximus, copioſum et liquidum per inferiora demittit, et huic quidem admodum exigua vitae ſpes eſt. Efficiendum tamen ut plurimum ſpuat et caleſiat vinoque abſtineat. Quod ſi evaſerit, purulentus efficitur. Febris ardens. In febre ardente dicta ſitis multa detinet, lingua inhorreſcit, ejusque color primo quidem tempore qualis eſſe conſuevit, valde tamen ſicca eſt, procedente vero tempore induratur, exaſperatur, craſſeſcit et tandem nigreſcit. Quae ſi quidem initio contingunt, celeres judicationes ſiunt, ſi vero poſterius, diuturniores. Remiſſionis autem eadem in lingua ſigna ſunt, quae in pulmonis inflammatione et urinae biliоſae quidem aut ſanguineae, dolorem intenſum, flavae vero remiſſionem indicant, ſputumque prae caliditate ac ſiccitate

Ed. Chart. VII. [584. 585.] Foël. I. 489. Ed. Lind. II. (99. 100.)

ξυγκεκαυμένον καὶ παχύ ἐστι. πολλάκις δὲ καὶ ἐς τὴν περιπλευμονίην μεθίσταται, καὶ ἢν μεταστῇ, τάχα ἀποθνήσκει. τοῦτον δὲ ὧδε χρὴ θεραπεύειν. λούειν θερμῷ δὶς ἢ τρὶς τῆς ἡμέρης ἑκάστης πλὴν τῆς κεφαλῆς, καὶ ἐν τῇσι κρίσεσι οὐ χρὴ λούειν, καὶ τὰς μὲν πρώτας τῶν ἡμερέων ὑποκαθαίρειν καὶ ὑδροποτέειν. καὶ γὰρ ἔμετον ἄγει τὸ ὕδωρ ὡς ἐπιτοπολύ. τὰς δὲ ὑστέρας μετὰ τὴν κάθαρσιν ὑγραίνειν καὶ ῥοφήμασι χρῆσθαι καὶ οἴνοισι γλυκέσιν. ἢν δὲ (100) μὴ ἐξ ἀρχῆς παραλάβῃς, ἀλλὰ ἤδη τῶν ἐν τῇ γλώσσῃ σημήϊων ἐνεόντων, ἐᾶν χρὴ ἕως ἂν αἱ κρίσιες παρέλθωσιν καὶ τὰ τῆς γλώσσης σημήϊα ἠπιώτερα γένηται, καὶ μήτε φάρμακον δῶς μήτε κλύσις ἐς κάθαρσιν, πρὶν αἱ κρίσιες παρέλθωσιν. [585] ὁ πλεύμων οἰδέων ὑπὸ τῆς θερμασίης. ὁκόταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ θερμασίης πλησθεὶς, βὴξ ἴσχει ἰσχυρὴ καὶ σκληρὴ καὶ ὀρθοπνοίη, καὶ ἀναπνεῖ ἀθρόον καὶ ἀσθμαίνει πυκνὸν καὶ οἰδέει καὶ τοὺς μυκτῆρας ἀναπετάννυσιν ὥσπερ ἵππος ἐκ δρόμου καὶ τὴν γλῶσσαν θαμινὰ ἐκβάλλει

exuſtum eſt et craſſum. Plerumque vero in pulmonis inflammationem transit atque ubi transierit celeriter perit. Huic curationem ejusmodi adhibere oportet. Singulis diebus bis aut ter capite excepto calida lavato. In judicationibus autem lavandum non eſt. Ac primis quidem diebus per inferiora purgandum et aqua potui exhibenda. Aqua enim ut plurimum vomitum inducere ſolet. Poſtremis a purgatione diebus humectandum, ſorbitionibus vinisque dulcibus utendum. At ſi per initia curandum non ſuſceperis, ſed ſignis jam in lingua exiſtentibus finere oportet, dum judicationes praeterierint linguaeque ſigna mitiora evaſerint et neque medicamentum neque per clyſterem infuſum prius quam judicationes praeterierint exhibueris. Pulmonis tumor ex calore. Cum pulmo caloris plenus intumuerit, vehemens duraque tuſſis detinet, ſpiritus erecta cervice trahitur, confertim reſpirat, crebra anhelatione vexatur, intumeſcit, nares expandit non ſecus ac equus poſt curſum et linguam crebro exerit, pectus ei ſonum edere videtur et gravitas

Ed. Chart. VII. [585.] Foël. I. 489. Ed. Lind. II. (100. 101.)
καὶ τὰ στήθεα αὐτῷ ἀείδειν δοκέει καὶ βάρος ἐνεῖναί τι, ὃ χωρέειν οὐ δύναται τὰ στήθεα, ἀλλὰ διαῤῥήγνυται καὶ ἀδυνατέει. ἥ τε ὀδύνη ὀξείη ἴσχει καὶ τόν τε νῶτον καὶ τὰ στήθεα καὶ τὰς πλευρὰς ὡς βελόναι κεντέουσι καὶ καίεται ταῦτα ὡς πρὸς πῦρ καθήμενος καὶ ἐρυθήματα ἐκφύει ἐς τὸ στῆθος καὶ τὸν νῶτον ὡς φλογοειδέα, καὶ δηγμὸς ἰσχυρὸς ἐμπίπτει καὶ ἀπορίη, ὥστε οὔτε ἑστάναι οὔτε καθῆσθαι οὔτε κατακεῖσθαι οἷός τέ ἐστιν, ἀλλ' ὧδε ἀπορέων βλησταίζει ἑωυτὸν καὶ δοκέει ἤδη ἀποθανεῖσθαι. ἀποθνήσκει δὲ μάλιστα τεταρταῖος ἢ ἑβδομαῖος. ἢν δὲ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. τοῦτον ἢν θεραπεύῃς, χρὴ τὴν κάτω κοιλίην ὡς τάχιστα καθῆραι κλύσμασι καλῶς καὶ ἀπὸ τῶν ἀγκώνων καὶ τῆς ῥινὸς καὶ τῆς γλώττης καὶ πάντοθεν τοῦ σώματος αἷμα ἀφιέναι καὶ πόματα διδόναι ψυκτικὰ καὶ ῥοφήματα τὰ αὐτὰ δυνάμενα καὶ τῶν οὐρητικῶν (101) μὴ θερμαινόντων δὲ πολλάκις διδόναι, καὶ πρὸς μὲν τὰς ὀδύνας αὐτὰς, ὁκόταν καταιγίζωσι, χλιάσματα κοῖφα καὶ ὑγρὰ χρὴ προσφέροντα χλιαίνειν καὶ ὑγραίνειν τὸν τόπον οὗ ἂν ᾖ ἡ ὀδύνη,

ineſſe, quam pectus capere nequit, ſed disrumpitur, ad obeundas actiones eſt impotens, dolor acutus occupat, dorſum, pectus et latera velut acus pungunt, eaque ardent non ſecus ac ſi ad ignem ſedeat, in pectore et dorſo rubores tanquam ex flamma excitantur, adeoque vehemens morſus et anxietudo invadit, ut neque ſtare neque ſedere neque decumbere queat, ſed ad hunc modum aeſtuans ſeipſum jactat et jamjam mori videtur. Quarto autem aut ſeptimo die moritur, quos ſi effugerit vix perit. Hunc ſi curandum ſuſceperis, alvum inferiorem quam citiſſime per infuſum probe purgare oportet, miſſo ſanguine ex cubitis, nare, lingua et ex quavis corporis parte et potiones refrigerantes ſorbitionesque ejusdem facultates exhibere. Ex urinam etiam moventibus quae non calefaciant ſaepe danda. Et ad dolores quidem ipſos ubi vehementer irruerint, tepefacientibus levibus et humidis adhibitis, locum ubicunque dolor fuerit calefacere et humectare oportet. Reliquis vero partibus admotis re-

Ed. Chart. VII. [585. 586.] Foël. I. 489. 490. Ed. Lind. II. (101.)

πρὸς δὲ τὰ ἄλλα ψυκτήρια προϊσχειν, τὰ μὲν ἀφαιρέοντα, τὰ δὲ προστιθέντα, καὶ ὅκου ἂν κατακέηται, ψῦχος ποιέειν, ἀοινέειν δὲ τὸ πάμπαν. κεφαλῆς ὀδύνη. ὁκόταν δὲ ἀπὸ τῆς κεφαλῆς ἀρξαμένη ἡ ὀδύνη ὀξέη ἄφωνον ποιήσῃ παραχρῆμα, ἄλλως τε καὶ ἐκ μέθης ὅταν γένηται, οὗτος ἀποθνήσκει ἑβδομαῖος. || ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες καὶ ἄφωνοι μείναντες θνήσκουσιν. ἢν γὰρ ῥήξωσι φωνὴν αὐθημερὸν ἢ τῇ ὑστεραίῃ ἢ τῇ τρίτῃ, ὑγιέες γίνονται. ποιέουσι δὲ οἱ ἐκ τῆς μέθης ἔνιοι τοῦτο, καὶ οὐδέτεροι ἀπόλλυνται. τούτοισι πταρμούς τε ἐμποιέειν ἰσχυροὺς καὶ ὑποκλύσαι ὅ τι ἂν χολὴν ἄξῃ σφόδρα, καὶ ἢν ἐπαίσθηται, ὀπὸν θαψίης δοῦναι ἐν πολλῷ τῷ ὑγρῷ καὶ θερμῷ, ἵνα ὡς τάχιστα ἀπεμέσῃ. ἔπειτα ἐπισχναίνειν καὶ ἀοινέειν ἑπτὰ ἡμέρας. ἀφαιρέειν δὲ καὶ ἀπὸ τῆς γλώττης αἷμα, ἢν δύνῃ λαβεῖν φλέβα. [586] φρενίτιδες. φρενίτιδες δὲ γίνονται καὶ ἐξ ἑτέρων νούσων. πάσχουσι δὲ τάδε, τὰς φρένας ἀλγέουσιν, ὥστε μὴ ἐᾶσαι ἂν ἅψασθαι, καὶ πῦρ ἧκει καὶ ἔκφρονές εἰσι καὶ ἀιενέες βλέπουσι καὶ ἄλλα παραπλήσια ποιέουσι τοῖσιν ἐν

frigerantibus, ea quidem modo auferre modo vero apponere et quacunque parte ardere videbitur, frigus inducere et in totum vino abſtinere. Capitis dolor. Ubi ex dolore acuto qui ex capite initium duxit vox derepente defecerit, idque vel maxime ex ebrietate contigerit, ſic affectus ſeptimo die moritur. Minus tamen quibus tale quiddam ex ebrietate contingit et voce defecti permanent, moriuntur. Eodem enim die aut poſtero aut tertio ſi vox eruperit, convaleſcunt. Quod fere temulentis accidit neutrique pereunt. His vehementes ſternutationes promoveto et infuſo quod vehementer bilem educat illum ſubluito. Quod ſi ſenſum recuperavit, Thapſiae ſuccum ex multa calida dilutum, uti quam citiſſime revomat, exhibeto. Deinde extenuato et ſeptem diebus vino prohibeto, ſanguinem ex lingua, ſi venam apprehendere poſſis, detrahito. Phrenitides ſeu perpetua mentis cum febre acuta deliria. Phrenitides etiam ex aliis morbis oriuntur. In his ſeptum transverſum adeo dolet, ut ne contingere quidem ſinant, febris accedit, mente alienantur,

Ed. Chart. VII. [586.] Foës. I. 490. Ed. Lind. II. (101. 102.)
τῇ περιπλευμονίῃ, ὁκόταν οἱ ἐν τῇ περιπλευμονίῃ ἔκφρονες ἔωσι. τοῦτον χλιαίνειν δεῖ χλιάσμασιν ὑγροῖσι καὶ πόμασι (102) πλὴν οἴνου, καὶ ἢν μὲν οἷός τε ᾖ, ἀποκαθαίρειν ἄνω, βηχί τε καὶ πτύσει ἀνάγειν χρὴ ὥσπερ ἐν τῇ περιπλευμονίῃ. εἰ δὲ μὴ, τὴν κάτω κοιλίην παρασκευάζειν ὅκως ὑποχωρέῃ. ὑγραίνειν δὲ πόματι. ἀγαθὸν γάρ. ἡ δὲ νοῦσος θανατώδης. ἀποθνήσκουσι γὰρ τριταῖοι ἢ πεμπταῖοι ἢ ἑβδομαῖοι. ἢν δὲ ἠπίως ληφθῇ, κρίνει ὡς περιπλευμονίη. κυνάγχη. ὑπὸ δὲ τῆς κυνάγχης καλεομένης πνίγεται ὁ ἄνθρωπος καὶ ἐν τῇ φάρυγγι μᾶλλόν οἱ δοκέει ἐνέχεσθαι καὶ οὔτε τὸ σίαλον καταπῷ οὔτε ἄλλο οὐδὲν, καὶ τῷ ὀφθαλμῷ πονέεται τε καὶ ἐξέχετον ὡς ἀπαγχομένοισι καὶ βλέπει αὐτοῖσι ἀτενὲς καὶ ἐπιστρέφειν οὐχ οἷός τέ ἐστιν αὐτούς, καὶ λύζει καὶ ἀναΐσσει θαμινὰ καὶ τὸ πρόσωπον καὶ ἡ φάρυγξ πίμπραται, ἀτὰρ καὶ ὁ τράχηλος. τοῖσι δὲ ὁρέουσιν οὐδὲν κακὸν ἔχειν δοκέει. καὶ ὁρᾷ καὶ ἀκούει ἀμβλύτερον καὶ ὑπὸ τοῦ πνιγμοῦ οὐκ ἔννους ἐστιν, οὔτε ἢν τι λέγῃ οὔτε ἢν τι ἀκούῃ ἢ ποιέῃ.

immotis oculis aſpiciunt aliaque ſimilia efficiunt his qui pulmonis inflammatione laborant, in eaque mente moventur. Hunc tepefacientibus humidis calefacere oportet et potionibus praeterquam vino et quoad quidem fieri poterit, per ſuperiora purgare. Per tuſſim etiam et ſputum velut in pulmonis inflammatione ſurſum educere oportet.' Alioqui alvus inferior ut dejiciat praeparanda, et potionibus humectanda quod conducit. Hic autem morbus lethalis eſt, cum tertio die aut quinto aut ſeptimo moriantur. Si vero mitior fuerit velut pulmonis inflammatio, decernit. Angina. Ex angina dicta homo ſuffocatur et fauces magis occupare videtur ut neque ſalivam neque aliud quicquam deorſum trahat, oculi affecti ſunt, ac velut eis qui ſtrangulantur prominent et per eos contente intuetur neque eos convertere poteſt, crebro ſe jactat et exilit, facies et fauces incenduntur ac etiam collum. His vero qui vident nihil mali habere videtur et viſus et auditus hebeſcit, nihilque prae ſuffocatione intelligit neque quid dicat aut audiat aut faciat, ſed

Ed. Chart. VII. [586. 587.] Foës. I. 490. Ed. Lind. II. (102. 103.) ἀλλὰ κεχηνὼς κέεται σιαλοχέων, τοιάδε ποιέων. οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑβδομαῖος ἢ ἐνναταῖος. παρακυνάγχη. ὅταν δὲ τούτων ἀπῇ τι τῶν σημείων, χαλαρωτέρην δηλοῖ τὴν νοῦσον καὶ καλέουσιν αὐτὴν παρακυνάγχην. τοῦτον φλεβοτομέειν χρὴ, μάλιστα δὲ ὑπὸ τὸν τιτθόν. συνακολουθέει γὰρ ταύτῃ ἐκ τοῦ πλεύμονος θερμὸν πνεῦμα. χρὴ δὲ καὶ τὰ κάτω καθαίρειν φαρμάκῳ ἢ κλύσματι, καὶ τοὺς αὐλίσκους παρῶσαι ἐς τὴν φάρυγγα κατὰ τὰς γνάθους, ὡς ἕλκηται τὸ (103) πνεῦμα ἐς τὸν πλεύμονα, καὶ ποιέειν ὡς τάχιστα πτύσαι καὶ ἰσχναίνειν τὸν πλεύμονα καὶ ὑποθυμιᾶν δὴ ὕσσωπον κιλίκιον καὶ θεῖον καὶ ἄσφαλτον, καὶ ἕλκειν διὰ τῶν αὐλίσκων καὶ διὰ τῶν ῥινῶν, ὡς ἐξίῃ φλέγμα, καὶ τὴν φάρυγγα καὶ τὴν γλῶτταν ἀνατρίβειν τοῖσι φλέγμα ἄγουσι, καὶ τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ τάμνειν. ἀφιέναι δὲ αἷμα καὶ ἀπὸ τῶν ἀγκώνων, ἢν ἰσχύῃ. ἀοινεῖν δὲ καὶ ῥοφεῖν πτισάνης χυλὸν λεπτόν. ἐπειδὰν δὲ ἀφῇ ἡ νοῦσος καὶ σιτίων γεύηται, ἐλατηρίῳ νέῳ καθῆραι, ἵνα μὴ ἑτέρῳ κακῷ περιπέσῃ. [587] νοῦσος ἴκτερος. ἴκτερος τοιόσδε ἐστὶν ὁ ὀξὺς

jacet ore hiante ſalivam effundens. Haec cum faciat, quinto aut ſeptimo aut nono die moritur. Levior angina quae παρακυνάγχη dicitur. Cum vero ex his ſignis aliquid abfuerit, leviorem morbum indicat eumque παρακυνάγχην vocant. Huic vena praeſertim quidem ſub mamma ſecanda eſt. Hac enim ſpiritus de pulmone calidus ſimul ſequitur. Quin et per medicamentum aut infuſum deorſum purgare oportet, ſiſtulaeque in fauces ad maxillas intrudendae, quo ſpiritus in pulmonem trahatur efficiendumque ut quam citiſſime ſpuat, pulmoque extenuandus. Suffitus quoque ex hyſſopo Cilicio, ſulphure et bitumine parandus et per ſiſtulas attrahendus, perque nares, uti pituita exeat. Fauces et lingua his quae pituitam ducant infricanda, venaeque ſub lingua ſecandae. Sanguis vero ex cubitis mittendus, ſi vires valeant, vino abſtinendum et ptiſanae ſuccus liquidus ſorbendus. Poſtquam autem morbus dimiſerit, cibosque guſtaverit, elaterio recenti, ne in aliud malum incidat purgandum. Morbus regius. Hujusmodi morbus regius acutus

Ed. Chart. VII. [587.] Foës. I. 490. 491. Ed. Lind. II. (103. 104.) καὶ διὰ ταχέως ἀποκτείνων, ἡ χροιὴ ὅλη σιδιοειδὴς σφόδρα ἐστὶ, χλωροτέρη, οἵη οἱ σαῦροι οἱ χλωροί. παρόμοιος δὲ καὶ ὁ χρὼς καὶ τῷ οὔρῳ ὑφίσταται οἷον ὀρόβιον πυρρὸν καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει. ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται καὶ ξύεται καὶ ἄσιτος ἐὼν τὰ ἑωθινὰ τὰ σπλάγχνα ἀμύσσεται ὡς ἐπιτοπολὺ, καὶ ὁκόταν ἐγείρῃ τις αὐτὸν ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. οὗτος ὡς ἐπιτοπολὺ ἀποθνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερῶν. ταύτας δὲ διαφυγὼν ὑγιὴς γίνεται. χρὴ δὲ θερμολουτέειν καὶ πίνειν μελίκρητον σὺν καρύων θασίων λεπισθέντων || καὶ ἀψινθίου κόμης ἴσον, ἀνίσου σεσημένου ἥμισυ πίνειν ὁλκῆς τριόβολον νῆστις, καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον τοῦτο καὶ οἶνον πα(104)λαιὸν λεπτὸν καὶ ῥοφήματα. ἀσιτέειν δὲ μή. τέτανος. οἱ τέτανοι ὅταν ἐπιλύβωσιν, οἱ γένυες πεπήγασιν ὡς ξύλα καὶ τὸ στόμα διοίγειν οὐ δύνανται καὶ οἱ ὀφθαλμοὶ δακρύουσί τε καὶ ἰλλαίνονται καὶ τὸ μετάφρενον πέπηγε· καὶ τὰ σκέλεα οὐ δύνανται συνάγειν, ὁμοίως οὐδὲ τὼ χεῖρε, καὶ τὸ πρόσωπον ἐρεύθει καὶ σφόδρα ὀδυ-

est et cito necat, color totus malicorium maxime refert, ex viridi pallescens et qualis lacerti virides simileque fere corpus est, in urina quod subsidet velut ervum fulvum est, et febris ac horror levis detinet. Quandoque etiam vestes ferre non sustinet, sed ab iis mordetur et pungitur. Jejuno mane viscera plerumque lacerantur et si quis eum excitet aut alloquatur, non patitur. Hic fere intra dies quatuordecim moritur, quos si effugerit, convalescit. Calida lavare oportet et aquam mulsam bibere, cum nucibus thasiis decorticatis et absinthii coma pari portione et anisi cribrati dimidio, ita ut triobolum ex his jejunus bibat rursusque cum cubile petit, hanc aquam mulsam vinumque vetus tenue assumat et sorbitionibus utatur neque cibis absteneat. Corporis distentio τέτανος dicta. Cum invadunt corporis distentiones Tetani appellati, maxillae velut ligna configuntur, os aperire nequeunt, oculi illachrymantur ac perverruntur, dorsum rigidum est, crura neque manus similiter adducere possunt, facies rubescit et vehementer dolet, cum-

Ed. Chart. VII. [587.] Foël. I. 491. Ed. Lind. II. (104. 105.)
ναται καὶ ὁκόταν ἀποθνήσκειν μέλλῃ, ἀνεμέει διὰ τῶν ῥινῶν καὶ τὸ πόμα καὶ τὸ ῥόφημα καὶ τὸ φλέγμα. οὗτος τριταῖος ἢ πεμπταῖος ἢ ἑβδομαῖος ἢ τεσσαρεσκαιδεκαταῖος ἀπόλλυται. ταύτας δὲ διαφυγὼν ὑγιὴς γίνεται. τούτῳ διδόναι καταπότια, πέπερι καὶ ἐλλέβορον μέλανα καὶ ζωμὸν ὀρνιθείων πίονα θερμόν, καὶ πταρμοὺς ἰσχυροὺς καὶ πολλοὺς ἐμποιέειν καὶ πυριᾶν. ὁκόταν δὲ μὴ πυριῆται, τὰ χλιάσματα προστιθέναι ὑγρὰ καὶ λιπαρὰ ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν, μάλιστα δὲ πρὸς τὰ ὀδυνώμενα, καὶ ἀλείφειν θερμῷ καὶ πολλῷ καὶ πολλάκις. ὀπισθότονος. ὅταν δὲ ὀπισθότονος ἴσχῃ, τὰ μὲν ἄλλα ὡς ἐπιτοπολὺ τὰ αὐτά, σπᾶται δὲ εἰς τοὔπισθεν καὶ βοᾷ ἐνίοτε καὶ ὀδύναι ἴσχουσιν ἰσχυραὶ, καὶ συνάγειν ἐνίοτε οὐκ ἐᾷ τὰ σκέλεα οὐδὲ τὰς χεῖρας ἐκτεῖναι. ξυγκεκαμμένοι γὰρ οἱ ἀγκῶνες γίνονται καὶ τοὺς δακτύλους πυξ ἔχει καὶ τὸν μέγαν δάκτυλον τοῖσιν ἄλλοισι κατέχει ὡς ἐπιτοπολὺ καὶ βοᾷ καὶ φλυαρέει ἐνίοτε καὶ οὐ δύναται ἑωυτὸν κατέχειν, ἀλλ' (105) ἀναΐσσει ἐνίοτε, ὅταν ἡ ὀδύνη ἔχῃ. ὅταν δὲ ἀνῇ ἡ ὀδύνη, ἡσυχίην ἔχει. ἐνίοτε δὲ καὶ ἄφωνοι

que mortui eſt proximus, potionem, ſorbitionem et pituitam per nares rejicit. Hic tertio aut quinto aut ſeptimo aut decimo quarto die perit, quos ſi effugerit, convaleſcit. Huic piper et veratrum nigrum ex jure gallinaceo pingui et calido devoranda dato, ſternutamentaque vehementia et multa excitato et fotus adhibeto. Ubi vero non fovebitur, tepefactoria humida et pinguia in veſicis et utriculis undique praeſertimque ad dolentes partes admoveto et calido oleo copioſo crebroque inungito. Diſtentio in poſteriora. Cum diſtentio in poſteriora ὀπισθότονος Graece dicta detinet, in reliquo fere eadem ſunt, verum in poſteriora convellitur interdumque vociferatur, vehementes dolores occupant neque interdum crura adducere neque manus extendere ſinit. Inflexi enim ſunt cubiti, digitos in pugnum contractos habet et pollicem ut plurimum aliis digitis continet, vociferatur et quandoque delirat neque ſe continere poteſt, ſed cum dolor detinet, interdum ſurſum proſilit, ubi vero dolor remiſerit, quietem agit. Interdum vero ſimul ut morbo

Ed. Chart. VII. [587. 588.] Foël. I. 491. Ed. Lind. II. (105.)
γίνονται ἅμα ἁλισκόμενοι ἢ μανικοί τε καὶ μελαγχολικοί. οἵτοι τριταῖοι θνήσκουσι τῆς φωνῆς λυθείσης καὶ ἀνεμέουσι διὰ τῶν ῥινῶν. εἰ δὲ φθάσουσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα, ὑγιέες γίνονται. θεραπεύειν δὲ ὡς τὸν ἄνω. ἢν δὲ βούλῃ, καὶ ὧδε ποιέειν. ὕδωρ ὡς πλεῖστον ψυχρὸν κα[588]ταχέας, ἔπειτα ἱμάτια λεπτὰ καὶ καθαρὰ καὶ θερμὰ ἐπιβάλλειν. πῦρ δὲ τότε μὴ προσφέρειν. οὕτως χρὴ ποιέειν καὶ τοὺς τετάνους καὶ τοὺς ὀπισθοτόνους. εἰλεοί. εἰλεοὶ δὲ γίνονται τῆς μὲν ἄνω κοιλίης θερμαινομένης· τῆς δὲ κάτω ψυχομένης. ξυναυαίνεται γὰρ τὸ ἔντερον καὶ ξυμπιλέεται ὑπὸ τῆς φλεγμασίης, ὥστε μήτε τὸ πνεῦμα μήτε τὰς τροφὰς διεξιέναι, ἀλλὰ τὴν γαστέρα σκληρὴν εἶναι καὶ ἐμέειν ἐνίοτε. πρῶτον μὲν φλεγματώδεα, ἔπειτα δὲ χολώδεα, τελευτῶν δὲ κόπρον, καὶ δίψαν ἔχει καὶ ὀδύνην μάλιστα μὲν περὶ τὰ ὑποχόνδρια, ἀλγέει δὲ καὶ πᾶσαν τὴν γαστέρα καὶ πεφύσηται, καὶ λύζει καὶ πυρετοὶ ἐπιλαμβάνουσι. γίνονται δὲ μάλιστα ἑβδομαῖοι. τούτους ὧδε χρὴ θεραπεύειν. καθᾶραι τὴν ἄνω κοιλίην ὡς τάχιστα καὶ αἷμα ἀφαιρέειν ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ἀγ-

corripiuntur, vox eos deficit aut inſania et atra bile tentantur. Hi voce ſoluta tertio die moriuntur et per nares rejiciunt. Quod ſi contigerit ut decimum quartum effugiant, convaleſcunt. Ut ſuperiorem curato, et ſi voles ita facito. Poſt affuſam frigidam plurimam veſtimenta tenuia, pura et calida ſuperinjicito, tuncque ignem ne adhibeto. Hoc modo tetani et opiſthotoni curandi. Volvuli. Oriuntur quidem volvuli ex incaleſcente ventre ſuperiore, inferiore vero refrigerato. Reſiccatur enim inteſtinum et conſtipatur ex inflammatione ita ut neque flatum neque alimenta transmittat, ſed venter durus ſit et vomat interdum, inprimis quidem pituitoſa, deinde vero bilioſa, tandem etiam ſtercus, ſitis et dolor maximeque circa praecordia detinet, totus etiam venter dolet et inflatur, ſeſe jactat, febres invadunt praecipueque ſeptimo die contingunt. His ea curatio inſtituenda eſt. Venter ſuperior quam citiſſime purgandus, ſanguis ex capite et cubitis detrahendus, ut alvus ſuperior ca-

Ed. Chart. VII. [588.] Foës. I. 491. 492. Ed. Lind. II. (105. 106.)

κώνων, ἵνα παύσηται ἡ ἄνω κοιλίη θερμαινομένη, καὶ ψύχειν τὰ ἄνω τῶν φρενῶν πλὴν τῆς καρδίης. τὰ δὲ κάτω θερμαίνειν ἐν σκάφει ὕδατος θερμοῦ καθίζων τὸν ἄνθρωπον καὶ ἀλείφων ἀεὶ, καὶ χλιάσματα ὑγρὰ προστιθέναι, καὶ βάλανον μέλιτος μόνον ποιέων, (106) ὡς δεκαδάκτυλον ἐξ ἄκρου χολὴν ταύρου ἐς τὸ πρόσθεν ἐπιπλάσσων πρόσθες καὶ δὶς καὶ τρὶς, ὡς πάντα τὰ ξυγκεκαυμένα περὶ τὸν ἀρχὸν ἐξαγάγῃς τῆς κόπρου. κὴν μὲν οὕτως ὑπακούῃ, κλύζειν ἐπὶ τούτοισιν· ἢν δὲ μὴ, φῦσαν χαλκευτικὴν ἐσιέναι καὶ φυσᾶν ἐς τὴν κοιλίην, ἵνα διαστήσῃς τήν τε κοιλίην καὶ τὴν τοῦ ἐντέρου σύστασιν. εἶτα πάλιν ἐξελὼν τὴν φῦσαν κλύσαι. εὐθὺς δὲ ἕτοιμον ἔστω τὸ κλύσμα, μὴ πάνυ τῶν θερμαντικῶν, || ἀλλὰ τῶν διαλυόντων τὰς κόπρους καὶ τηκόντων. εἶτα βύσας τὴν ἕδρην σπόγγῳ, καθήσθω ἐν ὕδατι θερμῷ κατέχων τὸ κλύσμα, καὶ ἢν δέξηται τὸ κλύσμα καὶ πάλιν μεθῇ, ὑγιὴς γίνεται. ἐν δὲ τᾷ πρόσθεν χρόνῳ μέλι τε ὡς κάλλιστον λειχέτω, καὶ οἶνον αὐγίτην πινέτω ἔγχωρον. ἢν δὲ τοῦ εἰλέου ἀφέντος πυρετὸς αὐτὸν ἐπιλάβῃ, ἀνέλπιστος.

lescere desinat, partes supra septum transversum excepto corde refrigerandae. Inferiores autem partes homine in aquae calidae solio collocato et oleo semper illito calefaciendae et calefacientia humida admovenda. Collyrium ex solo melle decem digitorum longitudinis summa ejus parte anteriore felle taurino illitum bis aut ter subjiciendum, ut exusta omnia circa rectum intestinum stercora educas. Quod si sic successerit, postea infusum per clysterem injiciendum. Sin minus, folle fabrili indito, in ventrem flatus immittendus, ut tum ventrem tum intestinum contractum distendas. Deinde extracto folle, infusum per clysterem injiciendum. Sit autem statim paratum infusum ex his quae non admodum calefaciant, sed stercora dissolvant et colliquefaciant. Deinde intrusa in anum spongia in aqua calida desideat, infusum per clysterem continens. Quod si receperit rursusque demiserit, convalescit. Prius autem mel optimum delingat, vinumque hornum vernaculum bibat. At si remisso volvulo febris eum prehendat, desperatus est.

Ed. Chart. VII. [588. 589.] Foeſ. I. 492. Ed. Lind. II. (106. 107.) ἴσως γὰρ καὶ ἡ κάτω κοιλίη λυθεῖσα ἀποκτείνειεν ἄν. περιπλευμονίη. ἡ δὲ περιπλευμονίη τοιάδε ποιέει πυρετός τε ὀξὺς ἔχει καὶ τὸ πνεῦμα πυκνὸν καὶ θερμὸν ἀναπνέει καὶ ἀπορίη καὶ ἀδυναμίη καὶ ῥιπτασμὸς καὶ ὀδύνη ὑπὸ τὴν ὠμοπλάτην καὶ εἰς τὴν κληῖδα καὶ ἐς τὸν τιτθὸν καὶ βάρος ἐν τοῖσι στήθεσιν. ἐνίοτε δὲ καὶ παραφροσύνη. ἔστι δ' οἷσιν ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξωνται βήσσειν. πολυχρονιωτέρη δὲ καὶ χαλεπωτέρη κείνης. τὸ δὲ σίαλον λεπτὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. ἡ δὲ γλῶσσα ξανθή. προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. ἢν (107) μὲν οὖν ἐν ἀρχῇ μελαίνηται, θάσσους αἱ ἀπαλλαγαί. ἢν δὲ ὕστερον, σχολαίτεραι. τελευ[589]τῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα, καὶ ἢν προσθῇς τὸν δάκτυλον, ἔχεται. τὴν δὲ ἀπάλλαξιν τῆς νούσου σημαίνει ἡ γλῶσσα. ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα τοὐλάχιστον, τὸ πλεῖστον δὲ εἴκοσι καὶ μίαν, καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα, καὶ καθαίρεται ἅμα τῇ βηχὶ, τὸ μὲν πρῶτον πολὺ καὶ ἀφρῶδες σίαλον, ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὁκόταν ὁ πυρετὸς ἐνακμάζῃ,

Fortaſſis enim etiam ſoluta alvus inferior interficiet. Pulmonis inflammatio. In pulmonis inflammatione haec fiunt, febris acuta detinet, reſpiratio crebra eſt et calida, anxietudo, impotentia, corporis jactatio, dolor ſub ſcapulis, ad jugulum et mammam et in pectore gravitas, interdum etiam delirium. Nonnullis vero donec tuſſire coeperint ſine dolore eſt, ſed illa diuturnior eſt et gravior. Primis diebus ſputum tenue et ſpumoſum exſpuit, lingua flaveſcit, procedente vero tempore nigreſcit. Si igitur circa initia nigreſcat, celeriores ſunt liberationes, ſi vero poſtea, tardiores. Ad extremum autem lingua dehiſcit et ſi digitum admoveas, adhaereſcit. Morbi vero liberationem non ſecus ac in morbo laterali lingua indicat. Haec autem contingunt diebus ut minimum quatuordecim, ad ſummum vero uno et viginti. Quo tempore vehementer tuſſit, ſimulque cum tuſſi primum quidem copioſum et ſpumoſum ſputum expuit, ſeptimo vero et octavo die, cum febris in vigore fuerit humidaque pul-

Ed. Chart. VII. [589.] Foës. I. 492. Ed. Lind. II. (107. 108.)
ἢν ὑγρὴ εἴη ἡ περιπλευμονίη, παχύτερον· ἢν δὲ μή, οὔ. ἐννάτῃ δὲ καὶ δεκάτῃ ὑπόχλωρον καὶ ὕφαιμον, δωδεκάτῃ δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. ὧν καὶ ὑγραί εἰσιν αἵ τε φύσιες καὶ διαθέσιες τοῦ σώματος, αὐτὰρ καὶ ἡ νοῦσος ἰσχυρή. ὧν δὲ ἥ τε φύσις καὶ ἡ κατάστασις τῆς νούσου ξηρή, ἧσσον οὗτοι. ἢν μὲν οὖν τῇ τετάρτῃ καὶ δεκάτῃ ξηρανθῇ καὶ μηκέτι ἀποβήσσῃ πυῶδες, ὑγιής ἐστιν. ἢν δὲ μή, πρόσεχε ἐς τὰς εἴκοσι δυοῖν δεουσῶν καὶ τὰς εἴκοσι καὶ μίαν τὸν νόον, καὶ ἢν μὲν ἐνταῦθα παύσηται, ἐκφεύγει τοῦ πτύσματος. ἢν δὲ μή, ἔρου αὐτὸν, εἰ γλυκύτερον τὸ σίαλον, καὶ ἢν φῇ, ἴσθι ὅτι ὁ πλεύμων αὐτῷ ἔμπυός ἐστι καὶ ἡ νοῦσος καθίσταται ἐνιαυσίη, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι σπεύδων ἀναγάγῃ τὸ πῦον. ἢν δὲ φῇ ἀηδὲς εἶναι τὸ σίαλον, θανατώδης ἡ στάσις τῆς νούσου· ἀλλ' ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι μάλιστα διάδηλοι. ἢν γὰρ ἐκπτύσῃ τὸ (108) σαπὲν καὶ τὸ πυωθὲν ἐν ἡμέρῃσι δύο καὶ εἴκοσι καὶ μὴ ἑλκωθῇ, ἐκφεύγει. ἢν δὲ μή, οὔ. αὕτη ἡ περι-

monis inflammatio exſtiterit, craſſius procedit, alioqui minime. Nono et decimo aliquantum cum virore palleſcens et ſubcruentum. Duodecimo ad decimumquartum usque copioſum et purulentum. Atque haec fiunt quibus naturae et corporis affectiones humidae ſunt, quinetiam morbus vehementior eſt. At quibus natura et morbi conditio ſicca eſt, hi minus conflictantur. Si quidem igitur ad decimumquartum diem reliccatus fuerit, neque purulentum amplius tuſſi rejecerit, ſanus eſt. Sin minus, decimum octavum et primum ac vigeſimum diem animadverte. Et ſi quidem tunc quieverit, hujusmodi ſputum evadit. Sin minus, an dulcius ſputum fuerit interroga. Quod ſi affirmaverit, pulmonem purulentum eſſe ſcito morbumque annuum fore, niſi quadraginta dies pus ſurſum eduxerit. At ſi ingratum ſputum eſſe dixerit, hic morbi ſtatus lethalis eſt. Verum primis potiſſimum diebus iſtud in his eſt conſpicuum. Nam ſi putridum et purulentum ſputum duobus et viginti diebus rejecerit neque exulceratus fuerit, evadit; alioqui vero

Ed. Chart. VII. [589.] Foël. I. 492. 493. Ed. Lind. II. (108.)
πλευμονίη οὐδὲν ἀπολείπει τῶν ἐν τῷ πλεύμονι ἐόντων κακῶν. ἢν οὖν τι τούτων ἀπῇ τῶν κακῶν, εἰδέναι χρὴ ὅσα τε τῷ κάμνοντι ἔχειν καὶ τῷ ἰητρῷ μεταχειρίζεσθαι. ἢν δὲ ὀλίγα ἔχῃ τούτων τῶν σημείων, μὴ ἐξαπατάτω. ἐπεὶ οὐκ ὀλέθριος περιπλευμονίη ἐστὶν, ἀλλά τις μαλθακή. θεραπεύειν δὲ χρὴ τὴν περιπλευμονίην οὕτως. οὐ μέντοι ἐξαμαρτήσει καὶ πλευρῖτιν καὶ φρενῖτιν οὕτω μεταχειριζόμενος. ἄρχου τὸ πρῶτον κουφίζειν τὴν κεφαλήν, ἵνα μηδὲν ἐπιῤῥέῃ πρὸς τὸ στῆθος. τὰς δὲ πρώτας ἡμέρας τὰ ῥοφήματα ἔστω γλυκύτερα. οὕτω γὰρ ἂν μάλιστα τὸ ξυγκαθήμενον καὶ τὸ ξυνεστηκὸς, ἀποπλύνοις καὶ κινέοις. τεταρταίοισι δὲ καὶ πεμπταίοισι καὶ ἑκταίοισι μηκέτι γλυκύτερα, ἀλλὰ λιπαρά. ἐς γὰρ τὴν ἄνω πτύσιν ὑποχρέμπτεσθαι ξυμφέρει. ἢν δὲ μὴ δύνηται κατὰ λόγον πτύειν, τῶν ἀναγόντων φαρμάκων διδόναι. τὰς δὲ κοιλίας ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι τέσσαρσιν ἢ πέντε ὑποχωρέειν χρὴ || καὶ ὀλίγῳ μᾶλλον, ἵνα οἵ τε πυρετοὶ ἀμβλύτεροι ἔωσι καὶ τὰ ἀλγήματα κουφότερα. ὁκόταν δὲ κεκε-

minime. Haec pulmonis inflammatio nihil relinquit in pulmone vitii. Si igitur de his affectibus aliquid abfuerit, noſſe oportet quaenam aegro ſint neceſſaria, et quaenam medico aggredienda ſint. Quod ſi pauca ex his ſignis habeat, non eſt quod decipiatur, cum haec pulmonis inflammatio levis ſit et minime exitialis. Atque hunc in modum pulmonis inflammationem curare oportet. Neque tamen peccaveris, ſi morbum lateralem et phrenitidem hoc modo curare aggrediaris. Primum quidem caput levius reddito, ne quid ad pectus defluat. Primis autem diebus ſorbitiones dulciores eſſe debent. Sic enim maxime quod in ſe conſedit et coiit dilueris et agitaveris. Quarto, quinto et ſexto die, ne amplius dulces ſint, ſed pingues, cum ad ſputum per ſuperiora excreandum conferant. Quod ſi juxta rationem ſpuere nequeat, medicamenta quae ſurſum educunt exhibenda. Primis quidem quatuor aut quinque diebus, paulo magis alvum ſubducere oportet, quo febres retundantur et dolores leniantur. Cum vero vacuatus corpusque

Ed. Chart. VII. [589. 590.] Foës. I. 493. Ed. Lind. II. (108. 109.)
νωμένος ἢ καὶ ἀσθενὲς τὸ σῶμα, τὴν κάτω κοιλίην διὰ τρίτης ὑποκινέειν, ἵνα τό τε σῶμα δυνατὸν ἢ καὶ τὰ ἄνω χωρία ἄνικμα. ἢν γὰρ κάτω ὑγρὸν πολλὸν ὑποχωρέῃ, ἀπὸ τῆς πέμπτης ἡμέρης θάνατον ποιέει. κάτω γὰρ τοῦ ὑγροῦ ὑποχορέοντος τὰ ἄνω ξηραίνεται καὶ ἡ κάθαρσις τοῦ πτύσματος οὐ χωρέει ἄνω. δεῖ οὖν καὶ τὴν κάτω (109) κοιλίην μήτε ἑστάναι λίην, ἵνα μὴ ὀξέες ἔωσιν οἱ πυρετοὶ, μήτε λίην ὑποχωρέειν, ἵνα τὸ σίαλον ἀνιέναι δύνηται καὶ ἰσχύῃ ὁ κάμνων. φάρμακα δὲ τῆς ἀναγωγῆς ἑκταίοισι καὶ ἑβδομαίοισι καὶ ἐνναταίοισι καὶ ἔτι περαιτέρω ἐοῦσι τῆς νούσου μᾶλλον δίδου. [590] τὸ δὲ φάρμακον ἔστω ἑλλέβορος λευκὸς, θαψίη, ἑλατήριον νέον, ἴσον ἑκάστου. ἢν δὲ τὸ σίαλον μὴ καθαίρηται εὖ καὶ τὸ πνεῦμα πυκνὸν ᾖ καὶ τῆς καθάρσιος μὴ ἐπικρατέῃ, προειπεῖν ὅτι ἀνέλπιστός ἐστι τοῦ ζῆν, ἢν μὴ δύνηται τῇ καθάρσει ὑπουργέειν. ποιέειν δὲ καὶ τὰ ἐν τῇ περιπλευμονίῃ, ἢν σοι τὰ τῆς κοιλίης τῆς κάτω καλῶς ὑπουργέῃ. ποιέειν δὲ καὶ ἄλλως ἀπὸ τῆς πρώτης ἡμέρης ἀρξάμενος, δίδου ἄρου τοῦ μεγάλου κόγχην χηραμίδα δαύκου καὶ

debile fuerit, tertio quoque die alvus ſubagitanda tum ut corpus robuſtum evadat, tum ſuperiora loca humoris ſint expertia. Nam ſi multus humor per inferiora ſecedat, poſt quintum diem mortem adfert. Secedente enim per inferiora humore, ſuperiora ſicceſcunt neque ſputum per ſuperiora repurgatur. Inferiorem igitur alvum neque nimis ſiſti oportet, ut ne febres increſcant, neque nimis demitti, quo ſputum ſurſum emitti poſſit et aeger viribus valeat. Ubi autem ſextum et ſeptimum ac nonum diem attigerint, jamque ulterius progreſſo morbo, medicamenta quae ſurſum educant potius exhibeto. Taleque ſit medicamentum, veratrum album, thapſia, elaterium recens cujusque par portio. Quod ſi ſputum probe non repurgetur et ſpiratio crebra ſuerit neque purgatio ſuperet, deſperatam eſſe ſalutem praedicito, niſi ad purgationem ſufficere poſſit. Facienda vero etiam quae in pulmonis inflammatione fieri debent, ſi alvus inferior probe officium ſuum praeſtet. Aliter autem primis diebus curatio facienda. Dracunculi magni concham majo-

Ed. Chart. VII. [590.] Foës. I. 493. Ed. Lind. II. (109. 110.) ἀκαλήφης μίην καὶ νάπυος καὶ πηγάνου ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν καὶ ὀπὸν σιλφίου ὅσον κύαμον. ταῦτα ἐν ὄξει γλυκεῖ καὶ ὕδατι κεράσας καὶ διηθήσας, δίδου νήστει χλιαρόν. ἐπειδὰν δὲ ἄρχηται καθαρὸν ἐκπτύειν, ὄρου χηραμίδα καὶ σήσαμον καὶ ἀμύγδαλα καθήρας ἐν ὄξει γλυκεῖ κεκρημένῳ πίνειν. ἢν δὲ μᾶλλον βούλῃ ἄγειν, καππάριος τῆς ῥίζης φλοιὸν μιγνύναι τούτοισιν. πλευρῖτις. ὁκόταν δὲ πλευρῖτις λάβῃ, τάδε πάσχει. ὀδύνη τὴν πλευρὴν καὶ πυρετὸς καὶ φρίκη ἴσχει καὶ ἀναπνεῖ πυκνὸν καὶ ὀρθοπνοίη ἔχει, καὶ ἀναβήσσει ὑπόχολα οἷον ἀπὸ σιδίου, ἢν μὴ ῥήγματα (110) ἔχῃ. ἢν δὲ ἔχῃ, καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων. ἔστι δὲ καὶ αἱματώδης, ἐν δὲ τῇ αἱματώδει ὕφαιμον. ἔστι δὲ ἡ μὲν χολώδης ἠπιωτέρη, ἢν μὴ ῥήγματα ἔχῃ ὃ κάμναν. εἰ δὲ μή, ἐπιπονωτέρη μὲν, θανατωδεστέρη δὲ οὔ. ἡ δὲ αἱματώδης ἰσχυρὴ καὶ ἐπίπονος καὶ θανατώδης. ὁπόταν οὖν προσῇ καὶ λύγξ ἅμα καὶ αἵματος θρόμβους ἀποβήσσῃ ἅμα τῷ σιάλῳ μέλανας, οὗτος ἀποθνήσκει ἑβδομαῖος. δέκα δὲ ἡμέρας

rem exhibeto, dauci et urticae unam, ſinapis et rutae quantum tribus digitis capere poſſis et laſeris ſuccum fabae quantitatem. Quae aceto dulci et aqua temperata et excolata, jejuno tepida potui praebeto. Poſtquam autem purum eſſe ſputum coeperit, dracunculi concham majorem et ſeſamum, amygdalas purgatas, ex aceto dulci aqua diluto propinato. Quod ſi magis educere voles, radicis capparis corticem his admiſceto. Morbus lateralis. Cum morbus lateralis corripit, haec contingunt, dolor latus occupat, febris et horror detinet, crebra eſt ſpiratio, ſpiritus nonniſi erecta cervice trahitur, ſubbilioſa colore mali punici putamen referentia per tuſſim rejicit, niſi quid intus ruptum fuerit. Quod ſi ſic, etiam ſanguinem poſt ruptiones. Eſt autem cruentus morbus lateralis, in quo ſubcruenta exſpuit. Et bilioſus quidem mitior eſt, niſi aegro ruptum quid intus fuerit, alioqui gravior quidem, ſed non adeo lethalis. Cruentus autem vehemens et gravis et lethalis. Cum igitur urget, una ſingultus adeſt ſimulque cum ſputo ſanguinis grumos nigros tuſſi rejicit. Hic ſeptimo die moritur, et ſi

Ed. Chart. VII. [590.] Foës. I. 493. Ed. Lind. II. (110. 111.)
διαφυγών, τὴν μὲν πλευρῖτιν ὑγιὴς γίνεται, εἰκοστῇ δὲ ἐκπυΐσκεται καὶ ἀποβήσσει πῦον. τελευτῶν δὲ ἀπεμέει καὶ πάνυ εὐθεράπευτος οὐ γίνεται. ξηραὶ πλευρίτιδες. εἰσὶ δὲ καὶ ξηραὶ πλευρίτιδες ἄπτυστοι. χαλεπαὶ δὲ αὗται. αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν ὑγρασίῃσι πλέονος δέονται τῶν ἄλλων ἐν τῷ ποτῷ. αἱ δὲ χολώδεες καὶ αἱματώδεες κρίνουσιν ἐννατάῖαι καὶ ἑνδεκατάῖαι, καὶ οὗτοι ὑγιέες μᾶλλον γίνονται. ἢν δὲ κατ' ἀρχὰς μὲν μαλθακαί τινες ἔχωσιν ὀδύναι, ἀπὸ τῆς πέμπτης δὲ καὶ ἕκτης ὀξεῖαι, αὗται δὲ τελευτῶσι μέχρι δυοκαιδεκάτης καὶ οὐ μάλα ἐκφεύγουσι. κίνδυνος δὲ μάλιστα μέχρις ἑβδόμης, ἀτὰρ καὶ ἐς τὴν δυοκαιδεκάτην. μετὰ δὲ ταύτας ὑγιαίνονται. αἱ δὲ ἐξ ἀρχῆς μὲν μαλθακαί, ἀπὸ δὲ τῆς ἑβδόμης καὶ ὀγδόης ὀξεῖαι πρὸς τὰς τεσσαρεσκαίδεκα κρίνουσί τε καὶ ὑγιαίνονται. πλευρῖτις ἐν νώτῳ. ἡ δὲ ἐς τὸν νῶτον πλευρῖτις τοσόνδε διαφέρει τῶν ἄλλων. τὸν νῶτον ὀδυνᾶται ὡς ἐκ πληγῆς καὶ στένει καὶ ἀναπνεῖ ἀθρόον. εὐθὺς δὲ πτύει ὀλίγα καὶ (111) κοπιᾷ τὸ σῶμα. τρίτῃ ἢ τετάρτῃ οὐρέει ἰχῶρα ὕφαιμον. ἀποθνήσκει δὲ

decimum diem ſuperaverit, a morbo quidem laterali convaleſcit, ſed vigeſimo ſuppuratur et pus per tuſſim rejicit, tandem vero evomit neque adeo facile curatur. Morbi laterales ſicci. Sunt autem ſicci morbi laterales ſine ſputo, verum hi moleſti ſunt. Judicationes aliis ſimiles ſunt, copioſiore in potu humectatione quam alii opus habent. Bilioſi autem et ſanguinei nono et undecimo die decernunt, iique magis ſaneſcunt. Quod ſi per initia quidem leves dolores detinuerint, poſt quintum vero et ſextum diem acuti, ii ad duodecimum usque protrahuntur et nunquam fere evadunt. Periclitantur autem maxime ad ſeptimum, ſed etiam ad duodecimum, poſt quos convaleſcunt. Qui ab initio quidem leves ſunt, poſt ſeptimum autem et octavum ingraveſcunt, ad decimum quartum decernunt et ſaneſcunt. Morbus lateralis in dorſo. Lateralis in dorſo morbus, hoc aliis praeſtat, dorſum velut ex plaga dolor occupat, ingemiſcit, confertim reſpirat, conſeſtim pauca exſpuit et corpus laſſitudine vexatur. Tertio aut quarto die urinam velut ſub-

Ed. Chart. VII. [590. 591.] Foës. I. 493. 494. Ed. Lind. II. (111.)
μάλιστα πεμπταῖος. εἰ δὲ μή γε, ἑβδομαῖος. ταύτας δὲ διαφυ-
[591]γὼν ζώει καὶ ἡ νοῦσος ἠπίη καὶ ἧσσον θανατώδης.
|| φυλάσσειν δὲ χρὴ μέχρι τῶν τεσσαρεσκαίδεκα. μετὰ δὲ
ταῦτα ὑγιὴς γίνεται. ἐνίοις δὲ τῶν πλευριτικῶν τὸ μὲν σίαλον καθαρόν, ἡ δὲ οὔρησις αἱματώδης, οἷον ἀπὸ κρεῶν ὀπτῶν ἰχωρῶδες. ὀδύναι δὲ ὀξεῖαι διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος καὶ ἐς τὸν βουβῶνα τείνουσιν. οὗτος τὴν ἑβδόμην διαφυγὼν ὑγιαίνει. ὁκόταν δὲ τούτων τῶν πλευριτίδων τινὶ προσγένηται, τὸν νῶτον ἐρυθριᾶν καὶ τοὺς ὤμους θερμαίνεσθαι καὶ ἀνακαθίζοντα βαρύνεσθαι, καὶ ἡ γαστὴρ ἐκταράσσεται χλωρῷ καὶ δυσώδει σφόδρα, οὗτος διὰ τὴν ὑποχώρησιν τῆς γαστρὸς εἰκοστῇ καὶ μιῇ ἀποθνήσκει. ταύτας δὲ διαφυγὼν ὑγιαίνει. οἷσι δὲ αἱ πτύσεις εὐθὺς παντοδαπαί εἰσι καὶ τὰ ἀλγήματα πάνυ ὀξέα, οὗτοι τριταῖοι θνήσκουσι. ταύτας δὲ διαφυγόντες ὑγιαίνουσιν. ὃ μὴ γενόμενος δὲ ὑγιὴς τῇ ἑβδόμῃ ἢ τῇ ἐννάτῃ ἢ τῇ δεκάτῃ, ἄρχεται ἐμπυΐσκεσθαι. κρεῖσσον δὲ ἐμπυῆσαι. ἧσσον γὰρ θανατώδες, κἂν ἐπίπονον ᾖ. πρὸς δὲ τοῖσι σημείοισι τοῖσιν εἰρημένοισιν ἐν ἑκάστῃ

cruentam ſaniem reddit, fereque quinto die moritur, ſin minus ſeptimo, quos ſi effugerit, vivit. Hic morbus mitis eſt minusque lethalis. Obſervandus tamen ad decimumquartum, poſt quem ſaneſcit. Quibusdam autem morbo laterali laborantibus purum ſputum exſpuitur, urina cruenta redditur, qualis ſanies ex carnibus aſſatis defluens, dolores vero acuti per ſpinam ad pectus et inguina perveniunt. Hic ſi ſeptimum diem effugerit, ſanus redditur. Cum vero alicui morbo laterali laboranti dorſum rubeſcere contigerit et humeros incaleſcere, dumque deſidet pondere gravari, ſi venter perturbatus ex virore pallida et graveolentia admodum demittat, hic ex ventris dejectione primo et vigeſimo die moritur, quem ſi effugerit, convaleſcit. At quibus conſeſtim exſpuitiones cujusvis ſunt generis et dolores admodum acuti, ii tertio die moriuntur, quem ſi effugerint, convaleſcunt. Qui vero ſeptimo aut nono aut decimo die ſanus non fuerit, pus intro colligere incipit. Praeſtat autem ſuppurari, minus enim lethale eſt, quamvis laborio-

Ed. Chart. VII. [591.] Foës. I. 494. Ed. Lind. II. (111. 112.)
τῶν πλευριτίδων καὶ τάδε χρὴ σκοπέεσθαι τὴν γλῶτταν. πομφόλυγος γὰρ ὑποπελίδνου γινομένης ἐπὶ τῆς γλώσσης, οἷα σιδηρίου βαφέντος εἰς ἔλαιον, ἢν μὲν ἐν ἀρχῇ γένοιτο τρηχεῖα, χαλεπωτέρη ἡ ἀπάλλαξις τῆς νούσου, καὶ ἀνάγκη αἷμα ἀποβῆξαι ἐν τῇσιν ἡμέρῃσιν, ἐν ᾗσι δεῖ. εἰ δὲ καὶ προκεχωρηκυίης τῆς νούσου γένοιτο, (112) αἱ μὲν κρίσιες ἐς τὴν τετάρτην καὶ δεκάτην ἡμέραν, ἀνάγκη δὲ πτύσαι αἷμα. ἔχει δὲ οὕτως περὶ τῆς ἀπαλλάξιος. εἰ μὲν τριταίῳ ἄρχοιτο πεπαίνεσθαι καὶ πτύεσθαι, θάττους αἱ ἀπαλλάξιες. εἰ δὲ ὕστερον πεπαίνοιτο, ὕστερον καὶ αἱ κρίσιες γίνονται. ὡς ἐν τοῖσι τῆς κεφαλῆς σημηΐοισι. τὰ δὲ ἀλγήματα τὰ ἐν ἁπάσῃσι τῇσι πλευρίτισιν ὡς ἐπιτοπουλὺ κουφίζει μεθ' ἡμέρην μᾶλλον ἢ νύκτωρ. θεραπεύειν δὲ χρὴ τὰς πλευρίτιδας οὕτως. τὰ μὲν πολλὰ ὡς τὴν φρενῖτιν καὶ περιπλευμονίην, πλὴν λουτροῖσι χρῆσθαι θερμοῖσι καὶ οἴνοισι γλυκέσιν. ἢν μὲν οὖν τῇ πρώτῃ ἢ τῇ ἐπιούσῃ λάβῃς τῆς ἐπιλήψιος, ἢν μὲν ὑπεληλύθῃ ἡ κόπρος καθαρὴ ἢ ἀτρέμα χολώδης καὶ ὀλίγη,

sum sit. Praeter autem commemorata signa in unoquoque morbo laterali haec in lingua spectare oportet. Bulla enim aliquantum livescente in lingua suborta, qualis ferro candente in oleum intincto fieri assolet, si quidem per initia aspera fuit, difficilior morbi liberatio contingit, et diebus quibus oportet, sanguinem tussi rejicere necesse est. Quod si progresso etiam morbo id contingat, judicationes quidem ad decimumquartum diem procedent, sed sanguinem exspuere necesse est. De morbi autem liberatione sic se res habet. Si tertio quidem die maturari et exspui coeperit, celeriores sunt liberationes. Si vero posterius matureſcat, posterius etiam judicationes contingunt, quemadmodum in signis capitis. In omnibus autem lateris morbis dolores fere interdiu potius quam noctu leviores esse solent. Curandi autem sunt morbi laterales hunc in modum, plerumque velut phrenitis et pulmonis inflammatio, praeter quam quod balneis calidis et vino dulci utendum. Si quidem igitur primo aut postero ab accessione die aegrum susceperis, si stercus quidem subiit purum aut leviter biliosum et pau-

Ed. Chart. VII. [591.] Foës. I. 494. Ed. Lind. II. (112. 113.)

ὑποκλύσαι θαψίῃ. ἢν δὲ κινηθεῖσα ἡ κοιλίη τὴν μὲν νύκτα χαλάσῃ, τῇ δὲ ὑστεραίῃ ὀδύνη καὶ στρόφος ἔχῃ, πάλιν ὑποκλύσαι. ἢν δὲ ὁ κάμνων χολώδης ἢ τῇ φύσει καὶ ληφθῇ τῇ νούσῳ ἀκάθαρτος ἐὼν, πρὶν ἀναπτύεσθαι τὸ σίαλον χολῶδες καὶ τῷ φαρμάκῳ καθῆραι χολὴν εὖ. ἐκπτύοντι δὲ ἤδη χολώδεα μὴ δίδου τὸ φάρμακον. ἢν γὰρ δῷς, τὸ πτύσμα οὐ δυνήσεται ἄνω ἀνιέναι, ἀλλ' ἑβδομαῖος ἢ ἐνναταῖος ἀποπνιγήσεται, ἢν μᾶλλον καὶ τὰ ὑποχόνδρια ἀλγέῃ. ἢν δὲ πρὸς τῇσι ἐν τῇσι πλευρῇσι ὀδύνῃσι καὶ τὰ ὑποχόνδρια ἀλγέῃ, ὑποκλύσαι δεῖ καὶ πιέειν δοῦναι νήστει ἀριστολοχίαν καὶ ὕσσωπον καὶ κύμινον καὶ σίλφιον καὶ μήκωνα λευκὴν καὶ ἄνθος χαλκοῦ καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ. πρὸς μὲν τὰ φάρμακα (113) οὕτω δεῖ ποιέεσθαι τὰς θεραπείας τὰς πρώτας. τὰ δ' ἄλλα ὧδε ἔχει. λούειν πολλῷ θερμῷ πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, πλὴν τῆς κεφαλῆς, καὶ ὁκόταν αἱ κρίσιες ὦσι, τὰ ὀδυνώμενα χλιαίνειν ὑγρῇσι πυρίῃσιν ὑπαλείφων ἐλαίῳ. ὁκόταν δὲ καταιγίζωσιν αἱ νοῦσοι, ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρὸν τῇσι θεραπείῃ-

cum, ex infuſo thapſiae alvus ſubluenda. Quod ſi alvus emota noctu quidem demittat, poſtero vero die dolore et torminibus detineatur, rurſus ſubluenda. Si vero aeger natura bilioſus fuerit, et minime purgatus morbo correptus ſit, prius quam bilioſum ſputum exſpuat medicamento etiam bilem probe purgato. Jam vero bilioſa exſpuenti medicamentum ne exhibueris. Si enim exhibueris, ſputum per ſuperiora prodire minime poterit, ſed ſeptimo aut nono die ſtrangulabitur, idque magis ſi praecordia doleant. At ſi ad laterum dolores etiam praecordiorum dolor acceſſerit, alvum ſubluere oportet et jejuno potui exhibere ariſtolochiam, hyſſopum, cuminum, laſerpitium, peplum album, aeris florem et mel ex aceto et aqua. At per medicamenta quidem primis diebus ad hunc modum procedere curatio debet. Reliqua vero ſic ſe habent. Calida multa virium aegri habita ratione, praeter quam caput, lavato, cumque judicationes procedent, partes dolentes humidis fomentis tepefacito et oleo ſublinito. Ubi vero cum impetu morbi irruunt, tum aegrum tum medicum a curationibus quie-

Ed. Chart. VII. [591. 592.] Foës. I. 494. 495. Ed. Lind. II. (113.)

σιν, ὅκως μὴ κατεργάσηταί τι κακόν. [592] πτισάνης δὲ χυλὸν κάτεφθον διδόναι, ὀλίγῳ παχύτερον μελιχροποιέων. μετὰ δὲ τὰ λουτρὰ καὶ οἶνον γλυκὺν καὶ ὑδαρέα προπίνειν, μὴ ψυχρὸν, ὀλίγον ἐκ βομβυλίου εὐρυστόμου, καὶ ὁκόταν βῆχες ἐπίωσιν, ἐπιπίνειν καὶ χρέμπτεσθαι ὡς μάλιστα, || καὶ τῷ ποτῷ ὑγραίνειν, ἵνα ὁ πλεύμων ὑγρότερος ἐὼν ῥᾷον καὶ θᾶσσον ἀποδιδῷ τὸ πτύσμα καὶ ἡ βὴξ ἧσσον πονέῃ, καὶ ῥοιῆς δὲ γλυκείης οἰνώδεος χυλὸν, γάλακτι αἰγείῳ ὀλίγῳ καὶ μέλιτι μιγνὺς, κατὰ μικρὸν πολλάκις δίδου. νύκτωρ τε καὶ μεθ' ἡμέρην καὶ ὕπνον ὡς μάλιστα διακωλύειν, ἵνα κάθαρσις γένηται θᾶσσόν τε καὶ πλεῖον. τὴν δὲ αἱματώδεα πλευρῖτιν θεραπεύειν χρὴ οὕτως. μετὰ δὲ τὰς κρίσιας ἀνακομίζειν σιτίοισι κούφοισι καὶ ἡσυχάζειν καὶ φυλάσσεσθαι περισσῶς, ἡλίους, ἀνέμους, πλησμονὰς, ὀξέα, ἁλυκὰ, λιπαρὰ, καπνὸν, φύσας τὰς ἐν τῇ κοιλίῃ, πόνους, λαγνείας. ἢν γὰρ ἡ νοῦσος ὑποτροπιάσῃ, θάνατος ἕψεται. ἐν δὲ τῇσι πτύσεσιν, ἢν ὀδύνη τε ἔχῃ καὶ μὴ δύνηται ἀποπτύειν, τήσει δίδου ἄνθος χαλκοῦ ὅσον κοτυλάδα, καὶ ὑποῦ σιλφίου τούτου

fcere oportet, ut ne quid mali comparetur. Ptifanae autem fuccus coctus exhibendus, paulo craffior admixto melle redditus. Poft balnea vinum dulce dilutum potui exhibendum, minime frigidum, paucum, ex anguftiori poculo. Cumque tuffes invaferint, fuperbibendum et quam maxime exfcreandum et potu humectandum, ut pulmo humidior redditus facilius ac citius fputum rejiciat et tuffis minus vexet. Et mali punici dulcis vinofi fuccum cum lacte caprino pauco et melle mixtum noctu et interdiu fenfim ac faepe exhibeto, fomnumque quam maxime prohibeto, quo celerior ac copiofior purgatio contingat. At morbum lateralem cruentum hoc modo curare oportet. Poft judicationes autem vires levibus cibis reficiendae et quiefcendum praecipueque vitandi foles, venti, plenitudines, acida, falfa, pinguia, fumus, ventris flatus, labor, venus. Si enim reverterit morbus, mors fequetur. Inter fpuendum vero fi dolor detinet, neque exfpuere poffit, jejuno aeris florem baccae oleaftri magnitudine, fucci laferis ejus dimi-

Ed. Chart. VII. [592.] Foës. I. 495. Ed. Lind. II. (113. 114.)
τὸ ἥμισυ καὶ τριφύλλου καρποῦ ὀλί(114)γον ἐν μέλιτι λείχειν ἢ πεπέρεος κόκκους πέντε καὶ ὀποῦ σιλφίου ὅσον κύαμον, καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ πίνειν χλιαρὸν νήστει δίδου. τοῦτο καὶ τὰς ὀδύνας παύει. ἢν δὲ μὴ δύνηται πτύειν κατὰ λόγον, ἀλλ' ἐνίσχηται ἐν αὐτῷ καὶ ῥέγχη ἐν τοῖσι στήθεσιν, ἄρου τοῦ μεγάλου ῥίζης χηραμίδα καὶ ἔλαιον σὺν μέλιτι μίξαι, ἐπιῤῥοφεῖν δὲ ὄξος κεκρημένον ἄλλο ἰσχυρόν. ἄνθος χαλκοῦ ὅσον κύαμον καὶ νίτρον ὀπτὸν διπλάσιον καὶ ὕσσωπον ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν μέλιτι μίξας καὶ ὕδωρ καὶ ἔλαιον μικρὸν ἐπιστάξας, χλιάνας ἐν χηραμίδι ἐγχέειν ἵνα μὴ ἀποπνιγῇ, καὶ ἐν περιπλευμονίῃ ἢν μὴ καθαίρηται τοῦτο δεῖ ποιέειν. ἢν δὲ μήτε ῥέγχη μήτε πτύῃ ὡς δεῖ, καππάριος καρποῦ ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν καὶ πέπερι καὶ νίτρον ὀλίγον καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ μίξας τοῦτο χλιαρὸν ἐπιῤῥοφεῖν. τὴν δὲ ἄλλην ἡμέρην ἐν ὄξει καὶ μέλιτι καὶ ὕδατι ἀναζέσας ἐπιῤῥοφεῖν. τοῦτο καὶ τοῖσι ῥέγχουσι διδόναι καὶ μὴ δυναμένοισι καθαίρεσθαι. εἰ δὲ ἰσχυρότερον βούλοιο ποιέειν, ὑσσώπου καὶ

dium, feminis trifolii parum, ex melle deligenda exhibeto. Aut piperis grana quinque et ſucci laſeris ſabae quantitatem, mel, acetum et aquam jejuno tepida propinato. Hoc etiam dolores ſedat. Quod ſi pro ratione ſpuere nequeat, ſed in ipſo ſputum retineatur et in pectore ſtertorem edat, radicis dracunculi magni concham majorem et oleum cum melle admiſceto, et acetum aqua temperatum inſuper ſorbendum dato. Aliud vehemens. Aëris florem ſabae quantitate, nitrum aſſatum dupla portione, hyſſopi quantum tribus digitis capitur, melle admixto, aqua et oleo inſtillato, paulatim per concham majorem, ne ſtranguletur, infundito. Quod etiam in pulmonis inflammatione ſi non purgetur faciendum. Si vero neque ſtertat neque, ut convenit, ſpuat, capparis ſemen quantum tribus digitis capitur, piper, nitri modicum cum melle, aceto et aqua admixta tepidum ſorbendum dato. Poſtridie vero id ex aceto, melle et aqua ſervefactum ſorbendum, quod et ſtertentibus et iis qui expurgari nequeunt exhibendum. At ſi valentius expetis,

Ed. Chart. VII. [592. 593.] Foës. I. 495. Ed. Lind. II. (114. 115.)
νάπυος καὶ καρδάμου κόγχην ἢ χηραμίδα τρίψας ἐν μέλιτι καὶ ὕδατι καὶ ἀναζέσας καὶ διηθήσας, ἐπιῤῥοφεῖν χλιαρὸν δίδου. οὕτω ταῦτα τὰ νουσήματα θεραπευθέντα ὑγιέα γίνονται, ἢν μήτι τοῦ πτύσματος ὑπολειφθὲν ἐν τῷ πλεύμονι πύος γένηται, ὑφ' οὗ βήσσουσι ξηρὰ βηχία, καὶ πῦρ καὶ φρίκη ἴσχει, καὶ ὀρθοπνοίη ἔχει, καὶ πυκνὸν καὶ ἀθρόον ἀναπνεῖ, καὶ ἡ (115) φωνὴ βαρυτέρη ὀλίγῳ, καὶ χροιὴ σὺν τῇ θέρμῃ τὸ πρόσωπον ἴσχει. προϊόντος δὲ τοῦ χρόνου μᾶλλον καὶ ἡ νοῦσος σάφα δηλοῦται. τοῦτον εἰ ἐντὸς τῶν δέκα ἡμερῶν λάβῃς, θερμήναντα χρὴ διαίτῃ καὶ λουτρῷ θερμῷ ἐγχέαι ἐς τὸν πλεύμονα ὅ τι πῦον ἄξει, καὶ τοῖσιν ἄλλοισι χρῆσθαι τοῖσι τὸ πῦον ἄγουσι καὶ διαιτᾶν ὧδε ὡς ἔμπυον, καὶ τὴν κεφαλὴν ἀποξηραίνειν, ἵνα μὴ ἐπιῤῥέῃ. ἢν δὲ τῷ ἐγχύτῳ μὴ ἀνάγηται τὸ πῦον, ῥήγνυται αὐτὸ ἐκ τοῦ πλεύμονος εἰς τὸν θώρηκα, καὶ μετὰ τὴν ῥῆξιν δοκέει ὑγιὴς εἶναι, ὅτι ἐκ τῆς στενοχωρίης εἰς τὴν εὐρυχωρίαν ἦλθε τὸ πῦον, [593] καὶ τὸ πνεῦμα ὃ ἀναπνέομεν ἕδρην ἔσχεν ἐν τῷ πλεύμονι. προϊόντος δὲ τοῦ χρόνου τὰ στήθεα πύου

hyſſopi, ſinapis et naſturtii quantum conchae teſta major capere poteſt, ex melle et aqua tritum, ferveſactum et colatum, tepidum ſorbendum praebeto. Ad hunc modum curati hi morbi ſanantur, niſi ſputi aliquid in pulmone relicti in pus vertatur, ex quo tuſſis ſicca excitatur, febris et horror detinet, ſpiritus erecta cervice trahitur, frequenti et conferta reſpiratione aeger affligitur, vox paulo gravior redditur et color cum calore vultum occupat. Procedente vero tempore etiam magis aperte hic morbus declaratur. Hunc ſi intra decimum diem curandum ſuſceperis, poſtquam victus ratione et balneo calido caleſaceris, per infuſum pus e pulmone educito et aliis quae pus ducant utitor, eamque victus rationem quae ſuppurato debetur inſtituto, et caput ne quid influat, reſiccato. At ſi per infuſum pus minime educatur, id ex pulmone in thoracem erumpit, poſtque ruptionem ſanus eſſe videtur, quod pus ex anguſto in ampliorem locum conceſſerit, et ſpiritus quem attrahimus in pulmone ſedem habeat. Sed progreſſu temporis pure pectus impletur, tuſ-

Ed. Chart. VII. [593.] Foës. I. 495. 496. Ed. Lind. II. (115. 116.) πληροῦνται καὶ βῆχες καὶ πυρετοὶ καὶ τἆλλα ἀλγήματα πάντα μᾶλλον πιέζει αὐτόν, καὶ ἡ νοῦσος διαδηλοῦται. τοῦτον μετὰ τὴν ἔκρηξιν ἐᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα, ὅκως πάλιν πεπανθῇ τὸ πῦον. ἅτε γὰρ εἰς εὐρυχωρίην ἐλθὸν τὸ πῦον, ἀνέψυχέ τε καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρακι προσηγάγετο πρὸς ἑωυτό, ὥστε αὐτὸ ἡμισαπὲς εἶναι. || ἢν μὲν οὖν αὐτόματον ἄρξηται πτύεσθαι ἐν τούτῳ τῷ χρόνῳ, ἢν μή, φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν, ἐν τῇσι τελευταίῃσιν ἡμέρῃσι τῶν ἡμερέων τῶν πεντεκαίδεκα, σπεύδειν ἀναστῆναι πρὶν μᾶλλον τρύχεσθαι τὸ σῶμα, φυλάσσων τὴν κεφαλὴν καθαρὴν τῶν ἐπιῤῥοῶν εἵνεκα. ἢν δὲ μὴ πτύηται, ἀποσημαίνηται δὲ ἐς τὰς πλευράς, ταμέειν ἢ καῦσαι. ἢν δὲ μήτε πτύηται μήτε ἀπο(116)σημαίνηται ἐς τὰς πλευράς, λούσας πολλῷ καὶ θερμῷ νῆστιν καὶ ἄποτον καθίσας ἐπὶ ἕδρης ἀκινήτου. ἕτερος δὲ τῶν ὤμων ἀναλαβέτω. αὐτὸς δὲ σεῖε τοῦτον, τὸ οὖς παραβάλλων ἐς τὰς πλευράς, ἵν' εἰδῇς ὁκοτέρωθεν ἀποσημαίνει. βούλου δὲ μᾶλλον πρὸς τὰ ἀριστερά.

ſes et febres aliique dolores omnes magis urgens, morbusque manifeſtus evadit. Hunc quindecim poſt eruptionem diebus ſinere convenit, pus uti rurſus matureſcat, cum nimirum in ampliorem locum pus veniens tum refrixerit tum adducto ad ſe eo quod in thorace erat humido, ipſum ſemiputridum eſſe neceſſe ſit. Per hoc tempus igitur ſi ſponte ſpuere incipiat, bene habet, ſin minus, medicamentis aut potionibus ſuccurrendum ultimis quindecim diebus, ad virium corporis refectionem, antequam magis attritum ſit, inſurgendo et caput ut purum ſit propter affluxionem curando. Si vero non ſpuatur, ſed ad latera ſui ſignificationem exhibeat, ſecato aut inurito. At ſi neque ſpuatur neque de ſe in coſtis ſignificationem praebeat, jejunum poſt copioſae calidae balneum et minime potum in ſella firma collocato cumque alter eum ex humeris apprehenderit, tu ipſe eum concutito aurem coſtis admovens, ut noſcas quanam ex parte ſui ſignificationem praebeat. Votum autem eſt, ut id ad ſiniſtra magis contingat, quod inuſtio aut ſectio in

Ed. Chart. VII. [593.] Foës. I. 496. Ed. Lind. II. (116.)
θανατωδέστερον γὰρ πρὸς τὰ δεξιὰ καίειν ἢ τάμνειν. ὁκόσῳ γὰρ αὐτὰ ἰσχυρότερά ἐστι τὰ δεξιὰ, τόσῳ καὶ τὰ νουσήματα ἐν αὐτοῖσιν ἰσχυρότερα δείκνυται. ἢν δὲ ὑπὸ πάχεος τὸ ὑγρὸν μὴ κλυδάζηται, μηδὲ ψόφος ᾖ ἐν τῷ στήθει, πυκνὸν δὲ ἕλκῃ τὸ πνεῦμα καὶ οἱ πόδες οἰδέωσι, καὶ βήχιόν τι προσῇ, μὴ ἐξαπατάτω, ἀλλ' εὖ ἴσθι πλήρη ἐόντα τὸν θώρηκα πύου. ἐς τὴν ἐρετρίδα γῆν ὑγρὴν καὶ λίην τετριμμένην καὶ χλιαρὴν ἐπιβάψας ὀθόνιον λεπτὸν, περικάλυψον κύκλῳ τὸν θώρηκα, καὶ ὅκου ἂν πρῶτον ξηραίνηται, ταύτῃ χρὴ τάμνειν ἢ καίειν ὡς ἐγγυτάτω τῶν φρενῶν, φυλασσόμενος αὐτῶν τῶν φρενῶν. ἢν δὲ βούλῃ ἀλείφων τῇ ἐρετριάδι, σκόπει ὁμοίως ὡς ἐν τῷ ὀθονίῳ. πολλοὶ δὲ ἅμα ἀλειφόντων, ἵνα μὴ τὰ πρῶτα ἀλειφόμενα ἀποξηραίνηται. μετὰ δὲ τὴν τομὴν ἢ τὴν καῦσιν τῷ μυτῷ ἐκ τοῦ ὠμολίνου χρῷ, καὶ ἐξίη κατ' ὀλίγον τὸ πῦον. ὁκόταν δὲ μέλλῃς τάμνειν ἢ καίειν, ὑποσημαίνου τὸ αὐτὸ σχῆμα ἔχοντα, ὅπερ ἂν, ὁκόταν μέλλῃς τάμνειν ἢ καίειν, ἵνα μὴ ἐξαπατήσῃ ἀνωτέρω γενόμενον ἢ κατωτέρω τὸ δέρμα, ἐν τῇ μεταβολῇ τοῦ σχήματος, καὶ τὰς

dextris mortem magis afferat. Quo enim dextra valentiora ſunt, eo in ipſis vehementiores morbi apparere ſolent. Quod ſi propter craſſitudinem humor non fluctuet neque ſtrepitus edatur in pectore, crebrum autem ſpiritum trahat, pedes intumeſcunt et tuſſicula quaedam vexat, ne decipiaris videto, ſed ſcito thoracem pure plenum eſſe. Linteo itaque tenui in rubrica liquida admodum trita et tepida intincto, thoracem in orbem obtegito, quaque parte primum reſiccatum fuerit, ea ſectionem aut uſtionem facere oportet, ut quam proxime ad ſeptum transverſum accedas, ea tamen adhibita cautione ne ipſum attingas. Quod ſi voles ubi rubricam illeveris, eadem velut in linteo ſpectato. Multi autem ſimul illinant, ne partes quae primum illinuntur reſiccentur. Poſt ſectionem vero aut uſtionem penicillo ex lino crudo utere et paulatim pus emittito. Cum vero ſecare aut inurere voles, nota impreſſa fac ut eandem figuram ſervent inter ſecandum aut urendum, ne te cutis figuram immutando ſurſum aut deorſum vergens decipiat. Tuſſes quo-

Ed. Chart. VII. [593. 594.] Foës. I. 496. Ed. Lind. II. (116. 117.) βῆχας φυλάσσειν ἐκ τῆς διαίτης, ὅκως μὴ (117) ἀντισπάσωσι πάλιν ἐς τὸν πλεύμονα τὸ πῦον, κακὸν γὰρ, ἀλλ' ἐᾶν κατὰ τὴν τομὴν ὡς τάχιστα ὑποξηραίνεσθαι. ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ, ἅπαν ἀφιέναι τὸ λοιπὸν πῦον καὶ ἀπὸ τοῦ ὀθονίου μοτοῦ, καὶ ἀφιέναι δὶς τῆς ἡμέρης τὸ πῦον, καὶ τὴν ἄνω κοιλίην ἐκ τῆς διαίτης ὡς μάλιστα ξηραίνειν. ὧδε χρὴ καὶ τὰς ἐκ τῶν τρωμάτων καὶ τὰς ἐκ τῆς περιπλευμονίης καὶ ἐκ καταῤῥοῶν μεγάλων ἐκπυήσιας καὶ προσπεσόντος τοῦ πλεύμονος τῇσι πλευρῇσι σκοπεῖν καὶ θεραπεύειν. [594] ψυκτήρια δὲ τάδε δίδου ἐπὶ τοῖσι καύσοισι πίνειν ὁκόταν βούλῃ. πολλὰ δὲ ἀπεργάζεται. τὰ μὲν γὰρ οὔρησιν ἐμποιέει, τὰ δὲ διαχώρησιν, τὰ δὲ ἄμφω, τὰ δὲ οὐδέτερα, ἀλλὰ ψύχει μοῦνον ὡς ἄγγος ὕδατος ζέον, ἤν τις ἐπιχέῃ ψυχρὸν ὕδωρ ἢ ψυχρῷ αὐτὸ τὸ ἄγγος πνεύματι προσαγάγῃ, δίδου δὲ ἄλλα ἄλλοισιν. οὔτε γὰρ τὰ γλυκέα πᾶσι συμφέρει. οὔτε τὰ στρυφνὰ οὔτε τὰ αὐτὰ πίνειν δύνανται. τοῦτο μὲν κηρίων ξηρῶν, ὅσον δύο κοτύλας βρέχων ὕδατι καὶ ἀνατρίβων γευέσθω, ἕως

que in victus ratione vitandae, ne rurſus in pulmonem, quod malum eſt, pus revellant, ſed ſinendum, ut ad ſectionem citiſſime reſiccetur. Poſteaquam vero duodecimum attigerit diem, pus reliquum totum emittito et penicillo ex linteo appoſito bis die pus educito, ſuperioremque ventrem victus ratione quam maxime reſiccato. Ad hunc modum ſuppurationes, quae tum ex vulneribus tum ex pulmonis inflammatione et ex magnis defluxionibus incumbente in latera pulmone contingunt, ſpectare et curare oportet. Has autem potiones refrigerantes febre ardente laborantibus cum voles exhibeto, quae multarum ſunt virium, aliae ſiquidem mictionem provocant, aliae alvi ſubductionem, aliae utrumque, aliae neutrum, aliae tantum refrigerant non ſecus ac ſi quis in vas aquae ferventis frigidam infundat, vel vento frigido vas ipſum exponat. Alia vero aliis exhibeto. Neque enim omnibus dulcia conferunt neque acerba neque eadem bibere poſſunt. Favorum ſiccorum heminas duas aqua maceratas et contritas dum aqua guſtu ſubdulcis red-

Ed. Chart. VII. [594.] Foës. I. 496. 497. Ed. Lind. II. (117. 118.) ἂν ὑπόγλυκυ γένηται. εἶτα διηθήσας, σέλινα ἐμβαλὼν, δίδου πίνειν. τοῦτο δὲ λίνου καρποῦ ὀξύβαφον, ὕδατος κοτύλας δέκα ἐπιχέας, ἕψειν ἐν καινῇ χύτρῃ ἐπὶ ἀνθράκων ἄζεστον, ἵνα ἀναπνέῃ ἕως ἂν ὁ χυλὸς ἁπτομένῳ λιπαρὸς γένηται. τοῦτο δὲ μελικρήτου ὑδαρέος καθεψήσας τὸ ἥμισυ λείπειν. ἔπειτα σέλινα ἐπιβάλλων, τοῦτο ψυχρὸν κατ' ὀλί(118)γον δίδου. τοῦτο δὲ κριθὰς ἀχιλληΐδας κοτύλην αὐήνας, ἄρας τὸν αἰθέρα καὶ πλύνας εὖ, ἐπιχέας ὕδατος χοέα ἕψει, καὶ τὸ ἥμισυ ἀπολείπων ψύχων δίδου πίνειν. || τοῦτο δὲ Αἰθιοπικοῦ κυμίνου κοτύλης δέκατον μέρος ἐπιχέας τρία ἡμιχόεα ἕψε πηλῷ τριχώδεϊ καταλείψας ἄζεστον, ἕως τρίτον μέρος λείπῃ, καὶ ψύχων δίδου τοῦτο πρὸς πάντα καῦσον καὶ λοιπὸν πυρετόν. τοῦτο δὲ ὕδωρ οὐράνιον αὐτὸ καθ' αὑτό. τοῦτο δὲ πτισάνης κοτύλη χοέα ὕδατος ἐπιχέας λείπειν τὸ ἥμισυ ἑψῶν. ἔπειτα διηθήσας σέλινα ἐπιβαλὼν δίδου ψυχρόν. τοῦτο δὲ οἱ σταφίδιοι λευκοὶ οἶνοι ὑδαρέες. τοῦτο δὲ τρύγες στεμφυλίτιδες σταφιδευταῖαι ὑδαρέες. τοῦτο δὲ ἄσταφυς λευ-

datur, deinde excolatas injecto apio bibendas dato. Seminis lini acetabulum aquae decem heminis affusis, in olla nova prunis impositā decoquito, igne depositum ut transpiret finito, quoad succus tactui pinguis evadat. Aquam mulsam aquosam ad dimidias decoquito, deinde apium injicito, hoc frigidum paulatim exhibeto. Hordeum achilleum, hoc est magnum et optimum reficcatum et dempto quod acutum est, ad heminae mensuram et bene lotum aquae congio affuso, ad dimidias coquito, refrigeratum potui exhibeto. Cumini Aethiopici heminae decimam partem tribus aquae semicongiis affusis decoquito, luto pilosō olla oblita ad tertias fervefactum et refrigeratum, hoc ad omnem febrem ardentem aliamque febrem exhibeto. Aqua etiam coelestis per se sola exhibita prodest. Ptisanae heminam, aquae congio affuso, ad dimidias coquito, deinde colatum injecto apio frigidum potui dato. Vina etiam alba ex uvis passis aquosa exhiberi possunt. Uvarum passarum feces vinaceae expressae dilutae ad idem valent. Uvae passae albae exemptis vinaceis hemi-

Ed. Chart. VII. [594.] Foës. I. 497. Ed. Lind. II. (118. 119.)

κὴ ἄνευ γιγάρτων κοτύλη, καὶ πενταφύλλου ῥιζίων χειροπληθῆ φλάσας, εἴκοσι κοτύλας ὕδατος ἐπιχέας ἀφεψήσας καὶ τὸ ἥμισυ λείπων, δίδου ψυχρὸν κατ' ὀλίγον. τοῦτο δὲ κρίμνων κριθέων ἀδρῶν ἡμιχοίνικα, ὕδατος χοέα ἐπιχέας, ὁκόταν ἤδη ἀνοιδέῃ τὰ κρίμνα, τρίβειν τῇσι χερσὶν ἕως ἂν λευκὸν τὸ ὕδωρ γένηται, καὶ ἀδιάντου δραχμίδα ἐμβαλὼν, ἀπαιθριάσας δίδου. τοῦτο δὲ ὠῶν τὸ λευκὸν τριῶν ἢ τεττάρων κατακυκῶν ἐν ὕδατος χοῒ πινέτω. τοῦτο δὲ ψύχει σφόδρα καὶ τὴν κοιλίην ὑπάγειν τὸν νοσέοντα προσκατακυκᾷ. τρῦτο δὲ ἡμιχοίνικον καχρίων εὖ ἀποπλύνας ἐν ὕδατος χοῒ, ζέσας δὶς ἢ τρὶς ψυχρὸν δίδου. τοῦτο δὲ πτισάνης χυλὸν κάθοπτον λευκὸν καὶ οἶνον γλυκὺν δίδου. τοῦτο οὐκ ἄγει. τοῦτο δὲ σικύου πέπονος ἄνευ τοῦ δέρματος πάλης, ἐφ' ὕδατι. τοῦτο οὐρέεται (119) καὶ ψύχει καὶ τὴν δίψαν παύει. τοῦτο δὲ ὀρόβους ἐν ὕδατι προεψήσας, εἶτα χύτραν καινὴν ἐν χύτρῃ μείζονι θεὶς πλέῃ ὕδατος, ἐπιχέας ἕτερον ὕδωρ τοῖσιν ὀρόβοισιν ἕψε ὀλίγον χρόνον. εἶτα ἀποχέας τὸ τρίτον μέρος, ἐπειδὰν κάθεφθοι ἔωσιν οἱ ὄροβοι, ψύξας δίδου.

nam, radicum pentaphylli manipulum contuſum affuſis aquae heminis viginti ad dimidias decoquito, frigidum paulatim exhibeto. Farinae hordei pleni craſſiores partes ad choenicem dimidiam, affuſo aquae congio, cum craſſiores farinae partes jam intumuerint, manibus terito quoad aqua alba reddita fuerit, et adianti pugillo injecto, nocturno ſereno expoſitum praebeto. Trium aut quatuor ovorum candidum in aquae congio ſubactum bibat. Hoc admodum refrigerat et aegrum ad alvum ſubducendam etiam concitat. Hordei torrefacti probe loti choenicem dimidiam in aquae congio bis aut ter ferveſactam frigidam exhibeto. Ptiſanae cremorem coctum tenuem et vinum dulce exhibeto. Hoc non movet. Cucumeris maturi ſine cortice pollinem ex aqua propinato. Hoc urinam movet, refrigerat, et ſitim ſedat. Ervum in aqua ante decoctum, deinde ollae novae in majore olla aqua plena impoſitum, alia ervo affuſa aqua parum coquito, poſtea effuſam tertiam partem, ubi ervum coctum fuerit, refrigeratum praebeto, ad cyathos ſingulos inſperſo

Ed. Chart. VII. [595.] Foës. I. 497. Ed. Lind. II. (119.)

[595] κατὰ κύαθον ἐπιπάσσων τῆς τοῦ σικύου πάλης, τὴν ἐκ τῶν ὀρόβων πάλην. τοῦτο δὲ βεβαίως δίψαν παύει. τοῦτο δὲ Θάσιον οἶνον παλαιὸν πέντε καὶ εἴκοσιν ὕδατος καὶ ἕνα οἴνου δίδου. τοῦτο δὲ τρίφυλλον τὸ σικυῶδες ἐν ὕδατι καὶ κρίμνα κριθέων βρέχων δίδου. τοῦτο δὲ σέλινα, ὅσον τρὶς τῇ χειρὶ περιλαβεῖν καὶ γλήχους δραχμίδας δύο ἑψῶν, ἐν ὄξους κοτύλῃσι δέκα ὡς τρίτον μέρος λείπῃς. τοῦτο μέλιτι καὶ ὕδατι κεραννὺς ὑδαρὲς πινέτω, ἀδιάντου δραχμίδα ἐμβάλλων. τοῦτο δὲ οὖρον ἄγει καὶ τὴν κοιλίην λύει. τοῦτο δὲ μῆλα εὐώδεα γλυκέα φλάσας καὶ ἐν ὕδατι ἀποβρέξας δίδου πίνειν τὸ ὕδωρ. τοῦτο δὲ μῆλα κυδώνια ὡσαύτως, ἢν ἡ κοιλίη λελυμένη ᾖ, ἐν πυρετῷ καυσώδεϊ. ἰκτέρου δὲ ἐπιλαβόντος, ἀστάφιδος λευκῆς ἄνευ γιγάρτων καὶ ἐρεβίνθων λευκῶν, ἡμικοτύλιον ἀμφοτέρων καὶ κριθέων ἀχιλληΐδων ἴσον καὶ κνίκου ἴσον. ὕδατος κοτύλας δέκα καὶ σέλινα καὶ μίνθην καὶ κορίανον ὀλίγον ἑκάστου ἀνατρίβειν, ἕως ἂν ῥέμα γλυκανθῇ, καὶ ἀδιάντου δραχμίδα ὕστερον ἐμβαλὼν, αἰθριήσας δίδου. τοῦτο δὲ καὶ τὰ τούτοισιν ὅμοια μιμέεσθαι. πάντα

cucumeris et ervi polline. Hoc indubitanter ſitim ſedat. Vinum Thaſium vetus, aquae quinque et viginti partibus ad unam vini partem admixtis, exhibeto. Triſolium, cucumeris pollinem, ex aqua in qua craſſiores hordeaceae farinae partes maduerint praebeto. Apii manipulos tres, pulegii pugillos duos, in aceti heminis decem ad tertias decoquito, hoc melle et aqua admixta aquoſum bibat, adianti pugillo injecto, quod urinam movet et alvum ſolvit. Mala odorata dulcia contuſa, aqua macerata aquam potui exhibeto. Mala cydonia eodem modo macerata, ſi alvus in febre ardente ſoluta fuerit. At ſi morbus regius inſuper invaſerit, uvae paſſae albae detractis vinaceis, ciceram alborum utrorumque heminam dimidiam, hordei Achillei tantundem, cnici tantundem, aquae heminae decem, apium, mentham, coriandrum, cujusque parum ſimul terito, quoad aqua leviter dealbeſcat, poſtremo adianti pugillo injecto, nocturno ſereno expoſitum exhibeto. His etiam ſimilia imitari poteris. Omnia

Ed. Chart. VII. [595. 596.] Foël. I. 497. 498. Ed. Lind. II. (119. 120.) δὲ τῷ πυρέσσοντι ἠθριασμένα δί(120)δου, πλὴν οἷσιν αἱ κοιλίαι μᾶλλον τοῦ δέοντος ῥέουσιν. τοῦτο δὲ γλήχους δραχμίδας τρεῖς, σελίνου διπλάσιον οἴνῳ κεκρημένῳ ἑψῶν δίδου. τοῦτο δὲ οὐρεῖται καὶ διὰ τῆς κοιλίης χολὴν ἄγει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΕΤΑΡΤΟΝ.

[596] || Τοῦ ἀνθρώπου ἐς τὴν γένεσιν ἀπὸ πάντων τῶν μελέων τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐλθὸν τὸ σπέρμα καὶ ἐς τὰς μήτρας τῆς γυναικὸς πεσὸν ἐπάγη. χρόνου δὲ γενομένου φύσις ἀνθρωποειδὴς ἐγένετο ἐξ αὐτέου. ἔχει δὲ καὶ ἡ γυνὴ καὶ ὁ ἀνὴρ τέσσαρας ἰδέας ὑγροῦ ἐν τῷ σώματι, ἀφ᾽ ὧν νοῦσοι γίνονται. ὁκόσα μὴ ἀπὸ βίης νουσήματα γίνονται. αὗται δὲ αἱ ἰδέαι εἰσὶ φλέγμα, αἷμα, χολὴ, καὶ ὕδρωψ, καὶ ἀπὸ τούτων ἐς τὸ σπέρμα οὐκ ἐλάχιστον οὐδὲ ἀσθενέστατον συνέρχεται, καὶ ἐπειδὴ τὸ ζῶον ἐγένετο κατὰ τὰς τοκῆας, τοσαύτας ἰδέας ὑγροῦ ὑγιηροῦ τε καὶ νοσεροῦ ἔχει ἐν ἑωυτῷ. ἀποφανέω δὲ ὁκόσα ἐν ἑκάστῃ τουτέων

autem nocturno ſereno expoſita febricitanti exhibeto, his exceptis quibus alvus plus aequo eſt fluida. Pulegii pugillos tres, apii duplum, vino aqua temperato decoquito et propinato. Hoc urinam movet bilemque per alvum educit.

HIPPOCRATIS DE MORBIS LIBER QVARTVS.

Semen ex omnibus tum viri tum mulieris membris ad hominis generationem veniens et in mulieris uterum illapſum concreſcit, ex eoque tempore accedente natura humanam formam referens procreatur. Habet autem tum mulier tum vir in corpore quatuor humidi formas, ex quibus morbi oriuntur, qui nulla vi contingunt. Hae vero ſunt pituita, ſanguis, bilis et aqua. Ex hisque non minima neque debiliſſima pars ad ſemen confertur. Et poſtquam animal ex parentibus procreatum eſt, tot humoris formas tum ſani tum morboſi in ſe continet. Quae vero ex unaquaque

Ed. Chart. VII. [596. 597.] Foël. I. 498. Ed. Lind. II. (120. 121.)
τῶν ἰδεῶν καὶ πλείω καὶ ἐλάσσω ἐν τῷ σώματι γίνεται, καὶ ὑπὸ τούτου νοσέουσι, καὶ ὅ τι αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσὶ, καὶ ὁκοῖα αὐτέων ἑκάστη ἐν τῷ σώματι ἐργασ[597]μένη τὴν νοῦσον ἐπάγει, καὶ ὑπὸ τὸ αὐτὸ ῥῖγος πυρετῶ(121)δες γίνεται, καὶ διά τί τὸ πῦρ ἐπιπίπτει μετ' αὐτό. ἐθέλω δὲ ἀποφῆναι πρῶτον, πῶς ἡ χολὴ καὶ τὸ αἷμα καὶ ὁ ὖδρωψ καὶ τὸ φλέγμα πλείονα καὶ ἐλάσσοα γίνεται, ἀπὸ τῶν βρωμάτων καὶ τῶν πομάτων τρόπῳ τοιῷδε. ἡ κοιλίη τῷ σώματι πάντων πηγή ἐστι πλέη ἐοῦσα. κενεὴ δὲ γενομένη ἐπαυρίσκεται ἀπὸ τοῦ σώματος τηκομένου. εἰσὶ δὲ καὶ ἄλλαι πηγαὶ τέσσαρες, ἀφ' ὧν χωρέει τούτων ἕκαστον ἐς τὸ σῶμα. ἐπὴν οὖν αὗται ἀπὸ τῆς κοιλίης λάβωσι, καὶ αὗται ἐπὴν κενῶνται, ἀπὸ τοῦ σώματος ἐπαυρίσκονται. ἕλκει δὲ καὶ αὐτὸ τὸ σῶμα, ἐπὴν ἡ κοιλίη τι ἔχῃ ἐν ἑωυτῇ. τῷ μὲν δὴ αἵματι ἡ καρδίη πηγή ἐστι. τῷ δὲ φλέγματι ἡ κεφαλή. τῷ δὲ ὕδατι ὁ σπλήν. τῇ δὲ χολῇ τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι. αὗται αἱ τέσσαρες τουτέοισιν εἰσὶ πηγαὶ ἄνευ τῆς κοιλίης. ἀπὸ τούτων δὲ εἰοὶ

forma tum plura tum pauciora in corpore contingunt aperiam, et ex quo aegrotant, quodque morbi diebus imparibus judicantur, et quaenam sunt morborum principia, et quaenam horum singula in corpore faciunt et morbum adducunt, ex quo etiam rigor ipse febrilis contingit, quamque ob causam post eum febris succedit. Ac primum quidem quanam ratione bilis, sanguis, aqua et pituita ex cibariis et potibus copiosiora et pauciora oriantur, demonstrare volo hoc modo. Ventriculus ubi plenus existit, omnium in corpore fons est, vacuus vero ex corpore tabescente haurit. Sunt autem etiam quatuor alii fontes, ex quibus horum quisque in corpus procedit. Postquam igitur hi fontes ex ventriculo acceperint, ipsique vacuati fuerint, ex corpore hauriunt. Trahit quoque ipsum corpus, cum quid in se ventriculus habuerit. Sanguinis quidem certe fons est cor, pituitae caput, aquae lien, bilis locus in jecore. Atque hi sunt quatuor istorum humorum fontes, praeter ventriculum. Ex his maximas habent

Ed. Chart. VII. [597.] Foëſ. I. 498. Ed. Lind. II. (121. 122.) κοιλόιαται ἡ κεφαλὴ καὶ ὁ σπλήν. εὐρυχωρίη γὰρ ἐν αὐτῷ πλείστη ἐστίν. ἀλλὰ περὶ τούτου ὀλίγον ὕστερον ἀποφανέω κάλλιον. ἔχει δὲ καὶ τότε οὕτως. ἐν τοῖσι βρωτοῖσι καὶ τοῖσι ποτοῖσιν ἔνεστι πᾶσι καὶ χολώδεός τι καὶ ὑδρωποειδέος καὶ αἱματώδεος καὶ φλεγματώδεος, τῇ μὲν πλέον, τῇ δὲ ἔλασσον. διότι καὶ διαφέρει τὰ ἐσθιόμενα καὶ πινόμενα ἀλλήλων ἐς τὴν ὑγείην. καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται. ἐπὴν δὲ φάγῃ ἢ πίῃ ὁ ἄνθρωπος, ἕλκει τὸ σῶμα ἐς ἑωυτὸ ἐκ τῆς κοιλίης τῆς ἰκμάδος τῆς εἰρημένης, καὶ αἱ πηγαὶ ἕλκουσι διὰ τῶν φλεβῶν ἀπὸ τῆς κοιλίης, ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, καὶ διαδίδωσι τῷ σώματι, ὥσπερ ἐπὶ τῶν φυτῶν ἕλκει ἀπὸ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην. ἔχει γὰρ (122) ὧδε ἡ γῆ ἐν ἑωυτῇ δυνάμιας παντοίας καὶ ἀναρίθμους. ὁκόσα γὰρ ἐν αὐτῇ φύεται, πᾶσιν ἰκμάδα παρέχει ὁμοίην ἑκάστῳ. οἷον καὶ αὐτὸ τὸ φυόμενον αὐτῷ ὁμοίην κατὰ ξυγγενὲς ἔχει, καὶ ἕλκει ἕκαστον ἀπὸ τῆς γῆς τροφήν, οἷόν περ καὶ αὐτό ἐστι. τό τε γὰρ ῥόδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστὶ, καὶ τὸ σκόροδον ἕλκει ἀπὸ τῆς

cavitates caput et lien. In eo enim ampliſſimus locus eſt. Sed de hoc paulo poſt melius differam. Sic autem ſe res habet. In his omnibus quae eduntur aut bibuntur, biliosi aliquid et aquoſi et ſanguinis et pituitoſi ineſt, plus minusve in hoc vel illo. Quam ob cauſam quae comeduntur et bibuntur ad valetudinem inter ſe differunt. Atque haec quidem hactenus. Cum quis comederit aut biberit, corpus ad ſe ex ventriculo commemoratam humiditatem attrahit et fontes per venas de ventriculo trahunt, ſimilis humiditas ſimilem et in corpus diſtribuunt, non ſecus ac in plantis ſimilis humiditas ex terra ſimilem attrahit. Sic enim in ſe varias et innumeras terra facultates habet. His namque omnibus quae in ipſa producuntur cuique ſimilem humiditatem praebet, velut et id quod producitur ſibi cognatione ſimilem habet, et trahit unumquodque ex terra alimentum, quale ſane ipſum eſt. Nam et roſa talem ex terra humiditatem trahit, qualis et ipſa facultate eſt, et allium talem ex terra humiditatem

Ed. Chart. VII. [597. 598.] Foël. I. 498. 499. Ed. Lind. II. (122.)
γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστὶ, καὶ τἄλλα πάντα τὰ φυόμενα || ἕλκει ἐκ τῆς γῆς καθ' ἑωυτὸ ἕκασιον. εἰ γὰρ μὴ τοῦτο οὕτως εἶχεν, οὐκ ἂν ἐγένετο τὰ φυόμενα ὅμοια τοῖσι σπέρμασιν. ὅτῳ δὲ τῶν φυομένων ἐν τῇ γῇ ἰκμὰς κατὰ συγγένειαν τοῦ δέοντος πολλῷ πλέων ἐστὶ, νοσέει ἐκεῖνο τὸ φυτόν· ὅτῳ δὲ ἐλάσσων τοῦ καιροῦ, ἐκεῖνο αὐαίνεται. ἢν δὲ ἐξ ἀρχῆς μὴ ἐνῇ ἰκμὰς τῷ φυτῷ, ἣν ἕλκει κατὰ τὸ συγγενὲς, οὐδ' ἂν βλαστῆσαι δύναιτο. παρέχει δὲ νοηθῆναι ὅτι, εἰ μὴ ἔχει ἰκμάδα κατὰ φύσιν τὸ φυτὸν, οὐ βλαστάνει τὴν ἀρχήν. ἡ γὰρ Ἰωνίη χώρη καὶ καὶ ἡ Πελοπόννησος τοῦ ἡλίου τῶν ὡρέων οὐχ ἥκιστα καίεται, ὥστε δύνασθαι ἐξαρκεῖν τοῖσι φυομένοισι τὸν ἥλιον. ἀλλ' ὅμως οὐ [598] δυνατὸν πολλῶν ἤδη πειραζομένων οὔτε ἐν Ἰωνίῃ οὔτε ἐν Πελοποννήσῳ σίλφιον φῦσαι. ἐν δὲ τῇ Λιβύῃ αὐτόματον φύεται. οὐ γάρ ἐστιν οὔτε ἐν Ἰωνίῃ οὔτε ἐν Πελοποννήσῳ ἰκμὰς τοιαύτη, ὥστε τρέφειν αὐτό. ὅτι δὲ πολλὰ καὶ ἄλλα, ὅσα τοῦ ἡλίου ἐξαρκέοντος αἱ χῶραι οὐ δύνανται τῶν θεραπευμάτων τρέφειν, ἄλλαι δὲ φύουσιν αὐτόμαται,

trahit, quale etiam ipſum facultate exiſtit, reliquaque omnia quae producuntur unumquodque e terra quod ſibi cognatum eſt trahunt. Quod niſi ita eſſet, quae producuntur ſuis ſeminibus non eſſent ſimilia. Cum vero quod ex terra naſcitur plus habet cognati humoris quam conveniat, id ipſum aegrotat, quod vero juſto minus habet, illud marceſcit. Ac niſi quod producitur ab initio habuerit, quem ſibi humorem cognatum attrahat, ne ſuccreſcere quidem poterit. Quod vero id quod producitur pullulare ab initio nequeat, niſi humorem ſecundum naturam habeat, id inde intelligitur, quod Ionia et Peloponneſus regio eſt, quae pro anni temporibus non minimum a ſole uritur, ita ut ſol iis quae e terra naſcuntur ſatis eſſe poſſit, neque tamen fieri poteſt, etſi multi jam tentarint, ut in Ionia aut Peloponneſo laſer producatur, cum in Libya ſponte producatur. Neque enim in Ionia neque in Peloponneſo eſt ejusmodi humor, qui ipſum nutriat. Quod vero multa etiam alia medicamenta regiones, etiamſi ſol ſufficiat, alere non poſſint, aliae vero ſponte producant,

Ed. Chart. VII. [598.] Foës. I. 499. Ed. Lind. II. (123.)

παρέχει καὶ τοῦ(123)το σκέψασθαι ὃ μέλλω ἐρέειν, ὁκόσον χῶρος χώρου κάρτα πλησιάζων διαφέρει ἐς τὴν ἡδυοινίην τοῦ ἡλίου ὁμοίως ἐξαρκέοντος. ἔνθα μὲν γὰρ τῆς γῆς ἰκμάς ἐστιν ἥτις τὸν οἶνον ἡδὺν παρέξει, ἔνθα δὲ οὔ. ἔστι δὲ καὶ ἄγρια φυόμενα ἐν χωρίῳ οὐκ ὀλίγα. μεταρθέντα δὲ ὁκόσον ὀργυιὴν, οὐκ ἂν εὕρῃς ἔτι φυόμενα. οὐ γὰρ ἔχει ἡ γῆ μεταρθέντι τοιαύτην ἰκμάδα οἵην τοῖσιν ἀγρίοισι φυτοῖσιν ἐκείνη παρέσχεν. ἔστι γὰρ αὐτοῖσι τὰ μὲν ἰωδέστερα, τὰ δὲ ὑγρότερα, τὰ δὲ γλυκύτερα, τὰ δὲ ξηρότερα, τὰ δὲ τρηχύτερα. ἄλλα δὲ μυρία ἄλλως ἔχει. μυρίαι γὰρ ἐν αὐτῇ δυνάμιες εἰσὶ, καὶ διὰ ταῦτα τὰ γένεα ἐκ τῆς γῆς πρῶτον οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιον ἔφυ, ὅτι μὴ συγγενές. ἄγρια δέ μοι δοκέει ταῦτα πάντα εἶναι. ἄνθρωποι δὲ ταῦτα ἡμέρωσαν ἐργαζόμενοι καρποφορέειν κατὰ τὸ σπέρμα ἕκαστον. ἕλκει γὰρ ἐκ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, καὶ τούτοισιν αὔξεται καὶ τρέφεται, καὶ οὐδὲν ἕτεραν ἑτέρῳ ὅμοιόν ἐστι τῶν φυομένων, οὔτε ἴσην οὔτε ὁμοίην ἐκ τῆς γῆς ἰκμάδα ἕλκον. ἕλκει δὲ

id quod dicturus ſum conſiderandum praebet, quantum locus loco etiam valde vicino ad vini ſuavitatem praeſtet, quamvis ſol aequaliter ſufficiat, cum in hoc terrae humor ſit qui vinum ſuave exhibeat, in illo vero minime. Sunt quoque agreſtia non pauca in loco naſcentia, quae ad ulnae ſpatium translata non amplius produci comperias. Neque enim terra ejusmodi humorem translato accommodatum habet, qualem illa agreſtibus plantis ſuppeditabat. In his enim ſunt quaedam magis virulenta, quaedam magis humida, quaedam dulciora, ſicciora quaedam, aſperiora etiam quaedam, aliaque ſexcenta aliter ſe habent. Innumerae enim ſunt in ea facultates. Ac propter ejusmodi genera primum nihil ex terra alteri ſimile producitur, quod cognationem non habeat. Ac mihi ſane haec omnia agreſtia eſſe videntur. Verum ea homines cultura mitia reddiderunt, effeceruntque ut quidque ſuo ſemini ſimilem fructum ferret. Humor enim ſimilis ſimilem ex terra trahit, ex eoque increſcit et nutritur et ex iis quae ex terra producuntur alterum alteri ſimile nihil eſt, neque aequalem neque ſimilem humorem attrahit.

Ed. Chart. VII. [598.] Foës. I. 499. Ed. Lind. II. (123. 124.)
ἕκαστον τῶν φυομένων βρωτῶν τε καὶ ποτῶν ἐν ἑωυτῷ πολλὰς δυνάμιας ἀπὸ τῆς γῆς. ἐν παντὶ δέ ἐστί τι φλεγματώδεος καὶ αἱματώδεος. ἀνάγκην οὖν τῷδε προσηγαγόμην, ὅτι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν ἐς τὴν κοιλίην χωρεόντων, ἕλκει τὸ σῶμα αὐτὰς πηγὰς ὡς ὠνόμασα ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην διὰ φλεβῶν. (124) σημήϊον δὲ ἀποφανέω ἕτερον τόδε, ὅτι ἕλκει ἕκαστον κατὰ τὰ εἰρημένα, καὶ ἁμα φράσω, ὅθεν τὸ φλέγμα γίνεται ἐν τῷ σώματι. ἐπήν τις φάγῃ τυρὸν ἢ ὅ τι ἐστὶ δριμύ, ἢ ἄλλο τι φάγῃ ἢ πίῃ, ὅ τι ἐστί φλεγματῶδες, αὐτίκα οἱ ἐπιθέει ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας, καὶ τοῦτο οὕτως γινόμενον πάντες ἑωρῶμεν. τοῦτο δὲ χρὴ ἐλπίσαι, ὅθεν ἐγὼ ἐρέω. φημὶ δὲ ὁκόσον ἐν τῷ βρώματι ἢ πόματι φλεγματῶδες εἰῇ, κείνου ἐς τὴν κοιλίην ἐλθόντος τὸ μὲν σῶμα ἕλκει ἐς ἑωυτό, τὸ δὲ ἡ κεφαλὴ κοίλη ἐοῦσα, καὶ ὥσπερ σικύη ἐπικειμένη ἕλκει τὸ φλέγμα, ἅτε γλίσχρον ἐόν. ἕπεται δὲ τούτῳ τὸ ἕτερον διὰ τοῦ ἑτέρου ἐς τὴν κεφαλήν. τὸ μὲν νέον φλέγμα τὸ γεννώμενον ἐκ βρώματος μένει ἐν τῇ κεφαλῇ, τὸ δὲ παλαιὸν, ὁκόσῳ πλεῖον τὸ νέον, ὑπ᾽

Eorum autem ſingula quae ad cibos aut potiones e terra producuntur multas ad ſe e terra facultates trahunt, et in quoque aliquid pituitoſi et ſanguinei ineſt. Hac igitur ex neceſſitate adductus ſum, quod de cibis ac potibus qui in ventriculum veniant corpus ad fontes nominatos trahit, ſimilis humor ſimilem per venas. Quod vero unumquodque per praedicta trahat, hoc aliud proferam argumentum, ſimulque aperiam unde pituita in corpore gignatur. Cum quis caſeum aut aliquid acre comederit, aut aliud quid pituitoſum ederit aut biberit, confeſtim ei ad os et nares accurrit. Quod omnes ita contingere cernimus, idque ex eo quod referam credere oportet. Aſſevero autem quod quicquid in cibo aut potu pituitoſum ineſt, id ubi in ventriculum venerit, partim corpus ad ſe trahit, partim vero caput, quod cavum exiſtit. Quod velut cucurbita corpori incumbens pituitam attrahit, quae cum viſcoſa ſit, hanc alia ex alia ad caput ſequitur. Et quae quidem recens pituita ex cibo gignitur, in capite manet, vetus autem

Ed. Chart. VII. [598. 599.] Foël. I. 499. 500. Ed. Lind. II. (124. 125.)
ἐκείνου βιώμενον ἐξέρχεται, καὶ διὰ τοῦτο ἐπήν τις φάγῃ ἢ πίῃ ὅ τι φλεγματῶδες, ἀποχρέμπτεται φλέγμα, ἔχει δὲ καὶ τόδε οὕτως, || ἢν φαγόντος τι ἢ πιόντος τοῦ ἀνθρώπου ὅ τι ἐστὶ φλεγματῶδες, μὴ ἐξέλθοι πάλιν ἐν ὅσῳ πλέον [599] ἐγένετο μήτε κατὰ τὸ στόμα μήτε κατὰ τὰς ῥῖνας, ἀνάγκη ἐστὶ μένειν αὐτὸ ἐν τῇ κεφαλῇ, ἢ ἐς τὸ σῶμα κατελθεῖν ἀπὸ τῆς κεφαλῆς καὶ ἐς τὴν κοιλίην ἀφικέσθαι. καὶ ἄριστον ἂν συμβαίη, εἰ ἐς τὴν κοιλίην ἀφίκοιτο· ἐξέλθοι γὰρ ἂν σὺν τῇ κόπρῳ. εἰ μὲν πολλὸν εἴη καὶ ὑγρὸν, ὑγρήνειε τὴν κόπρον· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειεν. εἰ δὲ ἐν τῇ κεφαλῇ μείνειε, πολλὸν ἂν πόνον παράσχοι τῇ κεφαλῇ, ἐν τῇσι φλεψὶν ἐόν. εἰ δὲ ὀλίγον, (125) οὐκ ἂν ποιήσειε τοῦτο. ἐπισημήνοι δ' ἂν ἢ πλέον ἢ ἔλασσον. ἢν δὲ ἐς τὸ σῶμα ἀφίκηται, κεῖσέ οἱ μέμικται τῇ ἄλλῃ ἰκμάδι. κἢν μὲν πολλὸν ἔῃ τὸ φλέγμα, ἐσάσειεν ἐς τὸ σῶμα αὐτίκα. ἢν δὲ ὀλίγον, οὐκ ἂν ἐσάσειεν, ἅτε μέγα τὸ σῶμα ἐὸν, εἰ μή τις οἱ ἀρχὴ ὑπολείποιτο καὶ ἄλλη. χρόνῳ δὲ ἢν μὲν ἕτερον ἐπιγέ-

a recente, cum ſit copioſior, vi illata expellitur. Eamque ob cauſam ubi quis aliquid pituitoſum ederit aut biberit, pituitam excreat. Habet autem haec ſe res ad hunc modum. Cum quis quid pituitoſum ederit aut biberit, ſi quod copioſum exiſtit rurſus non exeat neque per os neque per nares, id in capite manere, vel ex capite in corpus deferri et ventriculum petere neceſſe eſt, et ad ventriculum pervenire. Et optime quidem ceſſerit, ſi ad ventriculum perveniat: cum ſtercore enim exierit. Siquidem copioſum et humidum fuerit et ſtercus humidum reddiderit. Si vero paucum fuerit, id non fecerit. Quod ſi in capite permanſerit, multum dolorem capiti exhibuerit, cum in venis fuerit; paucum vero id non fecerit. Copioſum autem aut paucum ſui ſignificationem exhibet. At vero ſi ad corpus deveniat, illic cum alio humore permiſcetur, et ſi quidem copioſa pituita fuerit, confeſtim corpus gravarit, ſi vero pauca, non utique gravarit, cum nimirum corpus magnum ſit, niſi aliud ei principium relinquatur. Succedente vero tempore, ſi quidem altera

Ed. Chart. VII. [599.] Foëſ. I. 500. Ed. Lind. II. (125.)

γηται φλέγμα, σινοίατο ἄν. ἢν δὲ τὸ σῶμα τῇ κύστει καὶ τῇ κοιλίῃ διαφέρει, καὶ ταῦτα ἔξω διοίσῃ, οὐδὲν ἂν κακὸν ἐξ αὐτέου σχοίη. ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ ἀποπέφανται ὅκως ἡ κεφαλὴ ἐκ τῆς κοιλίης φλέγμα ἕλκῃ. τό τε ὅμοιον ἔρχεται πρὸς τὸ ὅμοιον, καὶ ἅμα εἴρηταί μοι ὅκως τε καὶ διότι πλεῖον γίνεται ἀνθρώπῳ ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν. νῦν δὲ ἐρέω περὶ χολῆς, ὅκως τε καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκῃ τὸ χωρίον αὐτέην, τὸ ἐπὶ τοῦ ἥπατος. ἔχει δὲ οὕτως. ἐπὴν φάγῃ καὶ πίῃ ὁ ἄνθρωπος ὅ τι ἐστὶ πικρὸν καὶ ἄλλως χολῶδες καὶ κοῦφον, πλείων καὶ ἡ χολὴ γίνεται ἐπὶ τῷ ἥπατι, καὶ αὐτίκα ἀλγέει τὸ ἧπαρ, ὅπερ οἱ παῖδες καρδίην καλέουσι, καὶ τοῦτο εἰσείδομεν γινόμενον, καὶ ἐμφανὲς ἡμῖν ἐστιν ὅτι ἀπὸ τοῦ βρώματος ἢ τοῦ ποτοῦ ἐγίνετο. ἕλκει μὲν γὰρ τὸ σῶμα εἰς ἑωυτὸ ἀπὸ τῶν βρωμάτων τὴν πᾶσαν ἰκμάδα τὴν εἰρημένην. ἕλκει δὲ καὶ τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι ἐς ἑωυτὸ ὅ τι ἂν αὐτόθι οἱ χολῶδες ἐνῇ, καὶ ἢν ἐξαπίνης πολλὴ γένηται ἡ χολὴ, ὀδυνᾶται τὸ ἧπαρ ὁ ἄνθρωπος καὶ ἀπὸ τῆς ηδύος

pituita acceſſerit, laedat utique. Quod ſi corpus ad veſicam et ventriculum transmittat et haec foras deferant, nihil ex ea mali habuerit. In hac igitur oratione demonſtratum eſt, quomodo caput ex ventriculo pituitam trahat, et ſimile ad ſimile veniat ſimulque a me commemoratum eſt, quomodo et quam ob cauſam copioſior pituita in homine ex cibis et potibus gignitur. Nunc vero de bile dicendum, quomodo et quam ob cauſam copioſior in homine gignatur, et quomodo locus ejus qui eſt in hepate, ipſam trahat. Ad hunc quidem modum ſe res habet. Cum quis aliquid amarum aut alioqui bilioſum et leve comederit aut biberit, tum copioſior bilis in hepate gignitur, tum confeſtim hepar dolet, quod pueri cor vocant, idque fieri cernimus et ex cibo ac potu contingere nobis apertum eſt. Siquidem omnem commemoratum humorem ex cibis corpus ad ſe attrahit. Locus autem qui eſt in hepate quicquid illic bilioſi ineſt ad ſe trahit. Et ſi derepente copioſa bilis extiterit, hepar homini dolet et

Ed. Chart. VII. [599. 600.] Foës. I. 500. Ed. Lind. II. (125. 126.)
πλέον γίνεται. τούτου γὰρ γινομένου ἔρχεται ἀπὸ τῆς παλαιῆς χολῆς διὰ τὴν πληθὺν ἐς τὴν κοιλίην, καὶ στρόφος ἐκ τούτου (126) τῇ κοιλίῃ γίνεται, καὶ ἐξέρχεται αὐτέης τὸ μὲν κατὰ τὴν κύστιν, τὸ δὲ κατὰ τὴν κοιλίην, καὶ οὕτως ἐλάχιστον ἐς τὸν ἄνθρωπον γίνεται, καὶ παύονται οἱ πόνοι. ἢν δὲ τούτων μηδ' ἕτερον γένηται, χωρέει τὸ πρῶτον ἀπὸ τῆς παλαιῆς ἐς τὸ σῶμα. διαδίδοται γὰρ ἐς αὐτό. κἢν μὲν πουλὺ ἔῃ, αὐτίκα ἐπισημαίνει μιχθεῖσα τῷ ἄλλῳ ὑγρῷ. ἢν δὲ ὀλίγη, οὐκ ἂν ἐσάσειεν, ἅτε μέγα τὸ σῶμα ἐὸν, ἢν μή τις καὶ ἄλλη ἀρχὴ ὑπογένηται. χρόνῳ δὲ ἢν μὲν ἑτέρη χολὴ ἐπιγένηται, πλείω σίνεται τὸν ἄνθρωπον. ἢν δὲ μὴ ἐπιγένηται, διηθήσειεν ἂν τὸ σῶμα, ὥστε τὴν χολὴν προϊέναι. ἄσσα δέ ἐστι χολώδεα, ἕτερα γὰρ τῶν ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φάρμακά ἐστιν, οὕτω δὴ καὶ τὰ ἄλλα ὁκόσα σινεόμενα φάρμακά ἐστιν, ὑφ' ἑτέρου ἕτερον ἐσπεσὸν ἐς τὴν κοι[600]λίην τῇ ἑωυτοῦ δυνάμει, αἰτίην ἔχον τὸ κρατηθὲν ἔξω καὶ σινέεται τοῦτο. ἐπὴν δὲ ἐπιγένηται ἄλλη χολὴ ἐν τῷ σώματι

copiosa ex ventre gignitur. Hoc enim si contingit, vetus bilis propter multitudinem ad ventriculum fertur, et inde tormina in ventriculo oriuntur, et ipsius pars quaedam per vesicam quidem, pars vero per ventrem foras procedit, sicque pauciſſima in homine exiſtit et dolores ceſſant. Si vero horum neutrum contingat, primum vetus bilis in corpus procedit, siquidem in ipsum transmittitur, et si copiosa fuerit, conſeſtim reliquo humori permixta de se significationem exhibet, sin pauca, minime utique gravarit, nimirum si corpus magnum sit, nisi aliquod aliud principium suboriatur. At succeſſu temporis, si quidem altera bilis acceſſerit, plurimum hominem laedit. Quod si minime acceſſerit, eam corpus percolaverit, ita ut bilem et quaecunque biliosa sunt demittat. Quae enim eduntur et bibuntur, alia aliorum sunt medicamenta. Ita sane etiam quae laedunt medicamenta, ubi aliud ex alio in ventriculum illapsum est, sua facultate causam habet, ut id quod superatum est foras expellat, ipsumque laedat. Ubi vero ex his quae in ventriculum illabuntur, alia bilis corpori

Ed. Chart. VII. [600.] Foës. I. 500. 501. Ed. Lind. II. (126. 127.)
ἀπὸ τῶν ἐς τὴν κοιλίην πιπτόντων, νόσος ἐντεῦθεν γίνεται. ἐν τούτῳ δὲ ἐγὼ ἐπεσήμηνον, ὅκως ἡ χολὴ καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν, καὶ ὅτι ἕλκει ἐς ἑωυτὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι κατὰ τὸ ὅμοιον τὸ χολῶδες ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν. νῦν δὲ ἐρέω περὶ ὕδρωπος, ὥστε καὶ διὰ τί πλείων γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκῃ ὁ σπλὴν ἐς ἑωυτόν. || φημὶ δὲ ἐπὴν ὁ ἄνθρωπος πίνῃ πλέον, ἕλκειν ἐς ἑωυτὸν ἐκ τῆς κοιλίης τοῦ ὕδατος καὶ τὸ σῶμα καὶ τὸν σπλῆνα, καὶ ἢν πλεῖον εἰρύσῃ τοῦ καιροῦ πονέειν αὐτίκα τὸν ἄνθρωπον, καὶ (127) τοῦτο ἐσαΐουσι γινόμενον ὁκόσοι σπληνώδεες τῶν ἀνθρώπων εἰσίν. ἐπὴν δὲ εἰρύσῃ ὁ σπλὴν, ἄριστα μὲν, εἰ ἐν τῇ κύστει διηθείη ἀπὸ τοῦ ὕδατος τὸ παλαιὸν τοῦ ἐνεόντος ἐν τῷ σπληνὶ ἢ τῇ κοιλίῃ, καὶ ταῦτα ἐκδιηθείσειε. κατὰ τὰ ἄνω γὰρ χωρία οὐκ ἀποκαθαίρεται τὸ ὕδωρ ἀπὸ τοῦ σπληνὸς, ἢν μὴ ὁκόσον δὴ ἐν τοῖς ἀγγείοις ἐνεόν ἐστι τοῖσιν ἀπὸ τοῦ σπληνός· ἀλλ' οἷα ἐστὶν ἀποκάθαρσις ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν. ἢν δὲ ταῦτα μὴ εὔροα ᾖ, μηδὲ διηθῇ ἔξω, ἀπὸ τοῦ σπληνὸς ἔρχεται τὸ ὕδωρ ἐς τὰ κάτω. κεῖθι δὲ

accesserit, inde morbus oritur. Hoc ego loco demonstravi, cur bilis et quam ob causam ex cibariis aut potibus copiosior oriatur, quodque locus hepatis, quod biliosum est, quia simile ex his quae comeduntur et bibuntur ad se attrahat. Nunc vero de aqua mihi dicendum est, qua ratione quamque ob causam copiosior in corpore oritur, et quomodo eam ad se lien attrahit. Assevero autem quod ubi quis amplius biberit, corpus et lien aquam ex ventriculo ad se attrahunt, et si plus aequo traxerint, confestim hominem laborare, idque ita contingere sentiunt quicunque lienosi sunt. At ubi lien traxerit, optime quidem cesserit, si vetus aqua quae in liene aut ventriculo inest, ad vesicam percoletur, et illinc veluti per colum effundatur. Neque enim per superiora loca aqua de liene expurgatur, nisi certe quantum in vasis inest, quae a liene procedunt, sed in ventriculum et vesicam repurgatio fieri potest. Haec autem nisi fluida fuerint et foras percolentur, aqua de liene ad inferiores partes fertur, illic-

Ed. Chart. VII. [600. 601.] Foës. I. 501. Ed. Lind. II. (127. 128.)
μίσγεται τῇ ἄλλῃ ἰκμάδι. κὴν μὲν ὀλίγον ἔῃ, οὐκ ἂν ἐσάσειεν, ἀλλὰ διηθείη ἂν ἀπὸ τοῦ σώματος ἐς τὴν κοιλίην διὰ φλεβῶν. εἰσὶ γὰρ ἐκ τούτου κατατείνουσαι πολλαὶ, αἳ ἕλκουσιν ἐς ἑωυτὰς ἐκ τῶν κάτωθεν χωρίων, ἐπὴν ξηρότεραι γίνωνται ἢ πρὶν ἦσαν. ἢν δὲ γίνεται ἕτερον ὕδωρ καὶ ἡ κοιλίη καὶ ἡ κύστις μὴ διηθῇ ἔξω, ἀείρεται ὁ σπλὴν, καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα γίνεται. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὸ ὕδωρ πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τοῦ ποτοῦ, καὶ ὅκως ὁ σπλὴν ἕλκει. νῦν δὲ ἐρέω περὶ αἵματος ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι. ἐπήν τι πίῃ ἢ φάγῃ ὁ ἄνθρωπος, ὅ τι ἐστὶν αἱματῶδες, ἕλκει μὲν καὶ τὸ σῶμα ἅπαν ἐς ἑωυτό, ἕλκει δὲ καὶ ἡ καρδίη τὸ αἱματῶδες ἐς ἑωυτήν, καὶ ἐπὴν πλέον εἰρύσῃ, οὐ γίνεταί οἱ τῇ καρδίῃ πόνος. στερεὸν γάρ τι χρῆμα καὶ πυκνόν ἐστιν ἡ καρδίη, καὶ διὰ τοῦτο οὐ πονέει, καὶ ἐξ αὐτῆς παχεῖαι φλέβες τείνουσιν αἱ σφάγιαι (128) καλεόμεναι, ἐς ἃς ταχέως, ἢν πλεῖον προσγένηται, διαδίδοται τὸ αἱματῶδες, καὶ πιμπλάμεναι κεῖναι τῇ κεφαλῇ καὶ τῷ [601] σώματι διδόασιν

que reliquo humori commiſcetur. Et ſi quidem pauca fuerit, minime utique gravarit, ſed de corpore ad veſicam et ventriculum per venas percolabitur, multae enim ex eo deferuntur, quae ubi ſicciores quam antea fuerint, ad ſe ex inferioribus partibus trahunt. Quod ſi altera aqua oriatur, neque ventriculus neque veſica foras percolet, lien attollitur et inferiores corporis partes dolore affliguntur. Iſtaque a me dicta ſunt, quomodo et quam ob cauſam aqua copioſior ex potu in corpore oriatur et quanam ratione lien trahat. Nunc vero quomodo et quam ob cauſam ſanguis copioſior in corpore gignatur dicendum eſt. Cum quis quid ſanguineum biberit aut comederit, id totum quidem ad ſe corpus trahit. Trahit autem etiam cor ad ſe quod ſanguineum eſt, neque ubi copioſius attraxerit, cor afficitur. Cor enim cum ſit ſolida quaedam res et denſa, eam ob cauſam minime dolore affligitur, ex eoque venae craſſae, jugulares dictae, feruntur, in quas quod ſanguineum eſt confeſtim transmittitur, ſi copioſius acceſſerit, illaeque impletae capiti et corpori cele-

Ed. Chart. VII. [601.] Foës. I. 501. Ed. Lind. II. (128.)

ἐν τάχει, καὶ ἐπήν τι φάγῃ ἢ πίῃ, ὅ τι ἐστὶν αἱματῶδες, αὐτίκα αἱ σφάγιαι φλέβες ἀείρονται, καὶ τὸ πρόσωπον ἐρεύθει. προσγενομένου δὲ τῇ καρδίῃ καὶ τῷ σώματι τοῦ αἵματος πλείονος τοῦ ἱκανοῦ ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν καὶ μισγομένου τῷ ἄλλῳ ὑγρῷ, ἢν μὴ ἀπ' αὐτοῦ ἐξέθη κατα τὴν κοιλίην ἢ κατὰ τὴν κύστιν, μισγὲν τῇ ἄλλῃ ἰκμάδι ἐν τῷ σώματι πόνον παρέχει. ἢν δὲ ὀλίγον προσγένηται, οὐκ ἐσάσειεν ἂν τὸ σῶμα. χρόνῳ δὲ διαδίδοται ἀπ' αὐτοῦ ἐς τὴν κοιλίην ἢ κατὰ τὰς ῥῖνας. τὰ δὲ διηθέει ἔξω καὶ ἀσινέες γίνονται. ἢν δὲ ἐξ ὀλίγου πλέον γένηται, ἐπίνοσον γίνεται. ὅκως δὲ πλέον τὸ αἷμα γίνεται, ἡρμήνευταί μοι. τέσσαρα ἐόντα τό τε αἷμα καὶ ἡ χολὴ καὶ τὸ φλέγμα καὶ ὁ ὕδρωψ, ἀποπέφανται ταῦτα πάντα ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν. ὅτι δὲ γίνεται ἀπὸ τούτων, σημεῖον τόδε ἐστίν. εἰ ἄνθρωπος ὀλίγα ἐσθίει καὶ ὀλίγα πίνει, οὐδεμίαν τοίτῳ νοῦσον ἐπάγει, καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. παρέψαυσται δέ μοι δηλῶσαι τῷ συνετῷ καὶ ὅκως ταῦτα ἐλάσσονα γίνεται. δήλωσω

riter diſtribuunt. Cumque quid ſanguineum comederit aut biberit, conſeſtim jugulares venae extolluntur et facies rubet. Cordi autem et corpori ubi ex cibis ac potibus plus aequo ſufficiens ſanguis acceſſerit, reliquoque humori ammixtus fuerit, niſi per ventrem aut veſicam reliquo humori permixtus exierit, corpori dolorem exhibet. At ſi paucus accedat, utique corpus minime gravarit, procedente vero tempore ab ipſo ad ventriculum aut ad nares transmittitur, quae foras excolant, nihilque laedunt. Si vero paulatim copioſior evadat, morboſus redditur. Quanam autem ratione copioſior ſanguis gignitur, a me eſt expoſitum, cumque quatuor in corpore exiſtant, ſanguis, bilis, pituita et aqua, haec omnia quomodo quamque ob cauſam ex cibis et potibus copioſiora gignerentur, a me eſt demonſtratum. Quod vero ex his gignantur, hoc conſtat argumento, quod ſi quis pauca edat et pauca bibat, nullum ei morbum adfert. Atque de his quidem hactenus. In quo etiam intelligenti a me demonſtratum eſt, quomodo haec pauciora fierent, quod et melius

Ed. Chart. VII. [601.] Foës. I. 501. 502. Ed. Lind. II. (128. 129.)
δὲ περὶ αὐτοῦ κάλλιον ὀλίγῳ ὕστερον. τὰς δὲ πηγὰς ἃς ὠνόμασα αὗται τῷ σώματι, ὁκόταν πλήρεες ἔωσιν, ἀεὶ ἐπιδιδόασιν. ὁκόταν δὲ κεναὶ περιίστανται ἀπ' αὐτοῦ. οὕτω δὲ καὶ ἡ κοιλίη ποιέει. ἔχει γὰρ οὕτως ὥσπερ εἴ τις εἰς χαλκεῖα τρία καὶ πλείονα ὕδωρ (129) ἐγχέας καὶ συνθεὶς ὡς ἐπὶ ὁμαλωτάτου χωρίου καὶ συναρμόσας ὡς κάλλιστα διαθείη αὐλοὺς ἐναρμόσας ἐς τὰ τρυπήματα, καὶ ἐγχέῃ ἡσυχῇ ἐς ἓν τῶν χαλκείων ὕδωρ μέχρις οὗ πλησθῇ ἀπὸ τοῦ ὕδατος πάντα. ἀπὸ γὰρ τοῦ ἑνὸς ῥεύσεται ἐς τὰ λοιπὰ χαλκεῖα μέχρις ὅτου καὶ τὰ ἄλλα πλησθῇ. ἐπὴν δὲ πλήρεα γένηται τὰ χαλκεῖα, || ἤν τις ἀπὸ τοῦ ἑνὸς ἀπαρύσῃ τοῦ ὕδατος, ἀνταποδώσειεν ὀπίσω ῥέον τὸ ὕδωρ εἰς τὸ χαλκεῖον, καὶ κενεὰ ἔσται τὰ χαλκεῖα πάλιν ὥσπερ καὶ ἐδέξατο. οὕτω δὴ καὶ ἐν τῷ σώματι ἔχει. ἐπὴν γὰρ ἐς κοιλίην πέσῃ τὰ βρώματα καὶ τὰ ποτά, ἐπαυρίσκεται τὸ σῶμα ἀπὸ τῆς κοιλίας καὶ πληροῦται σὺν τῇσι πηγῇσιν. ἐπὴν δὲ ἡ κοιλίη κενῶται, ἀποδίδοται αὖθις ὀπίσω ἡ ἰκμάς, ὥσπερ καὶ ἐπεδέξατο ὡς ἐκ τῶν ἄλλων ἐς τὸ ἓν χαλκεῖον. φλέβες τε γάρ εἰσι διὰ παντὸς τοῦ σώματος

paulo poſt declarabo. Quos vero appellavi fontes, ii cum pleni fuerint, ſemper in corpus transmittunt, cum vero vacui ab ipſo undique obſidentur. Sic etiam et ventriculus facit, habetque ſe res ad hunc modum, velut ſi quis affuſa in tria aut plura vaſa aenea aqua ea quam pleniſſimo loco ſtatuat et quam optime coaptata diſponat, conjunctis ad foramina fiſtulis, ſenſimque in unum vas aquam, donec omnia impleta fuerint, affundat. Ex uno enim in reliqua vaſa defluet, quoad caetera etiam impleta fuerint. Plenis vero vaſis, ſi quis ex uno aquam exhauriat, viciſſim contra refluat aqua in vas aeneum et rurſus aqua ex vaſis vacuabitur, quemadmodum eam exceperunt. Ita ſane et in corpore ſe res habet. Ubi enim cibi et potus in ventriculum deciderint, corpus ex ventriculo haurit, ſimulque cum fontibus expletur. At ubi ventriculus vacuatur, rurſus retro humor redditur, quemadmodum etiam acceperat, non ſecus ac ex aliis vaſis in unum vas. Venae enim multae et crebrae, aliae quidem tenuiores, aliae craſſiores per totum corpus feruntur. Hae,

Ed. Chart. VII. [601. 602.] Foës. I. 502. Ed. Lind. II. (129. 130.)
τείνουσαι, αἱ μὲν λεπτότεραι. αἱ δὲ παχύτεραι πολλαὶ καὶ πυκναί. αὗται δὲ μέχρις οὗ ἂν ζώῃ ὁ ἄνθρωπος ἀνεώγασι καὶ δέχονται καὶ ἀφιᾶσί τε καὶ νέον ὑγρόν. ἐπὴν δὲ ἀποθάνῃ, συμμύουσι καὶ γίνονται λεπταί. μέχρι μὲν οὖν ζώῃ ὁ ἄνθρωπος, ἐπαυρίσκεται μὲν τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐπήν τι ἔχῃ ἐν ἑωυτῇ. ἐπαυρίσκονται δὲ αἱ πηγαὶ καὶ πιμπλάμεναι διαδιδόασι τῷ σώματι. εἰ γὰρ τὸ σῶμα μὴ ἕλκῃ ἀπὸ τῆς ἰκμάδος τῆς κοιλίης, ἀλλ' αἱ πηγαὶ μόναι [602] καὶ ἐς τὸ σῶμα μὴ ἐδίδοσαν, οὐκ ἂν εἶχε τὸ σῶμα τροφὴν ἀρκέουσαν, ἀλλὰ ἐλάσσονα. οὐ γὰρ ἂν ἔτι εἶχον τῷ σώματι τὴν τροφὴν διεκδιδοῦσαι πηγαί. αἱ δὲ πηγαὶ αὗται εἰ μὴ ἦσαν, ἐσθίοντες ἂν καὶ πίνοντες οὐκ ἂν διεγινώσκομεν ἀτρεκέως, οὔτε ὅ(130)τι ἡδύ ἐστιν οὔτε ὅ τι ἀηδές, κατὰ ἀνάγκην τοιήνδε ἣν μέλλω ἐρέειν. ταῦτα τὰ χωρία ἅτε μικρότερα ἐόντα καὶ ἔνδοθεν τοῦ ἄλλου σώματος, ἀεὶ καὶ πρὸ τοῦ ἐσάσαι ἕκαστον κατὰ τὴν ἑωυτοῦ δύναμιν ἑρμηνεύει τῷ ἄλλῳ σώματι τῶν ἐσθιομένων καὶ πινομένων ὅ τί τε χολῶδες ἐστὶ καὶ ὅ τι φλεγματῶδες καὶ ὅ τι αἱματῶδες καὶ ὅ τι ὑδρωποειδές. τούτων γὰρ ἡμῖν ὅ τι ἂν ἑκάστου πλεῖον τοῦ καιροῦ

quamdiu homo vivit, apertae ſunt et novum humorem excipiunt et emittunt. Eo mortuo connivent et extenuantur. Quoad igitur homo vivit, corpus quidem ex ventriculo ſi quid in ſe habuerit, haurit, hauriunt et fontes et expleti corpori transmittunt. Niſi enim corpus humiditatem ex ventriculo attraheret, ſed ſoli fontes, neque ad corpus transmitterent, non utique ſufficiens haberet corpus alimentum, ſed parcius. Neque enim alimentum amplius haberent, quod in corpus fontes diſtribuerent. Ac niſi fontes iſti adeſſent, dum comedimus aut bibimus, non utique certo dignoſceremus quod in cibo et potu ſuave eſſet aut inſuave, hac neceſſitate quam dicam coacti. Haec nimirum loca cum parva ſint et intra reliquum corpus collocata, prius quam unumquodque impleatur ſua ipſius facultate reliquo corpori ſemper denunciat, quid ex his quae comeduntur et bibuntur bilioſum, pituitoſum, ſanguineum et aquoſum ſit. Ex his enim ſingulis, quicquid in cibo et potu plus juſto adfuerit,

Ed. Chart. VII. [602.] Foës. I. 502. Ed. Lind. II. (130. 131.)

γίνεται καὶ ἐν τοῖσι ποτοῖσι καὶ ἐν τοῖσι βρωτοῖσιν, κεῖνα οὐδὲ ἡδέα γίνεται. ὅσσα δὲ χαρίζει μάλιστα, κατὰ ταῦτα κεῖνα ἡδέα ἐστίν. ἢν δὲ βρωτῶν καὶ ποτῶν ἐνδεήσεται τῶν πηγέων τὶς, κατὰ τοῦτο καὶ τὸ σῶμα ἕλκύσει ἀπ' αὐτέων τέως καὶ τὸ ὑγρὸν ἔλασσον τοῦ καιροῦ γένηται, τότε ἱμείρεται ἄνθρωπος ἢ φαγέειν ἢ πιέειν τοιοῦτον, ὅ τι τὴν μοίρην ἐκείνην ἐπιπλήσει καὶ ἰσώσει τῇσιν ἄλλῃσι, καὶ διὰ τοῦτο βεβρωκότες πολλὰ ἢ πεπωκότες, ἔστιν ὅ τι ἱμειρόμεθα ἢ βρωτοῦ ἢ ποτοῦ, καὶ ἄλλο οὐδὲν ἂν ἡδέως φάγομεν, εἰ μὴ ὅ τι ἱμειρόμεθα. ἐπὴν δὲ φάγωμεν καὶ ἰσωθῇ ἡ ἰκμὰς κατὰ ταῦτα ἀνυστιὰ ἐν τῇσι πηγῇσι καὶ ἐν τῷ σώματι, τότε οἱ πέπαυται ὁ ἵμερος. καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. ἔχει δὲ καὶ τόδε. ὅτι ἐς μὲν τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν ἀποκρίνεται ἡ χολὴ μόνον. τὰ γὰρ φλέβια ἀσθενέα καὶ λεπτὰ ὑπάρχοντα οὐ δύνανται ἕλκειν τὴν ἄλλην ἰκμάδα παχυτέρην καὶ βαρυτέρην ἐοῦσαν, καὶ ἅμα εὐρυχωρίη οὐκ ἔστι τῇ ἄλλῃ ἰκμάδι, ὥστε ἐν τούτῳ τῷ χωρίῳ εἶναι. σύνηθές τε ἐσὶ τῇ χολῇ τοῦτο τὸ χωρίον κατὰ φύσιν (131) μάλιστα, καὶ διὰ τοῦτο ἐν αὐτῷ οὐδεμία νοῦ-

illos nobis inſuaves reddit, quae vero maximum ſui deſiderium faciunt, ea ratione ſuavia ſunt. Quod ſi ex fontibus aliquis cibo aut potu indigeat, ea ratione etiam corpus ab his attrahet, donec humor juſto paucior evadat, tuncque quis comedere aut bibere deſiderat quod portionem illam expleat et reliquis aequalem faciat. Eamque ob cauſam cum multum edimus aut bibimus, interdum cibum aut potum appetimus, nihilque ſuavius ſumimus, quam quod appetimus. Ubi vero cibum ſumpſerimus, humorque quoad ejus fieri potuerit in fontibus et corpore adaequatus fuerit, tunc in eo appetentia ſedatur. Ac de his quidem hactenus. Quod vero in loco quidem qui eſt in hepate ex cibis et potionibus ſola bilis ſecernitur, ita etiam ſe res habet. Venulae enim cum debiles et tenues exiſtant, alium humorem craſſiorem et graviorem attrahere nequeunt, ſimulque ea non eſt loci capacitas, ut ibi alius humor conſiſtat, hicque locus bili natura maxime familiaris eſt. Proptereaque nullus in eo alius oritur

Ed. Chart. VII. [602. 603.] Foës. I. 502. 503. Ed. Lind. II. (131.)

σος γίνεται ἄλλη ἢ ἥντινα καρδιωγμὸν οἱ ἄνθρωποι καλέουσιν. ἡ δὲ κεφαλὴ καὶ ἡ καρδίη καὶ ὁ σπλὴν μετέχουσι τῆς ἰκμάδος πάσης. ἕκαστον, ἢν μή τι νοσέῃ, μετέχει πλείστων κατὰ φύσιν τὴν ἑωυτοῦ τῶν εἰρημένων. ἡ μὲν κεφαλὴ τοῦ φλέγματος, ἡ δὲ καρδίη τοῦ αἵματος, ὁ δὲ σπλὴν τοῦ ὕδατος. ἕλκουσι δὲ καὶ τῆς ἄλλης ἰκμάδος αἱ φλέβες ἐς ἑωυτάς, εὐρεῖαι καὶ παχεῖαι καὶ ἑλικοειδέες ἐοῦσαι. ὥστ' ἐπὴν ἕλκωσιν, ἕπεσθαι ἕτερον ἑτέρῳ τῆς ἄλλης ἰκμάδος, καὶ τῇ μὲν καρδίῃ πλησιάζουσιν αἱ σφάγιαι φλέβες, παχεῖαι οὖσαι, ἐς ἃς διαδίδοται ταχέως, ἐπὴν οἱ πλεῖον τοῦ καιροῦ προσγένηται. αἱ δὲ τῷ ἄλλῳ σώματι ἐκδιδόασι, καὶ ἅμα αὐτὴ ἡ καρδίη στερεὴ καὶ πυκνή ἐστιν, ὥστε μὴ νοσέειν ὑπὸ τῆς ἰκμάδος, || καὶ τοῦτο νόσημα ἐν τῇ καρδίῃ οὐδὲν γίνεται. ἡ δὲ κεφαλὴ [603] καὶ ὁ σπλὴν μάλιστα ἐπίνοσά ἐστι. νοσέει γὰρ καὶ ἀπὸ τῶν φύσει ἐόντων, ὅταν πλείονα προσγένηται τοῦ καιροῦ. νοσέει δὲ καὶ ἀπὸ τῆς ἄλλης ἰκμάδος. φλέβες γὰρ ἐς αὐτὰ παχεῖαί τε καὶ πολλαί εἰσι, καὶ αὐτὰ φλεβώδεα κάρτα ἐστὶ καὶ ἔγκοιλα, ὥστε εὐρυχωρίην καὶ τῇ ἄλλῃ ἰκμάδι ἐν αὐτῇσιν εἶναι, χωρεούσῃ κατ' ὀλίγον καὶ μισ-

morbus, nisi quem καρδιωγμὸν, hoc est cordis morsum, vocant. At vero caput, cor et lien omnis humoris participes sunt. Unumquodque, nisi aegrotet, plurimum ejus qui cuique natura inesse dictus est, particeps fit, caput quidem pituitae, cor sanguinis, lien aquae. Venae etiam amplae et crassae et clavicularum in modum intortae ad se alium humorem attrahunt, ita ut ubi traxerint alium alius sequatur. Et cordi quidem vicinae sunt jugulares venae crassae, in quas si quid ei plus justo accesserit celeriter distribuitur, hae vero reliquo corpori transmittunt, simulque cor ipsum solidum et densum existit adeo ut ab humore affligi nequeat, ideoque nullus in corde morbus suboriatur. Caput autem et lien morbis maxime sunt obnoxia. Afficiuntur enim ab his quae natura insunt, cum plus justo accesserint, afficiuntur quoque et ab aliis humoribus. Venas enim crassas et multas in se habent, cumque admodum venosa sint et cava, amplam capacitatem alteri excipiendo humori exhibent, qui sensim

Ed. Chart. VII. [603.] Foes. I. 503. Ed. Lind. II. (131. 132.)
γομένη τῇ φύσει ἐούσῃ, ὥσπερ ἐν ἀγγείῳ μεγάλῳ εὐρυχωρίη ἐστὶ πολλὴ ἢ ἐν μικρῷ. οὕτω δὲ καὶ ἐν τῇ κεφαλῇ ἢ ἐν σπληνὶ ἔχει. εὐρυχωρίη γὰρ τούτων τῶν χωρίων μάλιστα ἐν αὐτοῖσιν ἐστί. ἢν δὲ πλησθῶσιν ἰκμάδος αἱ φλέβες αὐτόθι, ἀπ' ἐκείνης ἐν αὐτοῖσι νοῦ(132)σος γίνεται. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται νῦν. ἐθέλω δὲ ἀποφῆναι κάλλιον, ὅκως ἑκάστη ταύτης τῆς ἰκμάδος ἐν τῷ σώματι ἐλάσσων γίνεται. τέσσαρα μὲν δὴ ὑγρὰ ἐόντα ἀπέδειξα τὸν ἄνθρωπον σινεόμενα· τέσσαρας δέ σφι πηγὰς λέγω εἶναι, ἧσιν ἀποκαθαίρεται ὁ ἄνθρωπος τούτων ἕκαστον. ταῦτα δέ ἐστι τό τε στόμα καὶ αἱ ῥῖνες καὶ ὁ ὀρχὸς καὶ ἡ οὐρήθρη, καὶ ἐπήν τις πλείων γένηται τῆς ἰκμάδος τῆς πονεούσης, ἢν ἀποκαθαίρηται ὁ ἄνθρωπος ταύτῃ, οὐδεμία μιν νοῦσος πιέζει ἀπὸ ταύτης, καὶ ἢν ἡ κοιλίη πλήρης ᾖ, τηκομένου τοῦ σώματος ἀπὸ τῆς ἰκμάδος καταῤῥέει ἐς αὐτὴν καὶ ἔξω ἔρχεται κατά τι τῶν χωρίων τούτων, καὶ διὰ ταῦτα τὸ ὑγρὸν ἔλασσον γίνεται ἐν τῷ σώματι. τὸ γὰρ σῶμα ὥσπερ μοι καὶ πρότερον εἴρηται, τῇ κοιλίῃ ἐπιδιδοῖ, ἐπὴν κενὴ ἔῃ, καὶ ἐπαυρίσκεται, ἐπὴν

ad ea procedit, et ei qui a natura ineſt permiſcetur. At quemadmodum in magno vaſe amplior eſt capacitas quam in parvo, ſic et in capite et liene ſe res habet. In his enim praecipue horum locorum ampla eſt cavitas. Quod ſi iſthic humore venae expletae fuerint, in his ab eo morbus oritur. Atque de his nunc hactenus. Quomodo autem horum humorum quisque in corpore parcior gignatur, melius demonſtrare volo. Quatuor equidem eſſe humores homini noxios demonſtravi, quatuor etiam ipſorum eſſe fontes aſſevero, per quos eorum unumquemque homo repurget, iique ſunt os, nares, podex et urinae fiſtula. Et ubi copioſior aliquis humor moleſtus fuerit, ſi per hanc viam homo repurgetur, nullus inde eum morbus vexat. Ac ſi ventriculus plenus fuerit, tabeſcente corporis humore, ad eum defluit et per aliquem ex his locis extra fertur, ideoque parcior in corpore humor gignitur. Corpus enim, quemadmodum a me antea dictum eſt, ventriculo, ubi vacuus fuerit, diſtribuit, et ex eo haurit,

Ed. Chart. VII. [603.] Foël. I. 503. Ed. Lind. II. (132. 133.)
πλήρης ἔῃ ἀπ' αὐτῆς. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι ἐλάσσονα γίνηται τὰ πονέοντα τὸν ἄνθρωπον. ὅκως δὲ καὶ διά τί ὁ ἄνθρωπος ὑγιαίνῃ, ἐρῶ. ἐπὴν φάγῃ καὶ πίῃ καὶ ἀφίκηται ἡ ἰκμὰς ἐς τὸ σῶμα, τρύπῳ ὥσπερ εἴρηται μιγεῖσα καὶ τῇ ἄλλῃ καὶ τῇ ἐν τῷ σώματι καὶ τῇ ἐν τῇ πηγῇ ἐούσῃ, τῇ μὲν ἡμέρῃ ἡ προσγένηται μένει ἐν τῷ σώματι, τῇ δὲ ὑστεραίῃ ἄλλη οἱ ἰκμὰς προσγίνεται. αὗται δύο μὲν ἡμέραι εἰσί. δύο δὲ ἰκμάδες ἐν τῷ σώματι. τῇ μὲν ἑτέρῃ τῶν ἰκμάδων δύο ἡμέραι εἰσὶ, τῇ δὲ ἑτέρῃ μία. ἡ μὲν δὴ ὑστεραίη μένει ἐν τῷ σώματι ἅτε παχεῖα ἐοῦσα, ἡ δὲ ἑτέρη περιθεῖσα ὑπὸ τῆς θέρμης διακέχυται, καὶ λεπτὴ γενομένη (133) παραγίνεται ἐν τῇ ὑστεραίῃ ἡμέρῃ εἰς τὴν κοιλίην, διὰ παντὸς τοῦ χρόνου ἐξωθευμένη ὑπὸ τῆς νέης. ἐλθοῦσα δὲ ἐς τὴν κοιλίην πέσσει τὰ σιτία ἐν τῷ τόπῳ, καὶ ποιεῖ τὸ αἷμα ἀπ' αὐτῆς ἐν τῷ σώματι. μείνασα δὲ ἐγένετο ὑπὸ τοῦ χρόνου κάκοδμος. τῇ δὲ τρίτῃ ἡμέρῃ ἐξέρχεται σὺν τῇ κόπρῳ καὶ τῷ οὔρῳ, πλῆθος αὐτῇ ἑωυτῇ πάσῃ ἴσῃ τε καὶ παραπλησίῃ καὶ ἰσοζύγιος. καὶ ἢν ἑωυτῆς μέρος τι εἴῃ,

ubi plenus fuerit. Atque haec dicta sint, quomodo et quare humores homini molesti pauciores fiant. Quomodo autem et quam ob causam homo sanus degat, mihi dicendum. Ubi comederit et biberit, humorque ad corpus pervenerit, quo dictum est modo alteri permixtus, tum ei qui in corpore, tum ei qui in fonte est eo quidem quo accessit die in corpore manet, postridie vero ei alius humor accedit. Atque hi quidem duo dies sunt et duo in corpore humores. Humorum quidem alteri duo dies sunt, alteri vero unus. Posterior quidem certe, ut qui crassus sit, in corpore manet. Alter vero a calore coctus diffunditur, et ubi tenuis evaserit, postridie semper a recenti protrusus ad ventriculum revertitur. Quo cum pervenerit, cibos loci illius coquit et de se sanguinem in corpore facit. Cum autem permanserit, tempore graveolens redditur. Tertio vero die una cum stercore et urina copia sibi ipsi toti aequalis et similis, aequabilique momento foras egreditur. Et si sui ipsius portio quaedam

ο4.] Foël. I. 503. 504. Ed. Lind. II. (133.)

ἐν τῷ σώματι κατὰ λόγον τὸν εἰρημέ-
δὲ καὶ τῇ τρίτῃ ἡμέρῃ τῆς ἰκμάδος ἀπὸ
ην κοιλίην πλεῖον καὶ κακοδμότερον τὸ
ὑπὸ τῆς ἑτέρης, καὶ καταφέρει τὰ βρω-
ὶ ὅ τι ἐν τῷ σώματι νοσερόν ἐστι, καὶ
σημαίνει δὲ τὸ οὖρον ἁλμυρὸν ἐὸν, ὅτι
τοῦ σώματος τὸ νοσερὸν τὰ σιτία. ἐς δὲ
διαχωρέει. ἡ δὲ ἰκμὰς ἐς τὴν τρίτην.
αίνει γίνεσθαι. καὶ ταῦτα μὲν εἴρηται,
ημαίνουσιν οἱ ἄνθρωποι. ἡ δὲ ἰκμὰς αὕτη
χωρέοι ἐς τὴν ὑστεραίην, τὰ σιτία οὐχ
κοιλίης κακοδμα γενόμενα ἔξω χωρέει,
καὶ τὸ οὖρον τῷ ποτῷ παρόμοιον, καὶ
το ἀεὶ, καὶ ἔχρῃζε διὰ παντὸς τοῦ χρόνου
ἀποπαύσεται καὶ αἱρήσεται, ‖ αὐτίκα πο-
κατὰ τὸν ὑπόπαιον πλῆθος ἐπιλείπει ἰσχό-
ὑπολειπομένης ἐν τῷ σώματι ἀρχαίου
ν τῇ κόπρῳ ἔξω τῇ ὑστεραίῃ ἢ τῇ αὐτ

nen juxta dictam rationem in corpore ma-
n die ex corpore humoris major copia et
ventriculum confluit, id quod videlicet ab
it et cibaria concocta deducit, et quicquid
ofum eft, rurfus cum eo defertur. Urina
exiftit, indicat quod cibaria e corpore quod
ucunt, et femper poftridie per alvum fecc-
o tertio die. Eoque modo contingere fanitas
idem dicta funt, qua ratione et quam ob
anitate fruantur. Quod fi humor hic figni-
oras prodeat, cibaria non fimiliter graveo-
d velut cocta ex ventriculo foras concedunt
fimilis redditur, corpusque femper ubique
ique tempore ubi quis alvum exinaniverit
ideriť, ftatim potu et cibo indiget, pro ege-
ia validus erit, cum humoris non fatis in
atur, fed poftridie aut eodem die una cum

Ed. Chart. VII. [604.] Foës. I. 504. Ed. Lind. II. (133. 134.)
ἡμέρῃ. καὶ εἰ μέν τι ἔφαγεν· εἰ δὲ μὴ, κενωθεῖσα ἄκικύς τε ἦν (134) οὐδ' ἂν δύναιτο παχυνθῆναι ἢ ἰκμὰς τῇ ὑστεραίᾳ ἔξω χωρέειν. οὐ γὰρ περιλιμπάνεται ἐν τῷ σώματι ἀρκέουσα. νῦν δὲ ἐξαποπατέοντες εὐροοῦμεν καὶ δύο ἡμερέων μηδὲν φάγοντες καὶ εἶναι καὶ πρήσσειν τι ὑπομένομεν, καὶ οὐκ ἐξασθενέομεν τελείως ὑπὸ κενώματος ἐν τούτῳ τῷ χρόνῳ. ἡ γὰρ ἰκμὰς ἡ ἐν τῷ σώματι μένουσα τὴν ἰσχὺν παρέχει. καὶ ταῦτα μὲν εἴρηταί μοι, ὅκως τε καὶ διότι οὐχ οἷόν τε τὴν ἰκμάδα τὴν προσγενομένην ἐν τῷ σώματι ἐξελθεῖν ἔξω αὐθημερὸν, ἀλλ' οὐδὲ τῇ ὑστεραίῃ. φημὶ δὲ ἤν τε ἐμμένῃ πλείονας τῶν τριῶν ἡμερῶν ἡ ἰκμὰς ἐν τῷ σώματι ἢ ἄλλη προσγένηται πολλὴ πιμπλαμένη τῶν φλεβῶν θερμαινομένων καὶ ἱσταμένων, ἐπισημαίνει τῷ ἀνθρώπῳ κακὸν ἢ μεῖζον ἢ ἔλασσον, χειμῶνος μὲν ἔλασσον καὶ ὕστερον, θέρεος δὲ μεῖζον καὶ πρόσθεν. ταῦτα δέ μοι εἴρηται ὅτι συμβαίνει γίνεσθαι, ἢν μένῃ ἡ ἰκμὰς ἐν τῷ σώματι. εἰ δὲ βρώματα διαχωρέει τὸ σῶμα, οὐκ ἂν ἐπαυρίσκετο ἡμῖν τῆς ἰκμάδος ἐπαρκέον, ἀλλ' ἦσαν οἱ ἄνθρωποι λεπτοὶ καὶ ἀσθενέες. νῦν δὲ ἐμμενόντων τῶν βρω-

ſtercore foras prodeat. Et ſi quidem quid commedat nec ne, ubi vacuatus fuerit debilis ſit, neque humor incraſſari queat, ſi poſtridie foras prodeat, cum ſufficiens in corpore non relinquatur. At nunc cum ventrem exoneramus, bene valemus, et biduo nihil edentes et eſſe et aliquid facere ſuſtinemus, neque hoc tempore propter vacuationem prorſus debilitamur. Humor enim in corpore relictus robur praeſtat. Atque haec quidem quomodo et quam ob cauſam humor ad corpus accedens non eodem die, ſed neque poſtridie foras prodire queat, dicta ſunt. Id autem affirmo, quod ſi plus quam tres dies in corpore humor permaneat aut alius qui impleat copioſus acceſſerit, ubi venae incaluerint et conſtiterint, homini majus aut minus malum denunciari, hieme quidem minus et tardius, aeſtate vero majus et celerius. Atque haec quidem contingere ſolere, ſi humor in corpore maneat, dicta ſunt. Si vero corpus cibos ſtatim per alvum demittat, non utique quod ſatis ſit humoris nobis ſuppetat, et homines graciles et debiles eſſent. At nunc cum cibi et potus tanto

Ed. Chart. VII. [604. 605.] Foës. I. 504. Ed. Lind. II. (134. 135.)
μάτων καὶ τῶν ποτῶν, ὁκόσον χρόνον διαμένει, τὸ σῶμα ἐπαυρίσκεται καθ' ἡσυχίαν, ἕλκον ἀπὸ τῆς κοιλίης καὶ πίμπλαται. ταῦτα δέ μοι εἴρηται ὅκως τε καὶ διότι τὰ βρώματα οὐχ οἷά τέ ἐστιν αὐθημερὸν ἐξιέναι. ἢν δὲ ἐμμένῃ τὰ σιτία ἐν τῇ κοιλίῃ πλείονα τοῦ δέοντος χρόνου καὶ ἕτερα εἰς αὐτὰ πίπτῃ, τὸ σῶμα πληρωθείη ἄν, καὶ πιεζευμένων τῶν φλεβῶν ὑπὸ τῆς πληθώρης, θέρμη ἂν καὶ πόνος τῷ σώματι παραγίνοιτο, θέρεος μὲν θᾶσσον, χειμῶνος δὲ ὕστερον. τοῦ μὲν γὰρ θέρεος τὸν ἄνθρω[135]πον θερμόν ἐστι τὸ περιέχον καὶ θερμότερον ἕλκει τὸ σῶμα ἐς ἑωυτόν. κἢν ἔτι θερμῆς τῆς κοιλίης ἐούσης θερμότερον τοῦ καιροῦ τὸ πνεῦμα τῷ ἀνθρώπῳ προσγίνηται, οὐ θαυμά ἐστι τὸν ἄνθρωπον ἐκ τοῦ τοιούτου πυρετῆναι. χειμῶνος δὲ ψυχρὸν ἕλκοντος τὸ πνεῦμα ἐς ἑωυτὸν, μᾶλλον πολλῷ δύναιτ' ἂν τὴν πληθώρην ἀναφέρειν τὸ σῶμα τοῦ ἀνθρώπου ἀποπαιέοντος ὀλίγον. ταῦτα δέ μοι εἴρηται ὅτι συμβαίνει γίνεσθαι, ἢν μὲν μείνῃ τὰ σιτία πλείονα χρόνον ἐν τῇ κοιλίῃ [605] καὶ παρεψυσταί μοι ἀποφῆναι ἅπαντα περὶ τῆς ἰκμάδος καὶ τῆς βρώ-

tempore in corpore permaneant, corpus ex ventriculo attrahens, ſenſim haurit et expletur. Iſtaque a me dicta ſunt, quomodo et quam ob cauſam cibaria eadem die exire non poſſint. Quod ſi cibi in ventriculo plus quam conveniat immorentur, aliique ad eos accedant, corpus utique implebitur et compreſſis a plenitudine venis calor ac dolor corpori aderit aeſtate quidem citius, hieme vero tardius. Aeſtate enim hominem circumſtans aër calidus eſt, calidioremque ad ſe corpus attrahit. Ac ſi calido adhuc ventriculo juſto calidior homini ſpiritus adjungatur, minime mirandum eſt ex eo hominem febricitare. Cum vero ſpiritum frigidum hieme ad ſe attrahat, multo magis corpus plenitudinem perferre queat, homine parum alvum exonerante. Atque haec ita contingere, ſi cibi in ventriculo diutius permaneant, dicta ſunt. Quin etiam leviter a me demonſtratum eſt, omnem humoris et cibi in tempore tum longiore tum breviore differentiam, in cauſa eſſe cur homines aegrotent, quod etiam

Ed. Chart. VII. [605.] Foës. I. 504. 505. Ed. Lind. II. (135. 136.)

σιος τοῦ χρόνου τοῦ πλείονος καὶ τοῦ ἐλάσσονος, τὸ διαφέρον διότι τοσέουσιν οἱ ἄνθρωποι. δηλώσω δὲ περὶ τούτου κάλλιον τοῦ χρόνου προϊόντος. ἀναβήσομαι δ' αὖθις ὀπίσω περὶ τῆς ὑγείης ἐρέων, ὅτι δὴ τὸ σῶμα τοῦ ἀνθρώπου ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν τῆς ἰκμάδος ἐπαυρίσκεται, καὶ χωρέει ἔξω τῷ ὑγιεῖ κατὰ τὸν εἰρημένον λόγον τά τε βρώματα καὶ ἡ ἰκμάς. καὶ ἢν μὲν ἔξω χωρέῃ τῆς ἰκμάδος πλεῖον ἢ ὅσον προσεγένετο ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, λεπτὸς γίνεται ὁ ἄνθρωπος. πλείω δὲ χωρέει ἔξωθεν τῆς προσγενομένης διὰ τόδε. ἢν μὲν δι' ἡσυχίης ᾖ ὁ ἄνθρωπος καὶ μὴ ταλαιπωρέῃ, κακόν τί οἱ ἐν τῷ σώματι ἔνεστιν, ὑπὸ δὲ τῆς ἄλλης ὑγιείης πολλῆς ἐούσης οὐκ ἐσάσει κάρτα. τὸ δὲ κακὸν τοιόνδέ ἐστιν. ἐπὴν τούτων τι τῶν τεσσάρων τῶν γινομένων τῷ σώματι ἐπέλθῃ πλέον τι μὴ πολλῷ, τὸ σῶμα θερμαίνεται καθ' ἡσυχίην, ὡς μὴ ἐσάσειεν κάρτα, καὶ τήκεται ἐν τῇ κοιλίῃ, καὶ τὸν σῖτον ἀηδέα τῷ ἀνθρώπῳ ποιέει. ἢν δὲ πλέον εἴῃ ἡ ἰκμὰς ἡ ἑτέρη τῆς ἑτέρης, πυρετὸς ἐκ τούτου τῷ ἀνθρώπῳ προσγίνεται. || (136) ἀλλὰ περὶ τούτου ἀτρεκέστερον ὀλίγῳ ὕστερον ἀποφαίνω. ἔστι δ' ὅτε καὶ τοῦ σίτου ἐόντος

procedente tempore pulchrius declarabo. Ac mihi rurſus unde digreſſus ſum redeundum eſt et de ſanitate dicendum, quod hominis corpus ex cibis et potibus humorem haurit, quodque dum valet tum cibi tum humor ſecundum commemoratam rationem foras prodeunt, et ſi quidem plus humoris quam ex cibis et potibus adfuerit foras prodeat, homo extenuatus redditur. Ob hanc vero cauſam foras plus prodit quam adfuerit. Si quidem quis quieſcat neque exerceatur, male corpus afficitur, verum quod alias multa ſanitate fruatur, non admodum gravatur. Eſt autem affectio ejusmodi. Cum quid ex his quatuor quae in corpore gignuntur non ita longe copioſum advenerit, corpus ſenſim incaleſcit, ut non admodum gravetur, et in ventriculo colliqueſcit, inſuavemque homini cibum reddit. Si vero humor alius alio copioſior fuerit, inde febris homini ſuboritur. Sed de his paulo poſt exactius edifferam. Interdum autem, etiamſi cibus

Ed. Chart. VII. [605.] Foël. I. 505. Ed. Lind. II. (136.)

ἡδέος λεπτὸς γίνεται ὁ ἄνθρωπος. αἴτιον δὲ τὸ αὐτό. τούτων δὲ γενομένων ἐξέρχεται τῆς ἰκμάδος πλέον ἢ κατατάσσεται, καὶ διὰ ταῦτα τῷ μὲν ἡσυχάζοντι συμβαίνει λεπτῷ γίνεσθαι, ταλαιπωρεόντων δὲ τῶν ἀνθρώπων καὶ τὸ σῶμα θερμαίνεται. καὶ γὰρ ἀπὸ τῆς ταλαιπωρίης τούτου θερμαινομένου καὶ ἡ ἰκμὰς ἐν αὐτῷ διαχέεται, καὶ γίνεται ἡ νοῦσος ἥδε λεπτή. ἀχρεῖος δὲ γενομένη καταῤῥέει καὶ ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν. ταῦτα δὲ διηθέει ἔξω. τὸ δὲ δι' αὐτῆς διατμέει ἔξω, διὰ τοῦ ἔνδον ἀραιώματος. τὸ δ' ἔτι καὶ ἐμμένον ἱδρὼς γενόμενος ἔξω χωρέει κατὰ τὸ σῶμα. ὡσαύτως δὲ καὶ τὰ γυμνάσια τῶν νέων τὸ αὐτὸ τῇ ταλαιπωρίῃ προσεργάζεται. ἢν δὲ καὶ μὴ ἔῃ ἐλάσσων ἢ ἰκμὰς τῆς πρότερον ἐξιούσης, προσγινομένη τε ἔτι ἄλλη ἀπὸ τῶν ποτῶν καὶ προσέτι ἀπὸ τῶν βρωτῶν, λεπτὸς γίνεται διὰ ταῦτα ὁ ἄνθρωπος. ἐλάσσων δὲ προσγίνεται, ἢν μὴ ἄλλο τι δύνηται ἐσθίειν, καὶ πρὸς μὲν τὸ πονέειν κατὰ τὴν προτέρην ταλαιπωρίην ἢ γυμνασίην ἄλλοισιν ἄλλα ἔλασσον γίνεται. ἐπιγίνηται δὲ κατὰ τὴν βρῶσιν εὐεξίη διὰ τόδε. ἐπὴν αὐαίνηται ἐν τῷ τῆς ἰκμάδος χρόνῳ καὶ ἐν τῇ προτέρῃ ταλαι-

ſuavis exiſtat, homo extenuatus redditur, cauſa vero eadem eſt. Quae ſi contingant, plus humoris exit quam apponatur, eamque ob cauſam in quiete degentem extenuari contingit. Hominum autem laborantium corpus incaleſcit. Hoc enim ex labore incaleſcente et humor in ipſo diffunditur et morbus hic extenuatorius exoritur. Cum autem inutilis reddatur, ad ventriculum et veſicam defluit, quae foras transcolans et partim ſane per internam raritatem foras exhalat, partim vero adhuc intus manens in ſudorem verſus foras per corpus procedit. Quin eodem etiam modo juvenum exercitationes idem quod labor efficiunt. Quod ſi etiam parcior non fuerit humor quam qui prius exivit, neque alius adhuc a potibus ac etiam cibis accedat, eam ob cauſam quis extenuatur. Parcior autem adjungitur, ſi quid aliud comedere non poſſit, et ſi pro prioris laboris et exercitationis ratione laborare nequeat, aliis alia pauciora evadunt. At vero bona corporis habitudo per cibos hanc ob cauſam accedit.

Ed. Chart. VII. [605. 606.] Foës. I. 505. Ed. Lind. II. (136. 137.)
πωρίη ἐξέλθῃ πρότερον ἑτέρη τῆς ἑτέρης ἔστιν ὅτε πλείων καὶ κρατέῃ μίη ἄλλη τῶν ἄλλων κάρτα, πληθώρης ἐστίν. ἢν μὲν δὴ ὑπὸ πολλῶν κάρτα κρατέηται, πῦρ ἐκ τοῦ τοιούτου τρόπου γίνεται. ἢν δὲ ὑπὸ ὀλίγων ὀλίγα, καὶ τὸ σῶμα δὲ οὕτως ἀναφέρειν δύναται (137) τῆς ὑγρότητος πλείονος αὐτοῖσιν ἐούσης, [606] τὴν θέρμην ἀπολύεται. θερμαίνεται γὰρ τὸ σῶμα τῷ πυρί. κἢν μὲν ὀλίγον ἔῃ τὸ λυπέον, τῇ τρίτῃ ἡμέρῃ μεθῆκε τρόπῳ τῷ αὐτῷ. τὰς δὲ δύο ἔχει συνεχέως. ἢν δὲ πλείων, πέμπτῃ ἡμέρῃ. τὰς δὲ τέσσαρας ἔχει κατὰ λόγον. οὕτω τῶν ἡμερέων αἱ νοῦσοι κρίνονται. ἢν δὲ μεθῇ τὸ πῦρ ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος καὶ θνήσκει. διὸ δὲ, ὀλίγον ὕστερον ἀποφανέω. νῦν δὲ ἐρέω διότι μεθίει τὸ πῦρ. φημὶ δὲ εἶναι, ὅ τι ἂν ἀπὸ τοῦ σώματος πῦρ λάβῃ τὸν ἄνθρωπον. ἀνάγκη ἐστὶ τῇ τρίτῃ ἡμέρῃ ἐξιέναι τὴν ἰκμάδα τὴν λυπέουσαν ἀπὸ τοῦ σώματος ἢ ἐν ἄλλῃ τινὶ τῶν περισσῶν ἡμερέων κατὰ τὸν πρότερον εἰρημένον λόγον. οὐ γὰρ ἐξέρχεται πρὶν ἢ οἱ ἑτέρη προσγένηται ἀπὸ τῆς κοιλίης ἀγαθή. τῇ γὰρ μέσῃ καὶ

Ubi tempore reſiccatus humor fuerit et in priore labore alius alio prius exierit, interdum copioſior et unus alius alios admodum ſuperaverit, id plenitudinem facit. Et ſi quidem a multis valde ſuperetur, hoc modo febris contingit. Si vero a paucis, parum, corpusque hoc modo perferre poteſt, cum copioſior in ipſis humiditas inſit, quae calorem diſſolvit. Corpus enim a febre incaleſcit, et ſi modicum quidem fuerit quod moleſtum eſt, tertio die eodem modo dimittit, duobus vero diebus continenter vexat. Sin vero copioſius, quinto die, quatuor autem pro ratione habet. Sic morbi per dies judicantur. Quod ſi febris dimittat diebus imparibus, et ſanus quis evadit et moritur. Quam vero ob cauſam, paulo poſt declarabo, nunc autem dicendum, cur febris dimittat. Cujus rei cauſam eſſe affirmo, quod ſi febris hominis corpus prehenderit, tertio die aut alio quodam impari humorem moleſtum e corpore exire ſecundum commemoratam prius rationem neceſſe ſit. Neque enim prius exit quam ei bonus alius ex ventriculo acceſſerit. Intermedio namque et poſtero

Ed. Chart. VII. [606.] Foës. I. 505. Ed. Lind. II. (137. 138.)
τῇ ὑστεραίῃ ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ὅ τι ἂν αὐτῷ ἐς ἑωυτὴν ἀφῇ τῇ προτέρῃ ἡμέρῃ, ἢν μὴ ἡ κοιλίη διηθήσῃ καὶ ἑτέρην σχῇ ἰκμάδα. καὶ τοῦτο πονηρὸν τῷ ἀνθρώπῳ γίνεται. ἢν δὲ μεθῇ τὸ πῦρ τριταῖον, τῷ αὐτῷ τρόπῳ μεθίει, ὥσπερ καὶ αὐθημερόν, ὡς εἴρηται. καὶ οὕτω μὲν συμβαίνει τὸ πῦρ γινόμενον ἀπὸ τοῦ σώματος ἐν τῇ τρίτῃ ἡμέρῃ ἀνιέναι. φημὶ δὲ καὶ ἢν πέμπτῃ ἡμέρῃ καὶ ἢν ἑβδόμῃ καὶ ἢν ἐννάτῃ μεθῇ, τρόπῳ τῷ αὐτῷ μεθιέναι ὥσπερ καὶ τὸ τριταῖον ἐξέρχεται. καὶ γὰρ ἡ τροφὴ τῷ πυρὶ κατὰ τὰ χωρία, ὁκοῖα ὀλίγῳ πρότερον εἴρηκα. ἐπικρατήσαντος γὰρ μᾶλλον τοῦ ὑγροῦ, πλείονος ἐόντος ἀνέθη ὁ ἄνθρωπος. μεθίει δὲ τὸ πῦρ ἐν τῇσι περισσῇσι διὰ τόδε, ὅτι ἐν τῇσιν ἀρτίοισι τῶν ἡμερέων ἕλκει τὸ (138) σῶμα ἀπὸ τῆς κοιλίης, ἐν δὲ τῇσι περισσῇσιν ἀφίει. ἡ δὲ κοιλίη διηθέει ἔξω τῷ ὑγιεῖ. κατ' ἀνάγκην τοιήνδε αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. καὶ ἐν τούτῳ μὲν τῷ λόγῳ ὁ ἄνθρωπος πυρέξας ὑγιὴς ἐγένετο. φημὶ δὲ καὶ τὸ πονέεσθαι μάλιστα τοὺς νοσέοντας ἐν τῇσι περισσῇσιν ἡμέρῃσι διὰ τόδε καὶ κατὰ

die corpus ex ventriculo trahit quicquid in ſuum uſum primo die in ipſum demiſerit, niſi ventriculus transcolarit et alium humorem habuerit, quod certe homini male ceſſerit. Quod ſi febris tertio die dimittat, eodem modo quo primo die dimittit, ut dictum eſt. Et ſic quidem contingit febrem in corpore excitatam tertio die remittere. Affero autem quod ſi quinto die aut ſeptimo aut nono dimittat, eodem modo dimittere, velut tertio die exit. Eſt enim febris alimentum in locis quos paulo ante commemoravi. Exuperantem enim copioſiorem humorem homo ſuſtinere non poteſt. Imparibus autem diebus illam ob cauſam febris dimittit, quod paribus diebus corpus ex ventriculo attrahit, imparibus vero dimittit. Ventriculus autem in homine ſano foras transmittit. Ac propterea neceſſario diebus imparibus morbi judicantur, iſtaque ratione cum quis febre detinetur, ſanus evadit. Iſtamque ob cauſam aegrotos affero diebus imparibus maxime affligi, idque ex ratione quadam. Con-

Ed. Chart. VII. [606. 607.] Foës. I. 505. 506. Ed. Lind. II. (138.)
λόγον γίνεσθαι. τετάρακται μὲν δὴ ὁ ἄνθρωπος, ὁκόταν πυρεταίνει. σημεῖον δὲ τοῦτο, ὅτι φρίκη διαΐσσει διὰ τοῦ σώματος ἄλλοτε καὶ ἄλλοτε. τοῦτο δὲ οὐκ ἂν ἐγίνετο οὕτως, εἰ μὴ ἐταράσσετο τὸ ὑγρὸν || καὶ ἀπεκρίνετο ἀπ' αὐτοῦ ἢ πλέον ἢ ἔλασσον, καὶ ἐκράτει ἄλλοτε ἄλλου. μάλιστα δὲ καὶ τετάρακται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, ὁκόταν νοσέῃ, καὶ ἡ φρίκη δὲ μάλιστα τότε γίνεται. ἔχει γὰρ ὧδε. ἀπὸ τοῦ ὑγροῦ τοῦ πονέοντος ἐξωθέεταί τι ἐκ τοῦ σώματος ὑπὸ τῆς νεωτάτης ἰκμάδος τικώμενον, καὶ χωρέει ἐς τὴν κάτω κοιλίην καὶ ἡ κοιλίη, προσσυνθερμαίνεται τοῦ πονέοντος, δεχομένη ἐς ἑωυτὴν μᾶλλον ἢ τῷ πρὶν χρόνῳ. τοῦτο δὲ γίνεται μάλιστα ἐν τῇ κρίσει τῆς νούσου, καὶ ἢν κατ' ὀλίγον τὸ σῶμα ἐς τὴν κοιλίην ἀφίῃ καὶ μὴ πολλὸν ἔῃ τὸ λυπέον τὸν ἄνθρωπον, ἀναφέρει τὴν θέρμην ἡ κοιλίη, καὶ τὸ σῶμα δύναται ἐν τῇ κρίσει καὶ γίνεται ὑγιὴς ὁ ἄνθρωπος, ἐπὴν ἐξέλθῃ ἡ ἰκμὰς ἡ πονέουσα, καὶ ἢν ἡ τροφὴ τῷ πυρὶ ἐοῦσα ἐξαναλωθῇ. ἢν δὲ ἡ ὑγιηρὴ ἐπικρατήσῃ, ἐν τούτῳ τῷ λόγῳ νοσήσας ὁ ἄνθρωπος ὑγιὴς ἐγένετο δι' αἰτίας τὰς εἰρημένας. [607] νῦν δὲ ἐρέω διότι θνήσκουσιν ἐν τῇσι περισσῇσι

turbatur equidem homo cum febricitat iſtiusque rei indicium eſt horror, qui ſubinde per totum corpus impetu quodam fertur. Quod ſane minime contingeret, niſi humor conturbaretur, et ab ipſo copioſior aut parcior ſecerneretur, et alius alium ſuperaret. Maxime vero etiam conturbatur diebus impariбus, cum aegrotat, tuncque horror praecipue contingit. Sic enim ſe res habet. Humoris moleſti aliquid a recenti humore ſuperatum extra corpus propellitur et ad inferiorem alvum defertur, quae una cum moleſto humore incaleſcit in ſeque magis quam antea recipit, quod in morbi judicatione praecipue contingit. Quod ſi corpus paulatim ad ventrem dimittat, neque copioſum fuerit quod homini moleſtum eſt, ventriculus calorem perfert corpusque ad judicationem validum eſt et homo convaleſcit, ubi is qui affligit humor exierit, et qui febri alimentum ſuppeditat conſumptus fuerit. Si vero ſanus ſuperaverit, hac ratione qui aegrotat propter commemoratas a me cauſas ſanus evadit. Nunc vero di-

Ed. Chart. VII. [607.] Foël. I. 506. Ed. Lind. II. (139.)

τῶν (139) ἡμερέων. φημὶ δὲ, ἢν πολλὸν ἔῃ τὸ πονέον ἐν τῷ σώματι, μᾶλλον τοῦ καιροῦ τετάρακται καὶ ἄλες ἰσχυρὸν ἐς τὴν κοιλίην καὶ μὴ δυνάμενον ἀναφέρειν τὴν θέρμην, τὸ σῶμα ἐπαυρίσκεται, καὶ δυσωδίαν δεῖ γενέσθαι περὶ τὸ πνεῦμα, καὶ οὐ δυνάμενον τὸ σῶμα ὑπὸ ἀσθενείης, ἅτε τοῦ ὑγροῦ παντὸς νοσεροῦ γινομένου τὴν πνοὴν ἕλκειν, ὡς διαψύχηται τὰ ἐν τῇ κοιλίῃ ἐξατμιεῖ ἔξω τοῦ ὑγροῦ πᾶν τὸ ζωτικὸν, καὶ οὕτω θνήσκει ὁ ἄνθρωπος. οὐ γὰρ ἐπικρατέει ἑτέρη ἡ ὑγιηρὴ ἰκμάς, ἀλλὰ πᾶσα ὑπὸ τῆς νοσερῆς πολλῆς ἐούσης ἐπαιρομένη ἐξαναλωμένη ὑπὸ τοῦ πυρὸς διεξήτμησεν. οὕτω δή περ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι μάλιστα ὁ πόνος γίνεται. τοῦτο πᾶς οἶδεν ὅς τίς ποτε. καὶ μὴν ὅτι γε τὸ ὑγρὸν τετάρακται ἐν αὐτῇσι τῇσιν ἡμέρῃσι, σημήϊόν ἐστι τόδε. ὁκόσοι ἤδη ὑπὸ πυρὸς ξυνεχέος ἐχόμενοι ἐφαρμακεύθησαν ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων, οὗτοι οὐ μὴν ὑπερεκαθάρθησαν. ὁκόσοι δὲ ἐν τῇσι περισσῇσιν ἐφαρμακεύθησαν ἰσχυρῇ φαρμακείῃ, ἐκαθάρθησαν. πολλοὶ δὲ καὶ ἀπώλοντο ὑπερκαθαρθέντες. οἱ γοῦν πρόσθεν ἰητροὶ ἐν τούτῳ μάλι-

cendum eſt cur moriantur diebus imparibus. Ac mea quidem opinione, ſi copioſum fuerit quod corpori moleſtum eſt, plus juſto conturbatur, copioſumque ac validum ad ventriculum defertur, eoque corpus cum alterum perferre non poſſit fruitur, graveolentemque ſpirationem fieri neceſſe eſt. Cumque corpus prae imbecillitate ſpiritum, quo quae in ventriculo ſunt refrigerentur, attrahere nequeat, nimirum cum omnis humor morboſus exiſtat, quicquid in humore vitalitatis ineſt foras exhalat, ſicque quis moritur. Neque enim alter humor ſalubris ſuperat, ſed totus a morboſo copioſo ſuperatus et a febre conſumptus expiravit. Sic ſane diebus imparibus dolor contingit, idque nemo eſt qui non noverit. Quin etiam quod quidem humor iisdem diebus conturbetur, iſtud indicio eſt. Qui jam febre continente detenti diebus paribus medicamentum purgans ſumpſerunt, ii ſane ſupra modum nunquam purgati ſunt. Qui vero diebus imparibus vehemens medicamentum ſumpſerunt, ii purgati ſunt, multique etiam ſupra modum purgati perierunt. Superiores

Ed. Chart. VII. [607.] Foës. I. 506. Ed. Lind. II. (139. 140.)

στα ἡμάρτανον, ἐφαρμάκευον γὰρ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι καὶ ἀπώλλυον τοὺς ἀνθρώπους, οὐ γινώσκοντες ὅτι τοῦθ' οὕτως ἔχει. τὸ γὰρ ὑγρὸν ἐν τῷ σώματι τοῦ νοσέοντος τετάρακται μᾶλλον ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, οἷα τοῦ σώματος ἐς τὴν κοιλίην μεθιέντος τῆς ἰκμάδος. καὶ ἤν τις ἐπιτεταραγμένῳ ἐόντι ἔτι μᾶλλον ταράξῃ, φάρμακον ἐμβαλὼν οὐ θαυμά ἐστιν ἐκ τῶν τοιούτων ἀπολέσθαι τὸν ἄνθρωπον, (140) καὶ τὰ ἕλκεα ἢν μὲν μελεδαίνηται, φλεγμαίνει μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν. ἔρχεται γὰρ τὸ ὑγρὸν ἐς ἁπάσας τὰς φλέβας, ὁκόταν ταράσσηται καὶ πληροῖ, ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος ἡ νοῦσος, καὶ ἢν μὲν μελεδαίνηται καὶ ἔχῃ ἔξοδον τὸ πῦος ἐξωθεόμενον ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐλθόντος ἐν τῇ ταραχῇ, ἔξω ἀποκαθαίρεται τὸ ἕλκος. ἢν δὲ μελεδαίνεται οὐκ ἔχον ἔξοδον τὸ πῦος, αὐτοῦ καταμένον σὺν τῷ κατελθόντι πόνον παρέχει καὶ ἀείρει τὴν σάρκα τὴν περὶ τὸ ἕλκος. καὶ ἀπ' ἐκείνου, ἢν μὲν ἐν τοῖσι σκέλεσιν ἔχῃ τὸ ἕλκος, ἀείρονται αἱ φλέβες αἱ ἐν τῇσι προσφύσεσι τῶν σκελέων ἐοῦσαι. ἢν δὲ ἐν τῇσι χερσὶν, αἱ τῶν χειρῶν τῇσι προσφύσεσι ἐοῦσαι καὶ ἐκ τούτου βουβῶνες γίνονται.

igitur medici in hoc maxime peccarunt, quod diebus imparibus medicamenta purgantia exhibebant et homines interimebant, id ita ſe habere ignorantes. Humor enim in aegrotantis corpore magis diebus imparibus conturbatur, nimirum cum corpus ad ventriculum humiditatem transmittat. Et ſi quis jam commotum medicamento injecto magis commoveat, non mirum eſt, ſi quis ex his pereat. Ulcera etiam ſi quidem curentur, his maxime diebus inflammationem concipiunt. Humor enim cum commovetur in omnes venas fertur, easque implet. Et ubi morbus ad ulcus devenit, ſi quidem curetur pusque ab humore in conturbatione veniente foras propulſum exitum habeat, ulcus foras expurgatur. Quod ſi non curetur, neque exitum pus illic habeat, una cum eo qui acceſſit permanet, doloremque exhibet et carnem ulcus ambientem attollit. Ex quo ſi quidem in cruribus ulcus habuerit, in crurum connexionibus venae attolluntur, ſi vero in manibus, venae quae ſunt in manuum connexio-

Ed.Chart.VII.[607.608.] Foël.I.506.507. Ed.Lind.II.(140.141.) ὁκόσοισι δὲ τῶν ἀνθρώπων πῦρ ἐμπίπτῃ, ἄλλο μηδὲν τοῦ ἀνθρώπου κακὸν ἔχοντος ἀπὸ τῆς πιοτέρης ἐούσης τοῦ καιροῦ ἐμπίπτει, καὶ πληρεύμεναι αἱ φλέβες πόνον καὶ θέρμην τῷ ἕλκει παρέχουσι. || τὸ δὲ θερμανθὲν καὶ τὸ ἄλλο σῶμα θερμαίνει, καὶ ἡ θερμασίη οὕτως ἐς τὰ ἕλκεα γίνεται. θερμαίνεται γὰρ τὸ σῶμα [608] καὶ τὰ ἕλκεα ὑπὸ τῆς κλονήσεως τοῦ ὑγροῦ καὶ ἡ ταλαιπωρίη τοιοῦτον ἐργάζεται. ἀποφλεγμαίνει δὲ τὰ ἕλκεα πεμπταῖα, καὶ κατὰ λόγον τουτέων τῶν ἡμερέων, ὡς ἂν καὶ τὰ ἕλκεα μέγεθος ἔχῃ, καὶ τριταῖα καὶ πεμπταῖα καὶ ἑβδομαῖα καὶ ἐνναταῖα καὶ ἑνδεκαταῖα. εἶτα ἀπηρτισμένης πρώτης περιόδου, πάλιν δευτέρας ἀρχῆς τρίτῃ, ἥτις ἐστὶν ἀπὸ τῆς πρώτης τεσσαρεσκαιδεκάτη. τὰ δὲ μέγιστα αὐτῶν τεσσαρεσκαιδεκαταῖα ἀποφλεγμαίνει. οὗτος ὁ λόγος ἐρεῖ τὰ νοσήματα κρίνεσθαι ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, (141) καὶ τὴν ἰκμάδα τῷ ὑγιεῖ τριταίην ἐξιέναι, τὴν δὲ κόπρον δευτεραίην. καὶ ταῦτα τριταῖα ἐόντα ἱστορέει ἀλλήλοισιν ὅτι οὕτως ἔχει. οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκορύφωται. νῦν δὲ ἐθέλω ἀτρεκέστερον εἰπεῖν, διότι

nibus, indeque glandularum tumores oriuntur. At quibus febris contingit, si nullo alio affectu laborent, ea ex pinguiore quam par sit humore incidit, venaeque impletae dolorem et calorem ulceri exhibent. Quod vero incaluit, etiam reliquum corpus calefacit, eoque modo calor in ulceribus oritur. Humoris enim agitatione corpus et ulcera incalescunt, et tale quid immoderatus labor efficit. Ulcera autem quinto die inflammatione sedantur et secundum horum dierum rationem pro ulcerum magnitudine etiam tertio die et quinto et septimo et nono et undecimo. Deinde exacto primo circuitu, rursus tertio die, qui est secundi principium, et a primo decimusquartus. Ex his vero maxima decimoquarto die inflammatione sedantur. Atque haec oratio declarat morbos diebus imparibus judicari, et humorem in sano tertio die exire, stercus vero secundo. Et ista quae tertio die contingunt, rem ita se habere mutuo inter se attestantur. Ad hunc modum tota haec oratio summatim et velut a capite est a me ad extremum deducta. At nunc exactius

Ed. Chart. VII. [608.] Foës. I. 507. Ed. Lind. II. (141.)

νοσέουσιν οἱ ἄνθρωποι. ἐρέω δὲ σὺν τούτῳ τῷ λόγῳ καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσὶ, καὶ ὁκοῖα ἑκάστη αὐτέων ἐργάζεται. φημὶ δὲ ἢν μὲν ἐμμείνῃ τὰ σιτία πλείονα τοῦ καιροῦ ἤδη πεπεμμένα ἐόντα, καὶ ὁ ἄνθρωπος μὴ ἀποκαθαίρηται καὶ ἕτερα σιτία ἐπιπίπτῃ, τὸ σῶμα πληρούμενον ὑπὸ τῆς ἰκμάδος τῆς προτέρης καὶ τῆς νέης θερμαίνεται, καὶ πῦρ ἐκ τούτου γίνεται τῷ ἀνθρώπῳ. τὸ δὲ πῦρ οὕτως γενόμενον οὐκ ἄπορον οὐδὲ ἰσχυρόν ἐστιν. ἐν ᾧ ἰκμὰς ἰσάζει, κατὰ πλῆθος ἡμέας λυπέουσα ὀλίγῳ πλέον. ἢν γὰρ τοῦθ' οὕτως ἔχῃ καί τις κάρτα ἰσχύῃ καὶ τὰ ἐπιτήδεια προσενέγκῃ, ὑγιὴς γίνεται. ἓν δὲ νούσημα μόνον ἀπὸ πάσης τῆς ἰκμάδος καὶ σημήϊα ἴσχει ἑπτά. βήξ τε γὰρ ἴσχει μὶν βληχρὴ καὶ ξηρὴ ἐοῦσα, γαστήρ τε σκληρὴ γίνεται, ἅτε τοῦ ἀποπάτου ἐόντος ἐντὸς, καὶ τὴν κεφαλὴν βαρέεται καὶ ἐξερᾷ καὶ πυρεταίνει, καὶ οὖρον οὐ χρηστῶς διέρχεται. ταῦτα δέ ἐστι τῆς νούσου ταύτης ἀπὸ πάσης τῆς ἰκμάδος γενομένης σημήϊα ἑπτά. ἢν δὲ τοῦ ἀποπάτου μὴ διαχωρέοντος κρατέῃ μία τῶν ἄλλων ἰκμὰς, κάλλιον ἐμπολήσει ὁ ἄνθρωπος. καὶ

quam ob cauſam homines aegrotent mihi dicendum eſt, ſimulque exponendum quae ſint morborum principia et quae horum quidque efficiat. Mea autem ſententia, ſi cibi quidem plus juſto copioſi jam concocti intus morentur, neque homo repurgetur et altera cibaria inſuper adjiciantur, corpus priore humore et recenti plenum incaleſcit, indeque homini febris contingit. Verum ſic oborta febris neque periculi plena neque vehemens eſt, in qua humor copia aequabilis paulo plus nobis moleſtus eſt. Si enim ſic ſe res habet et quis admodum ſit robuſtus, eaque quae conveniunt adhibeat, ſanus evadit. Unus autem hic ſolus morbus eſt ab omni humore, et ſeptem ſigna habet. Tuſſis enim levis et ſicca detinet, venter durus redditur, cum nimirum ſtercus intus retineatur, caput gravatur et vomit, febricitat, neque lotium probe exit. Iſtaque ſunt hujus morbi ex omni humore orti ſeptem indicia. Quod ſi ſtercore non prodeunte unus ex reliquis humoribus ſuperet, melius homo habebit.

Ed. Chart. VII. [608. 609.] Foël. I. 507. Ed. Lind. II. (141. 142.)
ἢν τις τῷ πυρετῷ γιγνομένῳ ἀποστάσης τῆς ἰκμάδος τὰ ἐπιτήδεια μὴ προσενέγκῃ, περιοίσεται ἡ νοῦσος. ὅσῳ δ' ἂν αὐτέη κρατέῃ τῶν ἰκμάδων τρό(142)πῳ τοιῷδε. θερμαινομένου τοῦ αἵματος ἐξατμιεῖ μάλιστα διὰ τούτου τοῦ ὑδροποειδέος, ὅ τι ἐστὶ τῷ πυρὶ πολεμιώτατον. καταλείπεται δὲ τὸ λιπαρὸν καὶ κοῦφον, ὅ τι ἐστὶ χολῶδες καὶ τῷ πυρὶ τροφὴ μάλιστά ἐστιν. ἐξατμιᾷ δὲ τρόπῳ τοιῷδε. ὥσπερ εἴ τις ὕδωρ καὶ ἄλειφα ἐς χαλκεῖον ἐγχέας, ξύλα πουλὰ ὑποκαίει πουλὺν χρόνον. τὸ μὲν δὴ ὕδωρ πολλῷ ἔλασσον ἔσται· ἐξατμησθήσεται γὰρ ἐκ τοῦ χαλκείου· τὸ δὲ ἄλειφα ὀλίγῳ ἔλασσον, ὅτι τὸ μὲν ὕδωρ ὑπὸ τῆς ἀραιότητος καταλεπτύνεσθαι δύναται ὑπὸ τοῦ πυρὸς καὶ κοῦφον γεύμενον ἐξατμιᾷ, τὸ δὲ ἄλειφα ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν οὐ δύναται καταλεπτύνεσθαι, οὐδὲ ἀτμιᾷν ὁμοίως τῷ ὕδατι. οὕτω δὴ [609] καὶ ἐν τῷ ἀνθρώπῳ ἔχει. ὃ μὲν γὰρ ὕδρωψ θερμαινομένου τοῦ σώματος ἐξατμιᾷ ἔξω. τὸ δὲ χολῶδες ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν οὐ δύναται ἀτμιᾷν καταλεπτυνόμενον ὁμοίως. τὸ δὲ χολῶδες καταλεπτυνόμενον μᾶλλον ποιεῖ θερμαίνεσθαι τὸ σῶμα. πλείων γὰρ καὶ καλλίων τροφὴ

Ac ſi quis in febre ex omni humore orta, quae ſunt idonea minime adhibuerit, circumagetur morbus, quantum ipſe humores ſuperaverit hoc modo. Incaleſcente corpore, per hoc aquoſum quod eſt febri maxime infenſum, praecipue exhalat, relinquitur vero pingue et leve, quod eſt bilioſum et praecipuum febris alimentum. Ad hunc autem modum exhalat, non ſecus ac ſi quis affuſa in vas aeneum aqua et oleo, ligna multa diutius ſuccendat, aqua certe longe paucior, cum ex vaſe exhalet, futura eſt, oleum vero paulum imminuetur, quae aqua quidem propter raritatem ab igne extenuari et levis reddita exhalare poteſt, oleum autem cohaerens et denſum extenuari nequit, neque uti aqua exhalare. Ita ſane et in homine ſe res habet. Incaleſcente namque corpore aqua foras exhalat, quod vero eſt bilioſum, cum cohaerens et denſum ſit, neque ſimiliter extenuat, neque exhalat. Verum extenuatus bilioſus humor efficit ut corpus magis incaleſcat.

Ed. Chart. VII. [609.] Foës. I. 507. 508. Ed. Lind. II. (142. 143.)

τῷ πυρὶ γίνεται ἡ χολὴ καὶ φακούμενον ἐν τῷ σώματι ἢ στηριξόμενον, τὴν νοῦσον ἐπεκράτυνε πρὸς τὰ πρόσθεν. καὶ ταῦτα μὲν εἴρηται ὅτι πάσχει ὁ ἄνθρωπος, ἢν μὴ καθαίρηται καὶ μελεδαίνηται. ἢν δὲ μὴ αὐτῶν πλήθει κρατήσῃ, εἴτε ἐς ἅπαξ πολλὴ γενομένη εἴτε καὶ κατὰ μικρὸν συλλέγηται, καὶ τὸ ἄλλο σῶμα ὀδυνᾶται. τοῦτο γινόμενον ὑπὸ ἰσχύος ἀναφέρει, μέχρις οὗ ἀρχή τις ἐπιγένηται, καὶ ἢν τὸ πλεῖον γινόμενον ὑγρὸν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, || νοῦσος ἔνθεν γίνεται τρόπῳ τοιῷδε. ἀρχαί εἰσι τρεῖς ἀφ' ὧν αἱ νοῦσοι γίνονται. καὶ μία μὲν ἤδη (143) εἴρηταί μοι ὁκοῖα καὶ ὅσα ἐργάζεται ἐν τῷ σώματι. ἀπέδειξα γὰρ ὅκως τε καὶ διότι, ἢν μὴ ἀποκαθαίρεται ὁ ἄνθρωπος, νοσέει· δευτέρα δέ ἐστιν ἢν συμβῇ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια καὶ παρὰ δίαιταν εἶναι. τρίτη δέ ἐστιν ἤν τι βίαιον προσπέσῃ. βίαιον δὲ λέγω εἶναι καὶ πτῶμα καὶ τραῦμα καὶ πληγὴν καὶ ταλαιπωρίην καὶ εἴ τι ἄλλο ἐστὶ τοιοῦτον. τούτων δὲ τῶν ἀρχέων μεγίστη ἐστὶ βίη, ἢν μεγάλη ἔῃ. ἢν δὲ μικρὰ, οὐ μεγίστη. δευτέρη δὲ, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος. τρίτη

Copioſius enim et melius alimentum febri ſuppeditat, et in corpore diſperſus aut firmatus morbum cum prioribus corroborat. Atque iſta quidem homini contingere, niſi purgetur aut curetur, dicta ſunt. Quod ſi horum copia non ſuperet, ſive ſemel multa ſive paulatim colligatur, et reliquum corpus dolore affligat, id dum contingit, prae robore perfert, donec principium quoddam accedat. Sin vero copioſior humor extiterit, neque homo expurgetur, ex eo morbus ad hunc modum oritur. Cum tria ſint principia ex quibus morbi oriuntur, unum quidem jam a me dictum eſt, quaeque et quanta in corpore efficiat. Oſtendi enim quomodo et quam ob cauſam homo, niſi repurgetur, aegrotet. Alterum eſt, ſi quae ex coelo pendent minime ſint commoda, et praeter victus rationem contingant. Tertium eſt, cum quid violentum inciderit. Violentum autem eſſe dico et caſum et vulnus et percuſſionem et immoderatum laborem, et alia id genus. At horum principium, vis ſi magna fuerit, maximum eſt; ſi vero parva, non adeo magnum. Poſt hoc vero, ſi

Ed. Chart. VII. [609.] Foël. I. 508. Ed. Lind. II. (143. 144.)

δὲ, ἢν τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια ἔῃ πρὸς ὑγείην. τούτων τοιγαροῦν δεῖ φυλακὴν ἔχειν. ἕκαστα δ' αὐτῶν τοιοῦτον ἐργάζεται ἐν τῷ σώματι, ὁκοῖον ἐγὼ ἐρέω. ἢν μὲν τρῶμα γένηται, δῆλον ὅτι σὰρξ διεκόπη καὶ ἕλκος ἐγένετο. τοῦτο δὲ νούσημα ὀνομάζω εἶναι. ἢν δὲ φλάσμα γένηται πληγέντος ἢ πεσόντος ἤ τι ἄλλο τοιοῦτο παθόντος καὶ οἴδημα γένηται, τὸ αἷμα αὐτίκα θερμανθὲν ὑπὸ τῆς βίης καὶ ὑποδραμὸν ἐς τὰς φλέβας χανούσας, οὐκ ἔχον ἔξοδον ὑπὸ πλήθεος, ἀπελθεῖν συνεστράφη, καὶ τὸ οἴδημα διὰ τοῦτο ἐγένετο καὶ μέχρι τούτου πάρεστι, μέχρις ἀποκαθαρθῇ, καθότι ἀπὸ τῶν χωρίων εἴρηται, ἢ κατ' αὐτὸ τὸ οἴδημα, καὶ εἴτε σὺν χειρουργίῃ εἴτε καὶ μὴ δίοδος γένηται τῷ αἵματι ἢ πυωθέντι ὑπὸ χρόνου ἢ καὶ μή. καὶ ἡ ταλαιπωρίη δὲ τοιοῦτον ἐργάζεται. ὁκόταν γὰρ οἱ ἄνθρωποι ταλαιπωρέωσιν, οἷσιν ἂν μάλιστα τοῦ αἵματος ταλαιπωρίη ᾖ, κεῖθι στηρίζεται καὶ θερμαί(144)νεται, καὶ πόνος ἐκ τοῦ τοιούτου γίνεται. ἢν δὴ κρατηθῇ μὲν τούτων, κάρτα δὲ πλῆθος γένηται ταλαιπωρίη, καὶ ἡ κοιλίη καὶ κύστις μηδαμῶς διηθήσῃ ἐν τάχει τὸ πλῆ-

homo non expurgetur. Tertium autem, ſi quae ex coelo contingunt, non fuerint ad ſanitatem accommodata. Horum igitur diligens cura habenda eſt, cum horum quidque quod referam in corpore efficiat. Si quidem vulnus factum ſit, carnem diſſectam eſſe manifeſtum eſt, ulcusque exiſtit. Hoc autem morbum appello. Si vero ex plaga aut caſu aut alia quapiam affectione contuſio facta ſit et tumor oboriatur, ſanguis per vim calefactus et per venas hiantes ſubiens, cum prae copia exitum quo abire poſſit non habeat, illic colligitur, eamque ob cauſam tumor fit, tandiuque adeſt quoad ex locis eo quo dictum eſt modo aut per ipſum tumorem repurgatus fuerit, et ſanguini cum tempore vel in pus verſo vel non exitus ſive per manus operam ſive ſine ea pateat. Quin et immoderatus labor tale quid efficit. Cum enim homines immoderate laboraverint, quibus ſanguis praecipue laborarit, illic ſirmatur et incaleſcit, indeque dolor contingit. Quod ſi ab his quidem ſuperetur, magna autem copia immoderatus labor contingat, et alvus ac veſica copiam neutiquam

Ed. Chart. VII. [609. 610.] Foës. I. 508. Ed. Lind. II. (144.)
θος, πῦρ ἐπιπέσοι ἂν ἐκ τούτου. κἢν μὲν ἡ πρόσθεν ἰσάσῃ ἰχμὰς, οὐ[610]δαμῶς· ἢν δ' ἐν τῇ ταλαιπωρίῃ αὐτέων πλείστη ἐν τῷ σώματι καταμένῃ, κρατέει κείνη. ταῦτα δέ μοι εἴρηται περὶ βίης, ὁκοῖα ἐν τῷ σώματι κατεργάζεται. καὶ αὗται μὲν δύο ἀρχαὶ ἐοῦσαι, ἥ τε βίη καὶ ἡ πληθώρη, ἢν μὴ ἀποκαθαίρωνται οἱ ἄνθρωποι, θερμαίνουσι τὰ σώματα. ἡ δὲ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδειος γενομένη ἐν τῷ ἀνθρώπῳ ἐκράτησέ τι τοῦ ὑγροῦ καὶ θερμαίνει ὡς ἐς νόσον καὶ ψύχει πρότερον, ἢν τύχῃ γενόμενον. ἐρέω δὲ πρότερον περὶ τοῦ ὡς θερμαίνει. φημὶ οὖν, ἢν ἐν τῷ αὐτῷ ἀνθρώπῳ ἐνέῃ τι νοσηρὸν ὁκοῖον ἐν τῷ προτέρῳ εἴρηκα, καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια γένηται καὶ θερμαίνηται ὁ ἄνθρωπος, ταράσσεσθαι τὸ ὑγρὸν πᾶν θερμαινόμενον ἐν τῷ σώματι, τοῦτο δὲ ποιέει βίη. καὶ ἢν μὲν ἀποκαθαίρηται ὁ ἄνθρωπος, τοῦ δὲ ταρασσομένου, ἀποκρίνεται ὁκόσον ἂν πλέον ἢ τοῦ καιροῦ. ἔοικε δὲ τοῦτο ὥσπερ οἱ Σκύθαι ποιέουσιν ἐκ τοῦ ἱππείου γάλακτος. ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα σείουσι. τὸ

celeriter transcolarint, ex eo ſane febris ſuborietur, minime vero, ſi prior humor aequalis fuerit. Si vero in immoderato labore horum copia in corpore permaneat, ſuperat ille. Atque haec quidem de vi, quaenam in corpore conficiat, dicta ſunt. Iſtaque duo principia, nempe vis et plenitudo, niſi homines repurgentur, corpora caleſaciunt. Quod vero ex coelo dependet principium, ſi homini minime commodum fuerit, aliquid humoris ſuperat et tanquam ad morbum viam faciens, caleſacit, priusque, ſi ita contigerit, refrigerat. Prius autem quomodo caleſaciat dicendum. Mea igitur opinione, ſi in ipſo homine morboſum aliquid inſit, quale prius dictum eſt et ea quae ex coelo pendent minime commoda fuerint, homoque incaleſcat, totus corporis humor incaleſcens conturbatur, idque vis praeſtat. Et ſiquidem homo repurgatur, de conturbato humore, quantum plus aequo abundat, ſecernitur. Iſtud vero ſimiliter ſe habet ut id quod ex lacte equino Scythae conficiunt. Lac enim in vaſa lignea cava affuſum agitant, conturbatum vero ſpumeſcit ac ſopa-

Ed. Chart. VII. [610.] Foël. I. 508. 509. Ed. Lind. II. (144. 145.)

δὲ ταρασσόμενον ἀφριεῖ καὶ διακρίνεται, καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσιν, ἐπιπολῆς δίσταται, ἐλαφρὸν ἐόν· τὸ δὲ βαρὺ καὶ παχὺ κάτω ἵσταται, ὃ καὶ ἀποκρίναντες ξηραίνουσιν. ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην μὲν καλέουσιν. (145) ὁ δὲ ὀρρὸς τοῦ γάλακτος ἐν μέσῳ ἐστίν. οὕτως δὲ καὶ ἐν τῷ ἀνθρώπῳ ταρασσομένου τοῦ ὑγροῦ πᾶν τὸ ἐν τῷ σώματι ὑπὸ τῶν ἀρχῶν δίσταται ὧν εἴρηκα οἱ πάντα, καὶ ἐπιπολῆς μὲν τὸ τῆς χολῆς δίσταται· κουφότατον γάρ ἐστι· δεύτερον δὲ τοῦ αἵματος· τρίτον δὲ τοῦ φλέγματος. βαρύτατον δέ ἐστι τῶν ὑγρῶν τούτων ὁ ὕδρωψ. τούτων δὲ ὄντων ὅ τι ἂν ἐν νούσῳ πλεῖστον ᾖ, ἐν ἀρχῇσι γινομένης τῆς ταραχῆς ἔρχεται εἰς χωρίον ἵνα ἂν πλεῖστον εἴη· ἐν δὲ τῇ ταραχῇ εὐρυχωρίης γινομένης εἰλέεται ἀποκεκριμένον || καὶ θερμαίνει τὸ σῶμα, ἢ στήριξιν ἔχον πῇ τοῦ σώματος σὺν τῷ ἄλλῳ ὑγρῷ τῷ συιεόντι ἐν τῷ ἄλλῳ χωρίῳ πόνον καὶ θέρμην παρέχει. τὸ δὲ θερμαινόμενον προσξυνθερμαίνει καὶ τὸ ἄλλο σῶμα, κἀκ τούτου ὁ πυρετὸς γίνεται, καὶ γίνεται μᾶλλον ἀπὸ τῆς χολῆς καὶ τοῦ φλέγματος καὶ ἀπὸ τοῦ

ratur, et pingue quidem, quod butyrum vocant, cum leve ſit, in ſummo ſeponitur, grave vero et craſſum ſubſidet, quod etiam ſeparantes ſiccant. Quod cum concretum et ſiccatum fuerit, hippacen vocant. Lactis vero ſerum medium locum habet. Ad hunc vero etiam modum commoto humore, quicquid in corpore continetur, ab his principiis quae dixi omnia ſeponitur, et bilis quidem cum ſit leviſſima, in ſuperficiem diſcedit, ſecundo loco ſanguis, tertio pituita. Ex his autem humoribus maxime gravis eſt aqua. Cum autem haec ita ſe habeant, quicquid in morbo copia abundat, dum turbatio in principiis contingit, ad locum fertur in quo plurimum ſuperat. In turbatione autem amplam capacitatem nactum ſecretum volvitur, et corpus calefacit, aut in aliqua corporis parte adhaereſcens una cum alio humore qui in alio loco eſt dolorem et calorem exhibet. Quod vero incaleſcit, reliquum corpus etiam calefacit, ex eoque febris contingit, fereque ex bile et pituita et ſanguine oritur, quae calidiſſima

Ed. Chart. VII. [610. 611.] Foës. I. 509. Ed. Lind. II. (145. 146.)

αἷμαιος. θερμότατα γὰρ ταῦτα ἐστὶ, καὶ ἤν τι τούτων ἀποστηρίξῃ πη τοῦ σώματος, ὡς ἐπιτοπλεῖστον ὠνόμασται κεῖθεν τὸ νούσημα καὶ ἐπωνυμίην ἔχει. ἀπὸ δὲ τοῦ ὕδρωπος οὐ γίνεται πυρετὸς ἰσχυρὸς κάρτα οὐδὲ πολυχρόνιος. τῷ γὰρ πυρὶ οὐκ ἀγαθὴ τροφὴ ὁ ὕδρωψ ἐστίν. καὶ ταῦτα μὲν ἐς τοῦτο εἴρηται. πρὶν δὲ ταραχθῆναι οὐκ ἔχει ἐκχωρέειν τὸ πλεῖον τοῦ ὑγροῦ, ἀλλ' ἄνω καὶ κάτω εἰλέεται μεμιγμένον τῷ ἄλλῳ ὑγρῷ. πάντα γὰρ πλήρεα ἐστίν. ἐν δὲ τῇ ταραχῇ κενοῦται. κενοῦται δέ τι ἕτερον ἑτέρου μᾶλλον, καὶ τὸ πλεῖον ἑὸν χωρίον κατίσχει. καὶ τὸ μὲν ἀλλότριον οὐκ ἐπιμίσγεται τῷ ἄλλῳ, ἢν περιστηρίξῃ, πρὶν ἰσωθῇ ἐς δύνα(146)μιν. ἔστι δέ μιν ἰσοῦσθαι καὶ ὃ ἐπ' αὐτοῦ ἐπανέλθοι ἐς τὴν νοῦσον, ἕως οὗ ἀποκαθαρθῇ τὸ χωρίον, ὁποίη ἡ κάθαρσίς ἐστιν. ἢν δὴ πολλὸν ἔῃ τὸ πονέον, ἐπαυρίσκεται καὶ ἐξαναλίσκεται ἐς τὴν νοῦσον καὶ τὸ ἄλλο πρὶν ὑγιηρὸν εὖν, καὶ θνήσκει ὁ ἄνθρωπος τρόπῳ τοιῷδε. πρόσε[611]παυρίσκεται γὰρ, ἢν μηκέτι τροφὴν ὀρκέουσαν ἔχῃ τὸ νούσημα, ἀλλ' ἐξαναλίσκεται ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐν τῷ ἐπιπόνῳ χωρίῳ ἐόντος. πρῶ-

exiſtunt. Et ſi quid horum in aliquam corporis partem incubuerit, plerumque inde morbus nominatur et appellationem habet. Ex aqua autem neque admodum vehemens neque diuturna febris oritur, cum aqua igni minime idoneum ſuppeditet alimentum. Ac de his quidem hactenus. Ante turbationem vero non habet quo ſecedat humor qui copia ſuperet, ſed cum alio humore permixtus ſurſum et deorſum volutatur, cum omnia plena ſint: dum moventur autem, vacuantur. Atque alterum altero magis evacuatur, quodque copia ſuperat, loco continetur, et quod alienum eſt, cum altero non permiſcetur, ſi circum adhaereſcat, niſi viribus adaequatum fuerit. Viribus autem adaequatur et quod ex ipſo ad morbum accedit, quoad locus repurgetur, quaecunque fuerit purgatio. Quod ſi copioſum eſt id quod affligit, et aliud quod prius ſalubre erat ad morbum exhauritur et abſumitur, eoque modo homo perit. Inſuper enim exhauritur, ſi morbo non ſatis ſuperfuerit alimenti, ſed ab humore qui in loco dolente eſt abſumitur. Primum quod

Ed. Chart. VII. [611.] Foël. I. 509. Ed. Lind. II. (146. 147.)

τον τὸ πλησίον προσλαμβάνει. εἶτα ἐπὶ τῷ προσωτέρω νέμεται, μέχρις ἂν ἐξαναλωθῇ καὶ μηκέτι ἐνῇ τῷ σώματι τροφή. τροφὴ δέ ἐστιν ἀνθρώπῳ τὸ κοῦφον ὑγρόν. ὥσπερ οὖν χρὴ τὸ πρῶτον κατὰ μικρὸν σηπεδὼν ἐγένετο, ἢν μάλιστα θερμαίνηται. ἔπειτα ἐπὴν κεῖθι τῇ σηπεδόνι τροφὴ μηκέτι ἀρκέει, νέμεται ἀπὸ τοῦ ὑγιέος τοῦ πλησίον ἀρξαμένη πρὸς τὸ σῶμα, μέχρις ἂν ὅλον τὸ σαρκῶδες σήψῃ. ἐπεὶ δὲ ὡς ἐπίπαν νέμηται, ἀναλοῦται ἡ τροφὴ τῇ σηπεδόνι. οὕτω δὴ καὶ τῇ νούσῳ ἀπὸ τοῦ χωρίου κείνου ἀρξαμένη, ἐπὴν κεῖθι ἡ τροφὴ μηκέτι ἀρκέουσα ἐνῇ, νέμεται, ἐς τὸ πρόσω ἀπὸ τοῦ πλησίον ἀρξαμένη. ἐπὴν γὰρ ἐπίπαν ἔλθοι, ἀνάλωται ἡ τροφὴ τῇ νούσῳ καὶ ἕτερον ὑγιηρὸν οὐκ ἐπικρατέει, κἢν τοῦτο γένηται, θνήσκει ὁ ἄνθρωπος. ἔτι δὲ ἐν τῇ ταραχῇ, ἐπὴν τοῦτο πλέονος χωρίου λάβηται καὶ μὴ στηρίξῃ, ἀλλὰ εἰλέηται, οὐκ ἔτι τῷ ἄλλῳ μίσγεται, ἀλλ' ἐξαναλίσκεται ἐς τὴν νοῦσον, ἢν μὴ ἀποκαθαίρηται. εἶτα αἱ φλέβες ὑπερπίμπλανται. πλήθουσαι δὲ κάρτα οὐ χαλῶσιν ἐξ (147) αὐτέων,

propinquum eſt abſumit, deinde ulteriora depaſcitur, donec conſumptum fuerit, neque amplius ſuperſit corpori alimentum. Levis autem humor hominis eſt alimentum. Quemadmodum igitur par eſt, primum ſi maxime incaleſcat, putredo ſenſim oboritur, deinde poſtquam illic alimenti putredini non ſatis ſuppetit, in corpus ſerpit initio ab eo quod ſanum eſt et propinquum ducto, quoad quod totum carnoſum eſt putredinem conceperit. Poſtquam autem in totum depaſtum eſt, putredinis alimentum conſumitur. Sic ſane etiam in morbo, initio a loco ducto, poſtquam illic non ſatis ſuppetit alimenti, ulterius depaſcitur, ab eo quod vicinum eſt ſumpto exordio. Ubi enim ad totum pervenerit morbi alimentum conſumitur, nec aliud quod ſalubre eſt ſuperat, idque dum contingit homo moritur. Quin etiam ubi hic in conturbatione ampliorem locum acceperit neque firmatus fuerit, ſed volutatur, non amplius cum alio permiſcetur, ſed in morbum inſumitur, niſi repurgetur. Deinde venae ſupra modum implentur, valdeque impletae nihil ante ex

Ed. Chart. VII. [611.] Foës. I. 509. 510. Ed. Lind. II. (147.)
πρὶν εὐρυχωρίη σφὶν γένηται. ὥσπερ ἐπήν τις πληγῇ καρτερῶς, ὑποτρέχει ὑπὸ πληγὴν αἷμα, ἅτε τῶν φλεβέων κενωθεισέων ὑπὸ τῆς πληγῆς. ἐπὴν δὲ αἱ σάρκες πλησθῶσιν ὅκως περ σπόγγος, οὐκ ἔτι χαλῶσιν, ἀλλὰ ἔχουσιν ἐν ἑωυτῇσι μέχρις οὗ κενωθῇ κατὰ χωρίον τι αὐτέων. ἀπολαμβάνει γὰρ ἐπὴν ξυλλεχθῇ τὸ αἷμα τὴν ὁδὸν ὑπὸ πλήθεος, ὥσπερ εἴ τις λήκυθον σκυτίνην στενόστομον ἐμπλήσας ἀλείφατος καταστρέψειεν ἐπὶ τὸ στόμα κατ' ἰθύ, κἂν τοῦτο ποιήσειεν, οὐ δυνήσηται ἐξ αὐτῆς χωρέειν τὸ ἔλαιον. ἔπιξε γὰρ τὴν ὁδὸν τὸ ἄλειφα, ἅτε πολλὸν καὶ ἄλες ἐπικείμενον. ἢν δὲ ἐπικλίνῃ τις τὴν λήκυθον, κενεὴ ἔσται ἡ ἀπὸ τοῦ στόματος πτὶξ, ἢ ῥεύσεται ἐξ αὐτῆς τὸ ἄλειφα. τὸ δ' αὐτὸ ποιήσειε καὶ ἐπὶ τραπέζης ὕδωρ. οὕτω δὴ καὶ ἐπὴν τὸ πλεῖστον ὑγρὸν ἐν τῷ σώματι ὑπὸ τῆς ταραχῆς χωρίου λάβηται καὶ πλήσειε τὰς φλέβας, οὐκ ἔτι ἀπέρχεται ἐξ αὐτέων πρὶν ἢ ὅκου ἐστὶ τὸ χωρίον κενεὸν, τῆς τροφῆς ἐξαναλισκομένης τῇ νούσῳ || καὶ ταῦτα μὲν εἴρηταί μοι, ἐπήν τι ἐν τῷ σώματι ᾖ, ἀφ' ὧν αἳ

se dimittunt quam amplam capacitatem nactae sint. Non secus ac si quis vehementer percussus fuerit, sanguis ad vulnus decurrit, venis nimirum per vulnus evacuatis. Ubi vero carnes tanquam spongia oppletae fuerint, non amplius dimittunt, sed in se retinent, quoad ex ipsis aliquid per locum vacuetur. Cum enim in unum collectus sanguis fuerit, prae copia viam intercipit. Quemadmodum si quis ampullam olearium coriaceam angusti oris oleo plenam recta in os obvertat, idque cum fecerit, ex ea oleum prodire non poterit. Oleum enim copiosum et confertim incidens viam coarctavit. Quod si quis ampullam olearium paulum inclinet, tolletur oris obturatio, per quam ex ipsa oleum effluet. Idem etiam in aqua supra mensam effusa experiri licet. Ad hunc sane modum ubi plurimus corporis humor in conturbatione locum occupaverit, et venas impleverit, non amplius ab eis discedit, nisi si locus vacuus fuerit, unde morbi oriuntur, morbi alimento consumpto. Atque ista quidem a me dicta sunt, ubi quid in corpore fuerit, unde morbi orium-

Ed. Chart. VII. [611. 612.] Foës. I. 510. Ed. Lind. II. (147. 148.)
νοῦσοι γίνονται, πληθυόντων καὶ τῶν ἄλλων καὶ ὅκως ἐργάζονται αἱ ἀρχαὶ τὴν θέρμην καὶ τὴν ταραχὴν τῷ ὑγρῷ ὑπάγουσαι ἐς νοῦσον. νῦν δὲ ἐρέω τὰ ἐκ τοῦ οὐρανοῦ. ἢν ἀνεπιτήδεια γένηται φύντα ἐν τῷ σώματι, τίνα ἐργάζεται καὶ ὁκόταν κρατέῃ ἐν τῷ σώματι τοῦ ὑγροῦ. φημὶ δὲ τὸ μέν τι ξυστρέφεσθαι καὶ παχύνεσθαι τῆς ἐν τῷ ἀνθρώπῳ [612] ἰκμά-(148)δος, ἐπὴν τηχθῇ ἕως νοῦσον ἀποτέκῃ, τότε διευρύνεσθαι καὶ διακρίνεσθαι. ἔοικε καὶ τοῦτο τὸ πάθος γάλακτι. ἐπήν τις ὀπὸν ἐμβάλῃ ἐς τὸ γάλα, ψύξις γενομένη ἐπ' αὐτῷ τῷ γάλακτι, συνεπάχυνε τὸ γάλα καὶ ὁμοῦ ἐποίησε. περὶ δὲ τὸ παχυνθὲν ὁ ὀρρός ἐστιν. οὕτω δὴ καὶ ἐπ' ἀνθρώπῳ τὸ ὑγρὸν τῆς ἐπὶ νούσου ψύξιος γινομένης ξυνεστράφη καὶ ξυνεπαχύνθη. περὶ δὲ αὐτὸν τὸν ὕδρωπα ἐστὶ καὶ τὸ ἄλλο ὑγρὸν, ὁκόσῳ ἂν πλεῖον ἔῃ ἐν τῷ ἄλλῳ σώματι ξυμμέμικται. ἀλλ' ἢν μὲν εἰς τὴν κοιλίην ἔλθῃ, διετάραξε τὴν κόπρον καὶ στρόφον ἐν τῇ κοιλίῃ ἐποίησε καὶ διεξῆλθεν ἔξω, οὐδὲν μέγα σῖτος παρασχών. ἢν δὲ μὴ ἐς τὴν κοιλίην ἔλθῃ, στηρίζει τοῦ σώματός πῃ, ἵνα οἱ εὐρυχωρίη πλείστη. εἰλέεται

tur, aliis etiam redundantibus et quomodo principia humori calorem et turbationem afferant et ad morbum deducant. Nunc vero dicendum quaenam in corpore efficere foleant, quae a coelo dependent, si incommoda fuerint et cum corporis humorem superarint. Affero autem partem ejus humoris qui est in homine, cum colliquatus fuerit, in se concrescere et incrassari, donec morbum pariat, partem vero dilatari et disparari. Quae affectio cum lacte affinitatem habet. Si quis coagulum in lac injecerit, frigiditas in eo oborta lac incrassat et in se cogit, horum autem quod incrassatum est ambit. Ad eum fane modum in homine humor refrigeratione in morbo suborta concrevit et incrassatus est. At circum ipsum aquosum humorem alius etiam humor est, qui quo copiosior in reliquo corpore fuerit, eo magis commiscetur. Verum si quidem ad alvum deferatur, stercus commovet et in alvo tormina excitat, forasque exit nulla magna illata noxia. At si ad alvum non deferatur, ad eam corporis partem adhaerescit, in qua plurimam capacitatem adeptus

Ed. Chart. VII, [612.] Foeſ. I. 510. Ed. Lind. II. (148. 149.)

οὖν ἐξευρὸν ἑαυτῷ εὐρυχωρίην, καὶ τοῦ μὲν ὕδρωπος τὸ ἀποκριθὲν ἀπὸ τῆς σύστροφῆς ἔρχεται, ἅτε ψυχρότατον καὶ βαρύτατον ἐὸν ἐν τῷ σώματι, ἐς τὸ κάτω καὶ περὶ τὰ ὀστέα καὶ περὶ τὰ νεῦρα εἰλούμενα ἔτι μᾶλλον τὸ σῶμα ἐς φλεγμονὴν ἄγει, καὶ δηλονότι περὶ τὰ νεῦρα καὶ μάλιστα περὶ τὰ ὀστέα ὁ ὕδρωψ ὁ τὸν χυμὸν ποιέων ἐστί. τὰ γὰρ ὀστάδεα τοῦ σώματος μάλιστα ῥιγᾷ ὁ ἄνθρωπος, καὶ αἱ τρίχες ὀρθαὶ ἵστανται ξυστραφείσης τῆς ἐπιδερμίδος καὶ ξηροτέρης γινομένης ἢ ἐν τῷ πρὶν χρόνῳ, ἅτε τοῦ ὕδρωπος ἐκλείποντος αὐτόθεν καὶ περὶ τὰ ὀστέα εἰληθέντος. ἐντεῦθεν δὴ μοῦνον τὸ χωρίον ὅκου ἐστὶ τὸν πρῶτον χρόνον οὐ δύναται χυμὸν ποιέειν ὄθεν καὶ τὸ ῥῖγος γίνεται. τὸ δὲ ἄλλο ὑγρὸν, τὸ ἰσώτατον παχυνθὲν, τὸ (149) ἐν τῷ σώματι παντί ἐστι. τὸ δὲ ὅσῳ πλέον, ἢν μὲν δὴ τύχῃ ἡ κοιλίη πλέη ἐοῦσα καὶ ὀλίγον ἢ τὸ λυπέον, ἔρχεται ἔστιν ὅτε ἐς τὴν κοιλίην καὶ σῖτος οὐδὲν μέγα ἐποίησε. καὶ ποτὲ μὲν πῦρ οὐκ ἐπήγαγε, ποτὲ δὲ βληχρὸν καὶ ἀσινὲς, καὶ ἐξῆλθε τὸ πονέον ξὺν τῇ κόπρῳ. ἢν δὲ ἡ κοιλίη

fuerit. Locum igitur amplum ſibi nactus, in eo volutatur, et quod quidem aquoſi humoris ex concretione ſecernitur, cum nimirum in corpore frigidiſſimum et graviſſimum exiſtat, ad inferiora deſcendit et circum oſſa et nervos cumulatum, eo majorem corpori inflammationem inducit, et circa nervos videlicet, praeſertimque circa oſſa, aquoſus humor humorem faciens exiſtit. Oſſeae enim praecipue corporis partes in homine rigore corripiuntur, pilique eriguntur ſumma cute concreſcente et ſicciore quam antea reddita, deficiente nimirum iſthic aquoſo humore et circum oſſa convoluto. Hinc ſane ſolus locus ubi antea erat humorem facere nequit, unde rigor oritur. Reliquus vero humor aequabiliter condenſatus partim in toto corpore eſt, partim vero quo copioſior fuerit, ſi quidem contigerit ut alvus plena exiſtat, et quod moleſtum eſt paucum ſit, interdum ad alvum deſertur, neque magnam noxam inducit. Et quandoque quidem febrem non infert, quandoque vero debilem et innoxiam, quodque dolorem facit una cum ſtercore foras prodit. Quod ſi alvus plena co-

Ed. Chart. VII. [612.] Foës. I. 510. Ed. Lind. II. (149.)

πλήρης ἐοῦσα πολλὸν ἔχῃ τὸ λυπέον, κίνδυνός ἐστιν ἐξ αὐτέου νοῦσον τινὰ γενέσθαι, ἤν πη στηρίξῃ τὸ σινεόμενον ἢ πρὸς πλευρὸν ἢ πρὸς σπλάγχνον, ἤ πη ἄλλη ξυνθερμαίνῃ, ἵνα ξυνταράξῃ πρῶτον ἐκεῖνο. ὁκόσοισι δὲ οὐχὶ κάρτα πρὸς τῆς θέρμης ὑπὸ τοῦ ὕδρωπος νενικημένον, ἅτε περὶ τοῖσιν ὀστέοισιν ἐόντος καὶ πλησίον τοῦ μυελοῦ. χρόνῳ δὲ μᾶλλον ὅσα εἴη, πρῶτον μὲν αὐτὸ τὸ χωρίον, ἔπειτα τὸ πλησίον αὐτοῦ καὶ δὴ νέμεται ἐς τὸ προσωτέρω, καὶ ἡ κοιλίη οἱ προσλαμβάνει, θερμὴ ἐοῦσα. ἔπειτα ἐπὶ μᾶλλον θερμαίνει ἥ τε κοιλίη καὶ τὸ σινόμενον. τὸ δὲ ὑγρὸν παχὺ θερμαινόμενον διαχέεται πρῶτον τὸ πλησίον τοῦ πονέοντος ἐόν. διαχεόμενον δὲ μίσγεται τῷ πονέοντι ὕδρωπι, εἶτα κενεώτερον ἐγένετο τοῦ σώματος ἐν τῇ ξυστροφῇ, καὶ μέχρι τούτου ῥῖγος ἔχει, μέχρις οὗ ὁ ὕδρωψ τῷ ἄλλῳ ὑγρῷ καὶ τὸ πῦρ ὧδε γενηθὲν γίνεται. τὰ γὰρ πονέοντα πρὸς τὸ χωρίον στηρίξαντα θερμαινόμενον τῷ σῶμα, ἀναγκάζει ἐς ἑωυτὸ πῦρ γίνεσθαι. καὶ ὑπὲρ τοῦ σινεομένου καὶ ὑπὸ τῆς κοιλίης θερμανθὲν

pioſum habeat quod moleſtum eſt, periculum eſt ne ex eo morbus aliquis ſuboriatur, ſi quod noxium eſt aliquam in partem incumbat, vel ad latus vel ad viſcus aut aliam quampiam partem ſimul caleſaciat, uti primum illum humorem conturbet. Quibus vero non multum ad calorem acceſſit, id ab aquoſo humore ſuperatum eſt, cum nimirum circa oſſa et prope medullam conſiſtat. Procedente vero tempore magis afficiuntur quae prope ſunt, ac primum quidem locus ipſe, deinde quod ipſi vicinum eſt et ſane ulterius depaſcitur, et alvus cum calida exiſtat, eum ſuſcipit, deinde tum alvus tum noxius hunc magis caleſacit. Craſſus autem humor ubi incaluit, primum is diffunditur qui affligenti vicinus eſt, diffuſus vero affligenti aquoſo humori commiſcetur, deinde in corporis concretione magis vacuatur. Et quousque aquoſus humor reliquo humori permiſcetur, tamdiu rigor detinet. Quin etiam febris ad hunc modum oritur. Quae enim moleſta ſunt ad locum inhaerentia, corpus incaleſcens in ſe febrem contrahere cogunt, et ab eo quod noxium eſt et ab

Ed. Chart. VII. [612. 613.] Foës. I. 510. 511. Ed. Lind. II. (149. 150.)
ἐπικρατέει τοῦ ἄλλου ὕδρωπος καὶ οὕτω τὸ μὲν πῦρ μετὰ τὸν κρυμὸν, ἢν πη τοῦ σώματος στηρί(150)ξῃ τὸ ὑγρὸν τὸ πλεῖον. ἢν δὲ εἰλέηται τρόπῳ τοιῷδε γίνεται. [613] || μετὰ τὸν κρυμὸν τὸ πῦρ εἰλέηται μάλιστα πονεόμενον, περὶ τὴν κοιλίην καὶ τὴν ἄνω καὶ τὴν κάτω. ἔνθεν γὰρ ἡ εὐρυχωρίη πλείστη ἐστίν. εἰλεομένου δὲ αὐτοῦ πρῶτον τὰ πλησίον θερμαίνεται, τά τε σπλάγχνα καὶ τὰ ἐν τῇ κοιλίῃ ἐς τὴν θέρμην. ἔπειτα ἐπαυρίσκεται τῆς θέρμης καὶ τὸ ἄλλο ὑγρὸν διαχεόμενον μίσγεται τῷ ὕδρωπι, καὶ τὸ πῦρ μετὰ τὸ ῥῖγος ἐνθάδε γίνεται, ἐπὴν μὴ εἰλέηται τὸ πονέον, ἀλλὰ στηρίξῃ πρὸς τοῦ σώματός πη. ταῦτα δέ μοι εἴρηται, ὅκως τε τὸ ῥῖγος γίνεται τὸ νοσῶδες καὶ ὁκότε καὶ ὅκως καὶ ὁκοίης ἐξ ἀνάγκης ὁ πυρετὸς μετὰ τοῦτο ἐπεισπίπτει, καὶ αἵτινες αἱ ἀρχαὶ τῶν νούσων εἰσὶ, καὶ ὁκοίην ἑκάστη αὐτέων νοῦσον ἐν τῷ σώματι ἐπάγει, καὶ ὅκως τε καὶ διότι ἐν τῇσι περισσῇσιν ἡμέρῃσιν αἱ νοῦσοι κρίνονται, καὶ ὑπ' ὅτευ ὑγιαίνουσιν οἱ ἄνθρωποι, καὶ ὑπ' ὅτευ νοσέουσι, καὶ ἥ τε χολὴ καὶ τὸ φλέγμα πλέον καὶ ἔλασσον γίνεται, καὶ τἆλλα ἐν αὐτῷ

alvo calefactum, reliquum aquoſum humorem ſuperat. Atque ita quidem poſt frigus fit, ſi copioſus humor in aliquam corporis partem incubuerit. Quod ſi convolvatur, hoc modo oritur. Poſt frigus febris convolvitur circa alvum tum ſuperiorem tum inferiorem maxime affligens. Ibi enim maxime ampla eſt capacitas. Cum autem volvitur, primum incaleſcunt quae propinqua ſunt tum viſcera tum quae in ventre calida ſunt. Deinde etiam reliquus humor calorem haurit, et diffuſus aquoſo humori admiſcetur, febrisque poſt rigorem hoc loco oritur, cum quod moleſtum eſt minime convolvitur, ſed ad aliquam corporis partem adhaeſerit. Atque iſta a me dicta ſunt quomodo et quando morboſus rigor fiat, et quanam ratione, quodque poſt hunc febrem incidere neceſſe ſit, et quaenam ſint morborum principia, quemque morbum eorum unumquodque corpori adſerat, quaque ratione et quam ob cauſam morbi diebus imparibus judicantur, et ex quo homines ſani ſint et ex quo aegrotent, tum etiam bilis tum pituita copioſior et paucior fiat. Multa quoque alia quae

Ed. Chart. VII. [6, 3.] Foës. I. 511. Ed. Lind. II. (150. 151.)
φύσει ἐόντα ἐν τῇ ἀνθρωπίνῃ ἀπέδειξα πολλά, ὁκόσα καὶ ἀπεδέχετο οὗτος ὁ λόγος, καὶ ταῦτα μὲν εἰρημένα οὕτως τέλος ἔχει. νῦν δὲ ἐρέω περὶ ἑλμίνθων τῶν πλατειῶν. γίνεσθαι γάρ φημι ἐν τῷ παιδίῳ ἐν τῇσι μήτρῃσιν ἐόντι. οὐ γάρ ἐστιν ἐπὴν ἅπαξ ἐκ τῶν μητρέων ἐξέλθῃ χρόνος τῇ κόπρῳ ἐν τῇ κοιλίῃ τοσοῦτος, ὥστε σαπείσης καὶ χρονισάσης ζῶον παγῆναι ἐν αὐτῇ, ὅ τι τοσοῦτον μεγέθει γίνεται. ἀποπατέει γὰρ ἀεὶ τὴν ἔωλον κόπρον (151) ἀνὰ πάσας ἡμέρας, ἢν μέλλῃ ὑγιαίνειν ὁ ἄνθρωπος. γίνοιτο δ' ἂν τοιοῦτο ζῶον οὐ δ' ἢν πολλῶν ἡμερέων μὴ ἀποπατήσῃ ἄνθρωπος. πολλὰ γὰρ γίνεται ἐν τῇσι μήτρῃσιν ἐόντι τῷ παιδίῳ τρόπῳ τοιῷδε. ἐπὴν γένηται πῦος καυσώδες ἀπὸ τοῦ γάλακτος καὶ τοῦ αἵματος συσσηπομένου καὶ πλεονάζοντος, ἅτε γλυκέος ἐόντος, ζῶον ἀπογεννᾶται αὐτόθι. γίνονται δὲ καὶ στρογγύλαι ἕλμινθες αὐτοῦ τρόπῳ τῷ αὐτῷ. σημήϊον δὲ ὅτι τοῦθ' οὕτως ἔχει, ἐπὴν τὰ παιδία γένηται, ψωμίζουσιν αὐτὰ αἱ γυναῖκες τὰ αὐτὰ φάρμακα, ὥστε ἂν κόπρος ἐξέλθῃ ἐκ τοῦ ἐντέρου καὶ μὴ ξυγκαυθῇ καὶ ἅμα τὸ ἔντερον εὐρυνθῇ, ἐπὴν

in ipso et natura humana insunt, quaeque haec exigebat oratio demonstravi. Et haec quidem hoc modo commemorata ad exitum perducta sunt. At nunc de lumbricis latis dicendum. Eos enim in puero, dum adhuc in utero est, gigni affero. Neque enim ubi semel uterum egressus est, tanto tempore stercus in alvo manet, ut ex eo putrefacto et diutius permanente tantae magnitudinis animal in ea concrescere possit. Qui enim sanus futurus est, hesternum stercus semper quotidie per alvum demittit. Tale autem animal, neque si per multos dies ventrem non exoneret, gigni non possit. Multa enim puero in utero existenti ad hunc modum gignuntur. Ubi ex lacte et sanguine computrescente ac redundante, quod nimirum dulce existat, pus aestuosum factum fuerit, illic animal generatur. Teretes vero lumbrici isthic eodem modo nascuntur. Eamque rem ita se habere hoc est indicio. Ubi pueri in lucem sunt editi, iis mulieres haec medicamenta cibo in os indito offerunt, ut stercus ex intestino exeat et minime adurat, simulque ut intestinum dila-

Ed. Chart. VII. [613. 614.] Foës. I. 511. Ed. Lind. II. (151. 152.)
ψωμίσωσι πολλὰ δὴ τῶν παιδίων καὶ στρογγύλας καὶ πλατείας ἑλμινθας ἀπεπάτησαν ἅμα τῇ κόπρῳ τῇ πρώτῃ. ἢν δὲ μὴ ἀποπαίσῃ, γίνονται καὶ ἐν τῇσι γαστρὸσι, καὶ αἱ μὲν στρογγύλαι τίκτουσιν, αἱ δὲ πλατεῖαι οὐκ ἔτι. καίτοι φασὶ τίκτειν αὐτάς. ἀποπατέει γὰρ ὁ ἄνθρωπος ἔχων τὴν ἕλμινθα τὴν πλατεῖαν, οἷόν σικύου σπέρμα ἄλλοτε καὶ ἄλλοτε σὺν τῇ κόπρῳ, καὶ τοῦτόν εἰσιν οἱ φήσαντες τῶν ἀνθρώπων τῆς ἕλμινθος τέκνα εἶναι. ἐμοὶ δὲ δοκέουσι λέγειν οὐκ ὀρθῶς οἱ τὰ τοιαῦτα λέγοντες. οὔτε γὰρ ἀφ' ἑνὸς ζώου γένοιτ' ἂν τοσαῦτα νεόσσια, οὔτ' εὐρυχωρίη ἐστὶν ἐν τῷ ἐντέρῳ, [614] ὡς ἐκτρέφειν τέκνα. τῷ δὲ παιδίῳ αὐξομένῳ αὔξεται ἐν τῷ ἐντέρῳ καὶ ἕλμινς ἀπὸ τῶν ἐς τὴν κοιλίην ἐσιόντων, καὶ γίνεται ἴση τῷ ἐντέρῳ, τοῖσι μὲν ἅμα τῇ ἥβῃ, τοῖσι δὲ ὕστερον, τοῖσι δὲ πρόσθεν ὀλίγῳ. καὶ ἐπὴν ἰσωθῇ τῷ ἐντέρῳ, ὁμοίως (152) ἐπαύξεται, καὶ ὁκόσα ἂν μείζω γένηται, ἀποκρίνεται ἀπὸ τοῦ ἀρχοῦ σὺν τῷ ἀποπάτῳ, καὶ ἐκπίπτει οἷον σικύου σπέρμα. πολλάκις δὲ καὶ μέζω. ἔστι δὲ οἷσιν ὁδοιπορέουσιν ἢ ταλαιπωρέουσι καὶ τῆς κοιλίης θερμαινο-

tetur. Quo cibo in os indito multi fane pueri tum rotundos tum latos lumbricos una cum primo ſtercore per alvum demiſerunt. Quod ſi non egeſſerint, etiam in ventribus gignuntur. Et teretes quidem pariunt, lati vero non amplius, etſi eos parere dicunt. Qui enim latum lumbricum habet, is qualequid cucumeris ſemen ſubinde cum ſtercore per alvum egerit, idque lumbrici partum eſſe quidam affirmant. Mihi vero iſti haud recte ſentire videntur. Neque enim ab uno animali tot pulli naſci poſſint, neque tanta eſt in inteſtino capacitas ut partus educare queat. Increſcente autem puero, lumbricus etiam ex his quae in ventriculum ingeſta ſunt in inteſtino increſcit, et his quidem cum pubertate, quibusdam etiam poſterius, aliis vero paulo ante, inteſtino aequalis evadit. Et ubi inteſtino adaequatus fuerit, ſimiliter cum eo increſcit, et quo major extiterit, per rectum inteſtinum una cum ſtercore excernitur et velut cucumeris ſemen excidit, plerumque etiam major. Nonnullis vero iter facientibus aut vehementer laborantibus et ventre incaleſcente

Ed. Chart. VII. [614.] Foël. I. 511. 512. Ed. Lind. II. (152.)

μένης ἔρχεται ἐς τὸ κάτω καὶ ἐξίσχει ἐκ τοῦ ἀρχοῦ αὐτοῖσι τὸ πεφυσηκός. τοῦτό τε ποιέει καὶ ἀποπρίεται ἀπὸ τοῦ ἀρχοῦ ἢ ὀπίσω ἔρχεται. σημήϊα δέ ἐστιν ὅτι οὐ τίκτει, ἀλλ' οὕτως ἔχει ὡς ἐγὼ λέγω. ἐπήν τις ἰῆται τὸν ἄνθρωπον τὴν ἕλμινθα καὶ φάρμακον διδοῖ ἢ ποτὸν, || ἢν μὲν τύχῃ ὁ ἄνθρωπος καλῶς παρεσκευασμένος, ἐξέρχεται ὅλη στρογγύλη γενομένη ὥσπερ σφαῖρα, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος. ἢν δὲ ἐς τὴν φαρμακείην ἔρχηται, καὶ εὐθεῖα ἀπορρήγνυται ἀπὸ τῆς ἕλμινθος, ὁκόσον δύο ἢ τρεῖς πήχεας ἢ καὶ πλεῖον πολλῷ, καὶ ἐπὴν ἀπορρᾳγῇ χρόνῳ πολλῷ, οὐ γίνεται σὺν τῷ ἀποπάτῳ τὰ σημήϊα. ὕστερον δὲ αὔξεται. ταῦτα δὲ ἱστόριά ἐστιν ὅτι οὐ τίκτει ἕλμινς, ἀλλὰ περιρρήγνυται. ἔστι δὲ τὸ εἶδος αὐτῆς ὁκοῖόν περ ἐντέρου ξύσμα λευκόν. σημήϊα δὲ ἴσχει ἀποπατέει τε ἄλλοτε καὶ ἄλλοτε, οἷον σικύου σπέρμα, καὶ ἐπὴν νῆστις ὁ ἄνθρωπος ᾖ, ἀΐσσει πρὸς τὸ ἧπαρ ἄλλοτε καὶ ἄλλοτε καὶ πόνον παρέχει, καὶ ἔστι μὲν ὅτε πτύαλα ἐπιρρέει τῷ στόματι, ἐπὴν ἀΐξῃ πρὸς τὸ ἧπαρ, ὁτὲ δὲ οὐχί. ἔστι δὲ καὶ οἷσιν ἀναυδίην ἐμβάλλει ἐπὴν ἰσχυρῶς προσπέσῃ

deorſum prodit, ipſisque ex recto inteſtino quid inflatum prominet, idque facit et ex ano reſecatur aut retrocedit. Quod vero non pariat, resque velut dico ſe habeat, hoc eſt indicio, quod ſi quis hominem lumbrico laborantem curet, et medicamentum aut potionem exhibeat, ſi quidem homo probe praeparatus fuerit, totus rotundus in pilae formam prodit et homo convaleſcit. Si vero ex medicamento excidat, rectus lumbricus duorum aut trium cubitorum longitudine abrumpitur, aut etiam longe major. Quo abrupto multo tempore cum ſtercore ſigna nulla ſe produnt, poſtea vero increſcunt. Atque haec argumento ſunt lumbricum non parere, ſed circumcirca abrumpi. Eſt autem ejus ſpecies velut album inteſtini ramentum. Haec vero habet indicia, ex alvo ſubinde quale cucumeris ſemen egerit et ubi quis jejunus fuerit, alias atque alias ad hepar impetu fertur et dolorem excitat. Interdum autem ubi ad hepar irrumpit, ſputa ad os affluunt, interdum vero minime. Nonnullis quoque ubi ad hepar vehementer proruperit, vocis defectionem

Ed. Chart. VII. [614.] Foës. I. 512. Ed. Lind. II. (152. 153.)
πρὸς τὸ ἧπαρ, καὶ πτύαλά τε πολλὰ ῥέει ἐκ τοῦ στόματος κάρτα. ὀλίγῳ δὲ ὕστερον ἀνίσταται, καὶ στρόφος ἐγγίνεται πολλὸς ἐν τῇ κοιλίᾳ ἄλλοτε καὶ ἄλλοτε, ἔστι δ' ὅτε καὶ ἐς τὸ μετάφρενον ὀδύνη ἐμ(153)πίπτει. στηρίζει γὰρ καὶ ἐνθάδε. ἔστι δ' ὅτε ταῦτα σημήϊά ἐστιν ἕλμινθος πλατείης. γίνεται δὲ καὶ τόδε. ὃς ἔχει τοῦτο τὸ θηρίον, ἐν μὲν τῷ ξύμπαντι χρόνῳ τείνοντι κάρτα οὐκ ἂν γένοιτο, ἐπειδὰν δὲ ἀσθενήσῃ, μόλις ἀναφέρεται· καὶ γὰρ ἡ ἕλμινς μετέχει τι μόριον τῶν εἰσιόντων ἐς τὴν κοιλίην. ἢν μὲν οὖν μελανθῇ κατὰ τρόπον, ὑγιαίνεται· ἢν δὲ μὴ μελανθῇ, αὐτομάτη οὐκ ἐξέρχεται. θάνατον μέντοι οὐκ ἐπάγει, ἀλλὰ ξυγκαταγηράσκει. ταῦτα δέ μοι εἴρηται περὶ ἕλμινθος πλατείης, ὅθεν γίνεται καὶ τὰ σημήϊα τοῦ νοσεύματος αὐτῆς. περὶ δὲ λιθίδος ἀρχὴ μὲν ἐγγίνεται ἀπὸ τοῦ γάλακτος τῇ νούσῳ, ἐπὴν τὸ παιδίον θηλάζῃ γάλα μὴ καθαρόν. τὸ δὲ γάλα γίνεται ἐν τῇ τροφῇ οὐ καθαρόν, ἐπὴν φλεγματώδεσι τροφῇσι καὶ σιτίοισι καὶ ποτοῖσι χρῆται μὴ καθαροῖσιν ἡ τροφός, ξυμβάλλεται γὰρ πάντα ἐς τὴν κοιλίην πίπτοντα ἐπ' αὐτῷ, ἐς

immittit et ex ore ſputa admodum multa effluunt, quae paulo poſt ſiſtuntur, ſubindeque tormina multa in ventre excitantur. Quandoque etiam ad dorſum dolor fertur, illuc enim etiam incumbit. Interdum vero iſta lumbrici lati ſigna ſunt. Hoc vero etiam contingit. Ei qui hoc animalculum habet, toto quidem tempore nihil horrendum accidit, cum vero debilis extiterit, aegre reficitur. Lumbricus enim eorum quae in ventriculum ingeruntur partem aliquam aſſumit. Si igitur ut convenit curatus fuerit, convaleſcit, ſi vero non curetur, ſua ſponte foras non prodit, mortem autem non infert, ſed ad ſenectutem usque comitatur. Atque iſta quidem a me de lumbrico lato dicta ſunt et de illius ortu, quaeque iſtius morbi ſigna ſint. At vero calculi morbo principium ex lacte oboritur, ubi puer lac impurum ex mamma fugit. Lac autem nutricis impurum redditur, ubi pituitoſis alimentis tum cibis tum potibus impuris ea uſa fuerit. Quae enim in ventriculum immittuntur omnia lacti conferunt. Habet autem ſe res ad

Ed. Chart. VII. [614. 615.] Foës. I. 512. Ed. Lind. II. (153. 154.)
τὸ γάλα. ἔχει δὲ καὶ τόδε οὕτως. ἢν ἡ τροφὸς μὴ ὑγιηρὴ ἔῃ, [615] ἀλλὰ χολώδης ἢ ὑδρωποειδὴς ἢ αἱματώδης ἢ φλεγματώδης, καὶ γάλα γίνεται πονηρὸν τῷ παιδίῳ. συμβάλλεται γὰρ τὸ σῶμα καὶ ἡ κοιλίη. πλεῖστον δὲ ἄγει αὐτῷ ἐς τὸ γάλα ὅ τι ἂν αὐτὸ πλεῖστον ἔχῃ ἐν ἑωυτῷ, καὶ τὸ παιδίον ἢν θηλάζῃ ἀπὸ τῆς τροφοῦ γάλα μὴ καθαρὸν, ἀλλὰ χολῶδες, ὡς ἔλεξα, ἐπίνοσον γίνεται καὶ ἀσθενὲς, καὶ τὸ παρὸν μάλιστα λυπέει, μέχρις ἂν θηλάζῃ γάλα πονηρὸν καὶ ἐπίνοσον, καὶ ἐπὴν θηλάζῃ γάλα μὴ καθαρὸν, ἀλλὰ γεῶδες καὶ φλεγματῶδες καὶ ἔχῃ τὸ παιδίον τὰς φλέβας τὰς ἀπὸ τῆς κοιλίης ἐς τὴν κύστιν τεινούσας, εὐρείας καὶ ὁλκούς. χω(154)ρέεται δὲ καὶ τὸ ποτὸν καὶ τὸ γάλα ὑπὸ τῆς τροφοῦ ἐς τὴν κοιλίην τοῦ παιδίου, ὁκοίην ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ γάλακτος, τὸ πᾶν ὁμοίως ὅ τι ἂν αἱ φλέβες διωθέειν δύνωνται ἐς τὴν κοιλίην, καὶ ἤν τι ἐπὶ τῷ γάλακτι μὴ καθαρὸν ᾖ, τὸ ἐπαυρισκόμενον ἐν τῇ κύστει γίνεται λίθος τρόπῳ τοιῷδε. ὥσπερ ἐφ' ὕδατι μὴ καθαρῷ ταραχθέντι ἐν κύλικι ἢ ἐν χαλκῷ καὶ καταστάντι ὑποστάθμη ἅλις γίνεται ἐν τῷ μέσῳ. οὕτος καὶ ἐν τῇ κύστει ἀπὸ τοῦ

hunc modum. Si nutrix minime ſana fuerit, ſed bile, aquoſo humore, ſanguine aut pituita abundarit, lac quoque puero pravum redditur. Confert enim corpus et ventriculus, plurimum vero ei ad lac conſert, quod ipſum plurimum in ſe habuerit. Puerque ſi de nutrice lac ſugat minime purum, ſed, velut dixi, bilioſum, morboſus et debilis evadit et quoad lac pravum et morboſum ſugit, in praeſentia maxime affligitur. Atque ubi lac minime purum, ſed terrenum ac pituitoſum ſuxerit, venasque a ventriculo ad veſicam pertinentes amplas et attrahentes puer habuerit, potus autem et lac ex nutrice in pueri ventriculum concedit, quale ex ventriculo de lacte trahit, in totum ei ſimile quod venae in ventriculum detrudere potuerint. Et ſi quid in lacte non purum fuerit, id quo fruitur in veſica lapis fit eo modo quo in aqua minime pura, in calice vel vaſe aeneo agitata et depoſita confertim in medio ſedimentum conſiſtit. Ad eundem modum in veſica contingit, cum

Ed. Chart. VII. [615.] Foës. I. 512. 513. Ed. Lind. II. (154.)
οὔρου, μὴ καθαροῦ ἐόντος, καὶ οὐκ ἐξουρέεται, ἅτε ἐν τῷ κοίλῳ ἐοῦσα καὶ μάλιστα ἅλις γινομένη ὑπὸ ὀδύνης οὐ διέρχεται διὰ τῆς οὐρήσιος πήγνυταί τε ὑπὸ τοῦ φλέγματος ὠμοῦ ἐόντος. κόλλα γὰρ γίνεται τῇ ὑποστάθμῃ τὸ φλέγμα μεμιγμένον, καὶ τὸ πρῶτον μικρὴ ἄχνη ἐπιγίνεται, ἔπειτα τὸ ἐπιὸν ψαμμῶδες προσγίνεται, κόλλης γινομένης τοῦ φλέγματος τοῦ ἐν τῇ κύστει ἐνεόντος ἀπὸ τοῦ γάλακτος καὶ αὔξεται, καὶ ὅ τι μὲν ἂν ὑγρὸν ἐν τῇ κολλήσει ἐπιγένηται ἐξουρέεται. || αὖθις δὲ ἡ ὑποστάθμη στερεοῦται ἢ λιθοειδὴς γίνεται, ὥσπερ σίδηρος ἐκ τῶν λίθων καὶ τῆς γῆς συγκαιομένης γίνεται, καὶ ἐν μὲν τῇ πρώτῃ ἐς τὸ πῦρ ἐμβολῇ κεκόλληνται τῇ σκωρίῃ λίθοι καὶ ἡ γῆ πρὸς ἄλληλα, καὶ ἐπὴν τὸ δεύτερον καὶ τὸ τρίτον ἐς τὸ πῦρ ἐμβληθῇ, ἡ μὲν σκωρίη οἷ ἔξω ἔρχεται τηκομένη ἐκ τοῦ σιδήρου καὶ ὄψει ὁρᾶται τὸ γινόμενον. ὁ δὲ σίδηρος λιμπάνεται ἐν τῷ πυρὶ καὶ συμπίπτει προσδιδούσης τῆς σκωρίης καὶ γίνεται στερεός τε καὶ πυκνός. οὕτω δὴ καὶ ἡ ὑποστάθμη ἐν τῇ κύστει, κόλλης γινομένης τοῦ φλέγματος, ἐξουρέεται τηκόμενον ὑπὸ τοῦ οὔ-

urina impura exiſtit neque emittitur, nimirum cum cavo contineatur et maxime coacervata, prae dolore per mictionem non redditur et a pituita cruda concreſcit. Pituita enim ſedimento permixta glutinum evadit. Ac primum parva lanugo accreſcit, deinde quod accedit arenoſum adjungitur, cum pituita quae de lacte in veſica remanet, pro glutine ſit et increſcit, et quicquid quidem humoris in conglutinatione acceſſerit, per urinam redditur. Rurſus autem ſedimentum ſolidum aut lapidoſum efficitur, non ſecus ac ferrum ex lapidibus et terra ſimul aduſta fit. Ac prima quidem in ignem injectione ad ferri recrementum lapides et terra inter ſe agglutinantur. Sed ubi ſecundo ac tertio in ignem conjecta fuerint, recrementum quidem liquatum ex ferro foras prodit, idque fieri oculis cernitur, ferrum autem in igne remanet et cedente recremento ſubſidet ſolidumque ac denſum redditur. Sic ſane ſe habet ſedimentum in veſica. Dum pituitae glutinum accedit, id quod ab urina liquefactum eſt, cum ea excernitur. Ipſum

Ed. Chart. VII. [615.] Foes. I. 513. Ed. Lind. II. (154. 155.)

ρου. αὕτη δὲ συμπίπτει καὶ πυκνὴ γίνεται καὶ στερεοῦται ὥσπερ σίδηρος. ἐπὴν (155) δὲ συμπέσῃ καὶ στερεωθῇ, κλονέεται ἐν τῇ κύστει ἄνω καὶ κάτω, καὶ πόνον παρέχει κόπτουσα τὴν κύστιν, καὶ ἀποφέρει τι ἀπ' αὐτῆς ἐπὴν ἰσχυρῶς κύπτῃ καὶ ἕλκῃ. τὸ δὲ ἐπιφερόμενον ἔτι μᾶλλον τῷ ἀπιόντι ψαμμώδεϊ σύμπηξιν ἐργάζεται ὁ λίθος, καὶ γίνεται τρόπῳ τοιῷδε ἀπὸ τοῦ γάλακτος ἐς τὴν κύστιν. ἔστι δ' ὅτε γίνεται, κἢν τὸ παιδίον ἐόνγε ἢ ἄλλη τὶς ἀπὸ τούτου γένηται. ἄλλοτε γὰρ καὶ ἄλλοτε ἐπὴν οὐρήσῃ ταχέως ἐπιλαμβάνεται τῆς οὐρήθρης. ἢν δὲ τοῦ παιδίου ἤδη αὐξανομένου λίθος γένηται ἀπὸ γεωτραγίης, ὁ πόνος οὐ παρέστιν οἱ πρὶν ἢ σῖτον αὐτὸς ἑωυτῷ αἴρηται. καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. σημήϊα δὲ ἡ νοῦσος ἔχει πέντε. ἐπήν τε οὐρῆσαι θέλῃ, πονέεται, καὶ τὸ οὖρον κατ' ὀλίγον ῥέει ὥσπερ στραγγουρικοῖσι, καὶ ἔστιν ὕφαιμον οἷα τῆς κύστιος ἠλκωμένης ὑπὸ τοῦ λίθου, καὶ ἡ κύστις φλεγμαίνει. ἀλλά τοῦτο μὲν ἀφανές. σημήϊον δὲ ἀκροποσθίη. ἔστιν ὅτε διουρέεται ψαμμώδεα. ὑπὸ τοιούτων δὲ οἵων ἐγὼ ἐρέω. διουρέεται δ' ἔστιν

vero ſedimentum ſubſidet, condenſatur, ac ſolideſcit velut ferrum. Ubi autem ſubſederit ac ſolidum redditum fuerit, ſurſum ac deorſum in veſica agitatur, veſicamque tundens dolorem exhibet, cumque vehementer tundat ac ulceret, ab ea aliquid aufert, quod vero abjicitur adhuc majorem ei quod abſceſſit arenoſo concretionem efficit, et ad hunc modum calculus in veſica ex lacte gignitur. Interdum vero oritur ſi cum adhuc puer exiſtit, ex eo anxietas quaedam contingat. Subinde enim ubi urinam reddiderit, celeriter urinae fiſtulam occupat. Quod ſi jam adulto puero calculus gignatur ex terrae eſu, non ante ei dolor adeſt, quam ipſe ſibi cibum deligat. Et de his quidem hactenus. Hic autem morbus quinque habet ſigna. Cum urinam reddere vult, dolore afficitur et urina paulatim velut urinae ſtillicidio laborantibus effluit, interdumque ſuberuenta eſt utpote veſica a calculo exulcerata, et veſica inflammatione vexatur. Verum id non apparet, indicio tamen eſt ſumma praeputii pars. Interdum ex his quae dicam arenoſa per

Ed. Chart. VII. [615. 616.] Foës. I. 513. Ed. Lind. II. (155. 156.)
ὅτε λίθους δύο ἢ καὶ πλείονας. ἕτεροι [616] δὲ σμικροὶ τρόπῳ τῷ αὐτῷ, ὥσπερ καὶ τὴν μίαν εἴρηκα. γίνεται δὲ καὶ ὑπὸ τοῦ τοιούτου. ἐπὴν ὁ λίθος συμπαγῇ καὶ βάθος γένηται ἐς τὴν κύστιν τῇ ψάμμῳ τῇ γενομένῃ χωρίς. ἐλθούσης δὲ τῆς ψάμμου ὁ λίθος μὴ προσλάβῃ πρὸς ἑωϋτῷ. ἀλλὰ βαρυτέρη καὶ πλείων γένηται, ὥστε μὴ πήγνυσθαι αὐτὴν πρὸς ἑωϋτήν καὶ οὕτως δύο λίθοι γίνονται. γίνονται δὲ καὶ πλείονες τρόπῳ τῷ αὐτῷ, καὶ ξυγκρουομένων πρὸς ἀλλήλους τῇ κλονήσει περιθραύεται καὶ διουρέεται τὸ ψαμμῶδες. ἔστι δ' (156) ὅτε καὶ ἐπὴν κατέλθῃ ψάμμος πρὸς τὴν κύστιν καὶ μὴ προσπαγῇ. λέγουσι δέ τινες ὅτι τὸ πινόμενον ἐς τὸν πλεύμονα ἔρχεται, ἐκ δὲ τούτου ἐς τὸ ἄλλο σῶμα. οὗτοι δὲ οἱ ταῦτα λέγοντες διαβάλλονται τούτῳ, ᾧ μέλλω ἐρέειν· ὅτι ὁ πλεύμων κοῖλος ἐστὶ καὶ πρὸς αὐτῷ ἐστι σύριγξ. ὁ δὲ πλεύμων εἰ μὴ κοῖλος ἦν καὶ ἡ σύριγξ προσείχετο, οὐκ ἂν ἐφώνει τὰ ζῶα. φθεγγόμεθα γὰρ ἀπὸ τοῦ πλεύμονος ὅτι κοίλός ἐστι καὶ ἡ σύριγξ προσέτι. διαρθρεῖ δὲ τὸν φθόγγον τὰ χείλεα καὶ ἡ γλῶσσα. κάλλιον δέ μοι περὶ τούτου δεδή-

urinam reddit, interdum vero duos aut plures calculos. Alii autem parvi gignuntur eo quo de uno dixi modo. Fiunt etiam ad hunc modum. Cum concretus fuerit calculus, et alte in vesica subsederit arenaque separata fuerit, et accedentem arenam calculus ad se non adjunxerit, sed gravior et copiosior sit reddita, ita ut inter se concrescere nequeat, hoc etiam modo duo calculi gignuntur, fiunt vero eodem modo plures, quibus inter se collisis in agitatione arenosum comminuitur, et per urinam excernitur. Interdum vero etiam ubi arena ad vesicam descenderit, neque in sese coierit. At vero dicunt nonnulli id quod bibitur in pulmonem deferri, ex eoque in reliquum corpus. Hi autem ex eo quod dicturus sum coarguuntur, quod pulmo cavus existit eique annexa est fistula. Quod si pulmo cavus non esset, neque ei adnasceretur fistula, animalia nullam vocem emitterent. Vocem enim ex pulmone edimus, quod cavus sit praterea que ejus fistula. Vocem autem labra et lingua articulatam reddunt. De hoc autem a me

Ed. Chart. VII. [616.] Foës. I. 513. 514 Ed. Lind. II. (156. 157.)

λωται ἐν τῇ περιπλευμονίῃ. τοῖσιν οὖν δοκέουσιν ἀνθρώποισιν τὸ ποτὸν ἐς τὸν πλεύμονα φέρεσθαι ἐναντιώσομαι. ἔχει δὲ οὕτως. χωρέειν τὸ ποτὸν ἐς τὴν κοιλίην, ἀπὸ δὲ τῆς κοιλίης ἐς τὸ ἄλλο σῶμα ἀπαυρίσκεται. νοῆσαι δὲ χρὴ ὁκόσα μέλλω ἐρέειν. λέγω δὲ ἱστόρια, ὅτι τὸ ποτὸν οὐ χωρέει ἐς τὸν πλεύμονα, ἀλλὰ ἐς τὴν κοιλίην τάδε. εἰ γὰρ τὸ ποτὸν χωρέει ἐς τὸν πλεύμονα, ὁκόταν ὁ πλεύμων πλησθῇ, οὐκ ἂν ῥηϊδίως τὸν ἄνθρωπον ἀναπνεῖν οὐδὲ φθέγγεσθαι δύνασθαι. οὐ γὰρ ἂν εἴη τὸ ἀντηχέον τῷ πλεύμονι πλήρει ἐόντι. καὶ ἓν μὲν τοῦτο ἱστόριόν ἐστιν. ἔπειτα εἰ ἐχώρεε τὸ ποτὸν ἐς τὸν πλεύμονα, τὰ σιτία ἂν ἡμῖν ξηρὰ ἐόντα οὐκ ἂν ὁμοίως ἐπέσσετο. δύο δὲ ἱστόρια ταῦτα ἐστί. || καὶ τὰ φάρμακα δὲ τὰ ὑπήλατα ἐπὴν πίωμεν, χωρέει τῆς κοιλίης ἔξω. ἔχει δὲ καὶ τόδε οὕτως. ὁκόσα φάρμακα καθαρτικά ἐστιν ἢ ἄνω ἢ κάτω ἢ καὶ (157) ἀμφότερα, ταῦτα ποιέει. πάντα καίει κάρτα, καὶ τὰ μὲν ἰσχυρὰ αὐτῶν ἢν τύχῃ ἅψασθαί τι τῶν ἁπαλῶν τοῦ σώματος ἕλκοι. τὰ δὲ μαλακώτερα ἄραδον ποι-

exactius dictum eſt in pulmonis inflammatione. His igitur qui potum ad pulmonem ferri exiſtimant, quae hoc ſe habent modo opponam. Potus in ventriculum concedit, a ventriculo vero in reliquum corpus exhauritur. Ad haec vero argumenta animum attendere oportet, quae proferam, cur potus in ventriculum, non in pulmonem concedat. Si enim potus ad pulmonem ferretur, ubi pulmo oppletus eſſet, non facile quis ſpiritum trahere neque loqui poſſet. Neque enim pulmone pleno eſſet quod reſonaret. Et hoc quidem unum eſt argumentum. Deinde ſi potus ad pulmonem procederet, cibi in nobis ſicci non ſimiliter coquerentur. Iſtaque duo ſunt argumenta. Quin et medicamenta ventrem ſubducentia ubi potu ſumpſerimus, extra ventriculum ferentur. Habet autem ſe res hoc modo. Quae medicamenta ſurſum aut deorſum aut utroque modo purgant, haec efficiunt. Omnia valde urunt et ex his quidem valentia, ſi forte mollem aliquam corporis partem contigerint, eam ulcerant. Leviora vero turbationem in cor-

Ed. Chart. VII. [616. 617.] Foeſ. I. 514. Ed. Lind. II. (157.)

έσι τοῦ χρωτὸς ὅ τι ἂν ἀλειφθῇ. εἰ δὲ ἔλθοι τι τούτων τῶν φαρμάκων ἐς τὸν πλεύμονα, δοκέει ἄν μοί τι μέγα ποιῆσαι κακόν. τὸ γὰρ φλέγμα τὸ ἀπὸ τῆς κεφαλῆς ἐν κάρτα ὀλίγῳ χρόνῳ ἕλκοι. ἄπαλὸν γὰρ καὶ ἁραιόν χρῆμα ἐστὶν ὁ πλεύμων, καὶ ἢν ἕλκωθῇ, οὐ καλῶς ἕξει κεῖνος ὁ ἄνθρωπος διά γε πολλά. ἡ δὲ κοιλίη ὑπὸ τοῦ φαρμάκου οὐχ ἕλκοῦται, ὅτι χρῆμά ἐστιν ἰσχυρὸν ὥσπερ δηλαδὴ δέρμα. καὶ τῶν μὲν Λιβύων χρέονται οἱ πλεῖστοι τῶν κτηνέων τοῖσι μὲν δέρμασιν ἀντὶ ἱματίων, τῇσι δὲ κοιλίῃσιν ἀντὶ θυλάκων. ἰσχυρὸν γὰρ χρῆμα ἡ κοιλίη ἐστίν. ἔπειτα ἐπὴν ὑπὸ οἴνου μέλανος θωρηχθῶσιν οἱ ἄνθρωποι, ἀποπατέουσι μέλανα. [617] *ταῦτα δὲ πάντα ἱστόρια ἐστί, καὶ ἐπὴν σκόροδα φάγωμεν ἤ τι ἄλλο ὀδμαλέον βρῶμα, διουρέομεν ὀζόμενον τοῦ βρώματος. ταῦτα μὲν τὰ ἱστόρια ἔξεστι, σκέψασθαι δὲ καὶ τόδε ὅ τι μέλλω ἐρέειν. εἴ τις κυκεῶνα πιήσῃ ἢ ἄλητον ἑφθὸν ῥοφοίη, ἤ τι ἄλλο τοιοῦτο, καὶ ἔλθοι ἐς τὸν πλεύμονα τοῦτο, δοκέομεν ἄν αὐτὸν οὐδὲ ζώειν οὐδὲ ὀλίγον χρόνον. ἐπὴν γάρ*

pore excitant, quodcunque vel leviter attigerint. Quod ſi aliquod ex his medicamentis ad pulmonem veniat, magnum aliquod malum mihi excitare poſſe videtur. Pituita enim ex capite veniens eum parvo admodum tempore exulcerat, cum tenerum quiddam et rarum ſit pulmo, etſi exulceratus fuerit, aliquis ſane multis de cauſis non bene habet. Ventriculus autem a medicamentis non exulceratur, cum robuſtum quiddam ſit, velut corium ſcilicet. Et in Libya plerique ex incolis pecorum pellibus pro veſtibus et ventribus pro ſaccis utuntur. Ventriculus enim robuſtum quiddam eſt. Praeterea ubi homines vinum nigrum ingeſſerint, nigra per alvum egerunt. Haec quidem omnia argumenta ſunt. Ac ubi allia aut aliud gravis odoris edulium comederimus, urinam cibi odorem referentem excernimus. Et haec quidem argumenta, tum ea quae dicturus ſum ſpectanda ſunt. Si quis cyceonem biberit aut farinam coctam aut aliud quid hujusmodi ſorbitione acceperit, idque ad pulmonem perveniat, hunc ne minimum quidem temporis victurum ſperamus. Ubi enim

Ed. Chart. VII. [617.] Foël. I. 514. Ed. Lind. II. (157. 158.) τι μικρὸν ἔλθῃ ἐς τὸν πλεύμονα φλέγμα ἢ ἐς τὴν σύριγγα αὐτοῦ, πολλὴ βήξ τε καὶ ἰσχυρὴ γίνεται καὶ σπασμός. εἰ δ' οὖν ἄρα καὶ ζώῃ ὁ ἄνθρωπος πιὼν τὸν κυ(158)κεῶνα ἢ τὸ ἄλητον ῥοφέων, πεσσουμένου γὰρ τοῦ ῥοφήματος θέρμην ἂν δοκέω πολλήν τε καὶ ἰσχυρὴν τῷ σώματι γίνεσθαι καὶ πόνον πολλὸν, ὥστε εἰ ἀποπατοίη κατὰ τρόπον ἢ ἐς τὸν πλεύμονα ἔλθοι. ταῦτα δὲ ἱστόρια ἑπτά ἐστιν, ἔπειτα τὸ γάλα πῶς ἂν ἔτρεφε τὰ παιδία, εἴ γε χωρέει πρὸς τὸν πλεύμονα. τοῦτο δὲ ἱστόριον ἄλλο μοι, καὶ ταῦτα οὐδ' ἂν ἐπηγαγόμην ἔγωγε τῷ λόγῳ, τοιοῦτο ἱστόριον οὐδὲν, εἰ μὴ ὅτι πολλοὶ κάρτα τῶν ἀνθρώπων τὸ ποτὸν δοκέουσιν ἐς τὸν πλεύμονα χωρέειν, καὶ ἀνάγκη ἐστὶ πρὸς τὰ ἰσχυρῶς δοκέοντα, τὰ πολλὰ ἱστόρια ἐπάγεσθαι, εἰ μέλλει τὸν ἀκόντα ἐκ τῆς πρὶν γνώμης μεταστρέψαι τοῖς ἑωϋτοῦ τε λόγοισι πείσειν, καὶ διὰ τόδε οὐ χωρέει τὸ ποτὸν ἐς τὸν πλεύμονα, ἀλλ' ἐς τὴν κοιλίην, ὅτι προσαφὴς αὐτῷ ἐστιν ὁ στόμαχος τοῦ ἀνθρώπου ἀεὶ χάσκων, καὶ χωρέει ἐς ἐκεῖνον καὶ ἅμα ἐπίκειται τῇ σύριγγι τοῦ πλεύμονος, ὥσπερ κισσοῦ φύλλον.

paulum quid pituitae ad pulmonem aut ejus fiſtulam venerit, multa et valida tuſſis convulſioque oboritur. Si igitur utique vixerit qui cyceonem biberit aut farinam coctam ſorbitione ſumpſerit, ubi concocta ſorbitio fuerit, copioſum et vehementem calorem multumque dolorem in corpore excitari cenſeo, ut proinde minime conveniens ventris egeſtio conſequatur, ſi ad pulmonem veniat. Iſtaque ſeptem ſunt argumenta. Praeterea qua ratione lac pueros enutriret, ſi quidem ad pulmonem concederet. Quod eſt aliud a me adductum argumentum. Ac ne iſta quidem argumenta ad orationem noſtram probandam adduxiſſem, niſi adeo multi potum ad pulmonem concedere exiſtimarent. Ac neceſſe eſt eum qui velit auditorem a priſtina ſententia deducere, ſuisque verbis fidem facere, ad ea quae firmiter in opinione inhaerent, multa argumenta adferre. Atque ob eam cauſam potus non ad pulmonem, ſed ventriculum fertur, quod ei prope adjuncta eſt hominis gula, quae ſemper hiat et ad quam tendit, ſimulque pulmonis

Ed. Chart. VII. [617.] Foës. I. 514. 515. Ed. Lind. II. (158. 159.)
ὥστε οὐκ ἂν παρακαθιεῖ ἐν τῇ καταπόσει, εἰ χωρέει ἐς ἑωυτόν. καὶ ταῦτα ἐς τοῦτό μοι εἴρηται. χωρέει δὲ καὶ τὸ ποτὸν ἐς τὴν κοιλίην, καὶ ἐπὴν πλησθῇ, ὃ σπλῆνά τε ἀπ' αὐτῆς δέχεται καὶ διδοῖ ἐς τὰς φλέβας καὶ ἐς τὸ ἐπίπλοον καὶ ἐς τὸ κύταντες, ἔς τε τὴν ὄσχην καὶ ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας, καὶ ἐπὴν νοῦσος ἐπιγένηται, τῷ ὕδατι πολλῷ χωρέει ὑπὸ τῆς κοιλίης, καὶ ἐς τὸν σπλῆνα ἔρχεται ἀεὶ ἀπὸ τοῦ ποτοῦ, ἐπὴν πίῃ ὁ ἄνθρωπος. γίνεται δὲ (159) ἐπὶ τῆς νούσου ταύτης ὥστε μὴ πυρεταίνειν ἄλλην ἐν τῇ κοιλίῃ ἢ ὁκόταν ὁ ἄνθρωπος διψῇ, ἡ δὲ κύστις καὶ ἡ κοιλίη μὴ διηθέωσι κατὰ τρόπον, μηδὲ ἐπιτηδείη διαίτῃ ὁ ἄνθρωπος χρῆται. ὃ δὲ σπλῆνα ὑπονουσέων ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ ποτοῦ, ἡ δὲ νοῦσος γίνεται, καὶ ἡ ὄσχη διαφανὴς γίνεται, καὶ αἱ κληῖδες καὶ ὁ τράχηλος καὶ τὰ στήθεα καταλεπτύνεται. τήκεται γὰρ ὑπὸ τῆς νούσου ταύτης καὶ καταῤῥέει ἐς τὴν κοιλίην. τά τε κάτω ὕδατος πλέα ἐστὶ καὶ ἀσιτέει ἡ κοιλίη, || καὶ ὁτὲ μὲν κάρτα στέγει, ὁτὲ δὲ καταῤῥέει, ἥ τε κύστις οὐ διηθέει κατὰ τρόπον. ὡς ἐπὶ τὸ πλεῖον φρίκη

fistulae tanquam hederae folium ita incumbit, ut si ad eum feratur, in devorando minime in se demittat. Atque de his hactenus. In ventriculum autem etiam potus fertur, quo cum expletus fuerit, ab eo lien recipit et ad venas et omentum transmittit et ad declive deorsum, ad scrotum, ad crura et ad pedes demittit. Cumque morbus supervenerit, multae aquae accessio fit ex ventriculo, ubi quis biberit et semper ad lienem fertur. In hoc autem morbo contingit ut non alia de causa in ventriculo febris excitetur, quam cum quis sitierit, vesica vero et ventriculus non recte transmittant, neque conveniente victus ratione homo utatur. Lien vero aliquantum aegrotans, potum ex ventriculo trahit, morbus autem suboritur et scrotum pellucidum evadit et jugulum, cervix et pectus extenuatur, cum ex hoc morbo colliquescat et humor in ventriculum defluat, inferioraque aquae plena sunt, ventriculus cibum refugit, et quandoque quidem valde stringit, quandoque vero effluit, neque vesica probe transmit-

Ed. Chart. VII. [617. 618.] Foël. I. 515. Ed. Lind. II. (159. 160.)

τε διαΐσσει ἄλλοτε καὶ ἄλλοτε διὰ τοῦ σώματος, καὶ πῦρ ἔστιν ὅτε ἐπιλαμβάνει, καὶ τὸ πρόσωπον τῶν μὲν οἰδαλέον γίνεται, τῶν δὲ οὔ. ἔστι δ' οἷσι [618] καὶ καταῤῥήγνυνται αἱ κνῆμαι. ἐπὴν χρόνιον τὸ νούσημα γένηται καὶ ῥεῖ αὐτόθεν ὕδωρ, καὶ ἀγρυπνίη ἐπιπίπτει καὶ ἀδυναμίη τοῦ σώματος καὶ μάλιστα τῆς ὀσφύος, καὶ ἐπήν τι φάγῃ ἢ πίῃ καὶ ὀλίγῳ πλέον πονέεται ὁ σπλὴν καὶ τὸ πνεῦμα πυκνὸν ἀεὶ ἀφίει. ταῦτα δὲ σημήϊα ὕδρωπος εἰσίν. ἔστι δὲ καὶ περὶ τὴν κοιλίην μοῦνον ἢ καὶ πυρὸς λαβόντος ἢ καὶ οὐχί, καὶ ἡ γαστὴρ μεγάλη γίνεται, καὶ τὰ σκέλεα πίμπλαται ὕδατος. τὰ δὲ ἄνω τοῦ σώματος λεπτὰ γίνεται οὕτω οἰηθεῖσι. τὰ δὲ σημήϊα ἅπαντα βληχρότερά ἐστι καὶ ἅμα καὶ ἐν τοῖσι σκέλεσιν ὕδωρ οὐκ ἐπιγίνεται, καὶ ὁ πόνος τοσούτῳ ἐλάσσων. περὶ δὲ τὴν κοιλίην μοῦνον διὰ τόδε ὕδρωψ γίνεται. ἐπὴν γὰρ ἅλες ἐπιγένηται καὶ (160) ὁδὸς ἐν ἀρχῇσι μὴ γίνηται ἐς τὸ κάτω, ἀλλ' ἀποβληθῇ ἅλες ἐν τοῖσι φλεβίοισιν, ἅτε καὶ ἀναπνοὴν μὴ ἔχον μήτε ἄνω μήτε κάτω ἀποστήριξιν ἔχει. ὥσπερ εἴ τις ἄγγος λέγα μικρόστομον ἀπολαβὼν κατα-

tit, plerumque frequens horror corpus pervadit, interdumque febris prehendit et quibusdam facies intumescit, quibusdam minime. Nonnullis vero ubi morbus diuturnus extiterit, tibiae rumpuntur indeque aqua effluit, insomnia corporisque imbecillitas praecipueque lumborum contingit, et ubi quid comederit aut biberit, etiam paulo plus lien affligitur, crebrumque spiritum semper emittit. Atque ista aquae inter cutem sunt indicia, eaque circa ventriculum solum consistunt, sive febris detineat necne, et venter intumescit, cruraque aqua implentur, superiores vero corporis partes extenuantur iis qui ita affecti existimantur; signa tamen omnia debiliora existunt, simulque in cruribus aqua minime suboritur et tanto minor labor est. At vero circa ventriculum solum aqua inter cutem istam ob causam exoritur. Etenim ubi magna copia accesserit, neque per exordia ad inferiores partes via detur, sed coacervata in venis resideat, nimirum ut quae respirationem non habeat, neque sursum neque deorsum firmam sedem habet. Non secus ac si quis magnum

Ed. Chart. VII. [618.] Foeſ. I. 515. Ed. Lind. II. (160.)

στρέψειεν ἐν τάχει, εἶτα καθ' ἡσυχίην ἀπὸ τοῦ στόματος ἀφέλοι τὸ ἐπικείμενον, καὶ ἢν τοῦτο ποιήσῃ τὸ ὕδωρ, οὐκ ἂν ῥεύσειεν ἔξω. οὐδὲ γὰρ ἔχει πνοήν, ἀλλ' ἀποκέκλεισται ἀπὸ τοῦ ἐντὸς πνεύματος. ἐνεὸν γὰρ τὸ πνεῦμα πληροῖ τὸ ἄγγος καὶ ἀντιστηρίζει τῷ ἔξω πνεύματι καὶ οὐκ ἔστι τῷ ὕδατι ἐκδρομὴ ὑπὸ τοῦ πνεύματος, τοῦ πληροῦντος τὸ ἄγγος καὶ ἅμα ἐπικειμένου τοῦ ἠέρος. ἢν δέ τις κλίνειε καθ' ἡσυχίην τὸ ἄγγος ἢ κατὰ πυθμένα τρήσειεν, ἐξελεύσεται τὸ πνεῦμα ἐκ τοῦ ἄγγεος. ἐξιόντος δὲ τοῦ πνεύματος, χωρέει καὶ τὸ ὕδωρ ἔξω. οὕτω δὴ καὶ τῷ ὕδρωπι. ἢν μὲν παραπνοὴ ἄνω ἢ κάτω διὰ τῶν φλεβίων γένηται, ἐν ἀρχῇ τῆς νούσου ἔρχεται ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας ὁ ὕδρωψ. ἢν δὲ μή, αὐτοῦ μοῦνον εἰλέεται περὶ τὴν κοιλίην. καὶ οὕτω μέν μοι περὶ τούτων εἴρηται. γίνεται δὲ καὶ τῇσι γυναιξὶν ὁ ὕδρωψ ἐν τῇσι μήτρῃσι καὶ τὰ ἐν τῇσι κοιλίῃσι καὶ τὰ ἐν τοῖσι σκέλεσι καὶ τἄλλα σημήϊα ταὐτὰ ἴσχει. ἀποπέφανται δέ μοι ἐν τοῖσι γυναικείοισι νουσήμασι περὶ αὐτοῦ. αὗται αἱ τρεῖς ἰδέαι τῶν νουσημάτων ἀπὸ τοῦ ὕδρωπος. γίνεται δὲ τὰ νουσήματα πάντα ταχέως χαλεπά, καὶ πάντα αὔξεται ταχέως.

vas anguſti oris occluſum ſubito convertat, deinde ſenſim operculum ab ore detrahat, idque ubi fecerit, aqua foras non effluet, cum perſpirationem non habeat, ſed a ſpiritu qui intus eſt intercludatur. Spiritus enim internus vas opplet, et externo ſpiritui obluctatur neque aquae excurſus datur, cum ſpiritus vas impleat, ſimulque aër ſuperincumbat. At ſi quis vas ſenſim inclinet aut in fundo perforarit, ſpiritus e vaſe efferetur, eoque egreſſo foras aqua etiam concedit. Ita ſane in aqua intercute, ſiquidem ſurſum aut deorſum perſpiratio per venas fiat, per morbi initia ad crura et pedes aqua fertur, ſin minus, iſthic ſolum circa ventriculum volutatur. Ac de his quidem ſic a me dictum eſt. Quin etiam in utero mulieribus hydrops contingit et in ventre et in cruribus, reliquaque ſigna eadem habet, de quo a me in morbis muliebribus dictum eſt. Atque tres hae ſunt ab hydrope morborum formae. Hi autem omnes morbi celeriter difficiles fiunt, celeriterque omnes in-

Ed. Chart. VII. [618. 619.] Foël. I. 515. 516. Ed. Lind. II. (160. 161.) ἔτι δὲ χαλεπώτερα γίνεται, ἢν ἐξ ἑτέρης νούσου τὸ σῶμα τηχθὲν ἐς τοῦτο περιέλθῃ. ἢν μὲν οὖν ἐν τάχει προκαταλάβηται τὸ νούσημα τὸν ἄνθρωπον, θνήσκει, ὅτε (161) τῆς νούσου χρονιωτάτης γενομένης. ἐπὴν δὲ καὶ ἡ κοιλίη εὔροος γένηται, κάρτα θνήσκει τάχιστα, ἐπαΐων τε καὶ διαλεγόμενος. ταῦτα δέ μοι εἴρηται περὶ ὕδρωπος, ὅθεν τε γίνεται καὶ ὅτι τὰ σημήϊα αὐτοῦ τάδε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΠΑΘΩΝ.

[619] ‖ Ἄνδρα χρὴ ὅστις ἐστὶ συνετὸς λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιον ἐστὶν ὑγιείη ἐπίστασθαι ἀπὸ τῆς ἑωϋτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι. ἐπίστασθαι δὲ τὰ ἀπὸ τῶν ἰητρῶν καὶ λεγόμενα καὶ προσφερόμενα, πρὸς τὸ σῶμα τὸ ἑωυτοῦ καὶ διαγινώσκειν. ἐπίστασθαι δὲ τούτων ἕκαστα, ὅσον εἰκὸς ἰδιώτην. ταῦτ' οὖν ἐπίσταιτο ἄν τις μάλιστα εἰδὼς καὶ ἐπιτηδεύων τάδε. νουσήματα τοῖσιν ἀνθρώποισι γίνεται ἅπαντα ὑπὸ χολῆς καὶ φλέγματος. ἡ δὲ χολὴ καὶ τὸ φλέγμα τὰς νούσους παρέ-

crefcunt. Longe vero graviores fiunt, ſi corpus alio modo tabefactum ad hunc delapſum fuerit. Si igitur ſubito hominem morbus corripuerit, moritur, cum nimirum morbus admodum diuturnus exiſtat. Quod ſi etiam alvus fluida fuerit, admodum cito tum ſentiens tum loquens moritur. Atque iſta mihi de hydrope et ejus ortu, et quod ipſius haec ſigna ſint dicta ſunt.

HIPPOCRATIS DE AFFECTIONIBVS LIBER.

Quicumque intelligentia valet, is bene ſubducta ſecum ratione reputare debet quam homini plurimi aeſtimanda ſit ſanitas, noſſeque quanam ratione in morbis ſui conſilii fructum capere poſſit. Noſſe etiam debet quae et a medicis dicuntur et ſuo corpori apponuntur, eaque dijudicare, eorumque ſingula, prout cuivis ex populo datur, cognoſcenda. Haec igitur praecipue percipit qui in iſtis cognoſcendis ſtudium et operam collocarit. Morbi omnes hominibus ex bile et pituita oriuntur. Bilis autem et pituita morbos excitant

Ed. Chart. VII. [619. §20.] Foël. I. 516. Ed. Lind. II. (161. 162.)

χει, ὅταν ἐν τῷ σώματι ἢ ὑπερξηραίνηται ἢ ὑπερυγραίνηται ἢ ὑπερθερμαίνηται ἢ ὑπερψύχηται. πάσχει δὲ ταῦτα τὸ φλέγμα καὶ ἡ χολὴ καὶ ἀπὸ σιτίων καὶ ἀπὸ ποτῶν καὶ ἀπὸ πόνων καὶ ἀπὸ τρωμάτων καὶ ὀσμῆς καὶ ἀκοῆς καὶ ὄψιος καὶ λαγνείης, καὶ ἀπὸ τοῦ θερμοῦ καὶ ἀπὸ τοῦ ψυχροῦ. πάσχει δὲ ὅταν τούτων ἕκαστα τῶν εἰρημένων ἢ μὴ τὰ εἰωθότα, ἢ πλείω τε καὶ ἰσχυρότερα ἢ (162) ἐλάσσω τε καὶ ἀσθενέστερα. τὰ μὲν οὖν νουσήματα γίνεται τοῖσιν ἀνθρώποισιν ἅπαντα ἀπὸ τούτων. δεῖ δὲ πρὸς ταῦτα τὸν ἰδιώτην ἐπίστασθαι, ὁκόσα εἰκὸς γινώσκειν ἰδιώτην. ὅσα δὲ τοὺς χειροτέχνας εἰκὸς ἐπίστασθαι καὶ προσφέρειν καὶ διαχειρίζειν. περὶ δὲ τούτων τῶν λεγομένων καὶ τῶν ποιευμένων οἷόν τε εἶναι τὸν ἰδιώτην γνώμῃ τινὶ ξυμβάλλεσθαι. ἤδη οὖν τούτων ὑπόθεν ἕκαστα δεῖ ἐπίστασθαι ἐγὼ φράσω. [620] ἢν ἐς τὴν κεφαλὴν ὀδύναι ἐμπέσωσι, τούτου τὴν κεφαλὴν ξυμφέρει διαθερμαίνειν, λούοντα πολλῷ καὶ θερμῷ καὶ πταρμὸν ποιέοντα, φλέγμα καὶ μύξας ὑπάγειν. καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκεῖ ταῦτα· ἢν δὲ μὴ ἀπαλλάσ-

cum in corpore ſupra modum vel reſiccantur vel humectantur vel incaleſcunt vel refrigerantur. Haec vero pituitae et bili contingunt, ex cibis et potibus, laboribus, vulneribus, odoratu, auditu, viſu, rebus venereis, calore et frigore. Eveniunt autem cum ex dictis quaeque vel non conveniente tempore corpori admoventur, aut non pro conſuetudine aut copioſiora et valentiora, aut pauciora et imbecilliora. Ac ex his quidem morbi omnes hominibus oriuntur. Ad haec autem privatum noſſe convenit, quae quemvis ex populo cognoſcere conſentaneum eſt, ea vero adhibere et pertractare, quae artis peritos ſcire aequum eſt. Fieri autem poteſt ut quivis ex populo eorum quae dicuntur et fiunt intelligentiam quandam aſſequatur. Jam igitur unde horum quodque noſſe oporteat, mihi dicendum eſt. Cum capitis dolores contigerint, in eo caput multae calidae lotione calefacere confert, et ſternutamento excitato pituitam et mucos educere. Ex quibus ſi dolor ſolvatur, haec ſatis ſunt. Sin minus, caput

Ed. Chart. VII. [620.] Foës. I. 516. Ed. Lind. II. (162. 163.)

σηται, καθῆραι τὴν κεφαλὴν φλέγμα. διαιτᾶν δὲ ῥοφήματι καὶ ποτῷ ὕδατι. οἶνον δὲ μὴ προσφέρειν, ἕς τ' ἂν ἡ περιωδυνίη παύσηται. τὸν γὰρ οἶνον ὅταν θερμὴ ἐοῦσα ἡ κεφαλὴ σπάσει, ἡ περιωδυνίη ἰσχυροτέρη γίνεται. τὰ δὲ ἀλγήματα ἐσπίπτει ὑπὸ τοῦ φλέγματος, ὅταν ἐν τῇ κεφαλῇ κινηθὲν ἀθροισθῇ. ἢν δὲ ἄλλοτε καὶ ἄλλοτε ὀδύνη καὶ σκοτοδινίη ἐμπίπτει ἐς τὴν κεφαλὴν, ὠφελέει μὲν καὶ ταῦτα προσφερόμενα, ὠφελέει δὲ καὶ ἢν αἷμα ἀφαιρεθῇ ἀπὸ τῶν μυκτήρων ἢ ἀπὸ τῆς φλεβὸς τῆς ἐν τῷ μετώπῳ. ἢν δὲ πουλυχρόνιον καὶ ἰσχυρὸν τὸ νούσημα ἐν τῇ κεφαλῇ γίνηται καὶ μὴ ἀπαλλάσσηται καθαρθείσης τῆς κεφαλῆς, ἢ σχάσαι δεῖ τούτου τὴν κεφαλὴν ἢ τὰς φλέβας κύκλῳ ἀποκαῦσαι. τῶν γὰρ λοιπῶν ἀπὸ τούτων μοῦνον ἐλπὶς ὑγιέα γενέσθαι. τοὺς νοσέοντας χρὴ σκοπεῖν, εὐθὺς ἀρχομένους ἐν τῇ καταστάσει τῶν νουσημάτων, ὅτου ἂν δέωνται, καὶ οἵους τε ὄντας φαρμα-(163)κευθῆναι, καὶ ἄλλο ὅπερ ἄν τις θέλῃ προσενέγκαι. ἢν δὲ τὴν ἀρχὴν παρεὶς τελευτώσης τῆς νούσου προσφέρῃς, ἐν ἀπειρηκότι ἤδη τῷ σώματι δεδιὼς ἰσχυρόν τι προσενέγκαι, κίνδυνος ἁμαρτάνειν μᾶλλον ἢ ἐπιτυγχάνειν. ἢν ἐς τὰ ὦτα

pituita repurgandum et ſorbitione in victus ratione utendum, et in potu aqua. Vinum autem minime offerendum, quoad dolor ſedetur. Vehementior enim dolor evadit, ubi caput calidum vinum attraxerit. Dolores autem ex pituita ingruunt ubi in capite mota et coacervata fuerit. Quod ſi ſubinde dolor et tenebricoſa vertigo in caput incidat, haec quidem admota proſunt. Juvat etiam ſanguis ex naribus aut ex vena frontis detractus. At ſi diuturnus et vehemens capitis morbus evadat, neque capite purgato tollatur, in eo caput pertundere aut venas circumadurere convenit. Haec enim unica ſanitatis ſpes relicta eſt. Statim autem per initia conſtitutionis morborum in aegris ſpectandum, quonam opus habeant et num medicamentum purgans aut aliud quodcunque adhibere voles ferre poſſint. At ſi praetermiſſo principio ad extremum tendente morbo exhibueris, confecto jam corpore veritus vehemens quiddam adhibere, periculum eſt ne prius fruſtreris, quam aliquid aſſequaris. Si dolor ad

Ed. Chart. VII. [620.] Foës. I. 516. 517. Ed. Lind. II. (163.)
ὀδύνη ἐμπέσῃ, λούειν ξυμφέρει πολλῷ καὶ θερμῷ καὶ πυριᾶν τὰ ὦτα. καὶ ἢν μὲν πρὸς ταῦτα περιΐστηται τὸ φλέγμα λεπτυνόμενον ἀπὸ τῆς κεφαλῆς καὶ ἡ ὀδύνη ἀπολείπει, || ἀρκέει ταῦτα· ἢν δὲ μὴ, τῶν λοιπῶν ἄριστον φαρμάκων, πῖσαι ἄνω ὅ τι φλέγμα καθαίρει, ἢ τὴν κεφαλὴν καθῆραι, ᾧ καθαίρεται τὸ τῆς κεφαλῆς φλέγμα. τὸ δὲ ἄλγημα καὶ τοῦτο γίνεται, ὅταν ἔσωθεν πρὸς τὴν ἀκοὴν φλέγμα ἐκ τῆς κεφαλῆς προσπέσῃ. ἢν δὲ τὰ παρὰ τὴν φάρυγγα φλεγμήνῃ, ἀναγαργαρίζειν χρή. γίνεται δὲ καὶ ταῦτα ἀπὸ φλέγματος. ἢν δὲ τὰ οὐλα ἤ τι τῶν ὑπὸ τῇ γλώσσῃ φλεγμαίνῃ, διαμασσητοῖσι χρῆσθαι. ἀπὸ φλέγματος δὲ καὶ ταῦτα γίνεται. ἢν δὲ ἡ σταφυλὴ κατακρεμασθῇ καὶ πίγῃ, ἔνιοι δὲ τοῦτο καλέουσι γαργαρεῶνα, παραχρῆμα μὲν τοῖσιν ἀναγαργαλίκτοισι χρῆσθαι, σκευάζων ὡς γέγραπται ἐν τοῖσι φαρμάκοισιν. ἢν δὲ πρὸς ταῦτα μὴ ἰσχνὴ γένηται, ὄπισθεν ξυρήσαντα τὴν κεφαλὴν σικύας προσβάλλειν δύο, καὶ τοῦ αἵματος ἀφαιρέειν ὡς πλεῖστον καὶ ἀνασπάσαι ὀπίσω τὸ ῥεῦμα τοῦ φλέγματος, ἢν δὲ μὴ τούτοισι καθίσηται, σχάσαντα μαχαιρίῳ τὸ ὕδωρ

aures contingat, multa calida lavare et aures fovere confert, et ſi quidem ab his pituita extenuata e capite deducatur dolorque deſinat, haec ſatis ſunt. Sin minus, prae caeteris optimum fuerit medicamentum quod ſurſum pituitam purgat propinare aut caput medicamento quod pituitam deducat purgare. Hic vero dolor etiam ſuboritur, ubi intrinſecus ad meatum auditorium pituita ex capite illapſa fuerit. At ſi fauces inflammatione tententur, oris collutionibus utendum. Quae etiam ex pituita contingunt. Si vero gingivae aut pars quaedam ſub lingua inflammatione detineatur, iis quae manducantur utendum. Haec vero ex pituita etiam fiunt. Si uva ſuſpenſa fuerit et ſuffocationem faciat, curculionem nonnulli vocant, confeſtim quidem gargarismis apparatis, velut in medicamentis ſcriptum eſt, utendum. Quod ſi ex his gracilis non evadat, occipitio deraſo cucurbitulae duae admovendae et ſanguis plurimus detrahendus, pituitaeque curſus in poſteriora revellendus. Si vero neque his ſubſidat,

Ed. Chart. VII. [620. 621.] Foës. I. 517. Ed. Lind. II. (163. 164.)

ἐξαγαγεῖν. σχάζειν δὲ ὅταν τὸ ἄκρον ὑπέρυθρον γίνηται. ἢν δὲ μὴ τοιοῦ(164)τον γενόμενον τμηθῇ, φλεγμαίνειν θέλει, καὶ ἔστιν ὅτε ἐξάπινον ἔπνιξε. γίνεται δὲ καὶ τοῦτο ὑπὸ φλέγματος, ὅταν ἐκ τῆς κεφαλῆς θαλφείσης ἀθρόον καταῤῥυῇ. ὅσα δὲ περὶ [621] ὀδόντας γίνεται ἀλγήματα, ἢν μὲν βεβρωμένος ᾖ καὶ κινέεται ἐξαιρέειν· ἢν δὲ μὴ βέβρωται μηδὲ κινέηται, ὀδύνην δὲ παρέχῃ, καύσαντα ἀποξηρῆναι. ὠφελέει δὲ καὶ τὰ διαμασσήματα. αἱ δὲ ὀδύναι γίνονται, ὅταν φλέγμα ὑπέλθῃ ὑπὸ τὰς ῥίζας τῶν ὀδόντων. ἐσθίονται δὲ καὶ βιβρώσκονται, οἱ μὲν ἀπὸ φλέγματος, οἱ δὲ ἀπὸ σιτίων, ἢν φύσει ἀσθενέες ἔωσι καὶ κοιλίην ἔχοντες καὶ πεπηγότες ἐν τοῖσιν οὔλοισι κακῶς. ἢν δὲ ἐν τῇ ῥινὶ πόλυπος ἐγγένηται, οἷον πρῆγμα, πνέεταί τε καὶ ἀπογκέει ἐκ τοῦ μυκτῆρος εἰς τὸ πλάγιον. ἐξαιρέεται δὲ βρόχῳ διελκόμενος ἐς τὸ στόμα ἐκ τῆς ῥινός. οἱ δὲ καὶ φαρμάκοισιν ἐκσήπονται. φύεται δὲ ὑπὸ φλέγματος. ταῦτα μὲν ὅσα ἀπὸ τῆς κεφαλῆς φύονται νουσήματα, πλὴν ὀφθαλμῶν, ταῦτα δὲ ἰδίως γεγράψεται. περὶ δὲ τῶν κατὰ κοιλίην νουσημάτων ἐνθυμέεσθαι χρὴ

scalpello ut aqua educatur pertundito. Quod faciendum ubi summa ejus pars subrubra extiterit. Ac nisi tunc secetur, inflammari consuevit, interdumque derepente suffocat. Hoc vero etiam ex pituita contingit, ubi calefacto capite ex eo confertim defluxerit. In dentium autem doloribus, siquidem dens erosus fuerit et mobilis eximendus. Quod si neque erosus fuerit neque moveatur, sed dolorem inferat, ustione reficcandus. Prosunt etiam quae commanducantur. Dolores quoque oriuntur, ubi pituita in dentium radices sese insinuarit. Exeduntur autem et eroduntur partim quidem a pituita, partim vero a cibis, si natura debiles fuerint et cavitatem habeant, ac in gingivis male infixi sint. Si polypus in naso innascatur, velut quiddam flatu distentum ex obliqua nare intumescit. Eximitur autem laqueo ad os pertractus. Quidam etiam medicamentis tabefaciunt. Ex pituita autem gignitur. Atque hi quidem morbi in capite ex pituita producuntur, praeter oculorum morbos, de quibus seorsim scribetur. At vero in ventris morbis haec in considerationem

Ed. Chart. VII. [621.] Foës. I. 517. Ed. Lind. II. (164. 165.)

τάδε. πλευρῖτις, περιπνευμονίη, καῦσος, φρενῖτις. αὗται καλέονται ὀξεῖαι, καὶ γίνονται μὲν μάλιστα καὶ ἰσχυρότατα τοῦ χειμῶνος, γίνονται δὲ καὶ τοῦ θέρεος, ἧσσον δὲ καὶ μαλακώτεραι. ἢν δὲ παρατυγχάνῃς, ταῦτα ἂν καὶ ποιέων καὶ ξυμβουλείων τυγχάνῃς μάλιστα. πλευρῖτις. πυρετὸς ἴσχει καὶ τοῦ πλευροῦ ὀδύνη καὶ ὀρθοπνοίη καὶ βὴξ καὶ τὸ σίαλον κατ' ἀρχὰς μὲν ὑπόχολον πτύει, ἐπειδὰν δὲ (165) πεμπταῖος γένηται ἢ ἑκταῖος, καὶ ὑπόπυον. τούτῳ τοῦ μὲν πλευροῦ τῆς ὀδύνης διδόναι, ὅ τι ἀποστήσει ἀπὸ τοῦ πλευροῦ τό τε φλέγμα καὶ τὴν χολήν. ἡ γὰρ ὀδύνη οὕτως ἂν εἴη μαλακωτάτη. τὴν δὲ κοιλίην θεραπεύειν ὑπάγοντι καὶ ψύχοντι κλύσματι. οὕτω γὰρ τῇ νούσῳ τῇ ξυμπάσῃ συμφορώτατα. προσφέρειν δὲ ποτόν τε καὶ ῥόφημα καὶ τὰ πόματα διδόναι ὀξύτερα, ὡς τὸ σίαλον ἀνακαθαίρηται ἀπὸ τοῦ πλευροῦ. ὅταν δὲ καθαίρεσθαι ἄρξηται τὸ πῦον, θερμαίνοντα ξυμφέρει τὸ πλευρὸν ἔξωθεν πεπαίνειν τὰ πρὸς τὸ πλευρόν. πρόσθεν δὲ οὐ ξυμφέρει. ξηραίνεται γάρ. γίνεται δὲ ἡ νοῦσος αὕτη

adhibenda. Morbus lateralis, pulmonum inflammatio, febris ardens et perpetua in febre infania, phrenitis dicta, hi quidem acuti vocantur et maximi quidem et vehementiſſimi hieme oriuntur. Oriuntur quoque aeſtate, ſed minus et leviores. Quod ſi tibi forte contigerint, haec ubi feceris et in conſilium adhibueris, praecipue voti compos fies. Morbus lateralis eſt cum febris detinet, lateralis dolor, ſpiratio difficilis, nec niſi erecta cervice trahitur et tuſſis, ſputum per initia quidem aliquantum bilioſum expuit, ubi vero quintum aut ſextum diem attigerit, etiam aliquantum purulentum. Huic in lateris dolore, quod pituitam et bilem a latere inhibeat exhibeto, dolor enim ſic leviſſimus erit. Ventrem vero ſubducente et refrigerante clyſtere eluere oportet, hoc enim omni morbo convenientiſſimum exiſtit. Exhibendus etiam potus et ſorbitio et potiones acidiores propinandae, ut ſputum de latere per ſuperiora educatur. Ubi vero pus repurgari coeperit, quae latus calefaciunt conferunt et exteriore parte lateri admovenda quae maturent. Prius autem adhibere non confert, quod refiecetur. Oritur autem

Ed. Chart. VII. [621. 622.] Foës. I. 517. 518. Ed. Lind. II. (165. 166.)
μάλιστα μὲν ἐκ πόσιος, ὅταν τις ὑγράζοντος τοῦ σώματος ἢ μεθύων ἢ νήφων ῥιγώσῃ. γίνεται δὲ καὶ ἄλλως. κρίνεται δὲ ἡ νοῦσος ἡ μὲν βραχυτάτη ἑβδόμῃ, ἡ δὲ μακροτάτη τετάρτῃ καὶ δεκάτῃ, καὶ ἢν μὲν ἐν ταύτῃ πτυσθῇ καὶ καθαρθῇ τὸ πῦον ἀπὸ τοῦ πλευροῦ, ὑγιὴς γίνεται· || ἢν δὲ μὴ πτυσθῇ, ἔμπυος γίνεται καὶ ἡ νοῦσος μακρή. κρίνεσθαι δέ ἐστιν ἐν τῇσι νούσοισιν, ὅταν αὔξωνται αἱ νοῦσοι ἢ μαραίνωνται ἢ μεταπίπτωσιν ἐς ἕτερον νούσημα ἢ τελευτῶσιν. περιπλευμονίῃ. πυρετὸς ἴσχει, καὶ βὴξ, καὶ ἀποχρέμπτεται τὸ μὲν πρῶτον φλέγμα παχὺ καὶ καθαρὸν, τῇ ἕκτῃ δὲ καὶ ἑβδόμῃ ὑπόχολον καὶ ὑποπέλιον. ὀγδόῃ δὲ καὶ ἐννάτῃ ὑπόπυον. τούτῳ ἢν [622] μὲν ὀδύνη ἐγγίνεται ἢ τοῦ νώτου ἢ τῶν πλευρέων, διδόναι ὅπερ ἐν τῇ πλευ(166)ρίτιδι τοῦ πλευροῦ τῆς ὀδύνης ἐν τῇ φαρμακίτιδι γέγραπται. ποτοῖσι δὲ καὶ ῥοφήμασι καὶ τῆς κοιλίης ἐς τὴν ὑποχώρησιν καὶ ψύξιν, κατὰ ταὐτὰ θεραπεύειν τῇ πλευρίτιδι. ὅκως δὲ τὸ σίαλον ἐκ τοῦ πλεύμονος ἀνακαθάραι καὶ τὸ πῦον, διδόναι

hic morbus ex potu praecipue, cum quis humecto corpore vel temulentus vel febrius rigore correptus fuerit; fit et aliis ex cauſis. Judicium autem ſubit hic morbus, cum breviſſime quidem ſeptimo die, cum longiſſime autem, decimo quarto. Quo quidem ſi pus ex latere repurgatum et per ſputum rejectum fuerit, ſanus evadit. Si vero minime expuatur, purulentus fit et morbus longius protrahitur. Judicari autem morbi dicuntur, cum increſcunt aut exoleſcunt aut in alium transeunt aut deſinunt. In pulmonis inflammatione febris detinet et tuſſis, et primum quidem pituitam craſſam et puram excreat, ſexto vero ac ſeptimo die aliquantulum bilioſum et ſublividum, octavo autem et nono pure permixtum. Huic ſi dorſi aut laterum dolor oboriatur, exhibeto quod in morbo laterali ad lateris dolorem facere in medicamentorum tractatione ſcriptum eſt. Potibus autem et ſorbitionibus, alvi etiam ſubductione et refrigeratione, iisdem quibus in morbo laterali curatio facienda eſt. Ut autem ſputum et pus ex pulmonibus ſurſum educatur, exhibenda

Ed. Chart. VII. [622.] Foes. I. 518. Ed. Lind. II. (166.)

φάρμακα ποτὰ, οἷσιν πλεύμων ὑγραίνεται καὶ καθαίρεται τὸ πῦον ἄνω. ἡ δὲ νοῦσος αὕτη γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς φλέγμα ἀθρόον ῥυῇ ἐς τὸν πλεύμονα. ἔστι δ' ὅτε καὶ ἐκ πλευρίτιδος μεθίεται ἐς περιπλευμονίην καὶ καῦσον. κρίνεται δὲ ἐν ἡμέρῃσιν ἡ μὲν βραχυτάτη ἐν τεσσαρεσκαίδεκα, ἡ δὲ μακροτάτη ἐν δυοῖν δεούσαις εἴκοσι. διαφεύγουσι δὲ ταύτην ὀλίγοι. γίνονται δὲ καὶ ἔμπυοι ἐκ ταύτης τῆς νούσου, ἢν μὴ ἐν τῇσι κυρίῃσιν ὁ πλεύμων καθαρθῇ. φρενῖτις ὅταν λάβῃ, πυρετὸς ἴσχει βληχρὸς τὸ πρῶτον καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια. μᾶλλον δὲ πρὸς τὰ δεξιὰ ἐς τὸ ἧπαρ. ὅταν δὲ τεταρταῖος γένηται καὶ πεμπταῖος, ὅ τε πυρετὸς ἰσχυρότερος γίνεται καὶ αἱ ὀδύναι καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ τοῦ νοῦ παρακοπή. τούτῳ τῆς μὲν ὀδύνης ἅπερ ἐν τῇ πλευρίτιδι διδόναι, καὶ χλιαίνειν ἵν' ἡ ὀδύνη ἔχῃ· τὴν κοιλίην δὲ θεραπεύειν καὶ τἆλλα ποιέειν τὰ αὐτὰ, πλὴν τοῦ ποτοῦ. ποτῷ δὲ χρῆσθαι τῶν ἄλλων ὅτῳ ἂν ἐθέλῃς, πλὴν οἴνου, ἢ ὄξος καὶ μέλι καὶ ὕδωρ διδόναι. οἶνος δὲ οὐ ξυμφέρει

sunt in potu medicamenta quibus pulmo humectatur, et pus per superiora repurgatur. Hic autem morbus oritur cum pituita ex capite confertim ad pulmonem defluxerit. Interdum vero cum ex morbo laterali in pulmonis inflammationem et febrem ardentem transitus fit. Judicatur autem breviſſimus quidem decimoquarto die, longiſſimus vero duodevigeſimo. Hunc pauci effugiunt et ex hoc morbo ſuppurati evadunt, niſi pulmo intra judicatorios dies repurgatus fuerit. Ubi perpetua cum febre inſania, phrenitis dicta, occupat, primum levis febris detinet et dolor circa praecordia, magis autem dextera ad hepar. Cum autem quartum aut quintum diem attigerit, tum febris vehementior, tum dolores majores ſiunt, colorque aliquantum bilioſus redditur et mens offenditur. Huic ad dolorem eadem quae in morbo laterali exhibeto, et qua parte dolor detinet tepefacientia admoveto. Alvus vero curanda eademque reliqua excepto potu facienda. Potu quovis alio praeterquam vino utendum, aut acetum et mel et aqua exhibenda. Vinum autem

Ed. Chart. VII. [622.] Foës. I. 518. Ed. Lind. II. (166. 167.)
τοῦ νοῦ παρακοπέντος οὔτε ἐν ταύτῃ τῇ νούσῳ οὔτε ἐν ἑτέροισιν ἄλλῃσι. λούειν δὲ πολλῷ καὶ θερμῷ καὶ κατὰ τὴν κεφαλὴν ἐν ταύτῃ τῇ νούσῳ ξυμφέρει. μαλασσομένου γὰρ τοῦ σώματος καὶ ἰδρῶς μᾶλλον γίνεται καὶ ἡ κοιλίη (167) καὶ τὸ οὖρον διαχωρέει, καὶ αὐτὸς ἑαυτοῦ ἐγκρατέστερος γίνεται. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα πρὸς τὰ σπλάγχνα καὶ τὰς φρένας προσίζῃ. ἡ δὲ νοῦσος κρίνεται ἡ μὲν βραχυτάτη ἑβδομαίῃ, ἡ δὲ μακροτάτη ἑνδεκαταίῃ. διαφεύγουσι δὲ καὶ ταύτην ὀλίγοι. μεθίσταται δὲ καὶ αἴτη ἐς περιπλευμονίην, καὶ ἢν μεταστῇ, ὀλίγοι διαφεύγουσιν. καῦσος δὲ ὅταν ἔχῃ, πυρετὸς ἴσχει καὶ δίψα ἰσχυρὴ καὶ ἡ γλῶσσα τρηχείη καὶ μέλαινα γίνεται, τοῦ πνεύματος ὑπό γε θερμότητος, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ τὰ πτύαλα χολώδεα, καὶ τὰ μὲν ἔξω ψυχρὸς γίνεται, τὰ δ' ἔσω λίαν θερμός. τούτῳ ξυμφέρει ψύγματα προσφέρειν καὶ πρὸς τὴν κοιλίην καὶ ἔξωθεν πρὸς τὸ σῶμα, φυλασσόμενος μὴ φρίξῃ, καὶ τά τε πόματα καὶ τὰ ῥοφήματα διδόναι πυκνὰ καὶ κατ' ὀλίγον ὡς ψυχρότατα. τὴν δὲ κοιλίην θεραπεύειν, κἢν μὲν

mente offenſa, neque in hoc morbo, neque in quibusvis aliis confert. In hoc autem morbo caput multa calida lavare confert. Molliore enim reddito corpore, ſudor magis oritur alvusque et urina excernitur, ipſeque ſeipſo moderatior evadit. Hic morbus oritur ex bile commota, ubi ad viſcera et ſeptum transverſum reſederit. Judicatur autem ut breviſſime ſeptimo, ut longiſſime vero undecimo. Hunc enim pauci effugiunt, ipſeque in pulmonis inflammationem transit, ac ubi transierit pauci evadunt. In febre ardente febris et ſitis vehemens detinet, lingua aſpera et nigra ſpiritus ſane caliditate redditur, color aliquantulum bilioſus fit et ſputa bilioſa. In aegro partes exteriores frigidae ſunt, interiora vero admodum calent. Huic refrigerantia et alvo et exteriore corporis parte admovere convenit, ea cautione adhibita ut ne inhorreſcat. Potiones quoque et ſorbitiones crebrae et paulatim quam frigidiſſimae exhibendae. Alvus vero curanda et ſi quidem quae in ea continentur non ſubeant,

Ed. Chart. VII. [622. 623.] Foës. I. 518. 519. Ed. Lind. II. (167. 168.)

μὴ ὑποχωρέῃ τὰ ἐνεόντα, κλύσαι, ψύχειν τε κλύσμασι ὡς ψυχροτάτοισιν ἢ ὀσημέραι ἢ διὰ τρίτης. ἡ δὲ νοῦσος αὕτη γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα ἐντὸς τοῦ σώματος καταστηρίξῃ. φιλέει δὲ καὶ ἐς περιπλευμονίην μεθίστασθαι. κρίνεται δὲ ἡ μὲν βραχυτάτη ἐννάτῃ ἢ δεκάτῃ, ἡ δὲ μακροτάτη τεσσαρεσκαιδεκάτῃ, καὶ ἢν μὲν καταστῇ ἐς περιπλευμονίην, ὀλίγοι διαφεύγουσιν· ἢν δὲ μὴ μεταστῇ, διαφεύγουσι πολλοί. αἵδε μὲν οὖν ὀξεῖαι καλέονται, || καὶ δεῖ ταύτας οὕτω θεραπεύειν. ὁκόσοι δὲ ἄλλοι τοῦ χειμῶνος πυρετοὶ γίνονται, εἴτε ἐξ οἴνου εἴτε ἐκ κόπου εἴτε ἐξ ἄλλου τινός, [623] φυλάσσεσθαι χρή. μεθίστανται γὰρ (168) ἐνίοτε ἐς τὰς ὀξείας τούσους. ἡ δὲ μετάστασις αὐτῶν τοιαύτη γίνεται. ὅταν τῶν δύο κεκινημένων, τοῦ φλέγματός τε καὶ τῆς χολῆς, μὴ τὰ ξυμφέροντα προσφέρηται τῷ σώματι, συστρεφόμενα αὐτὰ πρὸς ἑωυτά, τό τε φλέγμα καὶ ἡ χολὴ προσπίπτει τοῦ σώματος ὅπου ἂν τύχῃ, καὶ γίνεται ἡ πλευρῖτις ἢ φρενῖτις, ἢ περιπλευμονίη. φυλάσσεσθαι οὖν χρὴ τοὺς πυρετοὺς τοὺς ἐν χειμῶνι. ἡ δὲ φυλακὴ αὐτῶν ἔστω ἡσυχίη καὶ ἰσχνασίη

subluenda et per infusa quam frigidissima vel quotidie vel tertio quoque die refrigeranda. Hic morbus oritur ex bile commota, ubi in aliquam interiorem corporis partem incubuerit. Consuevit etiam in pulmonis inflammationem transire. Judicatur autem ut brevissime quidem nono aut decimo die, ut longissime vero decimoquarto. Et si quidem ad pulmonis inflammationem devenerit, pauci effugiunt, si vero non transierit, multi evadunt. Atque hi quidem acuti morbi vocantur, eosque hoc modo curare convenit. Quae febres aliae hieme sive ex vino sive ex lassitudine sive ex alia quavis re oriuntur, diligenter observandae sunt. Interdum enim in acutas transeunt, earumque transitio fit ejusmodi. Agitatis duobus humoribus, tum bile, tum pituita, ubi quae minime conveniunt corpori admoventur, ipsi in sese collecti in eam corporis partem quamcumque fors obtulerit incidunt, fitque morbus lateralis ut phrenitis aut pulmonis inflammatio. Febres igitur hieme exortas diligenti cura observare

Ed. Chart. VII. [623.] Foël. I. 519. Ed. Lind. II. (168.)

καὶ τῆς κοιλίης κένωσις. ῥοφήμασι δὲ καὶ πόμασι διάγειν, ἕως ἂν ὁ πυρετὸς μειωθῇ. τῶν νούσων σχεδόν τι μάλιστα αἱ ὀξεῖαι καὶ ἀποκτείνουσι καὶ ἐπιπονώταταί εἰσι, καὶ δεῖ πρὸς αὐτὰς φυλακῆς τε πλείστης καὶ θεραπείης ἀκριβεστάτης, καὶ ἀπὸ τοῦ θεραπεύοντος κακὸν μὲν μηδὲν προσγίνεσθαι, ἀλλ' ἀρκέειν τὰ ἀπ' αὐτῶν τῶν νουσημάτων ὑπάρχοντα. ἀγαθὸν δὲ ὅ τι ἂν οἷός τε ᾖ, καὶ ἢν μὲν ὀρθῶς θεραπεύοντος τοῦ ἰητροῦ ὑπὸ μεγέθεος τῆς νούσου κρατέηται ὁ κάμνων, οὐχὶ καὶ αὕτη ἡ ἁμαρτία τοῦ ἰητροῦ ἐστίν· ἢν δὲ μὴ θεραπεύοντος ὀρθῶς μηδὲ γινώσκοντος ὑπὸ τῆς νόσου κρατέηται, τοῦ ἰητροῦ. τοῦ δὲ θέρεος τάδε γίνονται. πυρετὸς ἴσχει ἰσχυρὸς καὶ δίψα, καὶ ἐμέουσιν ἔνιοι χολήν. ἐνίοισι δὲ καὶ κάτω διαχωρέει. τούτοισι δὲ πίνειν διδόναι καὶ ῥοφεῖν, ὅ τι ἄν σοι δοκέῃ ἐπιτήδειον εἶναι. ἢν δὲ προσίσηται πρὸς τὴν καρδίαν χολὴ ἢ φλέγμα, ἐπιπίνοντες ὕδωρ ψυχρὸν ἢ μηλίκρητον ἐμέειν· ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, κλύσματι χρῆσθαι ἢ βαλάνῳ. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολης.

oportet. Sit autem earum diligens obſervatio, ut in his quies, gracilitas et ventris evacuatio adhibeatur. In ſorbitionibus autem et potionibus perdurandum donec febris imminuta fuerit. Ex omnibus fere morbis acuti praecipue et interficiunt, et maximos labores excitant, iique plurima obſervatione et accuratiſſima curatione indigent. Neque ab eo qui curat malum aliquod inferri debet, ſatis enim ſunt quae a morbis adſunt, verum ut boni aliquid praeſtet pro viribus curandum eſt. Quod ſi cum probe quidem curet medicus, morbi magnitudine ſuperetur aeger, haec medici culpa non eſt. Si vero cum recte non curet, neque morbum cognoſcat, a morbo ſuperetur, medici culpa eſt. Aeſtate haec contingunt, febris vehemens et ſitis detinet, quidam bilem vomitione rejiciunt, quibusdam etiam per inferiora ſecedit. Quibus quodcumque tibi conveniens eſſe videbitur potui vel ſorbendum exhibeto. Quod ſi bilis vel pituita circa cor urgeat, aqua frigida aut mulſa epota vomendum et ſi venter infra non ſubeat, infuſo vel glande utendum. Morbus hic

Ed. Chart. VII. [623.] Foës. I. 519. Ed. Lind. II. (168. 169.)
ἀπαλλάσσονται δὲ μάλιστα ἑβδομαῖοι ἢ (169) ἐνναταῖοι. ἢν δὲ τοῦ πυρετοῦ ἔχονιος μὴ καθαίρωνται μήτε κάτω μήτε ἄνω, πόνος δὲ ἐγῇ καθ' ἅπαν τὸ σῶμα, ὅταν ἢ τριταῖος ἢ τεταρταῖος φαρμάκῳ ὑποκαθῆραι ἐλαφρῷ κάτω ἢ πόματι. ποιέειν δὲ ῥόφημα ἀπὸ κέγχρου ἢ ἀλήτου, καὶ πόμασι τοῖσιν αὐτοῖσι θεραπεύειν. πάσχουσι δὲ καὶ ταῦτα ὑπὸ χολῆς. ἢν δὲ τὰ μὲν ἔξω μὴ πυρώδης ᾖ σφόδρα, τὰ δ' ἔσω καὶ ἡ γλῶσσα τρηχέη καὶ μέλαινα γίνεται καὶ οἱ πόδες καὶ αἱ χεῖρες ἄκραι ψυχραὶ, τούτῳ φάρμακον μὲν μὴ διδόναι, θεραπεύειν δὲ προσφέρων ψύγματα καὶ πρὸς τὴν κοιλίην, καὶ πρὸς τὸ ἄλλο σῶμα. καλέεται δὲ ὁ πυρετὸς καυσώδης οὗτος. κρίνεται δὲ μάλιστα δεκαταῖος καὶ τεσσαρεσκαιδεκαταῖος. ἢν δὲ τὸ πῦρ λαμβάνῃ καὶ μεθίῃ, τοῦ δὲ σώματος βάρος αὐτὸν ἔχῃ, τοῦτον ἕως μὲν ἂν τὸ πῦρ ἔχῃ ῥοφήμασι καὶ πόμασι θεραπεύειν· ὅταν δὲ μὴ ἔχῃ, διδόναι καὶ σιτία. καθῆραι δὲ ὡς τάχιστα φαρμάκῳ ἤν τε ἄνω δοκέῃ σοι δεῖσθαι ἤν τε κάτω. ἢν δὲ πυρετὸς μὲν μὴ ἔχῃ, τὸ δὲ στόμα πικρὸν ἔχῃ,

ex bile oritur. Liberantur autem fere ſeptimo vel nono die. Quod ſi cum febris detinet, neque per inferiora neque per ſuperiora purgantur, totumque corpus laboret, tertio vel quarto die levi medicamento vel potione per inferiora purgandum parandaeque ſorbitiones ex milio et farina, iisdemque potionibus curandum. Haec vero etiam ex bile contingunt. Si quidem partes exteriores non admodum igneae videantur, ſed interiores, linguaque aſpera et nigra reddatur et pedes ſummaeque manus frigidae ſint, huic ne medicamentum quidem exhibueris, ſed curationem per refrigerantia et ventri et toto corpori adhibita facito. Haec febris ardens nominatur, judicaturque fere die undecimo et decimoquarto. Quod ſi febris prehenderit et dimiſerit, corporis autem gravitas detinuerit, hunc quidem quamdiu febris tenuerit, ſorbitionibus ac potionibus curato. Cum vero minime detinuerit, etiam cibos exhibeto et quam citiſſime medicamentum purgans exhibeto, ſive ſurſum ſive deorſum tibi eo opus eſſe videatur. Si vero febris quidem non detineat, os

Ed. Chart. VII. [623.624.] Foës. I. 519. 520. Ed. Lind. II. (169. 170.)

καὶ τὸ σῶμα βαρύνηται καὶ ἀσιτέῃ, φάρμακον διδόναι. [624] πάσχει δὲ ταῦτα ὑπὸ χολῆς ὅταν εἰς τὰς φλέβας καὶ τὰ ἄρθρα καταστηρίξῃ. ὁκόσαι δὲ ἄλλαι ὀδύναι ἐν τῷ θέρει κατὰ κοιλίην γίνονται, ὁκόσαι μὲν πρὸς τὰ ὑποχόνδρια καὶ τὴν καρδίην, μελίκρητον ὑδαρὲς ποιέων ὅσον τρεῖς κοτύλας ὄξος παραχέας, δὸς πιεῖν χλιαρὸν, καὶ ἐπισχὼν ὀλίγον χρόνον ξυνθαλφθεὶς πυρὶ καὶ (170) ἱματίοισιν ἐμείτω. ἢν δὲ ἀπεμέσαντι αὖθις προσίστηται καὶ πνίγῃ, αὖθις ἔμετον ποιείσθω, ἢ λούσας αὐτὸν πολλῷ καὶ θερμῷ, ὑποκλύσαι καὶ χλιάσματα προστιθέναι, ἐὰν ἡ ὀδύνη ἔχῃ. πάσχουσι δὲ ταῦτα μάλιστα ὑπὸ τοῦ φλέγματος, ὅταν κινηθὲν προσπέσῃ πρὸς τὴν καρδίην. || διδόναι δὲ τοῖσι τὰ τοιαῦτα ἀλγήματα ἀλγέουσι καὶ τῶν φαρμάκων ἃ γέγραπται παύοντα τὴν τοιαύτην νοῦσον ἐν τῇ φαρμακίτιδι. ἢν δὲ μεθίστηται ἡ ὀδύνη ἄλλοτε ἄλλη τῆς κοιλίης καὶ ἀπύρετος ᾖ, λούειν πολλῷ καὶ θερμῷ καὶ πίνειν διδόναι τῆς ὀδύνης εἵνεκα ἃ ἐν τῇ πλευρίτιδι γέγραπται, ἢ τῶν ἄλλων ὅ τι ἄν σοι δοκέῃ. ἢν δὲ μὴ ἀπαλ-

tamen amarum habeat, corporis gravitas adsit, cibumque minime admittat, medicamentum exhibeto. Haec autem ex bile contingunt, cum ad venas et articulos decubuerit. At quicunque alii dolores per aestatem contingunt, qui quidem ad praecordia et cor feruntur, aquam mulsam aquosam aceti tribus affusis heminis, tepidam propinato et ubi modico tempore eam continuerit, et igne et vestibus contectus fuerit vomat. Quod si a vomitu rursus urgeant et strangulent, rursus vomitum cieto aut multa calida loto alvum subluito, et tepefactoria quandiu dolor detinuerit admoveto. Haec autem praecipue ex pituita contingunt, cum commota ad cor irruperit. His vero qui hujusmodi doloribus conflictantur, etiam ea medicamenta exhibenda, quae ad hujusmodi morbum sedandum in medicamentorum tractatione scripta sunt. At si dolor subinde ad aliam ventris partem citra febrem transierit, multa calida lavandum et ad dolorem ea potui exhibenda, quae in morbo laterali scripta sunt aut aliud quodcunque tibi visum fuerit. Quod si dolore non libere-

Ed. Chart. VII. [624.] Foëſ. I. 520. Ed. Lind. II. (170. 171.)
λάσηται τῆς ὀδύνης, ὑποκαθῆραι φαρμάκῳ κάτω. σιτίων δὲ ἀπέχεσθαι ἕως ἂν ἡ ὀδύνη ἔχῃ. τὰ δὲ τοιαῦτα ἀλγήματα ὅσα οὕτως πλανᾶται, ὑπὸ χολῆς γίνεται. ὅσαι δὲ κάτωθεν τοῦ ὀμφαλοῦ ὀδύναι γίνονται ὑποκλύσαι μαλακῷ κλύσματι, ἢν δὲ μὴ παύηται, φάρμακον δοῦναι κάτω. ὁκόσαι δὲ ὀδύναι ἐξαπίνης γίνονται ἐν τῷ σώματι ἄνευ πυρετοῦ, ξυμφέρει λούειν πολλῷ καὶ θερμῷ καὶ χλιαίνειν. τὸ γὰρ φλέγμα καὶ ἡ χολὴ ξυνεσιηκότα μὲν ἰσχυρά γε ἐστὶν καὶ κρατέει καθ' ὁκοῖον ἂν τοῦ σώματος στῇ, καὶ πόνον τε καὶ ὀδύνην ἰσχυρὴν παρέχει. διακεχυμένα δὲ ἀσθενέστερά ἐστι καθ' ὃ ἂν εὔδηλα ᾖ τοῦ σώματος. τὰ δὲ νουσήματα ὅσα τοῦ θέρεος γίνονται, εἴωθε γίνεσθαι οὕτως. ὅταν τὸ σῶμα ὑπὸ τοῦ ἡλίου θαλφθῇ, ὑγραίνεται. ὑγραινόμενον (171) δὲ τοσέει ἢ πᾶν ἢ ἐς ὃ μέρος ἂν κατασιηρίξῃ τὸ φλέγμα καὶ ἡ χολή. ἢν μὲν οὖν τις αὐτὰ ἀρχόμενα θεραπεύῃ, οὔτε μακρὰ γίνεται οὔτε ἐπικίνδυνα. ἢν δὲ μὴ θεραπεύῃ ἢ κακῶς θεραπεύῃ, φιλέει καὶ μακρότερα γίνεσθαι, πολλάκις δὲ καὶ κτείνει, καὶ τριταῖοι δὲ καὶ τεταρταῖοι πυρετοὶ ἐκ τῶν τοιούτων γίνε-

tur, medicamento per inferiora purgandum, cibis vero quoad dolor tenuerit abſtineat. Hujusmodi autem dolores qui ita vagantur ex bile oriuntur. In doloribus qui infra umbilicum contingunt, alvus molli infuſo eſt ſubluenda, qui ſi non ſedentur, medicamentum deorſum purgans exhibendum. Qui vero dolores derepente citra febrem corpori accidunt, in his multa calida lavare et tepefactoriis uti confert. Pituita enim et bilis coacta quidem valida ſane ſunt, et quacunque corporis conſtiterint, ibi obtinent, vehementemque tum laborem tum dolorem excitant. Diffuſa vero quacunque corporis parte ſe prodan, imbecilliora ſunt. At vero morbi qui per aeſtatem contingunt ſic oriri ſolent. Ubi corpus ex ſole incaluerit, humectatur, humectatum vero aegrotat vel totum vel ea parte in quam pituita et bilis decubuerint. Eos igitur ſi quis per initia curaverit, neque longi neque periculoſi reddantur. Si vero non cures aut male cures, et longiores eſſe conſueverunt et plerumque interficiunt. Quin etiam ex his tertianae at quartanae oriri ſolent. Haec morborum conſti-

Ed. Chart. VII. [624. 625.] Foës. I. 520. Ed. Lind. II. (171.)

σθαι πεφύκασιν. αὕτη ἡ κατάστασις τῶν νουσημάτων μάλιστα μὲν τοῦ θέρεος γίνεται, ἐνίοισι δὲ καὶ τοῦ χειμῶνος. τριταῖος δὲ πυρετὸς ὅταν ἔχῃ, ἢν μέν σοι δοκέῃ ἀκάθαρτος εἶναι, τῇ τετάρτῃ φάρμακον δοῦναι· ἢν δὲ μή σοι δοκέῃ φαρμάκου δεῖσθαι, διδόναι φάρμακα ποτὰ, οἷσιν ἢ μεταστήσεται ὁ πυρετὸς ἢ ἀπολείψει. διδόναι δὲ ὥσπερ γέγραπται ἐν τοῖσι φαρμάκοισι, καὶ τῇ μὲν λήψει, ῥοφήματι καὶ ποτῇ διαιτᾶν, τοῖς δὲ διὰ μέσου σιτίοισι διαχωρητικοῖσι. λαμβάνει δ' ὡς ἐπὶ τὸ πουλὺ, οὐκ ἐπὶ πλεῖστον. ἢν δὲ μὴ θεραπεύηται, ἐθέλει μεθίστασθαι ἐς τεταρταῖον καὶ γίνεσθαι πουλυχρόνιος. ἢν δὲ τεταρταῖος λαμβάνῃ, ἢν μὲν ἀκάθαρτος ᾖ, καθαίρειν πρῶτον μὲν τὴν κεφαλὴν, καὶ διαλείπων τρεῖς ἢ τέτταρας ἡμέρας φάρμακον διδόναι ἄνω κατ' αὐτὴν τὴν λῆψιν. διαλιπὼν δὲ κάτω δοῦναι ἕτερον ἐν αὐτῇ τῇ λήψει. ἢν δὲ πρὸς ταῦτα μὴ παύηται, διαλιπὼν πάλιν λούσας πολλῷ καὶ θερμῷ, δοῦναι τῶν φαρμάκων ἃ γέγραπται. ποτήμασι δὲ καὶ ῥοφήμασι [625] καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι

tutio potiſſimum quidem per aeſtatem, interdum autem per hiemem contingit. Cum febris tertiana detinuerit, ſi quidem impurgatus eſſe tibi videatur, quarto die medicamentum purgans exhibeto. At ſi medicamento opus eſſe tibi non videatur, in potu ea medicamenta danda ſunt quibus febris aut transmutetur aut deſinat, quemadmodum in medicamentis ſcriptum eſt. Et in acceſſione quidem ſorbitione et potu nutriendum, intermediis autem diebus cibis alvum ſubducentibus. Quae ut plurimum non ita ſaepe prehendit, niſi vero curetur, in quartanam transire et diuturna eſſe ſolet. Si autem quartana prehenderit, ſi quidem impurgatus fuerit, primum quidem caput purgandum et tribus aut quatuor interjectis diebus ſub ipſam acceſſionem medicamentum ſurſum purgans exhibendum, rurſus aliquo intervallo interjecto aliud medicamentum deorſum purgans in ipſa acceſſione dandum. Quod ſi per haec non ſedatur, rurſus intermiſſis aliquot diebus multa calida loto medicamenta quae ſcripta ſunt exhibenda. Potionibus autem et ſorbitionibus, reli-

Ed. Chart. VII. [625.] Foël. I. 520. 521. Ed. Lind. II. (171. 172.)
ὥσπερ ἐπὶ τοῦ τριταίου. λαμβάνει δὲ οὕτως ὁ πυρετὸς (172) τοὺς μὲν πλείστους πουλὺν χρόνον, τοὺς δὲ καὶ ὀλίγον, καὶ γίνεται μὲν ὅ τε τριταῖος καὶ τεταρταῖος ὑπὸ χολῆς καὶ φλέγματος. διότι δὲ ὁ τριταῖος καὶ ὁ τεταρταῖος ἑτέρωθί μοι γέγραπται. δύναμιν δὲ ἔχει τῶν πυρετῶν τὰ φάρμακα τούτων, ὥστε πινόμενα τὸ σῶμα κατὰ χώρην εἶναι, ἐν τῇ εἰωθυίῃ θερμότητί τε καὶ ψυχρότητι, καὶ μήτε θερμαίνεσθαι παρὰ φύσιν μήτε ψύχεσθαι. διδόναι δὲ ὡς ἐν τῇ φαρμακίτιδι γέγραπται. φλέγμα λευκὸν ὅταν ἔχῃ, τὸ σῶμα οἰδέει πᾶν λευκῷ οἰδήματι, καὶ τῆς αὐτῆς ἡμέρης τὸ μὲν δοκέει ῥᾴων εἶναι, τὸ δὲ φλαυρότερος, καὶ τὸ οἴδημα ἄλλοτε ἄλλη τοῦ σώματος μέζον τε καὶ ἔλασσον γίνεται. τούτῳ φάρμακα διδόναι κάτω, ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται, διαιτᾶν δὲ σιτίοισι καὶ ποτοῖσι καὶ πόνοισιν, ὑφ' ὧν ὡς ξηρότατος ἔσται καὶ ἰσχνότατος. || ἡ δὲ νοῦσος αὕτη γίνεται ἀπὸ φλέγματος. ὅταν τις ἐκ πυρετῶν πολυχρονίων φλεγματώδης ὢν ἀκάθαρτος γένηται τρέπηταί τε τὸ φλέγμα αὐτοῦ ἀνὰ τὰς

quaque victus ratione, velut in tertiana utendum. Haec autem febris plurimos quidem longo tempore invadit, quosdam vero etiam pauco, et oritur quidem tum tertiana, tum quartana ex bile et pituita, quam vero ob causam de tertiana et quartana alibi a me scriptum est. Harum autem febrium epota medicamenta hanc habent facultatem, ut corpus in consueta caliditate et frigiditate suo loco consistat, neque praeter naturam incalescat neque refrigeretur. Exhibenda vero quemadmodum in medicamentorum tractatione scriptum est. Cum pituita alba detinent, totum corpus tumore albo intumescit, eodemque die alia corporis parte melius, alia deterius habere videtur, tumorque alias alia corporis parte et major et minor est. Huic medicamenta deorsum purgantia exhibenda, quibus aqua aut pituita purgatur. In victus autem ratione utendum cibis et potibus ac laboribus, ex quibus siccissimus et maxime gracilis evadat. Morbus hic ex pituita oritur, cum quis ex diuturnis febribus pituita abundaverit et minime purgatus fuerit, et in ejus carnes pituita

Ed. Chart. VII. [625] Foës. I. 521. Ed. Lind. II. (172. 173.)

σάρκας, καὶ λευκότερον μὲν οὐδὲν τοῦτο τοῦ ἄλλου ἢ φλέγματος, ὁ δὲ χρὼς φαίνεται λευκότερος. τὸ γὰρ αἷμα ὑπὸ πλήθους τοῦ φλέγματος ὑδαρέστερον γίνεται, καὶ οὐκ ἔνι ὁμοίως ἐν αὐτῷ τὸ εὔχροον, καὶ διὰ τοῦτο λευκότεροί τε φαίνονται, καὶ καλέεται ἡ νοῦσος φλέγμα λευκόν. ἢν μὲν οὖν θεραπευθῇ ἀρχομένης τῆς νούσου, ὑγιὴς γίνεται· ἢν δὲ μὴ, ἐς ὕδρωπα μεθίσταται ἡ νοῦσος καὶ διέφθειρε τὸν ἄνθρωπον. ὁκόσοι δὲ σπλῆνα ἔχουσι μέγαν, ὅσοι μέν εἰσι χολώδεες, κακόχροοί τε γίνονται καὶ κακελκέες (173) καὶ δυσώδεες ἐκ τοῦ στόματος καὶ λεπτοὶ, καὶ ὁ σπλὴν σκληρὸς καὶ ἀεὶ παραπλήσιος τὸ μέγεθος, καὶ τὰ σιτία οὐ διαχωρέει· ὁκόσοι δὲ φλεγματίαι ταὐτά τε ἧσσον πάσχουσι καὶ ὁ σπλὴν ἄλλοτε μείζων γίνεται, ἄλλοτε δὲ ἐλάσσων. τούτοισι ξυμφέρει, ἢν μὲν ἀκάθαρτοι φαίνωνται, καθαίρειν καὶ τὴν κεφαλὴν καὶ τὸ ἄλλο σῶμα. ἢν δὲ μὴ δέωνται φαρμακείης, διαιτᾶν. τοῖσι μὲν φλεγματώδεσι ξηραίνοντα τὸ σῶμα καὶ ἰσχναίνοντα σιτίοισι καὶ ποτοῖσι καὶ ἐμέτοισι καὶ γυμνασίοισιν ὡς πλείστοισι καὶ περιπάτοισι, καὶ τοῦ ἤρος ἐλλεβόρῳ

vertitur. Quae quanquam reliqua pituita nihilo ſit albidior, cutis tamen color candidior apparet. Sanguis enim pituitae copia aquoſior redditur, neque aeque in eo bonus color ineſt, proptereaque candidiores apparent, morbusque pituita alba vocatur. Si igitur per morbi initia curatio adhibita fuerit, convaleſcit; ſin minus, in aquam inter cutem morbus transit et hominem perimit. Qui magnum habent lienem, qui quidem bilioſi ſunt, male colorati evadunt, prava ulcera contrahunt, os graviter olet, graciles ſunt, lien durus eſt, ſemperque aequalis magnitudinis, neque ciborum reliquiae per alvum demittuntur. Qui vero pituitoſi ſunt, haec iis minus contingunt et lien alias major, alias minor redditur. His confert ſi quidem minime purgati videantur, caput et reliquum corpus purgare. Quod ſi purgatione non indigeant, victus ea ratio inſtituenda, quae pituitoſis quidem corpus exſiccet et extenuet, cibis, potionibus et vomitionibus et exercitationibus quam plurimis ac deambulationibus. Quin

Ed. Chart. VII. [625. 626.] Foës. I. 521. Ed. Lind. II. (173. 174.)
καθαίρειν ἄνω. ὁκόσοι δὲ χολώδεες, ξυμφέρει διυγραίνοντα τῇ διαίτῃ ὑπάγειν τὴν κοιλίην καὶ τὴν κύστιν καὶ τὴν φλέβα τὴν σπληνῖτιν ἀφιέναι πυκνά, καὶ τοῖσι διουρητικοῖσι φαρμάκοισι χρῆσθαι. ἃ γέγραπται μαλθάσσειν τὸν σπλῆνα, καὶ καθαίρειν ἔτεος ὥρῃ καὶ τοῦτο χολήν. ἔνιοι δὲ τῶν σπληνιώντων ὑπὸ μὲν τῶν φαρμάκων πίνοντες οὐκ ὠφελέονται, οὐδ' ὑπὸ τῆς ἄλλης θεραπείης οὐδὲν ἰσχνότερος γίνεται αὐτῶν ὁ σπλὴν, ἀλλὰ κρατέεται τὰ προσφερόμενα ὑπὸ τοῦ μεγέθεος τῆς νούσου. προϊόντος δὲ τοῦ χρόνου ἐνίοισι μὲν ἐς ὕδρωπα περιΐσταται ἡ νοῦσος, καὶ διεφθάρησαν· ἐνίοισι δὲ καὶ πυΐσκεται, καὶ καυθέντες ὑγιέες γίνονται· ἐνίοισι δὲ καὶ ξυγκαταγηράσκει, σκληρός τε ὢν καὶ μέγας. [626] τὸ δὲ νούσημα γίνεται, ὅταν ἐκ πυρετῶν καὶ κακοθεραπείης χολὴ ἢ φλέγμα ἢ καὶ ἀμφότερα ἐς τὸν σπλῆνα καταστηρίξῃ, καὶ πολυχρόνιον μέν ἐστι τὸ πάθος, θανατῶδες δὲ οὔ. τῶν δὲ φαρμάκων ὅσα δίδοται τοῦ σπληνός, τὰ μὲν καὶ διὰ τῆς κύ(174)στιος καθαίρει καὶ ποιέει λαπαρώτερον, τὰ δὲ καθαίρει μὲν οὔτε διὰ τῆς κύστιος οὐδὲν ὅ τι καὶ φανερώτε-

etiam vere per veratrum ſurſum purgandum. Biliosis vero confert per victus rationem humectantem alvum et veſicam ſubducere, et venam ſplenicam crebro laxare, medicamentisque urinam cientibus uti quae lienem mollire ſcripta ſunt, et pro anni tempore bilem purgare. Ex lienosis autem nonnulli medicamentis epotis minime juvantur, et ex reliqua curatione nihilo gracilior etiam lien redditur, ſed quae admoventur a morbi magnitudine ſuperantur. Progreſſu vero temporis quibusdam quidem morbus ad aquam intercutem devenit et contabeſcunt, quibusdam vero purulentus ſit et uſtione conſaneſcunt, quibusdam etiam durus et magnus ad ſenectutem usque perſeverat. Oritur autem morbus ubi ex febribus et vitioſa curatione bilis aut pituita aut utraque ad lienem decubuerint. Et diuturnus quidem affectus eſt, minime tamen lethalis. Ex medicamentis autem quae ad lienem exhibentur, alia quidem per veſicam purgant et molliorem efficiunt, alia vero purgant quidem, neque tamen per veſicam quicquam quod evidens ſit, neque per

Ed. Chart. VII. [626.] Foes. I. 521. Ed. Lind. II. (174.)

ρον σὔτ' ἄλλη οὐδαμῇ. λαπάσσει δὲ τὸν σπλῆνα. εἰλεὸς ὅταν λάβῃ, ἡ γαστὴρ σκληρὴ γίνεται καὶ διαχωρέει οὐδέν, καὶ ὀδύνη κάτω πᾶσαν τὴν κοιλίην ἔχει καὶ πυρετὸς καὶ δίψα. ἐνίοτε δὲ ὑπὸ πόνου ἐμέει καὶ χολήν. τοῦτον χρὴ διυγραίνειν καὶ ἔσωθεν καὶ ἔξωθεν. λούειν τε πολλῷ καὶ θερμῷ, καὶ πίνειν ὅσα τήν τε κοιλίην κινέει καὶ τὸ οὖρον ὑπάγει καὶ ὑποκλύζειν ἢν δέχεται. ἢν δὲ μὴ δέχεται τὸ κλύσμα, αὐλίσκον προσδήσας πρὸς ποδεῶνα ἀσκίου φυσήσας, ἐνιέναι τὴν φῦσαν πολλήν, καὶ ἐπειδὰν ἀρθῇ τὸ ἔντερον ὑπὸ τῆς φύσης καὶ ἡ γαστὴρ, ἐξελὼν τὸν αὐλίσκον ἐνιέναι παραχρῆμα κλύσμα, καὶ ἢν δέξηται, ὑποχωρήσει καὶ ὑγιὴς ἔσται. ἢν δὲ μὴ οὕτω δέξηται τὸ κλύσμα, ἀποθνήσκει μάλιστα ἑβδομαῖος. ἡ δὲ τοιαύτη νοῦσος γίνεται, ὅταν τῆς κόπρου ξυγκαυθῇ ἀθρόον ἐν τῷ ἐντέρῳ, περὶ τοῦτο περιΐσταται φλέγμα, καὶ τὸ ἔντερον ἅτε τούτων ἀθρόων ἐνεσκληκότων, περιοιδέει, καὶ οὔτε τῶν ἄνωθεν πινομένων φάρμακον δέχεται, ἀλλὰ ἀνεμέει, οὔτε τῶν κάτωθεν προσφερομένων κλυσμάτων δέχεται. ἔστι δὲ τὸ νούσημα ὀξὺ καὶ ἐπικίνδυνον.

aliam uspiam partem, lienem tamen emolliunt. Cum volvulus corripuerit, venter durus redditur nihilque infra demittit, dolorque totam inferiorem alvum detinet et febris et sitis. Quandoque etiam prae dolore bilem vomitione rejicit. Hunc et intus et extra humectare oportet et multa calida lavare, bibereque quae alvum moveant et urinam deducant, et per infusum subluere si admittat. Quod si clysterem recusset, fistula ad propendulum utriculi petiolum adalligata et inflata, multus flatus immittendus, intestinoque et ventre per flatum distento, detracta fistula confestim clyster injiciendus. Quem si admiserit, alvum demittet et convalescet. Si vero ne sic quidem clysterem receperit, septimo fere die moritur. Oritur autem ejusmodi morbus, ubi copiose coacervatum stercus in intestino pituita circumambiente combustum fuerit, intestinumque, his nimirum confertim induratis, intumuerit, nullumque ex his medicamentis quae superbibuntur recipit, sed vomitione rejicit, neque admota per inferiora infusa recipit. Est autem morbus acutus et periculi

Ed. Chart. VII. [626.] Foeſ. I. 522. Ed. Lind. II. (174. 175.)

|| ὕδερος δὲ γίνεται τὰ μὲν πλεῖστα, ὅταν τις ἐκ νόσου μακρῆς ἀκάθαρτος διαφέρεται πουλὺν χρόνον. φθείρονται γὰρ αἱ σάρκες καὶ τήκονται καὶ γίνονται ὕδωρ. γίνεται δὲ ὕδρωψ καὶ ἀπὸ τοῦ σληνὸς, ὅταν νοσήσῃ, καὶ ἀπὸ τοῦ ἥπατος, καὶ ἀπὸ λευκοῦ φλέγματος, καὶ (175) ἀπὸ δυσεντερίης, καὶ λειεντερίης, καὶ ἢν μὲν ἐξ ἀκαθαρσίης γένηται ὕδρωψ, ἡ μὲν γαστὴρ ὕδατος πίμπλαται, οἱ δὲ πόδες καὶ αἱ κνῆμαι ἐπαίρονται. οἱ δὲ ὦμοι καὶ αἱ κληῖδες καὶ τὰ στήθεα καὶ οἱ μηροὶ τήκονται. τοῦτον ἢν ἀρχόμενον λάβῃς πρὸ τοῦ ὑπέρυθρον γενέσθαι, φάρμακα πιπίσκειν κάτω, ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται. χολὴν δὲ κινέειν. σιτίοισι δὲ καὶ ποτοῖσι καὶ πόνοισι καὶ περιπάτοισι διαιτᾶν, ὑφ' ὧν ἰσχνὸς καὶ ξηρὸς ἔσται καὶ αἱ σάρκες ὡς ἰσχυρόταται. ἡ δὲ νοῦσος θανατώδης, ἄλλως τε καὶ ἢν φθῇ ἡ γαστὴρ μεστωθεῖσα ὕδατος. ὅταν δὲ ἀπὸ σπληνὸς ἢ ἥπατος ἢ λευκοῦ φλέγματος ἢ δυσεντερίης ἐς ὕδρωπα μεταστῇ, θεραπεύειν μὲν τοῖσι αὐτοῖσι ξυμφέρει, διαφεύγουσι δὲ οὐ μάλα. τῶν γὰρ νουσημά-

plenus. Aqua inter cutem plerumque quidem oritur, ubi quis ex morbo longo non purgatus diu vitam traduxerit. Carnes namque corrumpuntur et colliquantur, in aquamque vertuntur. Fit etiam hydrops ex liene ubi aegrotarit, et ex hepate et ex alba pituita et inteſtinorum difficultate et laevitate. Et ſi quidem hydrops ex vitioſorum humorum purgationis defectu contingat, venter aqua impletur, pedes et tibiae attolluntur, humeri, jugulum, pectus et coxae contabeſcunt. Hunc ſi inter initia in manus ſumpſeris, prius quam aqua ſupra modum ſuffuſus fuerit, medicamenta propinanda quibus aqua et pituita per inferiora purgetur. Bilis vero minime movenda. Victus ratio inſtituenda in cibis et potibus, laboribus et deambulationibus, ex quibus gracilis et ſiccus reddatur, carnes vero quam validiſſimae. Hic vero morbus cum alias lethalis eſt, tum vero praecipue cum venter aqua plenus eſſe coeperit. At cum ex liene aut hepate aut alba pituita aut inteſtinorum difficultate in aquam intercutem transierit, per eadem quidem curare conſert, neque tamen admodum evadunt. In morbis enim ubi alter al-

Ed. Chart. VII. [626. 627.] Foël. I. 522. Ed. Lind. II. (175. 176.) *των ὅ τι ἂν ἕτερον ἐφ' ἑτέρῳ γένηται, ὡς τὰ πολλὰ ἀποκτείνει. ὅταν γὰρ ἀσθενεῖ τῷ σώματι* [627] *ὅτι ὑπὸ τῆς παρούσης νούσου ἑτέρη νοῦσος ἐπιγένηται, προαπόλλυται ὑπὸ ἀσθενείης, πρὶν ἢ τὴν ἑτέρην νοῦσον τὴν ὑστέρην γενομένην τελευτῆσαι. τὸ δὴ ὕδωρ γίνεται οὕτως. ἐπειδὰν αἱ σάρκες ὑπὸ φλέγματος καὶ χρόνου καὶ νόσου καὶ ἀκαθαρσίης καὶ κακοθεραπείης καὶ πυρετῶν διαφθαρῶσι, τήκονται καὶ γίνονται ὕδωρ, καὶ ἡ μὲν κοιλίη οὐ μεταδιδοῖ ὕδωρ ἐς ἑωὐτὴν, κύκλῳ δὲ περὶ αὐτὴν γίνεται. καὶ ἢν μὲν οὖν ὑπὸ τῶν φαρμάκων καὶ τῆς ἄλλης διαίτης ὠφελέηται καὶ ἡ γαστὴρ λαπάσσηται αὐτοῦ· ἢν δὲ μὴ, ταμὼν ἀφεῖναι τοῦ ὕδατος. τέμνεται δὲ ἢ παρὰ τὸν ὀμφαλὸν ἢ ὄπισθεν κατὰ τὴν λαγόνα. διαφεύγουσι δὲ καὶ ἐντεῦθεν ὀλίγοι.* (176) *δυσεντερίη ὅταν ἔχῃ, ὀδύνη ἔχει κατὰ πᾶσαν τὴν κοιλίην καὶ στρόφος, καὶ διαχωρέει χολήν τε καὶ φλέγμα καὶ αἷμα ξυγκεκαυμένον. τούτου καθήρας τὴν κεφαλὴν φάρμακον πίσαι ἄνω, ὅ τι φλέγμα καθαίρει, καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ διανίψας, τὸ ἄλλο σῶμα θεραπεύειν, καὶ ἢν μὲν ἄπυρος ᾖ, τὴν μὲν*

teri ſuccedit, is plerumque interficit. Corpus enim ex praeſente morbo imbecillum redditum, ſi alter morbus acceſſerit, ex imbecillitate prius perit quam alter qui poſterior acceſſit morbus deſinat. Aqua ſane ſic gignitur. Poſtquam carnes pituita, tempore, morbo et vitioſorum humorum purgatione non facta, malaque curatione et febribus corruptae fuerint, colliqueſcunt et in aquam vertuntur, neque in ſe quidem venter aquam transfundit, ſed in ejus ambitu gignitur. Si igitur ex medicamentis aut reliqua victus ratione auxilium ſentiat, ejusque venter emolliatur, ſatis eſt. Sin minus, ſectione facta aquam educito. Fit autem ſectio vel juxta umbilicum, vel retro juxta ilia. Inde vero pauci etiam evadunt. Cum inteſtinorum difficultas detinuerit, dolor totum ventrem occupat, et tormina, bilem pituitamque et ſanguinem aduſtum per alvum demittit. Hujus purgato capite, medicamentum quod ſupra pituitam purget propinato et alvo lacte cocto abluta, reliquum corpus curato. Et ſi qui-

Ed. Chart. VII. [627.] Foës. I. 522. Ed. Lind. II. (176.)

κοιλίην λιπαροῖσι καὶ πίοισι καὶ γλυκέσι καὶ ὑγροῖσιν ὑπάγειν αἰεὶ τὰ ἐνεόντα, καὶ λούειν πολλῷ καὶ θερμῷ τὰ κάτω τοῦ ὀμφαλοῦ, ἢν ὀδύνη ἔχῃ· τὰ δὲ πόματα καὶ τὰ ῥοφήματα καὶ τὰ σιτία προσφέρειν κατὰ τὰ γεγραμμένα ἐν τῇ φαρμακίτιδι. ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα καταστηρίξῃ ἐς τὰς φλέβας καὶ τὴν κοιλίην, νοσέει μὲν τὸ αἷμα καὶ διαχωρέει ἐφθαρμένον, νοσέει δὲ καὶ τὸ ἔντερον καὶ ξύεται καὶ ἕλκοῦται. γίνεται δὲ αὕτη ἡ νοῦσος καὶ μακρὴ καὶ πολύπονος καὶ θανατώδης, καὶ ἢν μὲν ἔτι τοῦ σώματος ἰσχύοντος θεραπεύηται, ἐλπὶς διαφυγεῖν. ἢν δὲ ἤδη ἐκτετηκότος καὶ τῆς κοιλίης παντάπασιν ἡλκωμένης, ζωῆς οὐδεμία ἐλπίς. λειεντερίη τὰ σιτία διαχωρέει ἄσηπτα, ὑγρά. ὀδύνη δὲ οὐκ ἔνι. λεπτύνεται δὲ καὶ τὸ σῶμα. τοῦτον θεραπεύειν ἐν τοῖσιν αὐτοῖσι, τοῖς ὑπὸ δυσεντερίης ἐχομένοις. ἡ δὲ νοῦσος γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης καταῤῥόος γένηται τοῦ φλέγματος ἐς τὴν κάτω κοιλίην. ὅταν δὲ τοῦτο, τὰ σιτία ὑπ' αὐτοῦ ψύχεται καὶ ὑγραίνεται, καὶ

dem febris expers fuerit, alvum unguinoſis, pinguibus, dulcibus ac liquidis ſemper ſubducito et quae inſunt ſemper educito, et ſi dolor detinet, partes ſub umbilico calida multa lavato, potiones, ſorbitiones et cibos, prout in medicamentorum tractatione ſcriptum eſt, adhibeto. Oritur hic morbus poſtquam bilis et pituita in venas et alvum decubuerit. Male quidem afficitur ſanguis et corruptus per inferiora emittitur, male quoque inteſtinum afficitur et raditur ac exulceratur. Longus autem hic morbus redditur, laborioſus et lethalis, et ſi quidem valido adhuc corpore curatio adhibeatur, hunc effugere poſſe ſpes eſt; ſin vero jam colliquefacto ventreque penitus exulcerato, vitae nulla ſpes eſt. Inteſtinorum levitas cibos demittit minime putrefactos, liquidos, dolor non adeſt, corpus autem extenuatur. Hunc iisdem quibus inteſtinorum difficultate detentos curato. Hic vero morbus contingit, cum ex capite et ſuperiore ventre in inferiorem pituitae defluxus factus fuerit. Ideoque cum fit, cibi ab eo refrigerantur et humectantur, eorumque non putrefactorum

Ed. Chart. VII. [627. 628.] Foës. I. 522. 523. Ed. Lind. II. (176. 177.) ἡ ἄφοδος αὐτῶν ἀσήπτων ταχείη γίνεται, καὶ τὸ σῶμα τήκεται· ἅμα μὲν οὐ πεσσομένων τῶν σιτίων ἐν τῇ κοιλίῃ χρόνον ἱκανόν, ἅμα δὲ ὑπὸ τῆς (177) κοιλίης θερμῆς ἐούσης παρὰ φύσιν θερμαινόμενον. διάῤῥοια δὲ ‖ ἡ μακρὴ ὅταν ἔχῃ, διαχωρέει πρῶτον μὲν τὰ εἰσιόντα ὑγρά, ἔπειτα φλέγμα, καὶ ἐσθίει μὲν ἐπιεικῶς, ὑπὸ δὲ τῆς πολλῆς διαχωρήσιος ἀσθενὴς καὶ λεπτὸς γίνεται. τοῦτον ἄνω ἀποξηραίνειν ἐλλέβορον πιπίσκων, καὶ τὴν κεφαλὴν καθαίρων [628] φλέγμα. διανίψαι δὲ καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ· ἔπειτα τἄλλα σιτίοισι καὶ ποτοῖσι θεραπεύειν ὑφ' ὧν ξηραίνεται ἡ κοιλίη καὶ τὸ σῶμα πᾶν. ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτῶν γίνεται, ἀφ' ὧν καὶ ἡ λειεντερίη. αὗται αἱ νοῦσοι, ἥ τε δυσεντερίη καὶ ἡ λειεντερίη καὶ διάῤῥοια, παραπλήσιαί εἰσι, καὶ δεῖ αὐτὰς οὕτως ἰῆσθαι. τὸν μὲν κατάῤῥοον ἀπολαμβάνειν τὸν ἀπὸ τῆς κεφαλῆς καὶ τῆς ὕνω κοιλίης ἢ ἀποιρέπειν. τοῦ γὰρ νουσήματος ἡ φύσις ἐντεῦθεν γίνεται καὶ οὐδεὶς οὐδέν σου μέμψεται τὴν διάνοιαν. σχεδὸν δὲ καὶ τἆλλα νουσήματα ὧδε δεῖ σκοπεῖν, ὁκόθεν ἑκάστῳ ἡ φύσις γίνεται.

velox fit per alvum demiſſio et corpus colliqueſcit, cum partim quidem cibi non ſufficienti tempore in ventriculo coquantur, partim vero a ventriculo calido praeter naturam incaleſcit. Cum longum alvi profluvium detinet, primum quidem quae ingeruntur liquida per alvum ſecedunt, deinde pituita. Et moderate quidem comedit, verum ex copioſa alvi egeſtione debilis et gracilis redditur. Hunc veratro in potu exhibito et capite pituita purgato, ſupra reſiccato, lacte cocto alvum eluito, deinde reliquam curationem per cibos et potiones quibus alvus et totum corpus exiccetur adhibeto. Morbus ex iisdem ex quibus inteſtinorum laevitas oritur. Hi morbi, inteſtinorum difficultas, laevitas et alvi profluvium, inter ſe ſunt ſimiles, eosque ſic curare convenit, ut defluxionem quidem a capite et ſuperiore ventre intercipias et avertas, cum morbi natura inde fit, neque eſt qui qua in re ſententiam tuam coarguat. Ac fere in reliquis morbis cujusque naturam unde ſit eodem modo in conſiderationem adhi-

Ed. Chart. VII. [628.] Foës. I. 523. Ed. Lind. II. (177. 178.)
καὶ οὕτω σκοπῶν καὶ λαμβάνων τὴν ἀρχὴν τῶν νουσημάτων ἥκιστ' ἂν ἁμαρτάνοις. τεινεσμὸς ὅταν λάβῃ, διαχωρέει αἷμα καὶ μύξα, καὶ πόνος ἐν τῇ κάτω κοιλίῃ γίνεται καὶ μάλιστα ὅταν εἰς ἄφοδον ἴξῃ. τοῦτον ξυμφέρει τὴν κοιλίαν διυγραίνειν καὶ λιπαίνειν καὶ λεαίνειν, καὶ ὑπάγειν τὰ ἐπόντα, καὶ λούειν θερμῷ, πλὴν τῆς κεφαλῆς. φιλέει δὲ ἡ νοῦσος αὕτη τὰ σιτία πλείω τελέειν. οἱ γὰρ στρόφοι κενουμένης τῆς κοιλίης ὑπὸ τοῦ αἵματος διεξιόντος καὶ τῆς μύξης καὶ προσπιπτόντων πρὸς τὸ ἔντερον (178) γίνονται. ἐνόντων δὲ τῶν σιτίων ἧττον δῆξιν παρέχει τῷ ἐντέρῳ, καὶ γίνεται μὲν ἀπὸ τῶν αὐτῶν ὧν καὶ ἡ δυσεντερίη, ἀσθενεστέρη δὲ καὶ ὀλιγοχρονίη καὶ οὐ θανατώδης. ὅταν δὲ ἐξ οἴνου ἢ ὑπ' εὐωχίης χολέρη λάβῃ ἢ διάῤῥοια, τῇ μὲν διαῤῥοίᾳ ξυμφέρει διανηστεύειν, καὶ ἢν δίψος ἔχῃ, οἶνον διδόναι γλυκὺν ἢ στέμφυλα γλυκέα. ἐς ἑσπέρην δὲ διδόναι ταῦτα, ἃ καὶ τοῖσιν ὑπὸ φαρμάκου κεκαθαρμένοισιν. ἢν δὲ μὴ παύηται, ἐθέλῃς δὲ παῦσαι, ἔμετον ἀπὸ σιτίου ἢ φακίου ποιῆσαι, καὶ παρα-

bere oportet. Quod cum feceris, morborumque principium deprehenderis, minime aberraveris. Cum crebra et inanis egerendi voluntas prehenderit, tinesmum dicunt, ſanguis et mucus per alvum ſecedunt, dolorque in inferiore alvo oritur, idque praecipue ubi ad ſeceſſum devenerit. Huic alvum madefacere, pinguem reddere ac laevigare convenit; quae intus ſunt ſubducere et calida excepto capite lavare. Hic autem morbus plures cibos inſumere conſuevit. Vacuato enim ventre a ſanguine et muco transeunte, dum ad inteſtinum illabuntur, tormina fiunt. Intus autem exiſtentibus cibis, minorem morſum inteſtino exhibent. Ac ex iisdem quidem ex quibus etiam inteſtinorum difficultas contingit, et imbecillior tamen et brevis, minimeque lethalis. Cum ex vino aut comeſſatione cholera prehenderit aut alvi profluvium, ad alvi quidem profluvium jejunium conſert, et ſi ſitis detineat, vinum dulce exhibendum aut uvarum dulcium retrimenta. Sub veſperam autem eadem danda quae a medicamento purgatis dantur. Quod ſi non ſedetur, ſedare autem velis, vomitum poſt cibum aut lenticulae decoctum exci-

Ed. Chart. VII. [628. 629.] Foës. I. 523. Ed. Lind. II. (178. 179.) χρῆμα ἀνασπᾶται ἄνω ἢ κάτω ἄφυδος, καὶ ἢν διακλύσῃς χυλῷ φακῶν ἢ ἐρεβίνθων, καὶ οὕτως που παύσεται. τῇ δὲ χολέρῃ ξυμφέρει, ἢν μὲν ὀδύνη ἔχῃ, διδόναι ἃ γέγραπται ἐν τοῖσι φαρμάκοισι, παύοντα τὴν ὀδύνην. τὴν δὲ κοιλίην θεραπεύειν τήν τε ἄνω καὶ τὴν κάτω, διυγραίνοντα πόμασι καὶ μαλάσσοντα τὸ σῶμα λουτροῖσι θερμοῖσι, πλὴν τῆς κεφαλῆς, καὶ ὅ τε ἔμετος οὕτως εὐπετέστερος γίνεται καὶ ἢν ἐσίῃ τι ὑγρόν, τὰ προσεστηκότα ἄνω ἀπεμέεται καὶ ἡ κάτω ὑποχώρησις μᾶλλον διαχωρέει. ἢν δὲ κενώσῃ, ἐμέεται βιαίως καὶ ὑποχωρέει βιαιότερον. ἐς ἑσπέρην δὲ διδόναι καὶ τούτῳ ὅσαπερ τῷ φαρμακοποτέοντι. γίνεται δὲ καὶ ταῦτα τὰ ἀλγήματα, ὅσα ἐκ ποσίων γίνεται ἢ ἐξ εὐωχίης, ὅταν τὰ σιτία καὶ τὰ ποτὰ πλέον τοῦ εἰωθότος ἐς τὴν κοιλίην εἰσέλθῃ, καὶ τὰ ἔξωθεν εἰωθότα ὑπερ(179)θερμαίνειν τὸ σῶμα κινέει χολὴν καὶ φλέγμα. [629] στραγγουρίης τρόποι μὲν πολλοὶ καὶ παντοῖοι. ξυμφέρει δὲ ἔξωθεν μὲν τὸ σῶμα μαλάσσειν λουτροῖσι θερμοῖσιν, ἔσωθεν δὲ διυγραίνειν· τὴν

tato, conſeſtimque per inferiora ſeceſſus ſurſum revellitur, ſique lentium aut cicerum cremore elueris, ſic quoque quodammodo ſedabitur. Ad choleram autem confert, ſi quidem dolor detinet, ea dare quae in medicamentorum tractatione dolorem ſedare ſcripta ſunt. Venter autem tum ſuperior tum inferior potionibus madefacientibus curandus, corpusque excepto capite balneis calidis emolliendum, ſicque facilior vomitus contingit, et ſi quid humidi ſubierit, quae moleſta ſunt ſurſum revomuntur, et per inferiora ſeceſſus magis prodit. Quod ſi vacuus fuerit, cum vi evomuntur et violentius ſecedunt. Sub veſperam autem etiam ei exhibeto quae ei qui medicamento purgante uſus eſt exhiberi ſolent. At vero dolores qui ex vini potione aut commeſſatione contingunt, oriuntur cum cibi et potus ſolito copioſiores in ventriculum ſubierint, quaeque foris corpus ſupra modum calefacere ſolent, bilem et pituitam agitant. Stranguriae multi quidem et varii ſunt modi. Confert vero foris quidem corpus balneis calidis emollire, intus vero madefacere, alvum

Ed. Chart. VII. [629.] Foës. I. 523. 524. Ed. Lind. II. (179.)
μὲν κοιλίην σιτίοισιν, ὑφ' ὧν εὔροος ἔσται· τὴν δὲ κύστιν ποτοῖσιν, ὑφ' ὧν τὸ οὖρον ὡς πλεῖστον διαχεῖται. διδόναι δὲ καὶ τῶν διουρητικῶν φαρμάκων ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι παύοντα τῆς ὀδύνης. ἡ δὲ νοῦσος ὑπὸ τοῦ φλέγματος γίνεται, καὶ ὅταν μὲν ἡ κύστις ξηρανθῇ ἢ ψυχθῇ ἢ κενωθῇ, ὀδύνην παρέχει· ὅταν δὲ ὑγρή τέ ἐστι καὶ πλήρης ἢ καὶ κεχυμένη, ἧσσον. || ἡ δὲ νοῦσος τοῖσι μὲν παλαιοτέροισι μακροτέρη γίνεται, τοῖσι δὲ νεωτέροισι βραχυτέρη, θανατώδης δὲ οὐδετέροισιν. ἰσχιὰς δὲ ὅταν γένηται, ὀδύνη λαμβάνει ἐς τὴν πρόσφυσιν τοῦ ἰσχίου καὶ ἐς ἄκρον τὸ πυγαῖον καὶ ἐς τὸν γλουτόν. τέλος δὲ καὶ διὰ παντὸς τοῦ σκέλεος πλανᾶται ἡ ὀδύνη. τούτῳ συμφέρει, ὅταν ἡ ὀδύνη ἔχῃ, μαλάσσειν καθ' ὁκοῖον ἂν τυγχάνῃ τοῦ σκέλεος στηρίζουσα ἡ ὀδύνη, ἐν λουτροῖσι καὶ χλιάσμασι καὶ πυρίῃσι, καὶ τὴν κοιλίην ὑπάγειν. ὅταν δὲ λωφήσῃ ἡ ὀδύνη, φάρμακον δοῦναι κάτω, καὶ μετὰ ταῦτα πιεῖν γάλα ὄνου ἐφθόν. διδόναι δὲ τῆς ὀδύνης ἃ γέγραπται παρὰ τοῖσι φαρμάκοισιν. ἡ δὲ νοῦσος γίνεται, ἐπει-

quidem cibis quibus fluida reddatur, veſicam vero potionibus a quibus urinae plurimum profluit. Ex medicamentis autem urinam cientibus ea danda ſunt, quae in medicamentorum tractatione dolorem ſedare ſcripta ſunt. Morbus vero ex pituita oritur. Et cum quidem veſica reſiccata aut refrigerata aut vacuata fuerit, dolorem exhibet, cum vero humida et plena aut etiam diſtenta eſt, minus. Hic autem morbus ſenioribus quidem longior fit, junioribus vero brevior, neutris tamen lethalis. In coxendicum morbo dolor coxae connexionem invadit et extremas nates et protuberantem in ſumma femoris parte carnem, quae γλουτὸς dicitur. Ad extremum vero per totum etiam crus dolor deerrat. Huic conſert, cum dolor detinet, balneis calidis et fomentis emollire ad quamcunque cruris partem dolor forte decubuerit, alvumque ſubducere, cumque levatus dolor fuerit, medicamentum infra purgans exhibere et poſt haec lac aſininum coctum potare. Ad dolorem autem danda quae ſcripta ſunt in medicamentorum tractatione. Oritur hic morbus ubi bilis et

Ed. Chart. VII. [629.] Foës. I. 524. Ed. Lind. II. (179. 180.)

δὴν χολὴ καὶ φλέγμα ἐς τὴν αἱμόῤῥοον φλέβα καταστηρίξῃ, ἢ ἐξ ἑτέρης νούσου, ἢ ἄλλως ὁκόσον ἂν τοῦ αἵματος ὑπὸ φλέγματος καὶ χολῆς νουσήσῃ ξυνεστηκός. τοῦτο γὰρ πλανᾶται ἀνὰ τὸ σκέλος διὰ (180) τῆς φλεβὸς τῆς αἱμορῥόου, καὶ ὅκου ἂν στῇ, κατὰ τοῦτο καὶ ἡ ὀδύνη ἔνδηλος γίνεται μάλιστα καὶ ἐπίπονος, θανατώδης δὲ οὔ. εἰ δὲ ἐς ἕν τι χωρίον καταστηρίξῃ ἡ ὀδύνη καὶ στῇ καὶ τοῖσι φαρμάκοισι μὴ ἐξελαύνηται, καῦσαι καθ' ὁκοῖον ἂν τυγχάνῃ ἐοῖσα ἡ ὀδύνη. καίειν δὲ τῷ ὠμολίνῳ. ἀρθρῖτις νοῦσος ὅταν ἔχῃ, λαμβάνει πῦρ καὶ ὀδύνη τὰ ἄρθρα τοῦ σώματος. λαμβάνει δὲ καὶ ὀξείη, καὶ ἐς ἄλλο τε καὶ ἄλλο τῶν ἄρθρων ὀξύτεραί τε καὶ μαλακώτεραι καταστηρίζουσιν αἱ ὀδύναι. τούτῳ ξυμφέρει προσφέρειν ἢ ἂν ἡ ὀδύνη ἔχει ψύγματα, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα κλύσμασιν ἢ βαλάνῳ, καὶ ῥοφᾶν διδόναι καὶ πιεῖν ὅ τι ἂν δοκέῃ σοι ξυνοῖσον. ὅταν δὲ ἡ ὀδύνη ἐνῇ, φάρμακον κάτω πίσαι, καὶ μετὰ τοῦτον πίνειν ὀρρὸν ἑφθὸν, καὶ ὄνου γάλα. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς καὶ φλέγματος, ὅταν κινηθέντα εἰς τὰ ἄρθρα κατασιηρίξῃ, καὶ

pituita ad venam ſanguine manantem decubuerit, aut ex alio morbo aut alias cum quicquid eſt ſanguinis a pituita et bile coactum male affectum fuerit. Iſtud enim toto crure per venam ſanguine manantem vagatur, et ubicunque conſtiterit, ibi etiam dolor maxime manifeſtus et moleſtus contingit, non tamen lethalis. Quod ſi in uno aliquo loco firmiter conſtiterit dolor, neque medicamentis expellatur, quocunque loco dolor forte extiterit, eum lino crudo inurito. Articularis morbus cum detinet, corporis articulos ignis et dolor invadit. Prehendit etiam acutus et ad alium atque alium etiam articulum vehementiores et leviores dolores decumbunt. Huic, qua parte dolor detinet, refrigerantia admovere confert et quae in ventre ſunt per infuſa et glandem ſubducere, et quicquid tibi profuturum videbitur, ſorbendum et bibendum exhibere. Cum vero dolor adfuerit, medicamentum deorſum purgans propinato, et poſt hoc ſerum coctum et lac aſininum potui exhibeto. Hic morbus ex bile et pituita oritur, cum agitata ad articulos decubuerint. Et

Ed. Chart. VII. [629. 630.] Foës. I. 524. Ed. Lind. II. (180. 181.)
ὀλιγοχρονίη μὲν γίνεται καὶ ὀξείη, θανατώδης δὲ οὔ. νεωτέροισι δὲ εἴωθε μᾶλλον ἢ γεραιτέροισι γίνεσθαι. ποδάγρη βιαιότερον μὲν τῶν τοιούτων ἁπάντων ὁκόσα περὶ τὰ ἄρθρα καὶ πουλυχρονιώτατον καὶ δυσαπαλλακτότατον, καὶ ἔστι μὲν ἡ νοῦσος αὕτη τοῦ αἵματος ἐφθαρμένου, τοῦ ἐν τοῖσι φλεβίοισιν ὑπὸ χολῆς καὶ φλέγματος. ὅσῳ δὲ ἐν λεπτοτάτοισιν ἦ φλεβίοισιν καὶ ἐν ἀνάγκῃ πεφυκόσι πλείστῃ τοῦ σώματος καὶ ἐν νεύροισι καὶ ὀστέοισι πολλοῖσί τε καὶ πυκνοῖσι, τοσούτῳ δὲ παραμονιμώτατόν τέ ἐστι τὸ νούσημα καὶ δυσαπαλλακτότατον. [630] (181) ξυμφέρει δὲ καὶ ταύτῃ τὰ αὐτά, ἃ καὶ τῇ ἀρθρίτιδι, καὶ μακρὴ μὲν καὶ αὕτη ἡ νοῦσος καὶ ἐπίπονος, θανατώδης δὲ οὔ. ἢν δὲ τοῖσι δακτύλοισιν ἡ ὀδύνη ἐγκαταλείπεται, καῦσαι τὰς φλέβας τοῦ δακτύλου ὑπὲρ τοῦ κονδύλου ὀλίγον, καίειν δὲ ὠμολίτῳ. τὸν δὲ ἕτερον ὧδε χρὴ θεραπεύειν. ἔξωθεν μὲν τὸ σῶμα μαλθάσσειν λουτροῖσι θερμοῖσι, τὴν δὲ κοιλίην διυγραίνειν καὶ τὴν κύστιν, καὶ τῶν διουρητικῶν διδόναι, ἃ προγέγραπται. ἢν δὲ ἰσχυρὸς ᾖ, καθήρας τὴν κεφαλὴν φάρμακόν τι πίσαι κάτω ὃ χολὴν κα-

brevis quidem et acutus evadit, ſed minime lethalis, junioribusque magis quam ſenioribus contingere ſolet. Pedum dolor his omnibus quae circa articulos contingunt violentior quidem exiſtit et maxime diuturnus, quique aegerrime ſolvitur, eſtque hic quidem morbus ſanguinis in venis a bile et pituita corrupti. Qui quo magis tenues venulas corporique plurimum neceſſarias nervosque et oſſa multa ac crebra ſubierit, eo ſane tum ſtabilior morbus eſt tum aegerrime profligatur. Huic eadem quae articulari morbo conferunt, et longus quidem hic morbus eſt et gravis, minime tamen lethalis. Quod ſi in digitis dolor remaneat, venas in digito paulum ſupra articuli nodum inurito. Uſtio autem per linum crudum fiat. Morbus autem regius hunc in modum curandus eſt. Corpus quidem balneis calidis foris emolliendum, alvus vero et veſica madefacienda, et ex urinam cientibus danda quae ante ſcripta ſunt. Quod ſi vehemens fuerit, capite purgato medicamentum quoddam quod bilem per inſe-

Ed. Chart. VII. [630.] Foës. I. 524. 525. Ed. Lind. II. (181. 182.)

θαίρει. ἔπειτα δὲ τοῖσι διουρητικοῖσι χρῆσθαι. ἡ δὲ νοῦσος γίνεται, ὅταν χολὴ κινηθεῖσα ὑπὸ τὸ δέρμα τράπηται. ταῦτα δὲ ἐπιστάμενος ἀνὴρ ἰδιώτης οὐκ ἂν ὁμοίως ἐμπίπτοι εἰς ἀνήκεστα νουσήματα. καὶ γὰρ νουσήματα εἴωθεν ἀπὸ μικρῶν προφασίων μεγάλα καὶ πολυχρόνια γίνεσθαι, καὶ ὅσα μὲν σιτίων ἢ ποτῶν ἐχόμενά ἐστιν, ἢ ῥοφημάτων ἢ φαρμάκων ὅσα ὀδύνης εἵνεκα δίδοται, ἀκίνδυνά ἐστιν ἅπαντα προσφέρειν ἀεί, ἐὰν κατὰ τὰ γεγραμμένα προσφέρῃς. ὅσα δὲ καθαίρει τῶν φαρμάκων || χολὴν ἢ φλέγμα, ἐν τούτοισιν οἱ κίνδυνοι γίνονται καὶ αἱ αἰτίαι τοῖσι θεραπεύουσι. φυλάσσεσθαι οὖν χρὴ τὰ μάλιστα ταῦτα μὲν ὅσα κατὰ κοιλίην γίνεται νουσήματα, πλὴν περὶ ἐμπύων καὶ φθινόντων καὶ τῶν γυναικείων. ταῦτα γὰρ χωρὶς γεγράψεται. φύματα ὅσα φύεται, πάντα ὑπὸ φλέγματος ἢ (182) αἵματος φύεται. ὅταν δὲ ὑπὸ τρώματος ἢ πτώματος ἀθροισθῇ, ξυμφέρει δὴ τούτων τὰ μὲν καταπλάσσοντα καὶ φάρμακα πιπίσκοντα διαχεῖν, τὰ δὲ καταπλάσσοντα πεπαίνειν, καὶ διαχέει μὲν τῶν καταπλασμάτων ὅσα θερμὰ ὄντα

riora purget propinato, poſtea vero urinam ducentibus utendum. Hic autem morbus oritur, cum bilis commota ad cutem ſe converterit. Quae ſi quivis ex plebe noverit, haud ſimiliter in incurabiles morbos incidat. Solent enim morbi ex parvis cauſis externis magni et diuturni fieri. Et quae quidem ad cibos aut potiones ſpectant, vel ſorbitiones vel medicamenta quae doloris gratia exhibentur, ea omnia ſemper ſine periculo admoventur, ſi ut ſcripta ſunt admoveas. Quae vero medicamenta bilem aut pituitam purgant, in iis periculum conſtituitur, et culpa in eos qui curant cónfertur. Haec igitur maxime evitare oportet. Atque ii quidem morbi qui circa ventrem oriuntur, praeter eos qui pus pectore colligunt et qui tabem inferunt et qui mulieribus contingunt. De his enim ſeorſim ſcribetur. Tubercula quae oriuntur omnia ex pituita aut ſanguine naſcuntur. Cum vero ex vulnere aut caſu collecta fuerint, haec ſane confert partim quidem cataplasmatis inducere, et medicamentis epotis diſcutere, partim vero cataplasmatis impoſitis maturare. Ex cataplasmatis autem diſcutiunt quaecunque calida hume-

Ed. Chart. VII. [630. 631.] Foës. I. 525. Ed. Lind. II. (182. 183.)
ὑγραίνει καὶ μὴ σπᾷ ἐς ἑωυτά. πεπαίνει δὲ ὅσα θερμαίνοντα ξυνάγει. ὅταν δέ τι τμηθῇ ἢ αὐτόματον ῥαγῇ, φαρμάκῳ ἀνακαθαίρειν τὸ ὑγρόν. ὅταν δὲ πυορροοῦντα παύηται, ὡς ἕλκος ἰῆσθαι. λέπρη καὶ κνησμὸς καὶ ψώρη καὶ λειχῆνες καὶ ἀλφὸς καὶ ἀλώπεκες ὑπὸ φλέγματος γίνονται. ἔστι δὲ τὰ τοιαῦτα αἶσχος μᾶλλον ἢ νουσήματα. κηρίον καὶ χοιράδες καὶ φύγεθλα καὶ δοθιῆνες καὶ ἄνθραξ ὑπὸ φλέγματος φύεται. τούτοισι τοῖσι φαρμάκοισιν ἀποκαθαίροντα ὧδε χρῆσθαι. ὅσοι μὲν χολώδεες εἰσὶ, διδόναι τὰ ὑφ' ὧν χολὴ καθαίρεται· ὅσοι δὲ φλεγματώδεες, τὰ ὑφ' ὧν φλέγμα· ὅσοι δὲ μελαγχολοῦσι, τὰ ὑφ' ὧν μέλαινα χολή. τοῖσι δὲ ὑδρωπιῶσι τὰ ὑφ' ὧν ὕδωρ. ὅσα δὲ δίδοται φάρμακα ποτὰ καὶ μὴ καθαίρειν μήτε χολὴν μήτε φλέγμα, ὅταν ἐς τὸ σῶμα εἰσέλθῃ, τὴν δύναμιν αὐτὰ παρέχεσθαι δεῖ ἢ ψύχοντα ἢ θερμαίνοντα ἢ ξηραίνοντα ἢ ὑγραίνοντα ἢ ξυνάγοντα ἢ διαχέοντα. ὅσα δὲ ὕπνον ποιέει, ἀτρεμίην δεῖ τῷ αἵματι παρέχειν τὸ φάρμακον. [631] ὅταν δὲ ἐπὶ νοσέοντα ἀφίκῃ, ἐπανερωτᾶν χρὴ ἃ πάσχει καὶ ἐξ (183) ὅτου καὶ ποσταῖος

ctant neque ad ſe trahunt. Maturant autem quae calefaciendo cogunt. Ubi vero quid ſectum aut ſponte ruptum fuerit, medicamento humorem repurgato, cum autem pus effluere deſierit, velut ulcus curato. Lepra, prurigo, ſcabies, impetigines, vitiligo et alopeciae ex pituita oriuntur. Sunt autem iſta foeditas potius quam morbi, favus, ſtrumae, phygethla, furunculi et carbunculus, ex pituita oriuntur. In his ut ea repurges medicamentis, ad hunc modum utendum. Bilioſis quidem ea exhibeto, quibus bilis repurgetur, pituitoſis vero a quibus pituita, melancholicis autem a quibus bilis atra, hydropicis vero ex quibus aqua. Quae medicamenta potu exhibentur, neque bilem neque pituitam purgare ſolent, ea cum corpus ſubierint vim ſuam exhibeant oportet, aut refrigerando aut calefaciendo aut ſiccando aut humectando aut cogendo aut diffundendo. Quae vero ſomnum conciliant, ea ſanguini quietem per medicamentum praebere oportet. Cum vero ad aegrotum perveneris, quaenam patiatur et qua-

Ed. Chart. VII. [631.] Foës. I. 525. Ed. Lind. II. (183.)

καὶ τὴν κοιλίην εἰ διαχωρέει, καὶ δίαιταν ἥντινα διαιτᾶται, καὶ ἐνθυμέεσθαι πρῶτα μὲν τὸ νούσημα πότερον ἀπὸ χολῆς ἢ φλέγματος γεγένηται, ἢ ἀμφότερα, καὶ τοῦτο εὖ εἰδέναι, ὅτι ἀνάγκην ἔχει ὥστε ὑπὸ τούτων τοῦ ἑτέρου ἢ ἀμφοτέρων γίνεσθαι. ἔπειτα πότερον ξηρασίης ἢ ὑγρασίης χρῄζει, ἢ τὰ μὲν τοῦ σώματος ξηρασίης, τὰ δὲ ὑγρασίης. ἔπειτα τὴν νοῦσον εἴτε ἄνω δεῖ θεραπεύειν, εἴτε κάτω, εἴτε διὰ τῆς κύστιος, καὶ εἴτε αὔξεται ἡ νοῦσος, εἴτε μαραίνεται, εἴτε λύεται, εἴτε μεταπίπτει εἰς ἕτέραν νοῦσον. τοὺς τρωματίας λιμοκτονέειν καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα ἢ ὑποκλύζοντα ἢ φάρμακον κάτω διδόντα, καὶ πίνειν ὕδωρ ἢ ὄξος ἢ ῥοφεῖν. τὰ φλεγμαίνοντα ψύχειν καταπλάσμασι. τὰ δὲ τοιαῦτα καταπλάσματα εἶναι ἢ τεῦτλα ἑφθὰ ἐν ὕδατι ἢ σέλινον ἢ ἐλαίης φύλλα ἢ συκῆς φύλλα ἢ βάτου ἢ βυλάνου ἢ ῥοιῆς γλυκείης. ἐφθοῖσι δὲ τούτοισι χρῆσθαι. ὠμοῖσι δὲ ῥάμνου φύλλοισιν ἢ ἄγνου ἢ ἐλελισφάκου ἢ τιθυμάλλου, ἢ γλήχωνα χλωρὴν ἢ πράσα ἢ σέλινα ἢ κορίανον ἢ ἰσά-

nam ex cauſa interrogandum, et ex quot jam diebus, an etiam venter demittat, ac quanam victus ratione utatur. Imprimisque in conſiderationem adhibendum, num morbus ex bile aut pituita, vel ab utrisque ortus ſit. Probeque noſſe convenit, quod ex horum altero aut utrisque originem ut habeat neceſſe eſt. Deinde num ſiccitate vel humectatione indigeat, vel aliae quidem corporis partes ſiccitate, aliae vero humectatione. Poſtea an morbus per ſuperiora, an per inferiora curandus ſit, vel per veſicam, et num morbus increſcat aut imminuatur, num ſolvatur, vel in alium transeat. Eos qui vulnera acceperunt fame conficito et quae inſunt ex alvo, vel per infuſum vel per medicamentum deorſum purgans exhibitum ſubducito, aquam vel acetum potui exhibeto aut ſorbitione dato. Quae inflammationem ſentiunt, per cataplasmata refrigeranda. Sint autem haec cataplasmata aut betae folia aqua cocta aut apium aut oleae folia, aut fici folia, aut rubi aut quercus aut mali punici dulcis, quibus coctis utendum eſt. Crudis vero rhamni foliis vel viticis vel ſalviae vel tithymalli vel polygonum viride vel porrum vel

Ed. Chart. VII. [631.] Foës. I. 525. 526. Ed. Lind. II. (183. 184.)

τιος φύλλα. ἢν δὲ μηδὲν ἀπὸ τούτων ἔχῃς, μηδὲ ἄλλο τι μηδὲν κατάπλασμα, ἅλφιτον φυρήσας ὕδατι ἢ οἴνῳ κατάπλασαι. τοσοῦτον δὲ χρόνον καταπλάσματα τάδ' ὠφελέει, ὁκόσον ἂν ψυχρότερα ᾖ ἢ τὸ ἕλκος. ὅταν δὲ ᾖ θερμότερα ἢ ὁμοίως θερμά, βλάπτει. τὰ λιπαρὰ πρὸς τὰ φλεγμαίνοντα οὐ ξυμφέρει. οὐδὲ πρὸς τὰ ἀκά(184)θαρτα, οὐδὲ πρὸς τὰ σηπόμενα· ἀλλὰ πρὸς μὲν τὰ φλεγμαίνοντα ξυμφέρει τὰ ψυχρά, πρὸς δὲ τὰ ἀκάθαρτα καὶ τὰ σηπόμενα τὰ δριμέα καὶ ὅσα δῆξίν τινα παρεχόμενα καθαίρει. ὅταν δὲ σαρκοφυῆσαι βούλῃ, τὰ λιπαρὰ καὶ τὰ θερμὰ μᾶλλον ξυμφέρει· πρὸς ταῦτα γὰρ ἡ σὰρξ θάλλει. || ὁκόσοισιν ἄνθρωποι σιτίοισιν ἢ ποτοῖσιν ὑγιαίνοντες ἐς δίαιταν χρῶνται, ἐκ τούτων χρὴ τῶν παρεόντων χρῆσθαι, πρὸς τοὺς νοσέοντας σκευάζοντα θερμὰ καὶ ψυχρα καὶ ὑγρὰ καὶ ξηρά· ἐκ μὲν ψυχρῶν θερμὰ καὶ θερμὰ ἐκ μὴ θερμῶν, καὶ ξηρὰ ἐκ μὴ ξηρῶν, καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον. ἀπορέειν δὲ οὐ χρὴ οὐδὲ τοῖσι παρεοῖσι μὲν μὴ δύνασθαι, τὰ ἀπόντα δὲ ζητεῦντα μηδὲν ὠφελέειν τὸν κάμνοντα οἷόν τε εἶναι. εὑρήσεις δὲ, ἢν ὀρθῶς σκοπέῃς,

apium vel coriandrum vel iſatidis folia admoveto. Quod ſi horum nihil habeas, neque ullum aliud cataplasma, polentam aqua aut vino ſubactam ex cataplasmate imponito. Tamdiu autem cataplasmata haec juvant, quamdiu ulcere frigidiora fuerint, calidiora vero aut aeque calida nocent. Pinguia inflammatis minime conferunt, neque ſordidis neque putreſcentibus. Verum ad inflammata frigida conferunt, ad ſordida vero et putreſcentia, acria, et quae morſum quendam excitando purgant. Cum vero carnem generare voles, pinguia et calida magis conferunt. Ab his enim caro ſuccreſcit. Quibus cibis aut potionibus per ſanitatem homines in victus ratione utuntur, his praeſentibus ad calorem, frigus, humiditatem et ſiccitatem temperatis erga aegros uti oportet. Ex frigidis quidem calidis, et calidis ex minime calidis, et ſiccis ex non ſiccis, et reliquis ad eundem modum. Neque vero de praeſentium facultate dubitandum, et abſentia inveſtiganda quae nullam aegro utilitatem afferre poſſunt. Quod ſi probe conſideres, cum ab his diſceſſeris, pauca in-

Ed. Chart. VII. [631. 632.] Foës. I. 526. Ed. Lind. II. (184. 185.)

ἔξω τουτέων οἷσι πρὸς τὸν νοσέοντα χρῶνται ὀλίγα. ῥοφήματα δὲ ἐν τῇσι νούσοισι ἁπάσῃσι διδόναι ἢ πτισάνην ἢ κέγχρον ἢ ἄλητον ἢ χόνδρον. τούτων ὁκόσα μὲν διδῶς εἰς διαχώρησιν, λεπτὰ διδόναι καὶ διεφθότερα καὶ γλυκύτερα ἢ ἁλυκώτερα ἢ θερμότερα. [632] ὁκόσα δὲ ἐς ἰσχὺν ἢ ἀνακομιδὴν, παχύτερα, λιπαρώτερα καὶ μετρίως ἐφθά. ποτοῖσι δὲ χρῆσθαι, ἢν μὲν ὑπάγειν ἐθέλῃς τὴν κοιλίην καὶ τὴν κύστιν, γλυκὺν οἶνον ἢ μελίκρητον· ἢν δὲ στύφειν, αὐστηρὸν, λευκὸν, λεπτὸν, ὑδαρέα· ἢν δὲ ἰσχύειν, αὐστηρὸν, μέλανα. ὁκόσοι τὸν οἶνον πίνουσιν ἀνηλεῶς, τούτοισι διδόναι ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι ποτὰ σκευαζόμενα. (185) τοῖσι φαρμακοποτέουσι διδόναι μετὰ τὴν κάθαρσιν, τοῖσι μὲν πυρέσσουσιν ἢ φακὸν ἢ κέγχρον λεπτὸν ἢ πτισάνης χυλόν. διδόναι δὲ πτισάνην μὲν καὶ κέγχρον, ὡς κοῦφα ἐόντα, χόνδρον δὲ, ὡς ἰσχυρότατον πάντων, καὶ ἄλητον ὡς ἰσχυρότερον τούτων. φακὸν δὲ εὐώδεα σκευάσαι, καὶ ὀλίγον δεύτερον διδόναι, ὡς καὶ κοῦφον ὂν ῥόφημα καὶ εὐκάρδιον ἄνω.

venies quibus circa aegrum utaris. Sorbitiones autem in omnibus morbis exhibendae aut ptiſana aut milium aut farina aut alica. Ex his quae ad alvi dejectionem exhibueris, tenuia et cocta magis dulcioraque dato quam ſalſiora aut calidiora. Quae vero ad robur et virium refectionem, craſſiora, pinguiora et moderate cocta. Potionibus autem utendum, ſi quidem alvum et veſicam ſubducere velis, vino dulci aut aqua mulſa, ſin vero abſtringere, auſtero, albo, tenui, aquoſo. Sin roborare, auſtero nigro. Qui vinum timide bibunt, iis potiones praeparatae et in medicamentorum tractatione ſcriptae exhibendae. His qui medicamentum biberunt, poſt purgationem exhibeto, febricitantibus quidem aut lenticulam aut milium tenue aut ptiſanae cremorem. Ptiſana autem danda quidem et milium, quae levia exiſtunt. Alica vero velut omnium valentiſſima, et farina velut his valentior. Lenticula autem odorata paranda, et pauca ſecundo loco exhibenda, cum levis ſit ſorbitio, et ori ventriculi ſuperiore parte grata. Admiſceatur autem aut ſal aut

Ed. Chart. VII. [632.] Foës. I. 526. Ed. Lind. II. (185. 186.)
παραμίσγειν δὲ ἢ ἅλας ἢ μέλι, καὶ κύμινον καὶ ἔλαιον. τῷ δὲ φακῷ παραμίσγειν ἢ χλόης γλήχωνος καὶ ὄξους ὀλίγον. τοῖσι δὲ ἀπύροισιν ἄρτου καθαροῦ τὸ ἔσωθεν ἐντρίψας ἐν ζωμῷ, ἢ μᾶζαν καὶ τέμαχος ἑφθὸν ἢ κρέας οἰὸς ὡς νεωτάτης ἢ ὄρνιθος ἢ σκύλακος ἑφθὸν, καὶ τοῖσι πυρέττουσιν ἢ τεῦτλον ἢ κολοκύντην ἢ βλῆτον, καὶ μετὰ τὸ σιτίον πίνειν οἶνον οἰνώδεα, παλαιὸν, λευκὸν, ὡς ὑδαρέα. οἷσι λούεσθαι μὴ ξυμφέρει, ἀλείφειν οἴνῳ καὶ ἐλαίῳ θερμῷ, καὶ ἐκμάσσειν διὰ τρίτης. ὅταν κοιλίην ὑγραίνειν ἀπὸ σιτίων ἀσθενέοντος ἐθέλῃς, διδόναι μᾶζαν καὶ ὄψα. θαλασσίων μὲν τεμάχια ἑφθὰ ἐν ὑποτρίμματι. κρέα δὲ οἰὸς ὡς νεωτάτης ἢ ἐρίφου ἢ σκύλακος ἢ ὄρνιθος ἑφθά, καὶ τεῦτλα ἢ βλῆτα ἢ λάπαθα ἢ κολοκύντην ἢν ὥρη ᾖ. λάχανα δὲ σέλινα καὶ ἄνηθα καὶ ὤκιμα, καὶ τὸν οἶνον μελιχρὸν, παλαιὸν, λευκὸν, ὑδαρέα. ὅταν δὲ ξηραίνῃς τὸ σῶμα, διδόναι ἄρτον καὶ ὄψα ὀπτὰ καὶ ξηρὰ καὶ θερ(186)μότερα ταῦτα πάντα, καὶ κρεῶν τὰ μέλεα, ὅσα σαρκώδεα, ἰχθύων τοὺς πετραίους, λάχανα πήγανον ἢ

mel aut cuminum aut oleum. Ad lenticulam vero aut pulegium herbam aut aceti parum admiſceto. Febre vero carentibus panis puri medullam juſculo intritam dato, aut mazam, aut piſcis cocti et ſale conditi fruſtulum, aut oviculae tenerrimae carnem vel gallinae vel catuli coctam. Et febricitantibus aut betam aut cucurbitam aut blitum et poſt cibum vinum generoſum, vetus, album quam dilutum propinato. Quibus lavari non conſert, eos vino et oleo calido inungito, et tertio quoque die detergeto. Cum laborantis alvum cibis humectare voles, mazam et opſonia exhibeto, marinorum quidem piſcium fruſtula cocta ex intrito, ovis quam tenerrimae carnes aut hoedi aut catelli aut volucris coctas et betam vel blitum vel rumicema ut cucurbitam, ſi anni tempus tulerit. Olera vero apium et mentham et ocymum et vinum mellitum, vetus, album, aquoſum. Cum autem corpus exiccare voles, panem exhibeto et opſonia aſſa et ſicca, eaque omnia calidiora et carnium partes carnoſas, piſces ſaxatiles, olera, rutam, aut thymum, aut origanum.

Ed. Chart. VII. [632. 633.] Foës. I. 526. 527. Ed. Lind. II. (186.)
θύμον ἢ ὀρίγανον. τὸν δὲ οἶνον μέλανα αὐστηρόν. σκευάζειν δὲ τὰ ὄψα ἁλσὶ καὶ κυμίνῳ καὶ τοῖσιν ἄλλοισιν ἀρτύμασιν ὡς ἐλαχίστοισι χρῆσθαι. ὅταν δὲ ἀνακομίσαι ἐκ νόσου ἐθέλῃς, διδόναι τὰ μὲν ἄλλα ταὐτὰ ἃ καὶ ὅταν διυγραίνῃς τὴν κοιλίην. τὰ δὲ κρέα ἀντὶ τῶν γαλατιῶν ἰσχυρότερα, καὶ ἀντὶ τῶν κυνείων ὀρίθεια καὶ λάγεια, καὶ τούτων ἔνια ὀπτά καὶ τῶν κρεῶν καὶ τῶν ἰχθύων, καὶ ἐσκευασμένα ὡς ἄριστα. ὁκόσοισι τῶν νουσημάτων ξηρασίη ξυμφέρει, μοροσιτίη ξυμφέρει καὶ τὰ σιτία καὶ τὰ ποτὰ ἐλάσσω τελέειν ἢ ὥστε πλήρη εἶναι, καὶ ταῦτα ἐκπονέειν καὶ περιπατεῖν καὶ κοιμᾶσθαι ὡς ἐλάχιστα. ὁκόσοισι δ' αὖ ὑγρασίη ξυμφέρει, μὴ ἀσιτέειν, καὶ τοῦ σι[633]τίου καὶ τοῦ ποτοῦ μὴ ἐνδεᾶ εἶναι, μηδὲ πονέειν, καὶ κοιμᾶσθαι ὁκόσα ἂν ἐθέλῃ. ὁκόσων ἐπιθυμέουσιν οἱ καμνοντες ἢ σιτίων ἢ ὄψων ἢ ποτῶν, ὑπαρχέτω ταῦτα, || ἢν μὴ μέλλῃ τῷ σώματι βλάβος ἔσεσθαι. ὁκόταν ἢ σιτίων ἢ ποτῶν προστιθέναι ἀρξῇ ἢ ἀφαιρέειν, κατ' ὀλίγον χρὴ καὶ τὰς προσθέσιας ποιέεσθαι καὶ τὰς ἀφαιρέσιας. ὁκόσοι σιτία ἱκανὰ οἷοί τέ εἰσι τελέειν, ῥοφήματα

Vinum autem nigrum auſterum. Opſonia vero ſale et cumino condito, reliquis vero condimentis quam minimum utitor. At cum ex morbo vires reficere voles, alia quidem eadem quae dum alvum humectas exhibeto. Sed lactantium loco carnes validiores et catulinarum loco volucrium et leporinas, et ex his aſſas quasdam tum carnes tum piſces et quam optime conditos. Quibus morbis ſiccitas confert, ſemel die cibum capere conducit, et cibos ac potus pauciores quam ut repleri queant inſumere, eosque laboribus et deambulatione conficere, et quam minimum dormire. At quibus humiditas confert, inedia non eſt ferenda, neque cibo aut potu indigere debent, neque laborare et dormire quantum volent. Quoscumque cibos aut opſonia aut potiones aegrotantes expetunt, ea ſuppetant, ſi nullum corpori nocumentum ſit adfuturum. Cum cibos aut potiones addere vel detrahere coeperis, paulatim et additiones et detractiones faciendae. Qui ſufficiendos cibos conficere queunt, iis ſorbitiones ne exhi-

Ed. Chart. VII. [633.] Foeſ. I. 527. Ed. Lind. II. (186. 187.)
μὴ διδόναι. ἀποκλείει γὰρ τοῦ σιτίου. ὁκόσοι δὲ μὴ οἷοί τε, τούτοισι διδόναι. ἐὰν δέ τι διδόναι θέλῃς κομιδῆς ἕνεκα, διδόναι χόνδρον ἢ πτισάνην πυρίνην. ταῦτα γὰρ τῶν ῥο-(187)φημάτων τὰ ἰσχυρότερα. διδόναι δὲ μετὰ δεῖπνον. τὰ φάρμακα ὅσα ποτὰ καὶ ὅσα πρὸς τὰ τράματα προσφέρεται μανθάνειν χρή, ἄξιον γὰρ ἅπαντος. οὐ γὰρ ἀπὸ γνώμης ταῦτα εὑρίσκουσιν οἱ ἄνθρωποι, ἀλλὰ μᾶλλον ἀπὸ τύχης· οὐδέ τι οἱ χειρότεχναι μᾶλλον ἢ οἱ ἰδιῶται. ὅσα δὲ ἐν τῇ τέχνῃ τῇ ἰητρικῇ γνώμῃ μανθάνεται καὶ εὑρίσκεται ἢ περὶ σιτίων ἢ περὶ φαρμάκων, παρὰ τῶν οἵων τε διαγινώσκειν τὰ ἐν τῇ τέχνῃ μανθάνειν χρὴ, ἤν τι θέλῃς μανθάνειν. μετὰ τὰ ῥοφήματα διδόναι τὸ σιτίον τοῖσιν ἀσθενέουσιν· ἐπιπίνειν δὲ οἶνον οἰνώδεα. πρὸ δὲ τῶν σιτίων καὶ ποτῶν ἢ ῥοφημάτων, καὶ μετὰ ταῦτα ὅ τι ἄν σοι δοκέῃ τοῖσιν ἀσθενέουσιν, ἐσορῶν τὸ σῶμα καὶ τὴν ψυχὴν, προσφέρειν καὶ τὸ σιτίον καὶ τὸ ποτόν. μάλιστα γὰρ ἂν οὕτως ὠφελέῃς. τῶν σιτίων ἃ δύναμιν ἕκαστα ἔχει τεκμαίρεσθαι χρὴ ἀπὸ τῶν φανερὰν τὴν δύναμιν παρεχομένων· ὁκόσα ἢ φῦσαν ἢ δῆξιν ἢ πλη-

bueris, cibum enim prohibent, iis vero qui non poſſunt dato. Si quid dare voles virium reficiendarum gratia, alicam et ptiſanam triticeam exhibeto. Hae namque ſorbitiones valentiores ſunt, poſt coenam autem exhibendae. Quae potu exhibentur medicamenta et ad vulnera adhibentur, ea perdiſcenda, idque plurimi aeſtimandum. Neque enim haec homines ex conſilio, ſed potius ex fortuna inveniunt, neque artifices magis quam plebeji. Quae vero in arte medica intelligentia diſcuntur et inveniuntur, vel circa cibos vel medicamenta, ab iis qui noſſe poſſunt quae in arte ſunt perdiſcenda, ſi quid perdiſcere voles. Imbecillis poſt ſorbitiones cibum exhibeto, et vinum generoſum ſuperbibendum dato. Ante cibos et potiones et ſorbitiones et poſt hos, quicunque tandem tibi videbitur et cibus et potus imbecillis offerendus, ſi ad corpus et animum attenderis. Sic enim plurimum juveris. Quam ciborum quisque facultatem habeat, ex his qui manifeſtam facultatem exhibent, conjicere oportet. Qui vel flatum vel morſum vel plenitudinem vel ructum exci-

Ed. Chart. VII. [633. 634.] Foës. I. 527. Ed. Lind. II. (187. 188.)
σμονὴν ἢ ἐρευγμὸν παρέχει, ἢ στρόφον, ἢ διαχωρέει ἢ μὴ διαχωρέει, καὶ φανερὰ ὅτι ταῦτα ἐργάζεται, καὶ ἀπὸ τούτων χρὴ τά τε ἄλλα σκοπεῖν. ἔχει γὰρ ἕκαστα τῶν ἐδεσμάτων διότι καὶ ὠφελέει καὶ βλάπτει. ἀλλὰ τἄλλα τὰ μὲν φανερώτατά ἐστιν ἐργαζόμενα ἃ ἐργάζεται, τὰ δὲ ἀμυδρότερα. τὰ σιτία καὶ τὰ ὄψα σκευάζειν καὶ διδόναι τοῖσιν ἀσθενέουσιν, ὑφ' ὧν μήτε φῦσα ἔσται μήτε ὀξυρευγμίη μήτε στρόφος μήτε λίην διαχωρέῃ μήτε λίην ξηραίνεται. ταῦτα (188) δὲ γίνεται ὧδε. ὅσα μὲν ἡ κοιλίη κρατέει καὶ τὸ σῶμα αὐτὰ ἀναδέχεται, ταῦτα μὲν οὔτε φῦσαν παρέχεται οὔτε στρόφον. ἢν δὲ μὴ ἡ κοιλίη κρατέῃ, ἀπὸ τούτων καὶ φῦσα καὶ στρόφος καὶ τἄλλα τὰ τοιαῦτα γίνεται. κουφότατα τῶν σιτίων καὶ τῶν ὄψων καὶ τῶν ποτῶν, ὅσα μέτρια ἐσιόντα ἐς τὸ σῶμα ἢ ὀλίγῳ πλέω τῶν μετρίων, μήτε πλήρωσιν παρέχει μήτε στρόφον μήτε φῦσαν μήτε ἄλλο τῶν τοιούτων μηδέν, καὶ πέσσεταί τε τάχιστα, καὶ πεσσόμενα διαχωρέει, καὶ ἀνὰ πᾶσάν τε τὴν ἡμέρην ἐσιόντα ἐς τὴν κοιλίην ἀλυπότατά ἐστι καὶ ὅταν διὰ παλαιοῦ ἐσέλθῃ. βα[634]ρέα δὲ ὅσα μέτρια τελεύ-

tant vel tormina vel per alvum demittuntur, vel non demittuntur, cumque haec manifesto efficiant, ex hic etiam reliquos considerare oportet. Singula enim edulia quae juvent et noceant habent. Sed alia quidem quae efficiunt apertissime efficiunt, alia vero obscurius. Imbecillis cibaria et opsonia conficito et exhibeto, ex quibus neque flatus sit neque ructus acidus, neque tormina, et quae neque admodum per alvum demittantur, neque admodum exiccentur. Haec autem ad hunc modum contingunt. Quae quidem ventriculus superat, quaeque corpus recipit, ea neque flatum neque tormina excitant. At si ventriculus non superet, ab his et flatus et tormina, caeteraque id genus contingunt. Ex cibis, opsoniis et potibus levissimi sunt qui modice aut paulo supra modum in corpus ingesti neque plenitudinem neque tormina neque flatum neque horum quicquam excitant et cum celerrime concoquuntur et concocti per alvum demittuntur, et qui toto die quo ventrem subierint nullam molestiam exhibent, cumque longe ante ingesti sunt. Graves

Ed. Chart. VII. [634.] Foes. I. 527. 528. Ed. Lind. II. (188. 189.)
μετα ἢ ἐλάσσω τῶν μετρίων, πλήρωσιν καὶ πόνον παρέχει, καὶ μὴ τελέειν, μηδὲ οἷόν τε ἐσθίειν αὐτὰ μηδὲ πίνειν, ἀλλὰ πόνον παρέχει. διὰ χρόνου δὲ ἄν τις αὐτὰ ἢ πίνει ἢ ἐσθίει, καὶ οὕτω πόνον παρέχει καὶ οὐ διαχωρέει ἀνὰ λόγον. ἐς ὑγείην ἄριστα, ὅσα ὀλίγιστα ἐσιόντα, αὐτάρκεά ἐστι καὶ λιμοῦ καὶ δίψης ἄκος εἶναι. καὶ πλεῖστον χρόνον τὸ σῶμα αὐτὰ δέχεται καὶ διαχωρέει κατὰ λόγον. ἐς ἰσχὺν δὲ ἄριστα, ὅσα σάρκα φύει πλείστην καὶ πυκνοτάτην, καὶ τὸ αἷμα παχύνει καὶ διαχωρέει κατὰ λόγον τῶν ἐσιόντων καὶ τὸ σῶμα πλεῖστον χρόνον ἀναδέχεται. τὰ λιπαρὰ καὶ τὰ πίονα καὶ τὰ τυρώδεα καὶ μελιτώδεα καὶ τὰ σησαμόεντα ὀξυρευγμίην ὡς μάλιστα παρέχει καὶ χολέρην καὶ στρόφον καὶ φῦσαν καὶ πλησμονήν. ποιέει δὲ τοῦτο αὐτὸ καὶ ὅταν πλείω τις φάγῃ ἢ (189) πίῃ ἢ ὅσα οἷά τε πέψαι ἡ κοιλίη. τοῖσιν ἀσθενέουσι, ἢν μὲν κατὰ λόγον τῆς νούσου καὶ τοῦ σώματος δίδως ἃ ἂν δίδως, ὑπαναλίσκει ταῦτα τὸ σῶμα, || καὶ οὔτε ἐνδεές ἐστιν οὔτε πλῆρες. ἢν δὲ ἁμαρτάνῃς τοῦ καιροῦ ἢ ἔπειτα,

vero qui modice aut infra modum inſumpti plenitudinem et laborem exhibent, et quos neque quis perficere neque edere neque bibere poteſt, ſed laborem faciunt. Perdiu vero ſi quis eos aut biberit aut comederit, ſic quoque laborem exhibent, neque pro ratione per alvum ſecedunt. Ad ſanitatem optimi ſunt qui pauciſſimi ingeſti, ſatis ſunt ut fami et ſiti medelam afferant et longe tempore in corpus recepti etiam pro ratione per alvum ſecedunt. Ad robur autem comparandum optimi qui plurimam et denſiſſimam carnem gignunt, ſanguinem craſſiorem reddunt et pro ingeſtorum ratione per alvum ſecedunt, plurimoque tempore in corpore continentur. Pinguia, unguinoſa, caſeoſa, melle et ſeſamo condita, ructum acidum fere cient et bilis ſurſum ac deorſum reſuſionem et tormina et flatum ac repletionem. Idem etiam evenit cum quis plura comederit aut biberit quam ventriculus concoquere queat. Imbecillis quaecunque pro morbi et corporis ratione dederis, ea corpus abſumit, et neque indigum eſt neque plenum. Sin vero in temporis occaſione aut poſtea erra-

Ed. Chart. VII. [634.] Foës. I. 528. Ed. Lind. II. (189.)
βλάβος ἐπ' ἀμφότερα, ὅσα τῶν σιτίων ἢ τῶν ὄψων ἢ τῶν ποτῶν τὸ σῶμα ἀδιδέχεται, μάλιστα ἀπὸ τούτων οὔτε στρόφος γίνεται οὔτε φῦσα οὔτε ὀξυρευγμίη. ὅταν γὰρ ἐς τὴν κοιλίην ἐσέλθῃ, ἀπ' αὐτοῦ σπᾷ τὸ σῶμα τὸ αὐτῷ ἐπιτήδειον καὶ ἀσθενέστερον ἤδη τὸ λοιπὸν ἀνάγκη εἶναι, ὥστε στρόφον ἢ φῦσαν ἢ ἄλλο τι τῶν τοιούτων ἐν τῇ κοιλίῃ μὴ ποιῆσαι. τῶν οἴνων καὶ οἱ γλυκέες καὶ οἱ αὐστηροὶ καὶ οἱ μελιχροὶ παλαιοὶ τὴν κοιλίην ὑπάγουσι, μάλιστά τε διουρέονται καὶ τρέφουσι, καὶ οὔτε φῦσαν παρέχουσιν οὔτε στρόφον οὔτε πλησμονήν. κρεῶν τὰ δίεφθα καὶ τὰ ἔξοπτα ἀσθενέα μὲν πρὸς τὴν ἰσχὺν ἀμφότερα, ἐς δὲ τὴν διαχώρησιν τὰ μὲν δίεφθα ἐπιτήδεια, τὰ δὲ ὀπτὰ στασιμώτερα, τὰ δὲ μετρίως ἔχοντα καὶ ἑψήσιος καὶ ὀπτήσιος, μετρίως καὶ ἐς τὴν ἰσχὺν ἔχει καὶ ἐς τὴν διαχώρησιν. τὰ δὲ ἐιωμότερα πρὸς μὲν τὴν ἰσχὺν ἐπιτήδεια, πρὸς δὲ τὴν διαχώρησιν οὔ. τῶν σιτίων καὶ τῶν ποτῶν τὰ προσφορώτατα τῷ σώματι καὶ μάλιστα αὐτάρκεα καὶ ἐς τροφὴν καὶ ἐς ὑγιείην, καὶ ἀπὸ τούτων αὐτῶν ὅταν τις αὐτοῖσι μὴ ἐν καιρῷ χρῆται ἢ πλέοσι

veris, ad utrumque noxa conſequitur. Cibi opſonia aut potus quos corpus recipit, ex iis fere neque tormina neque flatus neque ructus acidus contingit. Ubi enim ventrem ſubierint, ex eo corpus quod ſibi accommodatum eſt trahit et quod relictum eſt jam imbecillius eſſe neceſſe eſt, ita ut tormina aut flatum aut aliud quid ejusmodi in ventre excitare non poſſit. Vina dulcia et auſtera et mellita vetera ventrem ſubducunt, maximeque urinam movent et nutriunt, et neque flatum neque tormina neque plenitudinem excitant. Carnes excoctae et aſſatae imbecilles quidem utraeque ad robur firmandum. Ad alvi receſſum excoctae quidem accommodatae, aſſae vero tardiores. Quae autem moderatam et coctionem et aſſationem habent, eae et ad robur et ad alvi receſſionem moderate ſe habent. Crudiores vero ad robur quidem accommodatae, ad receſſum vero minime. Ex cibis ac potibus qui corpori maxime conveniunt, et maxime ſufficiunt et ad nutritionem et ad ſanitatem, ex his ipſis cum quis non opportune aut

Ed. Chart. VII. [634. 635.] Foës. I. 528. Ed. Lind. II. (189. 190.)
τοῦ καιροῦ, αἵ τε νοῦσοι καὶ ἐκ νοίσων οἱ θάνατοι γίνονται. τὰ δ' ἄλλα σιτία καὶ ποτὰ ὅσα μὴ τοιαύτην δύναμιν (190) ἔχει, σμικρὸν μέντοι ὠφελέει, ἤν τις καὶ τὰ πάντα αὐτοῖσιν ἐν καιρῷ χρῆται. σμικρὰ δὲ καὶ βλάπτει. ἐπ' ἀμφότερα δέ ἐστιν ἀσθενέα, ὥστε ἀγαθόν τι ποιῆσαι καὶ ὥστε κακόν. [635] ἔστι δὲ τῶν σιτίων καὶ τῶν ποτῶν ἃ τὴν δύναμιν ἔχει ταύτην τάδε, ἄρτος, μᾶζα, κρέα, ἰχθύες, οἶνος. τούτων μέντοι τὰ μὲν μᾶλλον, τὰ δὲ ἧσσον. ὁκόσοι ξηρὴν δίαιταν διαιτῶνται, τούτοισι μὴ ξὺν τῷ σιτίῳ τὸ ποτὸν διδόναι, ἀλλὰ μετὰ τὸ σιτίον διαλιπὼν πουλὺν χρόνον, καὶ οὕτω μὲν ξηρὴ ἡ ἰκμὰς ἀπὸ ξηρῶν σιτίων γενομένη τὸ σιτίον ξηραίνει. ἢν δὲ ἅμα τῷ σιτίῳ πίνῃ, νοτερωτέρη ἡ τροφὴ γινομένη ὑγρότερον τὸ σῶμα ποιέει. ἄρτος ὁ θερμὸς καὶ τὰ κρέα τὰ θερμὰ αὐτὰ ἐφ' ἑωυτῶν ἐσθιόμενα ξηραίνει. ἢν δὲ ξὺν ὑγρῷ δίδως ἢ ἐπιπίνειν παραχρῆμα ἐπὶ τῷ σιτίῳ, οὐ ξηραίνει. ἄρτος ὁ καθαρὸς τῶν ἀλεύρων ἐς ἰσχὺν καὶ κομιδὴν ξυμφορώτερος ἢ ὁ ἀνερεκτὸς καὶ πρόσφατος ἢ ἔωλος, καὶ τῶν ἀλεύρων προσφάτων ἢ παλαιοτάτων. τὰ ἄλφιτα τῶν

juſto pluribus utitur, tum morbi tum ex morbis mortes contingunt. Reliqui autem cibi ac potus qui ejusmodi facultatem non habent, parum quidem juvant, etiamſi quis his opportune utatur, parum vero etiam nocent. Imbecilli autem in utramque partem vergunt, ut et boni aliquid et mali faciant. At cibi et potus qui hanc vim habent hi ſunt, panis, maza, carnes, piſces, vinum et ex his quidem alii magis, alii minus. Qui ſiccam victus rationem inſtituunt, his cum cibo potum ne exhibeto, ſed longo poſt cibum intervallo. Et ad hunc quidem modum ſiccus humor ex cibis ſiccis proveniens corpus ſiccat. Si vero una cum cibo bibat, alimentum humidius redditum corpus humidius facit. Panis calidus et carnes calidae, ſi per ſe edantur, ſiccant. Quod ſi cum humore aut confeſtim a cibo inſuper potum exhibueris, non ſiccant. Panis purus ex farinis ad robur et virium refectionem magis conſert quam qui non eſt in cerniculo perpurgatus et recens quam heſternus, et ex farinis recentibus quam ex

Ed. Chart. VII. [635.] Foës. I. 528. Ed. Lind. II. (190. 191.) κριθέων ἀποβρέχων περίχυδα ἐπτισμένων ἰσχυρότερα ἢ βεβρεγμένων, καὶ πρόσφατα ἢ παλαιότερα, καὶ ἡ μᾶζα προπεφυρημένη ἰσχυροτέρη ἢ μὴ προπεφυρημένη. ὁ οἶνος διαχεόμενος καὶ ἀποψυχόμενος καὶ διηθούμενος λεπτότερος γίνεται καὶ ἀσθενέστερος. τὰ κρέα τὰ μὲν ἑφθὰ ἢν μὲν δίεφθα ποιήσῃς, ἀσθενέστερα καὶ ἐλαφρότερα· τὰ δὲ ὀπτὰ, ἢν ἔξοπτα γένωνται, καὶ τὰ παλαιὰ ἐξ ὄξους ἢ ἁλῶν ἀσθενέστερα καὶ ἐλαφρότερα τῶν προσφάτων. τὰ ἀσθενέα τῶν σιτίων καὶ τὰ κοῦφα τὴν μὲν κοιλίην οὐ λυ(191)πέει οὐδὲ τὸ σῶμα, διότι οὐκ ἀνοιδέει θερμαινόμενα οὐδὲ πληροῖ, ἀλλὰ λαπάσσεται ταχὺ καὶ πεσσόμενα διαχωρέει. ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν τῷ σώματι ἀσθενὴς γίνεται καὶ οὔτε αὔξησιν οὔτε ἰσχὺν ἀξίην λόγου παρέχει. τὰ δὲ ἰσχυρὰ τῶν σιτίων ἀνοιδέει τε ὅταν ἐς τὴν κοιλίην ἐσέλθῃ, καὶ πλήρωσιν παρέχει καὶ πέσσεται μὲν σχολαίτερον καὶ οὐ διαχωρέει. ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν ἰσχυροτέρη καὶ ἀκήρατος προσγινομένη ἰσχύν τε παρέχει τῷ σώματι πολλὴν καὶ αὔξην. κρεῶν κουφότατα ἐς τὸ

vetuſtiſſimis. Polenta ex hordeo decorticato et circumaſſuſa aqua reſperſo valentior eſt quam ex macerato, et recens quam vetuſtior, et maza longe ante ſubacta validior eſt quam non longe ante ſubacta. Vinum diffuſum et refrigeratum ac percolatum tenuius redditur et imbecillius. Carnes coctae, percoctae quidem imbecilliores ſunt et leviores, aſſae vero ſi exaſſatae fuerint et veteres ſale et aceto conditae, recentibus imbecilliores ſunt et leviores. Imbeciles cibi et leves neque ventriculum quidem neque corpus moleſtia afficiunt, quia caleſacti non intumeſcunt neque implent, ſed cito emolliuntur, et cocti per alvum ſecedunt. Humor autem ab ipſis corpori debilis provenit, neque auget neque vires effatu dignas exhibet. Valentiores autem cibi, cum ventriculum ſubierint, tum intumeſcunt, tum plenitudinem excitant, et tardius quidem concoquuntur, neque per alvum ſecedunt, humor autem ab ipſis valentior et incorruptus proveniens robur multum corpori et incrementum praebet. Carnes corpori leviſſimae catulinae,

Ed. Chart. VII. [635. 636.] Foës. I. 528. 529. Ed. Lind. II. (191. 192.) σῶμα κύνεια καὶ ὀρνίθεια καὶ λαγῷα ἐφθά. βαρέα δὲ τὰ βόεια καὶ τὰ χοίρεια μετριώτερα, πρὸς δὲ τὴν φῦσαν καὶ ἐφθὰ καὶ ὀπτά. ὑγιαίνουσι καὶ ἀσθενέουσι τὰ μήλεια. || τὰ δὲ ὕεια εἰ; καὶ εὐεξίην μὲν καὶ ἰσχὺν πονέουσι καὶ γυμναζομένοισιν ἀγαθά. ἀσθενέουσι δὲ καὶ ἰδιώτῃσιν ἰσχυρότερα, καὶ τὰ θήρεα τῶν ἡμέρων κουφότερά ἐστι, διότι καρπὸν οὐχ ὅμοιον ἐσθίει. διαφέρει δὲ τὰ κρέα τῶν κτηνέων καὶ ὁκόσα καρπὸν ἐσθίει καὶ ὁκόσα μὴ ἐσθίει, καὶ ὁ καρπὸς οὐ τὸ αὐτὸ ἅπασι ποιέει, ἀλλὰ τὸ μὲν πυκνήν τε τὴν σάρκα τοῦ ἱερείου παρέχει καὶ ἰσχυρὴν, τὸ δὲ ἀραιήν τε καὶ ὑγρὴν καὶ ἀσθενέα. ὡς μὲν τὸ ξύμπαν εἰρῆσθαι, ἰχθύες κοῦφον ἔδεσμα καὶ ἐφθοὶ καὶ ὀπτοὶ καὶ αὐτοὶ ἐφ' ἑωυτῶν καὶ μεθ' ἑτέρων σιτίων. αὐτοὶ δὲ ἐφ' ἑωυτῶν διαφέρουσιν ὧδε. καὶ οἱ μὲν λιμναῖοι καὶ πίονες καὶ οἱ ποτάμιοι βαρύτεροι, οἱ δὲ ἀκταῖοι θαλάσσιοι, κουφότεροι καὶ δίεφθοι (192) ἀπτῶν κουφότεροι. ἀπὸ τούτων τὰ μὲν ἰσχυρὰ διδόναι, ὅταν ἀνακομίσαι τινὰ βούλῃ· τὰ δὲ κοῦφα, ὅταν ἰσχνὸν δέοι καὶ λεπτὸν ποιῆσαι. [636] τὸ λουτρὸν τὸ θερμόν. τὸ μὲν μέτριον μα-

volucrium et leporinae coctae, graves vero bubulae, et porcinae moderatiores, coctae autem et assae ad flatum accommodatae. Bene valentibus et imbecillis ovillae. Suillae vero et ad bonam quidem corporis habitudinem et robur laborantibus et exercitatis bene conveniunt, imbecillis vero et privatis valentiores. Et ferinae cicuratis leviores sunt, quoniam non similes fructus edunt. Pecorum autem carnes differunt, et eorum quae fruges edunt, et eorum quae non edunt. Neque fruges idem in omnibus faciunt, sed quaedam densam et robustam victimae carnem reddunt, quaedam vero tum raram tum humidam et imbecillam. Ut omnia comprehendam, pisces et cocti et assati ipsique per se et cum caeteris cibis sumpti leve sunt edulium. Ipsi vero inter se sic differunt. Et lacustres quidem et pingues et fluviatiles graviores sunt. Littorales vero marini leviores, percoctique assatis leviores. Ex his cibis cum aliquem reficere voles, valentes dato, leves vero, cum gracilem et tenuem reddere opus erit. Balneum cali-

Ed. Chart. VII. [636.] Foës. I. 529. Ed. Lind. II. (192.)

λάσσει τὸ σῶμα καὶ αὔξει· τὸ δὲ πλεῖον τοῦ καιροῦ τὰ μὲν ξηρὰ τοῦ σώματος διυγραίνει, τὰ δὲ ὑγρὰ ἀποξηραίνει, καὶ τὰ μὲν ξηρὰ ὑγραινόμενα ἀσθενείην καὶ λειποθυμίην παρέχει. τὰ δὲ ὑγρὰ ξηραινόμενα ξηρασίην καὶ δίψος. λαχάνων δὲ τὰ σκόροδα καὶ ἑφθὰ καὶ ὀπτὰ καὶ διουρητικὰ καὶ ὑποχωρητικὰ καὶ πρὸς τὰ γυναικεῖα σύμφορα. κρόμμυα ἐς τὰ οὖρα ἐπιτήδεια. ὁ γὰρ ὀπὸς δριμύτητα τινὰ παρέχει, ὥστε διαχωρέειν. τούτοισιν ὧδε χρῆσθαι, ἀλλὰ τοῖσιν ἀσθενέουσι μὴ προσφέρειν. σέλινα καὶ ἑφθὰ καὶ ὠμὰ διουρητικὰ καὶ μᾶλλον τὰ ἔλεια τῶν ἡμέρων, ἃ καὶ πλέονα ἔχει δύναμιν. κορίανον εὐκάρδιον καὶ διαχωρητικὸν καὶ ἑφθὸν καὶ ὠμόν. ὄκιμον καὶ ὑγρὸν καὶ ψυχρὸν καὶ εὐκάρδιον. πράσα τὰ μὲν ἑφθὰ διουρητικὰ καὶ διαχωρητικά, τὰ ὠμὰ δὲ καυματώδεα καὶ φλεγματώδεα. ῥοιὴ κωμιστικὸν καὶ φλεγματῶδες καὶ ξυν μὲν τῷ πυρῆνι στάσιμον, ἄνευ δὲ τοῦ πυρῆνος διαχωρητικόν. τὰ θερμὰ τῶν σιτίων ξηρὰ μὲν ἴστησι. τὸ γὰρ ὑγρὸν τὸ ἐν τῇ κοιλίῃ ἀναξηραίνει, ὑγρὰ δὲ ὄντα, διϋγραίνοντα τῇ

dum, moderatum quidem corpus emollit et auget, quod vero tempeſtivum modum excedit, ſiccas quidem corporis partes madefacit, humidas autem reſiccat. Et ſiccae quidem humectatae imbecillitatem et animi deliquium inducunt, humidae vere exiccatae ſiccitatem et ſitim. Ex oleribus allia cocta et aſſata et urinam permovent et per alvum ſecedunt et ad menſtrua muliebria conferunt. Cepae ad urinam accommodatae, ſuccus enim acrimoniam quandam excitat, adeo ut per alvum demittatur. Quibus ſic utitor, ut ne tamen imbecillis exhibeas. Apium et coctum et crudum urinam ciet; ac paluſtre magis quam ſativum, quod etiam facultatem habet majorem. Coriandrum tum coctum tum crudum ori ventriculi gratum eſt, et alvum movet. Ocimum humidum et frigidum eſt, oriſque ventriculi gratum. Porra cocta quidem urinam et alvum movent, crura vero incendium et inflammationem excitant. Malum punicum vires reficit et pituitoſum eſt, et cum nucleo quidem alvum firmat, citra nucleum vero movet. Cibi calidi ſicci quidem ſiſtunt, quod enim in

Ed. Chart. VII. [636.] Foël. I. 529. Ed. Lind. II. (192. 193.)
θερμότητι ὑπάγει. τὰ στρυφνὰ ξηραίνει καὶ (193) συνάγει τὸ σῶμα. εἰσὶ δὲ στάσιμα. τὰ ὀξέα λεπτύνει, δῆξιν ἐμποιέοντα. τὰ ἁλμυρὰ διαχωρέει καὶ διουρέεται. τὰ λιπαρὰ καὶ τὰ πίονα καὶ τὰ γλυκέα ὑγρασίην μὲν καὶ φλέγμα παρέχει, κομιστικὰ δὲ κολοκύντη καὶ τεῦτλα καὶ βλῆτα καὶ λάπαθα καὶ τῇ ὑγρότητι διαχωρητικά. κράμβη δὲ ἔχει τινὰ δριμύτητα ἐς τὸ διαχωρέειν, καὶ ὅμα εὔχυμος. τυρὸς καὶ σήσαμα καὶ σταφὶς κομιστικὰ καὶ φλεγματώδεα. γλυκὺς οἶνος καὶ μελιειδὴς ἄμφω καὶ κομιστικοὶ καὶ διουρητικοὶ καὶ φλεγματώδεες. οἱ δὲ αὐστηροὶ ἐς ἰσχὺν καὶ ξηρασίην ἐπιτήδειοι. οὐρητικοὶ δὲ καὶ αὐστηροὶ παλαιοὶ, ὅσοι λευκοί τε καὶ λεπτοὶ τυγχάνουσιν. ἔλαιον καὶ ὅσα ἐλαιώδη, κομιστικὰ καὶ φλεγματώδεα. λαχάνων τῶν ἑφθῶν διαχωρέει ὅσα φύσει ὑγρότατα ἢ δριμύτατά ἐστιν ἢ θερμότητα ἔχει. διδόναι δὲ ταῦτα ξύμφορά ἐστιν εἰς ἄφοδον, χλιαρώτερα καὶ τακερώτερα. σίκυος πέπων καὶ διουρητικὸν καὶ διαχωρητικὸν καὶ κοῦφον· ὁ δὲ ἕτερος πέπων ψύξιν τινὰ παρέχει καὶ δίψαν παύει. τροφὴ

ventre eſt humidum reſiccant, humidi vero et caliditate madefacientes ſubducunt. Acerba corpus ſiccant et cogunt, vimque ſiſtendi habent. Acida extenuant et morſum faciunt. Salſa alvum et urinam cient. Pinguia et unguinoſa ac dulcia humiditatem quidem ac pituitam excitant. Vires reficiunt cucurbita, beta, blitum et rumex et humiditate alvum dejiciunt. Braſſica vero acrimoniam quandam habet, qua alvum movet, ſimulque boni ſucci eſt. Caſeus et ſeſama et uva paſſa vires reficiunt et pituitoſa ſunt. Vina dulcia et mellis colorem referentia utraque et vires reficiunt et urinas cient et pituitoſa ſunt. Auſtera vero ad robur et ſiccitatem accommodata. Urinam vero provocant etiam auſtera vetuſta, alba et tenuia. Oleum et quae oleoſa vires reficiunt et pituitoſa ſunt. Ex oleribus coctis per alvum ſecedunt, quae natura ſunt humidiſſima aut acerrima aut caliditatem habent. Danda autem haec ut ad ſeceſſum conferant, tepidiora et coctione maxime emollita. Cucumis pepo et urinam et alvum movet ac levis eſt. Alter autem pepon refrigerationem

Ed. Chart. VII. [636.637.] Foës. I. 529. 530. Ed. Lind. II. (193, 194.)
δὲ ἀπὸ οὐδετέρου τούτων οὐ γίνεται, εἰ μὴ λεπτή τις. ἀλλ' οὐδὲ φλαῦρον ἀπ' οὐδετέρου οὐδὲν ἄξιον λόγου. τὸ μέλι ξὺν μὲν ἑτέροις ἐσθιόμενον καὶ τρέφει καὶ εὐχροιαν παρέχει. αὐτὸ δὲ ἐφ' ἑωυτῷ λεπτύνει μᾶλλον ἢ κομίζει. καὶ γὰρ διουρέεται καὶ διακαθαίρεται μᾶλλον τοῦ μετρίου. || τὰ διουρητικὰ θερμαινόμενα ἐν τῇ κοιλίῃ θερμαίνεταί τε ταχὺ καὶ θερμαινόμενα μαραίνεται καὶ τήκεται, καὶ [637] τὴν διαχώρησιν διὰ τοῦτο ταχείην παρέχει. ὅσα δὲ στάσιμα τῶν σιτίων καὶ θερμαίνεται (194) καὶ ταχέως θερμαινόμενα ξηραίνεται καὶ συνίσταται, καὶ διὰ τοῦτο περίσκληρα γινόμενα οὐ διαχωρέει. τὰ διαχωρητικὰ ἔγχυλά ἐστι καὶ φύσει θερμά. τὰ δὲ οὐρητικὰ ξηρὰ καὶ ψυχρά· ὁ σῖτος καὶ ὁ οἶνος διαφέρουσι μὲν καὶ αὐτοὶ ἑωυτῶν φύσει ἐς ἰσχὺν καὶ ἀσθενείην καὶ κουφότητα καὶ βαρύτητα. διαφέρει δὲ καὶ χώρη χώρης ἔξ οἵης ἂν ᾖ, καὶ εὔυδρος ἐοῦσα καὶ ἄνυδρος καὶ εὐήλιος καὶ πολύσκιος καὶ ἀγαθὴ καὶ φλαύρη. ὥστε ἅπαντα ταῦτα ξυμβάλλεται ἐς τὸ ἰσχυρότερά τε ἕκαστα τῶν σιτίων εἶναι

quandam inducit et ſitim ſedat. Ab horum neutro nutritio non niſi tenuis quaedam procedit, ſed neque malum aliquod effatu dignum ab horum neutro. Mel cum caeteris ſumptum et nutrit et coloris bonitatem facit, per ſe autem magis attenuat quam vires reficiat. Nam et per urinas fertur, et ſupra modum expurgatur. Quae urinam movent calefacta in ventre cito calefiunt, et calefacta marceſcunt et contabeſcunt, ideoque celerem habent per alvum dejectionem. Cibi ventrem morantes et calefiunt, citoque calefacti reficeantur et in ſe coeunt, ideoque circumcirca obdurati per alvum minime ſecedunt. Quae per alvum ſecedunt, ſucci plena ſunt et natura calida. Quae vero urinam dient, ſicca et frigida. Frumentum et vinum ſuapte natura tum robore et imbecillitate, tum levitate et gravitate inter ſe differunt. Differt etiam locus a loco ex quo iſta proveniunt, aquisne irrigetur, an aquis careat, et ſoline ſit probe expoſitus, an multum opacus et bonus, an malus, ita ut haec omnia ad ſingulorum ciborum tum robur

Ed. Chart. VII. [637.] Foël. I. 550. Ed. Lind. II. (194. 195.)
καὶ ἀσθενέστερα. ὅσοι ὑγιαίνοντες ἀρτοφαγεῖν εἰώθεσαν, ταῦτα διδόναι τούτοισι καὶ ἐν τῇσι νούσοισιν. ὅταν ἢ σιτία ἢ ποτὰ πλέω τοῦ εἰωθότος τὶς λάβῃ, ἢν μὴ τὰ εἰωθότα τελέσῃ, ἀπεμέσαι παραχρῆμα ἄριστον. ὀπώρη καὶ ἀκρόδρυα διὰ τόδε μετὰ τὸ σιτίον λυπηρότερά ἐστι καὶ ὑγιαίνοντι καὶ ἀσθενέοντι, ὅτι βεβρωκότος μὲν ἀπ' αὐτῶν ἰκμάδας σπᾷ τὸ σῶμα· ἢν δὲ νῆστις ἐσθίῃ, πλείω. ὅσα τῶν σιτίων ἢ φῦσαν ἢ καῦμα ἢ δῆξιν παρέχει ἢ πλησμονὴν ἢ στρόφον, οἶνος ἐπιπινόμενος ἄκρητος ἀπαλλάσσει τῶν τοιούτων. τὸ γὰρ σῶμα διαθερμαινόμενον ὑπὸ τοῦ οἴνου ἀπαλλάσσεται τὰ ἐνεόντα τῇ θερμότητι. ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν καὶ τῶν ὁμοίων ἐνίοτε μὲν διαταράσσεται ἡ κοιλίη, ἐνίοτε δὲ ἵσταται, ἐνίοτε δὲ καὶ κατὰ λόγον διαχωρέει. διότι δὲ ταῦτα οὕτως ἔχει. πρῶτον μὲν ἡ κοιλίη ὅταν ὑγροτέρη ἐοῦσα καὶ ὅταν ξηροτέρη ὑποδέχεται τὸ σιτίον, διαφθείρει, ἔπειτα ὅταν μεταβολὴ γένηται, εἴτε (195) ἐκ ψύχεος ἐς θάλπος εἴτε ἐκ θάλπεος ἐς ψῦχος, διαφθείρει. ὥστε ἀνάγκη τὴν κοιλίην ἀπὸ τῶν σιτίων τῶν αὐτῶν καὶ ποτῶν δι' αὐτὰ ταῦτα

tum imbecillitatem conferre videantur. Qui ſanitatis tempore panem edere conſueverunt, his etiam per morbos dandus eſt. Cum quis cibos aut potiones plures ſolito ſumpſerit, niſi ut ſolet perfecerit, ſtatim vomitione rejicere optimum. Fructus autumnales et arborei ideo poſt cibum, et bene valenti et debili plus moleſtiae exhibent, quod ejus quidem qui cibum ſumpſit corpus ab ipſis humores trahit. Sin vero jejunus comederit, plures. Cibi qui aut flatum aut ardorem aut morſum aut repletionem excitant aut tormina, ab ejusmodi liberat vinum merum ſuperbibitum. Corpus enim vino calefactum calore eximit ea quae a cibis et potibus ac ſimilibus inſunt. Interdum quidem alvus perturbatur, interdum vero ſiſtitur, interdum etiam pro ratione dejicit. Cum autem haec ita ſe habeant, primum quidem cum alvus humidior, cumque ſiccior cibum ſuſceperit, corrumpit, deinde cum mutatio contigerit, ſive ex frigore ad caliditatem ſive ex caliditate ad frigus, corrumpit, adeo ut alvum ab iisdem cibis propter haec ipſa molliorem et duriorem fieri

Ed. Chart. VII. [637.] Foës. I. 530. Ed. Lind. II. (195.)

καὶ μαλακωτέρην γίνεσθαι καὶ σκληροτέρην. τῶν σιτίων καὶ τῶν ποτῶν καὶ τῶν ὄψων, πλὴν ἄρτου καὶ μάζης καὶ κρεῶν καὶ ἰχθύων καὶ οἴνου καὶ ὕδατος, τἄλλα πάντα λεπτὰς μὲν καὶ ἀσθενέας καὶ τὰς ὠφελείας παρέχει ἐς τὴν αὔξησιν καὶ ἐς τὴν ἰσχὺν καὶ ἐς τὴν ὑγιείην· λεπτὰ δὲ καὶ ἀσθενέα καὶ τὰ κακὰ ἀπ' αὐτέων γίνεται. ὁκόσους τῶν νοσεόντων μὴ ξυνεχέως οἱ πυρετοὶ ἔχουσιν, ἀλλὰ διαλείποντες λαμβάνουσι, τούτοισι τὰ σιτία διδόναι μετὰ τὴν λῆψιν, τεκμαιρόμενος μήπως ἐπὶ νεοβρῶτι ὁ πυρετὸς ἐπιτέσηται, ἀλλ' ἤδη πεπεμμένων τῶν σιτίων. οἶνος καὶ μέλι κάλλιστα κέκριται ἐν ἀνθρώποισιν, ἢν πρὸς φύσιν καὶ ὑγιαίνουσι καὶ ἀσθενέουσι σὺν καιρῷ καὶ μετριότητι προσφέροιντο, καὶ ἀγαθὰ μὲν αὐτὰ ἐφ' ἑωυτῶν, ἀγαθὰ δὲ καὶ συμμισγόμενα, τά τε ἄλλα καὶ ὅσα γε καὶ ἀξίην λόγου ὠφελίην παρέχει. ὅσα ὑγιαίνουσι ξύμφορα, ταῦτα καὶ νοσέουσι προσφερόμενα ἰσχυρότερά ἐστι. καὶ δι' αὐτῶν ἀφαιρέοντα τὴν ἀκμὴν διδόναι, ἢ οὐ φέρει αὐτὰ τὸ σῶμα, ἀλλὰ μᾶλλον βλάπτει ἢ ὠφελέει.

neceſſe ſit. Ex cibis et potibus et opſoniis, pane excepto et maza et carnibus et piſcibus et vino et aqua, reliqua omnia ad incrementum et robur et ad ſanitatem parva et imbecilla auxilia conferunt. Parva etiam et imbecilla ab his mala contingunt. Quoscunque febres non continenter detinent, ſed intermittentes invadunt, his poſt acceſſionem cibi exhibendi, conjectura facta ne quando a recenti cibo, ſed jam concoctis cibis febris ingruat. Vinum et mel optima hominibus cenſentur, ſi pro natura et ſanis et debilibus tempeſtive et moderate exhibeantur. Et bona quidem per ſeſe et caeteris admixta, tum alia tum quaecunque effatu dignam utilitatem exhibent. Quae ſanis conferunt, aegrotis exhibita valentiora ſunt, eaque vi ipſorum detracta exhibenda, alioqui ea corpus non ferat, ſed magis noceant quam juvent.

Ed. Chart. VII. [638.] Foës. I. 531. Ed. Lind. II. (196.)

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΩΝ ΕΝΤΟΣ ΠΑΘΩΝ.

[638] || (196) Ἢν ἡ τοῦ πλεύμονος ἀρτηρίη ἕλκωθῇ ἢ τι ῥαγῇ τῶν φλεβίων τῶν λεπτῶν, τῶν κατακρεμαμένων ἐς τὸν πλεύμονα ἢ τῶν συρίγγων, τῶν διὰ τοῦ πλεύμονος τεταμένων, καὶ συῤῥαγέωσιν ἐς ἀλλήλας καὶ αἵματος πλησθῶσι, διασπῶνταί τε καὶ καταῤῥήγνυνται διὰ τάσδε τὰς αἰτίας μάλιστα· διὰ ταλαιπωρίην, διὰ δρόμον, διὰ πτώματα, διὰ πληγὰς, δι' ἐμέτους βιαίους γινομένους, διὰ πυρετούς. τάδε οὖν πάσχει. τὸ μὲν πρῶτον βὴξ ἴσχει ξηρή. ἔπειτα ὀλίγῳ ὕστερον ἀποπτύει τὸ σιαλον ὕφαιμον. τότε δὲ καθαρόν. οὕτως ἢν μὲν ἐν τάχει παύσηται ι ἧς νούσου· ἢν δὲ μὴ, προϊόντος τοῦ χρόνου τὸ αἷμα πλεῖον χωρέει, ἐνίοτε μὲν καθαρόν· ἔστι δ', ὅτε καὶ ὑπόσαπρον. πολλάκις δὲ καὶ ἡ φάρυγξ λανθάνει αἵματος πιμπλαμένη. ἔπειτα θρόμβους αἵματος ἐκβράσσεται καὶ ὀλίγον καὶ θαμιά. ἐνίοτε δὲ καὶ ὑδμὴ βαρεῖη ἀπ' αὐτῶν γίνεται, καὶ ἡ φάρυγξ ἔστιν ὅτε τινὸς ἄχνης πίμπλαται, καὶ ῥῖγος καὶ πυρετος ἐπιλαμβάνει,

HIPPOCRATIS DE INTERNIS AFFECTIONIBVS.

Pulmonis arteria ſi exulcerata aut quaedam ex tenuibus venulis quae in pulmonem dependent, rupta fuerit, aut fiſtulae per pulmonem diſtentae, et inter ſe confringantur et ſanguine compleantur, his vero de cauſis praecipue divelluntur et perrumpuntur, vehementi exercitatione, curſu, caſu, per plagas, per violentos vomitus et febres, haec quidem primum contingunt. Tuſſis ſicca detinet, deinde non multo poſt ſputum ſuberuentum, interdum vero purum expuit. Quod ſi hoc quidem modo morbus deſinat, bene habet; ſin minus, procedente tempore copioſior ſanguis, interdum quidem purus, quandoque etiam aliquantum putridus procedit. Plerumque vero fauces etiam latenter ſanguine complentur, deinde ſanguinis grumos paulatim et ſubinde velut ebullientes rejiciunt. Quandoque vero etiam ab his gravis odor oritur, et fauces interdum tenui quadam lanugine implentur. Et rigor ac febris circa quidem morbi

Ed. Chart. VII. [638. 639.] Foës. I. 531. Ed. Lind. II. (196. 197.)
κατ' ἀρχὰς μὲν τῆς νούσου σφόδρα, προϊούσης δὲ βληχρότερον, καὶ ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει, καὶ ὀδύνη ἐνίοτε ἔγκειται ἐν τοῖς στήθεσι καὶ ἐν τῷ μεταφρένῳ καὶ ἐν τῇσι πλευρῇσι, καὶ ὁκόταν τὸ αἷμα παύ(197)σηται πτύων, σίαλον πολλὸν ἀποπτύει ὑγρόν. ἐνίοτε δὲ καὶ γλίσχρον. [639] ταῦτα μὲν οὖν οὕτω πάσχει, μέχρι τεσσαρεσκαίδεκα ἡμέραι παρέλθοιεν. μετὰ δὲ ταύτας ἢν μὴ παύσηται τὸ νούσημα, λεπίδας ἀπὸ τῆς ἀρτηρίης ἐκπροβήσσων ἀποσπᾷ, οἵας περ ἀπὸ φλυκταινίδων, καὶ ὀδύνη ἐμπίπτει ἐς τὰ στήθεα καὶ ἐς τὸ μετάφρενον καὶ ἐς τὰ πλευρόν, καὶ τῶν ὑποχονδρίων ὡς ἕλκος ψαυόμενος ἀλγέει. τούτῳ ξυμφέρει ἡσυχίην ὡς μάλιστα τῷ νοσήματι ἔχειν ἔσω, ἢν οὕτως ἔχῃ. ἢν γάρ τι πονήσῃ, ὅ τε πόνος ὀξύτερος καὶ ἡ βῆξ μᾶλλον ἢ τὸ πρότερον πιέζει, καὶ τὸ ῥῖγος καὶ ὁ πυρετὸς μᾶλλον ἔχει, καὶ ἢν πταρῇ, ἡ ὀδύνη ὀξείη προσέβαλεν. ἀλγέει δὲ καὶ ἐν τῇ εὐνῇ, ὁκόταν περιστρέφεται. τούτῳ χρὴ προσφέρειν σιτία μὲν τὰ αὐτὰ, ἃ καὶ τῷ ἐμπύῳ, ταῦτα δὲ οὐ πολλά. τῶν δὲ ὄψων τούτοισι χρέεσθαι. ἰχθύσι μὲν ῥίνης ἢ φάγρου ἢ γαλαιοῦ τοῦ μεγάλου τοῦ λευκοῦ, ἢ τῶν ἄλλων τῶν ὁμοίων, πᾶσιν ἐν ῥόῳ

initia vehemens, eo vero progreſſo levior prehendit, ſubindeque corripit. Dolor etiam quandoque in pectoribus, dorſo et lateribus urget. Cum ſanguinem ſpuere deſierit, ſputum copioſum liquidum, interdum etiam viſcidum expuit. Atque hoc modo afficitur donec dies quatuordecim praeterierint. Poſt hos vero niſi morbus ſedetur, ſquamulas quales ex puſtulis, ab arteria revulſas tuſſiendo rejicit et dolor in pectus, dorſum et latus irruit praecordiaque ad contactum tanquam ab ulcere dolent. Cum ſic ſe habeat, huic morbo quam maxime quies interna conducit. Si quid enim laborarit, tum dolor vehementior tum tuſſis magis quam antea urget, rigorque ac febris magis detinet. Cumque ſternutaverit, dolor acutus adoritur, doletque etiam in lecto cum circumvertitur. Huic cibos quidem eosdem quos ſuppurato, ſed hos non multos offerre oportet. Opſoniis vero his utatur. Piſcibus quidem ſquatina aut pagro aut galaeo magno albo aut aliis ſimilibus, omnibus cum rhoe et

Ed. Chart. VII. [639.] Foës. I. 531. 532. Ed. Lind. II. (197. 198.)
καὶ ὀριγάνῳ ἡρτιμένοις. κρέας δὲ ἐσθιέτω ἀλέκτορος, ὀπτόν. ἄναλτον, ἢ αἰγὸς ἕφθόν, καὶ οἴνῳ αὐστηρῷ ὡς παλαιοτάτῳ καὶ ἡδίστῳ μέλανι χρεέσθω. περιπάτοισι δὲ μετρίοισι, πλὴν ταῦτα πυρετοῦ μὴ ἔχοντος. ἢν δὲ πυρετὸς ἔχῃ, ζοφήματι ἀλεύρου ἢ κέγχρου χρεέσθω. ἢν δὲ σιτία προσφέρηται, ὀλίγα προσφερέσθω, καὶ ὄψα τὰ διαχωρητικά. κἢν φαρμάκου σοι δοκέῃ χρέεσθαι, ὑποκαθῆραι αὐτὸν τῷ Κνιδίῳ κόκκῳ ἢ τῇ τιθυμαλίδι, καὶ μετὰ τὴν κάθαρσιν ἀλεύρου ἕφθοῦ δοῦναι τρυβλίον ἐκροφεῖν λιπαροῦ. εἶτα ἀνακομίζειν ὡς μάλιστα, ὅκως ἂν (198) ἥκιστα λεπτὸς ᾖ. πρὸς γὰρ τὴν τοιαύτην νοῦσον οὐ ξυμφέρει λεπτὸν εἶναι καὶ περιπάτους ὀλίγους τὸ πρῶτον ποιέεσθαι, ὡς μὴ κόπος ἐπιλάβηται. πυριῆν δὲ ἄλλοτε καὶ ἄλλοτε, καὶ ᾗ πυριηθῇ ἡμέρῃ, ἄσιτος ἔστω πλὴν ἀλεύρου ἕφθοῦ, οὗπερ τρυβλίον ἐκροφεέτω. ὕδωρ δὲ πινέτω. || τῇ δὲ ὑστεραίῃ ἔλαττον ἢ ὡς μεμαθήκει φαγέτω, καὶ πινέτω οἶνον μέλανα, ἡδύν, αὐστηρόν, ὀλίγον. τὸ δὲ λοιπὸν δὶς ἢ τρὶς τῆς ἡμέρης τὰ σιτία διδόναι. οὕτω δὲ δίδου

origano conditis. Galli autem carnem aſſam ſine ſale et edat aut caprae coctam, vinoque utatur auſtero quam vetuſtiſſimo et ſuaviſſimo nigro, deambulationibus autem moderatis, praeter quam quod haec dum febris non detinet fieri debent. Quod ſi febris detinet ſorbitione farinae aut milii utatur. Si vero cibi exhibeantur, pauci porrigantur et opſonia per alvum ſecedentia. Sed ſi medicamento tibi utendum eſſe videatur, eum grano Cnidio aut tithymalide aliquantulum purgato et poſt purgationem farinae coctae pinguis acetabulum exſorbendum dato. Deinde quam maxime vires reficito, quo minimum gracilis evadat. Gracilem enim eſſe ad hunc morbum minime conſert. Deambulationes paucae primum faciendae, ne laſſitudo invadat. Fomentum autem ſubinde adhibendum, quaque die exhibebitur ſine cibo permaneat, niſi quod farinae coctae acetabulum exſorbeat, aquam vero bibat. Poſtero die minus quam pro conſuetudine comedat, vinumque nigrum, ſuave, auſterum, paucum bibat. De reliquo bis aut ter die cibos exhibeto, ſicque ei ſenſim exhi-

Ed. Chart. VII. [639.] Foës. I. 532. Ed. Lind. II. (198. 199.) τούτῳ κατ' ὀλίγον, μέχρι καταστήσῃς τὴν κοιλίην. ἐκ γὰρ τῶν πυρετῶν καὶ τῆς ἀσιτίης, ἢν μὲν τὸ στόμα ζητῇ, ἡ δὲ κοιλίη οὐκ ἐθέλει δέξασθαι, ἀθρόον δεξαμένη φλεγμαίνει. ἀλλὰ κατ' ὀλίγον διδόναι χρή. ἢν δὲ ἀθρόον δῷς καὶ ὀλίγα πονήσῃ, τοῖσι περιπάτοισιν οὐ διαψύχεται ἡ κοιλίη, ἄιε ἀτρέμα ξυνεστηκότων τῶν βρωτῶν. διὸ καὶ πυρετὸς φιλέει ἐπιγίνεσθαι, καὶ τοῦ μὲν χειμῶνος ἧσσον, τοῦ δὲ θέρεος κίνδυνος ἐξαμαρτεῖν. τοῦτον ἀνακομίζειν δεῖ ὡς μάλιστα, ὅκως ἂν ὡς παχύτατος ᾖ, καὶ περιπάτοισι μετρίοισι χρεέσθω, καὶ πιλιαιέτω ἧσσον ἑωυτοῦ, καὶ πονεέτω ὀλίγα τὸ πρῶτον. ἔπειτα δὲ πλείω. πολλὰ δὲ οὐδέποτε. ταῦτα ἢν ποιέῃ, ὑγιὴς ἔσται τάχιστα, ἢν δὲ λεπτὸς γίνηται διὰ ταλαιπωρίην, ἀτιέτω καὶ ἡσυχίην ἐχέτω. οὗτος μήτε πρὸς ἄνεμον δράμῃ ὑγιὴς ἐὼν ὀξέως, μήτε ἐφ' ἵππον μήτε ἐπὶ ζεῦγος ἀναβῇ. φυλασσέσθω δὲ καὶ βοὴν καὶ ὀξυθυμίην. κίνδυνος γὰρ τὴν νοῦσον πάλιν ἀναλαβεῖν, ἀλλὰ φυλάσσεσθαι χρὴ τούτων ἁπάντων. ἢν δὲ (199) τοῦ σίτου ἀποκλεισθῇ, ὀρόβους φώσας τὰ κέλυφα ἀποκαθῆραι. εἶτα βρέξας αὐτοὺς ἐν ὕδατι τρεῖς

beto, donec ventriculum ad priſtinum habitum revocaris. Per febres enim et inediam, ſi quidem os expedit, ventriculus vero recipere nolit, ſi confertim recipiat inflammatur. Verum paulatim exhibere oportet. Quod ſi confertim dederis, parumque laborarit, ventriculus deambulationibus minime perfrigeratur, denſatis nimirum ſenſim cibariis, ideoque febris accedere ſolet. Et per hiemem quidem minus, per aeſtatem vero magis delinquitur. Huic quam maxime vires reficere convenit, ut maxime craſſus evadat et deambulationibus modicis luctaque minus utatur. Primum parum laboret, deinde paulo plus, nunquam vero multum. Quae ſi fecerit, citiſſime convaleſcet. Quod ſi ex vehementi labore gracilis evadat, de eo remittat et quietem agat. Hic ubi convaluerit, ad ventum ne celeriter currat, neque in equum, neque in currum conſcendat. Vitet autem clamorem et excandeſcentiam. Periculum enim eſt ne redeat morbus. Verum haec omnia vitanda ſunt. At ſi cibum refugiat, orobum toſtum cortice repurgato, deinde tribus diebus aqua macera-

Ed. Chart. VII. [639. 640.] Foeſ. I. 532. Ed. Lind. II. (199.)
ἡμέρας. ἐφ' ἑκάστην δὲ ἡμέρην ἀποχέειν τὸ ὕδωρ καὶ ἄλλο ἐπεγχέειν. [640] ἔπειτα τῇ τετάρτῃ ἡμέρῃ ἀπηθῆσαι καὶ ξηρῆναι. εἶτα ἀλέσας λεπτύτατα διασῆσαι, καὶ λίνου καρπὸν φώσας, κόψαι λεῖον, καὶ σήσαμον φώσας, κόψαι λεῖον, καὶ ἄλφιτα ἄναλτα καθαρὰ λεπτά. καὶ τῶν μὲν ὀρόβων καὶ ἀλφίτων ἴσον ἑκατέρων ἔστω· τοῦ δὲ σησάμου τρίτον μέρος· τοῦ δὲ λίνου ἥμισυ μιῆς μερίδος. ταῦτα ἐν αἰγείῳ ἑψήσας, ὡς ὑγρότατα ῥοφεῖν. μετὰ δὲ ταῦτα διδόναι αὐτῷ ἐς ἄριστον σῖτα καθαρὰ καὶ ὄψα ἀπὸ τῶν ἰσχυροτέρων. οἶνον δὲ τὸν αὐτὸν πινέτω. διδόναι δὲ αὐτῷ καὶ τῶν ῥιζέων τῶν πρὸς ταῦτα τὰ ῥήγματα τῆς κεντιυρίης ἐπ' οἶνον ἐπιξύων. διδόναι δὲ καὶ τοῦ δρακοντίου ἐπ' οἶνον ἐπιξίων. διδόναι δὲ καὶ τῆς τοῦ βηχίου ἐν μέλιτι καὶ τὸ δρακόντιον ξύων, λείχειν. κὴν τὸ ἔψημα τὸ ἐν τῷ γάλακτι μὴ φάσκῃ δυνατὸς εἶναι ῥοφέειν, γάλα βόειον ὡς πλεῖστον πινέτω τρίτον μέρος τοῦ μελικρήτου προσμίσγων. καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται, ἡ δὲ νοῦσος θεραπείης δέεται πολλῆς. χαλεπὴ γάρ. ἢν γὰρ θεραπευθεὶς ὑγιής τε γενόμενος μὴ ἐν φυλακῇ ἔχῃ ἑωυτὸν,

tum quotidie alia affuſa, aquam diffundito. Poſtea quarto die excolatum et reſiccatum, mox tenuiſſime molitum, per incerniculum cribrato. Et lini ſemen toſtum, ſeſamumque etiam toſtum laeviſſime tundito polentamque inſulſam, puram, tenuem admiſceto. Sit autem orobi et polentae utriusque aequalis portio, ſeſami vero tertia pars et lini partis unius dimidium. Quae caprino lacte cocta, quam liquidiſſima ſorbeat. Poſt haec autem in prandium cibos puros, et ex opſoniis valentiora ei exhibeto, et vinum idem bibat. Centaurii etiam radices vino intritas ad ejusmodi ruptiones facientes ei exhibeto. Dracontii etiam radices vino intritas dato, et bechii radicem cum melle, et dracontium deraſum delingendum. At ſi quod in lacte decoctum eſt ſe ſorbere poſſe neget, lac bubulum quam plurimum, aquae mulſae tertia parte admixta bibat, ſicque citiſſime convaleſcet. Hic autem morbus cum ſit difficilis, multa curatione indiget. Cum enim quis curatus et ſanus factus fuerit, niſi ſui curam

Ed. Chart. VII. [640.] Foës. I. 532. Ed. Lind. II. (199. 200.)

τοῖσι πολλοῖσιν ὑποτροπιάσασα ἡ νοῦσος αἰτίη ἀπωλείας ἐγένετο. οὗτος ἢν μὲν ὑπὸ ταύτης τῆς θεραπείης ἰηθῇ, ἄλις· ἢν δὲ μὴ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τά τε στήθεα καὶ τὸ μετάφρενον. ἢν γὰρ τύχῃς καύσας, ἐλπὶς ἐκφυγέειν τῆς νούσου. ἢν δὲ ἀρτηρίη σπασθῇ (200) ἢ τις τῶν φλεβῶν τεινουσῶν εἰς τὸν πλεύμονα, τάδε πάσχει. κατ' ἀρχὰς μὲν τῆς νούσου βὴξ ἴσχει ὀξείη, καὶ ῥῖγος καὶ πυρετὸς καὶ τὸ σίαλον ἀποπτύει, πουλύ τε καὶ λευκὸν καὶ ἀφρῶδες. ἄλλοτε δὲ ὔφαιμον, καὶ ὀδύνη τὴν κεφαλὴν καὶ τὸν τράχηλον ἴσχει. αὕτη ἡ νοῦσος ἰσχυροτέρη τῆς πρόσθεν, καὶ μέχρι μὲν δέκα ἡμερέων τῶν πρώτων τοιαῦτα πάσχει. ἔπειτα οἱ πολλοὶ τῇ ἑνδεκάτῃ πῦα ἀποπτύουσι παχέα βιαίως. ἡμέρῃ δὲ καθαρώτερα ἀποπτύει, ἢν φύξιμος ᾖ, καὶ τῇ ὀδύνῃ ἧσσον πονέει καὶ ἐν τάχει ὑγιὴς γίνεται. ἢν δὲ μέλλῃ πουλυχρόνιος ἡ νοῦσος ἔσεσθαι, τά τε πῦα πολλῷ πλείονα ἀποπτύει καὶ ὁ ἄλλος πόνος ἐν τῷ σώματι πολλῷ ἔνι πλείων. αἱ δὲ θέρμαι βληχρότεραι ἔχουσιν ἢ τὸ πρίν. τοῦτον ἢν λάβῃς, κατ' ἀρχὰς ὑποκαθῆραι κάτω, ὀπῷ σκαμμωνίης, ἢν ἀπύρετος

habuerit plerisque revertens morbus interitus cauſam attulit. Qui ſi quidem hac curatione ſanatus fuit, ſatis eſt. Sin minus, ubi eum lacte craſſiorem reddideris, in pectore et dorſo inurito. Si enim uſtio bene ſucceſſerit, morbum evadendi ſpes eſt. At vero ſi arteria aut vena aliqua ex his quae ad pulmonem tendunt divellatur, haec contingunt. Per morbi quidem exordia tuſſis acuta, rigor et febris detinet, et ſputum tum copioſum tum album ac ſpumoſum interdumque ſubcruentum expuit, dolorque caput et cervicem occupat. Hic morbus priore eſt vehementior. Ac decem quidem primis diebus haec ei contingunt. Deinde plerique undecimo die pus craſſum per vim expuunt. Die vero decimo quarto puriora expuit, ſi ex eo aeger evaſurus eſt et dolor minus affligit, brevique ſanus evadit. Quod ſi diuturnus morbus futurus eſt, et multo plus puris expuit et reliquus dolor in corpore longe major eſt, et calores quam antea leviores detinent. Hunc ſi per initia curandum ſuſceperis, ſcammoniae ſucco, ſi febre careat, per inferiora ali-

Ed. Chart. VII. [640. 641.] Foës. I. 533. Ed. Lind. II. (200. 201.)

ξ. || μετὰ δὲ τὴν κάθαρσιν προσφερέσθω ταῦτα ἃ καὶ πρόσθεν, καὶ τἄλλα τὰ αὐτὰ προσφερέσθω, ἡσυχίην ἔχων ὡς μάλιστα τῷ σώματι καὶ μαλθακῶς κοιμάσθω. ταῦτα μὲν κατ' ἀρχὰς ποιεέτω μέχρι τῶν δέκα ἡμερέων. ἢν δὲ ἔμπυος γένηται, τὰ αὐτὰ ἃ καὶ ὁ πρόσθεν ποιεέτω. ἢν δὲ ὑγιὴς γένηται, τῶνδε χρὴ ἀπέχεσθαι, σιτίων καὶ [641] ποτῶν ὀξέων καὶ δριμέων καὶ ἁλικῶν καὶ λιπαρῶν. ταλαιπωρίης δὲ ἀπέχεσθαι καὶ τῶν αὐτῶν ὧν καὶ ὁ πρόσθεν. ταῦτα ἢν ποιέῃ, τάχιστα τῆς νούσου ἀπαλλαγήσεται. ἢν δέ τι τουτέων οὐ ποιήσῃ, κινδυνεύσει πάλιν ὑποτροπιάσαι, καὶ ἡ νοῦσος κάκιον ἔχει. καὶ γὰρ οἱ πολλοὶ πλευμορρωγέες ἐόντες διατελέουσιν, ἕως ἂν ἀποθάνωσι. τοῦτον ἢν μὴ πα(201)ραχρῆμά τις ἰήσηται, ὑποτροπιασάσης τῆς νούσου οὐκ ἂν μετὰ ταῦτα ἔχοις ὠφελῆσαι, ἢν μὴ τάδε ποιήσῃς· γάλακτι βοείῳ παχύνας, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. ἢν γὰρ τύχῃς καύσας, ὠφελήσεις, ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτέων ἁμαρτάδων γίνεται ἃς καὶ ἡ πρόσθεν. πλευμονὶς δὲ γίνεται ἀπὸ τῶνδε μάλιστα. ὁκόταν ὁ πλεύμων αἷμα ἑλκύσας ἐφ' ἑωυτὸν ἢ

quantulum purgato. Poſt purgationem vero eadem quae prius exhibeantur et reliqua eadem quieto quam maxime corpore aſſumantur et molliter dormiat. Et haec quidem decem primis diebus faciat. Quod ſi purulentus extiterit, eadem etiam quae prius faciat. Sin vero ſanus evaſerit, his cibis et potibus abſtineat, acidis, acribus, ſalſis et pinguibus. Labore etiam vehementiore et iisdem quibus prius abſtineat. Quae ſi fecerit, citiſſime hoc morbo liberabitur. Sin vero eorum aliquid non fecerit, periculum eſt ne morbus revertatur et pejor detineat. Plerique enim ruptò pulmone ad mortem usque perſeverant. Hunc niſi quis conſeſtim curet, poſtea ubi morbus reverſionem fecerit non erit quo juvare poſſis, niſi haec feceris. Lacte bubulo craſſiorem redditum in pectore et dorſo inurito. Si enim uſtio tibi proſpere ſucceſſerit, juvabis. Hic autem morbus ex iisdem erratis ex quibus etiam prior oritur. Pulmonis inflammatio ex his fere fit. Cum ad ſeſe pulmo ſanguinem aut pituitam ſalſam tra-

Ed. Chart. VII. [641.] Foës. I. 533. Ed. Lind. II. (201.)

φλέγμα ἁλμυρὸν μὴ ἀπῇ πόλιν, ἀλλ' αὐτοῦ ξυστραφῇ καὶ ξυμπαγῇ, ὑπὸ τουτέων φύματα φιλεῖ γίνεσθαι ἐν πλεύμονι καὶ ἐμπυοῦσθαι. οὗτος τάδε πάσχει. κατ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ νουσήματος βὴξ ὀξείη ξηρὴ ἴσχει καὶ ῥῖγος καὶ πυρετὸς καὶ ὀδύνη ἐν τοῖσι στήθεσι καὶ ἐν τῷ μεταφρένῳ ἔγκειται· ἐπίοτε δὲ καὶ ἐν τῷ πλευρῷ. καὶ ὀρθοπνοίη σφοδρὴ ἐμπίπτει. οὗτος μέχρι μὲν τεσσαρεσκαίδεκα ἡμερέων τοιαῦτα πάσχων διατελέει, πολλάκις δὲ καὶ πλείονας ἢ δεκατέσσαρας ἡμέρας, ἔπειτα ῥήγνυται πῦα καὶ ἀποπτύει πολλόν. πολλάκις δὲ ἀποπτύει καὶ οἷον ἀραχνίων χιτῶνας. πολλάκις δὲ καὶ ὕφαιμον. κὴν μὲν ἀποκαθαρθῇ καὶ ἀπισχνωθῇ ἐν τάχει ὁ πλεύμων, ἐκφυγέει τὸν ὄλεθρον· ἢν δὲ μὴ προσέχῃ, ἐνιαυτὸν ἴσχει ἡ νοῦσος καὶ μεταβάλλει, ἄλλοτε ἄλλοῖα πάσχων. τούτῳ χρὴ καὶ ἀρχὰς μὲν πρὶν ἢ τὰ πῦα ῥαγῆναι προσφέρειν τάδε. ὁκόταν ἀνῇ ὁ πυρετός, λούειν πολλῷ θερμῷ καὶ ῥοφήμασι πολλοῖς χρέεσθαι. πτισάνης χυλῷ καθέφθῳ μέλι παραχέας, ὁκόταν ἑφθὸν ᾖ, ῥοφείτω, καὶ οἶνον πινέτω γλυκὺν λευκὸν, ἢ μελίκρητον ἑφθόν. ὁκόταν δὲ ἄρξηται πῦα

xerit neque rurſus dimiſerit, ſed ibi collecta et coacta fuerint, ex his tubercula in pulmone gigni ſolent et pus intro colligi. Hic haec patitur, per initia et totum morbum tuſſis acuta et rigor et febris detinet, dolor in pectore et dorſo interdumque in latere urget, vehemensque erectae cervicis ſpiratio incidit. Hic ad decimumquartum usque diem in his perſeverat, plerumque etiam pluribus diebus. Deinde pus foras erumpit, multumque expuit, ſaepe vero velut araneārum tunicas expuit, crebro etiam ſubcruentum. Et ſi quidem pulmo cito repurgetur et gracilis reddatur, perniciem evadit. Sin minus, perſeverat hic morbus et per annum detinet, et quandoque in varias affectiones transit. Huic per initia antequam pus foras erumpat haec admovere oportet. Cum febris remiſerit, multa calida lavet, et ſorbitionibus multis utatur, ptiſanae cremorem coctum melle affuſo et cocto ſorbeat, vinum dulce album aut aquam mulſam coctam bibat. Ubi vero pus expuere coeperit, eadem quae prior

Ed. Chart. VII. [641. 642.] Foël. I. 533. Ed. Lind. II. (201. 202.) ἀποπτύειν, πινέτω τὰ αὐτά, ἃ καὶ ὁ πρόσθεν ἔμπυος, (202) καὶ σιτίοισι καὶ ποτοῖσι καὶ ὄψοισι τοῖς αὐτοῖς χρεέσθω, ἀπεχόμενος ὀξέων καὶ δριμέων καὶ ἁλυκῶν καὶ λιπαρῶν καὶ λαγνείης καὶ θωρηξίων, ἢν μὴ τῇ νούσῳ πρόσφορον ᾖ. ἐς χρῶμα δὲ ὁρέων μελετᾶν, ὁκοίων δή τινων δοκέει σοι δεῖσθαι. τὰ δ' ἄλλα τὰ αὐτὰ ποιείτω. πινέτω δὲ καὶ γάλα βοὸς καὶ αἰγὸς τὴν ὥρην. πρόσθεν δὲ ὑποκαθηράσθω γάλακτι ὀνείῳ ἑφθῷ. πινέτω δὲ καὶ τὸ ἵππειον γάλα σεσεισμένον ἑκάστης ἡμέρης ἔωθεν τρικότυλον κύλικα, ἢν ᾖ δυνατός. ἢν μὲν οὖν οὕτω μελετώμενος ῥηΐσῃ, ἅλις. καὶ ἢν μὴ ῥαγῇ τὰ πῦα ἐς τὰ στήθεα, αὐτὸς ἑωυτὸν θεραπευέτω ἡσυχίην ἔχων τῷ σώματι ὡς μάλιστα καὶ τὰ ξύμφορα προσφέρων ἑωυτῷ. ἢν δὲ ῥαγῇ τὰ πῦα ἐς τὰ στήθεα, ὅπη ἄν σοι δοκέῃ ἀποσημαίνειν, ἐκεῖσε μάλιστα τεμὼν ἢ καύσας, ἀφιέναι τοῦ πύου ὀλίγον τὸ πρῶτον. τὰ δ' ἄλλα ποιέειν τὰ αὐτά, ἃ καὶ ἐπὶ τοῦ πρόσθεν ἐμπύου γενομένου γεγράφαται. [642] ἢν ἐν πλεύμονι κιρσὸς ἐγγένηται, βὴξ ξηρὴ ἐπιλαμβάνει, καὶ ῥῖγος, καὶ πυρετὸς, κατ' ἀρχὰς μὲν τῆς νόσου πάνυ

purulentus bibat, iisdemque cibis, potibus et obſoniis utatur, acidis abſtineat, acribus, ſalſis, pinguibus, venere et crapula, niſi cum morbo commodum fuerit. Inſpecto autem colore, quorum tibi indigere videatur, curam habeto, reliqua autem eadem faciat. Lac bubulum et caprinum, ſi anni tempus ferat, bibat, prius tamen lacte aſinino cocto aliquantulum purgetur. Bibat autem quotidie mane lactis equini excolati poculum trium heminarum menſura, ſi poſſit. Si igitur ad hunc modum curatus melius habuerit, ſatis eſt. At ſi pus ad pectus non erumpat, ipſe corpore quam maxime quietem agendo et quae ſibi commoda ſunt admovendo, ſui ipſius curam habeat. Si vero ad pectus pus eruperit, qua parte de ſe tibi ſignificationem praebere videbitur, illic praecipue ſectione aut uſtione facta, pus primum paucum educito, reliqua eadem facito quae in priore purulento ſcripta ſunt. Si varix in pulmone gignatur, per morbi quidem exordia tuſſis ſicca, rigor febris vehemens admodum invadit,

Ed. Chart. VII. [642.] Foël. I. 533. 534. Ed. Lind. II. (202. 203.)
σφόδρα. ἔχει δὲ καὶ ὀρθοπνοίη, καὶ ἐν τῇ κεφαλῇ ἐνέσηκε, καὶ αἱ ὀφρύες δοκέουσιν ἐπικρέμασθαι, καὶ οἴδημα κατέρχεται ἐς τὸ πρόσωπον καὶ ἐς τὰ στήθεα καὶ ἐς τοὺς πόδας· πολλάκις δὲ καὶ ἐς τὴν κεφαλὴν ἐρείδει, καὶ ὑπὸ τῆς ὀδύνης, ὅταν ὁ πόνος ἔχῃ, οὐ δύναται ἀνορῆν. || τό τε σῶμα ὕπωχρος, καὶ αἱ φλέβες δι' αὐτοῦ τείνουσιν ἢ φλόγιαι ἢ μέλαιναι. τοῦτον, ὁκόταν οὕτως ἔχῃ καὶ ὁ πόνος μάλιστα πιέζῃ, πρῶτον μὲν αἷμα ἀφαιρέειν. ἔπειτα λούειν πολλῷ καὶ θερμῷ, καὶ (203) ὁκόταν δίψα ἔχῃ, πίνειν διδόναι κυκεῶνα ἐν οἴνῳ μέλανι αὐστηρῷ, ὡς ἡδίστῳ, ἴσον ἴσῳ κεράσας. ψυχρὸν δὲ χρὴ μάλιστα πίνειν. ῥοφήμασι χρέεσθαι πτισάνης χυλῷ καθέφθῳ, μέλι χρηστὸν παραχέας. ταῦτα χρὴ προσφέρειν ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων τῇσι τεσσαρεσκαίδεκα. ἢν δὲ ἐπὶ πλεῖον ἡ νοῦσος ἔχῃ, ὅ τε πόνος πλείων ἢ ἐν τῷ σώματι καὶ ἀδυναμίη ἐνῇ, τούτῳ δὴ οὕτως ἔχοντι ταῦτα προσφέρειν, ἃ καὶ ἐν τῷ πυοῦντι τὸν πλεύμονα, ὁκόταν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. αὕτη ἡ νοῦσος γίνεται ἀπὸ ταλαιπωρίης καὶ χολῆς μελαίνης. ὁκόταν τὰ κοιλὰ φλέβια τὰ διε-

erectae cervicis ſpiratio detinet. In capite tumor inſiſtit et ſupercilia dependere videntur, tumorque ad faciem, pectus et pedes deſcendit, ſaepe vero in capite fixus eſt, cumque dolor detinet, prae dolore oculos attollere non poteſt. Corpus eſt ſubpallidum et venae per ipſum feruntur aut rubrae aut nigrae. Huic quidem cum ſic habeat et dolor maxime urgeat, primum quidem ſanguinem detrahito, deinde multa et calida lavato, et cum ſitis detinet, cyceonem ex vino nigro auſtero quam ſuaviſſimo aequali aqua temperatum potui exhibeto, quem maxime frigidum bibere oportet. Ptiſanae cremore cocto, optimo melle affuſo, pro ſorbitionibus utatur. Quae primis quatuordecim diebus offerenda ſunt. Quod ſi diutius morbus detineat, dolorque major in corpore et virium impotentia adſit, huic ſane ſic habenti ea exhibeto quae ei qui pulmonem purulentum habet cum quatuordecim dies praeterierint. Oritur hic morbus ex vehementiore labore et bile atra. Cum venae cavae quae in pulmonem pertingunt

Ed. Chart. VII. [642.] Foës. I. 534. Ed. Lind. II. (203. 204.)
χοντα ἐν τῷ πλεύμονι πλησθῇ αἵματος ἢ χολῆς μελαίνης, ξυρήξηται τὰ φλέβια ἐς ἄλληλα, ἅτε ἐν στενοῖσιν ἐόντα καὶ ἐπειλημένα καὶ ἔξοδον οὐκ ἔχοντα, ὀδύνην παρέχει καὶ φῦσαν ἐν τῷ πλεύμονι. αὕτη ἡ νοῦσος χαλεπὴ καὶ θεραπείης δεομένη πολλῆς. εἰ δὲ μή, οὐκ ἐθέλει ἐκλιπεῖν τὸν κάμνοντα, καὶ ὡς τὰ πολλὰ ἐν τοῖσι πολλοῖσι ξυναποθνήσκει. ἢν φλεγμονὴ ἐν πλεύμονι γένηται, γίνεται δὲ μάλιστα ἀπὸ οἰνοφλυγίης καὶ γαστριμαργίης ἰχθύων κεφάλων καὶ ἐγχελύων. ταῦτα γὰρ τὴν πιμελὴν πολεμιωτάτην ἔχει πρὸς τὴν φύσιν τοῦ ἀνθρώπου. ἤδη δὲ τὸ νούσημα ἐγένετο ἀπὸ φλέγματος, ὁκόταν μιγὲν τῷ αἵματι ἐπιῤῥυῇ ἐπὶ τὸν πλεύμονα. προσπίπτει δὲ καὶ ἐκ κρεοφαγίης καὶ ἐξ ὕδατος μεταβολῆς. τάδε οὖν πάσχει. βήσσει ἰσχυρῶς, καὶ τὸ σίαλον ἀποπτύει ὑγρὸν καὶ πολλόν. πολλάκις δὲ καὶ παχὺ καὶ λευκὸν, οἷον ἀπὸ βράγχου. καὶ ὀδύνη πιέζει ὀξείη ἐς τὰ στήθεα (204) καὶ τὸ μετάφρενον καὶ τοὺς κενεῶνας καὶ τὰ πλευρὰ, καὶ ἐρεύγεται ὀξὺ, καὶ ἐκ τῶν στηθέων καὶ πλευμόνων, οἷον γαστὴρ τρυλλίζει, καὶ ἐμέει λάπην ὀξείην, καὶ τὸ ἔμεσμα ἢν ἐκχέῃς

sanguine aut bile atra refertae fuerint, venulae nimirum in angustiis interceptae inter sese confringuntur, cumque exitum non habeant, dolorem et flatum in pulmone excitant. Hic morbus cum sit difficilis, multa curatione indiget, alioqui aegrum non relinquere, fereque multos ad mortem usque comitari solet. Si inflammatio in pulmone oriatur, oritur autem praecipue ex vinolentia et piscium capitonum et anguillarum ingluvie, qui pinguedinem hominis naturae maxime infensam habent. Jam vero ortum habuit hic morbus ex pituita, cum sanguini permixta ad pulmonem affluxerit. Incidit etiam ex carnis esu et aquae mutatione. Haec igitur ei contingunt: vehementer tussit et sputum liquidum et copiosum expuit, plerumque etiam crassum et album velut ex raucedine. Dolor acutus vexat in pectore, dorso, laterum inanitatibus et costis, acidum eructat, et ex pectore ac pulmonibus velut ex ventre quid murmurat, pituitam acidam vomit, sique quod vomitione rejectum est in terram effundas,

Ed. Chart. VII. [642. 643.] Foël. I, 534, Ed. Lind. II. (204.) χαμαὶ, ξύει τὴν γὴν ὥσπερ ὄξος ἐπιχέοντι, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ, [643] καὶ ῥῖγος καὶ πυρετὸς καὶ δίψα ἔχει ἰσχυρὴ, καὶ ἤν τι θέλῃ λιπαρὸν φαγέειν, μύζει πρὸς τὰ σπλάγχνα καὶ ἔμετον ἄγει, καὶ τὸ σῶμα ἅπαν νάρκη ἔχει. ὁκόταν δὲ ἀπεμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥᾴων εἶναι. ἔπειτα ἐπειδὰν τῆς ἡμέρης ὀψίτερον γένηται, βρέμει ἡ κοιλίη καὶ στρέφει καὶ βορβορύζει. τοῦτον ὁκόταν οὕτως ἔχῃ καὶ δοκέῃ καιρὸς εἶναι, προσαίρειν ὧδε μελέτην. μίξας μέλι καὶ γάλα καὶ ὄξος καὶ ὕδωρ, ταῦτα ἐγχέας ἐς χυτρίδα χλιαίνειν, καὶ ὀριγάνου κλωνίοισι τῆς κεφαλοειδέος ταράσσειν. ἐπειδὰν δὲ χλιαρὸν ᾖ, δοῦναι πιεῖν, ἢ λαβόμενος της γλώττης, ἐγχέειν ἡσυχῇ διὰ σύριγγος. εἶτα κελεύειν συνειλισθέντα ἡσυχίην ἔχειν. ἔπειτα ἢν ἔμετος ἐπέλθῃ αὐτῷ, ἐμέειν προθύμως· ἢν δὲ μὴ ἐπέλθῃ, καταματιευόμενος πτερῷ ἐμεέτω, καὶ ἤν τι φλέγματος ἐμέσῃ, ἐπὶ πέντε ἡμέρας τὸ αὐτὸ ποιεέτω. ῥᾴων γὰρ ἔσται οὕτω ποιῶν. πινέτω δὲ τοῦτο γυμνασάμενος, ἢν οἷός τε ᾖ, καὶ λουσάμενος πολλῷ θερμῷ· ἢν δὲ μὴ, ἀλλὰ λουσάμενος. ὁκόταν δὲ αἱ πέντε ἡμέραι παρέλθωσιν, πρωΐος νῆστις πι-

eam tanquam infuſum acetum radit et dentes ſtupeſcunt. Rigor, febris et ſitis vehemens detinet, et ſi quid pingue comedere velit, in viſceribus ſtrepitus editur, vomitus cietur et totum corpus torpor occupat. Ubi vero evomuerit, paulo melius habere videtur, deinde ſub veſperam diei venter ſtrepit, contorquetur et murmur edit. Huic cum ſic habuerit et tempeſtivum videbitur, curationem iſtam adhibeto. Mel, lac, acetum et aquam ſimul mixta et in ollam infuſa tepefacito et origani capitati ſurculis agitato, tepefactum potui exhibeto, aut apprehenſa lingua ſenſim per fiſtulam infundito, deinde veſtibus convolutum quietem agere jubeto. Poſtea ſi ei vomitus incidat, prompte vomat, quod ſi non incidat, ex levi per pennam attrectatione vomat, et ſi quid pituitae vomuerit, idem per dies quinque facito. Sic enim melius habebit. Hoc autem poſt exercitationem ſi poſſit, bibat, et poſt calidae multae balneum; ſin minus, ſaltem poſt balneum. Ubi vero dies quinque praeterierint, mane jeju-

Ed. Chart. VII. [643.] Foës. I. 534. 535. Ed. Lind. II. (204. 205.)
νέτω ἐν μελικρήτῳ ἢ οἰνομέλιτι ὀποῦ σιλφίου ὀκόσον ὄρο-
βον, καὶ σκόροδον τρωγέτω καὶ ῥαφανῖδας νῆστις, καὶ
ἄκρητον οἶνον ἐπιῤῥοφανέτω μέλανα ἢ λευκὸν αὐστηρόν.
πινέτω δὲ καὶ ἐπὶ σίτῳ καὶ μετὰ (205) τὸ σῖτον. σιτίοισι
δὲ ξηροῖσι καὶ κρέασι κυνείοισι χρεέσθω ἐφθοῖσιν, ἢν τὸ
ῥῖγος καὶ ὁ πυρετὸς μὴ ἐπιλαμβάνῃ. οὗτος ἢν ἀπὸ τοῦ τοι-
οὔδε ἐγχύματος καθαίρηταί τι. ἢν δὲ μή, ἄνω αὐτὸν καθαί-
ρειν ἐλλεβόρῳ. μετὰ δὲ τὴν κάθαρσιν ἀλεύρου ἐφθοῦ διδό-
ναι δύο τρυβλία ἐκροφέειν μέλι παραχέας. || οἶνον δὲ τὸν
αὐτὸν πινέτω ὑδαρέα. ἢν δὲ μὴ κατ' ἀρχὰς παραγένηται τῇ
νούσῳ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τὰ στήθεα καὶ τὸ
μετάφρενον. οὕτω γὰρ ἂν μάλιστα τῆς νούσου ἀπαλλαγείη.
ἢν δὲ μὴ καυθῇ, ξυμπαραμένει καὶ οὐ μάλα ἐκλείπει, ἀλλ'
ἕως γήρους προσέχει. πολλάκις δὲ καὶ συναποθνήσκει, ἢν
μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι τεσσαράκοντα ἀποθάνῃ. ἀλλὰ
χρεία πολλῆς ὅτι μάλιστα μελεδώνης, καὶ ὀῤῥὸν καὶ γάλα
τὴν ὥρην πινέτω βοὸς καὶ αἰγὸς καὶ ὀνείου καὶ ἵππειου.
οὕτω γὰρ ἂν ῥῄϊστα διάγοι. ἡ δὲ νοῦσος χαλεπή. ἐὰν πλεύ-

nus ex aqua mulsa aut mulso laseris succum orobi quantitate bibat, et allium ac radiculas jejunus edat et vinum merum nigrum aut album austerum insuper sorbeat. Bibat autem cum cibo et post cibum. Cibis autem siccis et carnibus catulinis coctis utatur, si rigor et febris non prehenderit. Hic si ex ejusmodi in os infuso aliquantulum purgetur, sat est, sin minus, eum sursum per veratrum purgato. Post purgationem vero farinae coctae melle affuso duo acetabula sorbenda dato, et vinum idem aquosum bibat. Quod si per initia morbi curationi non adsueris, ubi eum lacte crassiorem reddideris, in pectore et dorso inurito, sic enim praecipue morbo liberari poterit. At nisi ustus fuerit, permanet neque fere deserit, sed ad senium usque perseverat, plerumque vero ad mortem usque comitatur, nisi primis quadraginta diebus intereat. Verum quam maxima diligentia opus est, et serum ac lac bubulum, caprinum, asininum et equinum, si tempus ferat, bibat. Sic enim facillime vitam degere poterit. Hic autem morbus difficilis est. Si pulmo ex erysipe-

Ed. Chart. VII. [643. 644.] Foës. I. 535. Ed. Lind. II. (205. 206.)
μων ἀπὸ ἐρυσιπέλατος οἰδήσῃ, τόδε τὸ οἴδημα μάλιστα ἀπὸ αἵματος γίνεται, ὅταν ἐς ἑωυτὸν ὁ πλεύμων ἕλκύσῃ αἷμα καὶ ἔχῃ ἀναλαβών. τὸ δὲ νούσημα θέρεος ἐν ὥρῃ μάλιστα γίνεται. τάδε οὖν ἀπ' αὐτοῦ πάσχει. βὴξ ἐμπίπτει ξηρὴ καὶ ῥῖγος καὶ πυρετὸς καὶ ὀρθοπνοίη. καὶ ὁ πόνος ἰσχυρὸς ἐν τοῖσι στήθεσι, καὶ τὰς ῥῖνας ἀνοίγει, ὡς ἵππος δραμών, καὶ τὴν γλῶτταν ἐξαίρει, ὡς κύων θέρεος ὑπὸ τοῦ πνεύματος τοῦ ἐν τῷ καύματι καιόμενος, καὶ οἴδημα κατέχει τὰ στήθεα καὶ φθέγγεται βραχέως, καὶ ἐρύθημα ἐν τῇ ὄψει καὶ κνησμὸν φέρει ἐν τῷ σώματι, καὶ ὑπὸ τοῦ πόνου κατακέεσθαι οὐ δύναται, ἀλλ' αὐ(206)τὸς ἑωυτὸν ῥίπτει ἀλύων. [644] οὗτος ἐν ἑπτὰ ἡμέρῃσι θνήσκει, πλὴν καταρχὰς ὁκόταν ὧδε ἔχῃ, ἰῆσθαι ἐν τούτοισι· ψύχειν μὲν τὸ σῶμα, ἐν ὕδατι ψυχρῷ βάπτων σεῦτλα καὶ τῷ σώματι ἐπιτιθεὶς, μάλιστα πρὸς πόνον νέον, ἢ ῥάκια βάπτων ἐν ψυχρῷ ὕδατι καὶ ἐκθλίβων προστιθέναι. κἢν μὲν οὕτω ῥηΐσῃ· ἢν δὲ μὴ, κεραμικῇ γῇ ψυχρῇ καταπλάσσειν, καὶ ἐν τῇ αἰθρίῃ κοιμάσθω. οὕτω γὰρ ἂν μελεδώμενος πολλάκις ἂν φύγοι τὰς ἑπτὰ ἡμέ-

late in tumorem ſublatus fuerit, qui tumor potiſſimum ex ſanguine oritur, cum pulmo attractum ad ſe ſanguinem receperit ac continuerit. Hic autem morbus potiſſimum aeſtatis tempore contingit. Haec igitur ex eo patitur, tuſſis ſicca accidit, rigor, febris et erectae cervicis ſpiratio, dolor vehemens in pectore, nares non aliter quam equus ex curſu aperit, linguamque uti canis aeſtate animae ardore incenſus exerit, tumor pectus occupat, vox parva, rubor in facie, pruritus toto corpore, prae dolore decubitum ferre non poteſt, ſed prae anxietudine ſeipſum disjicit. Hic intra diem ſeptimum perit. Per initia tamen cum ſic habuerit his curandus eſt. Betis aqua frigida imbutis et corpori adhibitis, corpus quidem refrigerato recenti praecipue dolore aut lintea aqua frigida intincta et expreſſa admoveto. Et ſi quidem ſic melius habuerit, ſatis eſt. Sin minus, terram figulinam frigidam ex cataplasmate imponito, et ſub dio dormiat. Hoc enim modo curatus crebro ſeptimum diem evadet. Cum

Ed. Chart. VII. [644.] Foes. I. 535. Ed. Lind. II. (206. 207.)

ρας. ὁκόταν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι καὶ ἡ ὀδύνη προσέχῃ, χρίειν ἐλαίῳ τὸ πονέον μέρος ἔσω, καὶ χλιάσματα μάλιστα προστίθει τὰ αὐτά, ἃ καὶ τῇ πλευρίτιδι, καὶ πίσαι αὐτὸν ἐς ὑποκάθαρσιν τῷ τοῦ πεπλίου καὶ τῆς μηκόνιδος καὶ τοῦ κόκκου τοῦ Κνιδίου, καὶ μετὰ τὴν κάθαρσιν φακῆς τρυβλίον δοῦναι ῥοφῆσαι, πινέτω δὲ ὕδωρ. τῇ δὲ ὑστεραίῃ λοῦσαι αὐτὸν πολλῷ καὶ θερμῷ πλὴν τῆς κεφαλῆς. ἔπειτα πίσαι ὀρίγανον ἐν μελικρήτῳ ἀποβρέξας. ποτοῖσι δὲ ὡς θερμοτάτοισι χρεέσθω. σιτία δὲ προσφερέσθω τὰ αὐτὰ ταῦτα, ἃ καὶ ὁ ὑπὸ τῆς πλευρίτιδος ἑαλωκώς, ἢν μὴ πυρετὸς προσίσχῃ. αὕτη ἡ νοῦσος χαλεπὴ καὶ παῦροι ἐκφυγγάνουσιν. ἢν τὸ στῆθος καὶ τὸ μετάφρενον ἀναῤῥαγῇ, ἀναῤῥήγνυται δὲ μάλιστα ὑπὸ ταλαιπωρίης καὶ τάδε πάσχει. βὴξ ἴσχει ὀξείη, καὶ τὸ σίαλον ἐνίοτε ἀποπτύει ὕφαιμον, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει τὰ πολλὰ, καὶ ἐν τῷ στήθει καὶ ἐν τῷ μεταφρένῳ ὀδύνη ὀξείη ἔνεστι, καὶ ἐν τῷ πλευρῇ δοκέει οἷον λίθος ἐγκέεσθαι, καὶ κεντέεται ὑπὸ τῆς ὀδύνης διαμ(207)περέως, ὡς εἰ βελόνη τις κεντοίη. τοῦτον ὁκόταν ὧδε ἔχῃ, παραχρῆμα γάλακτι πιήνας καῦσαι τὰ στήθεα καὶ τὸ μετά-

vero ſeptem dies praeterierint et perſeveraverit dolor, dolentem intus partem oleo linito, eademque praecipue tepefactoria quae in morbo laterali adhibeto. Et potionem ei ex peplio et peplo et grano Cnidio ad purgationem propinato. A purgatione lenticulae acetabulum ſorbendum dato, et aquam bibat. Poſtero vero die ipſum multa calida, capite excepto, lavato, deinde origanum aqua mulſa maceratum propinato, potionibusque quam calidiſſimis utatur. Cibi iidem qui morbo laterali correpto exhibeantur, niſi febris detineat. Hic morbus gravis et ex quo pauci evadunt. Si pectus et dorſum dirupta fuerint, disrumpuntur autem potiſſimum ex vehementi labore, haec ei contingunt. Tuſſis acuta detinet, interdum ſuberuentum ſputum expuit, crebro rigor et febris invadit, in pectore et dorſo dolor eſt acutus, lateri lapis incumbere videtur et a dolore usque ſtimulatur, non ſecus ac ſi quis acu pungat. Hunc cum ſic habuerit, conſeſtim lacte impinguatum in pectore et dorſo inurito, et

Ed. Chart. VII. [644. 645.] Foës. I. 535. 536. Ed. Lind. II. (207.)

φρενον, καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται. τὸ δὲ λοιπὸν ἡσυχάζων τῷ σώματι μάλιστα διαιτῆσθαι. ἢν γάρ τι πονήσῃ ἢ ἐπὶ ἅμαξαν ἀναβὰς ἢ ἐφ' ἵππον ἢ τοῖς ὤμοισιν ἐν ἄχθεϊ ταλαιπωρήσῃ, κινδυνεύσει πάλιν ὑποτροπιάσαι ἡ νοῦσος, καὶ ἢν γένηται κίνδυνος διαφθαρῆναι. τὸ γὰρ νούσημα ὑποστραφὲν μᾶλλον πιέζει ἢ καταρχάς. ἢν δὲ μὴ καυθῇ, τοῖσιν αὐτοῖσιν αὐτὸν ἰῆσθαι οἷσι καὶ τὸν ἔμπυον, ῥοφήμασι καὶ ποτήμασι καὶ σιτίοισι. τὸ δὲ ξύμπαν ἡσυχίην ἔχοντα εὐωχέων τοῖσιν ἐπιτηδείοισιν. ἢν γὰρ οὕτω μελετηθῇ, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπή. ἢν ἐν πλευρῇ φῦμα φύηται καὶ ἔμπυος γένηται, τάδε πάσχει. ῥῖγος ἴσχει καὶ πυρετὸς || καὶ βὴξ ξηρὴ πολλὰς ἡμέρας καὶ ἀλγέει τὸ πλευρὸν, καὶ ἐς τὸν τιτθὸν καὶ ἐς τὴν κληῖδα καὶ ἐς τὰς ὠμοπλάτας ὀδύνη ἴσχει ἀΐσσουσα. οὗτος ὅταν οὕτως ἔχῃ, ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι δέκα ῥοφήμασι χρεέσθω, [645] πτισάνης χυλῷ καθέφθῳ μέλι παραχέων, ὁκόταν ἑφθὸν τὸ ῥόφημα ᾖ. οἴνῳ δὲ χρεέσθω λευκῷ, γλυκεῖ ἢ αὐστηρῷ ἢ ὑδαρεῖ, καὶ ῥοφάνοντα πλεονάκις τοῦ οἴνου ἐκπτύειν κελεύειν, καὶ τοῦ ὕπνου

sic citiſſime ſanus erit. In reliquo vero quieto maxime corpore vivat. Si quid enim laborarit aut in currum aut in equum adſcenderit, aut humeros oneri ſuppoſitos fatigarit, periculum erit ne rurſus morbus revertatur. Quod ſi contingat, periculum eſt ne corrumpatur. Morbus enim reverſionem faciens magis quam ab initio urget. At ſi uſtus non fuerit, iisdem ſorbitionibus, potibus et cibis quibus purulentum curato. Ad ſummum quietem agens accommodatis cibis veſcatur. Sic enim curatus citiſſime convaleſcet. Morbus autem gravis eſt. Si in latere tuberculum oriatur et purulentus evadat aeger, haec patitur. Rigor, febris et tuſſis ſicca multos dies detinet, latus dolet dolorque ad mammam, jugulum et ſcoptula operta impetu fertur. Hic cum ſic habuerit, primis decem diebus ſorbitionibus utatur, ptiſanae cremore percocto, affuſo melle, ubi ſorbitio cocta fuerit. Vino vero utatur albo, dulci aut auſtero aut aquoſo. Et crebro vinum ſorbentem expuere jubeto, ſomnumque donec unde-

Ed. Chart. VII. [645.] Foël. I. 536. Ed. Lind. II. (207. 208.)
κωλύειν, ἔστ' ἂν αἱ ἕνδεκα ἡμέραι παρέλθωσιν, μετὰ δὲ ταύτας τὰς ἡμέρας σιτίοισιν ὀλίγοισιν ὡς μάλιστα χρεέσθω, κρέασι σκυλακείοισιν ἢ ἀλεκτρυονίοισι θερμοῖσι. διαζωμεῦσθαι δὲ χρὴ καλῶς καὶ τὸν ζωμὸν ῥοφανέτω, καὶ τοῖσι ῥοφήμασι πρόσθεν χρεέσθω τοῦ σίτου, καὶ μὴ διψήτω, ἕως ἂν (208) ἔμπυον γένηται τὸ πλευρόν. πυΐσκεται δὲ μάλιστα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἢ ὀλίγῳ πρόσθεν. τοῦτο δὲ γνώσῃ, ὁκόταν ἔμπυον γένηται τὸ πλευρόν. πῦον γὰρ οὐκ ἀποπτύεται, οὐδ' ἀνεμέεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὅκου ἂν ἀποσημήνῃ τὸ οἴδημα τάμνειν ἢ καίειν. ἔπειτα, ἀφιέναι τὸ πῦον κατ' ὀλίγον, καὶ ἐπειδὰν ἀπαρύσῃς, μοτὸν παθιέναι ὠμολίνου, καὶ αὖθις τῇ ὑστεραίῃ ἐξελὼν, ἀπαρύσαι κατ' ὀλίγον τοῦ πύους. ἔπειτα μοτῶσαι, καὶ αὖθις τῇ τρίτῃ καὶ τῇσιν ἄλλῃσιν ἡμέρῃσι δὶς τῆς ἡμέρης ἀπαρύειν ἕως ἂν ξηρανθῇ. διδόναι δὲ καὶ τὰ σιτία καὶ τὰ ὄψα, ὁκόταν προσίηται, καὶ πινέτω ὀλίγον, μὴ πολλὸν, ἤν τε οἶνον ἤν τε ὕδωρ. τρωγέτω δὲ καὶ τῆς ὀριγάνου τῆς ἁπαλῆς, ὡς πλεῖστον ἐς μέλι ἀποβάπτων. ἢν δὲ μὴ ἁπαλὴν ἔχῃ, ἀλλ' αὖην, λεπτὴν ποιήσας ἐς τὸ μέλι τε μίξας, λείην διδόναι ὡς πλεί-

cim dies praeterierint prohibeto. Poſt quos dies cibis quam maxime paucis utatur, carnibus catulinis aut gallinaceis calidis ex juſculo probe apparatis, et juſculum ſorbeat. Sorbitionibus ante cibum utatur, neque ſitiat quoad latus ſuppuratum evaſerit. Suppuratur autem fere diebus quadraginta aut paulo ante. Suppuratum latus dignoſcas ubi neque pus expuerit, neque vomitione rejecerit. Hunc cum ſic habuerit, ubicumque tumor de ſe ſignificationem ediderit, ſecato aut inurito, deinde pus paulatim emittito et poſtquam exhauſeris, linamentum ex lino crudo imponito, quo poſtridie rurſus educto pus ſenſim exhaurito, mox linamento indito, rurſus tertio die caeterisque diebus bis die donec exiccatum ſuerit extrahito. Et cibos et opſonia cum receperit exhibeto, parum non multum ſive vinum ſive aquam bibat. Origanum vero tenellum quam plurimum melle intinctum edat. Quod ſi tenellum non habeat, ſed ſiccum, tritum et melle admixto

Ed. Chart. VII. [645.] Foës. I. 536. Ed. Lind. II. (208. 209.)

στην, καὶ μηδὲ ῥιγούτω, καὶ τοῖσι λουτροῖσι λούειν καὶ μαλθακῶς κοιμάσθω. οὕτω ταύτην τὴν νοῦσον θεραπεύων, τάχιστα ἂν ὑγιέα ποιήσαις. ὁκόταν δὲ ὑγιὴς γένηται, φυλασσέσθω τὸ ψῦχος, τὸ θάλπος, τὸν ἥλιον, καὶ τοῖσι περιπάτοισιν ὀλίγοισι χρεέσθω μετὰ τὸ σῖτον, ὅκως ἂν μὴ κόπος λάβῃ τὸ σῶμα. ταῦτα ποιέων ὑγιὴς ἔσται. τούτων τῶν νούσων ἄστινας ἂν καύσῃς, ἐπὶ τὰ καύματα πράσα τρίψας πολλὰ καταπλάσσειν εὐθὺς μετὰ τὴν καῦσιν καὶ καταλιμπάνειν μίην ἡμέρην. τρεῖς δὲ εἰσὶ φθίσιες. πρώτη αὕτη μὲν γίνεται ἀπὸ φλέγματος, ἐπὴν ἡ κεφαλὴ φλέγματος πληθεῖσα νουσήσῃ καὶ θέρμη ἐγγένηται, συσσήπεται τὸ φλέγμα ἐν τῇ κεφαλῇ, ἅτε οὐ δυνάμενον κινέεσθαι (209) ὥστε ὑποχωρῆσαι. ἔπειτα ὁκόταν παχυνθῇ καὶ συσσαπῇ καὶ ὑπερπλησθῇ τὰ φλέβια, ῥεῦμα ἐπὶ τὸν πλεύμονα ἐγένετο, καὶ ὁ πλεύμων ὁκόταν ἀναλάβῃ, νοσέει παραχρῆμα, ἅτε δακνόμενος ὑπὸ τοῦ φλέγματος, ἁλικοῦ ἐόντος καὶ σαπροῦ. τάδε οὖν πάσχει. πυρετὸς ἄρχεται βληχρὸς ἐπιλαμβάνειν καὶ ῥῖγος καὶ πογέει τὰ στήθεα καὶ τὸ μετάφρενον. ἐνίοτε δὲ βὴξ πιέζει

laevigatum quam plurimum exhibeto. Frigus non ſentiat, balneis lavet et molliter dormiat. Hunc morbum ſi ſic curaveris, citiſſime ſanaveris. Cum vero ſanus evaſerit, frigus, calorem et ſolem vitet et modicis deambulationibus utatur poſt cibum, ut ne corpus laſſitudine teneatur. Quae cum fecerit convaleſcit. Ex his morbis quibus uſtionem adhibueris, ſtatim poſt uſtionem porrum multum tritum loco inuſto ex cataplasmate imponito, et diem unum ſinito. Tabis tres ſunt ſpecies. Prima ipſa quidem ex pituita oritur, cum caput pituita plenum morbo affectum fuerit et calor intus ſubortus fuerit, in capite pituita computreſcit, ut quae moveri nequeat, ut ſecedat. Deinde cum craſſiores venulae redditae fuerint, computrefactae et ſupra modum impletae, fluxio in pulmonem contingit, quam ubi pulmo ſuſceperit, confeſtim morbo afficitur, cum a pituita ſalſa et putrida mordeatur. Haec igitur patitur. Febris lenta initio invadit, et rigor et pectoris ac dorſi dolor, interdum vero vehemens tuſſis urget,

Ed. Chart. VII. [645. 646.] Foës. I. 536. 537. Ed. Lind. II. (209.)
ὀξείη, καὶ ἀποπτύει τὸ σίαλον πουλὺ καὶ ὑγρὸν καὶ ἁλμυρόν. ταῦτα μὲν καταρχὰς τῆς νούσου πάσχει. προϊούσης δὲ τότε γυῖον λεπτύνεται, πλὴν τῶν σκελέων. ταῦτα δὲ οἰδέει, καὶ οἱ πόδες καὶ οἱ ὄνυχες ἕλκονται. ἐκ δὲ τῶν ὤμων λεπτὸς καὶ ἀσθενὴς ὁ φάρυγξ, ὡς χνόου πίμπλαται, καὶ συρίζει ὡς διὰ καλάμου, καὶ διψῇ ἰσχυρῶς διὰ παντὸς [646] τοῦ νοσήματος, καὶ ἀκρασίη πολλὴ τὸ σῶμα ἔχει. οὗτος ὁκόταν οὕτως ἔχῃ, ἐνιαυτῷ φθειρόμενος φαῦλος θνήσκει. μελετᾶν δὲ χρὴ ὡς μάλιστα καὶ ἀνακομίζειν. πρῶτον μὲν πίσαι ἐλλέβορον. κάτω δὲ ὑποκαθῆραι ἐπιθύμῳ ἢ πεπλίῳ ἢ τῷ κόκκῳ τῷ Κνιδίῳ ἢ τῇ τιθυμαλίδι. ταῦτα χρὴ τετράκις τοῦ ἐνιαυτοῦ δοῦναι, ἄνω δὶς, κάτω δίς. || διδόναι δὲ καὶ ὄνειον γάλα ἑφθὸν ἐς ὑποκάθαρσιν ἢ βόειον ἢ αἴγειον. πινέτω δὲ καὶ ὠμὸν τὸ βόειον γάλα, τρίτον μέρος μελικρήτου ξυμμίσγων, πέντε καὶ τεσσαράκοντα ἡμέρας ξυμπαραμίσγων καὶ τὸ ὀρίγανον. τὴν δὲ κεφαλὴν αὐτοῦ πρόσθεν καθαίρειν, πρὸς τὰς ῥῖνας προστιθεὶς φάρμακον. σιτία δὲ καὶ ὄψα δι-

et ſputum copioſum, liquidum et ſalſum expuit. Et haec quidem per morbi exordia contingunt, in progreſſu vero totum corpus extenuatur, exceptis cruribus. Haec autem intumeſcunt et pedes unguesque contrahuntur, ab humeris extenuatur et debilitatur. Fauces ſono implentur et velut per arundinem ſibilum reddunt, ſitis vehemens per totum morbum vexat, multaque movendi impotentia corpus occupat. Hic ubi ad hunc habuerit modum, intra annum mala tabe perit. Quam maxima autem cura adhibenda eſt, ut vires reſiciantur. Primum quidem veratrum propinandum et per inferiora purgandum epithymo aut peplio aut grano Cnidio aut tithymalide. Eaque quater in anno exhibenda ſunt, bis ſurſum, bis deorſum. Lac etiam aſininum coctum aut bubulum aut caprinum, ut aliquantulum purgentur exhibeto. Lac etiam bubulum crudum aquae mulſae tertia admixta parte bibat per dies quadraginta quinque, una etiam admixto origano. Ejus autem caput admoto ad nares medicamento prius purgato. Cibaria et opſonia neque pinguia

Ed. Chart. VII. [646.] Foës. I. 537. Ed. Lind. II. (209. 210.)

δόναι μήτε λιπαρὰ μήτε κνισώδεα μήτε λίην δριμέα. τεκμαιρόμενος δὲ τὸ νούσημα (210) ταῦτα ποιέειν δεῖ, καὶ περιπάτοισι χρέεσθαι πρὸς τὰ σιτία τεκμαιρόμενος μὴ ῥιγώῃ. τοῦ δὲ χειμῶνος παρὰ πυρὶ τὴν οἴκησιν ποιεέσθω. οἶνον δὲ πινέτω, αὐστηρὸν, μέλανα, ὡς παλαιότατον καὶ ἥδιστον, ὀλίγον δέ. κἢν δοκέῃ σοι πρὸ τοῦ φαρμάκου πυριῆσαι, καὶ οὕτω δοῦναι τὸ φάρμακον. ἢν δὲ μὴ βούλῃ δοῦναι, πυριήσας, ἔμετον ἐκ τῶν σιτίων καταναγκάσαι ποιήσασθαι, ὡς τοπρόσθεν γέγραπται. τούτῳ ἢν ξυμφέρωσι, περιπάτοισι χρεέσθω. ἢν δὲ μὴ ξυμφέρωσιν, ἡσυχαζέτω ὡς μάλιστα τῷ σώματι. οὕτος οὕτω μελετώμενος ῥᾳϊστα ἂν διάγοιεν τῷ νουσήματι. ἡ δὲ νοῦσος θανασίμη καὶ παῦροι ταύτην διαφυγγάνουσι. φθίσις δευτέρα γίνεται δὲ ἀπὸ ταλαιπωρίης. τὰ αὐτὰ δὲ πάσχει ὡς ἐπιτοπλεῖστον, ἃ καὶ ὁ πρόσθεν. ἡ δὲ νοῦσος διαπαύει αὖτη μᾶλλον τῆς προτέρης, καὶ τοῦ θέρεος ἀνίησι. τὸ δὲ σίαλον ἀποπτύει, παχύτερον μὲν τῆς πρόσθεν, καὶ βῆξ πιέζει μάλιστα τοὺς γεραιοὺς καὶ ὁ πόνος ἰσχυρότερος ἐν τοῖσι στήθεσι, καὶ δοκέει οἷόν περ λίθος ἐν αὐτοῖσιν ἐγκέεσθαι. πονέει δὲ καὶ τὸ μετάφρενον, καὶ ἡ χροιὴ δίυγρος

neque nidorulenta neque valde acria exhibeto. Haec autem morbi conſideratione adhibita facienda, et ad cibos deambulationibus utendum, adhibita ratione ne frigeat. Per hiemem vero juxta ignem manſionem faciat. Vinum bibat auſterum, nigrum quam vetuſtiſſimum et ſuaviſſimum, ſed modicum. Quod ſi tibi videatur, ante medicamentum fomentum admoveto et ad hunc modum medicamentum exhibeto. Si vero exhibere nolis, poſt adhibitum fomentum vomitum ex cibis, velut ante ſcriptum eſt, promoveto. Deambulationibus, ſi conferant, utatur. Quod ſi non contulerint, corpus quam maxime quieſcat. Hic ad hunc modum curatus per morbum facillime deget. Morbus autem lethalis eſt, ab eaque pauci evadunt. Tabes altera ex vehementi labore oritur. Eadem ut plurimum quae prior patitur. Hic vero morbus priore magis intermittit, et per aeſtatem remittit. Sputum craſſius quidem priore expuit, et tuſſis ſenes praeſertim urget et dolor in pectore vehementior, eique velut

Ed. Chart. VII. [646. 647.] Foës. I. 537. Ed. Lind. II. (210. 211.)
αὐτέου ἐστὶ, καὶ ἤν τι ποτήσῃ, φύσῃ καὶ ἆσθμα ἴσχει. οὗτος ἐκ ταύτης τῆς νούσου ἐν τρισὶν ἔτεσι μάλιστα θνήσκει. μελετᾶν δὲ χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. αὕτη ἡ νοῦσος προσέχει τοῖσι πολλοῖσι μέχρι τριῶν ἐτέων, ἀλλ' ὀποθνήσκουσιν. ἡ γὰρ νοῦσος χαλεπή. φθίσις τρίτη. ὑπὸ ταύτης τάδε πάσχει, ὁ μυελὸς αὐτέου ὁ νωτιαῖος αἵματός τε μεστὸς γίνεται. φθίνει δὲ ὁμοίως καὶ ἀπὸ τῶν κοίλων φλεβῶν. αὗται δὲ φλέγματος [647] ὑδρωποειδέος ἐμπίπλανται καὶ χολῆς. πάσχουσι δὲ τὰ αὐτὰ, ἀφ' ὁκοτέρων ἂν φθίνῃ, καὶ ὁ ἄνθρωπος (211) εὐθὺς μέλας γίνεται καὶ ὑποιδαλέος, καὶ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ὑπόπυα ὠχρὰ, καὶ αἱ φλέβες αἱ ἐν τῷ σώματι ὠχραὶ διατέτανται. ἔνιαι δὲ σφόδρα ἐρυθραί. μάλιστα δὲ δῆλαι αἱ ὑπὸ τῆσι μασχάλῃσι, καὶ ἀποπτύει ὠχρὰ, καὶ ὅταν αὐτέῳ ἐπίῃ, πνίγεται καὶ βῆξαι οὐ δύναται ἐνίοτε βουλόμενος. ἐνίοτε δὲ ὑπὸ τοῦ πνίγματος καὶ τῆς προθυμίης τοῦ βήσσειν ἀθρόον ἤμεσε χολὴν, ποτὲ δὲ λάπην. πολλάκις δὲ καὶ τὰ σιτία, ὅταν φάγῃ, καὶ ὁκόταν ἀπεμέσῃ, δοκέει κουφότερος εἶναι. εἶτ' αὖθις ὀλίγον χρόνον

lapis incumbere videtur. Dolor etiam dorſum occupat, ejusque color nimio humore permadeſcit et ſi quid laborarit, flatus et anhelatio detinet. Hic ex hoc morbo in tribus fere annis moritur. Iisdem vero quibus etiam priorem curato. Hic morbus multis ad tres annos perſeverat, verum moriuntur, eſt enim gravis morbus. Tabes tertia, ex qua haec contingunt. Ejus ſpinalis medulla ſanguine plena exiſtit. Tabeſcit etiam eodem modo a venis cavis, quae pituita aquae ſpeciem referente et bile implentur. Eadem autem patiuntur ex quibuscumque tabes contingat. Homo confeſtim niger et ſubtumidus evadit, partes ſub oculis cavae, ὑπόπυα dictae, pallidae ſunt, venaeque per corpus diſtentae pallidae, quaedam vero valde rubrae ſunt, praeſertim tamen manifeſtae apparent ſub axillis, pallidum expuit, cumque ei ingruit, ſuffocatur, interdumque cum tuſſire vult non poteſt, interdum vero ex ſtrangulatu et tuſſiendi cupiditate copioſam bilem evomit, quandoque etiam pituitam, plerumque vero etiam cibos cum comederit. Cumque vomuerit, levior vide-

Ed. Chart. VII. [647.] Foës. I. 537. 538. Ed. Lind. II. (211. 212.)
διαλιπών, ἐν τοῖσιν αὐτοῖσι πόνοισι κέεται. οὗτος καὶ φθέγγεται ὀξύτερον ἢ ὑγιαίνων, καὶ ῥῖγος καὶ πυρετὸς διαπαύων ἐπιλαμβάνει ἰδρώδης. τοῦτον ὁκόταν ὧδε ἔχῃ, βρωτοῖσι καὶ ῥοφήμασι καὶ ποτοῖσι καὶ φαρμάκοισι καὶ τοῖσιν ἄλλοισι πᾶσι μελετᾶν, ὥσπερ τοὺς πρόσθεν. ἡ δὲ νοῦσος διαφέρει μάλιστα ἐννέα ἔτεα, ἔπειτα διαφέρει φθειρόμενος. παῦροι δὲ φυγγάνουσιν ἐξ αὐτῆς. χαλεπὴ γὰρ ἡ νοῦσος. ἢν δὲ βούλῃ, ὧδε ἰῆσθαι αὐτόν. πρῶτα μὲν πυριῆσαι, καὶ ὁκόταν πυριηθῇ, τῇ ὑστεραίῃ δοῦναι αὐτῷ πιεῖν μελίκρητον ἡμίχουν καὶ ὄξος παραχέαι ὀλίγον, καὶ κέλευε ἀπνευστὶ τοῦτο πιεῖν. ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτόν, πολλὰ καὶ ὡς πλεῖστον χρόνον. ἢν δὲ μὴ ἀνέχηται, ἀλλ' ἐξεμέσαι βούληται, ἐξεμεέτω. ἢν δὲ μὴ ἔμετος ἔχῃ χρόνου ἤδη γενομένου, ἐπιπιὼν ὕδατος χλιαροῦ μεγάλην κύλικα, ἐμεέτω κα(212)ταματτόμενος πτερῷ. || ὁκόταν δὲ ἀπεμέσῃ ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω ταύτην τὴν ἡμέρην. ὁκόταν δὲ ὥρη δείπνου ᾖ, δειπνεέτω μᾶζαν ὀλίγην, καὶ ὄψον ἐχέτω τάριχος καὶ πράσα. ταῦτα δὲ ἐσθιέτω ὡς πλεῖστα. οἶνον δὲ πινέτω γλυκύν. τὸν δὲ λοιπὸν

tur, deinde rurſus pauco interjecto tempore, iisdem affligitur doloribus. Hic acutius quam cum ſanus eſſet loquitur, rigor et febris cum intermiſſione et ſudore invadit. Hunc cum ad hunc modum habuerit, cibis, ſorbitionibus, potionibus, medicamentis, caeterisque omnibus quibus priores curato. Hic autem morbus fere annos novem perdurat, deinde contabeſcens perfert, pauci vero ex eo evadunt, cum ſit gravis morbus. Quod ſi voles eum hunc in modum curato. Primum quidem fomentum adhibeto, eoque adhibito, poſtridie aquae mulſae ſemicongium, pauco aceto affuſo potui exhibeto, idque unico ſpiritu bibere jubeto. Deinde multis eum ſtragulis diutiſſime convolvito. Quod ſi non perferat, ſed vomere velit, evomat. Si vero poſt aliquod tempus vomitus non detineat, aquae tepidae magno calice inſuper ebibito, ex levi per pennam attrectatione vomat. A vomitu cum bene habuerit, per hunc diem quieſcat. Coenae tempore mazam paucam in coena ſumat, ſalſamento et porro pro opſonio utatur, quae quam plurima edat vinumque dulce

Ed. Chart. VII. [647.] Foës. I. 538. Ed. Lind. II. (212.)

χρόνον, λουέσθω πᾶσαν ἡμέρην ἅμα ἕωθεν θερμῷ πολλῷ, καὶ μετὰ τὸ λοῦτρὸν φυλάσσειν χρὴ ὡς μὴ ῥιγώσῃ, ἀλλὰ κατακλιθεὶς εὐδέτω ὡς πλεῖστον χρόνον. ὁκόταν δὲ ἀναστῇ εὖδων, περιελθέτω σταδίους εἴκοσι τὸ βραχύτατον ταύτῃ τῇ ἡμέρῃ. τῇσι δὲ ἄλλῃσιν ἡμέρῃσι πέντε σταδίους ἄλλους ὑπερβάλλων βαδιζέτω, ἑκάστης ἡμέρης προστιθεὶς, ἄχρις ἂν ἀφίκηται εἰς τοὺς ἑκατὸν σταδίους. τὴν δὲ κοιλίην ὑποκαθαίρειν δεῖ ἐκ τῆς ἡμέρης χυλοῖσι τεύτλων καὶ ἀπὸ κράμβης, χωρὶς ἑκάτερα ἑψήσας ἀπηθῆσαι χοέα ἑκατέρου. εἶτα ξυμμίξας ἅμα συνεψεῖν τὸ στέαρ τὸ ἀπὸ τῶν νεφρῶν τεταρτημόριον μνᾶς ἐν ἀμφοτέροισιν ἑψεῖν διελών. ὁκόταν δὲ μέλλῃ πιεῖσθαι, πρὸς μὲν τῆς κράμβης τὸν χυλὸν ἅλας παραβάλλειν, πρὸς δὲ τὸν τῶν τευτλίων μέλι παραχέειν. ἐξὸν δὲ χωρὶς ἑκάτερον πίνειν ἢ μέλι παρεγχέας παρὰ τὴν ἑτέρην κύλικα πίνειν, παρὰ δὲ τὴν ἑτέρην ἅλας. ἐκπιεῖν δὲ χρὴ πάντα τὸν χυλὸν. ταῦτα μὲν ποιέειν χρὴ τριήκοντα ἡμέρας. τῷ δὲ δευτέρῳ μηνὶ ἐσθιέτω ἄρτον καὶ κρέα πίονα ὑὸς ἑφθά, ἄλλο δὲ μηδέν. οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν,

bibat. Reliquo vero tempore toto die ſtatim prima luce multa calida lavet, et poſt balneum frigus vitet, verum decumbens diutiſſime dormiat. Expergefactus a ſomno eo die viginti ſtadia ut minimum obambulet. Reliquis autem diebus alia quinque ſuperjecta ſtadia ambulet, quotidie addens, donec ad centum ſtadia pervenerit. Alvum autem in die aliquantulum purgare oportet, betae et braſſicae ſuccis utrisque ſeparatim coctis, ita ut utriusque congio percolato, deinde admixto adipis ex renibus librae quadrante et ſimul cocto amborum coctionem dividas, et ubi bibere volet, ad braſſicae quidem ſuccum ſalem adjicias, ad betae vero ſuccum mel affundas. Licet autem ſeparatim utrumque bibere, aut melle ad alterum poculum affuſo bibere, ad alterum vero ſale injecto. Totum autem ſuccum ebibere oportet, et haec quidem triginta diebus facere. Menſe autem ſecundo panem edat et carnes ſuillas pingues coctas, aliud vero nihil. Vinum album auſterum bibat, et ante coenam non minus

Ed. Chart. VII. [647. 648.] Foës. I. 538. Ed. Lind. II. (212. 213.)
καὶ ὁδὸν ὁδοιπορεέτω μὴ ἐλάσσω σταδίων τριήκοντα πρὸ τοῦ δείπνου, μετὰ δὲ τὸ δεῖπνον δέκα, καὶ μὴ ῥιγούτω, ἀλλ' ἐσκεπάσθω. ταῦτα ἢν (213) ποιέῃ, ῥᾴϊον οἴσει τὴν νοῦσον. τῷ δὲ τρίτῳ μηνὶ κυκεῶνα ἀνθινὴν πινέτω. σελίνου ῥίζας καὶ ἄνηθον καὶ πήγανον καὶ μίνθην καὶ κορίανον καὶ μήκωνας ἁπαλὰς καὶ ὤκιμον καὶ φακὸν καὶ ῥοιῆς γλυκείης καὶ οἰνώδεος χυλόν. εἶναι δὲ χρὴ τὰς γλυκείας διπλασίας. εἶναι [648] δὲ χρὴ καὶ τοῦ χυλοῦ ξυναμφοτέρων ἡμικοτύλιον καὶ οἴνου μέλανος ἡδέος αὐστηροῦ ἡμικοτύλιον καὶ ὕδατος κοτύλης ἥμισυ. ἔπειτα ἄνθεα τρίψας λεῖα, διῆναι τούτῳ τῷ κεκρημένῳ καὶ ἐγχέαι ἐς κύλικα. ἔπειτα ἐπιβαλεῖν ἄλευρα ὀρόβων, ὁκόσον ὀξύβαφον, καὶ ἄλφιτον ἴσον, καὶ τυροῦ παλαιοῦ αἰγείου ξέσας τὸ ἴσον τοῖσιν ὀρόβοισι. ταῦτα ξυγκυκήσας ἐκπιέτω. ἔπειτα διαλιπὼν ὀλίγον χρόνον ἀριστάτω ἄρτον, καὶ ὄψον ἐχέτω τέμαχος νάρκης ἢ ῥίνης ἢ γαλεοῦ ἢ βατίδος καὶ κρέα ὑὸς ἐσθιέτω ἑφθά, καὶ παχυνέτω ἑωυτόν, ἡσυχίην ἄγων ὡς μάλιστα, καὶ πυριῆν διὰ δεκάτης ἡμέρης ἐς ἑωυτὸς ἡσυχῇ. τῷ δὲ τετάρτῳ μηνὶ πυριῆν διὰ

quam triginta ſtadia deambulet. Poſt coenam vero decem, neque frigeat, verum veſtibus cooperiatur. Quae ſi fecerit, facilius morbum feret. At tertio menſe cyceonem florulentum bibat, apii radices, anethum, rutam, mentham, coriandrum, papaver tenerum, ocimum, lentem et mali punici dulcis ac vinoſi ſuccum. Sit autem dulcis duplum et utriusque ſucci ſimul heminae dimidium, ac vini nigri ſuavis, auſteri, heminae dimidium, aquae etiam hemina dimidia. Deinde flores leviter tritos hoc permixto diluito et in calicem infundito, poſtea injecto farinae acetabulo et polentae aequali menſura, caſeique caprini veteris pari orobis portione, haec ſimul commixta ebibat. Poſtea pauco tempore interjecto, panem in prandio ſumat et pro opſonio torpedinis fruſtulum aut ſquatinae aut galei aut raiae. Et carnes ſuillas coctas edat, et quam maxime quietem agendo craſſiorem ſeſe reddat, ac decimo quoque die ſibi ipſe placide fomentum adhibeat. Quarto autem menſe quinto quoque die leviter fovea-

Ed. Chart. VII. [648.] Foës. I. 538. 539. Ed. Lind. II. (213. 214.) πέμπτης ἡμέρης ἀτρέμα καὶ ἐσθιέτω ὄψον ὡς πλεῖστον. ὄψα δὲ χρεέσθω τυροῖσι καὶ κρέασιν ὀλίγοισιν, οἷς ἔφθοῖσιν. ὁδοιπορεέτω δὲ καὶ σταδίους, ὡς πρόσθεν εἴρηται ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς τῇ πρώτῃ ἡμέρῃ, ἀπὸ δέκα σταδίων βαδιζέτω καὶ καθ' ἑκάστην προστιθέτω, μέχρις ἂν αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι καὶ περιπατεέτω τῆς ἡμέρης ὀγδοήκοντα σταδίους μετὰ τὸ δεῖπνον εἴκοσι, ὄρθρου τριάκοντα. τὸ δὲ λοιπὸν τοῦ χρόνου διαιτάσθω μᾶζαν καὶ ἄρτον ἐσθίων ἀμφότερα, καὶ ὄψον ἐχέτω σελάχια, καὶ κρέα δὲ πάντα ἐσθιέτω, πλὴν βοείων καὶ (214) χοιρείων. ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, κεστρέος καὶ ἐγχέλυος καὶ μελανούρου. ἐσθιέτω δὲ νάρκην καὶ ῥίνην καὶ βατίδα καὶ γαλεὸν καὶ τρυγόνα καὶ βατράχους, τῶν δὲ ἄλλων μηδέν. ἢν δὲ δοκέῃ ἀσινέα εἶναι, καὶ κυκεῶνα, ἐπειδὰν θέλῃ καθευδῆσαι, πινέτω ἀπὸ οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δικότυλον κύλικα, καὶ μεθ' ἡμέρην τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ σιτίῳ. || καὶ ὁδοιπορεέτω τῆς ἡμέρης, ἑκατὸν πεντήκοντα σταδίους. μετὰ τὸ δεῖπνον εἴκοσιν. ὄρθρου δὲ τεσσαράκοντα. οὗτος

tur et quam plurimum opſonium edat. Pro opſonio utatur caſeis et paucis carnibus ovillis coctis. Stadia, velut ante dictum eſt, deambulet. Primo vero quarti menſis die decem ſtadia ambulet additione quotidie facta, donec ad ſtadia octoginta perveniat. Et per diem octoginta obambulet, ante coenam triginta, poſt coenam viginti, mane triginta. Reliquo tempore maza et pane victitet, utraque comedens. Pro opſonio habeat piſces cartilaginei generis, et carnes omnes, praeter bubulam et porcinam edat. Piſcibus his abſtineat, mugile, anguilla et melanuro. Torpedinem autem edat, ſquatinam, raiam, galeum, paſtinacam et ranas, praeterea nullos. Quod ſi haec tibi innoxia videantur, cyceonem etiam bibat, poſteaque, cum dormiturus eſt, vini nigri, ſuavis et veteris duarum heminarum calicem, et per diem eodem vino in cibo utatur. Quotidie centum quinquaginta ſtadiorum iter conficiat, ante coenam nonaginta, poſt coenam viginti, mane quadraginta. Hic ſic curatus per annum conva-

Ed. Chart. VII. [648. 649.] Foës. I. 539, Ed. Lind. II. (214. 215.)
οὕτως θεραπευόμενος γίνεται ἐν ἐνιαυτῷ ὑγιής. αὐαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ φλέβια ἀποφραχθῇ τὰ εἰς τὸν μυελὸν τείνοντα καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου ἔφοδος. διὰ κάκωσιν δὲ τοῦ σώματος τάδε πάσχει καὶ νοσέει. αὐαίνεται μάλιστα καὶ ἀπὸ λαγνείης. τάδε οὖν πάσχει. ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ ἐς τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον, καὶ ἐς τὴν ὀσφῦν, καὶ ἐς τοὺς μῦας τῆς ὀσφύος, καὶ ἐς τὰ ἄρθρα τῶν σκελέων, ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν, καὶ ἡ κόπρος οὐ διαχωρέει, ἀλλ' ἵσταται καὶ δυσουρέεται. οὗτος κατ' ἀρχὰς μὲν τῆς νούσου ἡσυχέστερον διάγει. ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον, καὶ τὰ σκέλεα οἰδέει ὡς ἀπὸ ὑδέρου, καὶ ἕλκεα ἐκφλυνδάνει ἀπὸ τῆς ὀσφύος, καὶ τὰ μὲν ἄλλα ὑγιαίνεται, τὰ δὲ ἄλλα φύεται. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθῆραι τὴν κεφαλὴν, τῷ ἱπποφαέος ὀπῷ ἢ τῷ Κνιδίῳ κόκκῳ πυριήσας πρῶτον τὸ σῶμα εὖ [649] μάλα. τῆς δὲ ἑσπέρης μετὰ τὴν κάθαρσιν πτισάνης δύο τρυβλία ῥοφεέ(215)τω μέλι παραχέας. οἶνον δὲ λευκὸν πινέτω μαλθακόν. τῇ δὲ ὑστεραίῃ ὀνείου γάλακτος διδόναι αὐτῷ ἑφθοῦ, μέλι παραχέας ὀκτὼ

lescit. Medulla spinalis potissimum reficcatur, cum venulae quae ad eam tendunt obstructae fuerint, quique a cerebro est aditus. Ob corporis autem vitium ita afficitur et aegrotat. Reficcatur etiam maxime ex actu venereo. Haec igitur ei contingunt. Dolor acutus in caput irruit, in cervicem, in lumbos et lumborum musculos, crurumque articulos ita ut flectere nequeat, stercus per alvum non demittitur, sed sistitur et urinam non nisi aegre reddit. Hic per morbi quidem exordia quietiorem vitam degit. Quanto autem longius tempus morbo accesserit, tanto major omnia dolor occupat, et crura velut ab aqua intercute intumescunt, ulcera ex lumbis erumpunt, et alia quidem sanescunt, alia vero proveniunt. Huic ita habenti hippophaes succo aut grano Cnidio caput purgato, primum probe admodum foto corpore. Vesperi vero post purgationem ptisanae duo acetabula melle affuso sorbeat, vinum album, molle bibat. Postridie lactis asinini decocti, melle affuso, heminas octo ei ebibendas porrigito.

Ed. Chart. VII. [649.] Foës. I. 539. Ed. Lind. II. (215.)

κοτύλας ἐκπιεῖν. ἢν δὲ μὴ ὄνειον ἔχῃς, βόειον ἢ αἴγειον ἑφθὸν, τρία ἡμιχόεα παραχέας μέλι. καὶ τὴν ὥρην γαλακτοποτεέτω ἐν ὀροβίῳ καὶ γάλακτι, πέντε καὶ τεσσαράκοντα ἡμέρας. σιτίοισι δὲ καὶ ὄψοισι χρεέσθω ὡς διαχωρητικωτάτοισιν. οἶνον δὲ πινέτω λευκὸν, μαλθακὸν, Μενδήσιον. ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι αὐτοῦ ἐς τὴν ὀσφῦν ἑκατέρωθεν τῶν σπονδύλων τέσσαρας ἐσχάρας, καὶ ἐς τὸ μετάφρενον δεκαπέντε ἑκατέρωθεν, καὶ ἐς τὸν αὐχένα δύο μεταξὺ τῶν τενόντων. ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπή. αἱ τέσσαρες νοῦσοι αἱ ἀπὸ τῶν νεφρῶν γινόμεναι. ἀπὸ τῆς πρώτης τάδε πάσχει. ὀδύνη ὀξείη ἐμπίπτει εἰς τὸν νεφρὸν καὶ ἐς τὴν ὀσφῦν καὶ ἐς τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρὸν, καὶ οὐρέει πυκινὰ, καὶ στύφει κατ' ὀλίγον τὸ οὖρον, καὶ ἅμα τῷ οὔρῳ προέρχεται ψάμμος, καὶ ὁκόταν ἐξίῃ διὰ τῆς οὐρήθρης ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ. ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησιν. ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται. ὁκόταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. πολλοὶ δὲ

Quod ſi aſininum deſit, bubuli aut caprini decocti tres ſemicongios affuſo melle. Et ſi anni tempus ferat, lactis potu utatur, per quinque ac quadraginta dies, cum lacte ervum aſſumens. Cibis et opſoniis quam maxime alvum ſubducentibus utatur, vinum bibat album, molle, Mendeſium. Cum autem craſſiſſimus evaſerit, ad ejus lumbos ex utraque vertebrarum parte quatuor cruſtas inurito, et ad dorſum utraque ex parte quindecim, et in cervice inter magnos nervos duas. Si enim uſtio probe tibi ceſſerit, ſanum reddes. Eſt autem morbus gravis. Quatuor ex renibus oriuntur morbi. In primo ſic aeger affligitur, dolor acutus in renem, lumbos et teſtem ad renis regionem ingruit, frequenter urinam reddit et paulatim urina ſupprimitur, ſimulque cum ea arena egreditur, et cum per urinae fiſtulam arena exit, vehementem in ea dolorem exhibet. Ubi vero cum urina exiit, remittit dolor, deinde rurſus iisdem vexatur doloribus. Cum autem urinam reddit, colem prae dolore conſricat. Plerique vero

Ed. Chart. VII. [649.] Foës. I. 539. 540. Ed. Lind. II. (215. 216.) τῶν ἰητρῶν οἱ μὴ συνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιῆν τὴν κύστιν, καὶ ταύτην μὲν οὔ, τὸν δὲ νεφρὸν λιθιῆ. αὕτη ἡ νοῦσος γίνεται ἀπὸ φλέγματος, ὁκόταν ὁ νεφρὸς ἐς ἑωυτὸν ἀναλαβὼν φλέγμα μὴ ἀφίῃ πάλιν, ἀλλ' αὐτοῦ ξυμπωρωθῇ. τοῦτο γίνεται λίθοι λε-(216)πτοὶ οἷον ψάμμος. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τῷ ὀπῷ τῆς σκαμμωνίης ἢ αὐτῇ τῇ ῥίζῃ πυριῆσαι, πρόσθεν δὲ ἅπαν τὸ σῶμα ὑποκαθῆραι. τῇ δὲ ὑστεραίῃ τῷ ἀπὸ ἐρεβίνθων λευκῶν χυλῷ ὑποκαθῆραι δύο χοεῦσιν, ἅλας δὲ παρεμβαλὼν διδόναι πίνειν. μετὰ δὲ ταῦτα ποτοῖσι καὶ βρωτοῖσι καὶ λουτροῖσι μελετῆν, διδοὺς τὰ αὐτὰ ἃ τῷ στραγγουριῶντι δίδοται φάρμακα. ὁκόταν δὲ ἡ ὀδύνη πιέσῃ, λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι ὅπῃ πονέει μάλιστα. ὁκόταν δὲ ἀποιδήσῃ καὶ ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρὸν, καὶ ἐξελὼν τὸ πῦος, τὴν ψάμμον διουρητικοῖσιν ἰῆσθαι. ἢν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγεῖν· || ἢν δὲ μὴ, ἡ νοῦσος τῷ ἀνθρώπῳ συναποθνήσκει. δευτέρη νοῦσος νεφρῶν. αἱ μὲν ὀδύναι ἰσχυρῶς πιέζουσιν ὡς ἐν τῇ

medici cum morbum non noſcant, ſi arenam videant, veſicam calculo laborare exiſtimant. Haec autem minime, ſed ren calculo laborat. Hic morbus ex pituita oritur, cum eam ren in ſe receptam non rurſus dimittit, ſed illic in totum indureſcit, fiuntque calculi parvi, velut arena. Huic cum ſic habuerit, ſcammoniae ſucco aut radice ipſa totum corpus, prius tamen adhibito fomento, aliquantulum purgato. Poſtridie vero ex cicerum alborum decocto, ſale injecto ad duos congios potui exhibito, aliquantulum purgato. Poſt haec potionibus, eduliis et balneis curato, iisdem medicamentis quae in ſtranguria exhibentur. Cum dolor urget, multa calida lavato et qua parte praecipue dolor eſt, tepefactori admoveto. Ubi vero intumuerit et extuberarit, ſub hoc tempus juxta renem ſecato et extracto pure, arenam medicamentis urinam cientibus curato. Si enim ſectus fuerit, evadendi ſpes eſt, alioqui morbus hominem ad mortem usque comitatur. In ſecundo renum morbo dolores quidem ve-

Ed. Chart. VII. [649. 650.] Foës. I. 540. Ed. Lind. II. (216. 217.)
πρόσθεν. γίνεται δὲ τὸ νούσημα [650] ἀπὸ ταλαιπωρίης, ὁκόταν ῥαγῇ τὰ φλέβια τὰ ἐς τὸν νεφρὸν τείνοντα, ἔπειτα ὁ νεφρὸς αἵματος ἐμπλησθῇ. οὗτος ὁκόταν ταῦτα πάθῃ, ἐξουρέει ἅμα τῷ οὔρῳ αἷμα κατ' ἀρχὰς τοῦ νουσήματος. ἔπειτα πῦον προϊόντος τοῦ χρόνου. οὗτος ἢν ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται. ἢν γάρ τι πονήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον ἕξουσιν. ὁκόταν γοῦν ἔμπυος ᾖ ὁ νεφρὸς, ἀποιδέει περὶ τὴν ῥάχιν. τοῦτον, ὅταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον, μάλιστα μὲν βαθείην τομὴν κατὰ τὸν νεφρόν. κἢν μὲν τύχῃς ταμών, παραχρῆμα ὑγιέα ποιήσεις. ἢν δὲ ἁμάρτῃς, κίνδυνος ἕλκος ἔμμοτον γενέσθαι. ἢν δὲ ξυμφυῇ τὸ ἕλκος, ἐκπυοῦται εἴσωθεν ἡ κοιλίη ἢ ἀπὸ τοῦ νεφροῦ. κἢν μὲν ῥαγῇ ἔσω(217)θεν καὶ χωρήσῃ κατὰ τὸν ὀρχὸν τὰ πῦα, ἐλπὶς ἐκφυγέειν· ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ, κινδυνεύσῃ καταφθαρῆναι. μελετῆν δὲ φαρμάκοισι καὶ τοῖσιν αὐτοῖσι πᾶσιν, οἷσι καὶ τὸν πρόσθεν, καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω. αὕτη δὲ ἡ νοῦσος χαλεπὴ, καὶ πολλοὶ ἐκ ταύτης τῆς νούσου φθίσιν νεφρίτιδα κατέσηναν.

hementes velut in priore urgent. Oritur autem morbus, cum ex vehementiore labore venulae quae ad renem feruntur ruptae fuerint, deinde ren ſanguine repleatur. Hoc caſu per initia morbi ſanguinem una cum urina reddit, deinde pus progreſſu temporis. Hic ſi corpore quieverit, citiſſime convaleſcit. Si enim quodammodo laboret, dolores multo magis detinebunt. Ubi igitur ren purulentus fuerit, ad ſpinam intumeſcit. Hunc cum ita habuerit, qua parte tumor eſt, altiſſima quidem ſectione ad renem ſecato. Quod ſi quidem ſectionem aſſecutus fueris, confeſtim ſanum reddes. At ſi aberraveris, periculum eſt ne ulcus ea quae fit per linamenta curatione indigeat. Si vero ulcus coaluerit, renis venter intro pus colligit. Et ſi quidem pus intro rumpatur, et ad inteſtinum rectum feratur, evadendi ſpes eſt. Quod ſi alterum renem attingat, periculum eſt ne pereat. Medicamentis autem et iisdem omnibus quibus priorem curato, eandemque victusrationem teneat. Hic autem morbus moleſtus eſt, ex eoque plures ad renum tabem deveniunt. In

Ed. Chart. VII. [650.] Foël. I. 540. Ed. Lind. II. (217.)

τρίτη νοῦσος νεφρῶν. τὸ μὲν οὖρον προέρχεται, οἷον ἀπὸ κρεῶν βοείων ὀπτῶν χυλός. γίνεται δὲ τὸ νούσημα ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐς τὰ φλέβια συρρῇ τὰ τείνοντα ἐς τὸν νεφρὸν, καὶ ὁκόταν στῇ, ἕλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν. ὑπὸ οὖν τῆς ἑλκώσιος τοιοῦτον ὑποχωρέει ἅμα τῷ οὔρῳ. αἱ δὲ ὀδύναι ἔχουσιν ἐν τῇ ὀσφύϊ καὶ ἐν τῇ κύστει καὶ ἐν τῷ περινέῳ καὶ ἐν αὐτῷ τῷ νεφρῷ, ἐπ' ὀλίγον χρόνον. ἔπειτα ἀνῆκεν ὁ πόνος καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι' ὀλίγου, καὶ ἐς τὸ λεπτὸν τῆς γαστρός ἐστιν ὅτε ὀδύνη ἐμπίπτει. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὑποκαθῆραι τὴν κοιλίην ἐπιθύμῳ ἢ τῆς σκαμμωνίης ῥίζῃ. πίνειν διδόναι τὰ αὐτὰ ἃ καὶ τῷ στραγγουριῶντι, καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ, χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα, καὶ ῥοφήματι χρεέσθω ἀλεύρῳ ἑφθῷ, μέλι παραχέας, καὶ τῇ ἄλλῃ διαίτῃ χρεέσθω ὡς διαχωρητικωτάτῃ, καὶ οἶνον πινέτω λευκὸν Μένδαιον μελίχρουν, ἢ ἄλλον λευκὸν τὸν ἥδιστον καλῶς κεκρημένον. αὕτη ἡ νοῦσος οὐ μάλα ἐκλείπει. καὶ τὴν ὥρην ὀρροποτεέτω καὶ γαλακτοποτεέτω,

tertio renum morbo urina bubularum carnium aſſatarum ſucco ſimilis egreditur. Oritur autem morbus ex atra bile, quae cum ad venulas quae ad renem feruntur conſluxerit, cumque conſtiterit, eas renemque exulcerat. Ex ulcere igitur tale quid cum urina prodit. Dolores autem in lumbis, veſica, interſoemineo et in rene ipſo paυco tempore detinent. Deinde remittit dolor, rurſusque ex brevi intervallo acutus invadit, et in tenuem ventris partem nonnunquam incidit. Huic cum ita habuerit, ventrem epithymo aut ſcammoniae radice aliquantulum purgato, eadem quae ſtranguria laboranti potui exhibeto, cumque dolor detinuerit, tepefactoriis potiſſimum loco dolenti admotis, copioſa calida lavato, pro ſorbitione farinam coctam affuſo melle ſumat, reliquaque victus ratione quam maxime alvum ſubducente utatur, vinumque bibat album Mendaeum melle permixtum, aut aliud album ſuaviſſimum probe dilutum. Hic morbus non fere deſerit. Si anni tempeſtas ferat, ſerum et lac bibat, ſe-

Ed. Chart. VII. [650. 651.] Foël. I. 540. Ed. Lind. II. (217. 218.)
ἐς κάθαρσιν μὲν τῷ ὀρρῷ, τὴν δὲ γαλακτοποσίην ποιεέσθω ἐν ὥρῃ, πέντε καὶ τεσσαράκοντα ἡμέρας. ταῦτ' ἢν οὕτω (218) ποιέῃς, ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν νοῦσον. [651] τετάρτη νοῦσος νεφρῶν. τὸ μὲν νούσημα γίνεται ἀπὸ χολῆς καὶ φλέγματος, ἐν καιρῷ δὲ τοῦ θέρεος μάλιστα. γίνεται δὲ καὶ ἀπὸ λαγνείης ἡ νοῦσος. οὗτος τάδε πάσχει. ὀδύναι πιέζουσιν αὐτὸν ἐς τὴν λαπάρην καὶ ἐς τὸν κενεῶνα καὶ ἐς τὴν ὀσφῦν καὶ ἐς τοὺς μύας τῆς ὀσφύος καὶ πάσχει ὁκοῖα γυνὴ ὠδίνουσα, καὶ οὐκ ἀνέχεται ἐπὶ τοῦ ὑγιέος κατακεῖσθαι, ἀλλ' ἄγαν πονέει, καὶ τοῦ κενεῶνος δοκέει κατακρεμᾶσθαι ὡς ἀπορησσόμενα. ἐπὶ δὲ τὰ πρηνέα ἢν κατακέηται, οὐκ ἀλγέει. οἱ δὲ πόδες καὶ αἱ κνῆμαι αὐτοῦ ἀεὶ ψυχρά. τὸ δὲ οὖρον μόλις προέρχεται ὑπὸ τῆς φλεγμασίης καὶ παχυτῆτος τοῦ οὔρου. κἢν μὲν ἐάσῃς αὐτὸ ὀλίγον χρόνον, καταθεὶς ἕως ἂν κατασταῇ, ὄψει τὸ ὑφεστηκὸς παχὺ, οἷόν περ ἄλευρον. κἢν μὲν χολὴ ἐπικρατέῃ, ὑπόπυρρον αὐτὸ ὄψει· ἢν δὲ ἀπὸ φλέγματος ᾖ τὸ νούσημα, λευκὸν καὶ παχὺ ἔσται, καὶ τὸ μὲν πρῶτον ἐς ἐνιαυτὸν ἢ ὀλίγῳ πλέονα ἢ ὀλίγῳ ἐλάσσονα χρό-

rum quidem ad purgationem, lactis autem potione utatur quinque et quadraginta diebus, ſi anni tempus ferat. Quae cum ſic feceris, morbum meliore ſtatu conſtitues. Quartus renum morbus, qui ex bile et pituita aeſtatis potiſſimum tempore oritur, quinetiam ex venere morbus oritur, atque hunc in modum afficitur aeger. Dolores eum ad lateris mollitudinem et inanitatem urgent, et ad lumbos lumborumque muſculos, neque ſecus afficitur quam mulier partus doloribus conflictata, neque decubitum in ſanam partem ferre poteſt, ſed valde laborat: ex lateris inanitate quaedam velut abrupta ſuſpenſa eſſe videntur. At ſi pronus jaceat, non dolet, ejus pedes et tibiae ſemper frigent. Urina autem ob pituitae copiam et craſſitudinem vix egreditur. Quod ſi quidem depoſitam quoad reſederit, pauco tempore ſiveris, quod ſubſidet craſſum velut farinam videbis. Ac ſi quidem bilis ſuperaverit, ipſum ſubfulvum videbis. Si vero ex pituita morbus fuerit, album et craſſum erit. Ac primum quidem in annum aut paulo longius aut brevius tempus talia

Ed. Chart. VII. [651.] Foës. I. 540. 541. Ed. Lind. II. (218. 219.)

τον τοιαῦτα πάσχων διατελέει. || ἢν δὲ ἐπιμηκύνηται ἡ νοῦσος, πονέει τε μᾶλλον καὶ ἐμπυοῦται, καὶ ὁκόταν ἔμπυος γενόμενος ἀποιδέῃ, ὅκου ἂν μάλιστα ἀποιδέῃ τάμνειν ἐς τὸν νεφρὸν καὶ ἀφιέναι τὰ πῦα. καὶ ἢν μὲν τύχῃς ταμών, παραχρῆμα ὑγιέα ποιήσεις. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσι πάθεσι θεραπεύειν, οἷσι κατὰ τὸ πρόσθεν καὶ κατ' ἀρχὰς τῆς νούσου. δεῖ τε καθῆραι καὶ πρὸ τῆς ὑποκαθάρσιος πυριῆσαι καὶ τοῖσι λουτροῖσι πυκινὰ λούειν. ἀλειφέσθω δὲ καὶ θαλπέσθω μᾶλλον. μὴ δὲ ῥίγούτω, καὶ τοῦ ἡλίου ἀπεχέσθω, καὶ μὴ λαγνευέτω. ταῦτα (219) ἢν ποιέῃ καὶ μὴ τάχιστα ὑγιαίνῃ, οὐ καινόν. ἡ νοῦσος γὰρ ὡς χαλεπή. ἢν δὲ βούλεται ἄνευ φαρμάκων ἰῆσθαι, χρὴ παχὺν ποιῆσαι ἀπὸ διαίτης ἢν τε ταύτην τὴν νοῦσον κάμνοντα, ἢν τε τῶν προτέρων τινὰ τὰ σιτία διελὼν, ἃ μεμαθήκει ἐσθίειν. ἤγουν δέκα μερίδας. ἔπειτα μίην ἀφελὼν μερίδα τὰ λοιπὰ καταφαγέτω. ὄψον δὲ ἐχέτω κρέας ὑὸς τετριμμένον, καὶ περιπατεέτω δέκα σταδίους ταύτης τῆς ἡμέρης. τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρίτῃ μέχρι τῶν δέκα ἡμερέων προστιθεὶς μερίδα, ἐλάσ-

perſeverant. Quod ſi producatur morbus, tum magis laborat et purulentus evadit. Cumque purulentus extiterit et intumuerit, qua praecipue parte intumuerit ad renem ſecato et pus emittito. Et ſi quidem ſectio proſpere ceſſerit, confeſtim ſanum reddes. Hunc cum ſic habuerit, iisdem omnibus quibus antea curato. Et per morbi exordia purgare oportet et ante alvi ſubductionem fomento adhibito, crebris balneis lavare. Inungatur vero et caleat potius neque frigeat, a ſoleque et veneris uſu abſtineat. Quae cum feceris, ſi non citiſſime ſaneſcat, nihil novi accidit, cum morbus ſit admodum difficilis. At ſi absque medicamentis curari deſideret, per victus rationem craſſiorem reddere oportet, ſive hoc morbo ſive aliquo ex prioribus laboret, ubi cibos, quos comedere conſuevit, in decem partes diviſeris, deinde parte una ſubtracta reliquas comedat. Pro opſonio carnem ſuillam tritam habeat, et eo die decem ſtadia obambulet. Poſtero autem die et tertio parte una addita minus edat, et uno quo-

Ed. Chart. VII. [651. 652.] Foës. I. 541. Ed. Lind. II. (219. 220.)
σω ἐσθιέτω, καὶ περιπατεέτω δέκα σταδίους ἢ πλείω ἑκάστης ἡμέρης. ὁκόταν δὲ ἐς τὴν ἐσχάτην μερίδα ἀφίκηται τοῦ σιτίου καὶ ἐς τοὺς ἑκατὸν σταδίους βαδιζέτω, καὶ ἐσθιέτω τὴν μίην μερίδα μούνην. καὶ ταύτης τῆς ἡμέρης περιπατησάτω τοὺς ἑκατὸν σταδίους, μετὰ δὲ τὸ δεῖπνον εἴκοσι, ὄρθρου δὲ τεσσαράκοντα. οἶνον δὲ πινέτω Μένδαιον, λευκὸν, αὐστηρόν. ταῦτα δὲ ποιεέτω τρεῖς μῆνας. ἔπειτα τὸν λοιπὸν χρόνον ὑποβαίνων τῶν περιπάτων καὶ τῶν σιτίων πλείω ἐσθιέτω, τὸν αὐτὸν τρόπον ὥσπερ ἀφῄρει, οὕτω δὲ προστιθείς. τὸν δὲ περίπατον ἀφαιρείτω μέχρι τῶν δέκα ἡμερέων. ἔπειτα ἡσυχίην ἐχέτω ὡς μάλιστα, καὶ εὐωχεέσθω σιτία τε καθαρὰ καὶ ὄψα ὡς πιότατα, καὶ τὰ γλυκέα πάντα ξύμφορα αὐτῷ. [652] λαχάνων δὲ καὶ ὀξέων πάντων ἀπεχέσθω καὶ τῶν δριμέων, καὶ ὁκόσα φῦσαν παρέχει. λουέσθω τε πολλῷ καὶ θερμῷ, καὶ μὴ ῥιγούτω. ταῦτ' ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται. ἀπὸ δὲ νεφρίτιδος ἐπιλαμβάνει. ἡ δὲ νοῦσος μεγάλη τῶν (220) φλεβῶν τῶν κοίλων, αἳ τείνουσιν ἀπὸ τῆς κεφαλῆς παρὰ τὰς σφαγὰς διὰ τῆς ῥάχιος, ἐς τὸ σφυρὸν τὸ ἐκτὸς τοῦ ποδὸς καὶ ἐς μεταξὺ τοῦ μεγάλου δακτύ-

que die decem aut plura ſtadia obambulet. Cum vero ad ultimam cibi partem pervenerit, ad centum ſtadia iter faciat et unam ſolam partem edat, eoque die centum ſtadia deambulet. A coena vero viginti, mane quadraginta. Vinum Mendaeum album auſterum bibat, iſtaque per tres menſes faciat. Reliquo deinde tempore ſubductis deambulationibus plures cibos comedat, additione eodem quo detraxeris modo facta. Deambulationem vero ad decimum usque diem ſubducat, deinde quam maxime quieſcat, cibisque puris veſcatur et quam maxime pinguibus opſoniis, dulciaque omnia ei conferunt. Oleribus autem et acidis omnibus abſtineat, acribusque et iis quae flatum excitant. Calida quoque multa lavet et frigus vitet. Quae cum fecerit, citiſſime ſanus evadet. Ex renum morbo invadit magnus venarum cavarum morbus, quae a capite juxta jugulares per ſpinam ad talum exteriorem et intermedium pollicis locum feruntur. Oritur

Ed. Chart. VII. [652.] Foës. I. 541. Ed. Lind. II. (220.)

λου. τὸ δὲ νούσημα γίνεται μὲν ἀπὸ φλέγματος καὶ χολῆς, ὁκόταν ἐς τὰς φλέβας συῤῥυῇ. αἱ δὲ φλέβες αὗται αἵματός εἰσι πλήρεες. ἢν οὖν τι παρέλθοι ἀλλοῖον ἐς αὐτὰς, νοσοῦσι. τάδε οὖν πάσχει. ἢν ἐπὶ τὰ δεξιὰ νοσέῃ, ἄρχεται τὴν ὀδύνην παρέχουσα ἐκ τῆς κοτυληδόνος τοῦ ἰσχίου κατ' ἀρχάς. ὁκόσῳ δὲ πλείω ὁ χρόνος προϊῇ καὶ ἀπρομηκύνηται, ἡ τε ὀδύνη ὀξυτέρη κατέρχεται κατωτέρω, καὶ ὁκόταν ἐς τὸ σφυρὸν ἀφίκηται τὸ ἐκτὸς τοῦ ποδὸς καὶ τὸ μεταξὺ τοῦ μεγάλου καὶ δακτύλου, ἄρχεται πάλιν ἐς τὴν κεφαλὴν ἔρχεσθαι, καὶ ὁκόταν ἐς αὐτὴν τὸ ἕλκος στῇ, πιέζει ἰσχυρῶς, καὶ δοκέει ὁ ἄνθρωπος διαῤῥήγνυσθαι τὴν κεφαλὴν, καὶ οἱ ὀφθαλμοὶ φλέγματος πληροῦνται καὶ τὸ πᾶν σῶμα. τοῦτον, ὅταν οὕτως ἔχῃ, ἐλατήριον πίσαι ἢ θαψίης ῥίζαν ἢ ἐλλεβόρου ἢ ὀπὸν σκαμμωνίης. μετὰ δὲ τὴν κάθαρσιν ταῦτα προσφέρειν, ἃ καὶ τοῖσι πρόσθεν. ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς θεραπείης παύηται, γάλακτι παχύνας καῦσαι κάτω τὴν ὠμοπλάτην τὴν δεξιὴν τέσσαρας ἐχάρας, καὶ ἐς τὴν κοτυληδόνα τοῦ ἰσχίου τοῦ δεξιοῦ τρεῖς, καὶ ὑπὸ τὸν γλουτὸν δύο, καὶ ἐν τῷ μέσῳ

autem hic morbus ex pituita quidem et bile, cum ad venas confluxerint. Venae autem cum ſanguine refertae ſint, ſi quid alieni ad eas pervenerit, male afficiuntur. Sic igitur afficitur. Si dextra parte morbus eſt, per exordia ex coxendicis acetabulo dolorem exhibere incipit. Quo autem longius tempus proceſſerit et productum fuerit, eo gravior dolor ad inferiora deſcendit, cumque ad malleolum pedis externum et pollicis intermedium pervenerit, rurſus ad caput fertur, ubique in eo ulcus conſtiterit, vehementer urget ſibique caput diſrumpi videtur, oculi pituita totumque corpus implentur. Huic, cum ita habuerit, medicamentum ex cucumeris agreſtis ſucco paratum aut thapſiae radicem aut veratrum aut ſcammonii ſuccum propinato. Poſt purgationem vero eadem quae ſuperioribus offerto. Quod ſi hac curatione non ſedetur, ubi lacte craſſiorem reddideris, ſcapulam dextram inferiorem quatuor cruſtis inurito, coxendicis dextrae acetabulum tribus, inferiores nates duabus et medium femur

Ed. Chart. VII. [652.] Foës. I. 541. 542. Ed. Lind. II. (220. 221.)
τοῦ μηροῦ δύο, καὶ ὑπὲρ τοῦ γούνατος μίην, καὶ ὑπὲρ τοῦ σφυροῦ μίην. || οὗτος, ἢν οὕτω καυθῇ, οὐκ ἀφίησιν οὔτε ἄνω οὔτε κάτω τὴν νοῦσον διαχωρέειν. ἢν δέ κου ἡ ὀδύνη ἐφθῇ ῥαγεῖσα, ἢν μὲν στηρίξῃ ἐς τὸ σκέλος πρὶν ἢ καυθῆναι, χωλὸς ἔσται· ἢν δὲ ἐς τὴν κεφαλήν, κωφὸς ἢ τυφλός· ἢν δὲ ἐς τὴν κύστιν, καὶ προχωρέει (221) ὅμα τῷ οὔρῳ αἵματος μάλιστα τεσσαράκοντα ἡμέρας. ἀλλὰ χρὴ, ἢν ἐς τὴν κύστιν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι, καὶ ἢν κου ἡ ὀδύνη ἁλισθῇ, καῦσαι. καίειν δὲ χρὴ τὰ μὲν σαρκώδεα σιδηρίοισι, τὰ δὲ ὀστώδεα καὶ νευρώδεα μύκησι, πλὴν τάδε πρότερον τούτων χρὴ ποιῆσαι. ἢν κατ' ἀρχὰς τῇ νούσῳ παραγένῃ, εἰς μὲν τὸ ποτὸν χρὴ διδόναι οἶνον λευκὸν Μένδαιον ὑδαρέστερον ὡς πλεῖστον μεθ' ἡμέρην, καὶ μεθυσκέσθω ἄχρις ἂν αἱμορῥαγήσῃ κατὰ τὰς ῥῖνας. ὁκόταν δὲ ἄρξηται ῥέειν, τὸ ἐλάχιστον ἡμέρας ῥέει δέκα καὶ τρεῖς. ὅταν δὲ αὗται αἱ ἡμέραι διέλθωσι, μηκέτι μεθυσκέσθω, μηδὲ ὅταν ἄρξηται ἅπαξ ῥεῖν. πινέτω μέντοι ὀλίγῳ πλείονα τὸν οἶνον ἐπὶ σιτίῳ, ὅκως ἂν ῥέῃ τὸ αἷμα. ἤδη δέ τισι

duabus, genu ſuperius una, et malleolum ſuperiore parte una. Cum ſic uſtus fuerit, neque ſurſum neque deorſum morbum progredi dimittit. Quod ſi aliquam in partem dolor affatim et cum impetu irrumpere viſus fuerit, ſi quidem prius quam uſtus fuerit in crus decumbat, claudus erit; ſi in caput, ſurdus aut caecus. Si vero in veſicam, ſimul cum urina aliquid ſanguinis quadraginta fere diebus progreditur. Sed ſi in veſicam cum impetu irruperit, eadem medicamenta quae in urinae ſtillicidio exhibenda ſunt, et ſi aliqua in parte dolor coacervatus fuerit, uſtio facienda. Urendae vero ſunt carnoſae quidem partes ferramentis, oſſeae vero et carnoſae ſungis, praeterquam quod ante haec iſta facienda ſunt. Si morbi initio acceſſeris, vinum Mendaeum album dilutius quam plurimum per diem potui exhibere oportet. Et inebrietur, quoad ſanguis ex naribus plurimus erumpat. Cum autem fluere coeperit, minimum tredecim diebus fluit: ubi vero hi praeterierunt, non amplius inebrietur, neque ubi ſemel fluere coeperit. In cibo tamen paulo plus vini bibat,

Ed. Chart. VII. [652. 653.] Foës. I. 542. Ed. Lind. II. (221. 222.)
παυσαμένου τοῦ αἵματος ἐρρύαγη ἐς τὴν κύστιν καὶ ἐχώρησεν αἷμα καὶ πῦα. [653] ἢν γοῦν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι, καὶ ἀπὸ τοῦ αὐτοῦ οἴνου διδόναι πλέον πιεῖν. οὕτος οὕτω μελετώμενος καὶ τὰ σιτία προσφερόμενος διαχωρητικὰ καὶ τὰ ὄψα, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπή. ἄλλη ἀπὸ τῆς ἀριστερῆς φλεβός. τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει, ἃ καὶ ὁ πρόσθεν. ἐς δὲ τὸν σπλῆνα ὀδύνη στηρίζει ὀξείη εὐθὺς καὶ καταρχὰς τοῦ νουσήματος, καὶ ἢν ξυνίῃ παραχρῆμα πρὶν καταστηρίξῃ ἀλλ' ἢ ἐς τὸν πνεύμονα, μύκησι καῦσαι ὀκτὼ ἐσχάρας, τὰς κεφαλὰς ἀπολαβὼν τοῦ σπληνὸς, ὡς τάχιστα, καὶ ὅκου ἂν ἄλλη ὀδύνη καταστηρίξῃ καῦσαι, καὶ οὕτω παραχρῆμα ὑγιὴς ἔσται. ἢν δὲ (222) μὴ καυθῇ, ὑγιὴς δὲ γένηται ἀπὸ ταὐτομάτου, τοῖσι πολλοῖσι μετὰ δυοκαίδεκα ἔτη ἡ νοῦσος αὖθις ὑπετροπίασε, καὶ ἢν λάβηται τοῦ σπληνὸς, τοῖσιν πολλοῖσιν ὕδερον ἐποίησεν. ἀλλὰ χρὴ παραχρῆμα θεραπεύειν ὡς τὴν πρόσθεν, καὶ ἢν δοκέῃ, καῦσαι ὥσπερ δὴ καὶ τὸν πρότερον. ἢν ἡ ὀδύνη καθεστήκῃ ἐν τοῖσι αὐτοῖσιν ἄρθροισιν. ἢν δὲ

ut ſanguis fluat. Jam vero quibusdam ſedato ſanguine, ad veſicam cum impetu irrupit et ſanguis cum pure prodiit. Si igitur cum impetu irruperit, eadem medicamenta quae ſtranguria laboranti exhibeto, et de eodem vino plus propinato. Hic ſi hoc modo curetur, cibosque per alvum ſubeuntes et opſonia aſſumat, citiſſime ſanus evadet. Morbus autem gravis eſt. Alius ex vena ſiniſtra. In reliquis quidem eadem multitudine quae etiam prior patitur, ſed in lienem confeſtim et per morbi exordia dolor acutus decumbit. Quod ſi non ſtatim perceperit prius quam decumbat, ſed ad pulmonem feratur lienis capite apprehenſo, quam citiſſime cruſtis octo inurito et quocunque alius dolor decubuerit, urito, ſicque confeſtim ſaneſcet. Quod niſi uſtus fuerit, ſponte autem ſanus evadat, plerisque poſt duodecimum annum rurſus morbus revertitur, et ſi lienem occuparit, multis aquam intercutem facit. Sed confeſtim velut priorem curare, et ſi videatur ſane etiam ſimiliter ut priorem inurere oportet, ſi dolor in iisdem articulis conſtiterit. At niſi hunc in modum

Ed. Chart. VII. [653.] Foës. I. 542. Ed. Lind. II. (222.)

μὴ οὕτω μελετηθῇ, τὸ λοιπὸν τηκόμενος θνήσκει. ἡ γὰρ νοῦσος χαλεπή. περὶ δὲ τοῦ φλέγματος τὰς αὐτὰς γνώμας ἔχω, ἃς καὶ περὶ χολῆς, καὶ φημὶ τὰς ἰδέας αὐτοῦ πολλὰς εἶναι, καὶ τὸ μὲν ἐπιδήμιόν ἐστι, τὸ δὲ νεώτατον. οὗ καὶ ἡ ἴησις ῥᾴστη. ἐμέτους γὰρ δεῖ ποιέεσθαι μετὰ τὸ σιτίον, ἡμέρας δύο ἢ τρεῖς προσαριστῶντα καὶ ἡσυχάζοντα, ἢν εἰώθῃ τὰς πρόσθεν ἡμέρας μονοσιτέειν καὶ ταλαιπωρέειν. ἢν δὲ μὴ, τοιαύτῃ διαίτῃ χρεέσθω. πρῶτον λουέσθω πολλῷ καὶ θερμῷ, ὁκόταν μέλλῃ ἔμετον ποιέεσθαι, καὶ ἐσθιέτω μᾶζαν ψεστὴν, καὶ ἄρτον ἔξοπτον ἔωλον. ἕλκει γὰρ ἂν μᾶλλον ταῦτα τὸ φλέγμα. ὄψοισι δὲ χρεέσθω καὶ λαχάνοισι δριμέσι, καὶ τὰ λιπαρὰ καὶ τὰ γλυκέα καὶ ὀξέα. ταῦτα πάντα ἐπιτήδεια ξυμμεμιγμένα προσφέρεσθαι. καὶ τοῖσι λαχάνοισι πᾶσι χλωροῖσι χρεέσθω, καὶ πινέτω ἐπὶ τῷ σιτίῳ ὀλίγον πυκινὰ, οἶνον γλυκὺν, καὶ πλακοῦντος ἐπιφαγέτω ἐπὶ τελευτῆς καὶ μέλι καὶ σῦκα, καὶ ὁκόταν δειπνήσῃ, πινέτω λαύρως τὰς κύλικας, καὶ ὁκόταν ἤδη πλήρης ᾖ, κατακοιμηθήτω ὀλίγον, εἶτα ἐπεγερθεὶς ἐμεέτω πιὼν οἴνου μεγάλην κύλικα καὶ χλι-

curatus fuerit, de caetero contabescens perit, cum morbus gravis sit. De pituita autem idem quod de bile sentio, ejusque multas esse formas assero. Et partim quidem vulgaris est, partim vero recentissima, cujus etiam facilis est curatio. Vomitus enim post cibum duobus aut tribus diebus inducere oportet, insuperque prandere et quiescere, si prioribus diebus semel cibum sumere et vehementibus laboribus uti consueverit. Alioqui hac victus ratione utatur. Primum cum vomitum inducere volet, multa et calida lavet et mazam melle et oleo subactam, et panem exassatum hesternum edat. Haec enim magis pituitam trahent. Opsoniis et oleribus acribus utatur, pinguia, dulcia et acida, haec omnia permixta commode porrigi possunt et oleribus omnibus viridibus utatur, in cibo vinum dulce paucum crebro bibat, in fine placentam, mel et ficus comedat, cumque coenabit, pocula large ebibat, cumque jam oppletus fuerit, paulum dormiat, deinde ubi experrectus fuerit, vini aqua tepida temperati magno

Ed. Chart. VII. [653. 654.] Foël. I. 542. 543. Ed. Lind. II. (222. 223.)
ἀρῷ ὕδατι κεκρημένην. ἕλκει γὰρ μᾶλλον τὸ φλέγμα ἐκ τῶν σαρ(223)κῶν καὶ τὸν χυμὸν καὶ ξηραίνει μᾶλλον τὸ σῶμα. ἐξεμείτω δὲ ἕως ἂν τὰ σῦκα ἐξεμέσῃ. ὕστατα γὰρ ταῦτα ἐξεμέεται. ταῦτα μὲν τῇδε. τῇ δὲ ὑστεραίῃ συνεχέτω ἑωυτὸν μέχρι δείπνου, καὶ δειπνεέτω ἄρτον αὐτοπυρίτην, τὸ δὲ ὄψον ἔστω ἀπὸ τῶν ἰσχυροτέρων. || οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. αὕτη μὲν οὖν τοῦ ἐπιδημίου φλέγματος ἡ ἴησις. ἢν δὲ δυνατὸς ἐὼν ἐσθίειν καὶ πίνειν καὶ ἥδεται [654] τοῖσιν σιτίοισιν, εἶτα τὰ σκέλεα βαρύνοιτο, κἂν ἡ χροιὴ μετελλαγμένη ᾖ, τούτῳ φάναι ἐν τῇ κοιλίῃ φλέγμα τὸ λυπέον εἶναι. ἀλλὰ χρὴ, ὁκόταν οὕτως ἔχῃ, μέλιτι καὶ οἴνῳ γλυκεῖ καὶ ἐλαίῳ καὶ νίτρου ὁκόσον οἷός ἀστράγαλος παραμίξας κλύζειν. ταῦτα γὰρ τῇ φύσει τοῦ ἀνθρώπου εὐμενέστατα εἰς τὸν κλυσμόν. μέτρον δὲ χρὴ ἑκάστου εἶναι, τοῦ μὲν οἴνου κοτύλην, ἡμικοτύλιον δὲ ἐλαίου καὶ μέλιτος ἴσον. ἢν δὲ μὴ κλύζειν βούλῃ, δίϋγρον χρὴ τὸν ἄνθρωπον ποιῆσαι, πυριήσαντα ἐν ὑγρῇ τῇ πυριῇ. τάχα γὰρ ἂν καὶ οὕτως ὑποκενωθῇ ἡ κόπρος. ὑπὸ

epoto poculo vomat. Magis enim pituitam et humorem ex carnibus attrahit, corpusque magis exiccat. Vomat autem quoad ficus evomuerit, quae poſtremae evomuntur. Atque haec quidem eo die facienda. Poſtero vero die ſeſe ad coenam usque contineat, et panem ex furfure a pura farina non ſeparato coenet, pro opſonio valentiora ſumat, vinum vero nigrum, auſterum bibat. Haec igitur popularis pituitae medela eſt. Quod ſi comedere et bibere poteſt, cibisque delectatur, deinde crurum gravitatem ſentiat, etiamſi color immutatus fuerit, pituitam quae hunc vexat in ventriculo eſſe dicendum. Verum cum ſic habuerit, melle, vino dulci et oleo, nitroque ovilis tali magnitudine permixtis, ventrem per infuſum ſubluere oportet. Haec enim ad alvi infuſum pro hominis natura mitiſſima ſunt. Cujusque autem modum eſſe oportet, vini quidem heminam, olei dimidiam, et mellis tantundem. At ſi alvi infuſum nolis, humido fomento admoto, perhumectum hominem reddere oportet. Hac enim fortaſſis ratione ſtercus ſubduci poterit, cum haec ex cibo-

Ed. Chart. VII. [654.] Foes. I. 543. Ed. Lind. II. (223. 224.)

γὰρ τῆς ὑποξηρασίης τῶν σιτίων ταῦτα πάσχει. ἢν μὲν οὖν τις ἐσθίῃ τὰ σιτία λίην ἔγχυλα, οὐκ ἂν ἴσως πάσχοι ταῦτα οὕτω σφόδρα· ἢν δὲ καὶ πάσχοι ποτὲ, ὀλίγης ἂν ἰήσεως δέοιτο. τοῦτον οὕτως ἰώμενος τάχιστα ἂν ὑγιέα ποιήσαις. ἢν δὲ τύχῃ παλαιότερον ἐὸν φλέγμα, λευκὸν δὲ καλέεται τοῦτο τὸ φλέγμα, πάσχει τάδε. βαρύνει τὸν ἄνθρωπον μᾶλλον καὶ ἰδέην ἀλλοίην ἔχειν τοῦ ἐπιδημίου δοκεῖται ὠχροτέρην, καὶ οἰδέει οἰδή(224)ματι πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον ἐρεύθει, καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα ἐπέχει, καὶ ὁκόταν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει αὐτῷ. οὗτος τῆς αὐτῆς ἡμέρης ποτὲ μὲν γίνεται ῥᾴων, ποτὲ δὲ πονέει ἐξαπίνης καὶ δοκέει ἀποθανέεσθαι. τούτῳ ἢν μὲν ἡ γαστὴρ αὐτομάτως ταραχθῇ, ἐγγυτάτω ὑγιὴς ἔσται. ἢν δὲ μὴ ταραχθῇ αὐτομάτη ἡ κοιλίη, καθαίρειν δεῖ διδόντα τοῦ κνεώρου ἢ τοῦ ἱπποφαέως ἢ τοῦ Κνιδίου κόκκου ἢ τῆς Μαγνησίης λίθου, καὶ μετὰ τὴν κάθαρσιν φακῆς δοῦναι τρυβλίον ῥοφέειν ἓν ἢ δύο, συνεψέσθω δὲ ἐν τῇ φακῇ σκόροδα καὶ τεύτλου λιπαροῦ ἀνηδύντου τρυβλίον, ἐπ' ἀλφίτων περιπάσσοντα. πι-

rum reficcatione ei contingant. Si quis igitur cibos valde ſucculentos comedat, ab his fortaſſe non ita vehementer afficiatur et ſi quandoque afficiatur, parva curatione indigeat. Hac uſus curatione citiſſime hunc ſanum reddideris. At ſi vetuſtior pituita fere contigerit, quae pituita alba vocatur, ſic afficitur. Hominem magis gravat, formamque a vulgari alienam pallidiorem habere videtur, corpus univerſum laxo tumore intumeſcit, facies rubet, os reficcatur, ſitis detinet, et cum comederit, crebra ei ſpiratio contingit. Hic eodem die interdum quidem melius habet, interdum vero derepente dolet, et mori videtur. Huic ſi venter quidem ſua ſponte commotus fuerit, ſanitati erit proximus. At ſi alvus ſponte turbata non fuerit, cneoro dato vel hippophae vel grano Cnidio vel Magneſio lapide, purgare oportet et poſt purgationem lenticulae acetabulum unum ſorbendum, vel duo dato. In lenticula autem allium incoquatur. Betae etiam pinguis non conditae acetabulum, polenta ſuper-

Ed. Chart. VII. [654.] Foël. I. 543. Ed. Lind. II. (224. 225.)

νέτω δὲ οἶνον μέλανα αὐστηρόν τε καὶ ἰσχυρόν. τῇ δὲ ὑστεραίῃ περιπατείτω σταδίους εἴκοσι τὸ ἑωθινόν. ἐλθὼν δὲ φαγέτω ἄρτον μικρὸν ἔξοπτον καὶ ὄψον ἐχέτω σκόροδα ἑφθά. καὶ πινέτω τοῦ αὐτοῦ οἴνου ὀλίγον ἀκρητέστερον. εἶτα βαδιζέτω σταδίους τριήκοντα, καὶ ὁκόταν ὥρη ᾖ, δειπνεέτω ὁκόσον περ καὶ εἴθιστο ἀριστῆν. ὄψον δὲ ἐχέτω μάλιστα μὲν πόδας συὸς καὶ κεφαλάς· εἰ δὲ μή, ἀλεκτρυόνος κρέασιν ἢ ὑὸς τετριμμένοισι χρεέσθω. ἰχθύων δὲ σκορπίῳ ἢ δρακοντίῳ ἢ κόκκυγι ἢ καλλιωνύμῳ ἢ κωβιῷ ἢ τῶν ἄλλων ἰχθύων, ὁκόσοι τὴν ἴσην δύναμιν ἔχουσι. λαχάνοισι δὲ χρεέσθω σκορόδοισι μόνοις καὶ ἄλλων τῶν λαχάνων μηδενί. ταῦτα δὲ ὡς πλεῖστα τρωγέτω καὶ ὠμὰ καὶ ὀπτὰ καὶ ἑφθά, αἰεὶ πλείω ἑκάστης ἡμέρης, καὶ ταλαιπωρεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος καὶ ἐξ ὀλίγου πλέον. τοῦτο τὸ νούσημα μάλιστα γίνεται θέρεος ὥρῃ ἀπὸ ὑδρο(225)ποσίης, ἔτι δὲ καὶ ὕπνων πολλῶν. κρίνεται δὲ ἐν τριήκοντα ἡμέρῃσιν, εἰ θανάσιμον ἢ οὔ. ταῦτα μὲν ποιεέτω, ὁκόταν αἱ τριάκοντα ἡμέραι παρέλθωσιν. ἐν δὲ τῇσι πρώτῃσι τῶν ἡμερέων ῥοφήμασι δια-

aſperſa dandum. Vinum autem bibat nigrum auſterum et valens. Poſtero vero die mane ſtadia viginti obambulet. Ubi autem redierit, panem exaſſatum parvum comedat et pro opſonio allium coctum habeat, vinique ejusdem meracioris parum bibat, deinde ſtadia triginta ambulet, cumque tempeſtivum fuerit, quantum prandere conſueverat coenet, pro opſonio potiſſimum quidem pedes ſuillos aut capita habeat, ſin minus gallinaceis carnibus aut ſuillis tritis utatur. Piſcibus vero, ſcorpio aut dracone aut cuculo aut callionymo aut gobio aut aliis piſcibus qui ſimilem vim habeant. Ex oleribus alliis ſolis utatur, neque ullo alio. Haec autem quam plurima comedat, tum cruda tum aſſa et cocta, in dies ſemper additione facta, et pro ciborum ratione ex parvo intervallo plus laboret. Hic morbus potiſſimum per aeſtatem oritur ex aquae potu, ad haec etiam ex multo ſomno. Judicatur autem triginta diebus, lethalis ſit nec ne. Quibus transactis haec quidem faciat. Primis autem diebus ſorbitionibus utatur, lenticula

Ed. Chart. VII. [654. 655.] Foës. I. 543. 544. Ed. Lind. II. (225.)
χρεέσθω φακῇ ἑφθῇ ἐπωκεστέρῃ τῷ ὄξει, καὶ πτισάνῃ ὀξείῃ. πινέτω δὲ χλιαρὸν μελίκρητον, ἀλφίτων ἐπιπάσσων ὀλίγα, ἵνα γοῦν ὠργισμένον τὸ σῶμα ᾖ πρὸς τὴν φαρμακοποσίην, καὶ εὐδέτω ὑπαίθριος ταύτας τὰς ἡμέρας, καὶ ἢν σοι δοκέῃ τοῦ αἵματος ἀφελεῖν ἀπὸ τῆς ὀσφύος, σικύην προσβαλεῖν καὶ τὰς ἐν τῇ ὄσχῃ φλέβας σχάσαι τὰς παχυτάτας. οὗτος οὕτω θεραπευόμενος τάχιστα ὑγιὴς ἔσται. περιΐσταται ἀπὸ φλέγματος μάλιστα ἐς ὕδερον, τρόπῳ τοιῷδε ἡ πιμελὴ συντήκεται καὶ γίνεται ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ φλέγματι ἐόντος ὕδωρ. || γνώσῃ δὲ τοῦτο, ὅστις δυνατός ἐστιν ἰῆσθαι καὶ ὅστις μή. ἕως γὰρ ἄν τις ἐπὶ τῷ ἤτρῳ ἔχῃ πιμελήν, ἀδύνατόν ἐστιν ἰηθῆναι. γνῶσις δὲ τούτοισι μάλιστα, εἰ ἔπεστι πιμελὴ ἐπὶ τῷ ἤτρῳ ἢ οὔ. ἢν μὲν πυρετοὶ ἐπιγένωνται καὶ μὴ δύνηται ἀνίστασθαι καὶ ὁ ὀμφαλὸς ἔξω ἐξίσχῃ πεφυσημένος, φάναι μηκέτι ἐπεῖναι πιμελὴν καὶ ἰήσιμον εἶναι· τούτῳ ξυμφέρει τὴν κοιλίην ξηραίνειν. διδόναι μὲν ἄρτον αὐτοπυρίτην, δίωλον θερμόν· ὄψον δὲ λαγωοῦ κρέας καὶ κυνὸς τελείου, καὶ ὄϊος, καὶ ὑὸς ὡς ὀπτὰ, καὶ ἀλεκτρυόνος

cocta aceto permixto acidiore reddita et ptiſana acida. Bibat vero aquam mulſam tepidam, modica polenta inſperſa, quo ſane corpus emollitum ſit ad medicamentorum potionem, et per hoſce dies ſub dio dormiat. Quod ſi viſum fuerit ſanguinem e lumbis detrahere, cucurbitulam admoveto, et venas in ſcroto craſſiſſimas pertundito. Hic ad hunc modum curatus citiſſime ſanus evadet. Ex pituita ad aquam intercutem hoc modo devenitur. Colliquatur pinguedo et a pituitae ardore aqua fit. An vero quis ſanari poſſit, necne, ex hoc cognoſces. Quandiu enim quis in imo ventre pinguedinem habet, curari non poteſt. Pinguedo autem in imo ventre inſit, necne, his potiſſimum dignoſces. Si quidem febres advenerint, et erectus ſtare nequeat et umbilicus inflatus foris promineat, pinguedinem non amplius ineſſe dicito, eumque ſanari poſſe. Huic ventrem ſiccare confert, pane quidem exhibito ex ſurſure a pura farina non ſeparato, heſterno, calido, opſonio vero, leporis carne, canis et ovis ac ſuis

Ed. Chart. VII. [655.] Foës. I. 544. Ed. Lind. II. (225. 226.)
ὀπτὰ θερμά, καὶ πολύποδας ἐσθιέτω ἑψῶν ἐν οἴνῳ μέλανι αὐστηρῷ. οἶνον δὲ πινέτω μέλανα ὡς παχύτατον καὶ στρυφνότατον. ἰχθύων δὲ χρεέσθω κωβιῷ, δράκοντι, καλλιωνύμῳ, κόκ(226)κυγι, σκορπίῳ καὶ ἄλλοισι τοῖσι τοιούτοισι πᾶσι ἑφθοῖσι ἑώλοισι καὶ ψυχροῖσιν. ὡς ξηρότατοι γὰρ οὗτοι μάλιστά εἰσι, καὶ ἐς τὸν ζωμὸν μὴ ἐμβαπτέσθω, καὶ ἄναλτοι ἔστωσαν οἱ ἰχθύες. λαχάνων δὲ χρεέσθω ῥαφάνοισι καὶ σελίνοισι· ὀπτήτω δὲ φακὴν τῷ ὄξει ἐπωκεστέρην καὶ ἐσθιέτω, καὶ περιπατεέτω καθ' ἡμέρην, καὶ μετὰ τὸ δεῖπνον καὶ ὄρθρου καὶ ὄψιος εὐδέτω, καὶ πρωῒ ἐξεγειρέσθω. κἢν μὲν ὑπὸ τούτων καθίστηται, ἄλις· ἢν δὲ μὴ, πίσαι αὐτὸν κνέωρον ἢ ἱπποφαέως τοὺς ὀποὺς ἢ Κνίδιον κόκκον, καὶ μετὰ τὴν κάθαρσιν φακῆς δύο τρυβλία ἐπιῤῥοφεέτω, καὶ ἄρτον μικρὸν καταφαγέτω. οἶνον δὲ πινέτω μέλανα, στρυφνόν, ὀλίγον. πινέτω δὲ φάρμακον δὶς τῆς ἡμέρης, ἕως ἂν λαπαρὸς γένηται. ἢν δὲ τὸ οἴδημα καθεστήκῃ ἐν τῇ ὄσχῃ καὶ τοῖσι μηροῖσι καὶ τῇσι κνήμῃσι, κατασχᾶν χρὴ ὀξυτάτῳ μαχαιρίῳ πολλὰ πυκινά. ταῦτα ἢν ποιέῃς, ταχὺ ὑγιέα ποιήσεις. ὕδερος.

maxime aſſata, et galli aſſa et calida. Polypos etiam vino nigro auſtero incoctos edat. Vinum bibat nigrum quam craſſiſſimum et acerbiſſimum. Piſcibus utatur gobio, dracone, callionymo, cuculo, ſcorpio, aliisque id genus coctis omnibus, minime recentibus et frigidis. Hi enim fere quam ſicciſſimi ſunt. Nullo jure ad intinctum utatur et inſulſi piſces ſint. Oleribus utatur radicula et apio. Lenticulam toſtam multo aceto temperatam edat, ſingulis diebus et a coena et mane deambulet, veſperi dormiat et mane exurgat. Ac ſi quidem ex his in integrum reſtituatur, ſatis eſt; ſin minus, ei cneori aut hippophais ſuccum aut granum Cnidium propinato, et poſt purgationem duo lenticulae acetabula inſuper ſorbeat, et parvum panem comedat. Vinum autem bibat nigrum, acerbum, paucum. Medicamentum autem bis die, donec emollitus ſit, bibat. Quod ſi in ſcroto et femoribus ac tibiis tumor laxus exortus fuerit, peracuto ſcalpello multis et crebris vulnuſculis pertundito. Quae ubi feceris, cito ſanumr eddes. Aqua

Ed. Chart. VII. [655. 656.] Foël. I. 544. Ed. Lind. II. (226. 227.)

ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. ὁκόταν θέρεος ὥρῃ διψήσας ὕδωρ πουλὺ πίῃς. ἐπεί περ ἐκ τοῦδε γίνεσθαι φιλέει μάλιστα, καὶ ὁ πνεύμων ἐκπλησθῇ, ἀφίησιν αὖθις ἐς τὰ στήθεα, καὶ ὁκόταν ἐν τοῖσι στήθεσι γένηται, καῦμα παρέχει σφόδρα ὥστε τήκειν τὴν πιμελὴν, τὴν ἐπὶ τῇσιν ἀρτηρίῃσιν ἐνεοῦσαν, καὶ ἢν ἅπαξ ἄρξηται τήκεσθαι τὸ στέαρ πουλὺ πλέον, ἐν ὀλίγῳ χρόνῳ τὸν ὕδερον [656] ἐποίησε. γίνεται δὲ καὶ ἢν φύματα ἐν τῷ πλεύμονι ἐμφυῇ καὶ πλησθῇ ὕδατος καὶ ῥαγῇ ἐς τὰ στήθεα. ὡς δὲ γίνεται καὶ ἀπὸ φυμάτων ὕδερος, τόδε μοι μαρτύριον καὶ ἐν βοῒ καὶ ἐν κυνὶ καὶ ἐν ὑΐ. μάλιστα γὰρ τῶνδε τετραπό(227)δων ἐν τούτοισι γίνεται φύματα ἐν τῷ πλεύμονι ἅπερ ἔχουσιν ὕδωρ. διαταμὼν γὰρ γνοίης τάχιστα. ῥεύσεται γὰρ ὕδωρ. δοκέει δὲ καὶ ἐν ἀνθρώπῳ γίνεσθαι τοιαῦτα πολλῷ μᾶλλον ἢ ἐν προβάτοισιν, ὁκόσῳ καὶ τῇ διαίτῃ ἐπινοέσῳ χρεύμεθα μᾶλλον. ἐγένοντο δὲ πολλοὶ καὶ ἔμπυοι φυμάτων ἐγγενομένων. τάδε οὖν κατ' ἀρχὰς τῷ νουσήματι ἐπιγίνεται, βὴξ ξηρὴ καὶ ὁ φάρυγξ δοκέει κέρχνειν, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιγίνεται καὶ ὀρθοπνοίη, καὶ ὁ χρὼς ἐποιδα-

inter cutem ex his oritur, ubi aeſtatis tempore ſiti preſſus copioſam aquam biberit, quandoquidem inde fere gigni ſolet et pulmo expletus rurſus in pectus dimiſerit, tumque in pectore extiterit, vehementem ardorem excitat, ita ut pinguedinem quae in arteriis ineſt liquefaciat. At ſi ſemel pinguedo liquefieri coeperit, longe citius aquam intercutem efficit. Gignitur etiam ubi tubercula in pulmone exorta fuerint, et aqua repleta in pectus eruperint. Aquam autem inter cutem etiam ex tuberculis oriri, mihi argumento ſunt boves, oves et ſues. In his enim fere quadrupedibus pulmonis tubercula oriuntur, quae aquam continent. Sectione namque facta citiſſime cognoveris cum aqua effluet. Talia autem multo magis etiam in homine quam pecoribus fieri videntur, quanto morboſa magis etiam victus ratione utimur. Plerique vero exortis tuberculis purulenti etiam extiterunt. Haec igitur per morbi initia contingunt. Tuſſis ſicca et fauces ſtridulam quandam aſperitatem habere videntur, rigor et febris erectaeque cervicis reſpiratio con-

Ed. Chart. VII. [656.] Foës. I. 544. 545. Ed. Lind. II. (227. 228.)

λέος, καὶ οἱ πόδες οἰδέουσι, καὶ οἱ ὄνυχες ἕλκονται, καὶ ἕως μὲν ἢ ἐν τῇ ἄνω κοιλίῃ ὁ ὕδερος, ἐστὶν ὁ πόνος ὀξύς· ἐπειδὰν δὲ ἐς τὴν κάτω κοιλίην ἔλθῃ, δοκέει ῥᾴων εἶναι. ἔπειτα πάσχει προϊόντος τοῦ χρόνου οἷά περ πρόσθεν, πιμπλαμένης τῆς κοιλίης. ἔστι δ' ὅτε καὶ ἀποιδέει πρὸς τὸ πλευρὸν καὶ δηλοῖ ἢ χρὴ τάμνειν. ἢν δὲ μὴ ἀποδηλοῖ, λούσας πολλῷ καὶ θερμῷ τῶν ὠμῶν λαβόμενος σεῖσον. εἶτ' ἀκροᾶσθαι ἐν ὁκοτέρῳ ἂν τῶν πλευρέων μᾶλλον κλύζηται. ξυνεὶς δὲ τάμνειν τὴν πλευρὴν τὴν τρίτην, ἀπὸ τῆς νεάτης μέχρι τοῦ ὀστέου. εἶτα τρυπῆσαι πέρην τρυπάνῳ τρυγλητηρίῳ, καὶ ὁκόταν τρυπηθῇ, ἀφεῖναι τοῦ ὕδατος ὀλίγον, καὶ ὁκόταν ἀφῇς, μοτῶσαι ὠμολίνῳ, || καὶ ἄνωθεν ἐπιθεῖναι σπόγγον μαλθακόν, εἶτα καταδῆσαι ὅπως μὴ ἐκπέσῃ ὁ μοτός. ἀφιέναι δὲ χρὴ δυοκαίδεκα ἡμέρας τὸν ὕδρωπα, ἅπαξ τῆς ἡμέρης. μετὰ δὲ τὰς δυοκαίδεκα ἡμέρας τῇ τρισκαιδεκάτῃ ἅπαν ἀφιέναι τὸ ὕδωρ, καὶ τὸν λοιπὸν χρόνον ἢν ὑποτείνηται ὕδατος ἀφιέναι, καὶ τὴν κοιλίην τοῖσι σιτίοισιν ἀποξηραίνειν. τάδε δὲ (228) δεῖ μετὰ τὴν τμῆσιν διδόναι. σκευάσας ὀποῦ σιλφίου δραχμῆς

tingit, corpus et pedes intumeſcunt, ungues contrahuntur, et quandiu quidem in ſuperiore ventre aqua intercus extiterit, acutus dolor detinet, cum vero ad inferiorem ventrem devenerit, melius habere videtur. Deinde progrediente tempore, impleto ventre eadem quae prius patitur. Interdum vero ad latus intumeſcit, et qua parte ſecandum ſit indicat. Quod ſi non indicet, multa calida lotum, humeris comprehenſum concutito, deinde quonam latere magis fluctuet auſcultato. Quod cum intellexeris, tertiam ab ultima coſtam ad os usque ſecato, deinde terebra acuta ulterius perforato cumque perforata fuerit, paucam aquam educito. Qua educta penicillum ex lino crudo in vulnus immittito, et mollem ſpongiam ſuperapponito, deinde ne penicillus decidat deligato. Per duodecim autem dies ſemel die aqua educenda, poſt duodecimum vero diem decimotertio die tota aqua educenda et de caetero, ſi ſuſcitetur aqua emittenda, venterque cibis ſiccis reſiccandus. Haec autem poſt ſectionem exhibenda. Succum laſeris

Ed. Chart. VII. [656. 657.] Foes. I. 645. Ed. Lind. II. (228.)
σταθμὸν, καὶ ἀριστολοχίης κνῆσαι ὁκόσον ἀστράγαλον ἐλάφου, καὶ φακῶν καὶ ὀρόβων πεφρυγμένων ἄλφιτα καθάρας ὁκόσον ἡμιχοίνικον ἑκατέρων, ξυμφυρῆσαι ταῦτα μέλιτι καὶ ὄξει. εἶτα πλάσαι κόλληκας ἑξήκοντα καὶ καθ' ἑκάστης ἡμέρης τρίβων ἕνα διεῖναι οἴνου μέλανος ἡμικοτυλίῳ, αὐστηρῷ ὡς ἡδίστῳ. εἶτα διδόναι νήστει πιεῖν. τὴν δὲ ἄλλην δίαιταν καὶ ταλαιπωρίην τὴν αὐτὴν κελεύειν διαιτᾶσθαι ἣν καὶ τὸν πρόσθεν χρόνον, καὶ ἢν οἰδήσῃ τὰ αἰδοῖα καὶ τοὺς μηροὺς, θαρσέως κατασχᾷν. τοῦτον ἢν οὕτω μελετᾷς, τάχιστα ὑγιῆ ποιήσεις. ὕδερος ἀπὸ τοῦ ἥπατος. ὁ ἀπὸ τοῦ ἥπατος ὕδερος γίνεται, ὁκόταν ἐς τὸ ἧπαρ φλέγμα ἐπιγένηται, καὶ ἀναλάβῃ τὸ ἧπαρ καὶ ὑγρανθῇ. εὐθὺς οὖν καῦμα τούτῳ παρέχει καὶ φῦσαν ἐμποιέει. ἔπειτα δὲ χρόνῳ ὕδατος πίμπλαται. κἄπειτα δηγμὸς ἐς τὸ σῶμα ἐμπίπτει, καὶ οἴδημα ἐν τῇσι κνήμῃσι καὶ ἐν τοῖσι ποσὶν ἔνεστι, καὶ τὸ ἧπαρ σκληρὸν καὶ οἰδέει, καὶ αἱ κληῖδες λεπτύνονται. [657] τούτῳ ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος διδόναι ἢν ἀλγέῃ τὸ ἧπαρ, ὁρί-

drachmae pondere apparatum, et ariſtolochiae tali cervini magnitudine fruſtulum deraſum, et lentium ervique torrefactorum polentam, utriusque purgatae choenicis dimidium, haec melle et aceto ſubigito. Deinde ſexaginta paſtillis formatis, unum tritum quotidie vini nigri auſteri quam ſuaviſſimi heminae dimidio maceratum, mox jejuno potui exhibeto. Reliquam vero victus rationem et exercitationem eandem quam prius habere jubeto. Et ſi pudenda ac femora intumuerint, audacter ſpecillo pertundito. Hunc ſi eo modo curaveris, citiſſime ſanum reddes. Aqua intercus ab hepate, quae tunc quidem oritur cum ad hepar pituita acceſſerit, eamque hepar exceperit et humectum redditum fuerit. Confeſtim igitur ardorem huic praebet et flatum excitat. Deinde vero procedente tempore aqua impletur, poſteaque corporis morſus contingit, in tibiis et pedibus tumor eſt laxus, hepar durum redditur ac intumeſcit, et claviculae extenuantur. Huic cum ita habuerit, per morbi exordia, ubi hepar doluerit, origanum tritum

Ed. Chart. VII. [657.] Foës. I. 545. Ed. Lind. II. (228. 229.)

γανον τρίβων, ὀπόν τε σιλφίου ὁκόσον ὄροβον διεὶς ἐν οἴνῳ λευκῷ ἡμικοτυλίῳ πίνειν, καὶ γάλα αἰγὸς τρίτον μέρος μελικρήτου παραμίσγων τετρακότυλον κύλικα. σιτίων δὲ ἀπεχέσθω τὰς πρώτας ἡμέρας δέκα. αὗται γὰρ κρίνουσι τὸ νούσημα, εἰ θανάσιμον ἢ οὔ. φοφανέτω δὲ πτισάνης χυλὸν, κάθεφθον μέλι παραχέων. οἶνον δὲ πινέτω λευκὸν Μένδαιον ἢ ἄλλον τὸν (229) ἥδιστον ὑδαρέα. ὁκόταν δὲ αἱ δέκα ἡμέραι παρέλθωσι, σιτία προσφερέσθω καθαρὰ καὶ ὄψον ἐχέτω, ἀλεκτρυόνος κρέα ὀπτὰ θερμά. ἐχέτω δὲ καὶ σκύλακος ἔφθά. ἰχθύϊ δὲ γαλαίῳ καὶ νάρκῃ χρεέσθω ὀπτοῖσιν. οἶνον δὲ τὸν αὐτὸν πινέτω. κἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις· ἢν δὲ μὴ, ἐπεὶ γοῦν αὐτὸς ἑωϋτοῦ παχύτατος ἔῃ καὶ τὸ ἧπαρ μέγιστον, καῦσαι μύκησιν. οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσαις. καῦσαι δὲ χρὴ ἐσχάρας ὀκτώ. ἢν δὲ ὁ ὕδερος ἐγγένηται καὶ ῥαγῇ ἐς τὴν κοιλίην, τοῖσιν αὐτοῖσιν ἰῆσθαι οἷσι καὶ τὰ πρόσθεν φαρμάκοισι καὶ ποτοῖσι καὶ βρωτοῖσι καὶ ταλαιπωρίῃσιν. οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. ἢν δέ σοι δοκέῃ ἀφίστασθαι τοῦ ἥπατος, καῦσαι ὅκου

cum laſeris ſucco, ervi quantitate in vini albi hemina dimidia maceratum, potui exhibeto et lactis caprini poculum quatuor heminarum, tertia aquae mulſae admixta parte. Primis autem decem diebus cibis abſtineat. Hi namque morbum lethalis ſit necne dijudicant. Ptiſanae ſuccum melle affuſo coctum ſorbeat. Vinum vero album Mendaeum aut aliud ſuaviſſimum aquoſum bibat. Ubi autem dies decem praeterierint, cibos puros aſſumat et pro opſonio galli carnes aſſas calidas habeat. Catulinis etiam coctis utatur: piſce vero, galaeo et torpedine aſſatis, vinum autem idem bibat. Ac ſi quidem ex his ſedetur, ſatis eſt. Sin minus, ubi certe craſſiſſimus evaſerit et hepar maximum, fungis inurito. Sic enim citiſſime ſanum reddideris. Octo autem cruſtis inurere oportet. At ſi aqua intercus in ventre ſuboriatur et in eum erumpat, iisdem medicamentis et potibus et cibis et exercitationibus quibus priores curato: vinum vero auſterum nigrum bibat. Quod ſi ab hepate decedere tibi videatur, ubi apparuerit ferramento

Ed. Chart. VII. [657.] Foës. I. 545. 546. Ed. Lind. II. (229. 230.)
φανῇ σιδηρίῳ, καὶ ἀφιέναι τοῦ ὕδατος κατ' ὀλίγον, καὶ ἰῆσθαι ὡς καὶ τὰ λοιπὰ πρόσθεν. ἢν δὲ μὴ ὑπὸ τούτων ὑγιὴς γένηται, φθειρόμενος θνήσκει χρόνῳ. ἡ γὰρ νοῦσος χαλεπὴ καὶ παῦροι ταύτην διαφυγγάνουσιν. ὕδερος ἀπὸ τοῦ σπληνός. ὁ δὲ ὕδερος ὁ ἀπὸ τοῦ σπληνὸς γίνεται τρόπον τοιόνδε καὶ ἀπὸ τῆς τοιαύτης προφάσιος μάλιστα, ὁκόταν φάγῃ σύκων χλωρῶν καὶ μήλων ὀπώρην πολλήν. πολλοὶ δὲ ἤδη καὶ ἀπὸ τροφῆς βοτρύων πολλῶν καὶ πολλοῦ γλεύκους τὴν νοῦσον ἔλαβον. κὴν μὲν οὖν μέλλῃ ἐς τὸ νούσημα ἐμπεσεῖσθαι, παραχρῆμα ἐν τοῖσι πόνοισιν ἐστίν. ὀδύναι τε γὰρ ὀξεῖαι ἐν τῷ σπληνὶ καθεστᾶσι, μεταπίπτουσι δὲ καὶ ἐς τὸν ὦμον καὶ ἐς τὴν κληῖδα καὶ ἐς τὸν τιτθὸν καὶ ἐς τὸν λαγόνα, καὶ πυρετοὶ ἔχουσιν ἰσχυροὶ, καὶ μικρόν τι κἂν φάγῃ ἡ γαστὴρ πίμ(230)πλαται, καὶ ὁ σπλὴν ἀείρεται καὶ ὀδύνην παρέχει. || τοῦτο ἢν χρονίσῃ τὸ νούσημα, τὸν μὲν ἄλλον χρόνον ἧσσον πονέει. ὁκόταν δὲ ὀπώρη ᾖ καὶ φάγῃ ταύτην, ἀντὶ τοῦ πρόσθεν μᾶλλον πονέει. τούτῳ, ὁκόταν ὧδε ἔχῃ, κατ' ἀρχὰς μελετᾶν ἄνω μὲν ἐλλέβορον δοῦναι, κάτω δὲ κνέωρον ἢ ἱπποφαέως ὀπὸν ἢ Κνίδιον κόκκον, καὶ γάλα ὄνειον ὀκτὼ

inurito et aquam paulatim educito, velutque reliquos priores curato. Si vero ex his non convaleſcat, tandem conſumptus perit. Morbus enim gravis eſt et ex quo pauci evadunt. Aqua intercus ex liene. Aqua vero intercus ex liene ad hunc modum et ex hac potiſſimum cauſa oritur, cum quis ficus virides et poma multa comederit. Plerique vero ex multo racemorum cibo et muſto copioſo in morbum inciderunt. Si quidem igitur in morbum collapſurus eſt, confeſtim doloribus conflictatur. Acuti tum dolores ex liene excitantur et ad humerum, jugulum, mammam, ilia transeunt et febres vehementes detinent, venterque etiamſi parum quid comederit, impletur, lien attollitur et dolorem praebet. Hic morbus ſi inveteraverit, reliquo quidem tempore minus dolet, cum vero pomorum tempus aderit eaque comederit, magis quam antea dolet. Hunc ita habentem per exordia curato, veratro ſupra exhibito, infra vero cnecoro, hippophaes ſucco aut grano Cnidio et lacte aſinino ad heminas

Ed. Chart. VII. [657. 658.] Foës. I. 546. Ed. Lind. II. (230.)
κοτύλας μέλι παραχέων. κἢν μὲν ἀπὸ τουτέων καθίστηται, ἄλις· ἢν δὲ μὴ, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ οἰδέῃ μάλιστα, καῦσαι μύκησι τὰς κεφαλὰς ἀπολαβὼν, ἢ σι[658]δηρίοισι μετὰ φυλακῆς πολλῆς καὶ τηρήσιος, ὅκως μὴ πέρην διακαύσῃς. ταῦτα δὲ κατ' ἀρχὰς ποιέειν τοῦ νοσήματος καὶ τήνδε τὴν δίαιταν προσφερέσθω, πυρετοῦ μὴ ἔχοντος. ἄρτῳ μὲν χρεέσθω πυρίνῳ ὀπτῷ ἢ τῶν σκληρῶν πυρῶν διπυρίτῃ. ὄψον δὲ ἐχέτω τάριχος Γαδειρικὸν ἢ σαπέρδην, καὶ κρέας τετριμμένον οἰὸς, καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα ἐσθιέτω, καὶ πινέτω οἶνον αὐστηρὸν Κῷον ὡς μελάντατον. τῶν δὲ γλυκέων ἀπεχέσθω. ἢν δὲ ἐξανίσταται καὶ δύνηται, παλαιέτω ἐπ' ἄκρων τῶν ὤμων, καὶ ταλαιπωρεέτω περιόδοισι πολλοῖς δι' ἡμέρης, καὶ εὐωχεέσθω ἅπερ εἴρηται. ἢν δὲ ὕδερος γένηται, ἰῆσθαι κατὰ ταῦτα καὶ τοῖσιν αὐτοῖσιν οἷς καὶ τοὺς πρόσθεν. ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. θέρεος ὥρην, ἢν ὁδοιπορέων ὁδὸν μακρὴν ἐπιτύχῃ ὀμβρίῳ ὕδατι καὶ στασίμῳ καὶ πίῃ αὐτοῦ ἐπισπάδην πολλόν. ἢν οὖν αἱ σάρκες ἀναπίωσι καὶ ἐνίσχωσιν ἐν ἑωυτῇσι τὸ ὕδωρ, ὑποχώ-

octo, melle affuſo. Quod ſi quidem ex his reſtituatur, ſatis eſt. Sin minus, ubi lien magnus fuerit et maxime intumuerit, capitibus apprehenſis fungis inurito aut ferramentis, multa cautione et obſervatione adhibita, ne ulterius peruras. Hoc per morbi exordia facito, iſtamque victus rationem exhibeto. Si febris non detineat, pane quidem utatur triticeo toſto aut ex duro tritico, ſecundo ignem experto. Pro opſonio ſalſamentum Gaditanum aut ſaperdam habeat et carnem ovillam tritam acida et ſalſa omnia comedat, vinumque auſterum Coum quam nigerrimum bibat, dulcibus vero abſtineat. Quod ſi exurgat validusque ſit, ſummis humeris luctetur et multos ambitus in die laborando conficiat, ac ea quae dicta ſunt in cibo ſumat. Quod ſi aqua intercus fuit, per eadem et iisdem quibus etiam priores curato. Ex his vero aqua intercus oritur, ſi quis per aeſtatis tempus ex longo viae itinere in aquam pluviam et ſtatariam inciderit, eamque avide copioſam biberit. Si igitur carnes aquam combibant

Ed. Chart. VII. [658.] Foës. I. 546. Ed. Lind. II. (230. 231.)

ρησις δὲ μὴ γένηται μηδαμῆ, τάδε πάσχει. ἢν (231) μὲν ᾖ ἐν τῇ σαρκὶ, καῦμα παρέχει ἔν τε τῇ κοιλίῃ καὶ ἐν τῷ σώματι· ὥσιε τὸ στέαρ τὸ ἐπιὸν τῇ κοιλίῃ τήκεται. οὗτος τέως μὲν ἢν βαδίζῃ, οὐδὲν δοκέει κακὸν ἔχειν. ὁκόταν δὲ παύσηται βαδίζων καὶ ὁ ἥλιος δύνῃ, παραχρῆμα τὸν πόνον παρέχει πουλύν. προϊούσης δὲ τῆς νούσου λεπτύνεται σφόδρα. ἢν δὲ καὶ ἀσιτίη ἐπιγένηται, πολλῷ πλέον λεπτύνεται. ἢν δὲ τὰ σιτία μὲν ἐσθίειν μὴ δύνηται, ταλαιπωρέειν δὲ ἀδυνάτως ἔχῃ καὶ ἐπὶ πλέον σίνεται, τοῖσι πολλοῖσι τοιουτέων καὶ οἴδημα καθίσταται ἐς ὅλον τὸ σῶμα, καὶ τῷ μὲν λεπτῷ ἡ χροιὴ πελίη γίνεται καὶ ἡ γαστὴρ μεγάλη, καὶ δίψα ἔχει ἰσχυρὴ, καὶ τὰ σπλάγχνα αὐτέου ξηραίνεται ὑπὸ τῆς θέρμης. τοῦ δὲ χρόνου προϊόντος ἐς μὲν τὸ ἐσθίειν πρόθυμος ἔῃ καὶ ἐσθίει ὅπερ ἄν τις διδώῃ, καὶ πίνει καὶ ἀλγέει οὐδέν. ἢν δὲ τὸ οἴδημα κατέχῃ, ἡ χροιὴ γίνεται τουτέῳ ὠχρὴ, καὶ διὰ τοῦ σώματος φλέβες διατέτανται μέλαιναι πυκναί. θυμαίνει δὲ καὶ λυπέεται ἐπὶ παντὶ, οὐδενὸς νεωτέρου ἐόντος· ἡ δὲ γαστὴρ δίῦδρος καὶ μεγάλη ὥσπερ λαπτὴρ, καὶ τοῦ

et in ſe contineant, nusquam autem ſecedat, haec contingunt. Si quidem in carne fuerit, ardorem ventri et corpori exhibet, proindeque pingue quod in ventre eſt colliquefit. Hic quoad iter fecerit, nihil mali habere videtur, cum autem ab itinere ceſſarit ſolque occiderit, confeſtim multum laborem exhibet, progreſſo vero morbo admodum extenuatur, ſique etiam cibi faſtidium contingat, multo magis extenuatur. Quod ſi cibos quidem edere poſſit, exerceri autem nequeat, magis etiam laeditur, horum plerisque laxus tumor etiam toto corpore excitatur. Et extenuato quidem color lividus exiſtit et venter magnus, ſitis vehemens detinet, ejusque viſcera prae calore exiccantur. Temporis vero progreſſu ad edendum quidem promtus exiſtit, et quicquid quis exhibuerit comedit et bibit nihilque dolet. Quod ſi tumor laxus detineat, ei color pallidus exiſtit venaeque nigrae crebrae per corpus diſtenduntur, ex re quavis iraſcitur et triſtitia afficitur, quamvis novi nihil contingat, venter nimio humore pertumeſcit, intumeſcit ac pellucet velut laterna, procedenteque

Ed. Chart. VII. [658. 659.] Foël. I. 546. 547. Ed. Lind. II. (231. 232.)
χρόνου προϊόντος τὰ σιτία οὐ προσίεται, ἀλλὰ δοκέει αὐτὰ ὄζειν σικύου ἀγρίου ὑπὸ τῆς βδελυρίης. τούτῳ, ὁκόταν οὕτως ἔχῃ, διδόναι τοῦ κνεώρου ἢ τοῦ ἱπποφαέως τὸν ὀπὸν ἢ τὸν Κνίδιον κόκκον. ταῦτα δὲ τὰ φάρμακα οὕτω διδόναι χρή. τὸ μὲν κνέωρον δι' ἕκτης ἡμέρης, τὸν δὲ τοῦ ἱπποφαέως ὀπὸν δι' ὀγδόης, τὸν δὲ Κνίδιον κόκκον διὰ δεκάτης ἡμέρης, διδόναι δὲ τὰ αὐτὰ χρὴ, ἕως ἂν ἐκκαθαρθῇ καὶ λαπαρὸς γένηται. τὰς δὲ μεταξὺ τῶν ἡμερέων εὐωχέειν τοῖσιν αὐτοῖσιν οἷσι καὶ τὸν πρόσθεν. μάλιστα (232) δὲ τοῦ ὕδατος τοῦ αὐτοῦ πίνειν διδόναι, ὑπ' ὅτευ καὶ τὸ νούσημα ἔλαβεν, ὡς πλεῖστον, ὅκως ταράξῃ αὐτέου τὴν κοιλίην καὶ ὑποχωρήσῃ σφόδρα. οὕτως γὰρ μάλιστα ὑγιέα ποιήσεις. ἢν δέ σοι δοκέῃ, καὶ [659] κλύζειν θαμινὰ, τοῦ κνεώρου τρίψας ἥμισύ τε ποιήσας, μέλιτος παραμίξας τρίτον μέρος κοτύλης διεῖναι, καὶ τευτλίου τέταρτον κοτύλης. εἶθ' οὕτω κλύζειν, καὶ ὀρείου γάλακτος ἑφθοῦ τῇ ὑστεραίῃ δοῦναι, || ὀκτὼ κοτύλας μέλι παραχέων ἢ ἅλας παραβαλὼν πίνειν, καὶ μετὰ τὴν κάθαρσιν τοῖσιν αὐτοῖσι χρέεσθω οἷσι καὶ ὁ πρόσθεν, καὶ τὰς μεταξὺ τῶν ἡμερέων σιτίοισι καὶ ποτοῖσι τοῖσιν αὐτοῖσι

tempore cibos repudiat, ſed videntur cucumeris agreſtis odorem prae ſe ferre prae faſtidio. Huic cum ſic habuerit, cneorum aut hippophais ſuccum aut granum Cnidium exhibeto. Haec vero medicamenta ſic exhibere oportet. Cneorum quidem ſexto die, hippophaes vero ſuccum octavo, et granum cnidium decimo. Eaque dare oportet quoad expurgetur et exinanitus ſit. Intermediis vero diebus eadem quae prior in cibo ſumat. Potiſſimum vero ejus aquae ex qua in morbum incidit quam plurimum propinato, uti ejus ventrem commoveat et multum demittat. Sic enim praecipue ſanum reddes. Quod ſi tibi viſum fuerit, crebro alvum infuſo ſubluito ex cneoro trito ad dimidiam heminam, mellis tertia heminae parte admixta et betae ſucco ad quartam heminae partem diluto, deinde ſic infuſo ſubluito. Et lactis aſinini cocti poſtero die affuſo melle octo heminas exhibeto, aut addito ſale propinato. Poſt purgationem iisdem quibus etiam prior utatur et interpoſitis diebus cibis et potionibus

Ed. Chart. VII. [659.] Foës. I. 547. Ed. Lind. II. (232. 233.)

χρέεσθω καὶ τοῖσιν περιπάτοισιν ὁμοίως. οὕτω θεραπευόμενος ἐν τάχει τῆς νούσου ἀπαλλαγήσεται τρίμηνος ἢ ἑξάμηνος. ἢν δὲ ἀμελείη τις ἐγγένηται καὶ μὴ παραχρῆμα μελετηθῇ, ἐν τάχει ἀποθνήσκει. καὶ τὸν καταλεπτυνόμενον τοῖσιν αὐτοῖσι χρῆσθαι πρὸς ἴησιν. προϋγρῆναι δὲ χρὴ πρότερον αὐτοῦ τὸ σῶμα πυριήσαντα ὅκως ἂν μᾶλλον τῶν φαρμάκων ὑπακούῃ. ἀλλὰ χρὴ παραχρῆμα μελετᾶν. ἢν δὲ μὴ, τοῖσι πολλοῖσι ξυγγηράσκει ἡ νοῦσος. κλύζειν δὲ χρὴ καὶ τοῖσδε, ὁκοτέρη ἢν βούλῃ τῶν νούσων. οἴνου λευκοῦ δύο κοτύλας λαβὼν καὶ μέλιτος ἡμικοτύλιον, καὶ ἐλαίου ἡμικοτύλιον. νίτρου τεταρτημόριον. Αἰγυπτίου ὀποῦ, σικύου ἀγρίου τῶν φύλλων κόψας καὶ ἐκπιέσας τοῦ χυλοῦ κοτύλην. ταῦτα μίξας πάντα, ἕς τι χυτρίδιον ἐγχέαι καὶ ἐπιζέσας οὕτω κλύζειν. νοῦσος ἡπατῖτις. ἡ δὲ νοῦσος γίνεται ἀπὸ χολῆς μελαίνης, ὁκόταν ἐπιῤῥυῇ ἐς τὸ ἧπαρ. προσ(233)πίπτει δὲ μάλιστα μετοπώρου, ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ. τάδε οὖν πάσχει. ἐς τὸ ἧπαρ ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ, καὶ ὑπὸ τὰς νεάτας πλευρὰς καὶ ἐς τὸν ὦμον καὶ ἐς τὴν κληῖδα καὶ

iisdem utatur, eodemque modo deambulationibus. Sic curatus brevi hoc morbo liberabitur intra tertium aut sextum mensem. Quod si negligentia aliqua adfuerit, neque confestim curatus fuerit, cito moritur. Extenuatus quoque iisdem ad curationem uti debet. Prius autem ejus corpus fomentis adhibitis praehumectare oportet, medicamentis ut magis obaudiat. Verum confestim curatio adhibenda, alioqui plerisque morbus ad senectutem deducitur. Quem vero voles ex his morbis ejusmodi infuso subluere oportet. Ad heminas duas vini albi et mellis heminam dimidiam, olei heminam dimidiam, adde nitri Aegyptii torrefacti quadrantem et succi foliorum cucumeris agrestis tusorum et expressorum heminam. His omnibus mixtis, in ollulam quandam infusis et servefactis, sic per infusum subluito. Morbus hepaticus. Hic morbus oritur ex atra bile, cum ad hepar confluxerit. Ingruit autem potissimum autumno in anni mutationibus. Hoc igitur modo afficitur aeger. Dolor ei gravis ad hepar irruit et ad postremas costas, ad humerum,

Ed. Chart. VII. [659.] Foës. I. 547. Ed. Lind. II. (233.)

ὑπὸ τὸν τιτθόν, καὶ πνὶξ ἔχει ἰσχυρὴ, καὶ ἐνίοτε ἀπεμέει πελιδνὴν χολὴν, καὶ ῥῖγος καὶ πυρετὸς τὰς πρώτας ἡμέρας βληχρότερος ἔχει, καὶ ψαυόμενος ἀλγέει τὸ ἧπαρ, καὶ ἡ χροιὴ ὑποπέλιδνος αὐτέου, καὶ τὰ σιτία ἃ πρόσθεν ἐρεβρώκει πνίγει αὐτὸν, καὶ προσπίπτοντα καίει καὶ στρέφει τὴν κοιλίην. ταῦτα μὲν πόσχει κατ' ἀρχάς. τῆς δὲ νούσου προϊούσης οἵ τε πυρετοὶ ἀφιᾶσι καὶ ἀπ' ὀλίγων σιτίων πίμπλαται. ἐν δὲ τῷ ἥπατι ἡ ὀδύνη μούνη λείπεται, καὶ αὐτὴ ποτὲ μὲν ἰσχυρὴ, ποτὲ δὲ ἧσσω διαπαύουσα. ἐνίοτε δὲ ὀξείη λαμβάνει, καὶ πολλάκις ἐξαπίνης ἀφῆκε τὴν ψυχήν. τούτῳ ξυμφέρει ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ, τά τε ἄλλα καὶ μὴν καὶ τὰ χλιάσματα προστιθέναι ταῦτα, ἃ καὶ τῇ πλευρίτιδι. ὁκόταν δὲ ἀνῇ ὁ πόνος, λούειν αὐτὸν πολλῷ καὶ θερμῷ, μελίκρητόν τε διδόναι πίνειν καὶ οἶνον λευκὸν γλυκὺν ἢ αὐστηρὸν, ὁκότερον ἂν ξυμφέρῃ, καὶ ῥοφήματα ταῦτα, ἃ καὶ τῷ ὑπὸ πλευρίτιδος ἑαλωκότι. ὑπὲρ δὲ τῆς ὀδύνης τάδε χρὴ διδόναι πίνειν. ἀλεκτορίδος ὠοῦ ἑφθοῦ τὸ ὑγρὸν τρίψας παραχέας τε στρύχνου χυλοῦ ἡμικοτύλιον καὶ μελίκρητον ἐν

ad jugulum et ad mammam vehemensque ſtrangulatus detinet. Interdum etiam bilem lividam vomitione rejicit, rigor et levis febris primis diebus tenet, ad contactum hepar dolet, illius color eſt ſublividus eumque cibi quos antea comedit ſtrangulant, et in ventrem irruentes incendunt et tormina excitant. Haec quidem per exordia patitur. At procedente morbo tum febres dimittunt, tum a paucis cibis impletur. In hepate vero ſolus dolor remanet: isque interdum quidem vehemens, interdum etiam minor quieſcit. Quandoque vero morbus invadit, frequenterque derepente aeger animam efflavit. Huic conferunt, cum dolor detinet, tum alia tum ea etiam tepefactoria quae in lateris dolore adhibentur. Ubi dolor remiſerit, multa calida loto, aquam mulſam et vinum album dulce aut auſterum, quodcunque conducere videbitur, propinato, easdemque ſorbitiones quas lateris dolore correpto. Ad dolorem autem haec potui exhibenda. Ovi gallinacei decocti liquorem tritum, tum ſucci ſolani heminae dimidium melle affuſo, tum aquae mulſae ſemiheminae di-

Ed. Chart. VII. [659. 660.] Foës. I. 547. 548. Ed. Lind. II. (233. 234.)
ὕδατι πεποιημένον, ἡμισυ ἡμικοτύλιον τούτοισι διεὶς διδόναι πίνειν, καὶ παύσει τὴν ὀδύνην. διδόναι δὲ καὶ ἑκάστης ἡμέρης, ἕως ἂν ἡ ὀδύνη παύσηται. πινέτω δὲ καὶ σιλφίου ὀπὸν ὁκόσον [660] ὕροβον, καὶ ὀρίγανον τρίβων διεῖναι οἴνῳ λευκῷ, καὶ οὕτως πίνειν νῆστις. ἐπι(234)πινέτω δὲ καὶ τὰ ἐν τῇ πλευρίτιδι διδόμενα φάρμακα, εἵνεκα τῆς ὀδύνης. πινέτω δὲ καὶ γάλα αἰγὸς, τρίτον μέρος μέλιτος παραμίσγων. τοῦ δὲ γάλακτος ἑστωσαν τέσσαρες κοτύλαι. τοῦτο ἔωθεν πινέτω ὁκόταν ἰῦλλα μὴ πίνῃ. σιτίων δὲ ἀπεχέσθω, ἕως ἂν κριθῇ ἡ νοῦσος. κρίνεται δὲ μάλιστα ἐν ἑπτὰ ἡμέρῃσι. ταύτῃσι γὰρ δηλοῦται εἰ θανάσιμος ἢ οὔ. ἢν δὲ καὶ πτίγμα προσίσηται, τάδε χρὴ διδόναι, ὅκως ἂν ἀπεμέσῃ, μέλι, καὶ ὕδωρ, ὄξος, ἅλας. ταῦτα μίξας ἐγχέαι ἐς χυτρίδιον καινόν. εἶτα χλιαίνειν καὶ ταράσσειν ὀριγάνου κλωνίοισι τῆς κεφαλοειδέος ξὺν τῷ καρπῷ. ὁκόταν δὲ χλιανθῇ ἐκπιεῖν δοῦναι χλιαρόν. εἶτα περιβαλὼν ἱμάτια ἐῶν, περιστείλας ἕως ἂν ἱδρώσῃ μάλιστα, καὶ ὁκόταν ἔμετος αὐτὸν ἔχῃ, ἐπέτω προθύμως καταματτευόμενος πτερῷ. ἢν δὲ μὴ δύνηται ἐμέσαι, || ἐπιπιὼν

midium, haec aqua commixta et ſubacta potui exhibeto et dolorem ſedabunt. Quotidie autem exhibenda quoad ſedatus fuerit dolor. Laſeris etiam ſuccum orobi quantitate, et origanum tritum vino albo dilutum, eodem modo jejunus bibat. Medicamenta vero etiam, quae in lateris morbo ad dolorem exhibentur, inſuper bibat. Lac quoque caprinum ad quatuor heminas tertia mellis parte admixta bibat. Hoc mane bibat, cum alia non biberit. Cibis abſtineat quoad morbus judicatus fuerit, quod fere intra dies ſeptem contingit. In his enim lethalis ſit nec ne manifeſte deprehenditur. Quod ſi etiam ſtrangulatus urgeat, haec uti revomat exhibere oportet, mel, aquam, acetum et ſales. Haec permixta in ollulam novam affuſa, poſtea tepefacta et origani capitati ramulis cum ſemine agitata, tepida ebibenda dato. Deinde veſtibus obvolutum donec maxime exudet ſinito, cumque vomitus prehenderit, levi ex penna attrectatione alacriter vomat. At ſi vomere nequeat, aquae mulſae tepidae duarum

Ed. Chart. VII. [660.] Foës. I. 548. Ed. Lind. II. (234. 235.)
μελικρήτου χλιαροῦ κύλικα δικότυλον, οὕτως ἐμεέτω, καὶ ἤν τι ἀπεμέσῃ χολῆς ἢ φλέγματος, αὖθις τὸ αὐτὸ χρὴ ποιέειν ἐπὶ τέσσαρας ὥρας· ὠφελήσει γάρ. μετὰ δὲ τῆς νούσου τὴν κρίσιν μελετῆν, σιτία ὀλίγα διδοὺς καθαρά. κἢν μὲν ἄρτον φιλέῃ ἐσθίειν, ἄρτον θερμὸν ὡς μάλιστα καθαρὸν ἐσθιέτω· ἢν δὲ μάζην, ἄτριπτον ἐσθιέτω, πρότερον προφυρήσας. ὄψον δὲ ἐχέτω κρέα σκυλακίου ἑφθὰ ἢ πελειάδος ἢ ἀλεκτορίδος νεοσσοῦ, ἑφθοῖσι πᾶσιν. ἰχθύων δὲ γαλαίῳ, νάρκῃ, τρυγόνι τε καὶ βατίσι τῇσι μικρῇσι, πᾶσι ἑφθοῖσι. λουέσθω δὲ καὶ ἡμέρης ἑκάστης καὶ τὸ ψῦχος φυλασσέσθω, καὶ περιπατεέτω ὀλίγα τέως ἐν ἀσ(235)φαλείῃ. ταῦτα δὴ ἢν φυλάσσηται, οὐκ ὑποτροπιάσαι τὴν νοῦσον δέος πάλιν. καὶ γὰρ ἡ τοιαύτη νοῦσος χαλεπή ἐστι καὶ χρονίη. ἄλλη ἧπατῖτις. αἱ μὲν ὀδύναι πιέζουσι κατὰ τὰ αὐτὰ ἐς τὸ ἧπαρ, καὶ ἡ χροιὴ διαφέρει τῆς πρόσθεν. σιδιοειδὴς γάρ ἐστιν. ἐν δὲ τῷ καιρῷ τοῦ θέρεος μάλιστα ἐμπίπτει. γίνεται δὲ ἀπὸ κρεοφαγίης βοείων κρεῶν καὶ ἐξ οἰνοφλυγίης. ταῦτα γὰρ πάντα τὴν τοιαύτην τοῦ ἔτους ὥρην, πολεμιώτατα τῷ ἥπατι, καὶ χολὴν μάλιστα προσίστησι πρὸς τὸ ἧπαρ. τάδε οὖν πάσχει. ὀδύναι ὀξεῖαι

heminarum poculo insuper epoto, ad hunc modum vomat. Et si bilem aliquam aut pituitam vomitione rejecerit, rursus idem post horas quatuor faciendum, prosuerit namque. Post morbi autem judicationem paucis cibis puris exhibitis curato. Et si quidem panem edere consueverit, panem calidum et quam maxime purum edat. Si vero mazam, eam quae non trita est comedat, antea tamen subactam. Pro opsonio carnes catelli coctas habeat, aut columbi aut pulli gallinacei, iisque omnibus utatur. Piscibus vero, galaeo, torpedine, pastinaca et parvulis batidibus coctis. Lavet singulis diebus, frigus vitet et parum obambulet, quoad in tuto sit. Quae sane si observentur, verendum non est ut rursus morbus revertatur. Hujusmodi enim morbus difficilis est et diuturnus. Alius hepaticus morbus, in quo dolores quidem eodem modo ad hepar urgent et color a priore differt, cum malicorium referat. Contingit autem repente aestatis tempore. Oritur vero ex carnis bubulae esu, et nimio vini

Ed. Chart. VII. [660. 661.] Foes. I. 548. Ed. Lind. II. (235.)
ἐπιπίπτουσι καὶ οὐκ ἐκλείπουσιν οὐδεμίην ὥρην, ἀλλ' αἰεὶ μᾶλλον πιέζουσιν. ἔστι δ' ὅτε καὶ ἐμέει χολὴν ὠχρὴν, καὶ ὁκόταν ἐμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥᾴων εἶναι. ἢν δὲ μὴ ἀπεμέσῃ, ἐς τοὺς ὀφθαλμοὺς ἡ χολὴ καθίσταται καὶ ὠχροὶ γίνονται σφόδρα, καὶ οἱ πόδες οἰδέουσι. ταῦτα πάσχει ποτὲ μὲν σφόδρα, ποτὲ δὲ ἧσσον. ὁκόταν δὲ αἱ ἡμέραι παρέλθωσιν ἐν ἧσι κρίνεται τὸ νούσημα, ὅ τε πόνος ἐλαττόνως ἔχῃ, ἢν ἀναμάρτητος ᾖ, διαιτεῖσθαι χρὴ τοιαύτῃ διαίτῃ, ἧ καὶ πρόσθεν. ἢν γὰρ μεθυσθῇ παρὰ καιρὸν ἢ λαγνεύσῃ ἢ ἄλλο τι ποιήσῃ μὴ ἐπιτήδειον, τὸ ἧπαρ παραχρῆμα γίνεται σκληρὸν αὐτέῳ καὶ οἰδέει καὶ σφύζει ὑπὸ τῆς ὀδύνης, καὶ ἢν τι σπεύσῃ, πονέει ἐξαπίνης [661] τὸ ἧπαρ καὶ τὸ σῶμα ἅπαν. τοῦτον, ὁκόταν οὕτως ἔχῃ καὶ αἱ πρῶται ἡμέραι παρέλθωσι, πυριῆσαι. εἶτα ὑποκαθῆραι τῷ σκαμμωνίῃ. ἢν δὲ ἡ κοιλίη ξυγκεκαυμένη ᾖ, κλύσαι ἐν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τοὺς πρόσθεν ὅ τι ἄξει καλῶς. καὶ μετὰ τὸν κλυσμὸν

potu. Haec enim omnia isto anni tempore jecori sunt infensissima, et bilem maxime ad hepar propellunt. Sic igitur afficitur, dolores acuti ingruunt, neque hora ulla desciunt, sed semper magis urgent. Interdum etiam bilem pallidam vomit, et ubi vomuerit meliuscule habere videtur. Quod si vomitione non rejecerit, bilis ad oculos decumbit et admodum pallidi fiunt, pedesque intumescunt. Atque haec interdum quidem valde, interdum vero minus affligunt. Ubi autem dies praeterierint, quibus morbus decernit, si nihil deliquerit, dolor minus detinet, eandem quam prius victus rationem instituere oportet. Nam si intempestive inebriatus fuerit, aut rebus venereis usus fuerit, quidve aliud minime commodum fecerit, confestim ei hepar durum evadit, intumescit et ex dolore pulsat. Ac si qua in re festinarit, derepente hepar totumque corpus dolet. Huic, cum sic habuerit, primique dies praeterierint, fomentum admoveto, deinde scammonio aliquantulum purgato. Quod si venter incensus fuerit, alvi insusum quod probe ducat ex iisdem quae prius exhibeto. Post alvi insusum lacte asinino cocto aliquanti-

Ed. Chart. VII. [661.] Foës. I. 548. Ed. Lind. II. (236.)

ὀνείῳ (236) γάλακτι ἑφθῷ ὑποκαθῆραι ὀκτὼ κοτύλῃσι. μέλι δὲ παραχέων διδόναι πίνειν. διδόναι δὲ καὶ τὸ αἴγειον γάλα, τρίτον μέρος μελικρήτου παραμίσγων τὸ ἑωθινὸν, τετρακότυλον κύλικα. διδόναι δὲ καὶ ἑφθοῦ τοῦ αἰγείου δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων ἢ αὐτὸ μόνον μέλι παραχέων. διδόναι δὲ καὶ τὸ ἵππειον γάλα τὸν αὐτὸν τρόπον τῷ ὀνείῳ. κἢν μὲν ὑπὸ τούτων μελετωμένη ἡ νοῦσος ἐξέλθῃ, ἄλις· ἢν δὲ μὴ, τάμνειν τοῦ δεξιοῦ ἀγκῶνος τὴν εἴσω φλέβα καὶ ἀφιέναι τοῦ αἵματος. ἢν δέ σοι μὴ δοκέῃ, ὀνείῳ γάλακτι ὑποκαθῆραι ἢ βοείῳ, καὶ γάλακτος ὠμοῦ διδόναι δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων ἑκάστης ἡμέρης ἐπὶ ἡμέρας δέκα. εἶτα ἄλλας δώδεκα, ἕκτον μέρος τοῦ μελικρήτου παραχέων πίνειν διδόναι. τὸ δὲ γάλα αὐτὸ τὸ λοιπὸν διδόναι ἕως ἂν ἀναπιανθῇ, δύο κοτύλας. ἢν δὲ μηδὲ οὕτω παύηται, καῦσαι χρὴ, ὁκόταν μέγιστον τὸ ἧπαρ γένηται καὶ ἐξεστήκῃ μάλιστα. καῦσαι δὲ ἐν πυξίνοισιν ἀτράκτοισι, βάπτων ἐς ἔλαιον ζέον. προστιθέναι δὲ ἕως ἂν σοι δοκέῃ καλῶς ἔχειν καὶ κέκαυσται, ἢ μύκησιν ὀκτὼ ἐσχάρας

lum purgato, ejusque heminas octo melle affuso propinato. Lactis etiam caprini poculum quatuor heminarum menſura, aquae mulſae triente commixto, mane exhibeto. Lactis quoque caprini cocti heminas duas dato, aquae mulſae tertia parte ammixta aut ſolo melle affuſo. Lac etiam equinum eodem quo aſininum modo exhibeto. Quod ſi hac curatione morbus ceſſerit, ſatis eſt. Sin minus, internam dextri cubiti venam ſecato, et ſanguinem emittito. Si vero lacte aſinino tibi purgandus non videatur, lactis bubuli crudi heminas duas, tertia mellis parte admixta ſingulis diebus ad dies decem exhibeto, deinde aliis duodecim diebus aquae mulſae ſextante affuſo potui exhibeto. De caetero vero lac ipſum ad duas heminas donec pinguior evadat, exhibendum. At ſi ne ſic quidem ſedetur, cum hepar plurimum intumuerit, maximeque prominuerit inurere oportet. Per buxeos autem fuſos oleo ferventi intinctos uſtionem facito, eosque, donec recte habuerit uſtioque perfecta fuerit, admoveto. Aut per

Ed. Chart. VII. [661.] Foës. I. 548. 549. Ed. Lind. II. (236. 237.)
καῦσαι. ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις καὶ τὸν λοιπὸν χρόνον ῥᾷον διάξει. ἢν δὲ μὴ τύχῃ καυθεὶς, ὑπὸ τῶν ἄλλων λοιπὸν ὑγιὴς μὴ γενόμενος φθειρόμενος ἀποθνήσκει. ἡπατῖτις ἄλλη. τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει τῇσι πρόσθεν. ἡ δὲ χροιὴ μέλαινα. τοῦ δὲ ἥπατος ἡ χολὴ φλέγματος καὶ αἵματος πλησθεῖσα, ὡς λογιζόμεθα, διαῤῥήγνυται, || καὶ ὁκόταν (237) διαῤῥηχθῇ, τάχιστα μαίνεται, καὶ ἀγανακτεῖ καὶ διαλέγεται ἀσύτετα, καὶ ὑλακτέει ὡς κύων, καὶ οἱ ὄνυχες φοινίκεοι εἰσὶ, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύνηται ὁρῆν, καὶ τρίχες αἱ ἐν τῇ κεφαλῇ ὀρθαὶ ἵστανται, καὶ πυρετὸς ὀξὺς ἐπιλαμβάνει. τούτῳ χρὴ προσφέρειν τὰ αὐτὰ ἃ καὶ τοῖσι πρόσθεν. οἱ δὲ πολλοὶ ἀποθνήσκουσιν ἐν τῇσιν ἑνδεκα ἡμέρῃσι. παῦροι δὲ διαφυγγάνουσιν. σπληνὸς νοῦσος πρώτη. γίνεται δὲ ἡ τοιαύτη νοῦσος διὰ θερμασίην τοῦ ἡλίου χολῆς κινηθείσης, ὁκόταν ἑλκύσῃ ἐφ' ἑωυτὸν χολὴν ὁ σπλήν. τάδε οὖν πάσχει. πυρετὸς ὀξὺς ἐπιγίνεται κατ' ἀρχάς. προϊούσης δὲ τῆς νούσου ἀφίησι, πλὴν κατ' αὐτὸν τὸν σπλῆνα. ταύτῃ δὲ αἰεὶ θέρμη ἔχει καὶ ὀδύνη ἄλλοτε καὶ

fungos octo cruſtas inurito. Si enim uſtio ſucceſſerit, ſanum reddes, ac deinceps facilius deget. At ſi uſtio minime ſucceſſerit, de caetero niſi per alia remedia convaleſcat, conſumptus perit. Morbus alius hepaticus in quo caetera quidem multitudine eadem quae prioribus contingunt, color vero nigricat. Bilis quae eſt in hepate, pituita et ſanguine referta, velut ratione colligimus, disrumpitur, cumque disrupta fuerit, citiſſime ad inſaniam deducitur, indignatur et imprudenter loquitur, more canis latrat, ungues puniceo ſunt colore, oculis cernere non poteſt, pili capitis erecti manent et febris acuta invadit. Huic eadem quae prioribus admovere oportet, plerique vero intra undecim dies moriuntur, paucique evadunt. Lienis morbus primus. Gignitur autem ejusmodi morbus ob bilem ſolis calore commotam, cum eam ad ſe lien traxerit. Hunc igitur in modum affligitur. Febris acuta per initia ſuccedit, progreſſo vero morbo dimittit, niſi quod lienem ipſum ſemper calor occupat,

Ed. Chart. VII. [662.] Foël. I. 549. Ed. Lind. II. (237. 238.)
ἄλλοτε ἐμπίπτει [662] ὀξείη καὶ ἐς τὴν λαπάρην καὶ ἐς τὴν κοιλίην. τὰ δὲ σιτία κατ᾽ ἀρχὰς προΐεται μὲν, διαχωρέει δὲ οὐ μάλα, προϊούσης δὲ τῆς νούσου ἥ τε χροιὴ ὠχρὴ γίνεται καὶ ὀδύνη ἰσχυρὴ ἐμπίπτει, καὶ αἱ κληῖδες λεπτύνονται, καὶ τὰ σιτία οὐχ ὁμοίως προΐεται ὥσπερ κατ᾽ ἀρχὰς, καὶ ἀπὸ ὀλίγου πίμπλαται. ὁ δὲ σπλὴν ἄλλοτε καὶ ἄλλοτε μέγας τῆς αὐτῆς ἡμέρης καὶ ἄλλοτε ἐλάσσων γίνεται. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πῖσαι ἐλλέβορον κάτω, ὑποκαθῆραί τε τῷ Κνιδίῳ κόκκῳ. ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν φακῆς δοῦναι τρυβλίον ῥοφέειν ὀξυτέρης, καὶ τευτλίων τρυβλίον λιπαρῶν, ἄλφιτα παραπάσας. τῇ δ᾽ ὑστεραίῃ καὶ τῇ τρίτῃ ἄρτον μικρὸν δοῦναι. ὄψῳ δὲ φακῇ χρεέσθω, καὶ ὑὸς κρέας ἐν τῇ φακῇ ἑφθὸν τετριμμένον. οἶνον δὲ πινέτω αὐστηρὸν, μέλανα, ἀκρητέστερον κατ᾽ ὀλίγον, (238) καὶ ἡσυχίην ἐχέτω ταύτας τὰς ἡμέρας, πλὴν ἔνδον ὀλίγα περιπατεέτω ἐν τῇ σκιῇ. τὸν δὲ λοιπὸν χρόνον τάδε χρὴ προσφέρεσθαι. σιτίον μὲν ἄρτον αὐτοπυρίτην, ὄψον δὲ ἐχέτω κρέας κυνὸς μέζονος ἢ αἰγὸς ἢ οἰὸς τετριμμένον, καὶ τάριχος Γαδειρικὸν ἢ σαπέρ-

dolorque acutus ſubinde in lateris mollitudinem ad ventrem incidit. Cibos autem per exordia expedit quidem, non autem admodum demittit. Procedente vero morbo color pallidus evadit, dolor vehemens ingruit et jugula extenuantur, neque cibum velut per initia facile admittit et pauco impletur. Lien ſubinde eodem die magnus, et interdum minor evadit. Cum ſic habuerit, huic veratrum deorſum purgans propinato, tum grano Cnidio ſubter purgato. Poſt purgationem autem veſperi lenticulae acidioris acetabulum ſorbendum exhibeto, et betarum pinguium acetabulum, polenta inſperſa. Poſtero vero et tertio die parvum panem exhibeto, pro opſonio lenticula utatur et carne ſuilla trita cum lenticula cocta. Vinum auſterum, nigrum, meracius paulatim bibat et per hoſce dies quietem agat, niſi quod intus in umbra paulum ombambulet. Reliquo vero tempore haec exhibere oportet, in cibo quidem panem ex furfure a pura farina non ſeparato. Pro opſonio carnem canis majuſculi aut caprae aut oviculae tritam habeat et ſalſamentum Gadi-

Ed. Chart. VII. [662.] Foëſ. I. 549. Ed. Lind. II. (238.)

δην, καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα προσφερέσθω καὶ τὰ στρυφνά. πινέτω δὲ οἶνον Κῷον ὑπόστρυφνον ὡς μελάντατον. τῶν δὲ γλυκέων καὶ λιπαρῶν ἀπεχέσθω καὶ κνισωδέων, καὶ σίλφιον μὴ προσφερέσθω μηδὲ σκόροδα, μηδὲ κρέας χοίρειον, μηδὲ κεστρέα μηδὲ νέαρον μηδὲ τάριχος, μήτε ἔγχελυν μήτε λάχανον, μηδὲ ἑφθὸν ἄνευ ὄξους. τρωξίμων δὲ ῥαφανῖδι χρεέσθω, καὶ σελίνῳ ἐς ὄξος βάπτων καὶ οἴνῳ ἅλφιτα φυρῶν ἐσθιέτω, καὶ τοῦ οἴνου ῥοφεέτω ἄκρητον. ἢν δὲ βούληται, καὶ τὸν ἄρτον ἐς τὸν οἶνον ἐνθρυπτόμενος ἐσθιέτω θερμόν. διδόναι δὲ καὶ ἰχθύων σκορπίον, δράκοντα, κόκκυγα, κωβιὸν, καλλιώνυμον, τούτους ἑφθοὺς καὶ ψυχροὺς διδόναι. διδόναι δὲ καὶ ἃ μέλλει τὸν σπλῆνα λεπτύνειν ἑκάστης ἡμέρης, ἀσφοδέλου τοῦ καρποῦ ἢ ἰξοῦ τὰ φύλλα, ἢ αἰγὸς κέρας, ἢ ἄγνου καρπὸν, ἢ πήγανον, ἢ ἡδυόσμου ῥίζην. τούτων τρίβων ὅ τι ἂν βούλῃ διδόναι ἐν οἴνῳ αὐστηρῷ νήστει. ἢν δὲ δυνατὸς ᾖ, ἀναγκάζειν αὐτὸν πρίειν ξύλα τριήκοντα ἡμέρας, καὶ ἀπ' ἄκρων τῶν ὤμων παλαιέτω, καὶ περιπατεέτω δι' ἡμέρης, καὶ ὄψιος εὐδεέτω. πρωΐος δὲ

tanum, aut ſaperdam acidaque et ſalſa omnia acerbaque exhibeantur. Vinum Coum, ſubadſtringens quam nigerrimum bibat, dulcibus, pinguibus et nidoroſis abſtineat. Laſer minime exhibeatur, neque allium, neque caro porcina, neque mugil, neque recens, neque ſale conditus, neque anguilla, neque olus ullum coctum ſine aceto. Ex his quae cruda eduntur, radicula et apio aceto intinctis utatur, polentam edat vino ſubactam et vinum meracum ſorbeat. Quod ſi lubeat, panem etiam in vino comminutum calidum comedat. Ex piſcibus vero ſcorpium, draconem, cuculum, gobium, callionymum, eosque coctos et frigidos exhibeto. Danda etiam ſingulis diebus quae lienem extenuare valent, aſphodeli ſemen, viſci folia, aut foenum graecum, aut viticis ſemen, aut rutam, aut menthae radicem. Ex quibus quod voles tritum ex vino auſtero jejuno exhibeto. Quod ſi validus fuerit, triginta diebus ut ligna ſecet cogito. Summis humeris lucta ſe exerceat, interdiu obambulet, veſperi dor-

Ed. Chart. VII. [662. 663.] Foes. I. 549. 550. Ed. Lind. II. (238. 239.) ἐγειρέσθω, καὶ εὐωχεέσθω ἃ προείρηται. ἢν δὲ μὴ ὑπὸ τούτων ῥηΐσῃ, καῦσαι τὸν σπλῆνα μύκησι δέκα ἐσχάρας μεγά-(239)λας, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ ἐξηρμένος μάλιστα. ἢν γὰρ τύχῃς καύσας ὡς δεῖ, ὑγιέα ποιήσεις, πλὴν οὐκ ἐν τάχει. ἡ δὲ νοῦσος δέεται θεραπηΐης. χαλεπὴ γὰρ καὶ χρόνιος, ἢν μὴ παραχρῆμα μελετηθῇ. ἄλλη νοῦσος σπληνός. γίνεται μὲν ἀπὸ τῶν αὐτῶν ἀφ' ὧν καὶ ἡ πρόσθεν, πάσχει οὖν ὑπὸ τούτου τοῦ νοσήματος τάδε. ἡ γαστὴρ φυσᾶται. μετὰ δὲ καὶ ὁ σπλὴν οἰδέει καὶ σκληρός ἐστι, καὶ ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν ἐς τὸν σπλῆνα. ἡ δὲ χροιὴ τρέπεται καὶ ὁρᾶται μέλας, ἔπωχρος, σιδιοειδὴς, καὶ ἐκ τοῦ ὠτὸς κακὸν ὄζει, || καὶ τὰ οὖλα κακὸν ὄζει, καὶ τὰ ἀπὸ τῶν ὀδόντων ἀφίσταται, [663] καὶ ἐκ τῶν κνημέων ἕλκεα ἐκρήγνυται, ὁκοῖά περ ἐπινυκτίδες. τὰ δὲ γυῖα λεπτύνεται, καὶ ἡ κόπρος οὐχ ὑποχωρέει. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, μελετῆν τοῖσιν αὐτοῖσιν φαρμάκοισι καὶ ἐδέσμασι καὶ ποτῷ καὶ ταλαιπωρίῃσι καὶ τοῖσιν ἄλλοισι πᾶσι, καὶ κλύζειν ὁκόταν μὴ θέλῃ ἡ κόπρος διαχωρέειν ἐν τούτοισι, μέλιτος ἡμικοτύλιον καὶ

miat, mane vero ſurgat et quae dicta ſunt in cibo ſumat. At ſi ne his quidem meliuſcule habeat, lienem per fungos, cum maxime tumidus et ſublatus fuerit, decem cruſtis inurito. Si enim, ut convenit, uſtio ſucceſſerit, ſanum reddes, non tamen brevi. Hic autem morbus curatione indiget, gravis enim eſt et diuturnus, niſi confeſtim curatio adhibita fuerit. Alius lienis morbus ab iisdem quidem ex quibus et prior oritur, eoque modo hoc morbo afficitur. Venter inflatur, poſtea vero lien intumeſcit, durus eſt, eique dolores acuti contingunt. Color autem immutatur et niger cernitur, pallidus et qui malicorium forma referat, ex aure et gingivis gravis odor exhalat, eaeque a dentibus diſceſſionem faciunt, et in tibiis ulcera qualia puſtulae nocturnae erumpunt, membra extenuantur, neque ſtercus per alvum demittitur. Hunc ita habentem iisdem medicamentis ac eduliis et potu, exercitationeque ac reliquis omnibus curato, cumque ſtercus non demittatur, his alvum ſubluito. Mellis heminae dimidium

Ed. Chart. VII. [663.] Foël. I. 55o. Ed. Lind. II. (239. 240.)

νίτρου Αἰγυπτίου ὁκόσον ἀστράγαλον οἰός. ταῦτα τρίψας διεῖναι ἀπὸ τεύτλων ἑφθῶν ὕδατι τέσσαρσι κοτύλῃσιν. εἶτα οὕτω κλύζειν. ἢν δὲ μὴ ὑπὸ τούτων ἡ νοῦσος καθίστηται, καῦσαι αὐτοῦ τὸν σπλῆνα ὡς τὸν πρόσθεν, καὶ ἢν τύχῃς καύσας, ὑγιέα ποιήσεις. ἄλλη νόσος σπληνός. γίνεται μὲν τοῦ ἔτεος ἔαρος ὥρῃ μάλιστα, ἀπὸ δὲ αἵματος. ὁκόταν γὰρ ἐμπλησθῇ ὁ σπλὴν αἵματος, ἐκρήγνυται ἐς τὴν κοιλίην, καὶ ὀδύναι ὀξεῖαι ἐς τὸν σπλῆνα ἐμπίπτουσι καὶ ἐς τὸν τιτθὸν καὶ ἐς τὴν κληῖδα καὶ ἐς τὸν ὦμον καὶ ὑπὸ τὴν ὠμοπλάτην. ἡ δὲ χροιὴ τοῦ γυίου μολιβδοειδὴς, καὶ ἀμυχὰς (240) ἐν τῇσι κνήμῃσι λαμβάνει, καὶ ἕλκεα μεγάλα γίνεται ἐξ αὐτέων, καὶ τὰ κάτω ὑποχωρέοντα ἅμα τῷ πρώτῳ, αἱματώδεα καὶ ἰώδεα καὶ ὑπέρχεται ἡ γασιὴρ σκληρὴ, καὶ ὁ σπλὴν καθὰ λίθος ἐστίν. οὗτος τῶν πρόσθεν θανατωδέστερος καὶ ἐξ αὐτέου παῦροι διαφυγγάνουσι. τοῦτον, ὁκόταν ὧδε ἔχῃ, τοῖσιν αὐτοῖσι θεράπευε οἷσι καὶ τὸν ἔμπροσθεν, πλὴν ἄνω φάρμακον μὴ δῷς. κάτω δὲ τοῦ κόκκου τοῦ Κνιδίου δοῦναι τῇ ὑστεραίῃ, καὶ ἵππειου γάλακτος ἑφθοῦ ὀκτὼ κοτύλας μέλι

et nitri Aegyptii ovilli tali quantitatem, ex betarum coctarum decocto ad quatuor heminas terito et diluito, deinde hoc infuſo ſubluito. Quod ſi his morbus non ſedetur, ejus lienem velut in priore inurito, et ſi uſtio ſucceſſerit, ſanum reddes. Alius lienis morbus in anno quidem veris maxime tempore, ex ſanguine tamen oritur. Cum enim ſanguine lien refertus fuerit, in ventrem erumpit et in lienem dolores acuti, in mammam, jugulum, humerum et ſub ſcapulam irruunt. Totius corporis color eſt plumbeus, leves cutis lacerationes in tibiis habet, ex quibus magna ulcera oriuntur. Quae primum per inferiora ſecedunt, cruenta ſunt et aeruginoſa, venter durus obrepit, et tanquam lapis exiſtit. Hic morbus ſuperioribus magis lethalis eſt, ex eoque pauci evadunt. Hunc ita habentem iisdem quibus priorem curato, niſi quod medicamentum ſurſum purgans minime dederis. Rurſum vero cocco Cnidio purgato. Poſtero die quoque lactis equini cocti heminas octo melle affuſo exhibeto. Sin

Ed. Chart. VII. [663.] Foël. I. 550. Ed. Lind. II. (240. 241.) παραχέων. εἰ δὲ μὴ, βοείῳ ἢ αἰγείῳ ἑφθῷ δύο χοεῦσι μέλι παρὰ τὴν ἑτέρην κύλικα, ἐναλλὰξ δὲ πίνειν χρή. ἐς δὲ τὴν ἑσπέρην διδόναι μετὰ τὴν κάθαρσιν ταὐτὰ ἃ καὶ τῷ πρόσθεν, μετὰ τὸ φάρμακον, καὶ ἢν δοκέῃ τοῦ αἵματος ἀφελεῖν ἀπὸ τοῦ ἀγκῶνος τοῦ ἀριστεροῦ τῆς εἴσω φλεβός. τὰς δὲ λοιπὰς τῶν ἡμερέων διδόναι νήστει ἑκάστης ἡμέρης βοείου γάλακτος τέσσαρας κοτύλας, τρίτον μέρος ἅλμης παραμίσγων. σιτίοισι δὲ καὶ ποτοῖσι καὶ τοῖσι ἄλλοισι τοῖσι αὐτοῖσι θεραπεύειν οἷσι καὶ τὸν πρόσθεν. ἀπέχεσθαι δὲ λαγνείης καὶ οἰνοφλυγίης καὶ τοῦτον καὶ τοὺς πρόσθεν, καὶ ἢν σοι δοκέῃ καὶ καῦσαι, ὁκόταν παχύτατος καὶ μέγιστος ὁ σπλὴν γένηται, καὶ ἢν τύχῃς καύσας τοῦ καιροῦ, ὑγιέα ποιήσεις. ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς ἰήσεως ὑγιὴς γένηται, φθειρόμενος χρόνῳ θνήσκει. ἡ γὰρ νοῦσος λίην ἐστὶ χαλεπή. ἄλλη νοῦσος σπληνός. προσπίπτει καὶ αὕτη ἡ νοῦσος ἔαρος μάλιστα. ὁκόταν φλέγμα ἀναλάβῃ ὁ σπλὴν ἐς ἑωυτὸν καὶ μέγας παραχρῆμα γένηται καὶ (241) σκληρός. εἶτ' αὖθις καθίσταται, καὶ ὅταν μὲν ἐξηρμένος ᾖ, ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν, ὁκόταν δὲ λαπαρὸς ᾖ, ἀνώδυνός ἐστι, καὶ ὁκόταν

minus, laeti bubulo aut aſinino cocto ad duos congios mel in altero poculo miſcere, et alternatim bibere oportet. Sub veſperum poſt purgationem eadem quae priori exhibeto, poſtque medicamentum, ſi viſum fuerit, ſanguinem ex interiore ſiniſtri cubiti vena detrahito. Per reliquos autem dies jejuno ſingulis diebus lactis bubuli quatuor heminas, tertia muriae parte ammixta exhibeto. Cibis, potibus et reliquis aliis iisdem quibus priorem curato. Hic, velut ſuperiores, venere et vinolentia abſtineat. Quod ſi tibi viſum fuerit, etiam cum craſſiſſimus et maximus lien extiterit, inurito. Et ſi opportune uſtio ſucceſſerit, ſanum reddes. At ſi ſub hac curatione non convaleſcat, tandem contabeſcens perit, cum admodum gravis ſit hic morbus. Alius lienis morbus, qui etiam vere potiſſimum contingit, cum lien in ſe pituitam exceperit, conſeſtimque tumidus et durus extiterit, deinde rurſus ſubſidit. Et cum quidem ſublatus fuerit, dolores acuti ingruunt, ubi vero mollis fuerit, ſine dolore eſt. Cum-

Ed. Chart. VII. [664.] Foes. I. 550. 551. Ed. Lind. II. (241.)
χρόνος γένηται τῇ νούσῳ, ἀμαυρο[664]τέρη δοκέει καὶ ἐπανίσταται καὶ ταχέως καθίσταται. οὗτος ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος τὰ σιτία οὐ δύναται προσίεσθαι, καὶ ταχέως καταλεπτύνεται καὶ ἀκρησίην ἔχει τὸ σῶμα πολλήν. τὸ δὲ νούσημα ἢν μὴ παραχρῆμα θεραπευθῇ, ἢ αὐτόματον καταστῇ, διαλιπὼν πέντε μῆνας ἢ ἐξ αὖθις ἐπανίσταται. διαλιμπάνει δὲ μάλιστα τὸν χειμῶνα. ταῦτον κατ' ἀρχὰς ἢν λάβῃς, καῦσον δέκα ἐσχάρας ἐς τὸν σπλῆνα καὶ παρ' εὐθὺ ὑγιέα ποιήσεις. ἢν δὲ μὴ καύσῃς, τοῖσιν αὐτοῖσι φαρμάκοισιν ἰῆσθαι οἷσι καὶ τοὺς πρόσθεν καὶ ἐδέσμασι καὶ ποτοῖσι καὶ ταλαιπωρίῃσιν. οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσῃς. τούτου δὲ ἢ χροιὴ γίνεται ἔκλευκος, ἀρτιύπωχρος καὶ αὐχμηρή. ἄλλη νοῦσος σπληνός. γίνεται μετοπώρου μάλιστα ἀπὸ χολῆς μελαίνης. γίνεται δὲ ἀπὸ λαχανοφαγίης τροιξίμων πολλῶν καὶ ὑδρωποσίης. πάσχει οὖν τάδε. ὁκόταν τὸ νούσημα λάβῃ, ἀλγέει τὸν σπλῆνα σφόδρα, || καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ ἀσιτίη ἔχει αὐτὸν, τό τε γυῖον ξυμπίπτει ταχέως. ὁ δὲ σπλὴν μέγας μὲν πάνυ οὐ γίνεται,

que morbus inveteraverit, obſcurior eſſe videtur et aſſurgit, celeriterque reprimitur. Hic cum ſic habuerit, per morbi exordia cibos aſſumere non poteſt, cito extenuatur magnaque intemperantia corpus affligitur. Morbus vero niſi confeſtim curatus aut ſua ſponte ſedatus fuerit, quinque aut ſex intermiſſis menſibus rurſus aſſurgit, per hiemem autem praecipue intermittit. Hunc ſi per exordia in manus ſumpſeris decem cruſtis ad lienem inurito, ſtatimque ſanum reddes. Quod ſi non uſſeris, iisdem medicamentis et eduliis et potibus ac laboribus quibus ſuperiores curato. Sic enim celerrime ſanum reddideris. Hujus autem color exalbidus, ſuppallidus et ſqualidus exiſtit. Alius lienis morbus ex atra bile potiſſimum autumno oritur. Fit autem ex multo olerum eſu, quae cruda comeduntur, et aquae potione. Ad hunc igitur modum afficitur. Ubi morbus prehenderit, lien valde dolet, rigor et febris invadit, cibi faſtidium detinet, totumque corpus celeriter concidit. Lien autem magnus admodum

Ed. Chart. VII. [664.] Foës. I. 551. Ed. Lind. II. (241. 242.)
σκληρὸς δὲ, καὶ παραπίπτει παρὰ τὰ σπλάγχνα καὶ μυζέει προσκείμενος. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσιν ἰῆσθαι καὶ φαρμάκοισι καὶ βρωτοῖσι καὶ ταλαιπωρίῃσιν, οἷσιν ἂν καὶ τοὺς πρόσθεν, καὶ ἤν σοι παρέξῃ, καῦσαι αὐτὸν τρόπον ὕπερ καὶ τοὺς ἄλλους. αὕτη ἡ νοῦσος τοῖσι πολλοῖσιν ἢν παραχρῆμα μελετηθῇ, ἐν τάχει ἐξέρχεται. (242) Ἴκτεροι τέσσαρες. ὁ μὲν τοῦ θέρεος μάλιστα ἐπιλαμβάνει χολῆς κινηθείσης. ἵσταται οὖν ἡ χολὴ ὑπὸ τῷ δέρματι καὶ ἐν τῇ κεφαλῇ. ὥστ' εὐθὺς ἀλλοχροέει τὸ σῶμα καὶ γίνεται ὠχρὸν ὁκοῖόν περ σίδιον, καὶ οἱ ὀφθαλμοὶ ὠχροὶ, καὶ ἐν τῇ κεφαλῇ ὑπὸ τὰς τρίχας οἷον φλοὺς ὕπεστι, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ οὐρέει ὠχρὸν τὸ οὖρον, καὶ ὑφίσταται ὑπ' αὐτῷ παχὺ ὕπωχρον, καὶ τὸ ἔωθεν ἕως ἂν νῆστις ᾖ πρὸς τὴν καρδίην καὶ τὰ σπλάγχνα μύζει, καὶ ὁκόταν τις αὐτῷ προσφθέγξηται ἢ ἐρωτήσῃ, ἄσσει τε καὶ λυπέεται, καὶ οὐκ ἀνέχεται ἀκροώμενος. ὁ δὲ ἀπόπατος προϊὼν ὠχρόλευκος καὶ κάκοδμος. οὗτος ὁκόταν ὧδε ἔχῃ, θνήσκει μάλιστα ἐν τῇσι τεσσαρεσκαίδεκα ἡμέρῃσιν. ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται. μελετᾶν δὲ αὐτὸν χρὴ ὧδε. ὁκόταν ὁ πυρετὸς

non evadit, ſed durus et ad viſcera incumbit, adjacensque ſtrepitum edit. Hunc ita habentem iisdem tum medicamentis tum cibis tum laboribus quibus etiam ſuperiores curato. Ac ſi ſe dederit, eum quo alios modo inurito. Hic morbus in plerisque ſi confeſtim curatio adhibita fuerit, cito decedit. Morbi regii quatuor. Hic quidem praecipue per aeſtatem corripit, bile commota. Bilis igitur ſub cute et in capite coit, proindeque ſtatim corporis colorem immutat, pallidumque non ſecus ac malicorium evadit, oculi pallidi ſunt et ſub pilis capitis velut cortex ſubeſt, rigor et febris prehendit, urinam reddit pallidam, in eaque craſſum ſuppallidum ſubſidet mane quamdiu jejunus fuerit, ad cor et viſcera ſtrepidus editur et ſi quis eum alloquatur aut interroget, aegre fert et triſtatur, neque audire ſuſtinet. Stercus autem quod procedit, ex pallido albicat et graviter olet. Hic cum ita habuerit, fere intra dies quatuordecim perit, quos ſi effugerit, convaleſcit. Eum autem ad hunc modum curare

Ed. Chart. VII. [664. 665.] Foës. I. 551. Ed. Lind. II. (242. 243.)
ἀιῇ, λούειν πολλῷ καὶ θερμῷ, πίνειν τε διδόναι μελίκρητον, καὶ ῥοφήμασι διαχρεέσθω πτισάνης χυλῷ μέλι παραχέων, καὶ μὴ συνεψεῖν τὸ μέλι, ἕως ἂν αἱ δεκατέτταρες ἡμέραι παρέλθωσιν. αὗται γὰρ κρίνουσιν ἢν θανάσιμον ἢ οὔ. μετὰ δὲ ταῦτα λούειν δὶς τῆς ἡμέρης καὶ εὐωχέειν· τὸ πρῶτον ὀλίγοισιν ἅσσα ἂν μάλιστα προσίηται, ἔπειτα πλείω μέντοι διδόναι. πινέτω δὲ οἶνον λευκὸν ὡς πλεῖστον δι' ἡμέρης, καὶ ἢν σοι δοκέῃ προϊόντος τοῦ χρόνου ὠχρὸς εἶναι καὶ ἀσθενὴς, [665] ἔμετον κελεύειν ποιέεσθαι ἀπὸ τῶν σιτίων, ὡς ἐν τῇσιν ἄνω νούσοισιν ἔχει. καὶ ἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις· ἢν δὲ μὴ, ἐλλέβορον πῖσαι. μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν ἑσπέρην φαγέτω μᾶζαν μαλθακὴν ἢ ἄρτου τὸ ἐντός. ὄψον δὲ ἐσθιέ(243)τω νεοσσὸν ἀλεκτορίδος δίεφθον εὐζωμευμένον κρομμύῳ καὶ κοριάνῳ καὶ τυρῷ καὶ ἁλὶ καὶ σησάμῳ καὶ σταφίδι λευκῇ. οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν, ὡς παλαιότατον. τὴν δὲ κάτω κοιλίην ὑποκαθῆραι. τῇ δὲ ὑστεραίῃ χυλῷ ἀπ' ἐρεβίνθων λευκῶν, μέλι δὲ χρὴ τῷ χυλῷ παραχέαι, τούτῳ δὲ χρεέσθω καὶ ἐκπιέτω δύο κοτύλας τοῦ τοιούτου χυλοῦ. τῇ δὲ τρίτῃ ἀρξάμενος ἀφ'

oportet. Ubi febris remiſerit, multa calida loto aquam mulſam propinato et ſorbitionibus utatur, ptiſanae cremore melle affuſo. Mel autem una ne coquito, quoad quatuordecim dies praeterierint. Hi enim lethalis ſit nec ne decernunt. Poſtea autem bis die lavato, et in cibo exhibeto primum pauca quaecunque maxime expetat, deinde tamen plura porrigito. Vinum album quam plurimum die bibat, et ſi procedente tempore pallidus ac imbecillus tibi videatur, a cibis vomitum fieri, velut in ſuperioribus morbis habetur, jubeto. Quod ſi quidem his ſedetur, ſatis eſt; ſin minus, veratrum propinato. Poſt ejusmodi vero purgationem veſperi mazam mollem aut panis medullam comedat. Pro opſonio pullum edat gallinaceum percoctum, cum caepa, coriandro, caſeo, ſale, ſeſamo et uva paſſa alba probe elixum. Vinum autem album, auſterum quam vetuſtiſſimum bibat. Alvum inferiorem ſubpurgato, poſteroque die cicerum alborum cremore, melle affuſo, utatur, ejusmodique ſucci heminas duas ebibat. Ter-

Ed. Chart. VII. [665.] Foël. I. 551. Ed. Lind. II. (243.)

ἑκάστης ἡμέρης πινέτω τόδε τὸ ὕδωρ, ἀπὸ τῶνδε ἑψήσας. μαράθρου ῥίζας λεπτὰς, πλῆθος ὁκόσον τρισὶ δακτύλοισι περιλαβεῖν τὴν δραγμίδα ἐμβάλλειν καὶ ἑψεῖν, ἐν δύο χοεῦσιν ὕδατος. ἑψεῖν δὲ ἕως ἂν λειφθῇ τὸ ἥμισυ, καὶ ἐρεβίνθων λευκῶν χοίνικα ἐν δυσὶ χοεῦσι. καὶ τούτου δὲ πιέτω τὸ ἥμισυ. ταῦτα ὁκόταν λειφθῇ, διηθήσας ἐξαιθριάσαι καὶ ἀμφότερα μίξας τούτῳ τῷ ὕδατι καὶ τὸν οἶνον κρήσας πινέτω, καὶ αὐτὸ τὸ ὕδωρ μοῦνον, ἢν βούληται, πινέτω ὡς πλεῖστον καὶ ἄλλο ὕδωρ μὴ πινέτω. ἢν δὲ τοῦτο τὸ ποτὸν μὴ προσίηται, τόδε σκευάσας οὕτω διδόναι. ἰσχάδων λευκῶν χοίνικα ἑψήσας ἐν δυσὶ χοεῦσι διηθῆσαι καὶ ἐξαιθριάσαι. ἔπειτα τὸ ὕδωρ τοῦτο πινέτω, ἤν τε ψιλὸν αὐτὸ βούληται, ἤν τε σὺν τῷ οἴνῳ κιρνάς. πινέτω δὲ μὴ ἀθρόον πουλὺ, ἀλλὰ κατὰ φορὰν ἡμικοτύλιον, ὅκως μὴ διάῤῥοια αὐτῷ ἐπιγένηται, καὶ διαλιπὼν χρόνον ὀλίγον πινέτω. ἀγαθὰ δὲ καὶ τάδε διδόναι πίνειν νήστει ἑκάστης ἡμέρης, τρίβοντα λεῖα καὶ διέντα κοτύλην οἴνου παλαιοῦ λευκοῦ, σελίνου καρπὸν, σικύου σπέρμα, μαράθρου καρπὸν, Αἰθιοπικὸν κύμινον, ἀδί-

tio vero die ſingulis diebus hanc aquam ex his decoctam bibere incipiat. Foeniculi radices tenues quantum pugillo, aut tribus digitis comprehenditur, in duos aquae congios immittito, et coquito dum dimidium remaneat. Et cicerum alborum choenicem in duobus aquae congiis, de quo dimidium bibat. Haec quae remanſerunt colata ſub dio exponito, et ambobus permixtis vinum hac aqua diluat, et aquam ſolam ſi velit quam plurimam, nec aliam bibat. Quod ſi potum iſtum averſetur, hunc ita paratum exhibeto. Caricarum albarum choenicem duobus aquae congiis decoctum colato, et coelo ſereno noctu exponito. Deinde aquam hanc ſolam ſi velit, aut vino mixtam bibat, eamque non affatim multam, ſed dimidiae heminae copia, ut ne alvi profluvium ei ſuperveniat, paucoque interpoſito tempore bibat. Conferunt et haec quotidie jejuno potui exhibita, trita et vini albi veteris hemina diluta, apii ſemen, cucumeris ſemen, foeniculi ſemen, cuminum Aethiopicum, adiantum, coriandrum

Ed. Chart. VII. [665.] Foes. I. 551. 552. Ed. Lind. II. (244.)

αντον, κόριον (244) τὴν ποίην, ἀσταφίδας λευκάς. ταῦτα πίνων κἀκεῖνα ὠφεληθήσεται καὶ τάχιστα ὑγιὴς γενήσεται. || ἄλλος ἴκτερος. οὗτος ἐπιλαμβάνει χειμῶνος ἐν ὥρῃ ἐκ μέθης καὶ ῥίγεος. ἄρχεται δὲ τοπρῶτον ῥῖγος ἐπιλαμβάνειν, ἔπειτα καὶ πυρετὸς κατέχει. τὸ δὲ ὑγρὸν τὸ ἐν τῷ σώματι πήγνυται ἐν τῷ δέρματι. ἐν τοῖσι δὲ δείκνυται ὅτι οὕτως ἔχει. πελιδνόν ἐστιν αὐτοῦ τὸ σῶμα καὶ ὑπόσκληρον, καὶ αἱ φλέβες διὰ τοῦ σώματος τέτανται ὠχραί. μείζονες δὲ καὶ παχύτεραι ἢ πρόσθεν εἰσί. τέτανταί τε ὑπομελάντεραι καὶ ἄλλαι φλέβες, καὶ ἢν τάμνῃ τις τινὰ αὐτῶν, ῥεύσει ἐξελεύσεται τὸ αἷμα ὠχρὸν, ἐάν περ ὠχραὶ ἔωσιν αἱ φλέβες. ἢν δὲ μέλαιναι ἔωσι, μέλαν τὸ αἷμα ῥεύσεται, καὶ τὸ ἱμάτιον πρὸς τῷ χρώματι προσκείμενον οὐκ ἀνέχεται ὑπὸ τοῦ κνησμοῦ. οὗτος πρόθυμός ἐστι πρὸς τὸ πορεύεσθαι καὶ φοιτᾶν, ἀλλ' ὑπὸ τῆς ἀσθενείης αὐτοῦ τὰ σκέλεα ὑποφέρεται, καὶ διψῇ σφόδρα. αὕτη ἡ νοῦσος οὔπω ἧσσον τῆς προτέρης θανασίμη. προέρχεται δὲ πλείω χρόνον, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν ἔπειτα ὑγιὴς γίνηται. ἢν δὲ ἡ νοῦσος ἀπομηκύνηται καὶ γένηται ὄγδοος ἢ ἔννατος, συμπίπτει εἰς νοῦσον,

drum herba, uvae paſſae albae. Haec et illa ſi biberit, juvabitur, celerrimeque ſanus evadet. Alius morbus regius. Hic ex temulentia et rigore hiemis tempore invadit. Primum autem invadere incipit rigor, deinde etiam febris detinet et corporis humidum ſub cute concreſcit. Ex his autem rem ſe ita habere manifeſtum eſt. Ejus corpus lividum eſt et aliquantulum durum, et venae quae per corpus diſtenduntur ſunt pallidae, majores et craſſiores quam antea, quaedam etiam ſubnigrae ſubtenduntur. Ex his ſi aliquam quis ſecet, ſanguis defluet pallidus, ſi pallidae ſint venae, ſi nigrae fuerint, niger defluet. Hic veſtem corpori adjacentem prae pruritu ferre non poteſt, et ad eundum et ambulandum promptus eſt, ſed prae imbecillitate ejus crura labaſcunt, et magna ſiti premitur. Hic morbus ſuperiore non minus lethalis eſt, in longius autem tempus progreditur, niſi mox primis diebus ſaneſcat. Quod ſi morbus ad octavum aut nonum diem extendatur, in morbum incidit, morbusque et do-

Ed. Chart. VII. [665. 666.] Foël. I. 552. Ed. Lind. II. (244. 245.)

καὶ ἡ νοῦσος καὶ ἡ ἀλγηδὼν πιέζει μᾶλλον, καὶ ἀνίστασθαι οὐ δύναται, καὶ οἱ [666] πολλοὶ ἐν τούτῳ τῷ χρόνῳ παραχρῆμα φθείρονται. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς μὲν τῆς νούσου ἢν παραγένηται, ὁκόταν ἤδη αἱ ἑπτὰ ἡμέρῃσι παρέλθωσιν, ἐλλέβορον πῖσαι. τὴν δὲ κάτω κοιλίην χυλῷ ὑποκαθῆραι, ὡς ἐν τῷ πρόσθεν, καὶ τἆλλα τὰ αὐτὰ διδόναι φάρμακα. διδόναι δὲ καὶ κανθαρίδας, ἄνευ (245) πτερῶν καὶ κεφαλῆς, τέσσαρας τρίβων καὶ διεὶς οἴνῳ λευκῷ ἡμικοτυλίῳ. ἤδη δὲ καὶ μέλι παραχέαι ὀλίγον. εἶτα οὕτω διδόναι πιεῖν. τοῦτο πινέτω δὶς ἢ τρὶς τῆς ἡμέρης. προϊούσης δὲ τῆς νούσου λουτροῖσι καὶ πυριήμασι θεραπεύειν. ἐσθιέτω δὲ ἅσσα προσίεται. οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν, καὶ τἆλλα τὰ αὐτὰ προσφερέσθω ἃ καὶ τῇ πρόσθεν. αὕτη ἡ νοῦσος χρονίη καὶ χαλεπὴ, ἢν μὴ κατ' ἀρχὰς καλῶς μελετηθῇ. ἄλλος ἴκτερος. ἐπιδήμιος οὗτος καλέεται, διότι πᾶσαν ὥρην ἐπιλαμβάνει. γίνεται δὲ ἀπὸ πλησμονῆς μάλιστα καὶ μέθης, καὶ ἐπειδὰν ῥιγώσῃ. εὐθέως οὖν τὸ σῶμα ἀλλοιοτροπέει καὶ γίνεται ὠχρὸν, καὶ οἱ ὀφθαλμοὶ σφόδρα ὠχροὶ, καὶ ὑπὸ τὰς τρίχας καὶ ὑπὸ τοὺς ὄνυχας ἡ νοῦσος ὑπέρχεται,

lor magis urget, neque exurgere poteſt et plerique intra hoc tempus confeſtim perennt. Huic ita habenti ſi ad eum initio morbi acceſſeris, ubi vero ſeptem jam dies praeterierint, veratrum propinato. Inferiorem vero alvum per ſuccum, velut in ſuperiore, aliquantulum purgato, aliaque eadem medicamenta exhibeto. Cantharidas etiam ſine alis et pedibus tritas quatuor, et ex vini albi hemina dimidia dilutas exhibeto. Jam vero etiam pauco melle affuſo, mox ita propinato, idque bis aut ter in die bibat. Procedente autem morbo balneis et fomentis curato. Quaecunque expetit edat, vinum album, auſterum bibat, reliquaque eadem accipiat quae in priore. Hic morbus niſi proba curatio per initia adhibita fuerit, diuturnus eſt et moleſtus. Alius morbus regius. Hic popularis appellatur, quod omni tempore prehendat. Ex repletione autem et tumulentia praecipue oritur, cumque rigore correptus fuerit, confeſtim ſane corpus immutatur et pallidum evadit et oculi admodum pallidi, ſub capillos et

Ed. Chart. VII. [666.] Foës. I. 552. Ed. Lind. II. (245. 246.)
καὶ ῥῖγος καὶ πυρετὸς βληχρὸς ἔχει, ἀσθενέει τὸ σῶμα, καὶ ἐν τῇ κεφαλῇ ὀδύνη ἔχει, καὶ οὐρέει ὠχρὸν καὶ παχύ. οὗτος ὁ ἴκτερος ἧσσον θανατώδης τῶν πρόσθεν, καὶ θεραπεύεται μελετώμενος ἐν τάχει. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, σχάσαι αὐτοῦ τοὺς ἀγκῶνας καὶ ἀφαιρέειν τοῦ αἵματος. ἔπειτα πυριήσας πῖσαι ἑλατήριον. κάτω δὲ αὖθις ὑποκαθῆραι τῇ τρίτῃ ὀνείῳ γάλακτι. τὰ δὲ ἄλλα ῥοφήματά τε καὶ πόματα καὶ ἐδέσματα τὰ αὐτὰ διδόναι ἃ καὶ τῷ πρόσθεν, καὶ καθαίρειν αὐτοῦ τὴν κεφαλὴν θαμινὰ, καὶ ἀπὸ χαλαρίου πίνειν καὶ λούειν αὐτὸν πολλῷ καὶ θερμῷ καὶ ξύων τὴν σάρκα ἐν οἴνῳ λευκῷ διδόναι πίνειν, καὶ ἐς τὰ ἄλλα πάντα τοῖσιν αὐτοῖσιν χρεέσθω καὶ ἐν τάχει ὑγιὴς ἔσται. ἄλλος ἴκτερος. γίνεται μὲν ἀπὸ φλέγματος, ἐπὶ δὲ χειμῶνος μάλιστα ἐπιλαμβάνει, καὶ ἡ (246) χροιὴ αὐτέου λευκὴ, καὶ τὰ στήθεα αὐτέου πλήρεα γίνεται φλέγματος, καὶ πτύει τὸ σίαλον, καὶ ὁκόταν ἀποχρέμπτηται, λυγμὸς αὐτῷ γίνεται, καὶ οὐρέει λευκὸν καὶ παχὺ, καὶ ὑπ' αὐτῷ ὑφίσταται ὁκοῖον ἄλευρον. οὗτος ὁ ἴκτερος οὐκ ἔστι θανατώδης καὶ ἐν τάχει ὑγιαίνεται. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πῖσαι Κνίδιον κόκκον, καὶ μετὰ

ungues progreditur morbus, rigor et febris levis detinet, corpus debilitatur, caput dolor occupat, pallidamque et craſſam urinam reddit. Hic morbus regius ſuperioribus minus lethalis eſt, et diligentia adhibita brevi curatur. Huic cum ſic habuerit cubiti venas pertundito et ſanguinem detrahito, deinde fomento admoto veratrum propinato. Tertio vero die aſinino lacte rurſus deorſum aliquantum purgato. Reliquas autem ſorbitiones potus et cibos eosdem quos priori exhibeto, ejus caput crebro purgato, ſuccatiunculam bibat, eique multa calida loto, carnes tritas ex vino albo propinato et ad reliqua omnia iisdem utatur, brevique convaleſcet. Alius morbus regius: ex pituita quidem oritur, praecipueque per hiemem prehendit. Hujus color albus eſt, ejusque pectus pituita plenum eſt et ſalivam expuit, cumque excreat, ei ſingultus contingit et urinam albam et craſſam reddit, in qua velut farina ſubſidet. Hic morbus minime eſt lethalis, brevique ſaneſcit. Huic ita habenti granum Cnidium propi-

Ed. Chart. VII. [666. 667.] Foës. I. 552. 553. Ed. Lind. II. (246.)
τὴν κάθαρσιν πτισάνης χυλὸν, μέλι παραχέας, δοῦναι ἐκροφέειν τέσσαρας κοτύλας. τὴν δὲ ἄνω κοιλίην ἐμετοποιεύμενος κάθαρσιν παρεχέτω ὡς ἐν τῇσι πρόσθεν. οὕτω γὰρ ἂν ῥηϊστα τὸ φλέγμα ἀπαγάγοι τοῦ πλεύμονος καὶ τῶν ἀρτηριῶν. || καὶ ἀναγαργαρισμὸν σκευάζειν αὐτῷ θαμινά. οὗτος ἐνίοτε καὶ πυρεταίνει βληχρῷ πυρετῷ, καὶ φρίκη λεπτὴ ἐπιγίνεται. καὶ τἆλλα μελετῆν οἷσι καὶ τοὺς πρόσθεν ἰκτέρους, καὶ φαρμάκοισι [667] καὶ πυριῇσι καὶ λουτροῖσι καὶ ἐδέσμασι καὶ ποτοῖσι καὶ ῥοφήμασιν. οὕτω γὰρ ὡς μάλιστα ὑγιέα ποιήσεις. νούσημα ὅπερ καλεῖται τῦφος. τῦφος μὲν τοῦτο τὸ νούσημα καλέεται. ἐπιλαμβάνει δὲ θέρεος ἐν ὥρῃ, ὁκόταν ὁ κύων τὸ ἄστρον ἐπιτέλλῃ, χολῆς κινηθείσης ἀνὰ τὸ σῶμα. εὐθέως οὖν αὐτὸν πυρετοὶ ἔχουσιν ἰσχυροὶ καὶ καῦμα ὀξὺ καὶ ἀπὸ τοῦ βάρεος ἀσθενείη καὶ ἀκρησίη τῶν σκελέων καὶ τῶν χειρῶν. ἀχρεῖα γὰρ μάλιστα γίνεταί οἱ καὶ ἡ γαστὴρ ταράσσεται, καὶ τὰ ὑποχωρέοντα δυσώδεα, καὶ στρόφος ἰσχυρὸς ἐπιγίνεται. ταῦτά τε πάσχει, καὶ ἢν τις ἀναστῆσαι θέλῃ αὐτὸν, οὐ δύναται ὀρθοῦσθαι. οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ἀνορῆν δύναται ὑπὸ τοῦ καύματος, καὶ ἢν τις αὐτὸν ἐρωτᾷ,

nato, poſtque purgationem ſucci ptiſanae quatuor heminas affuſo melle ſorbendas exhibeto. Ventrem vero ſuperiorem per vomitum velut in ſuperioribus purgato. Sic enim facillime pituitam ex pulmone et arteriis deduxerit. Quin et oris collutionem ei frequenter apparato. Hic aliquando leviter febricitat et horror tenuis contingit. In reliquo iisdem quibus ſuperiores morbos regios tum medicamentis tum fomentis tum balneis, eduliis, potibus ac ſorbitionibus curato. Sic enim potiſſimum ſanum reddes. Morbus typhos nomine. Typhos quidem appellatur hic morbus, invaditque aeſtatis tempore, cum canis ſidus oritur, bile per corpus agitata. Statim igitur eum febres vehementes corripiunt, et gravis ardor et cum gravitate imbecillitas, crurumque ac manuum impotentia, quae nullum ei uſum praeſtant, venter perturbatur, et quae ex eo demittuntur graviter olent, vehementiaque tormina accedunt. Hoc etiam modo afficitur, ſi quis eum erigere velit, rectus ſtare nequit, neque oculis

Ed. Chart. VII. [667.] · Foes. I. 553. Ed. Lind. II. (246. 247.)

ὑπὸ τοῦ πόνου οὐ δύναται ἀποκρίνασθαι. (247) ὁκόταν δὲ μέλλῃ ἀποθνήσκειν, ὀξύτερά τε ὁρᾷ καὶ φθέγγεται θαρσαλέως, καὶ πιέειν καὶ φαγέειν αἰτέει, καὶ ἢν δῷ τις καταφαγεῖν, ἐν τάχει μεθῇ καὶ τὴν ψυχὴν, ἢν μὴ ἐξεμέσῃ. τούτῳ ἡ νοῦσος αὕτη κρίνεται ἐν ἑπτὰ ἡμέρῃσιν ἢ δεκατέσσαροι. πολλοὶ δὲ διατρέχουσι καὶ ἐς τὰς εἰκοσιτέσσαρας. ἢν γοῦν ταύτας διέλθῃ, ὑγιὴς ἔσται· καὶ γὰρ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι δηλοῦται εἰ θανάσιμος ἢ οὔ. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὧδε ἰῆσθαι. ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων λουτροῦ μὲν ἀπέχεσθαι, ἀλείφειν δὲ οἴνῳ καὶ ἐλαίῳ χλιαίνων ἐς κοίτην, καὶ σιτίων ἀπέχεσθαι. ῥοφήματα δὲ λεπτὰ καὶ ψυχρὰ διδόναι. οἶνον δὲ πινέτω μέλανα, αὐστηρὸν, ἢν ξυμφέρῃ αὐτῷ· ἢν δὲ μὴ, λευκὸν, ὑδαρὸν, αὐστηρόν. ἢν δὲ δίψα ἰσχυρὴ πιέζῃ τοῦ καύματος, ἀθρόον διδοὺς πίνειν, κέλευε ἐξεμέειν, ταῦτα δὶς ἢ τρὶς ποιήσας, καὶ ὁκόταν τὸ καῦμα ἔχῃ, ῥάκεα βάπτων ὕδατι ψυχρῷ προστιθέναι, ᾗ ἂν μάλιστα φῇ καίεσθαι. ἢν δὲ φρίκην ἔχῃ τὸ σῶμα, ἀνιέναι τὰ ψύγματα. οὗτος ὁκόταν πονῇ, μάλιστα ἀπὸ τῆς τοιαύτης ὀδύνης αἴφνης κινδυνεύσει

ſuſpicere prae ardore. Et ſi quis eum interroget, prae dolore reſpondere non poteſt. Ubi vero periturus eſt, tum acutius cernit tum audacter loquitur, et potum et cibum poſtulat, quem ſi quis exhibuerit, brevi etiam niſi evomuerit, animo linquitur. Huic hic morbus ſeptimo aut decimoquarto die judicatur. Multi vero etiam ad vigeſimum quartum percurrunt. Hos igtur ſi praeterierit, convaleſcet, his enim diebus lethalis ſit necne declaratur. Hunc ita habentem ad hunc modum curato. Primis diebus balneo quidem abſtineat, vino autem et oleo tepido in cubili illinito, cibis abſtineat, ſorbitiones autem tenues et frigidas exhibeto. Vinum, ſi conferat, nigrum, auſterum bibat; ſin minus, album, aquoſum, auſterum. Quod ſi vehemens ſitis ex ardore urgeat, ubi confertim potum multum exhibueris, vomere jubeto, idque bis aut ter facito. Cumque ardor tenuerit, lintea frigida intincta qua praecipue parte ardere dixerit, admoveto. At ſi horror corpus detinuerit, refrigerantia remittito. Hic cum laboraverit, maxime periclitabitur ne ex hu-

Ed. Chart. VII. [667. 668.] Foël. I. 553. Ed. Lind. II. (247 248.)
καταλιπὼν τὴν ψυχήν. ἀλλὰ διδόναι χρὴ αὐτῷ τῆς ὀδύνης τὰ φάρμακα μετὰ σπουδῆς τὰ αὐτὰ ἃ καὶ τῷ ὑπὸ τῆς πλευρίτιδος ἐχομένῳ. ὁκόταν δὲ ἐξαναστῇ, ἀνακομίζειν σιτίῳ καὶ ποτῷ καὶ λουτροῖσιν ὡς τάχιστα. ἡ γὰρ νοῦσος χαλεπὴ καὶ παῦροι διαφεύγουσιν. ἄλλος τῦφος. ἐπιλαμβάνει μὲν τὸ νούσημα πάσην ὥρην. γίνεται δὲ δι' ὑγρασίην τοῦ σώματος, ὁκόταν τὰ σιτία ὑγρὰ ἐόντα καὶ τὸ ποτὸν πουλὺ αἱ σάρκες ἀνα(248)πίωσι καὶ πλαδαραὶ γίνωνται, ἀπὸ τούτων τὸ νούσημα γίνεται μάλιστα. ἄρχεται οὖν ὁ πυρετὸς τριταῖος ἢ τεταρταῖος κατ' ἀρχὰς γινόμενος καὶ πόνος ἰσχυρὸς ἐν τῇ κεφαλῇ ἐνίσταται. ἐνίοτε δὲ καὶ ἐν τῷ σώματι διαλείπων καὶ ἐμέει σίαλον καὶ ἐρεύγεται πυκινά, καὶ ἀλγέει τὰς χώρας τῶν ὀφθαλμῶν καὶ τὸ πρόσωπον ἀφύει, καὶ ἐς τοὺς πόδας οἴδημα κατέρχεται. [668] ἐνίοτε δὲ καὶ ὅλον τὸ σῶμα ἀποιδέει καὶ ἐς τὰ στήθεα καὶ ἐς τὸ μετάφρενον ἐνίοτε ἡ ὀδύνη τρέχει, καὶ ἡ γαστὴρ τετάρακται, καὶ τοῖσιν ὀφθαλμοῖσιν ἐξορίσαι ἰσχυρῶς, καὶ τὸ σίαλον ἀποπτύει πολλὸν καὶ ἀφρῶδες, καὶ ἐν τῇ φάρυγγι δοκέει ἐνέχεσθαι, καὶ κέρχνει αὐτόν.

jusmodi dolore derepente animam emittat. Verum ei celeriter ad dolorem eadem medicamenta quae morbo laterali detento exhibenda sunt. Cum vero surrexerit, cibo, potu et balneis quam citissime vires reficiendae. Morbus enim gravis est, paucique evadunt. Alius typhos. Morbus quidem omni tempore invadit, ex corporis autem humiditate oritur, cum cibos humidos et copiosum potum carnes exsorbuerint et flaccidae extiterint, ex his potissimum morbus oritur. Per exordia igitur febris tertiana aut quartana exoriri incipit. Dolor vehemens capiti advenit, et interdum in corpore intermittit, et salivam evomit, crebro ructat et oculorum regiones dolet, vultus exalbescit et apuae colorem refert, ad pedes tumor laxus defertur. Interdum vero etiam totum corpus intumescit, et ad pectus et dorsum aliquando dolor excurrit, venter conturbatur, oculis vehementer prospectat, sputum copiosum et spumosum exputit, quod ad fauces adhaerescere videtur, eique stridulam vocem facit,

Ed. Chart. VII. [668.] Foes. I. 553. 554. Ed. Lind. II. (248. 249.)

πολλάκις δὲ καὶ φλεγμαίνει ὁ φάρυγξ. τοῦτο ὁκόταν οὕτως ἔχῃ καὶ οὕτως ὁ πόνος πιέζῃ καὶ ὀρθόπνοια ἰσχυρὴ ἐμπίπτῃ, ἔστιν ὅτε καὶ πολλάκις ἐξαπίνης ὑπὸ τοῦ πόνου τὴν ψυχὴν ἀφῆκεν ἐν ἑπτὰ ἡμέρῃσιν ἢ ἐν δεκατέσσαρσι. πολλοὶ δὲ διαφέρουσι καὶ ἕως τῶν εἰκοσιτεσσάρων ἡμερέων. πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος ἀνῆκε, καὶ δοκέει ὑγιὴς εἶναι. ἀλλὰ φυλάσσεσθαι χρή, ἄχρι ἂν αἱ τέσσαρες καὶ εἴκοσιν ἡμέραι παρέλθωσιν. || ἢν γὰρ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει· τούτῳ, ὁκόταν ὧδε ἔχῃ, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων χρὴ ῥοφήματα διδόναι, ἄλητον κάθεφθον μέλι λεπτὸν παραχέων· πίνειν δὲ διδόναι μέλανα οἶνον κατ' ὀλίγον, ὅκως ἂν βούληται κεκρημένον· σιτία δὲ μὴ προσφέρειν, πρὶν ἂν αἱ ἡμέραι παρέλθωσι. πολύποδας δὲ ἐν οἴνῳ ἑφθοὺς διδόναι ἐσθίειν, καὶ τὸν ζωμὸν ῥοφᾶν, καὶ ῥαφανῖδας τρώγειν πολλὰς καὶ καρδάμου καρπὸν (249) φώσας, ἁλέσαι καὶ σῆσαι λεπτά· εἶτα πινέτω οἶνον μέλανα ἐπιβαλὼν στρυφνὸν, καὶ ἄλφιτα λεπτὰ ὀλίγα διδόναι πίνειν ἔωθεν. λουτροῦ δὲ ἀπεχέσθω, μέχρις ἂν αἱ ἡμέραι παρέλθωσιν. οἴνῳ δὲ καὶ ἐλαίῳ χλιήνας

plerumque vero etiam fauces inflammantur. Hic cum ſic habuerit ſicque dolor preſſerit, eique vehemens erectae cervicis ſpiratio contigerit interdum frequenterque derepente intra ſeptem aut quatuordecim dies animam emittit. Plerique vero etiam ad vigeſimum quartum perdurant, ſaepe quoque derepente morbus dimittit et ſanus videtur. Verum diligenter obſervare oportet quoad quatuor et viginti dies praeterierint, quos ſi effugerit, vix moritur. Huic ita habenti primis diebus pro ſorbitione farina decocta tenui melle affuſo exhibenda eſt. Vinum vero nigrum paulatim potui dandum, ut voluerit temperatum. At cibos priusquam hi dies praeterierint ne porrigito. Polypos ex vino coctos edendos dato et jus ſorbendum; radiculaeque multae comedendae. Et naſturtii ſemen toſtum, molitum et tenuiter cribratum, deinde vino nigro acerbo injecto bibat, polentamque tenuem, paucam mane bibendam dato. Balneo abſtineat quoad hi dies praeterierint. Vino et oleo tepefactis in cubili illine et

Ed. Chart. VII. [668.] Foës. I. 554. Ed. Lind. II. (249.)
ἀλείφειν ἐς κοίτην καὶ ἐκμάσσειν, καὶ γλυκυσίδης καρποῦ δέκα κόκκους ἑψῶν ἐν οἴνῳ μέλανι, διδόναι πίνειν. γογγυλίδας διέφθους ποιέων ῥοφανέτω τοῦ χυλοῦ, ἀρτύσας τυρῷ ἀνάλτῳ καὶ μήκωνι καὶ ἅλὶ καὶ ἐλαίῳ καὶ σιλφίῳ καὶ ὄξει. ἢν δὲ καὶ φάρμακον βούλῃ πῖσαι, τοῦ Κνιδίου κόκκου πῖσαι, καὶ μετὰ τὴν κάθαρσιν ἀλεύρου ἕφθοῦ καὶ λιπαροῦ δοῦναι δύο τρυβλία ἐκροφέειν. οἶνον δὲ πινέτω τὸν αὐτόν, καὶ τῶν φαρμάκων καὶ ῥοφημάτων καὶ ποτῶν ὅ τι ἂν δίδως ὀνήσειεν, ἤν τε κατὰ ἓν, ἤν τε κατὰ πλείω προσφέρῃς, καὶ οὕτω τάχιστα ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπὴ, καὶ παῦροι διαφυγγάνουσιν. ἄλλος τῦφος. γίνεται μὲν καὶ οὗτος διὰ τόδε. ὁκόταν ἡ χολὴ σαπεῖσα μιγῇ τῷ αἵματι ἀνὰ τὰς φλέβας καὶ τὰ ἄρθρα, ὁκόταν τὸ αἷμα στῇ, ἐνίσταται δὲ μάλιστα ἐν τοῖσιν ἄρθροισι. καταστηρίζεται δὲ ἐνίοτε καὶ εἰς τὸ ἄλλο πᾶν σῶμα, καὶ ὀδύνας παρέχει ὀξείας, καὶ οἱ πολλοὶ ἐκ τῆς τοιαύτης νούσου χωλοὶ γίνονται, ὁκόταν ἀποληφθεῖσα ἐν τοῖσιν ἄρθροισιν ἡ χολὴ πωρωθῇ. ἡ δὲ ὀδύνη διαλείπουσα ἐπιλαμβάνει καὶ διὰ τριῶν ἡμερέων καὶ διὰ τετ-

abſterge. Paeoniae ſeminis grana decem ex vino nigro decocta potui exhibeto, et raporum probe decoctorum juſculum ſorbeat caſeo inſulſo conditum, papavere, ſale, oleo, laſere et aceto. Quod ſi medicamentum propinare voles, granum Cnidium propinato. Et poſt purgationem farinae coctae et pinguis duo acetabula ſorbenda dato, idemque vinum bibat. Ac medicamenta ſorbitiones et potiones quascunque dederis, ſive ſingula per ſe ſive plura ſimul exhibueris, profuerint, ſicque citiſſime ſanum reddideris. Morbus autem gravis eſt, paucique evadunt. Alius typhos. Hic quidem hanc ob cauſam gignitur, cum bilis putrefacta cum ſanguine per venas et articulos permixta fuerit, ſanguisque coierit, in articulis vero praecipue conſiſtit, quandoque etiam in totum corpus decumbit, doloresque acutos exhibet. Plerique enim ex hujusmodi morbo claudi evadunt, ubi bilis in articulis retenta in totum obduruerit, dolor vero intermittens per tres et quatuor dies invadit. Hunc ita haben-

Ed. Chart. VII. [668. 669.] Foës. I. 554. Ed. Lind. II. (249. 250.)
τάρων. τοῦτον, ὁκόταν ὧδε ἔχῃ, μελετῆν οὕτως. τῆς ὀδύνης ἐπικρατούσης ἐν τῷ σώματι χλιάσματα χρὴ ποιέειν καὶ προστιθέναι, ἐλαίῳ ὑπαλείψας. [669] ὁκόταν δὲ ἀνῇ, δοῦναι αὐτῷ ἐλλέβορον πυριήσας πρόσθεν ἅπαν (250) τὸ σῶμα. τῇ δὲ ὑστεραίῃ ὀρρὸν αἰγὸς ἑψήσας, δοῦναι πιεῖν δύο χοέας παρὰ τὸν ἕτερον χοέα, μέλι παραχέας. παρὰ δὲ τὸν ἕτερον ἅλας παραβαλών. εἶτα κύλικα παρὰ κύλικα παραλλάσσων πινέτω ἕως ἂν ἐκπίῃ ὕπαν. εἰς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν φακῆς τρυβλίον ῥοφεέτω, καὶ τεύτλων τρυβλίον λιπαρῶν ἅλφιτα παραπάσας ἐκπιέτω, καὶ νεοσσοῦ ἀλεκτορίδος κρέας ἢ πελειάδος ἢ τρυγόνος ἢ ὄϊος ἢ ὑὸς πῖον τρωγέτω. τὸν δὲ ἐλλέβορον δι' ἕκτης ἡμέρης διδόναι, καὶ ἢν κου τῶν ἄρθρων ἀποιδίσκεται καὶ μὴ θέλῃ ἀφίστασθαι, σικύην προσβαλὼν ἀφαιρέειν τοῦ αἵματος, κατακεντῶν ἀκίδι τριγώνῳ ἐς τὰ γούνατα καὶ ἐν τοῖσι γούνασιν ἐν οἷς τὸ οἴδημα, τῶν δὲ ἄλλων ἄρθρων μηδὲν κεντριώσης. τὰς δὲ μεταξὺ τῶν ἡμερέων σιτίων προσφερέσθω ἄρτον μὲν ὡς ὀπτότατον, μᾶζαν δὲ ψαιστὴν ὡς μάλιστα. ὄψα δὲ ἐχέτω ὡς μάλιστα

tem ad hunc modum curato. Dolore in corpore obtinente, tepefactoria ex oleo illito parare et admovere oportet. Ubi autem remiserit, veratrum exhibeto, fotu prius universo corpori adhibito. Postero autem die serum lactis caprini decoctum ad duos congios potui exhibeto, ad alterum congium melle affuso, ad alterum vero sale injecto, deinde viciſſim alternatis poculis totum ebibat. Sub vesperum vero post purgationem lenticulae acetabulum sorbeat et betarum pinguium acetabulum polenta aspersa bibat. Pulli gallinacei carnem vel columbae vel turturis vel oviculae vel suis pinguis edat. Veratrum autem sexto quoque die exhibeto, et sicubi in articulis tumor exoritur, nec discedat, admota cucurbitula sanguinem detrahito, compunctis per acum triangularem genibus in quibus tumor extiterit, nullo tamen alio articulo compuncto. Intermediis autem diebus cibum sumat, panem quidem maxime assatum, mazam autem quam maxime melle et oleo subactam. Pro opsonio autem quam

Ed. Chart. VII. [669.] Fœſ. I. 554. 555. Ed. Lind. II. (250. 251.) μὲν ὀπτὰ, ὀρνίθεια δὲ ἄναλτα· εἰ δὲ μὴ, καὶ ἑφθὰ, ἐζωμευμένα, πλὴν ἄνευ τυροῦ καὶ σησάμου καὶ ἁλός. ἰχθύεσι δὲ χρεέσθω τοῖσι σαρκωδεστάτοισιν. ὀπτοῖσι δὲ τὸν ἴσον τρόπον τοῖς κρέασιν ἔψων, δι' ὀριγάνου παστὰ ἐλαίῳ αὐτὰ ὑποχρίσας. οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ· ἢν δ' οὐ ξυμφέρῃ, μέλανα, καὶ ἐν περιόδοισι ταλαιπωρεέτω δι' ἡμέρης καὶ μετὰ τὸ δεῖπνον καὶ ὄρθριος, ὀρρὸν δὲ καὶ γάλα τὴν ὥρην πινέτω ἀεί. ἢν δέ σοι δοκέῃ, καὶ ὄνειον γάλα διδόναι ἀφεψήσας, καὶ ἢν ὑγιὴς γένηται, ἐν φυ(251)λακῇ αὐτὸν εἶναι τοῦ ψύχεος καὶ τοῦ πνίγεος, καὶ τῶν σιτίων μὴ λίην ἐμπιπλάσθω. κίνδυνος γὰρ αὖθις ὑποτροπιάσαι τὴν νοῦσον. αὕτη τοιγαροῦν ἡ νοῦσος οὕτω θεραπευμένη ἐν ἓξ μησὶν ὑγιὴς γίνεται. || ἐν γὰρ τῶν τοσούτων μηνῶν τῷ διαστήματι κρίνεται, ἤν τε θανάσιμος, ἤν τε μὴ, ἢν καὶ παραχρῆμα θεραπεύηται, πλὴν ἡ νοῦσος χαλεπὴ, καὶ τοῖσι πλείστοισι συναποθνήσκει. ἄλλος τῦφος. γίνεται μὲν τὸ νούσημα ἐν ὀπώρης καιρῷ, ὁκόταν τις πλησθῇ παντοίης ὀπώρης. τοῖσι δὲ πολλοῖσι καὶ ἀπὸ τῶνδε ἐγένετο ἡ τοιάδε νοῦσος. φαγόντες πλακοῦντος

maxime aſſa habeat, volucrium vero carnes inſulſas; ſin minus, etiam cum jure coctas, absque caſeo tamen, ſeſamo et ſale. At piſcibus utaur maxime carnoſis, aſſis tamen ad eundem modum quo carnes coctis, origano conſperſis et oleo ſubunctis. Vinum, ſi conferat, album bibat, quod ſi non conferat, nigrum et obambulationibus de die, poſt coenam et mane ſe exerceat. Serum autem et lac, cum tempus ferat, ſemper bibat. Quod ſi tibi viſum fuerit, etiam aſininum lac decoctum exhibeto. Et ſi ſanus evaſerit, a frigore et aeſtu ſibi caveat, neque cibis admodum repleatur. Periculum enim eſt ne rurſus morbus revertatur. Sic igitur curatus hic morbus ſex menſibus ſanatur. Tot enim menſium intervallis lethalis ſit necne judicatur. Qui etiam ſi conſeſtim curetur, moleſtus tamen eſt et plerosque ad mortem usque comitatur. Alius typhos. Oritur quidem hic morbus fructuum autumnalium tempore, cum quis ſe iis omnis generis expleverit. Plerisque vero inde etiam ejusmodi morbus oritur, ex inex-

Ed. Chart. VII. [669. 670.] Foes. I. 555. Ed. Lind. II. (251. 252.) καὶ σησάμης καὶ τῶν ἄλλων μελιτωθέντων ἀπλήστως. τὸ γὰρ μέλι τὸ ἔφθὸν καυματῶδές ἐστι καὶ προσπλάσσεται τῇ κοιλίῃ. ἔπειτα ὁκόταν κατεψηθῇ ἐν τῇ κοιλίῃ, ἀναζέεται, καὶ ἐξαπίνης ἡ γαστὴρ ἀείρεται καὶ πίμπραται, καὶ δοκέει διαῤῥήσσεσθαι. ἔπειτα δὲ ἐξαπίνης διάῤῥοια ἐπεγένετο, καὶ ὁκόταν ἅπαξ ἄρξηται χωρέειν, πολλὰς ἡμέρας καθαίρεται, καὶ πολλοὶ μετὰ ταύτην τὴν κάθαρσιν ὑγιέες ἐγένοντο. ὁκόταν οὖν παύσηται αὐτόματος καθαιρόμενος, φακῶν χυμοῦ ἀναγκάσαι αὐτὸν ἐκπιεῖν τρία ἡμίχοα, ἅλας παραβάλλων. μετὰ δὲ τὴν κάθαρσιν τοῦ χυμοῦ ἐς ἑσπέρην, φακῆς τρυβλίον ῥοφεέτω ψυχρῆς ἀνάλτου. σίλφιον δὲ ἐπιζέσθω πουλὺ, καὶ τεύτλου τρυβλίον, ἀνηδύντου λιπαροῦ, ἅλφιτα παραπάσσων. [670] οἶνον δὲ πινέτω μέλανα αὐστηρὸν κατ' ὀλίγον. τὸ δὲ λοιπὸν τοῦ χρόνου τὰ αὐτὰ ποιεέτω, καὶ σῖτα προσφερέσθω ἄρτον ἔξοπτον, μᾶζάν τε ψαιστὴν (252) ὡς μάλιστα. τὰς δὲ πρώτας τῶν ἡμερέων ἄλευρον φαγέτω κάθεφθον, ἀποψύχων καὶ μέλι παραχέων. οἶνον δὲ πινέτω μέλανα στρυφνὸν, ἕως ἂν καταστῇ ἡ νοῦσος, ταῦτα προσφερέσθω. ὁ δὲ

plebili placentarum ex ſeſamo aliorumque ex melle dulciariorum eſu. Mel enim coctum in ventriculo ardorem excitat, eique affigitur, deinde ubi in ventriculo coctum fuerit, effervesçit, venterque derepente attollitur, incenditur et disrumpi videtur. Deinde vero alvi profluvium derepente contingit, cumque ſemel fluere coeperit, per multos dies purgatur, multique ab hac purgatione ſani evadunt. Cum igitur ſponte purgatio ceſſaverit, lentium cremoris, addito ſale, tres ſemicongios ut ebibat cogito. Poſt ſucci autem purgationem ſub veſperum lenticulae frigidae inſulſae acetabulum multo laſere incocto ſorbeat, et betae non conditae pinguis, polenta aſperſa acetabulum. Vinum nigrum auſterum paulatim bibat. Reliquo autem tempore eadem faciat et cibos aſſumat, panem exaſſatum et mazam quam maxime melle et oleo ſubactam. Primis autem diebus farinam coctam et melle aſſuſo refrigeratam comedat. Vinum bibat nigrum, acerbum, et quoad ſedatus fuerit morbus haec aſſumat. Qui vero ſub autumna-

Ed. Chart. VII. [670.] Foël. I. 555. Ed. Lind. II. (252.)
ὑπὸ τῆς ὀπώρης ληφθεὶς τῇ νούσῳ φῦσαν παρέχει καὶ σιρόφον καὶ ὀδύνην, καὶ τὰ σιτία οὐκ ἐθέλει διαχωρέειν, καὶ ἡ γαστὴρ μεγάλη καὶ σκληρὴ αὐτοῦ ἐστι, καὶ ῥῖγος καὶ πυρετὸς ἔχει. τούτῳ ἢν μὲν αὐτομάτη ταραχθῇ ἡ κοιλίη, ἐν εἴκοσιν ἡμέρῃσι τὸ ἐλάχιστον καθαίρεται, καὶ ὁκόταν παύσηται καθαιρόμενος, ὑγιὴς παραχρῆμα ἔσται. ἢν δὲ μὴ καθαρθῇ, καθαίρειν αὐτὸν τῷ ἱπποφαέως ὀπῷ ἢ τῷ Κνιδίῳ κόκκῳ. ἐς ἑσπέρην δὲ ταῦτα διδόναι καὶ τῷ αὐτομάτῳ καθαιρομένῳ. τῇ δ' ὑστεραίῃ ἢν μὲν πυρετὸς ἔχῃ, ἡσυχίην ἐχέτω, διδόναι δὲ αὐτῷ πίνειν τοῦ αὐτοῦ οἴνου, ὡς ἐν ψυχροτάτῳ ὕδατι. ἢν δὲ μὴ ἔχῃ πυρετὸς, διαιτήσθω δίαιταν μὴ ὑγρὴν, ἀλλ' ἰσχυροτέρην, καὶ περιπατεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος. ὑπὸ τουτέου τοῦ νοσήματος πολλοῖσιν ἤδη ὕδερος ἐξεγένετο, καὶ ἢν δοκέῃ σοι κλύζειν, τοῖσιν αὐτοῖσι κλύσον οἷσι καὶ τὸν ὑδεριῶντα. ἢν δὲ βούλῃ, τοισίδε κλύζειν. ἐν μελικρήτου κοτύλῃ ποίην θαψίης ἐξύσαι, εἶτα οὕτως ἐγκλύσαι. οὗτος οὕτω θεραπευόμενος τάχιστα ὑγιὴς ἔσται. ἄλλος τῦφος. γίνεται μὲν τὸ νούσημα, ὁκόταν τὸ ὑγρὸν τὸ ἐν τῷ σώματι

lium fructuum tempus morbo correptus eſt, flatum exhibet, tormina et dolorem, neque cibaria demittere ſolet, venterque ei magnus et durus eſt, et rigor febrisque detinet. Huic ſiquidem venter commotus fuerit, viginti, ut minimum, diebus purgatur, cumque purgatio ceſſaverit, confeſtim ſanus evadit. At ſi minime purgatus fuerit, eum hippophaes ſucco aut grano Cnidio purgato. Sub veſperum autem eadem etiam ſponte purgato exhibeto. Poſtridie vero ſi febris detineat, quietem agat, eique vinum idem ex aqua gelidiſſima bibendum dato. Quod ſi febris minime detineat, victus ratione utatur non humida, ſed valentiore ciborum ratione habita deambulet. Ex hoc morbo plerisque jam aqua intercus contracta eſt. Et ſi viſum fuerit alvum per infuſum ſubluere, iisdem quibus in aqua intercute alvum ſubluito. Quod ſi voles ex his infuſum parato. Thapſiam herbam in aquae mulſae hemina conterito, deinde ſic per infuſum immittito. Hic hoc modo curatus citiſſime ſanus evadet. Alius typhos. Gignitur quidem hic morbus cum corporis humi-

Ed. Chart. VII. [670.] Foës. I. 555. 556. Ed. Lind. II. (252. 253.)
σαπῇ καὶ ἀναξηρανθῇ μᾶλλον τοῦ καιροῦ. γίνεται οὖν τὴν εἰδέην ὁκόταν τῷ νουσήματι ἔχηται, (253) δίϋγρος, ὕπωχρος, διαφανής. κύστει ἔοικεν οὔρου, πλὴν οὐκ οἰδέει, ἀλλὰ λεπτὸς καὶ σκελιφρός ἐστι καὶ ἀσθενής. μάλιστα δὲ τοῦ σώματος λεπτύνεται τὰς κληῖδας, καὶ τὸ πρόσωπον ἰσχυρῶς κάτισχνος, καὶ οἱ ὀφθαλμοὶ ἔγκοιλοι σφόδρα. ταῦτα μὲν ὑπὸ τοῦ νοσήματος πάσχει. ἢν δὲ ἡ χροιὴ τοῦ σώματος μέλαινα ᾖ, τάδε αἴτιά ἐστιν. ἐς τὰ φλέβια καὶ ἐς τὸ δέρμα, ὁκόταν χολὴ μέλαινα ὑπέλθοι, καὶ ἐπὶ τούτοισιν, ὁκόταν θέρμη ἐπιγένηται, ἀνάγκη ὑπὸ τοῦ θερμοῦ ξυγκαίεσθαί τε καὶ ἀναξηραίνεσθαι τὰ φλέβια, ὥστε τὸ αἷμα ἐκχωρέειν κατὰ τὰ φλέβια, τάδε οὖν πάσχει. οὗτος λεπτὸς γίνεται καὶ κάτισχνος ἰσχυρῶς, καὶ τοῖσιν ὀφθαλμοῖσιν ἀρυὰ σκαρδαμύσσει καὶ τὰς μυίας ἀπὸ τοῦ ἱματίου θηρεύει, καὶ βάρος τῶν σιτίων ἐστὶν ἢ ὑγιαίνων, καὶ λύχνου ἀπεσβεσμένου τῇ ὀσμῇ ἥδεται, καὶ ἐξωτειρώσσει θαμινά. πολλάκις δὲ καὶ βαδίζοντι αὐτῷ ἐξέρχεται ἡ γονή. || τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην τῷ μέλανι ἐλλεβόρῳ, τὴν ἄνω δηλονότι· τὴν δὲ κάτω ὀπῷ σκαμμωνίης. μετὰ δὲ τὴν κάθαρσιν τὰ αὐτὰ διδόναι

dum putrefactum et plus aequo reficcatum fuerit. Cum igitur morbo detentus fuerit, habitu eſt perhumecto, ſuppallido, pellucido et veſicae urinae ſimilis apparet, ſed non intumeſcit, verum tenuis eſt, aridus ac debilis. In corpore autem praecipue claviculae extenuantur, et vultus vehementer gracilis eſt oculique admodum cavi, et haec quidem ex morbo contingunt. Quod ſi corporis color niger extiterit, hujus rei cauſa eſt. Cum in venas et cutem bilis atra ſubierit, cumque his calor ſupervenerit, venulas a calore exuri et reſiccari neceſſe eſt, ac proinde ſanguinem per venas excedere. Sic igitur afficitur, hic tenuis et vehementer gracilis evadit, oculis raro nictatur et muſcas in ſtragulis ſectatur, cibis magis gravatur quam ſanus, lychni extincti odore gaudet, frequenter in ſomnis feminis profluvium patitur, et plerumque inter eundum ei genitura effunditur. Huic, cum ſic habuerit, ventrem ſuperiorem videlicet veratro nigro purgato, inferiorem vero ſcammonii ſucco. At poſt

Id. Chart. VII. [670. 671.] Foës. I. 556. Ed. Lind. II. (253. 254.)
ἃ καὶ τοῖσιν ἄλλοισι, καὶ ὀρρὸν, καὶ γάλα βοὸς ἢ αἰγὸς διδόναι τὴν ὥρην. διδόναι δὲ καὶ ὄνειον γάλα ὀφεψῶν ἐς ὑποκάθαρσιν. οὗτος οὕτω μελετώμενος μά[671]λιστα ἐν δυσὶν ἔτεσιν ὑγιὴς γίνεται. σιτία δὲ ἃ βούλεται προσφερέσθω. εὐωχεέσθω δὲ ὡς μάλιστα καὶ περιπατεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος. αὕτη ἡ νοῦσος λαμβάνει πρεσβύτερον εἰκοσαέτεος. ὁκόταν δὲ λάβῃ, ἢν μὴ κατ' ἀρχὰς τοῦ νοσήματος μελετηθῇ, οὐκ ἐκλείπει, εἰ μὴ εἴκοσιν ἔτεα παρέλθῃ, (254) ἀλλὰ προσέχει. ἔπειτα ἐνίοισι μελετωμένοισιν ἐξέρχεται. ἡ δὲ νοῦσος χαλεπή. εἰλεοί. εἰλεοὶ δὲ τάδε τὰ νουσήματα καλέεται. γίνεται δὲ ἀπὸ τῶνδε μάλιστα. ἢν τοῦ χειμῶνος θερμῇ τῇ διαίτῃ καὶ ὑγρῇ χρέηται καὶ μήτε περιόδοισι ταλαιπωρέῃ πρὸς τὰ σιτία τεκμαιρόμενος. πιμπλάμενος δὲ εὕδει ἀεὶ, εἶτα ἐξαπίνης ἀναγκασθῇ βαδίσαι μακρὴν ὁδὸν, ψύχεος ἐόντος, εἶτα ῥιγώσῃ ὑπὸ τὰ ὀστέα. τάδε οὖν πάσχει. φῦσα ἐγγίνεται ἐν τῷ σώματι παντὶ, καὶ ἡ χροιὴ αὐτέου γίνεται μολιβδοειδὴς, καὶ ῥιγοῖ αἰεὶ, ὥστε οἱ θερμὸν καταχυθὲν οὐ δοκέεται

purgationem eadem quae caeteris dato, et ſerum lacque bubulum aut caprinum, ſi anni tempus fuerit, exhibeto. Lac etiam aſininum decoctum, ut aliquantulum purgetur, dato. Ad hunc modum curatus intra biennium fere ſanus evadit. Cibos quos velit accipiat, quam plurimum comedat, et pro ciborum ratione obambulet. Hic morbus viginti annis majorem prehendit, cumque praehenderit, niſi per exordia curatio adhibita fuerit, non deſerit, quin viginti anni praeterierint, ſed perſeverat, deinde nonnullis dum curatio adhibetur, decedit. Gravis autem morbus eſt. Tenuioris inteſtini morbi aut volvuli. Convolvuli appellantur hi morbi, ex hisque praecipue oriuntur, ſi quis calida et humida victus ratione per hiemem utatur, neque ciborum ratione facta obambulationibus ſe exerceat, verum expletus perpetuo dormiat, deinde derepente longum iter per frigus conficere cogatur, poſtea ſub oſſibus rigor corripiat. Sic igitur afficitur, flatus univerſo corpore oboritur, ejus color plumbum refert et perpetuo riget, adeo ut calida ei affuſa minime ca-

Ed. Chart. VII. [671.] Foës. I. 556. Ed. Lind. II. (254. 255.)
θερμὸν εἶναι. τὸ δὲ σῶμα λουόμενον αὐτοῦ λεπίζεται ἀπὸ τοῦ θερμοῦ. μάλιστα δὲ ἡ ὄσχη, καὶ ἢν τῷ δακτύλῳ τοῦ σώματος ὑποπιέζῃς, ἐνθλάσεις, καὶ σημαινέεταί σοι ὥσπερ ἐν σταιτί. μάλιστα δὲ ἐν τοῖσι ποσὶν ἐνθλᾶται. τὰ δὲ σκέλεα βαρέα αὐτοῦ, καὶ ἢν περιφοιτήσῃ, τρέμει, καὶ ἢν πρὸς ἔπος βαδίζῃ, πνευστιᾷ σφόδρα, καὶ αἱ ὠλέναι δοκέουσιν ἀποκρέμασθαι, καὶ δίψῃ ἔχει τὰς νύκτας, τὰ δὲ σιτία ὠμὰ διαχωρέει, ἄσσα καταφάγῃ. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πυριήσας αὐτὸν κνεώρου διδόναι πίνειν ἢ τοῦ ἱπποφαέως ὀποῦ ἢ τοῦ Κνιδίου κόκκου. μετὰ δὲ τὴν κάθαρσιν ταῦτα διδόναι ἃ καὶ τοῖσι πρόσθεν. τῇ δὲ ὑστεραίῃ ὀνείου γάλακτος ἑφθοῦ χοέα διδόναι δὶς ἐκπιεῖν ἅλας παραβάλλων. ἐς ἑσπέρην δὲ δειπνέέτω ἄρτον. ὄψον δὲ ἐχέτω ὄϊος κρέα ἑφθά, καὶ πουλύποδας ἑφθοὺς ἐν οἴνῳ μέλανι, καὶ τὸν ζωμὸν ῥοφανέτω, καὶ φακὴν ἐχέτω ὧδε (255) ἐσκευασμένην. κοτύλην φακοῦ ἑψήσας τρῖψαι λίην. ἔπειτα ἄλευρον παραμῖξαι, καὶ σίλφιον ἐπιξέσαι, καὶ ἅλας ἐμβαλεῖν, καὶ ὄξος ἐπιχέαι, καὶ σκόροδα

lida ſentiatur. Corpus autem ejus dum lavatur a calida deſquamatur, praeſertim vero ſcrotum, ſicque digito corporis partem aliquam comprimas, deſidere facies et tibi veſtigium apparebit, non ſecus ac in farina aqua ſubacta. Maxime autem in pedibus deſidet. Ejus autem crura gravantur, et ſi deambulet, tremunt, ſique per acclivem locum iter faciat, crebro admodum ſpirat, ulnae ſuſpenſae eſſe videntur, ſitis per noctem detinet cibosque quoscunque comedit, crudos per alvum demittit. Huic ita habenti, cum ei fomentum admoveris, cneorum aut hippophaes ſuccum aut granum Cnidium propinato. Poſt purgationem autem eadem quae ſuperioribus dato. At poſtridie lactis aſinini cocti congium ſale injecto bis ebibendum dato. Sub veſperum panem in coena ſumat, pro opſonio habeat oviculae carnes coctas, et polypos ex vino nigro coctos juſculumque ſorbeat, lenticulam ad hunc modum apparatam habeat. Lentis heminae coctae probe tritae, poſtea farinam commiſceto et laſer derafum et ſalem injicito, acetum infundito, et ad haec alia

Ed. Chart. VII. [671, 672.] Foës. I. 556. Ed. Lind. II. (255.)
πρὸς τούτοις συνεψεῖν. ἔπειτα ὕδωρ ἐπιχέας ζέσαι δὶς ἢ τρὶς, καὶ τορυνᾶν ἅμα αὐτοῖς. ἔπειτα ἀφελὼν ἐψήσθω. ἔστω δὲ μὴ λίην παχείη. ἐμβεβλήσθω δὲ καὶ ἡ γλήχων ἑψομένη τῆς εὐωδίης εἵνεκα. τὰς δὲ μεταξὺ τῶν ἡμερέων ἐμέτους ποιεέσθω δι' ἕκτης ἡμέρης. πυριῆσθαι δὲ χρὴ ἄλλοτε καὶ ἄλλοτε πρὸ τοῦ ἐμετοῦ καὶ τῆς φαρμακοποσίης, καὶ διὰ τρίτης ἡμέρης. λουέσθω, ἢν συμφέρῃ· εἰ δὲ μὴ, ἀλειφέσθω, καὶ περιπατεέτω, ἢν δυνατὸς ᾖ, πρὸς τὰ σιτία τεκμαιρόμενος καὶ ἀκτῆς φύλλα καὶ κονύζης τῆς αἰεὶ ἁπαλῆς ἑψῶν διδόναι ἐσθίειν. οὕτω γὰρ ἂν μελετώμενος ῥᾷστα διάγοι, καὶ ἡ νοῦσος ἐκλείποι ἂν ἐνιαυσιαίη. πολλοῖσι δὲ ἤδη ὑγιέσι γινομένοισι διὰ δύο ἐτέων ἡ νοῦσος ὑπετροπίασεν. ἀλλὰ χρὴ, ἢν ὑποτροπιάσῃ, τὴν αὐτὴν ἴησιν ἰᾶσθαι. [672] ἢν δὲ τρίτον ὑποτροπιάσῃ, οἴδημα μὲν οὐκ ἐπιγίνεται, λεπτὸς δὲ γίνεται καὶ κάτισχνος. ἄρχεται δὲ λεπτύνεσθαι ἀπὸ τοῦ προσώπου καὶ τὴν χροιὴν ἔκλευκος γίνεται μᾶλλον ἢ τὸ πρόσθεν. τούτῳ ὕδερος ἐνίοτε ἐγένετο ἐν τῇ κοιλίῃ. ἢν οὖν ἐγγένηται τάμνειν αὐτὸν οὐ χρή. ἀποθανέεται γάρ. θεραπεύειν δὲ τοῖσιν αὐ-

simul coquito, deinde aqua affusa bis aut ter fervefacta simul ipsa rudicula agitato, postea detracta refrigerato. Sit autem non valde crassa, cuique boni odoris gratia pulegium simul coctum injectum sit. Interjectis autem diebus sexto quoque die vomitus excitet, subinde tamen ante vomitum et medicamenti potionem fomentum admovere oportet. Tertio quoque die balneum, si conferat, exhibeatur, sin minus, inungatur, et si possit, pro ciborum ratione deambulationibus utatur et sambuci folia, conyzaeque semper tenellae decocta, edenda dato. Hac enim curatione facillime deget, morbusque post annum deseret. Multis vero jam sanatis, post biennium morbus reversus est, verum si redeat, eadem curatione curare oportet. Quod si tertio revertatur, tumor quidem non accedit, tenuis tamen et gracilis evadit, et facies extenuari incipit, coloreque exalbido magis quam prius existit. Huic interdum aqua intercus in ventre suboritur. Si igitur exortus fuerit, eum minime secare oportet, moritur enim,

Ed. Chart. VII. [672.] Foes. I. 556. 557. Ed. Lind. II. (255. 256.) τοῖσιν οἷσι καὶ τὸν ἀπὸ σπληνὸς ὑδεριῶντα. τοῦτον μάλιστα μὲν κατ' ἀρχὰς βούλεσθαι μελετᾶν, καὶ οὕτω ταχέως ὑγιέα ποιήσεις· ἢ δὲ νοῦσος δέεται μελέτης πολλῆς. χαλεπὴ γάρ. (256) ἄλλος εἰλεὸς ἰκτερώδης. || ἐπιλαμβάνει μάλιστα μὲν θέρεος ὥρην ἐν ἑλώδεσι χωρίοισιν οὗτος. μᾶλλον δὲ ἀπ' ὑδροποσίης. πολλοὶ δὲ ἤδη τῷ τοιούτῳ συνεσχέθησαν καὶ ὑπὸ τὸν ἥλιον εἰληθέντες, τὴν κεφαλὴν ἀλγήσαντες. ἀλλὰ παραπλήσια τοῖσι πρόσθεν πάσχουσι, πλὴν τῆς χροιῆς, καὶ γὰρ ὠχρὸς γίνεται οἷον σίδιον, καὶ οἱ ὀφθαλμοὶ ἔστιν ὅτε ἰκτέρου πίμπλανται. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, θεραπεύειν χρὴ τοῖσιν αὐτοῖσιν οἷσι καὶ τὸν πρόσθεν. διδόναι τὸ ἀπ' ἐρεβίνθων λευκῶν ὕδωρ ἑψῶν πίνειν, καὶ ἐν τῷ οἴνῳ διακιρνᾶν καὶ διδόναι, καὶ τὴν κεφαλὴν αὐτέου καθαίρειν τῷ τετραγώνῳ. οὗτος ἧσσον τοῦ προτέρου θανατώδης. καλέεται δὲ εἰλεὸς ἰκτερώδης. εἰλεὸς αἱματίτης. τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτὰ τοῖσι πρόσθεν. ἄρχεται δὲ μετοπώρου γίνεσθαι τὸ νούσημα. τάδε δὲ ἐν τῷ νουσήματι προσγίνεται. ἐκ τοῦ στόματος κακὸν ὄζει, ἀπὸ τῶν ὀδόντων καὶ τὰ οὖλα

sed iisdem remediis curare, quibus ex liene aqua intercute laborantem. Hunc maxime quidem ut per initia cures tibi videndum est, sicque celeriter sanum reddes. Morbus autem cum gravis sit, multa cautione indiget. Alius convolvulus auriginosus. Invadit hic aestatis praecipue tempore in palustribus locis, ex aquae autem potione magis. Plerique vero sub sole volutati cum capitis dolore, ejusmodi jam morbo detenti sunt. Verum ut priores similiter afficiuntur, colore excepto, pallidus enim existit ut malicorium, et oculi interdum auriginoso colore implentur. Hunc, cum sic habuerit, iisdem quibus superiorem curare oportet. Cicerum etiam alborum decoctum potui exhibendum, et vino permiscendum, ejusque caput medicamento tetragono purgandum. Hic superiore minus lethalis et convolvulus auriginosus nuncupatur. Convolvulus sanguineus. Caetera quidem copia eadem quae prioribus contingunt, morbus autem per autumnum oriri incipit, in eoque haec accedunt. Ex ore malus odor expirat, a dentibus gingivae abscedunt et ex

Ed. Chart. VII. [672. 673.] Foes. I. 557. Ed. Lind. II. (256. 257.) ἀφίσταται, καὶ ἀπὸ τῶν ῥινῶν αἷμα ῥέει. ἐνίοτε δὲ καὶ ἐκ τῶν σκελέων ἕλκεα ἐκφλυνδάνει, καὶ τὰ μὲν ὑγιαίνεται, τὰ δὲ ἄλλα προσγίνεται, καὶ ἡ χροιὴ μέλαινα καὶ λεπτόδερμος. περιφοιτῆν δὲ καὶ ταλαιπωρέειν πρόθυμος. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τούτοισιν ἰῆσθαι οἷσι καὶ τοὺς πρόσθεν καὶ κλύζειν τοῖσδε. σικύου τοῦ ἀγρίου πέντε φύλλα τρῖψαι λεῖα καὶ παραμῖξαι μέλιτος ἡμικοτύλιον, καὶ ἁλῶν δραξάμενος τῇ μιῇ χειρὶ καὶ ἐλαίου, ἡμικοτύλιον, καὶ ἀπὸ τεύτλων ἑφθῶν τοῦ χυλοῦ τέσσαρας κοτύλας. διδόναι δὲ ἐς ὑποκάθαρσιν ὀνείου γάλακτος ἑφθοῦ κοτύλας ὀκτὼ μέλι παραχέων. (257) πινέτω δὲ καὶ βόειον τὴν ὥρην, τεσσαράκοντα ἡμέρας. πινέτω δὲ καὶ τὸ ἔωθεν τοῦ βοείου γάλακτος δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγοντας, καὶ μεταξὺ τῶν ἡμερέων. αὕτη ἡ νοῦσος δέεται πολλῆς ἰήσιος· εἰ δὲ μή, οὐκ ἐξέρχεται, ἀλλὰ ξυναποθνήσκει τῷ ἀνθρώπῳ. καλέεται δὲ εἰλεὸς αἱματίτης. [673] τὰ παχέα καλούμενα νοσήματα. ἐκ δὲ τῶν παχέων καλουμένων νουσημάτων τάδε μάλιστα γίνεται. ὁκόταν φλέγμα καὶ χολὴ μιχθῇ κατὰ τὸ σῶμα, ῥέει ἐς τὴν

naribus ſanguis effluit. Interdum vero ex cruribus ulcera erumpunt, et haec quidem ſaneſcunt, alia vero exoriuntur, color niger eſt, cutis tenuis; ad deambulationem et exercitationem alacriter ſe habet. Hunc ita habentem iisdem quibus ſuperiores curato, et ex his alvum ſubluito. Cucumeris agreſtis foliis quinque tenuiter tritis, mellis heminam dimidiam ammiſceto et ſalis pugillum, itemque olei heminam dimidiam, et betarum coctarum ſucci heminas quatuor. Dato etiam ad purgationem per inferiora lactis aſinini cocti heminas octo, melle affuſo; et lac bubulum, ſi tempus ferat, quadraginta diebus bibat. Mane quoque lactis bubuli heminas duas bibat, tertia aquae mulſae parte etiam interpoſitis diebus ammixta. Hic morbus, multa curatione indiget; alioqui non decedit, ſed hominem ad mortem usque comitatur. Vocatur autem convolvulus ſanguineus. Morbi qui craſſi nuncupantur. Ex craſſis morbis nuncupatis hi praecipue oriuntur. Cum pituita et bilis in corpore mixta fuerit, ill

Ed. Chart. VII. [673.] Foël. I. 557. Ed. Lind. II. (257. 258.)

κοιλίην, καὶ ὁκόταν ἁλισθῇ ἐν τῇ κοιλίῃ, ἀείρεται, ἄνω τε καὶ κάτω ἀνατρέχει ὥσπερ κῦμα, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ ἐν τῇ κεφαλῇ ἡ ὀδύνη καθέστηκε, καὶ ὁκόταν πρὸς τὰ σπλάγχνα ἡ ὀδύνη καταστῇ, πνῖγμα παρέχει. ἐνίοτε δὲ ἐμέει λάπην ὀξείην. ἐνίοτε δὲ καὶ ἁλμυρὴν, καὶ ὁκόταν ἀπεμέσῃ, πικρὸν τὸ στόμα δοκέει αὐτῷ εἶναι. ἐν δὲ τῇσι πλευρῇσιν ἐρυθήματα κατέχεται. ἅτε γὰρ τοῦ φλέγματος ἐν τῇ κοιλίῃ ἐόντος, τὸ αἷμα ὑπὸ θερμασίης ἁλισθὲν προσέπεσεν ἐς τὰ πλευρὰ, καὶ ἐρυθήματα παρέχει ἐν τῇσι πλευρῇσι, καὶ θερμασίη ἔχει μάλιστα τὰς πλευρὰς, καὶ τὸ μετάφρενον αὐτοῦ ἔγκυρτον γίνεται, καὶ ὁκόταν ποιῇ μάλιστα, οὐκ ἀνέχεται ψαυόμενος τοῦ σώματος. ἀλγέει γὰρ ὁκοῖόν περ ἕλκος, καὶ αἱ σάρκες πάλλονται ὑπὸ τῆς ἀλγηδόνος, καὶ οἱ ὄρχιες ἕλκονται, καὶ ἐς τὴν καθέδρην καὶ ἐς τὴν κύστιν, θέρμη τις καὶ ὀδύνη ἐμπίπτει καὶ οὐρέει παχὺ ὁκοῖόν περ ὕδρωπες, καὶ ἐκ τῆς κεφαλῆς αἱ τρίχες ῥέουσι, καὶ οἱ πόδες ἀεὶ ψυχροὶ, καὶ ἡ ὀδύνη πιέζει μάλιστα τὰς πλευρὰς καὶ τὸ (258) μετάφρενον, καὶ τὸν τράχηλον. πρὸς δὲ τῷ δέρματι δοκέει οἱ τι προσέρπειν. ἡ δὲ νοῦσος ὁτὲ μὲν πιέζει, ὁτὲ

ventrem defluit, cumque ibi coacervata fuerit, attollitur, furſumque ac deorſum velut unda diſcurrit, rigor et febris prehendit, dolor ad caput decumbit, cumque ad viſcera perveneriit, ſtrangulatum adfert. Interdum pituitam acidam, quandoque vero etiam ſalſam vomit, cumque vomitione rejecerit, os ei amarum videtur. Latera rubores occupant, pituita namque in ventre exiſtente, ſanguis calore coacervatus ad latera fertur et in iis rubores excitat, eaque calor maxime vexat, ipſique dorſum incurvatur. Cumque maxime doleat, corporis contactum non ſuſtinet, dolet enim tanquam ulceratum, carnes prae dolore palpitant, teſtes contrahuntur et ad ſedem ac veſicam calor quidam et dolor irrumpit, craſſamque urinam qualem aqua intercute laborantes reddit, capilli ex capite defluunt, pedes ſemper frigidi ſunt, dolor maxime ad latera, dorſum et cervicem urget, eique ad cutem aliquid adrepere videtur. Morbus autem interdum quidem urget, interdum vero remittit. At proce-

Ed. Chart. VII. [673.] Foël. I. 557. 558. Ed. Lind. II. (258.)

δὲ ἀνίησι. προϊούσης δὲ τῆς νούσου συνεχέστερον πιέζει, καὶ τῆς κεφαλῆς τὸ δέρμα παχὺ καὶ ἐρυθρόν ἐστιν. οὗτος μέχρι μὲν ἓξ ἐτέων τοιαῦτα πάσχων διατελέει. ἔπειτα ἱδρώς τε πουλὺς καταχέεται καὶ κάκοδμος γίνεται. πολλάκις δὲ καὶ ὀνειρώσσει. τὸ δὲ λάγνευμα τούτου ὕφαιμον προέρχεται ὑποπέλιδνον. τοῦτο τὸ νούσημα γίνεται διὰ θερμασίην τοῦ ἡλίου καὶ ὑδροποσίην. || τοῦτον τοιγαροῦν ὁκόταν οὕτως ἔχῃ, τοῦ κνεώρου διδοὺς ὑποκαθαίρειν ἢ τοῦ Κνιδίου κόκκου ἢ τοῦ ἱπποφαέως. δίδου δὲ πίνειν καὶ γάλα ὄνειον ἑψήσας ὀκτὼ κοτύλας μέλι παραχέων. τῇ δὲ ὑστεραίῃ μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν ἃ καὶ τοῖσιν ἄλλοισι. τὰς δὲ πρώτας ἡμέρας εὐωχεέσθω τὰ αὐτὰ ἃ καὶ ὅστις ὑπὸ ὑδέρου ἁλώ, καὶ πονεέτω περιόδοισιν, ἢν δυνατὸς ᾖ. ἢν δὲ ἀδύνατος ᾖ ὑπὸ τῶν πυρετῶν καὶ ἐσθίειν μὴ δύνηται τὰ σιτία, χρεέσθω ῥοφήματι φακῇ· ποτῷ δὲ οἴνῳ μέλανι ὡς αὐστηροτάτῳ. αὕτη ἡ νοῦσος ἐπιλαμβάνει μάλιστα μετοπώρου καὶ ὀπώρης ἐούσης. οὗτος ἢν μὲν ἰηθῇ ἐν τοῖς ἓξ ἔτεσιν· εἰ δὲ μή, προσέχει καὶ ἄχρι τῶν δέκα ἐνιαυτῶν. πολλοῖσι δὲ καὶ ξυναπο-

dente morbo aſſidue magis urget, cutisque capitis craſſa et rubra eſt. Hic ad ſex quidem annos hoc modo affectus perdurat, deinde ſudor copioſus et graveolens effunditur, crebro vero per ſomnum Veneris ludibriis agitatur, illiusque ſemen genitale ſubcruentum prodit et ſublividum. Hic morbus ex ſolis calore et aquae potione oritur. Hunc igitur ubi ſic habuerit, cneoro exhibito per inferiora aliquantulum purgato, aut grano Cnidio aut hippophaes ſucco. Lactis etiam aſinini cocti octo heminas melle affuſo potui dato. Poſtero vero die poſt purgationem eadem quae aliis porrigito. Primis autem diebus eadem quae aqua intercute detentus in cibo accipiat, et ſi validus fuerit, obambulationibus ſe exerceat. Quod ſi invalidus propter febres fuerit, neque cibos comedere poſſit, lenticulae forbitione utatur, et in potu vino nigro quam auſtero. Hic morbus autumno praecipue et autumnalium fructuum tempore invadit. Hic ſi quidem intra ſex annos curatus fuerit, bene eſt; ſin minus, ad decennium usque annum, per-

Ed. Chart. VII. [673. 674.] Foël. I. 558. Ed. Lind. II. (258. 259.)
θήσκει, ἢν μὴ παραχρῆμα μελετηθῇ παχέα. τὰ δὲ τοιάδε τῶν νουσημάτων γίνεται ἀπὸ χολῆς, ὁκόταν χολὴ ἐπὶ τὸ ἧπαρ ἐπιῤ[674]ῥυῇ καὶ κατὰ τὴν κεφαλὴν καταστῇ. τάδε οὖν πάσχει. τὸ ἧπαρ οἰδέει καὶ ἀναπτύσσεται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος, καὶ εὐθὺς ἐς τὴν κεφαλὴν (259) ὀδύνη ἐμπίπτει, μάλιστα δὲ ἐς τοὺς κροτάφους, καὶ τοῖσιν ὠσὶν οὐκ ὀξὺ ἀκούει, πολλάκις δὲ καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ, καὶ φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. ταῦτα μὲν καιαρχὰς τοῦ νουσήματος αὐτῷ γίνεται διαλιμπάνοντα, ὁτὲ μὲν σφόδρα, ὁτὲ δὲ ἧσσον. ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ προΐῃ, ὅ τε πόνος πλείων ἐν τῷ σώματι, καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν, καὶ σκιαγγέει, καὶ ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθήσεται διὰ τὸ μὴ ὁρῆν. τούτῳ δ' ἂν γνοίης ὅτι οὐχ ὁρᾷ, ὅτι οὐ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου. καὶ τὰς κροκίδας ἀφαιρέει τοῦ ἱματίου, ἤν περ ἴδῃ, δοκέων φθεῖρας αὐτὰς εἶναι. καὶ ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπτυχῇ πρὸς τὰς φρένας, παραφρονέει. καὶ προφαίνεσθαί οἱ δοκέει πρὸ τῶν

severat; plerosque vero, nisi confestim adhibita curatio fuerit, ad mortem usque comitatur. Crassi autem hujusmodi morbi ex bile oriuntur, cum bilis ad hepar confluxerit et in capite sedem habuerit. Sic igitur afficitur: jecur intumescit, tunc que ad septum transversum expanditur, statimque dolor ad caput, praecipue vero ad tempora ingruit, neque auribus acute audit, saepe vero oculis non videt horrorque et febris invadit. Haec quidem per morbi initia ei contingunt et interdum valde quidem, interdum etiam minus intermittunt, quantoque longius morbus processerit, tanto magis corpus dolet, oculorum pupillae dissipantur et coecutit, sique digitum ad oculos admoveris, non percipit, quod non videat. Ex eo autem cognosces, quod non videat, quod admoto digito non nictatur; et floccos ex veste stragula detrahit, si quos videat, pediculos esse ratus. Cumque hepar ad septum transversum magis explicatum fuerit, delirat, eique ante oculos reptilia et cujusvis generis variae ferae apparere videntur, et homines

Ed. Chart. VII. [674.] Foës. I. 558. Ed. Lind. II. (259. 260.)
ὀφθαλμῶν ἕρπετὰ καὶ ἄλλοῖα παντοδαπὰ θηρία καὶ ὁπλῖται μαχόμενοι, καὶ αὐτὸς ἐν αὐτοῖς δοκέει μάχεσθαι, καὶ τοιαῦτα λέγει ὡς ὀρέων μύχας καὶ πολέμους, καὶ ἐπέρχεται, καὶ ἀπειλέει, ἢν μή τις αὐτὸν ἐᾷ ἐξιέναι. κἂν ἀναστῇ, οὐ δύναται ἀείρειν τὰ σκέλεα, ἀλλὰ καταπίπτει. καὶ οἱ πόδες αὐτοῦ αἰεὶ ψυχροί. καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου, καὶ φοβέεται, ὁκόταν ἐνύπνια ἴδῃ φοβερά. τῷδε δὲ γινώσκομεν· ὅτι ἀπὸ ἐνυπνίων ἀΐσσει, φοβέεται, καὶ ὁκόταν ἔννοος γένηται, ἀφηγεῖται τὰ ἐνύπνια, ὁκοῖα καὶ τᾷ σώματι ἐποίει καὶ τῇ γλώσσῃ ἔλεγε. ταῦτα μὲν οὕτω πάσχει. ἔστι δ' ὅτε καὶ κέεται ἄφωνος ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα ἀναπνέων πολλὸν τὸ πνεῦμα ἀθρόον. ὁκόταν δὲ παύσηται παρα(260)φρονέων, εὐθὺς παραχρῆμα ἔννοος γίνεται, καὶ ἢν ἐρωτῇ τὶς αὐτὸν, εὐθὺς ἀποκρίνεται καὶ γινώσκει πάντα λεγόμενα. εἶτ' αὖθις ὕστερον ὀλίγῳ χρόνῳ ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα ἐν ἀλλοδημίῃ, καὶ ἢν κου ἐρήμην ὁδὸν βαδίζῃ καὶ ὁ φόβος αὐτὸν λάβῃ ἐκ φάσματος. λαμβάνει δὲ καὶ ἄλλως. τοῦτον,

armati, cum quibus ipſe pugnare videtur, et tanquam pugnas et bella geri videat, ejusmodi loquitur, irruit et, niſi quis eum exire ſinat, minatur, ſique ſurrexerit, crura attollere non poteſt, ſed decidit et ejus pedes ſemper ſunt frigidi. Cum dormit per ſomnum exilit, et terretur cum inſomnia horrenda viderit. Eum autem in ſomnis exilire et terreri ex eo cognoſcimus, quod ad mentem cum redierit inſomnia enarrat, quaeque in corpore geſſit et quae lingua locutus eſt. Haec quidem ad hunc modum patitur, interdum vero per totum diem ac noctem voce defectus jacet cum multa et conferta reſpiratione. Cum delirium quievit, ſtatim e veſtigio ad mentem redit, et ſi quis eum roget, confeſtim reſpondet et omnia quae dicuntur intelligit, deinde rurſus paulo poſt in iisdem doloribus decumbit. Hic morbus maxime per peregrinationem contingit et ſicubi deſerta loca peragrans ex viſo ſpectro terrore correptus fuerit. Quin et alias etiam prehendit. Cum ſic

Ed. Chart. VII. [674.] Foës. I. 558. 559. Ed. Lind. II. (260.)
ὁκόταν οὕτως ἔχῃ, πῖσαι τοῦ μέλανος ἐλλεβόρου πέντε ὀβολοὺς στήσας, διδόναι δὲ ἐν οἴνῳ γλυκεῖ, ἢ κλύζειν αὐτὸν ἐν τούτοισι. νίτρου Αἰγυπτίου ὁκόσον ἀστράγαλον ὄϊος. τοῦτο τρῖψαι λεῖον καὶ παραμῖξαι μέλιτος καλλίστου. ἡμικοτύλιον δὲ ἑψήσας ἐν θυείῃ καὶ ἡμικοτύλιον ἐλαίου καὶ ἀπὸ τεύτλων ἑφθῶν ὕδατος τέσσαρας κοτύλας ἐξαιθριάσας. ἢν δὲ βούλῃ, ἀντὶ τεύτλου ὄνειον γάλα ἑψήσας παραμῖξαι. ταῦτα μίξας κλύζειν, ἤν τε πυρετὸς ἔχῃ ἤν τε μή. ῥοφήμασι δὲ χρεέσθω πτισάνῃ καθέφθῳ, μέλι παραχέων. πινέτω δὲ καὶ μέλι καὶ ὕδωρ καὶ ὄξος συγκεράσας ἅμα, ἕως ἂν κριθῇ ἡ νοῦσος || κρίνεται δὲ ἐν δεκατέσσαρσιν ἡμέρῃσι τὸ μακρότατον, ἤν τε θανάσιμον ἤν τε οὔ. πολλοῖσι δὲ ἤδη ἡ τοιαύτη νοῦσος πεπαυμένη πάλιν ὑπετροπίασεν. ἢν οὖν ὑποτροπιάσῃ, κίνδυνος αὐτὸν διαφθαρῆναι. κρίνεται δὲ ἡ νοῦσος ἐν ἑπτὰ ἡμέρῃσιν, ἤν θανάσιμος ἢ οὔ. ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει, ἀλλὰ τοῖσι πολλοῖσι μελεδαινομένη ἐξέρχεται. ὁκόταν δὲ παύσηται ἡ νοῦσος, διαίτῃ χρεέσθω καλῇ, ἡσύχως προσάγων ὁκόσα ἡ κοιλίη προσδέξηται καὶ μὴ ξυγκαυθῇ,

habuerit, veratri nigri pondus obolorum quinque ex vino dulci propinato, aut ei ex his infuſum injicito. Nitri Aegyptii tali ovilli quantitatem leviter terito, et mellis optimi decocti heminam dimidiam in pila ammiſceto et olei tantundem cum betarum coctarum decocto ad quatuor heminas per noctem coelo ſereno expoſitas. Quod ſi voles, pro betae decocto lac aſininum coctum admiſceto, eaque permixta, febris detineat nec ne, per infuſum immittito. Pro ſorbitionibus ptiſana decocta melle affuſo utatur. Mel autem et aquam et acetum ſimul permixta bibat, quoad morbus judicatus fuerit. Judicatur autem quatuordecim ad ſummum diebus, lethalis ſit nec ne. Multis vero, ubi jam quieverit hic morbus, rurſus revertitur; quod ubi contigerit, periculum eſt, ne aeger conſumptus pereat. Judicatur autem morbus ſeptem diebus, lethalis ſit nec ne; quos ſi effugerit, fere non moritur, ſed in multis curatus decedit. Cum vero ceſſaverit morbus, optima victus ratione utatur, ſenſim adjiciens quae ventriculus ſuſcipiat,

Ed. Chart. VII. [674. 675.] Foës. I. 559. Ed. Lind. II. (261.) μήτε διάῤ(261)ῥοια ἐπιγίνηται. [675] ἀμφότερα γὰρ δοκέει κινδυνώδεα εἶναι. λουέσθω δὲ ἑκάστης ἡμέρης καὶ περιπατεέτω μετὰ τὰ σιτία ὀλίγα. ἐσθῆτα δὲ ἐνείσθω κούφην καὶ μαλθακήν. καὶ γαλακτοπιέτω τὴν ὥρην καὶ ὀρῤοποτεέτω πέντε καὶ τεσσαράκοντα ἡμέρας. ταῦτα ἢν ποιέῃ, τύχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπὴ καὶ δέεται μελέτης πολλῆς. ἕτερον παχύ. γίνεται δὲ ἀπὸ φλέγματος σαπέντος. τῷδε δὲ δῆλον ὅθεν γίνεται. ὅτι σαπρόν ἐστιν, ἐρεύγεται ἀπὸ τοῦ τοιοῦδε ἔχον τὴν ὀσμὴν, ὁκοῖον τὶς ῥαφανῖδας φαγών. ἄρχεται δὲ γίνεσθαι τὸ τοιοῦτον νόσημα ἀπὸ τῶν σκελέων. εἶτ' ἀπὸ τούτων ἄνεισιν ἐς τὴν κοιλίην, καὶ ὁκόταν ἐν τῇ κοιλίῃ στῇ, αὖθις ἀνατρέχει πρὸς τὰ σπλάγχνα, καὶ ὁκόταν ἐπὶ τούτοισι στῇ, μύζει καὶ ἔμετον ἄγει, ἅμα λάπην ἐμῶν ὀξείην ὑπόσαπρον, καὶ ὁκόταν ἀπεμέσῃ, οὐκ ἔχει ἑωυτόν. ἔπειτα ἀπορίη πρὸς τοῖσι σπλάγχνοισιν, ἐνίοτε δὲ καὶ ἐς τὴν κεφαλὴν ἐξαπίνης ὀδύνη στηρίζει ὀξείη. καὶ τοῖσιν ὠοὶν ὀξέως ἀκούειν οὐ δύναται οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ὁρῆν ὑπὸ τοῦ βάρεος. ἰδρώς τε πολλὸς καταχέεται κάκοδμος, καὶ

ut non exurantur, neque alvi profluvium ſuperveniat. Utrumque enim cum periculo conjunctum videtur. Balneo quotidie utatur, et poſt cibos moderate obambulet, veſtem levem ac mollem induat, lac et ſerum, ſi anni tempus ferat, per dies quinque et quadraginta bibat. Quae cum fecerit, citiſſime ſanus evadet. Morbus autem difficilis eſt multaque cura indiget. Alius craſſus morbus. Oritur autem ex pituita putrefacta. Ex eo vero unde oritur putridum eſſe manifeſtum eſt, quod inde ructus emittatur cum ejusmodi odore, qualem habet qui radiculas ederit. Ejusmodi morbus a cruribus oriri incipit, deinde ab his ad ventrem aſcendit, cumque ad ventrem pervenerit, rurſus ad viſcera recurrit, et ubi in his conſtiterit, ſtrepitum edit et vomitionem ciet, ſimul pituitam acidam ſubputridam vomitione rejiciens, quam cum vomuerit, ſibi non conſtat aeger, deinde anxietudo eſt circa viſcera, interdumque tam gravis dolor repente capiti adhaereſcit, ut neque acute audire neque prae gravitate videre queat, ſudor etiam

Ed. Chart. VII. [675.] Foël. I. 559. Ed. Lind. II. (261. 262.)
μάλισθ' ὅταν ἡ ὀδύνη ἔχῃ, καὶ ποιεῖ λωφᾶν τῆς νούσου. ἡ δὲ χροιὴ αὐτοῦ ἰκτερώδης δείκνυται. αὕτη ἡ νοῦσος τῆς προτέρης ἧσσον μικρῷ θανατώδης. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην, κότω μὲν τῷ ἱπποφέῳ, ἄνω δὲ τῷ ἐλλεβόρῳ, καὶ τὴν κεφαλὴν καθαίρειν τῷ τετραγώνῳ. καὶ ὁκόταν ὑπὸ τοῦ ἐλλεβόρου κεκαθαρμένος ᾖ, τῇ ὑστεραίῃ ὄνειῳ ἑφθῷ γάλακτι ὑποκαθαίρειν, τῇ δὲ τρίτῃ αἰγείῳ ἑφθῷ. ὡσαύτως δὴ καὶ τῇ τε(262)τάρτῃ καὶ τῇ πέμπτῃ. εἴκοσι δὲ ἄλλας ἡμέρας διδόναι ὠμὸν γάλα βόειον, εἴτε καὶ αἴγειον, τρίτον μέρος μελικρήτου παραμίσγων. πινέτω δὲ ταῦ γάλακτος χοέα. μετὰ δὲ τὴν κάθαρσιν τὴν κάτω τῶν φαρμάκων τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσιν ὑπὸ ὑδέρου κατεχομένοισι. τὸν δὲ λοιπὸν χρόνον, ὁκόταν τὸ γάλα πίνῃ, δειπνέετω ἄρτον ἔξοπτον. ὄψον δὲ ἐχέτω ἐν ἰχθύσι μὲν σκορπίον ἢ καλλιώνυμον ἢ κόκκυγα ἢ ῥίνης τέμαχος ἑφθὸν ἐν ὀρτύμασιν, ἐν κρέασι δὲ οἷς ἢ ἀλεκτρυόνος νεοσσούς. ταῦτα ἑφθά. οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ, ἢν δὲ μὴ, μέλανα αὐστηρόν. εἶτα περιπατεέτω μετὰ τὸ φαγεῖν, ὅκως ἂν μὴ ῥι-

multus graveolens effunditur, praeſertim cum dolor detinet, morbique remiſſionem facit. Color qualis in morbo regio offenditur, hicque morbus priore paulo minus lethalis eſt. Huic ita habenti ventrem inferiorem per hippophaes purgato, ſuperiorem vero per veratrum, caputque tetragono purgato, cumque per veratrum purgatus fuerit, poſtridie lacte aſinino cocto aliquantulum purgato. Tertio autem die caprino cocto eodemque ſane modo quarto et quinto. At reliquis viginti diebus lac bubulum crudum ſive etiam caprinum, tertia aquae mulſae parte ammixta, ad congium potui exhibeto. Poſt inferiorem autem purgationem eadem quae aqua intercute detentis medicamenta porrigito. Reliquo tempore cum lac bibit, in coena panem exaſſatum ſumat, pro opſonio vero habeat ex piſcibus quidem ſcorpium aut callionymum aut cuculum aut ſquatinae fruſtum cum condimentis coctum, ex carnibus vero ovillas aut pulli gallinacei easque coctas. Vinum bibat album, ſi conferat, ſin minus, nigrum, auſterum, deinde obambulet,

Ed. Chart. VII. [675. 676.] Foël. I. 559. 560. Ed. Lind. II. (262. 263.)

γώση. τούτῳ ἢν μὲν οὖν ξυμφέρῃ, τὰ σιτία διδόναι ἃ εἴρηται, ἢν δὲ μὴ ξυμφέρῃ, ῥοφήματα διδόναι πτισάνης ἢ κέγχρου. ταύτῃ τῇ νούσῳ ἢν τριήκοντα ἡμέρας παρέλθῃ ὁ νοσέων, ὑγιαίνεται. αὗται γὰρ κρίνουσιν, ἢν θανάσιμος ἢ μή. ἡ δὲ νοῦσος χαλεπή. [676] ἄλλο παχύ. γίνεται τὸ νούσημα ὑπὸ φλέγματος λευκοῦ. ξυνίσταται δὲ ἐν τῇ κοιλίῃ, ὁκόταν πουλυχρόνιοι κατάσχωσι τὸ σῶμα πυρετοί. ἄρχεται δὲ τὸ νούσημα ἐκ τοῦ προσώπου γίνεσθαι, καὶ οἰδέει τὸ πρόσωπον, εἶτα κατέρχεται ἐς τὴν κοιλίην, καὶ ὁκόταν σιῇ ἐν αὐτῇ, ἀείρει μεγάλα τὴν γαστέρα, καὶ τὸ σῶμα κοπιᾷ ὡς ὑπὸ ταλαιπωρίης, καὶ ἐς τὴν κοιλίην βάρος ἐιῇ καὶ πόνος ἰσχυρός. καὶ οἱ πόδες οἰδέουσι. καὶ ἢν χυθῇ ὑετὸς ἐπὶ τῆς γῆς, τῆς κόνιος ὀδμώμενος οὐκ ἀνέχεται. || ἢν δὲ ἐστηκὼς τύχῃ ἐν τῷ ὑετῷ καὶ ὀδμηθῇ τῆς γῆς, ἐξαπίνης πίπτει. αὕτη ἡ νοῦσος διαπαύου(263)σα τῆς προτέρης πλείονα χρόνον ἐπιλαμβάνει καὶ χρονιωτέρη ἀπαλλάσσεται. μελετᾶν δὲ χρὴ ταύτην ἐν τοῖσιν αὐτοῖσιν, οἵοισι καὶ τὸν ὑδεριῶντα, ἤγουν πυρίῃσι καὶ φαρμάκοισι καὶ ἐδέσμασι καὶ ταλαιπωρίῃσιν. αὕτη

postquam comederit, ut ne frigeat. Huic igitur praedictos cibos, si conferant, exhibeto, sin minus, sorbitiones ex ptisana et milio. In hoc morbo si triginta dies aeger praeterierit, sanus evadit. Hi enim lethalis sit necne decernunt. Est autem difficilis morbus. Alius crassus morbus. Oritur ex pituita alba, in ventre vero colligitur, ubi febres diuturnae corpus occuparint. Hic morbus initium sumit a facie, quae intumescit, deinde ad ventrem defertur, quo cum pervenerit, ventrem in magnitudinem attollit, corpusque velut ab exercitatione lassitudine laborat, in ventre ponderis sensus et dolor vehemens inest et pedes intumescunt. Quod si pluvia in terram effusa fuerit, pulveris odorem non sustinet. Si vero in pluvia forte fortuna constiterit et terrae odorem senserit, derepente concidit. Hic morbus cum intermittit, diutius tamen priore occupat et tardius solvitur. Eum autem iisdem quibus aquam intercutem curare oportet, fomentis videlicet, medicamentis, cibariis et exercitationibus vehementibus. Hic morbus per

Ed. Chart. VII. [676.] Foël. I. 560. Ed. Lind. II. (263.)

ἡ νοῦσος ἐπικρατέει μάλιστα ἓξ ἔτεα, εἶτα ἐξέρχεται μελετωμένη καλῶς ἐν χρόνῳ, ἤν γε καὶ μὴ καταρχὰς ἰηθῇ. αὕτη ἡ νοῦσος χαλεπὴ καὶ δέεται μελέτης πολλῆς. Περὶ ἰσχιάδος. ἰσχιὰς δὲ ἀπὸ τῶνδε τῶν ἀφορμῶν γίνεται μάλιστα τοῖσι πολλοῖσιν, ἢν ἔλθῃ ἐν τῷ ἡλίῳ πουλὺν χρόνον καὶ τὰ ἰσχία διαθερμανθῇ καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ ὑπὸ τοῦ καύματος τὸ ἐνεὸν ἐν τοῖσιν ἄρθροισιν. ὡς δὲ ἀναξηραίνεται καὶ πήγνυται, τόδε δέ μοι τεκμήριον. ὁ γὰρ νοσέων στρέφεσθαι ἢ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ τῆς ἐν αὐτοῖσιν ἀλγηδόνος καὶ τοῦ ξυμπεπηγέναι τοὺς δακτύλους. ἀλγέει δὲ μάλιστα τὴν ὀσφῦν καὶ τοὺς σπονδύλους τοὺς ἐκ πλαγίων τῶν ἰσχίων καὶ τὰ γούνατα. ἵσταται δὲ ἡ ὀδύνη ἐν τοῖσι βουβῶσι πλεῖστον χρόνον ἅμα καὶ τοῖσιν ἰσχίοισιν ὀξείη καὶ καυματώδης. κἢν τις αὐτὸν ἀναστῇ ἢ μετακινέῃ, ὑπὸ τῆς ἀλγηδόνος οἰμώζει ἑκόσον ἂν μέγιστον δύνηται. ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίνεται καὶ ῥῖγος καὶ πυρετός. γίνεται δὲ καὶ ἀπὸ χολῆς καὶ φλέγματος. γίνεται δὲ καὶ ἀπὸ αἵματος ὀδύνη παραπλήσιος ὡς ὑπὸ πάντων τῶν νουσημάτων. καὶ ῥῖγος

ſex annos detinet, deinde probe curatus cum tempore decedit, etiamſi per exordia non curetur. Eſt autem moleſtus morbus multamque curam poſtulat. De coxario morbo. Coxendicum autem morbus his ex cauſis multis praecipue oritur, ſi quis per multum tempus in ſole verſatus fuerit, et coxendices incaluerint humorque, qui in articulis ineſt, ab aeſtu reſiccatus fuerit. Quod autem reſiccetur ac concreſcat, id mihi indicio eſt. Aeger enim articulos prae dolore, qui in eis eſt, vertere aut movere non poteſt, et eo quod digiti conſtricti ſunt. Dolor eſt ad lumbos praecipue et ad vertebras, quae ad coxendices obliquae ſitae ſunt, et genua. In inguinibus autem ſimulque coxendicibus dolor acutus et aeſtuoſus diu inſiſtit, et ſi quis eum erigat aut transmoveat, prae dolore quantum poteſt ingemiſcit. Interdum vero etiam convulſio et rigor et febris ſupervenit. Oritur autem etiam a bile et pituita, oritur quoque etiam a ſanguine, dolorque conſimilis eſt, velut ab omnibus morbis, rigorque et febris levis inter-

Ed. Chart. VII. [676. 677.] Foël. I. 560. Ed. Lind. II. (263. 264.) καὶ πυρετὸς ἐνίοτε ἐπιλαμβάνει βληχρός. ἀλλὰ χρὴ ὧδε μελετῆν τὸν ἀπὸ τοῦ ἡλίου ταύτην τὴν νοῦσον λαβόντα. ὑγραίνειν αὐτοῦ τὸ σῶμα τῇ πυριήσει, καὶ ἀπὸ τῶν σιτίων καὶ ἀπὸ τῶν ποτῶν καὶ τῶν ἄλλων τῶν διδομένων διδόναι χλιαρὰ καὶ (264) ὑγρά. ταῦτα δὲ πάντα ἑφθά. σίτῳ δὲ καὶ μάζῃ χρεέσθω μαλθακῇ ἀτρίπτῳ. οἶνον δὲ πινέτω λευκὸν ὑδαρέα, καὶ τῷ σώματι ἡσυχίην ἐχέτω, ἢν καὶ ἀδύνατος ᾖ ἀνίστασθαι, πλὴν ὀλίγα περιπατεέτω ἑκάστης ἡμέρης. καὶ μὴ ῥιγούτω καὶ λουέσθω μὴ πολλῷ. καὶ ὁκόταν σοι δοκέῃ καλῶς ἔχειν καὶ ὑγρὸς εἶναι τῷ σώματι, [677] πυριῆσαι σφόδρα βληχρῇ τῇ πυρίῃ· μᾶλλον γὰρ ἀνήσει καὶ ἀνυγραίνει τὰ συμπεπηγὸς ἐκ τῶν ἄρθρων. εἶτα τῇ ὑστεραίῃ πίσαι τοῦ Κνιδίου κόκκου. ἢν δὲ μὴ ὠφελήσῃ, κλύσαι τούτοισι χρὴ αὐτόν. τρίβειν κυμίνου ἡμικοτύλιον σικύην ἄτμητον τῶν μικρῶν καὶ στρογγύλων ξυγκόψας ἐν τῷ ὅλμῳ καὶ σήσας ὡς λεπτότατον νίτρου ἐρυθροῦ Αἰγυπτίου τεταρτημόριον μνᾶς ὀπτήσας τρίψας τε λεῖον, ταῦτα ἐμβάλλειν ἐς χυτρίδα καὶ ἐγχέαι ἐλαίου κοτύλην, μέλιτος ἡμικοτύλιον, οἴνου λευκοῦ

dum prehendit. Sed eum, qui hoc morbo ex ſole tentatur, hoc modo curare oportet. Corpus ejus adhibito fomento humectato et cibos et potus aliaque exhibenda tepida et humida, eaque omnia cocta exhibeto. In cibo maza utatur molli, nullo humore ſubacta, vinum bibat album, aquoſum et corpore quietem agat et quamvis exurgere nequeat, parum tamen quotidie obambulet, neque frigeat, neque multum lavet. Cumque tibi probe habere corpusque humectum eſſe videbitur, levi adhibito fomento multum foveto. Magis autem relaxat e quod in articulis compactum eſt perhumectat. Poſtero vero die granum Cnidium propinato. Quod ſi non juverit, hoc per infuſum immittere oportet. Cape cumini triti heminam dimidiam, colocynthida non diſſectam parvam et rotundam, in pila contuſam et tenuiſſime tritam et nitri Aegyptii rubri, toſti et levigati minae quadrantem. Haec in ollam immittito et olei heminam affundito, mellis heminam dimidiam, vini

Ed. Chart. VII. [677.] Foës. I. 560. 561. Ed. Lind. II. (264. 265.)
κοτύλην καὶ σεντλίου χυλοῦ. ταῦτα ἑψῆν, ἕως ἂν σοι δοκέῃ καλῶς ἔχειν τοῦ πάχεος. εἶτα διηθήσας δι' ὀθονίου παραμῖξαι αὐτοῖσι μέλιτος Ἀττικοῦ κοτύλην, ἢν μὴ βούλῃ ξυνεψεῖν τὸ μέλι. ἢν δὲ μὴ ἔχῃς Ἀττικὸν, κοτύλην τοῦ καλλίστου παραμίξας ἑψῆσαι ἐν θυείῃ. ἢν δὲ τὸ κλύσμα παχύτερον ᾖ, παραχέαι οἴνου τοῦ αὐτοῦ πρὸς τὸ πάχος τεκμαιρόμενος, ἐν τούτῳ κλύζειν. εἶτα ἐᾶν χρὴ μέχρι τριῶν ἡμερέων καθαίρεσθαι. ἢν δὲ πλείονας ἡμέρας καθαίρηται, τοῦ βοείου ἢ τοῦ αἰγείου γάλακτος τρεῖς κοτύλας δοῦναι ἐκπιεῖν, εἶτα τεῦτλα λιπαρὰ περίπαστα ἐν ὀρτύμασιν ἅναλτα δοῦναι (265) ἐσθίειν. ἐκ ταύτης οὖν τῆς νούσου πολλοὶ χωλοὶ ἐγένοντο. ἢν δὲ ἀπὸ χολῆς ἡ νοῦσος γένηται, πῖσαι αὐτὸν ἐλλέβορον κάτω ἢ ὀπὸν σκαμμωνίης. μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν πτισάνης χυλὸν μέλι παραχέων δύο τρυβλία δοῦναι ἐκροφέειν. τῇ δὲ ὑστεραίῃ ἢ τῇ τρίτῃ πυριήσας γάλακτι ὀνείῳ ἐφθῷ ὑποκαθῆραι. || ἐς ἑσπέρην δὲ τεύτλου λιπαροῦ δύο τρυβλία ἐμφαγέτω ἅλφιτα παραπάσας. οἶνον δὲ πινέτω λευκὸν, ὑδαρέα, γλυκὺν καὶ νῦν καὶ μετὰ τὴν τοῦ φαρμά-

albi et ſucci betae heminam, haec, quoad probam craſſitudinem habere tibi videantur, coquito. Deinde his per linteum excolatis, mellis Attici heminam ammiſceto, niſi mel ſimul coquere velis. Quod ſi Atticum deſit, mellis optimi cocti heminam in pila admiſceto. Si vero infuſum craſſius fuerit, de eodem vino habita craſſitudinis ratione affundito, eoque infuſo alvum ſubluito. Deinde ſinito ad tres dies usque, ut purgetur. Quod ſi pluribus diebus purgetur, lactis bubuli aut caprini heminas tres ebibendas dato, poſtea betas pingues infulſas condimentis aſperſis comedendas praebeto. Ex hoc morbo multi claudi evadunt. At vero ſi ex bile morbus hic originem ſumpſerit, veratrum aut ſcammonii ſuccum deorſum purgans ei propinato. Poſt ejusmodi vero purgationem ſucci ptiſanae melle affuſo acetabula duo ſorbenda exhibeto. Poſtero autem aut tertio die, admoto fomento, lacte aſinino cocto aliquantulum purgato. Sub veſperum betae pinguis polenta aſperſa acetabula duo comedat. Vinum album, aquoſum, dulce et nunc et poſt

Ed. Chart. VII. [677.] Foës. I. 561. Ed. Lind. II. (265. 266.)
κου κάθαρσιν. ἢν δὲ ἀπὸ φλέγματος νοσέῃ, πῖσαι αὐτὸν τοῦ Κνιδίου κόκκου ἢ τοῦ ἱπποφέως πυριήσας. μετὰ δὲ τὴν κάθαρσιν τὰ αὐτὰ χρὴ προσφέρειν καὶ ῥοφήματα καὶ ποτὰ καὶ γαλακτοποσίην. τὰς δὲ μεταξὺ τῶν ἡμερέων διαίτῃ χρεέσθω ὡς κουφοτάτῃ, καὶ ἢν μὲν ἀπὸ τούτων ὠφελῆται, ἢν δὲ μή, καῦσαι αὐτὸν, τὰ μὲν ὀστώδεα μύκησι, τὰ δὲ σαρκώδεα σιδηρίοισι πολλὰς ἐσχάρας καὶ βαθείας. ἢν δὲ ὑφ' αἵματος νοσέῃ, πυριῆσαι καὶ σικύην προσβάλλειν καὶ φλεβοτομέειν τὰς ἐν τῇσιν ἰγνύῃσι φλέβας. ἢν δέ σοι δοκέῃ, καὶ τοῦ Κνιδίου κόκκου πῖσαι αὐτόν. διαίτῃ δὲ χρεέσθω ὡς ξηροτάτῃ. οἶνον δὲ μᾶλλον μὲν μὴ πινέτω· ἢν δὲ ἄρα καὶ πίνειν θέλῃ, ὡς ἐλάχιστον καὶ ὑδαρέσιερον δίδου. καὶ περιπατέειν ὀλίγα κέλευε· ἢν δὲ δυνατὸς ᾖ, πλεῖστα. ξυμφέρει δὲ καὶ τῷ ἀπὸ τοῦ φλέγματος νοσέοντι τὰ τοιαῦτα ποιέειν. ἢν δὲ μὴ δύνηται ἵστασθαι, ἐν τῇ κλίνῃ (266) χρὴ περιφέρειν ὡς πυκνώτατα, ἀφ' οὗ ἂν νοσέῃ καὶ ἅπαντα ὁμοίως, ὅκως ἂν ἐντὸς μὴ ξυμφυῇ ὁ χόνδρος. ἢν δὲ ξυμφυῇ καὶ τὰ

medicamenti purgationem bibat. Si vero ex pituita aegrotet, ei granum Cnidium aut hippophaes poſt admotum fomentum propinato. Poſt purgationem autem easdem ſorbitiones et potus et lactis potionem adhibere oportet. Interjectis vero diebus quam leviſſima victus ratione utatur. Et ſi quidem ab his juvetur, ſat eſt, ſin minus, ei multas et altas cruſtas in oſſeis quidem partibus per fungos, in carnoſis vero per ferramenta inurito. Quod ſi ex ſanguine aegrotarit, poſt adhibitum fomentum et cucurbitulam admoveto, et venas in poplite ſecato. Si vero tibi etiam videatur, granum quoque Cnidium ei propinato, quam ſicciſſima autem victus ratione utatur. Vinum quidem potius ne bibat, ſed ſi ſane bibere velit, quam minimum et dilutiſſimum exhibeto et modicum obambulare jubeto, aut, ſi poſſit, plurimum. Ex pituita etiam aegrotanti eadem facere confert. Quod ſi ſtare nequeat, eum creberrime in lecto circumferre oportet, quacunque ex cauſa aegrotet, et per omnia ſimiliter, ut ne intus carſilago coaleſcat. Sin vero coaluerit et articuli con-

Ed. Chart. VII. [677. 678.] Foës. I. 561. Ed. Lind. II. (266.)
ἄρθρα ξυμπαγῇ, πᾶσα ἀνάγκη χωλὸν γενέσθαι τὸν ἄνθρωπον. καὶ ἢν βούλῃ κλύσαι τὸν ἀπὸ τοῦ αἵματος νοσέοντα, ὥστε αἷμα ἀπάγειν καὶ φλέγμα ἀπὸ τῶν ἰσχίων, τοῖσιδε δεῖ κλύζειν. ἁλὸς δραχμίδα τρίψας παραμῖξαι ἐλαίου κοτύλην καὶ ἀπὸ κριθέων ἑφθῶν δύο κοτύλας, εἶτα οὕτω κλύζειν τοῦτον. οὕτω μελετῶν τάχιστα ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπὴ λίην ἐστὶ καὶ χρονίη. [678] Τέτανοι τρεῖς. ἢν μὲν ἐπὶ τρώματι τέτανος γένηται, πάσχει τάδε. αἱ γένυες πήγνυνται, καὶ τὸ στόμα διαίρειν οὐ δύναται, καὶ οἱ ὀφθαλμοὶ δακρύουσι καὶ ἕλκονται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ δύναται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας, οὐδὲ τὴν ῥάχιν. ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν καὶ τὰ βρώματα, ἃ πρότερον βέβρωκεν, ἀνὰ τὰς ῥῖνας ἀνέρχεται ἐνίοτε. τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πυριᾶν δεῖ, καὶ ἀλείψαντα λιπαρῶς πρὸς τὸ πῦρ ἔκαθεν θάλπειν, καὶ χλιάσματα προστιθέναι ὑπαλείψας τὸ σῶμα. καὶ ἀψίνθιον ἢ φύλλα δάφνης ἢ τοῦ ὑοσκυάμου τὸν καρπὸν τρίψας καὶ λιβανωτὸν, εἶτα οἴνῳ

creti fuerint, omnino hominem claudicare neceſſe eſt. Et ſi ei qui ex ſanguine aegrotat velis per infuſum alvum ſubluere, ut pituitam et ſanguinem a coxendicibus deducas, ex his infuſum parare oportet. Salis pugillum tritum ad olei heminam ammiſceto, et hordei decocti heminas duas injicito, deinde ejusmodi infuſum immittito. Hac curatione citiſſime ſanum reddideris. Morbus autem difficilis admodum et diuturnus eſt. Nervorum diſtentiones tres, tetani vulgo dicti. Si quidem ex vulnere corporis nervorum diſtentio contingat, ſic afficitur. Maxillae conſtringuntur, os diducere nequit, oculi lachrymantur et contrahuntur, dorſum rigidum eſt, neque crura neque manus neque ſpinam inflectere poteſt. Cum vero lethalis fuerit, potus et cibi, quos ante devoravit, interdum per nares ſurſum feruntur. Huic, cum ſic habuerit, fomenta admovere oportet, et pingui inunctum eminus ad ignem caleſacere, et tepefactoria inuncto corpore adhibere. Et abſinthium et lauri folia, aut hyoſcyami ſemen tritum et thus, deinde vino albo macerata, in

Ed. Chart. VII. [678.] Foës. I. 561. Ed. Lind. II. (266. 267.)
λευκῷ διεὶς ἐγχέαι εἰς χυτρίδα καινήν. εἶτα ἐπιχέαι ἔλαιον ἴσον τῷ οἴνῳ, καὶ θερμήνας ἀλεῖψαι πολλῷ θερμῷ τὸ σῶμα καὶ τὴν κεφαλήν. ἔπειτα κατακλίνας ἐμβάτῃ ἄνω τὴν σάρκα ποιήσαντα καὶ ἀμφιέσαι ἱμά(267)τια λευκὰ μαλθακὰ καθαρά, ὅκως ἂν ἐξιδρώσῃ σφόδρα. μελίκρητον δὲ χλιαρὸν διδόναι, ἢν μὲν δύνηται τοῦτο πιεῖν κατὰ στόμα, ἢν δὲ μὴ δύνηται, ἐγχέειν κατὰ τὰς ῥῖνας. διδόναι δὲ οἶνον λευκὸν πίνειν ὡς ἥδιστον καὶ πλεῖστον. ταῦτα χρὴ ποιέειν ἑκάστης ἡμέρης, ἕως ἂν ὑγιὴς γένηται. ἡ δὲ νοῦσος χαλεπὴ καὶ δέεται μελέτης παραχρῆμα. Ὀπισθότονος. ὁ δὲ ὀπισθότονος τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτά. γίνεται δὲ, ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ. νοσέει δὲ ἢ ὑπὸ κυνάγχης ἢ ὑπὸ σταφυλῆς ἢ ὑπὸ τῶν ἀμφιβραγχίων ἐμπύων γενομένων. ἐνίοτε δὲ καὶ ἀπὸ τῆς κεφαλῆς πυρετῶν ἐπιγενομένων σπασμὸς ἐπιγίνεται. ἤδη δὲ καὶ ὑπὸ τραυμάτων. οὗτος ἕλκεται ἐς τοὔπισθεν καὶ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον καὶ τὰ στήθεα ἔχεται καὶ οἰμώζει. οὗτος σπᾶται σφόδρα, ὥστε μόλις μὲν κατέχουσιν οἱ παρεόντες, ὡς μὴ

ollam novam infundito, deinde olei quantum vini affundito, quibus calefactis multum calidis corpus et caput ungito. Poſtea reclinatum, perfuſione per carnem facta, veſtibus albis, mollibus et puris contegito, ut vehementer exudet. Aquam mulſam tepidam, ſi eam quidem bibere poſſit, per os exhibeto, ſi vero non poſſit, per nares infundito. Vinum album quam ſuaviſſimum et copioſiſſimum potui dato. Quae quotidie facienda ſunt, donec ſanus evadat. Morbus autem difficilis eſt et conſeſtim curatione indiget. Diſtentio in poſteriora opiſthotonos nuncupata. In diſtentione ad poſteriora, opiſthotono dicta, in reliquis eodem ut plurimum modo afficitur aeger. Oritur autem, cum circa poſteriores cervicis tendones aut ex angina aut uva aut locis ad tonſillas purulentis affectus fuerit. Interdum vero etiam ex capite, cum febres ſupervenerint, convulſio ſuccedit, quin etiam et ex vulneribus. Hic in poſteriora trahitur et prae dolore, quo circa dorſum et pectus detinetur, lamentatur. Hic vehementer convellitur, ut aegre quidem qui adſunt

Ed. Chart. VII. [678. 679.] Foës. I. 561. 562. Ed. Lind. II. (267. 268.)
ἐκ τῆς κλίνης ἐκπίπτειν. οὗτος πολλάκις μὲν τῆς ἡμέρης πονέει, πολλάκις δὲ κουφότερον διάγει. τούτῳ οὕτως ἔχοντι ταῦτα χρὴ προσφέρειν, ἃ καὶ τῷ πρόσθεν. || ἡ δὲ νοῦσος προσίσχει τὸ μακρότατον ἄχρι τεσσαράκοντα ἡμερέων· ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται. Ἄλλος τέτανος. ὁ δὲ τέτανος ἧττον θανατώδης ἢ οἱ πρόσθεν, γίνεται δὲ ἀπὸ τῶν αὐτῶν. πολλοὶ δὲ καὶ πεσόντες ἐς τὰ ὄπισθεν ἔλαβον τὸ νούσημα. πάσχει οὖν τάδε. σπᾶται ὅλον τὸ σῶμα. [679] ἐνίοτε δὲ καὶ ὅπῃ ἂν τύχῃ τοῦ σώμα(268)τος σπᾶται. καὶ περιφοιτᾷ μὲν τοπρῶτον· ἔπειτα τοῦ χρόνου προϊόντος ἐς τὴν κλίνην πίπτει, καὶ αὖθις ἀνῆκεν ὁ πόνος καὶ ὁ σπασμός. καὶ ἀναστὰς ἢν ἴσως περιέλθῃ ὀλίγας ἡμέρας, ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. ταῦτα πάσχει καὶ μεταβάλλει συχνὸν χρόνον. καὶ ἤν τι φάγῃ, οὐ διαχωρέει κάτω, ἢν μὴ μύλις καὶ ταῦτα ξυγκεκαυμένα, ἀλλ' ἐν τοῖσι στήθεσιν ἔρχεται τὸ σῖτον καὶ πτίγα παρέχει. τοῦτον τοῖσιν αὐτοῖσι θεραπεύων, οἷσι καὶ τοὺς πρόσθεν, τάχιστα ὑγιέα ποιήσεις. κλύζειν δὲ ἐν πτισάνῃ ἑφθῇ τῇ λεπτῇ καὶ μέλιτι.

eum continere poſſint, quin ex cubili excidat. Hic frequenter quidem die dolore afficitur, frequenter etiam levius habet. Cum ſic habuerit, ei eadem quae priori ſunt exhibenda. Hic vero morbus ut longiſſime ad dies quadraginta detinet, quos ſi effugerit, convaleſcit. Alia diſtentio. Haec diſtentio minus quam priores lethalis eſt, ab iisdem autem oritur. Plerique vero ex caſu in poſteriora in morbum inciderunt. Sic igitur afficitur aeger. Corpus totum convellitur, interdum vero, ad quamcunque corporis partem forte contigerit, ea convellitur. Et primum quidem circumobambulat, deinde ſucceſſu temporis in lectum decidit, rurſusque dolor et convulſio remittit, cumque ſurrexerit, ſi forte paucos dies huc et illuc oberrarit, poſtea rurſus iisdem conflictatur doloribus. Atque haec ei contingunt, crebroque mutatur. Si quid comederit, id non niſi aegre et exuſtum per inferiora ſecedit; ſed ad pectus cibus deſertur et ſuffocationem facit. Hunc ſi eodem quo priores modo curaveris, citiſſime ſanum reddideris. Inſuſum autem ex ptiſanae coctae cremore cum melle in alvum injicito.

Ed. Chart. VII. [679.] Foëſ. I. 562. Ed. Lind. II. (355. 356.)

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΠΑΡΘΕΝΙΩΝ.

(355) Ἀρχή μοι τῆς ξυνθέσιος τῶν ἀειγενέων ἰητρικῆς. οὐ γὰρ δυνατὸν τῶν νουσημάτων τὴν φύσιν γνῶναι, εἴ πέρ ἐστι τῆς τέχνης ἐξευρεῖν, ἢν μὴ γνῷ τὴν ἐν τῷ ἀμερεῖ κατὰ τὴν ἀρχήν, ἐξ ἧς διεκρίθη πρῶτον περὶ τῆς ἱερῆς νόσου καλεομένης καὶ περὶ τῶν ἀποπλήκτων καὶ περὶ τῶν δειμάτων, ὁκόσα φο(356)βεῦνται οἱ ἄνθρωποι ἰσχυρῶς, ὥστε παραφρονέειν καὶ ὀρῆν δοκέειν δαίμονας τινὰς ἐφ' ἑωυτῶν δυσμενέας, ὁκότε μὲν νυκτὸς, ὁκότε δὲ ἡμέρης, ὁκότε δὲ ἀμφοτέρῃσι τῇσιν ὥρῃσιν. ἔπειτα ἀπὸ τῆς τοιαύτης ὄψιος πολλοὶ ἤδη ἀπηγχονίσθησαν, πλέονες δὲ γυναῖκες ἢ ἄνδρες· ἀθυμοτέρη γὰρ καὶ ὀλιγωτέρη φύσις ἡ γυναικείη. αἱ δὲ παρθένοι, ὁκόσῃσιν ὥρη γάμου, παραυδρούμεναι τοῦτο μᾶλλον πάσχουσιν ἅμα τῇ καθόδῳ τῶν ἐπιμηνίων, πρότερον οὐ μάλα ταῦτα κακοπαθέουσαι. ὕστερον γὰρ τὸ αἷμα ξυλλάβεται ἐς τὰς μήτρας, ὡς ἀπορευσάμενον. ὁκόταν οὖν τὸ στόμα τῆς ἐξόδου μὴ εἴῃ ἀνεστομωμένον, τὸ δὲ αἷμα πλέον ἐπιῤῥέῃ

HIPPOCRATIS DE HIS QVAE AD VIRGINES SPECTANT LIBER.

Initium mihi ducendum eſt in hac tractatione medica ab iis quae perpetuo fiunt. Neque enim fieri poteſt ut quis morborum naturam perſpectam habeat, quod quidem artis eſt disquirere, niſi eam in ſingularibus a principio ex quo diſcreti ſunt cognoſcat. Imprimis quidem de morbo ſacro appellato, de attonitis, de terroribus, ex quibus vehementer homines perterrentur, adeo ut deſipiant, et interdum quidem noctu, quandoque vero interdiu, utroque etiam quandoque tempore, daemonas ſibi inſeſtos videre ſe exiſtiment. Deinde ex hujusmodi viſione jam ſtrangulati ſunt multi, at mulieres plures quam viri, quod muliebris natura animi magis ſit demiſſi et puſilli. At virgines, quibus prope nuptiarum tempus inſtat, ut viro conjungantur, iſtud ſub menſium deſcenſum magis experiuntur, cum antea his malis non admodum conflictarentur. Poſtea enim ſanguis in utero continetur, velut qui effluere debeat. Cum igitur exitui via minime pateat,

Ed. Chart. VII. [679. 680.] Foës. I. 562. 563. Ed. Lind. II. (356. 357.)
διά τε σιτία καὶ τὴν αὔξησιν τοῦ σώματος, [680] τηνικαῦτα οὐκ ἔχον τὸ αἷμα ἔκρουν ἀναΐσσει ὑπὸ πλήθεος ἐς τὴν καρδίαν καὶ ἐς τὴν διάφραξιν. ὁκόταν οὖν ταῦτα πληρωθέωσιν, ἐμωρώθη ἡ καρδίη. εἶτα ἐκ τῆς μωρώσιος νάρκη. εἶτ' ἐκ τῆς νάρκης παράνοια ἔλαβεν, ὥσπερ ὁκόταν καθημένου πουλὺν χρόνον τὸ ἐκ τῶν ἰσχίων καὶ μηρῶν αἷμα ἀποπιεχθὲν ἐς τὰς κνήμας καὶ τοὺς πόδας νάρκην παράσχῃ. ὑπὸ δὲ τῆς νάρκης ἀκρατέες οἱ πόδες ἐς ὁδοιπορίην γίνονται, ἔστ' ἂν ἀναχωρήσῃ τὸ αἷμα ἐς ἑωυτό. ἀναχωρέει δὲ τάχιστα, ὁκόταν στῇ ἐν ὕδατι ψυχρῷ. τεγγέτω δὲ ἄνω τῶν σφυρῶν. αὕτη μὲν οὖν ἡ νάρκη εὐήνιος, ταχὺ γὰρ παλιρρυεῖ διὰ τὴν ἰθύτητα τῶν φλεβῶν, καὶ ὁ τόπος τοῦ σώματος οὐκ ἐπίκαιρος. ἐκ δὲ τῆς καρδίης καὶ τῶν φρενῶν βραδέως παλιρρυεῖ· ἐπικάρσιαι γὰρ αἱ φλέβες καὶ ὁ τόπος ἐπίκαιρος (357) ἔς τε παραφροσύνην καὶ μανίην ἕτοιμος. ὁκόταν δὲ πληρωθέωσι ταῦτα τὰ μέρεα, καὶ φρίκη ξὺν πυρετῷ ἀναΐσσει. πλανήτας τοὺς πυρετοὺς καλέουσιν. || ἐχόντων δὲ τουτέων ὧδε, ὑπὸ μὲν τῆς ὀξυφλεγμασίης μαίνεται, ὑπὸ δὲ τῆς σηπεδόνος φωνέει, ὑπὸ δὲ τοῦ ζοφεροῦ φοβέεται καὶ

copioſior autem ſanguis per cibos et corporis incrementum affluat, tunc ſanguis effluvio carens propter copiam ad cor et ſeptum transverſum reſilit. Ubi igitur haec oppleta fuerint, cor obſtupeſcit indeque torpor et ex torpore dementia invadit. Non ſecus ac ſi quis diutius ſedeat, ex coxis ac femoribus in tibias et pedes depreſſus ſanguis torporem adfert, ex quo pedes ad ingrediendum impotentes redduntur, donec ſanguis ad ſeſe reverterit, qui celerrime recurrit, ſi ſteterit in aqua frigida, quae malleolos ſuperet. Hic igitur torpor facile repellitur. Cito enim propter venarum rectitudinem recurrit, locusque hic corporis inter praecipuos non habetur. At ex corde et ſepto transverſo tarde recurrit, cum venae obliquae ſint et locus praecipuus et ad delirium ac inſaniam opportunus. Cum autem hae partes oppletae fuerint, etiam horror cum febre irruit, febres inerrantes appellant. Quae cum ita ſe habeant, ob acutam quidem inflammationem inſanit, ob putredinem clamat, ob caliginem

Ed. Chart. VII. [680.] Foël. I. 563. Ed. Lind. II. (357.)

δέδοικεν, ὑπὸ δὲ τῆς περὶ τὴν καρδίην πιέξιος ἀγχόνας κραίνουσιν, ὑπὸ δὲ τῆς κακίης τοῦ αἵματος ἀλύων καὶ ἀδημονέων ὁ θυμὸς κακὸν ἐφέλκεται. ἕτερον δὲ καὶ φοβερὰ ὀνομάζει. καὶ κελεύουσιν ἄλλεσθαι καὶ καταπίπτειν ἐς τὰ φρέατα καὶ ἄγχεσθαι, ἅτε ἀμείνονά τε ἐόντα καὶ χρείην ἐξέχοντα παντοίην· ὁκότε δὲ ἄνευ φαντασμάτων, ἡδονή τις, ἀφ' ἧς ἐρᾷ τοῦ θανάτου ὥσπερ τινος ἀγαθοῦ. φρονησάσης δὲ τῆς ἀνθρώπου τῇ Ἀρτέμιδι αἱ γυναῖκες ἄλλα τε πολλὰ, ἀλλὰ δὴ καὶ τὰ πολυτελέστατα τῶν ἱματίων καθιεροῦσι τῶν γυναικείων κελευόντων τῶν μάντεων, ἐξαπατεώμεναι. ἡ δὲ τῆς ἀπαλλαγῆς θεραπεία, ὁκόταν τι μὴ ἐμποδίζῃ τοῦ αἵματος τὴν ἀπορρύησιν. κελεύω δ' ἔγωγε τὰς παρθένους, ὁκόταν τὸ τοιοῦτον πάσχωσιν, ὡς τάχιστα ξυνοικῆσαι ἀνδράσιν. ἢν γὰρ κυήσωσιν, ὑγιέες γίνονται. εἰ δὲ μὴ ἔῃ αὐτέων ἅμα τῇ ἥβῃ ἢ ὀλίγον ὕστερον, ἁλώσεται, εἴπερ μὴ ἀνδρωθῶσι. τῶν δὲ ἠνδρωμένων γυναικῶν αἱ στεῖραι μᾶλλον ταῦτα πάσχουσιν.

terretur et timet, ob oppreſſionem vero, quae circa cor eſt, ſuffocationem ſibi parant, ob ſanguinis autem vitium animus anxietudine et impotentia conflictatur et malum contrahit. Quin etiam alium horrendum in modum appellat, et in puteos deſilire ac praecipitare ſeſeque ſtrangulare jubent, velut haec praeſtantiora ſint omnemque utilitatem excedant. Interdum vero citra ſpectra voluptas quaedam mortis tanquam boni cujusdam expetendae inceſſit. Redeunte autem ad mentem homine, mulieres cum alia multa, tum vero etiam pretioſiſſimas veſtes muliebres Dianae conſecrant, a vatibus id jubentibus deceptae. Verum ad hujus mali liberationem curatio eſt, ſi nihil ſanguinis effluxum impediat. Equidem virginibus ſuadeo, quibus tale quid accidit, ut citiſſime cum viris conjungantur. Si enim conceperint, ſanae evadunt. Quod niſi fiat una cum pubertate aut non ita multo poſt, his tentabuntur, niſi viro jungantur. Ex mulieribus vero, quae viris junctae ſunt, ſterilibus iſta magis contingunt.

Ed. Chart. VII. [681. 682.] Foëſ. I. 563. Ed. Lind. II. (358.)

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΗΣ ΦΥΣΙΟΣ.

[681] (358) Περὶ δὲ τῆς γυναικείης φύσιος καὶ νοσημάτων τάδε λέγω· μάλιστα μὲν τὸ θεῖον ἐν τοῖσιν ἀνθρώποισιν αἴτιον εἶναι. ἔπειτα αἱ φύσιες τῶν γυναικῶν καὶ χροιαί. αἱ μὲν γὰρ ὑπέρλευκοι ὑγρότεραί τε καὶ ῥοωδέστεραι, αἱ δὲ μέλαιναι σκληρότεραι καὶ στρυφνότεραι, αἱ δὲ οἰνωπαὶ μέσον τι ἀμφοτέρων ἔχουσιν. οὕτω δὲ καὶ περὶ τῶν ἡλικιῶν ξυμβαίνει. αἱ μὲν νέαι ὑγρότεραι καὶ πολύαιμοι ὡς ἐπιτοπουλὺ, αἱ δὲ πρεσβύτιδες ξηρότεραι καὶ ὀλίγαιμοι, αἱ δὲ μέσαι μέσον τι ἀμφοτέρων ἔχουσιν. δεῖ δὲ τὸν ὀρθῶς ταῦτα χειρίζοντα πρῶτον μὲν ἐκ τῶν θείων ἄρχεσθαι. ἔπειτα διαγινώσκει τάς τε φύσιας τῶν γυναικῶν καὶ τὰς ἡλικίας καὶ τὰς ὥρας καὶ τοὺς τόπους οὗ ἂν ᾖ. οἱ μὲν γὰρ τῶν τόπων ψυχροὶ ῥοώδεις, οἱ δέ γε θερμοὶ ξηροὶ καὶ στάσιμοί εἰσιν. ἄρχομαι δὲ διδάσκειν ἀπὸ τοῦ ὑγροῦ κατὰ φύσιν. [682] ἢν ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγέ-

HIPPOCRATIS DE NATVRA MVLIEBRI LIBER.

De natura muliebri et morbis iſta mihi dicenda ſunt. Potiſſimum quidem in rebus humanis cauſam eſſe divinum numen, deinde mulierum naturas et colores. Quae enim admodum albae ſunt, humidiores et ad fluxionem magis comparatae, nigrae vero duriores et adſtrictiores. Quae ad vini colorem vergunt, medium quid inter utrasque habent. Ad eundem etiam modum in aetatibus contingit, juvenes quidem humidiores ſunt, fereque copioſo ſanguine abundant, ſeniores vero ſicciores, paucoque ſanguine redundantes. Mediae medium inter utrasque habent. Eum autem qui iſta probe tractare volet, primum quidem a divino numine initium ſumere oportet, poſtea tum mulierum naturas dignoſcere tum aetates et anni tempeſtates, locaque ubicumque fuerint. Frigida enim loca ad fluxionem ſunt comparata, calida vero ſicca et quieta. Doctrinae autem initium a ſuapte natura humido faciendum eſt. Si hydrops in uteris

Ed. Chart. VII. [682.] Foës. I. 563. Ed. Lind. II. (358. 359.)

νηται, τὰ ἐπιμήνια ἐλάσσω καὶ κακίω γίνεται, ἔπειτα ἐξαπίνης ἐκλείπει, καὶ ἡ γαστὴρ ἐπανοιδέει, καὶ οἱ μαζοὶ ξηροὶ γίνονται καὶ τἆλλα πονήρως ἔχει, καὶ δοκέει ἐν γαστρὶ ἔχειν, καὶ τουτέοισι γνώσῃ ὅτι ὑδεράινει. σημαίνει δὲ καὶ ἐν τῷ στόματι τῶν ὑστερέων. ψαύουσι (359) γὰρ ἰσχνὸν φαίνεται, καὶ πῦρ καὶ ὕδωρ αὐτὴν λαμβάνει. ὁκόσῳ δ' ἂν ὁ χρόνος πλείων γένηται, ὀδύνη τὴν νειαίραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας ἴσχει. αὕτη ἡ νοῦσος ἐκ τρωσμοῦ μάλιστα γίνεται, προσγίνεται δὲ καὶ ἐξ ἄλλων. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ θερμῷ καὶ χλιάσματα προστιθέναι, ᾗ ἂν ἡ ὀδύνη μὴ ἔχῃ. φάρμακον χρὴ πῖσαι κάτω. μετὰ δὲ τὸ φάρμακον πυριῆν ἐν τῷ βολβίτῳ τὰς ὑστέρας, ἔπειτα προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι, διαλιπὼν ἡμέρας τρεῖς τὸ ξὺν τῇ χολῇ. μίαν δὲ διαλιπὼν τρεῖς ἡμέρας κλυσάτω ἐν τῷ ὄξει, καὶ ἢν μὲν ἡ γαστὴρ γίνηται λιπαρὴ καὶ οἱ πυρετοὶ πεπαυμένοι ἔωσι καὶ τὰ ἐπιμήνια γένηται, τῷ ἀνδρὶ ξυγκοιμάσθω· ἢν δὲ μή, αὖθις τὰ αὐτὰ ποιέειν, ἔστ' ἂν γένηται τὰ ἐπιμήνια,

oboriatur, menſes pauciores et deteriores contingunt, deinde derepente deficiunt, venter intumeſcit, mammae ſiccae evadunt et in reliquis male habet, ſibique utero geſtare videtur, ex quibus eam aqua intercute laborare cognoſcas. Quin et ex uterorum oſculo indicium ſumitur, ad tactum enim gracile deprehenditur, febrisque et aqua ipſam invadit, quoque longius tempus proceſſerit, dolor imum ventrem, lumbos et laterum inanitatem detinet. Hic morbus ex abortione praecipue oritur, et ex aliis etiam contingit. Cum ſic habuerit, calida lavare et tepefacientia admovere oportet, quoad dolor non amplius detineat, et medicamentum deorſum purgans propinare. Poſt medicamentum vero, uteris ſomentum ex ſtercore bubulo admoveto, deinde quod ex cantharide paratur in ſubdititio apponito, tribus diebus intermiſſis, id quod ex felle conficitur. Uno vero die intermiſſo, per tres dies infuſum ex aceto adhibeat. Et ſi quidem venter mollis evadat et febres ceſſent, ac menſes ſuboriantur, cum viro conjungatur. Sin minus, eadem rurſus facito, quoad men-

Ed. Chart. VII. [682.] Foës. I. 563. 564. Ed. Lind. II. (359. 360.)
καὶ ἐτίοις προσθετοῖς χρήσθω. μεταξὺ δὲ ἡμέρας πινέτω τοῦ κρηθμοῦ τὸν φλοιὸν καὶ γλυκυσίδης τοὺς μέλανας κόκκους, || καὶ τῆς ἀκτῆς τὸν καρπὸν ἐν οἴνῳ νήστις, καὶ τὴν λιποζῶστιν ἐσθιέτω ὡς πλείστην, καὶ σκόροδα ἑφθὰ καὶ ὠμά, καὶ σιτίοισι μαλθακοῖσι καὶ τοῖσι πουλύποσι καὶ τοῖσιν ἄλλοισι μαλθακοῖσιν. ἢν δὲ τέκῃ, ὑγιὴς, γίνεται. ἢν αἱ μῆτραι πρὸς τὸ ἧπαρ ἔλθωσιν, ἄφωνος ἐξαπίνης γίνεται, καὶ τοὺς ὀδόντας ξυνερείδει, καὶ ἡ χροιὴ μέλαινα γίνεται. ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῖσα. γίνεται δὲ τὸ τοιοῦτον πάθος παρθένοισι μάλιστα παλαιῇσι ἐούσῃσι καὶ χήρῃσιν, αἳ νέαι ἐοῦσαι καὶ τοκήεσσαι χηρεύουσιν. ὁκόταν ὧδε ἔχῃ, τῇ χειρὶ πρώσασα κάτω ὑπὸ τοῦ ἥπατος ἀποδῆσαι (360) ταινίῃ ἢ ὑπὸ τὰ ὑποχόνδρια, καὶ τὸ στόμα διάγων οἶνον εὐωδέστασον ἐγχέαι καὶ προσέχειν τὰς ῥῖνας καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ὑστέρας τὰ εὐώδεα. ἐπὴν δὲ κακοφρονήσῃ, πῖσαι φάρμακον κάτω, καὶ μεταπῖσαι γάλα ὄνου. ἔπειτα πυριῆσαι τὰς ὑστέρας εὐώδεσι καὶ προστιθέναι τὰ ξὺν τῇ βουπρήστει, τῇ δὲ ὑστεραίῃ νέτωπον. διαλιπὼν δὲ

ſes decurrant, et quibusdam in ſubdititio appoſitis utatur. Intermediis autem diebus crethmi corticem et paeoniae grana nigra et ſambuci fructum ex vino jejuna bibat, eaque plurimam mercurialem alliaque cocta et cruda edat. Cibis mollibus et polypis aliisque mollibus utatur. Quod ſi pepererit, convaleſcit. Si uteri ad hepar proceſſerint, derepente vox deficit, dentes inter ſe collidit, et color niger evadit. Haec autem derepente cum ſana eſt contingunt. Hic vero affectus praecipue virgines vetulas affligit et viduas, quae juvenes pepererunt et viduitatem experiuntur. Cum ſic habuerit, infra manu propulſione facta, ſub hepate et praecordiis faſcia deligato, oreque diducto vinum odoratiſſimum infundito. Naribus graveolentibus admotis ſuffitum parato, ſubter vero ad uteros odorata apponito. Ubi ad ſe redierit, medicamentum deorſum purgans propinato, poſteaque lac aſininum bibendum dato. Deinde admotis ad uteros fomentis odoratis, medicamenta ex buprelti in ſubdititio apponito, poſtridie vero netopum. Interminis autem diebus

Ed. Chart. VII. [682. 683.] Foël. I. 564. Ed. Lind. II. (360.)

δύο ἡμέρας κλύσαι τὰς ὑστέρας εὐώδεσι. τῇ δὲ ὑστεραίῃ προσθεῖναι τὴν γλήχωνα. διαλιπὼν δὲ μίην ἡμέρην, θυμιῆσαι τοῖσιν ἀρώμασι. ταῦτα ποιέειν τὴν χήρην. τὴν δὲ παρθένον πείθειν συνοικῆσαι ἀνδρί. πρὸς δὲ τὰς ὑστέρας προσφέρειν μηδὲν, [683] μηδὲ τὸ φάρμακον πίνειν. κόνυζαν δὲ καὶ καστόριον διδόναι ἐν οἴνῳ νήστει, καὶ τὴν κεφαλὴν μὴ ἀλειφέσθω τισὶν εὐώδεσι, μηδὲ ὀσφραινέσθω. ἢν προσέλθωσιν αἱ μῆτραι καὶ ἐξέλθωσιν ἔξω, πῦρ ἔχει μάλιστα τὰ αἰδοῖα καὶ τὴν ἕδρην, καὶ τὸ οὖρον στάζει κατ' ὀλίγον καὶ δάκνεται. ταῦτα πάσχει, ἢν ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ μὴ ξυγκοιμηθῇ. ὁκόταν δὲ οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας, ἐν ὕδατι καταθεὶς τὴν νεῖραν προσχείσθω, καὶ ὡς ψυχρότατον πρὸς τὰ αἰδοῖα καὶ τρίβων λεῖα προσπλάσσειν. ἔπειτα πίνουσα ὕδωρ, φακὸν καὶ μέλι καὶ ὄξος, ἕως ἂν μεταρθῶσιν αἱ ὑστέραι, ἐμείτω καὶ τὴν κλίνην πρὸς ποδῶν ὑψηλοτέρην κεῖσθαι, καὶ ὑποθυμιῆν ὑπὸ τὰ αἰδοῖα τὰ εὐώδεα καὶ ὑπὸ τὰς ῥῖνας τὰ κακώδεα. σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὸν οἶνον ὑδα-

duobus, uteros per odorata infuſa eluito, et poſtero die pulegium ſubdito. Intermiſſo vero die uno ſuffitum ex aromatibus parato. Atque haec viduam facere imperato, virgini vero ut viro jungatur perſuadeto. Uteris vero nihil adhibeto, neque medicamentum bibendum dato, ſed conyzam et caſtorium ex vino jejunae exhibeto. Caput odoratis ne ungatur, neque ea olfaciat. Si uteri prociderint et foras prodierint, ignis pudenda praecipue et ſedem occupat, urina paulatim ſtillat ac mordet. Haec contingunt, ſi recens a partu cum viro concubuerit. Cum ſic habuerit, myrti baccis et loti ramentis in aqua decoctis, eaque depoſita imum ventrem et quam frigidiſſima pudenda perfundito, et leviter trita ex cataplasmate apponito. Deinde ubi aquam biberit, lenticulam, mel et acetum vomat, quoad uteri ſublevati fuerint. Et lecto a pedibus excitato jaceat, pudendisque ſuffitum ex graveolentibus admoveat, naribus vero ex odoratis. Cibis autem quam molliſſimis et frigidis utatur, et vinum aquoſum album bibat, non lavet, neque cum

Ed. Chart. VII. [683.] Foël. I. 564. Ed. Lind. II. (360. 361.)

ῥέα πιτέτω μὴ λευκόν. μὴ λουέσθω δὲ (361) μηδὲ μετ' ἀνδρὸς συγκοιμάσθω. ἢν δὲ παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπέσωσιν, ἐκκρέμαται ὥσπερ ὄσχη, καὶ ὀδύνη λαμβάνει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας, καὶ ὁκόταν ὁ πόνος ἐγγένηται, οὐ θέλουσιν ἐς χώρην ἰέναι. ἡ δὲ νοῦσος λαμβάνει ὁκόταν ἐκ τόκου ἐοῦσα πονήσῃ τὰς ὑστέρας ἢ τῷ ἀνδρὶ ἐν τῷ λοχίῳ συγκοιμηθῇ. ὁκόταν δὲ οὕτως ἔχῃ, ψύγματα χρὴ προστιθέναι πρὸς τὰ αἰδοῖα, καὶ τὸ ἔξω ἐὸν ἀποκαθήρας, σιδίην ἐν οἴνῳ μέλανι ἑψήσας τούτῳ περιπλύνας, εἴσω ἀπωθέειν. εἶτα μέλι καὶ ῥητίνην μίξας ἐγχεῖν, καὶ κατακείσθω ὑπτίη ἄνω τοὺς πόδας ἔχουσα ἐκτειναμένη, ἔπειτα σπόγγους ἐπιθεὶς ἀναδῆσαι ἐκ τῶν ἰξύων. ὁκόταν δὲ οὕτως ἔχῃ, σίτων μὲν ἀπεχέσθω, ποτῷ δὲ ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν οὕτως ἐθέλωσιν εἰσιέναι, ἢν δὲ μὴ, μακρὰς περιζέσας καὶ θερμήνας, περιπλύνας τε καὶ χρίσας καὶ δήσας τὴν γυναῖκα πρὸς κλίμακα, κρούειν τὴν κλίμακα κατὰ κεφαλῆς, καὶ τῇ χειρὶ ἐσωθεῖν τὰς ὑστέρας. ἔπειτα ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἀπαλλάξ, καὶ ἐὰν ἡμέρην καὶ νύκτα οὕτω, καὶ διδόναι ὀλίγον χυλὸν

viro dormiat. At vero ſi penitus extra pudenda procederint, velut ſcrotum propendent et dolor imum ventrem et lumbos prehendit, progreſſuque temporis ad locum ſuum redire nolunt. Morbus autem invadit, cum partui vicina uteris laborarit, aut puerperii purgamentis euntibus viro condormierit. Cum ſic habuerit, refrigerantibus pudendis admotis, quod foris eſt vino nigro in quo malum punicum coxerit repurgatum et ablutum, intro retrudito, deinde mel admixta reſina infundito, ſupinaque ſurſum ſublatis et extentis pedibus jaceat, poſtea appoſitas ſpongias ex lumbis religato. Cum vero ita habuerit, cibis quidem abſtineat, potu autem quam pauciſſimo utatur, quoad ſeptem dies praeterierint. Et ſi quidem ſic intro redierint, ſatis eſt, ſin minus, ſummis uteris deraſis et caleſactis, ablutis et illitis, alligataque ad ſcalam muliere, ſcalam ad caput concutito et manu uteros intro trudito, poſtea ejus cruribus alternatim ſimul colligatis, ſic per diem et noctem ſinito, et paucum ptiſanae

Ed. Chart. VII. [683. 684.] Foës. I. 564. 565. Ed. Lind. II. (361. 362.)

πτισάνης ψυχρὸν, ἄλλο δὲ μηδέν. τῇ δὲ αὔριον κατακλίνας, ἐπὶ τὸ ἰσχίον σικύην προσβάλλειν ὡς μεγίστην καὶ ἐᾶν χρόνον πουλὺν ἕλκειν. ἐπὴν δὲ ἀφέλῃς, μὴ ἀποσχάζειν, ἀλλὰ κατακλίνας ἐᾶ. || καὶ μὴ πρόσφερε ἄλλο ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. ἢν δὲ διψῇ, ὕδωρ δίδου ψυχρὸν ὡς ἐλάχιστον. ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι (362) παρέλθωσι, σιτίοισιν [684] ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρεέσθω. ἢν δὲ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατείτω, ἕως ἂν τεσσαράκοντα ἡμέραι παρέλθωσιν. ἔπειτα ἀνιστάτω καὶ περιχωρείτω ὡς ἐλάχιστα, καὶ μὴ λουέσθω μηδὲ ὑποθυμιήσθω τοῖσι κακώδεσι, καὶ ἐσθιέτω ὀλίγα. ἢν αἱ μῆτραι ἄψωνται, πρόσκεινται, καὶ ἢν ἄψῃ, ὄψει, σκληρὸν ὑπὸ τὸν κενεῶνα, καὶ ὀδύνη λαμβάνει τὴν νείαιραν γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας, καὶ ἐς τὸ σκέλος ὀδύνη ἐμπίπτει καὶ ἐκτείνειν οὐ δύνανται. πολλάκις δὲ καὶ ἐκπυΐσκονται ἔμμοτοι γενόμεναι, καὶ ῥεόμεναι ἀποθνήσκουσιν, ἢν μὴ καύσῃς ἢ τάμῃς. ὁκόταν δὲ ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω, καὶ λοίειν πολλῷ

ſuccum frigidum, nihilque aliud exhibeto. Poſtero autem die reclinatae coxendici cucurbitulam quam maximam adhibeto, multoque tempore trahere ſinito. At poſtquam detraxeris, cutem ne pertundito, ſed recumbere ſinito, nihilque aliud quam ſuccum exhibeto, quoad dies ſeptem praeterierint. Quod ſi ſitiverit, aquam frigidam quam pauciſſimam dato. At ubi dies ſeptem praeterierint, cibis quam molliſſimis et pauciſſimis utatur. Quod ſi alvum dejicere velit, recumbens dejiciat, quoad dies quadraginta praeterierint. Deinde ſurgat et quam minimum ambulet, neque lavetur, neque ſuffitum ex graveolentibus adhibeat, et parum comedat. Uteri ſi adhaeſerint, innituntur, et ſi attigeris, duritatem ſub lateris inanitate deprehendes, dolor imum ventrem invadit et laterum mollitudinem et lumbos, dolorque ad crus fertur, neque extendere poteſt. Plerumque vero pus colligunt et linamentorum curatione indigentes, niſi uras aut feces, fluore pereunt. Ubi ſic habuerit, medicamentum deorſum purgans propinato, multaque calida

Ed. Chart. VII. [684.] Foës. I. 565. Ed. Lind. II. (362. 363.)
θερμῷ καὶ πυριῆν, καὶ ὁκόταν νεόλουτος ᾖ, ἢ νεοπυρίητος, κελεύειν παραπάσσουσαν ἀφέλκειν τὸ στόμα τῶν ὑστερέων, καὶ ὑποθυμιῆν καλωνίην σμύρναν ῥόδινον περιχέων. πινέτω δὲ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας τοῦ καστορίου ξυμμίσγων ἐν οἴνῳ εὐώδει, καὶ κατακείσθω ἐπὶ τοῦ ὑγιέος ἰσχίου καὶ προσθέσθω βάκκαριν ἢ λευκὸν ἔλαιον πρὸς τὸ ὑγιὲς ἰσχίον, καὶ ἐσθιέτω σκόροδα πλεῖστα καὶ ὠμὰ καὶ ἑφθὰ, καὶ τὸν χυλὸν ῥοφείτω, καὶ σιτίοισι μαλθακοῖσι χρήσθω. ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, ἄπαξ ἐούσης, ἐπὶ τὸ ὑγιὲς ἰσχίον. ἔπειτα πυριῆν τῷ οὔρῳ, περιπάσσοντα τῆς δάφνης, καὶ ἐκ τῆς πυριῆς προστιθέναι τὴν κυκλάμινον. τῇ δὲ ὑστεραίῃ λουσαμένῃ ὑποθυμιήσθω τοῖσιν ἀρώμασι. μάλιστα δὲ ἐκ ταύτης ἄτεκνοι γίνονται. (363) ἢν ὑποπτυχθῇ τὸ στόμα τῶν μητρέων, τὰ ἐπιμήνια οὐκ ἐγγίνεται. ἢν δὲ ἐγγένηται, ὀλίγα καὶ πονηρά. καὶ τῷ ἀνδρὶ ὁκόταν ξυνίῃ, ἀλγέει, καὶ ὀδύνη τὴν νείαιραν γαστέρα ἴσχει καὶ τὰς ἰξύας, καὶ ἢν ἀφάσσῃ τῶν δακτύλων καὶ σκέπηται τὸ στόμα, οὐ δῆλόν ἐστιν. ὁκόταν ὧδε ἔχῃ, πυριῆσθαι τῷ ἀνθρωπίνῳ οὔρῳ.

lavato et foveto, cumque recens lota aut fota fuerit, jubeto ut quae fenfim admota manu eam contrectarit, os locellorum detrahat, fuffitumque ex myrrha calonia affufo rofaceo fubter paret. Bibat autem poeoniae grana nigra quinque, ex vino odorato caftorio admixto et in fanam coxam recumbat, eique baccarim aut oleum album admoveat, allia plurima tum cruda tum cocta edat, fuccum forbeat cibisque mollibus utatur. Ubi autem dolor fedatus fuerit, in fanam coxam abduces, deinde ex urina, lauro afperfa, fomentum parato et a fomento cyclaminum adhibeto. Poftero vero die lotae fuffitum ex aromatis admoveto. Praecipue autem ex hoc morbo infoecundae redduntur. Si uterorum os complicatum fuerit, menfes non fuboriuntur. Si vero fuboriantur, pauci funt et vitiofi, et ubi cum viro congreditur, dolet, dolorque imum ventrem et lumbos detinet. Quod fi digito contrectet et perquirat ofculum, non comparet. Ubi ita habuerit, fomentum ex urina humana adhibeto, et

Ed. Chart. VII. [684. 685.] Foës. I. 565. Ed. Lind. II. (363.)

ἐπὴν δὲ πυριήσηται, λουσάσθω ἀπὸ τοῦ φακίου. ἔπειτα λουσαμένη πυριήσθω τῷ Αἰγυπτίῳ μύρῳ τὰς ὑστέρας, καὶ ἢν ἐς τὰς ῥῖνας ἀνέλθῃ ἡ ὀδμὴ, ἐλπὶς αὐτὴν ὑγιέα γενέσθαι. καὶ ὁκόταν μέλλῃ καθεύδειν, προσθέσθω τὸ Αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ. τῇ δὲ αὔριον σκέψασθαι, ἤν τι μᾶλλον ὀρθῶνται. ἔπειτα πυριῇν εὐώδεσι καὶ προστιθέναι ἃ μὴ δήξηται καθαρτήρια, καὶ μεταλύζειν μετὰ τὰ προσθετὰ, ἶσον τὸ ὄξος μίσγων. ὅταν δὲ τὰ ἐπιμήνια ἐγγένηται, ἐκνηστεύσασα καὶ ἀλουτήσασα καὶ θυμιησαμένη τῷ ἀνδρὶ συνέστω. μάλιστα δὲ ἐκ ταύτης τῆς νόσου ἄφοροι γίνονται. [685] ἢν αἱ μῆτραι πρὸς τὸ ἰσχίον εὐανθέωσι, τά τε ἐμμήνια οὐκ ἐγγίνεται καὶ ὀδύνη ἐς τὴν νείαιραν γαστέρα φοιτᾷ καὶ ἐς τὸν κενεῶνα, καὶ ἢν ἁφῇ τῷ δακτύλῳ, ὄψει τὸ στόμα ἐν τῷ ἰσχίῳ. ὅταν ὧδε ἔχῃ, λούειν θερμῷ, καὶ σκόροδα διδόναι ἐσθίειν ὡς πλεῖστα, καὶ γάλα ὄϊος πινέτω ἄκρητον. καὶ ἐπειδὰν δὲ κατατρώξῃ ἄκρητον, ἔπειτα πυριήσας δοῦναι φάρμακον κάτω. ἐπειδὰν δὲ καθαρθῇ, αὖθις πυριῇν τὰς ὑστέρας, τὸ μάραθρον καὶ τὸ ἀψίνθιον συμμίσγοντας. ἐπὴν

a fomento lenticulae decocto lavetur. Deinde poſt lotionem unguento Aegyptio uteri foveantur. Quod ſi ad nares odor pervenerit, eam ſanam fore ſpes eſt. Cumque dormire volet, oleum Aegyptium ex lana in ſubdititio apponito. Poſtero vero die num magis directi fuerint conſiderato, poſtea odoratis foveto et purgantia quae minime mordeant ſubter apponito, poſtque ſubdititia aequali aceti parte admixta eluito. Cum vero menſes adfuerint, jejuna et illota poſt ſuffitum virum adeat. Ex hoc autem potiſſimum morbo ſteriles evadunt. Si uteri ad coxendicem emineant, tum menſes non eunt et dolor ad imum ventrem et lateris inanitatem pervenit, ac ſi digito contigeris, os in coxendice deprehendes. Cum ita habuerit, calida lavato et allia quam plurima comedenda dato, et lac ovillum impermixtum bibat. Et poſtquam impermixtum comederit, deinde fomento adhibito medicamentum deorſum purgans exhibeto. Poſtquam autem purgata fuerit, rurſus uteros ex foeniculo et

Ed. Chart. VII. [685.] Foës. I. 565. 566. Ed. Lind. II. (363. 364.)
δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ. ἔπειτα προσθεῖναι τὴν σκίλλαν. μετὰ δὲ τοῦτο ξὺν τῷ ναρκισσίνῳ (364) διαλιπών. ἢν δέ σοι δοκέῃ κεκαθάρθαι, νέτωπον προσθέσθαι. τῇ δ' ὑστεραίῃ ῥόδινον μύρον. παύσασθαι δὲ τοῦ προσθετεῖν τῇ προτέρῃ τῶν ἐπιμηνίων. ἄρχεσθαι δὲ τῇ αὔριον, ἐπὴν ἀπολίπῃ. ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν ἢν μὲν τὸ αἷμα καταῤῥαγῇ, εἰ δὲ μὴ, πινέτω κανθαρίδας τέσσαρας, ἀποκόψασα τοὺς πόδας καὶ τὰ πτερὰ καὶ τὴν κεφαλὴν, καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ σηπίης ᾠὰ. σπέρμα λίνου ἐν οἴνῳ. || καὶ ἢν ὀδύνη ἔχῃ καὶ ἢν στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ πινέτω μελίκρητον ὑδαρές. ἢν δὲ μὴ καθαρθῇ ὑπὸ τοῦ πρώτου, αὖθις πινέτω, ἔστ' ἂν γένηται. ἐπὴν δὲ γένηται, ἀσιτήσασα ξυνέστω τῷ ἀνδρί. ἐν δὲ τῇ καθάρσει τὴν λινοζώστιδα ἐσθιέτω, καὶ πουλύποδας ἑφθοὺς, καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω. τῆς δὲ νόσου ἀπαλλάσσεται ἐὰν ἐν γαστρὶ σχῇ. ἢν ἐκ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ καὶ τὰ σκέλεα, καὶ ῥῖγος καὶ ὀδύνη τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας ἔχει. ἔστι δ' ὅτε

absinthio simul permixtis foveto. Ubi vero recens fota fuerit, os digito abstrahito, postea scillam in subdititio apponito, post hoc autem intermissione facta, quod cum narcissino conficitur. Quod si tibi perpurgata videatur, netopum subter apponito, posteroque die unguentum rosaceum. Primo autem mensium die a subdititiis cessato, postridie vero ubi defecerint, incipito. In mensibus autem si quidem sanguis erumpat, satis est, sin minus, cantharidas quatuor, resectis pedibus, alis et capite, bibat, paeoniaeque nigra grana quinque et sepiae ova, linique semen ex vino. Quod si dolor et urinae stillicidium detinuerit, in calida desideat, et aquam mulsam aquosam bibat. Si vero sub primum diem purgata non fuerit, rursus bibat, quoad purgatio adsit, quae ubi adfuerit, jejuna virum adeat. In purgatione mercurialem edat, et polypos coctos, cibisque mollibus utatur. Morbo autem liberabitur ubi conceperit. Si ex partu minime purgata fuerit, venter et crura intumescunt, rigor et dolor imum ventrem et lumbos occupat, quandoque etiam ad vilcera

Ed. Chart. VII. [685. 686.] Foël. I. 566. Ed. Lind. II. (364. 365.) καὶ πρὸς τὰ σπλάγχνα ἀνέρχεται καὶ λιποψυχέει. ταῦτα πάσχει ἀρχομένης τῆς νόσου. ὁκόταν δὲ χρόνος ἐγγένηται, τὰ κοῖλα τοῦ προσώπου ἐξερυθριᾷ. ὁκόταν οὖν ὧδε ἔχῃ, πυριήσας τὰς ὑστέρας προσθεῖναι τὴν κυκλάμινον. πινέτω δὲ τὸ ξὺν τῇ δαιδὶ, ἔστ' ἂν τὸ ῥεῦμα κινηθῇ. ἐσαλείφειν δὲ ἐς τὸ στόμα τῶν ὑστερέων ἔλαιον χήνειον καὶ σμύρναν καὶ ῥητίνην χλιαρὴν, καὶ ἐμπλαζέσθω ὡς μάλιστα καὶ πρὸ τοῦ σιτίου ἐσθιέτω ἕψουσα τὴν λινοζῶστιν, καὶ σκόροδα, καὶ πράσα, καὶ κράμβης τὸν χυλὸν ῥοφείτω, καὶ σιτίοισι μαλθακοῖσι χρή(365)σθω. θαλασσίοισι δὲ μᾶλλον, καὶ λουέσθω θερμῷ. τῶν δὲ λιπαρῶν καὶ τῶν γλυκέων ἀπεχέσθω, ἕως ἂν ὑγιὴς γένηται. [686] ἢν αἱ μῆτραι φλεγμήνασαι πλησθῶσι, φῦσα ἐγγίνεται, καὶ τὰ ἐπιμήνια λευκὰ ἀπέρχεται φλεγματώδεα. ἔστι δ' ὅτε καὶ αἷμα λεπτὸν ὑμένων ἔμπλεον, καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, καὶ ὠχρὴ καὶ λεπτὴ γίνεται. ἐρέσθαι οὖν χρὴ αὐτὴν τὸ ῥέον, ἢν δακνῃ τε καὶ ἐξελκοῖ, καὶ ἢν μὴ δάκνηται, ἀπὸ τοῦ ἐγκεφάλου φάναι εἶναι τὸ ῥεῦμα· εἰ δ' οὖν, ἀπὸ τῆς

progreditur, et animo deficit. His per morbi exordia afficitur, procedente vero tempore cavae faciei partes multum rubeſcunt. Cum igitur ita habuerit, poſt fomentum uteris admotum, cyclaminum in ſubdititio apponito. Bibat autem quod cum taeda conficitur, quoad fluxus emotus fuerit. Uterorum autem ori pingue anſerinum, myrrham et reſinam tepidam illinito et quam maxime inducito. Ante cibum mercurialem coctam, allia et porrum edat, et braſſicae ſuccum ſorbeto, cibisque mollibus utatur, marinis autem potius et calida lavet. Pinguibus vero et dulcibus abſtineat, quoad convaleſcat. Si uteri pituita redundantes fuerint, flatus intus oritur et menſes albi pituitoſi prodeunt, iterdum vero etiam ſanguis tenuis, pelliculis plenus, neque prae humiditate cum viro vult congredi, pallidaque et gracilis evadit. Interrogare igitur eam oportet num quod defluit mordeat et exulceret, et ſi non mordeat, ex cerebro defluere aſſerito, ſi vero mordeat, ex ventriculo. Sin igitur ex ven-

Ed. Chart. VII. [686.] Foës. I. 566. Ed. Lind. II. (365. 366.)
κοιλίης. ἢν μὲν οὖν ἀπὸ τῆς κοιλίης ᾖ, ἐμείτω ἀπὸ τοῦ φακίου. ἔπειτα ἐλλεβόρῳ καθῆραι. ἔπειτα ἐς τὰς ῥῖνας ἐνεῖναι. ἐπὴν δέ σοι ἡ ἄνω κοιλίη κεκαθάρθαι δοκῇ, φάρμακον πῖσαι κάτω. σιτίων δὲ ἀπεχέσθω λιπαρῶν καὶ γλυκέων. τὰ δὲ δριμέα προσφέρειν ὡς σύμφορα, ἢν μὴ τὰ αἰδοῖα ἡλκωμένα ᾖ. ψυχρὰ δὲ ἀμείνω, καὶ λουέσθω ὀλίγον, πλὴν μὴ θερμῷ, μηδὲ τὴν κεφαλήν. πινέτω δὲ νῆστις ὑπερικόν. λίνου σπέρμα. ἐλελίσφακον ἐν οἴνῳ ὑδαρεῖ. ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, κλύσαι τῷ χυλῷ τῶν ὀλύνθων, καὶ μετακλύζειν τοῖσι στρυφνοῖσιν. ἡ δὲ νοῦσος χαλεπή. ἢν αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐμμήνια οὐ γίνεται παντάπασιν, ἢ πονηρὰ καὶ ὀλίγα, καὶ ἐκόταν νῆστις ᾖ, ἔμετος αὐτὴν λαμβάνει. ὁκόταν δέ τι φάγῃ, ἐμέει τὰ σιτία, καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ λειποψυχίη ἴσχει, ἡ δὲ γαστὴρ ὁτὲ μὲν σκληρὴ, ὁτὲ δὲ μαλθακή ἐστι, καὶ φυσᾶται καὶ μεγάλη γίνεται, καὶ δοκέει ἐν γαστρὶ ἔχειν. ἢν δὲ ἀφασσήσῃ, κενεὸν γί(366)νεται τὸ πλήρωμα· ταύτῃ μέχρι μὲν τῶν δέκα μηνῶν τὸ οἴδημα κατ' ὀλίγον αὔξεται, οἷόν περ τῇ ἐν γαστρὶ ἐχούσῃ. ἐπὴν

triculo fuerit, poſt lenticulae decoctum vomat, deinde veratro purgato, poſtea in nares indito. Ubi vero ſuperior ventriculus tibi perpurgatus videbitur, medicamentum deorſum purgans propinato. Cibis pinguibus et dulcibus abstineat, acres vero exhibeto, ut qui conveniant, niſi pudenda exulcerata fuerint, praeſtant autem frigidi. Parum lavet, neque tamen calida, neque caput. Jejuna vero hypericum, lini ſemen, ſalviam ex vino diluto bibat. Ubi autem fluxus ceſſarit, groſſorum ſucco eluito, deinde acerbis. Morbus autem gravis eſt. Si uteri inflammatione laborent, menſes prorſus non eunt, vel pravi et pauci, cumque jejuna fuerit, eam vomitus prehendit, ubi vero quid ederit, cibos vomitione rejicit, dolorque imum ventrem et lumbos detinet, animique deliquium occupat. Venter autem interdum quidem durus, interdum autem mollis eſt, flatu diſtenditur et magnus evadit, ſeque utero geſtare exiſtimat. Quod ſi attrectaris, tumor ille evaneſcit. Huic velut uterum geſtanti tumor paulatim ad decem usque menſes increſcit. Cum

Ed. Chart. VII. [686. 687.] Foës. I. 566. 567. Ed. Lind. II. (366.)
δὲ οἱ δέκα μῆνες παρέλθωσιν, ἐμπίπλαται ἡ γαστὴρ ὕδατος, καὶ ὁ ὀμφαλὸς ἐξίσχει, καὶ ἢν ἐσαφάσσῃς τὸν δάκτυλον, εὑρήσεις τὸ στόμα ἰσχνὸν καὶ ξυμπεπτωκὸς τῆς μήτρης, καὶ ὅπου ἐφάνη τὰ ἐπιμήνια ὀλίγα καὶ πονηρά, καὶ τὰς κληῖδας καὶ τὸν τράχηλον λεπτύνεται, καὶ οἱ πόδες οἰδέουσιν. ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω καὶ προστιθέναι πρὸς τὰς ὑστέρας ὁκόσα καθαίρει μὴ δάκνοντα, καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν τὰς ὑστέρας. ἶσον τὸ ὄξος μίσγων ὀξύτατον, καὶ τὴν λινοζῶστιν ἐσθιέτω, καὶ τὸν χυλὸν ἐπιβάλλουσα ἄλητον, καὶ ὁκόταν ἐφθὸν ᾖ, ῥοφείτω. ἡ δὲ νοῦσος ἐπικίνδυνός ἐστιν. ἢν ἐρυσιπέλας δὲ ἐν τῇσι μήτρῃσιν ἐγγένηται, οἴδημα γίνεται ἀπὸ τῶν ποδῶν ἀρξάμενον καὶ ἐς τὰ σκέλεα καὶ ὀσφῦν. || ὅσῳ δ' ἂν πλείων ὁ χρόνος ἐγγένηται, οἰδεῖ καὶ ἡ γαστὴρ, καὶ ῥῖγος καὶ πυρετὸς λαμβάνει καὶ ἀσθένεια. ὑπὸ δὲ τῆς ὀδύνης οὐ δύναται ἡσυχάζειν, ἀλλὰ ῥίπτει ἑωϋτήν. [687] ἡ δὲ ὀδύνη ἀνέρχεται ἐκ τῆς ἰσχιάδος γαστρὸς ἐς τὰς ἰξύας. ἔπειτα ἄνω ἔρχεται ὑπὸ τὰ ὑποχόνδρια καὶ τὰ στήθεα καὶ τὴν κεφαλὴν, καὶ δοκέει ἀποθανεῖσθαι· ὁκόταν δὲ ἀνῇ, νάρκη λαμβάνει τὰς χεῖρας· ἔστι δ'

vero praeterierint decem menſes, venter aqua impletur et umbilicus extat. Quod ſi immiſſo digito attrectarit, os uteri gracile in ſeque conſidens deprehendes. Ubi menſes comparent, pauci et pravi prodeunt, cervix et claviculae extenuantur, et pedes intumeſcunt. Cum ſic habuerit, medicamentum deorſum purgans propinato, et ad uteros quae purgent neque mordeant in ſubdititio, apponito, poſt quae uteros aequali aceti acerrimi portione admixta eluito, mercurialem edito, ſuccumque farina injecta cum decocta fuerit ſorbeto. Hic autem morbus periculo proximus eſt. Si eryſipelas in uteris ſuboriatur, tumor a pedibus exorſus ad crura et lumbos fertur, quoque longius tempus proceſſerit, venter etiam intumeſcit, rigor, febris et imbecillitas prehendit, neque prae dolore quieſcere poteſt, ſed ſe ipſe disjicit. Dolor vero ab imo ventre ad lumbos ſurſum fertur, deinde ſurſum progreditur ad praecordia, pectus et caput, ſeque mori putat, cumque remiſerit, manus, interdumque

Ed. Chart. VII. [687.] Foëſ. I. 567. Ed. Lind. II. (366. 367.)
ὅτε καὶ τοὺς βουβῶνας καὶ τὰ σκέλεα καὶ τὰς ἰγνύας, καὶ πελιὸς γίνεται, καὶ ὀλίγον ποτὲ χρόνον ῥᾴων δοκέει εἶναι, ἔπειτα αὖθις τὰ αὐτὰ πάσχει, καὶ ὁ χρὼς φλυκταινῶν κατα-πίμπλαται, καὶ τὸ πρόσωπον ἐρυθήματα φύει, καὶ δίψα ἔχει ἰσχυρή, καὶ ὁ φάρυγξ ξηρός. αὕτη ἡ νοῦ(367)σος ἐπὴν κυοφορούσῃ ἐγγίνεται, ἀποθνήσκει· ἢν δὲ μή, μελεδαινομένη ὑγιαίνει. ὁκόταν οὖν ὧδε ἔχῃ, προσφέρειν δεῖ, ἢν ὁ πόνος ἔχῃ, ψύγματα, καὶ τὴν γαστέρα ταράσσειν. καὶ ἢν μὲν ἐν γαστρὶ ἔχῃ, σιτίοισι καὶ ποτοῖσι χρῆσθαι, ὅκως τὸ ἔμβρυον διαφθείρηται. ἢν δὲ μὴ ὑποχωρέῃ, κλύζειν. ἢν δὲ μὴ ἔχῃ ἐν γαστρὶ, φάρμακον δοῦναι πιεῖν, καὶ ὡς ἐλαχίστοισι σιτίοισι χρῆσθαι μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὴν λινοζώστιν ἐσθιέτω καὶ τὴν ἀκτὴν, καὶ μήτε ἁλυκὰ μήτε λιπαρὰ μήτε δριμέα, οἷον ὀρίγανον ἢ θύμον ἢ πήγανον. ἐπὴν δὲ τὸ πῦρ ἀφῇ καὶ τὸ πνίγμα, καὶ μὴ κατασιῇ τὸ οἴδημα, φάρμακον ἰσχυρότερον μεταπῖσαι κάτω. τὴν δὲ νοῦσον ταύτην ὀλίγαι διαφεύγουσιν. ἢν αἱ μῆτραι παρὰ φύσιν χάνωσι, καὶ τὰ ἐπι-μήνια πλέω τοῦ δέοντος ἔρχεται καὶ γλισχρότερα καὶ πυκνὰ

etiam inguina, crura et poplites invadit, livida evadit et exiguo quandoque tempore meliuſcule habere videtur, deinde rurſus iisdem afficitur, corpus puſtulis refertum eſt, in facie rubores exoriuntur, vehemens ſitis detinet et fauces areſcunt. Hic morbus ſi praegnanti oboriatur, perit, alioqui curatione adhibita ſaneſcit. Cum igitur ſic habuerit, ſi dolor detineat, refrigerantia porrigere ventremque movere oportet. Quod ſi utero habeat, cibis et potionibus utatur, quibus foetus minime perdatur. Si vero alvus non dejiciat, per infuſum ſubluito. Verum ſi utero non habeat, medicamentum purgans potui exhibendum. Cibis quam pauciſſimis, molliſſimis et frigidis utatur, mercurialem et ſambucum comedat et neque ſalſa, neque pinguia, neque acria, velut origanum aut thymum aut rutam. Ubi autem febris et ſtrangulatio dimiſerit, tumorque minime ſubſtiterit, medicamentum valentius deorſum purgans poſtea propinato. Ex hoc autem morbo paucae evadunt. Si uteri praeter naturam dehiſcant, et menſes plus juſto copioſi et glutinoſio-

Ed. Chart. VII. [687.] Foël. I. 567. Ed. Lind. II. (367. 368.)
καὶ ἡ γονὴ οὐκ ἐμμένει, καὶ ἢν ἅψῃ τῷ δακτύλῳ, εὑρήσεις κεχηνὸς τὸ στόμα, καὶ πῦρ καὶ ῥῖγος καὶ ὀδύνη λαμβάνει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας. αὕτη ἡ νοῦσος λαμβάνει ἐκ ῥόου αἱματώδεος. γίνεται δὲ ὁκόταν τὰ καταμήνια ἐξαπίνης ἱστάμενα ῥαγῇ. κἂν ἡ ὀδύνη μάλιστα ἔχῃ, χλιάσματα προστιθέναι, καὶ ὁκόταν ᾖ, πυριῆν τὰς ὑστέρας καὶ πῖσαι φάρμακον κάτω, καὶ προστιθέναι ὁκόσα μὴ δήξηται, καὶ κλύζειν μετὰ τὰ προσθετὰ ἐν στρυφνοῖσι, καὶ λούεσθαι ὡς ἥκιστα. σιτίοισι δὲ ὡς ξηροτάτοισι χρέεσθαι. ἢν δὲ ταῦτα παθοῦσα ὑγιὴς μὴ γένηται, φάρμακον πῖσαι, ὑφ' οὗ ἄνω καὶ κάτω καθαίρηται. ὁκόταν τὰ ἐπιμήνια κινέη(368)ται, καὶ ὁκόταν παύηται, διαίτα τὸν αὐτὸν τρόπον. ἡ δὲ νοῦσος θανατώδης. ἢν αἱ μῆτραι ἐς τὸ μέσον τῶν ἰξύων ὦσιν, ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα καὶ τὰ σκέλεα ὕστερον, καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἐγγίνονται ὀξύτεραι καὶ ὁ ἀπόπατος προσέρχεται, καὶ τὸ οὖρον στάζει καὶ λιποψυχέει. ὁκόταν ὧδε ἔχῃ, αὐλίσκον προσδήσας πρὸς κύστιν, φυσῆσαι τὰς ὑστέρας

res et frequentes eunt, neque genitura intus manet. Quod ſi digito contigeris, os dehiſcens deprehendes, febris, rigor et dolor imum ventrem et lumbos corripit. Hic morbus ex fluxu ſanguineo prehendit, qui exoritur cum menſes derepente ſuppreſſi eruperint. Cum dolor maxime detinet, tepefactoria in ſubdititio adhibeto, ex iisque fomentum uteris admoveto et medicamentum deorſum purgans propinato, quaeque minime mordeant ſubdito et cum acerbis poſt ſubdititia colluito, minimumque lavet. Cibis autem quam maxime ſiccis utendum. Quibus factis niſi convaleſcat, medicamentum ex quo per ſuperiora et inferiora purgetur propinato. Cum menſes commovebuntur, cumque ceſſarint, eandem victus rationem adhibeto. Hic autem morbus lethalis eſt. Si uteri ad medios lumbos fuerint, dolor imum ventrem, deinde crura detinet, cumque ventris onus deponit, acutiores dolores ſuboriuntur, ſtercusque non niſi vi progreditur, urina guttatim fertur, et animo linquitur. Cum ſic habuerit, adalligata veſicae fiſtula flatum in uteros immittito et fomentum admoveto, aut calida multa lavato,

Ed. Chart. VII. [687. 688.] Foës. I. 567. 568. Ed. Lind. II. (368.)

καὶ πυριῆσαι ἢ λοῦσαι πολλῷ θερμῷ, καὶ ὑποθυμιῆν ὑπὸ τὰ αἰδοῖα τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. ὁκόταν δὲ ἡ ὀδύνη παύσηται, φάκιον προπίσας φάρμακον πῖσαι ἄνω, ὑφ' οὗ ἡ κοιλίη κινηθήσεται. [688] ἐπὴν δὲ αἱ ὑστέραι καταστῶσιν ἐς χώρην, φάρμακον πῖσαι κάτω καὶ γάλα μεταπῖσαι. ἔπειτα πυριήσας τὰς ὑστέρας οἴνῳ, τὰ σὺν τῇ δάφνῃ ἐμβαλεῖν, καὶ προστιθέναι ἃ μὴ δήξηται, ξυμμίσγων τὸ ὄξος. ἔπειτα ὑποθυμιῆν τοῖσιν ἀρώμασιν. ἄτοκοι δὲ καὶ χωλαὶ ἐκ ταύτης τῆς νούσου γίνονται. ὁκόταν δὲ λευκὸς ὁ ῥοῦς ἐγγένηται, οἷον οὖρον φαίνεται, καὶ ὀδύνη ἔχει τὴν εἰσίρων γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς νεφρῶνας, καὶ οἰδήματα τῶν τε σκελέων καὶ τῶν χειρῶν, καὶ τὰ κοῖλα αἴρεται καὶ οἱ ὀφθαλμοὶ ὑγροὶ, καὶ ἡ χροιὴ ἰκτερώδης καὶ λευκὴ γίνεται, καὶ ὁκόταν πορεύηται, ἀσθμαίνει· || ἡ δὲ νοῦσος γίνεται, ἢν φύσει ἐοῦσα φλεγματώδης πυρεταίνῃ, καὶ χολὴ κινηθεῖσα μὴ καθαρθῇ. ἢν μὲν οὖν ἡ κοιλίη ὀξέῃ, διάῤῥοιαι γίνονται· ἢν δὲ ἐπὶ τὰς ὑστέρας τράπηται, ῥόος

subter pudenda suffitum ex graveolentibus parato, subter nares vero ex bene odoratis. Ubi autem dolor cessarit, lenticulae decocto prius potui exhibito, medicamentum sursum purgans ex quo ventriculus emoveatur propinato. At postquam uteri ad suam sedem redierint, medicamentum deorsum purgans, postea etiam lac propinato. Deinde fomento ex vino ad uteros admoto, medicamenta quae ex lauro conficiuntur immittito et quae non mordeant, admixto aceto in subdititio apponito postea suffitum ex aromatis parato. Steriles autem et claudae ex hoc morbo evadunt. Cum fluor albus subortus fuerit, urina qualis asini apparet, et dolor imum ventrem, lumbos ac laterum inanitates detinet, crura ac manus intumescunt, oculorum cava elevantur, et oculi humescunt, color auriginosus et albus redditur, cumque deambulat, anhelatione corripitur. Hic morbus oritur, si natura pituita abundans febricitarit, bilisque commota minime purgata fuerit. Si igitur ventriculus coacescat, alvi profluvia contingunt, quod si ad uteros vertatur, fluxus ori-

Ed. Chart. VII. [688.] Foël. I. 568. Ed. Lind. II. (368. 369.)

γίνεται. ταύτην ἐπὴν (369) διάῤῥοια ἔχῃ, τρίβων μήκωνος λευκῆς τὸ λέπυρον, τὸ ἴσον τῆς πυῤῥοῦς, καὶ ἀκάνθης τὸν καρπὸν τρίβων ἐν οἴνῳ κεκρημένῳ, ἄλφιτα ἐπιβαλὼν ποταίνεια πινέτω. ἢν δὲ θέλῃς σίδην ἐς σποδὸν ἐγκρύψασα, ἐν οἴνῳ πινέτω καὶ ἄλφιτον ἴσον καὶ ἄλητον ἐπιβαλών· ὡς ἥκιστα δὲ λουέσθω. σιτίοισι δὲ χρήσθω ὡς ξηροτάτοισι καὶ ψυχροῖσι. ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, φάρμακον πῖσαι, ὑφ' οὗ τὰ ἄνω καθαίρεται, καὶ γάλα ὄνειον πινέτω. ἐπὴν δὲ τὰ κάτω καθαρθῇ, βόειον γάλα πινέτω ἐπὶ τεσσαράκοντα ἡμέρας, ἢν δύνηται, καὶ ἑξαιθριάσας ἄκρητον οἴνου μίσγων ὕδατι τὸ τέταρτον μέρος. ἑσπέρης δὲ ἐπὴν ἐκπίῃ, ῥοφείτω χόνδρον. ἐπὴν δὲ γένηται δεκαταίη, ἀφαιρέειν τοῦ γάλακτος τὴν δεκάτην μοίρην καὶ τοῦ ὕδατος. ὅσον δὲ ἀφέλῃς, τοσοῦτον χλιεροῦ ἄρτι ἠμελγμένου, πινέτω τὴν μοῖραν. τὴν δὲ αὔριον δύο μοίρας, ὡς ἐν τῇσι δέκα μοίρῃσιν εἶναι ἀντὶ ὀλίγου κεκρημένου ἄκρητον, καὶ ἐπὶ τέσσαρας ἡμέρας πίνειν ἀφαιρέων τὸ δέκατον μέρος, καὶ τοῦ ῥοφήματος προστίθεσθαι πλεῖον. ἐπὴν δὲ γένηται τεσσαρεσκαιδεκαταίη, πίνουσα τὴν δεκάτην

tur. Hanc ubi alvi profluvium detinuerit, papaveris albi et rubri aequali portione corticem tritum, et ſpinae fructum ex vino aqua temperato, polenta recenti immiſſa bibat. Quod ſi velit, mali punici putamen cinere contectum, pari polentae et farinae portione injecta, ex vino bibat, quam minimum vero lavet. Cibis maxime ſiccis et frigidis utatur. At ubi fluxus ceſſaverit, medicamentum ex quo ſuperiora purgentur propinato, et lac aſininum bibat. Cum vero deorſum purgata fuerit, lac bubulum ad quadraginta dies, ſi poſſit, bibat, et impermixtum coelo ſereno expoſitum, vini quarta portione ad aquam ammixta. Sub veſperam autem ubi ebiberit, ſorbitionem ex alica ſumat. Ubi vero ad diem decimum pervenerit, lactis et aquae decimam partem ſubtrahito. Quantam autem ſubduxeris, tantam recenter mulcti tepidi portionem bibat, poſtero vero die duas portiones, ut in decem portionibus pro modico diluto ſit meracum, et ad dies quatuor bibat decima parte ſubtracta, et ampliore ſorbitione adhibita. Cum autem decimam lactis portionem

Ed. Chart. VII. [688. 689.] Foël. I. 568. Ed. Lind. II. (369. 370.)
μοῖραν τοῦ γάλακτος, ὑποχέων τρίτην ὕδατος μοῖραν πινέτω δέκα ἡμέρας, καὶ σιτίοισι χρήσθω, καὶ οὕτως γίνονται αἱ ξύμπασαι ἡμέραι ν'. ἐπὴν διαβάλλῃ τοὺς τόκους φύσει ἄτοκος ἐοῦσα, τὸ μὲν πρῶτον ὑπολείπει τὰ ἐμμήνια καὶ γίνεται ἐλάσσω καὶ τὸν χρόνον ὑπερβάλλει ἐν ᾧ ἐγένετο πρόσθεν. ἔπειτα ἐξαπίνης ἐγένετο πολλὰ καὶ καθαρὰ καὶ ἰσχυρά. καὶ ἢν μέν οἱ (370) ἅπαξ γενόμενα εἴῃ, τὸ λοιπὸν κατὰ λόγον ἐν γαστρὶ ἴσχει· ἢν δὲ μή, τὸ πρῶτον γίνεται καὶ δεύτερον καὶ τρίτον τοῦ μηνός. [689] ἔπειτα τελευτήσει ἐξ ἑωυτοῦ ὁ ῥόος, ἀχρή τε καὶ λεπτὴ γίνεται. φάρμακον οὖν χρὴ πιπίσκειν καὶ ἄνω καὶ κάτω, καὶ γάλα μεταπιπίσκειν ὄνειον ἢ ὀρρόν. ἔπειτα μετὰ ταῦτα πυριήσαντα καθῆραι τὰς ὑστέρας φαρμάκῳ ὃ μὴ δήξεται, ἔπειτα κλύσαι σὺν τῷ ὄξει. ἔπειτα ὑποθυμιῆσαι τοῖσιν ἀρώμασι. ποιέειν δὲ ταῦτα, ὅκως τῇ προτέρῃ τῶν ἐπιμηνίων ἢ πεποιημένα, καὶ μὴ γένηται ἁλουτοῦσα, ἀσιτοῦσα. κυκεῶνα ἄναλτον παχὺν πίνουσα καὶ ὑποθυμιείσθω τοῖσιν ἀρώμασι, νέτωπον περιχέασα καὶ μύρον ῥόδινον. ἔπειτα τῷ ἀνδρὶ ξυνίτω. ἢν αἱ κοτυληδόνες φλέ-

quatuordecim diebus biberit, tertiam aquae partem affuſam ad decem dies bibat, et cibis utatur. Sicque dies exeunt in totum quadraginta. Ubi quae natura ſterilis exiſtit partus ejicit, primum quidem menſes deficiunt et pauciores contingunt, tempusque quo prius apparebant ſuperant, deinde derepente copioſi, puri et vehementes decurrunt. Et ſiquidem ei ſemel defluxerint, deinceps pro ratione in ventre habet, ſin minus, primo, ſecundo ac tertio in menſe decurrunt, poſtea per ſe fluxus deſinet, pallidaque et gracilis evadit. Medicamentum igitur ſurſum et deorſum purgans propinandum, et lac aſininum aut ſerum poſtea bibendum, deinde poſt haec admoto fomento, uteri medicamento quod minime mordeat purgandi, poſtea aceto colluendi, deinde ſuffitus ex aromatis parandi. Haec autem facito, ut primo menſium die facta ſint et ut neque illota, neque ſine cibo maneat, cyceonem inſulſum craſſum ubi biberit, ſuffitum ex aromatis aſperſo netopo et unguento roſaceo ſibi paret, deinde virum adeat. Si acetabula pituita referta fuerint, men-

Ed. Chart. VII. [689.] Foeſ. I. 568. 569. Ed. Lind. II. (370. 371.)

γματος περίπλεαι γένωνται, τὰ μὲν ἐπιμήνια καλῶς ἐπιγίνονται καὶ ἐν γαστρὶ ἴσχει. διαφθείρει δὲ, ἐπὴν ἰσχυρότερον τὸ ἔμβρυον γένηται. οὐ γὰρ δύναται ἴσχειν, ἀλλ' ἀποῤῥήγνυται. γνοίης δὲ ὧδε. ὑγρὴ γίνεται καὶ ὑποῤῥέει μυξώδες καὶ γλίσχρον καὶ οὐ δάκνει, καὶ τοῖσιν ἐμμηνίοισιν ἐπὴν παύσηται τοῦ ῥεύματος καθαιρομένη καὶ δύο ἡμερέων καὶ τριῶν μίξαι ἔρχονται καὶ ἀπὸ τῶν ὑστερέων. ταύτην δεῖ κλύσαι τῷ ἀπὸ τῶν ὀλύνθων, καὶ δὶς ἢ τρὶς μετακλύσας στρυφνοῖσι τὸ λοιπὸν προστιθέναι, ὑφ' οὗ καθαίρεται φλέγμα, καὶ τὰ μαλθακὰ πυριῆν καὶ κλύζειν μετὰ τὰ προσθετά, ἶσον τὸ ὄξος μίσγων, καὶ ὑποθυμιῆν ἐν τοῖσιν ἐπιμηνίοισι τοῖσιν ἀρώμασι. ἔπειτα δὲ ἀσιτέουσα καὶ ἀλουτέουσα συνευνάζέσθω τῷ ἀνδρί. ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ δοκέει ἐπικεῖσθαί οἱ βάρος (371) καὶ τὰς ἰξύας πονέει καὶ τοὺς κενεῶνας. ὁκόταν δὲ πρὸς τὰ ὑποχόνδρια προσπέσωσι, πνίγουσι, καὶ ἐπὴν πυκνὰ ὀξέα ἀπεμέσῃ, ῥᾷον γίνεται ὀλίγον χρόνον. ἡ δὲ ὀδύνη καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον φοιτᾷ. || ἐπὴν οὖν μέλλῃ, ἢν

ſes quidem probe eunt et utero gerit, foetum autem ubi validior fuerit corrumpit. Neque enim detinere poteſt, ſed disrumpitur. Hunc autem in modum noſces. Humida redditur et mucoſum glutinoſumque defluit, neque mordet. Et ubi a fluxu purgari deſierint, cum menſibus per duos aut tres dies muci ex uteris procedunt. Hanc groſſorum decocto colluere oportet, et ubi bis aut ter acerbis poſtea collueris, deinceps medicamentum ex quo pituita purgetur in ſubdititio apponito, mollia fomenta admoveto et poſt ſubdititia pari aceti portione admixta eluito, et euntibus menſibus ſuffitum ex aromatis parato. Deinde a cibo et lotione abſtinens cum viro dormiat. Cum menſes latuerint, dolor imum ventrem detinet eique pondus incumbere videtur, lumbi et laterum inanitates dolent. At ubi ad praecordia irruperint, ſuffocant, cumque frequenti vomitione acida rejecerint, modico tempore melius habet, dolor vero ad caput et cervicem fertur. Ubi igitur adventuri ſunt, ſi impetum

Ed. Chart. VII. [689. 690.] Foël. I. 569. Ed. Lind. II. (371.)

προσεστήκῃ, χλιάσματα προστιθέναι καὶ ὑποθυμιῆν κακώδεα. κάτω δὲ εὐώδεα, καὶ πίνειν διδόναι τὸν κάστορα καὶ τὴν κόνυζαν. ἐπὴν δὲ κάτω, ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. ἐπὴν δὲ παύσωνται αἱ ὀδύναι, φάρμακον δοῦναι πιεῖν καὶ μεταπιπίσκειν γάλα ὄνου. ἔπειτα διδόναι χυμόν, ἀφ' οὗ ἐμεῖται, καὶ πρὸς τὰς ῥῖνας προστιθέναι. ἐπὴν δὲ καθάρῃς πυριήσας τὰς ὑστέρας τοῖσι ξὺν τῇ δάφνῃ προσθεῖναι, τὸ ξὺν τῇ ναρκίσσῳ. τρεῖς δὲ διαλιπὼν πυρίας, προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι· τῇ δὲ ὑστεραίῃ στέαρ χήνειον. ἔπειτα διαλιπὼν τρεῖς ἡμέρας κλύσαι τῷ ξὺν τῷ ὄξει. ἐν δὲ τοῖσι καθαρμοῖσι ἐσθιέτω τὴν λιροζῶστιν πρὸ τῶν σιτίων, καὶ σιτίοισι μαλθακωτάτοισι χρήσθω, καὶ δρυμέα τραγέτω, καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης· ἢν δὲ μὴ γίνηται ἐπιμήνια, ταῦτα ποιήσαντα ἐν τῷ δέοντι χρόνῳ πῖσαι κανθαρίδας, καὶ ἐπὴν γένηται νηστεύσασα καὶ ἀλουτήσασα καὶ ὑποθυμιήσασα, συγευνάσθω τῷ ἀνδρί. [690] ὁκόταν ἐν γαστρὶ ἔχουσα διαφθείρῃ τὸ ἔμβρυον μηνιαῖον

fecerint, tepefacientia ſubter apponito, ſuffitumque ex graveolentibus apparato, infra vero ex odoratis, caſtoriumque et conyzam potui exhibeto. Cum autem ad inferiora proceſſerint, ſuffitum per inferiora ex graveolentibus apparato, ad nares autem ex bene olentibus. At ubi dolores quieverint, medicamentum potui exhibeto, poſteaque lac aſininum propinato, deinde ſuccum ex quo vomat dato, et naribus admoveto. Ubi vero purgaveris, fomento ad uteros ex his quae cum lauro conficiuntur admoto, medicamentum ex narciſſo apparatum ſubter apponito. Tribus autem diebus fomentis intermiſſis, id quod ex cantharide conficitur in ſubdititio apponito, poſtero vero die adipem anſerinum, deinde tribus intermiſſis diebus, ex eo quod cum aceto paratur eluito. In purgationibus autem mercurialem ante cibos edat cibisque molliſſimis utatur, et acria comedat bisque die calida lavet. Quod ſi his factis menſes ſuo tempore non contingunt, cantharidas propinato et ubi prodierint, jejuna illota et ſuffita cum viro dormiat. Si ea quae in utero habet foetum menſtruum aut bimeſtrem perdit et per-

Ed. Chart. VII. [690.] Foës. I. 569. Ed. Lind. II. (371. 372.)
καὶ διμηνιαῖον, καὶ ἐκφέρειν μὴ δύνηται καὶ λεπτὴ παρὰ φύσιν γίνηται, (372) ταύτην χρὴ καθήραντα καὶ τὰς ὑστέρας πρὸς τὸ στόμα. οὐ γὰρ δυνήσεται πρότερον διενέγκαι, ἔστ' ἂν αὐτῆς παχεῖαι γένωνται αἱ ὑστέραι καὶ ἰσχύσωσιν. ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. τὸ γὰρ ἐπίπλοον ἐπικείμενον πουλὺ παχὺ ἀποπιέζει τὰς ὑστέρας καὶ τὴν γονὴν οὐκ εἰσδέχεται. ταύτην χρὴ λεπτύναντα φάρμακον πῖσαι κάτω, καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι, ὅ τι καθαίρεται αὐτὰς καὶ φύσας οὐκ ἐμποιεῖ. ἢν δὲ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ἢ ὁ αὐχὴν, τὸν δάκτυλον προσάγων γνώσῃ, καὶ ἐπὴν πρὸς τὸ ἰσχίον ἕωσιν ἀπεστραμμέναι. ὅταν ὧδε ἔχῃ, μηδὲν προσφέρειν δριμύ. ἢν γὰρ ἐξελκώσῃς τὸ στόμα, ἐπὴν φλεγμαίνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι. ἀλλὰ προστιθέναι ἃ μὴ δάκνει, ὑφ' ὧν καθαίρηται. ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν ἐθέλῃς καθῆραι καὶ ἢ χολώδης ἢ φλεγματώδης· γνώσῃ δὲ τούτων ὁκότερον, ἢν ψάμμον ὑποβάλλων, ἐπὴν τὰ ἐπιμήνια γένωνται, ἐν τῷ ἡλίῳ ἐπιχέας τὸ αἷμα ἐᾷν ξηρανθῆναι· καὶ ἢν μὲν χολώδης ᾖ,

ferre nequit, gracilisque praeter naturam evadit, huic uteri oſculum purgare oportet. Neque enim prius foetum perferre poterit quam ipſius uteri craſſi et validi redditi fuerint. Quod ſi praeter naturam craſſior evaſerit, utero non concipit. Omentum enim praepingue ſuperincumbens uteros comprimit, neque genituram ſuſcipere ſinit. Huic, ubi gracilem reddideris, medicamentum deorſum purgans propinare oportet, et ad uteros quod eos purget et flatus excitet, ſubter apponere. At ſi uterorum oſculum durum extiterit aut cervix, quod immiſſo digito deprehendes, itemque ſi in coxendicem obverſi fuerint. Quod cum ſic habeat, nihil acre exhibeto. Si enim os exulceraris, ubi inflammatione tentatum fuerit, periculum eſt ne penitus ſterilis evadat. Verum quae non mordeant, ex quibus purgetur, ſubter apponito. Si eam quae parere non poteſt purgare voles, et biliosa aut pituitoſa fuerit. Quodnam autem ex his ſit cognoſces, ſi ſuppoſitae arenae dum menſes eunt in ſole ſanguinem effuſum ſiccari permittas. Et ſi quidem biliosa fue-

Ed. Chart. VII. [690. 691.] Foës. I. 569. Ed. Lind. II. (372. 373.)
ἐπάνω τῆς ψάμμου ἔσται τὸ αἷμα ὠχρὸν, ἢν δὲ φλεγματώδης οἷον μύξα, καὶ δὴ ὁκότερον ἂν εἴη καθήρας κάτω, περὶ τὰς ὑστέρας ἐπιθεῖναι προσθετά. ἢν τὰ ἐπιμήνια παντάπασι μὴ γίνωνται, ἢν μὲν ὑπὸ πόνου ᾖ, πρῶτον μὲν τὴν κοιλίην καθῆραι κάτω, ἔπειτα προσθεῖναι, ὑφ' οὗ αἷμα καθαίρεται ἐκ τῶν ὑστερέων. ἔπειτα διαλιπὼν ἡμέρην μίην ἢ δύο, ὑφ' οὗ αἷμα καθαίρεται προσθεῖναι. τὸν δὲ ἄλλον χρόνον τὸν φλοιὸν πινέτω τοῦ κρηθμοῦ ἐν οἴνῳ τρίψασα. (373) ἢν ὑγρότερον τοῦ καιροῦ τὸ στόμα τῶν ὑστερέων ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δηχθῇ, καὶ φλεμῆναν σκληρὸν λίην γένηται. ἢν δὲ σκιῤῥωθῇ, τὰ δριμέα προσφέρειν. δάκνοντα γὰρ διαχεῖ τὸν ἰχῶρα. ἔπειτα μαλθακὰ προστιθέναι. εἰς δὲ τἆλλα νουσήματα οὐχ ἥκιστα προστιθέναι. ἢν δὲ τὸ ἰσχίον λεχοῖ καταστηρίξωσιν, αἵ τε ὑστέραι εἰς τὸν κενεῶνα, προστίθεσθαι χρὴ πρὸς τὸ ὑγιὲς [691] ἰσχίον ἔλαιον Αἰγύπτιον λευκὸν ἢ βακκάριον, καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω, καὶ πινέτω γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε, καὶ

rit, ſanguis pallidus in ſumma arena extabit; ſi vero pituitoſa, velut mucus. At certe utrumlibet fuerit, ubi per inferiora purgaveris, ad uteros ſubdititia adhibeto. Si menſes prorſus non eant, ſi quidem ex dolore contingat, primum quidem ventrem deorſum purgato, deinde medicamentum a quo ſanguis ex uteris purgetur ſubter apponito. Poſtea intermiſſo uno aut altero die, medicamentum ex quo ſanguis purgetur in ſubdititio apponito. Reliquo vero tempore crethmi corticem ex vino tritum bibat. Si uteri oſculum plus juſto humidum fuerit, acria uti mordeatur et inflammatum admodum durum fiat, ſubter apponito, quod ſi induratum fuerit, acria adhibeto. Quae enim mordeat, ſaniem diffundunt, poſtea mollia ſubter apponito. Quin etiam ad alios morbos non minus apponito. Si puerperae uteri ad coxendicem aut ad lateris inanitatem incubuerint, ad ſanam coxendicem oleum Aegyptium album aut baccarinum unguentum admovere oportet, et in ſanam coxendicem decumbat. Paeoniae grana nigra quinque, ſambuci

Ed. Chart. VII. [691.] Foës. I. 569. 570. Ed. Lind. II. (373. 374.) ἀκτῆς καρπὸν ὅσον χηραμίδα, καὶ κάστορος ὅσον κύαμον ἐν οἴνῳ. ἔπειτα λουσαμένη θυμιήσθω, καὶ τοῖσι πότοισι καὶ σιτίοισι χρήσθω μαλθακοῖσι, καὶ λινοζώστει, καὶ τοῖσι δριμέσι πᾶσι χωρὶς ῥαφάνου καὶ κρομμύων. ὁκόταν πίγωσιν αἱ ὑστέραι, ὑποθυμιῇν χρὴ τὰ κακώδεα πάντα, ἤγουν ἄσφαλτον, θεῖον, κέρας, ἐλλύχνιον, φώκης ἔλαιον, || καστόριον· ὑπὸ δὲ τὰ αἰδοῖα τὰ εὐώδεα. ἢν δὲ λεχοῖ αἱ ὑστέραι φλεγμήνωσι, πίμπραται καὶ πνίξ ἔχει. ὁκόταν δὲ ὧδε ἔχῃ, παρατείνας ὀθόνιον βρύα θαλάσσια λεπτὰ καταπλάσσειν· ἔπειτα ὠμήλυσιν καὶ σποδὸν κληματίνην καὶ λίνου σπέρμα, ὄξος καὶ ἔλαιον ἐπιχέας, ἑψεῖν ἕως ἂν οἷόν περ σταῖς γένηται. ἔπειτα καταπλάσαι, ἢν θερμοτέρῳ δύνηται ἀνέχεσθαι, τὴν νείαιραν γαστέρα. ἢν δὲ πεπήγωσι, φακοῦ ἑψήσας ἐν ὄξει καὶ ἡδυόσμῳ πολλῷ, ἕλκειν τὴν ἀτμίδα ἐς τὸ (374) στόμα καὶ τὰς ῥῖνας προσίσχειν, καὶ κακώδεα ὑποθυμιῇν, καὶ λινοζῶστιν ἐσθίειν καὶ ἐν τῷ χυλῷ ἅλητον ἐφθὸν ῥοφεῖτω. ὅτ' ἂν τάχιστα καὶ πρὶν ἢ τὴν ὀδύνην ἔχειν, πρότερον χρὴ διδόναι τῶν φαρμάκων ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης,

fructum ad conchae majoris menſuram, et caſtorii fabae quantitatem ex vino bibat, mox lota ſuffitum adhibeat, potibus et cibis mollibus utatur, mercuriali et acribus omnibus praeter raphanum et cepas. In uteri ſtrangulatu graveolentia omnia in ſuffitu naribus adhibenda, bitumen ſcilicet, ſulphur, cornu, lucernae funiculus, vituli marini adeps, caſtorium, pudendis vero odorata. At ſi puerperae uteri inflammatione laborent, incenditur et ſuffocatio detinet. Cum ſic habuerit, algam marinam tritam in linteolo extento ex cataplasmate adhibeto. Deinde farinam hordeaceam crudam, cinerem ſarmentitium et lini ſemen, aceto et oleo affuſo in maſſae ſubactae formam decoquito, poſtea quam calidiſſimo imum ventrem ex cataplasmate linito. Quod ſi compacti fuerint uteri, lentibus cum multa mentha in aceto decoctis, vapor m in os naribus admotis attrahat, et ex graveolentibus ſuffitum adhibeat, mercurialem comedat, et ex ſucco farinam coctam ſorbeat. Quam citiſſime et prius quam dolor detineat, medicamenta exhibere oportet quae uterorum

Ed. Chart. VII. [691. 692.] Foeſ. I. 570. Ed. Lind. II. (374.)

καὶ σιτία διαχωρητικὰ προσφερέσθω. ἢν δὲ ἡ γαστὴρ θερμαίνεται, ὑποκλύσαι. ἢν δὲ ἐκ τόκου φλεγμήνωσιν αἱ μῆτραι, στρύχνου χυλὸν ἐγχέαι ἐς τὰ αἰδοῖα, καὶ ἐπὴν οὗτος θερμὸς γένηται, ἕτερον ἐγχεῖν. ἢν δὲ μὴ ᾖ, σχίνου ἢ ῥάμνου ἢ τεύτλου ἢ κολοκύντης χυλὸν ἑκπιέσας ἔγχεον, καὶ αὐτῆς τὸ ἐν μέσῳ τὸ ἁπαλώτατον περιξύσας μακρὸν ἔνθες. ὕστερον ὕδατι ψιμμίθιον τρίβων ἐν εἰρίῳ ἀναστογγίζων πρόσθες· ἢν δὲ φρίσσῃ, ἀφαιρέειν. [692] ἢν γυνὴ ἀσθενέῃ ἀπὸ ὑστέρων, καὶ χολαὶ αὐτὴν πνίγωσι, καὶ δέῃ αὐτὴν καθῆραι κούφως καὶ τῆς ὀδύνης παύσασθαι. πευκεδάνου ὀπὸν ὅσον τρεῖς κυάθους δίδου πίνειν. ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ὦσιν ἢ ἐν τῷ κενεῶνι, ἢν θέλῃς μετακινῆσαι, τρίψας θεῖον καὶ ἄσφαλτον, μέλι ἑφθὸν παραχέας καὶ ποιήσας βάλανον παχείην, ἐς ἕδρην ἔνθες, καὶ ἐκ τῶν ὑστερέων, ἢν ξηραὶ γένωνται, ταῦτα προσθεῖναι ὡς τάχιστα. γυναικὶ ὅταν ὑστέραι σκληραὶ γένωνται καὶ εἰς τὰ αἰδοῖα ἐξίσχωσι καὶ οἱ βουβῶνες σκληροὶ γίνωνται, καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, καρκινοῦσθαι ἄρχεται. ὅταν οὕτως ἔχῃ, σικύης χρὴ τὸ εἴσω

dolorem ſedent, et cibos ſumat qui alvum dejiciant. At ſi venter incaleſcat, per infuſum ſubluito. Quod ſi uteri ex partu inflammatione laborent, ſolani ſuccum in pudenda infundito et ubi calidus evaſerit, alium affundito. Si vero hic non adſuerit, lentiſci, aut rhamni, aut betae, aut cucurbitae ſuccum expreſſum infundito, et quod in ipſa eſt medium tenerrimum deraſum in longitudinem indito, demum ceruſam aqua ſubactam, lana exceptam ſubdito, ſin horruerit, detrahito. Si mulier uterorum debilitatem et a bile ſuffocationem ſentiat, eamque leviter purgare opus ſit, doloremque ſedare, peucedani ſuccum ad tres cyathos potui exhibeto. Si in lumbis aut lateris inanitate uteri extiterint, ſi emovere velis, ſulphur et bitumen tritum affuſo melle cocto in glandulam craſſam efformato, et in ſedem immittito, et ſi uteri ſicci evaſerint, haec quam celerrime in ſubdititio apponito. Cum mulieri uteri duri evadunt, et ad pudenda prominent inguinaque indurantur, et ardor in pudendis ineſt, cancri initia ſuſpecta ſunt. Cum ſic ha-

Ed. Chart. VII. [692. 693.] Foëſ. I. 570. Ed. Lind. II. (374. 375.) τρῖψαι τὸ ξηρὸν ὕδατος κοτύλην ἐπιχέας, ἐνιεὶς ἐς τὴν ἕδρην ἐᾷ καθαίρεσθαι μέχρις ἂν καθαρθῇ. ὁκόταν δὲ γυναικὶ (375) δῷς φάρμακον, παράμισγε τῷ φαρμάκῳ ὅσα ὑστέρας καθαίρει καὶ ὅσα ἐλαύνει. ἕτερα ποτὰ καὶ προσθετά, δυνάμενα χωρίον ἐξάγειν καὶ τὰ ἐπιμήνια κατασπάσαι. καν-θαρίδας ε ἀποτείλας τὰ πτερὰ καὶ τοὺς πόδας καὶ τὴν κεφαλήν. ἔπειτα τριβόλους παραθαλασσίους σὺν τῇ ῥίζῃ τρίψας ὅσον κόγχην καὶ τοῦ ἀνθέμους τοῦ χλωροῦ τὸ εἴσω ξηρὸν τρίψας ὅσον κόγχην καὶ σελίνου σπέρμα ἶσον, καὶ σηπίης ὠὰ ιε ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ δίδου πιεῖν. καὶ ἐπὴν ἡ ὀδύνη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω καὶ μελίκρητον ὑδαρέα πινέτω. βατραχίου τῶν φύλλων καὶ τοῦ ἄνθεος τετριμμένου ὅσον στατῆρα Αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πιεῖν. ἐπὴν δὲ ἡ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι καὶ ψύξας διδόναι πιεῖν, καὶ ὁκόταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιερῷ καθεζέσθω. ἀδιάντου ὅσον στατῆρα Αἰγιναῖον ἐν οἴνῳ λευκῷ [693] ἶσον ἴσῳ κεράσας δίδου πίνειν. λευκοΐου καρπὸν ὅσον ἐν τοῖς τρισὶ δακτύλοις

buerit, cucurbitae interiorem partem terere oportet, et cum ſavo aquae hemina affuſa in ſedem immittere, et donec purgetur ſinere. Cum vero mulieri medicamentum exhibueris, quae uteros purgant, quaeque impellunt admiſceto. Potiones aliae et ſubter appoſita, quae ſecundas educere et menſes detrahere valent. Cantharidas quinque evulſis alis, pedibus et capite, deinde tribulos mari adjacentes cum radice tritos ad conchae menſuram, et anthemi lutei interiorem partem tritam quantum concha capit, ſeminis apii aequalem portionem et ſepiae ova quindecim, ex vino dulci temperato potui exhibeto, cumque dolor detinuerit in aqua calida deſideat, et mulſam aquoſam bibat. Foliorum ranunculi et floris triti ſtateris Aeginaei pondus ex vino dulci bibat. Et ubi dolor detinuerit, cicer album et uvas paſſas in aqua decoctas et refrigeratas potui exhibeto, cumque ſtranguria vexaverit, in aqua tepida deſideat. Adiantum ſtateris Aeginaei pondere ex vino albo aequali aquae portione temperato, propinato. Violae albae ſemen quan-

Ed. Chart. VII. [693.] Foël. I. 570. 571. Ed. Lind. II. (375. 376.)

λαβὼν, ἐν οἴνῳ λευκῷ τὸν αὐτὸν τρόπον κεράσας, δοῦναι πίνειν. λευκοΐου ῥίζαν τοῦ μέλανος ἐν οἴνῳ διεὶς τὸν αὐτὸν τρόπον χρήσθω. κρινάνθεμον τὸ ἐπὶ τῶν οἰκιῶν φυόμενον τὸν αὐτὸν τρόπον μῖξαι καὶ πῖσαι. τῆς ἀγχούσης τὰ φύλλα δύο δραχμίδας ἐν οἴνῳ ἑφθῷ κεράσας ὕδατι ἴσως πῖσαι. χαμαιλέοντος τὴν ῥίζαν ξύσας οἷον ἐλλεβόρου πόσιν ἐν οἴνῳ ἑφθῷ κεράσας ὕδατι πῖσαι. κράμβης καὶ πράσου χυλὸν ἑκατέρου μίξας τὸν ὀπὸν σιλφίου ὅσον (376) τριώβολον οἴνῳ ἴσῳ μίξας λευκῷ πῖσαι. || ἐλαίης λευκῆς πρόσθεν ἢ ἔλαιον ἐνῇ κατακνήσας ξήρανον. ἔπειτα κόψας καὶ σήσας ἐν οἴνῳ ἐπιβαλὼν, διδόναι πίνειν. τοῦτο καὶ ἐπιμήνια κατασπᾷ καὶ χωρίον ἐξελάσει. δικτάμνου κρητικοῦ ὅσον ὀβολὸν, ἐν ὕδατι πιεῖν, χωρίον ἢν μὴ δύνασαι ἐκβαλεῖν πιπίσκων, πυριήσας τῆς ἀκτῆς τῷ χυλῷ ἑφθῷ ἐμβαλὼν καὶ τὴν κανθαρίδα προστιθέναι. τοῦτο καὶ τὸ ἔμβρυον ἐξελαύνει. ὁκόταν δὲ δάκνῃ, ἀφαιρουμένη ῥόδινον μύρον ἐμβάπτουσα προστιθέσθω, ἐς ἂν ἀποφύγῃ. αἰγείρου κρητικοῦ κόκκους ἐννέα τρίψας ἐν

tum tribus digitis capere poſſis, ex vino albo eodem modo temperato, bibendum dato. Violae nigrae radice ex vino macerata ad eundem modum utatur. Crinanthemum quod in domibus provenit, ad eundem modum miſceto ac propinato. Anchuſae folia ad pugillos duos in vino pari aqua temperato decocta bibenda dato. Chamaeleontis radicem deraſam velut in veratri potione ex vino aqua temperato decoctam propinato. Braſſicae et porri ſuccum, utrique laſeris ſucco ad tres obolos admixto, vini albi aequali admixta portione, bibendum dato. Olivas albas prius quam oleum inſit in tenues partes diſſectas ſiccato, deinde tuſas et cribratas in vinum injectas bibendas exhibeto. Hoc et menſes detrahit et ſecundas ejicit. Dictamnum Creticum oboli pondere ex aqua potui exhibeto. Quo epoto ſi ſecundas ejicere non potes, ſambuci ſuccum coctum pro fotu injicito, et cantharidem ſubter apponito. Hoc etiam foetum expellit. Ubi vero morſum attulerit, eo ablato et unguento roſaceo leviter intincto, in ſubdititio apponito quoad liberata fuerit. Populi nigrae Creticae grana novem

Ed. Chart. VII. [693. 694.] Foës. I. 571. Ed. Lind. II. (376. 377.) οἴνῳ διδόναι πίνειν. τουτέῳ δὲ καὶ ἀπολούσασθαι, ἢν δυστοκέῃ. κονύζης ὅσον χεῖρα λείης διεῖναι πράσου χυλῷ, καὶ νέιωπον ξυμμίξας ὅσον χηραμίδα, ταῦτα ἐν οἴνῳ δίδου πίνειν. ἐπιμήνια κατασπᾷ. πευκεδανὸν καὶ πάνακες καὶ γλυκυσίδης ῥίζαν ἐν οἴνῳ δίδου πίνειν. [694] ἔμβρυον ἐκβάλλει τεθνεὸς καὶ τὰ ὕστερα. τοῦ ἴου καὶ τῆς ἀνδράχνης τὸν καρπόν, ταῦτα διακόψας καὶ μίξας δίδου ἐν οἴνῳ λευκῷ παλαιῷ. ἐπιμήνια κατασπᾷ. λευκοΐου ὁ καρπὸς, ὅσον τρισὶ δακτύλοις ἐπιλαμβανόμενος, καὶ αἰγὸς σπυράθους ὅσον πέντε ἢ ἕξ. ταῦτα ξυμμίξας οἴνῳ εὐωδεστάτῳ, προπυριάσας ἐς ὕδωρ καὶ ἔλαιον τὴν πυρίην ἐμβαλὼν, πυριῆν δὲ ἐπὶ δίφρου. ἐπὴν δὲ πυριήσῃς, δοῦναι πιεῖν, καὶ ὡς τάχιστα λούσαντα κατακλῖναι. δοῦναι δὲ φαγεῖν κράμβην καὶ τοῦ χυλοῦ ῥοφεῖν. λευκοΐου τὸν καρπὸν (377) ὅσον τοῖς τρισὶ δακτύλοις ἐν οἴνῳ δοῦναι πιεῖν καὶ καθήσθω ἐν ὕδατι θερμῷ. ἢν δὲ μὴ ἔχῃ, μαράθρου ῥίζας κλάσας, ἐν μελικρήτῳ χλιερῷ ἀποβρέχων δίδου. μελίης ὅσον κόκκους δέκα ἐν οἴνῳ

trita, ex vino bibenda dato, eo etiam abluatur, ſi difficulter pariat. Conizam quantum manus capit leviter tritam, porri ſucco macerato, netopo quantum conchae majoris teſta capit admixto, haec ex vino bibenda dato. Menſes detrahit. Peucedanum et panacem paeoniaeque radicem ex vino potui dato. Foetum mortuum et ſecundas ejicit. Violae et portulacae ſemen, haec contuſa et mixta ex vino albo vetuſto exhibeto. Menſes detrahit. Violae albae ſemen quantum tribus digitis comprehenditur, et ſtercoris caprini globuli quinque aut ſex. Haec vino odoratiſſimo permiſceto, fomento prius ex aqua et oleo immiſſo. In ſedili autem fomentum admoveto, quo adhibito potui exhibeto et quam citiſſime in cubili reclinato. Braſſicam autem edendam et ſuccum ſorbendum dato. Violae albae ſemen quantum tribus digitis capitur, ex vino propinato et in aqua calida deſideat. Quod ſi non habeat, ſoeniculi radices contuſas, aqua mulſa tepida maceratas exhibeto. Fraxini pilulas circiter decem ex vino propinato. Hoc

Ed. Chart. VII. [694. 695.] Foës. I. 571. Ed. Lind. II. (377.)
δοῦναι πιεῖν. τοῦτο ἀγαθὸν ἐπὶ παντὸς ἀλγήματος ὑστερέων, καὶ σφόδρα διουρητικόν. ὀπὸν σιλφίου ὅσον ὄροβον, καὶ καρδάμου καρπὸν τρίψας λεῖα καὶ ξυμμίξας ἐν οἴνῳ, ἢ ἐν κυνὸς γάλακτι, δίδου πιεῖν. τοῦτο καὶ ἔμβρυον ἐξελαύνει. ἐκβόλιον. βατράχιον καὶ ἐλατηρίου μικρὸν μίξας ἐν ὄξει εὔκρατον πῖσαι. ἐπὶ τοῦ αὐτοῦ. κρόμβης καυλὸν ἁπαλὸν, τὸ ἄκρον χρίσας τετώπῳ τρῖψαι. ἢν τὰ ἐπιμήνια μὴ γίνηται. τερμίνθου καρπὸν τρίψας ἐν οἴνῳ καὶ ὕδατι διεὶς καὶ διηθήσας διδόναι νήστει πιεῖν, καὶ θερμῷ λουέσθω. ἐμμήνια κινεῖν. φοινικικοὺς κόκκους ἐν οἴνῳ νήστει διδόναι πίνειν. λοχεῖα καθαίρειν. μαράθρου καρπὸν καὶ κρηθμοῦ τὸν φλοιὸν καὶ λιβανωτὸν ἐν οἴνῳ διδόναι πίνειν. δαῖδα ὡς πιοτάτην ἐν οἴνῳ ἑψήσας καὶ γλυκυσίδης κόκκους πέντε τρίψας ἐν οἴνῳ, ὅσον τεταρτημόριον κοτύλης δοῦναι πιεῖν. [695] λινοζώστιος τὸν καρπὸν καὶ τὰ φύλλα ἐν οἴνῳ δοῦναι πιεῖν. γλυκυσίδης τοὺς μέλανας κόκκους ὅσον πέντε καὶ ὠὰ σηπίων δοῦναι πίνειν ἐν οἴνῳ. λεχοῖ πάσῃ. εἰς ἐρύσιμον καὶ ἄλφιτον ἔλαιον παραχέας ἢ ἑφθὸν ῥοφείτω, καὶ σιτίοισιν ὡς μαλα-

valet ad omnem uterorum dolorem, et valde urinam movet. Laſeris ſuccum orobi quantitate, et naſturtii ſemen tenuiter trita et permixta ex vino aut lacte canino potui exhibeto. Hoc etiam foetum ejicit. Medicamentum foetum ejiciens. Ranunculum et elaterii parum aceto mixtum et bene temperatum propinato. Ad idem. Braſſicae caulem tenerum in extremitate netopo illitum affricato. Si menſes non eant. Terebinthi fructum tritum, vino et aqua maceratum et percolatum jejunae bibendum dato, et calida lavet. Ad menſes movendos. Purpurea grana jejunae ex vino potui exhibeto. Ad puerperii purgamenta. Foeniculi ſemen et crethmi corticem et thus ex vino bibenda dato. Taedam quam pinguiſſimam in vino coctam, et paeoniae grana quinque ex vino trita, in heminae quadrante potui dato. Mercurialis ſemen et folia ex vino potui exhibeto. Paeoniae grana nigra quinque, et ſaepiae ova ex vino propinato. Ad omnem puerperam. Oleo ad irionem et polentam affuſo aut cocto pro ſorbitione utatur, et ci-

Ed. Chart. VII. [695. 696.] Foës. I. 571. 572. Ed. Lind. II. (377. 378.)

κωτάτοισι χρήσθω. σκαμμωνίην τρίψας ἐν γάλακτι γυναι-(378)κείω ἐν εἰρίῳ ἀνασπογγίσας προσθεῖναι. λινοζώστιος φύλλα τρίψας, ἐν ῥάκει προσθεῖναι. τὴν ποίην τὴν ἀρτεμισίην τρίψας καὶ μύρῳ ῥοδίνῳ δεύσας προσθεῖναι. τὴν λευκὴν ῥίζαν λείην κόψας ῥοδίνῳ μύρῳ δεύσας προσθεῖναι. τῆς γλυκυσίδης μέλιτι δεύσας καὶ μύρῳ ῥοδίνῳ καὶ Αἰγυπτίῳ ἐν ἐρίῳ προσθεῖναι. ἄλητον ἄπλυτον τὸν αὐτὸν τρόπον προστιθέναι. αἴρων ἄλευρον καὶ πύρινα ἅμα μέλιτι φυρήσας ἐν εἰρίῳ προστιθέναι. καθαρτήριον ἐπιμηνίων καὶ λοχείων καὶ ὕδωρ ἄγει. στρουθίου ῥίζης λείου κεκομμένου οἷον τοῖσι τρισὶ δακτύλοισι μέλιτι δεύσας προσθεῖναι. φύεται δὲ ἐν Ἄνδρῳ ἐν τοῖς αἰγιαλοῖς. || ὑστέρας ἀποκαθῆραι. λινοζώστιος κεκομμένης καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ καὶ μέλιτι δεύσας προστιθέναι. λαγωοῦ τρίχας κατακαύσας καὶ τρίψας ἐν οἴνῳ καὶ μέλιτι δεύσας ἑφθῷ καὶ ὕδατι δοῦναι πιεῖν, καὶ ἐν ὕδατι θερμῷ λουέσθω. τόκου καθαρτήριον. κρίμνην ἐξερίσας, ὅσον ἥμισυ ἡμιχοινικίου ἕψειν ἐν ὕδατος κοτύλαις τέσ-[696]

bis quam molliſſimis. Scammonium ex lacte muliebri tritum, lana exceptum, in ſubdititio apponito. Mercurialis folia trita in linteo ſubter apponito. Artemiſiam herbam tritam et roſaceo unguento imbutam ſubdito. Albam radicem tenuiter tuſam, unguento roſaceo ſubactam, ſubter apponito. Paeoniae radicem melle, unguento roſaceo et Aegyptio ſubactam ex lana ſubter apponito. Farinam non lotam ad eundem modum apponito. Lolii et tritici farinam una melle ſubactam ex lana ſubter apponito. Menſes et puerperia purgans, quod etiam aquas educit. Radicem ſtruthii laeviter tritam quantum tribus digitis capitur, melle ſubactam, in ſubdititio apponito. Naſcitur autem in Andri littoribus. Uteros repurgant. Mercurialis contuſae et cucumeris agreſtis modicum, ex vino tritum, ea melle ſubacta ſubter apponito. Leporis pilos uſtos, ex vino tritos melle cocto et aquae ſubactos potui exhibeto, et calida lavet. Quod partum purgat. Hordeum decorticatum ad dimidii hemichoenicis menſuram in aqua qua-

Ed. Chart. VII. [696.] Foës. I. 572. Ed. Lind. II. (378. 379.)

σαρσιν. ὁκόταν δὲ ζέσῃ, δοῦναι δὶς ἢ τρὶς ῥοφῆσαι. λοχεῖα καθῆραι. τῆς ἀκτῆς τὰ φύλλα ἑψήσας, ἐπιχέας ἔλαιον δοῦναι πιεῖν. ἐσθιέτω δὲ καὶ κράμβας ἑφθὰς καὶ πράσα. καθαρτήριον ὑστερέων. τοῦ ῥοῦ τὰ φύλλα καὶ τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι, καὶ ἐρύσιμον λεῖον ποιήσας ἐν οἴνῳ καὶ ἄλφιτα ἐπιβαλὼν δοῦναι πιεῖν. μίσυος ὅσον δύο ὀβολοὺς τρίψας ἐν οἴνῳ καὶ φυρήσας προσθεῖναι. λίνου καρπὸν τρίψας ἐν οἴνῳ φυρήσας προσθεῖναι. τρι(379)φύλλου τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι. ἐὰν δὲ ἐς τὴν ὀσφῦν ὑστέραι στηρίξουσιν, ἐσθιέτω πουλύποδας ἑφθοὺς καὶ ὀπτούς, καὶ οἶνον πινέτω μέλανα εὐώδεα ἄκρητον ὡς πλεῖστον. ἕτερα ποτά, προσθετὰ καὶ καθαρτήρια. ῥοῦν τὴν ἐρυθρὴν καὶ γίγαρτα ἑψήσας ἐν ὕδατι, τοῦ σιτανίου ἐμβάλων ἐπὶ τὸ ὕδωρ δίδου πίνειν. ἄλητον ἐφ' ὕδωρ ἐμβαλὼν, δίδου πιεῖν. μῶρα τὰ ἀπὸ τοῦ βάτου ξηρήνας καὶ τρίψας λεῖα καὶ ἄλφιτα ποταίνια ἀναμίξας ὅσον ὀξύβαφον ἀμφοτέρων ἐν οἴνῳ εὐώδει καὶ ὑδαρεῖ πινέτω. τὴν γῆν τὴν μέλαιναν τὴν Σαμίην ἐν ὕδατι τρίψας ὅσον ἀστράγαλον δίδου πιεῖν. ὑποκυστίδος ἐν

tuor heminis coquito, ubi ferbuerit, bis aut ter ſorbendum dato. Puerperii reliquias purgato. Sambuci folia affuſo oleo cocta bibenda exhibeto, braſſicas etiam coctas et porra edat. Uteros purgans. Rhois folia et fructum ex vino bibendum dato et irionem ex vino tritum polenta injecta propinato. Miſy obolos duos ex vino tritos et ſubactos in ſubdititio apponito. Lini ſemen tritum ex vino ſubactum ſubdito. Triſolii ſemen ex vino propinato. Ubi vero uteri ad lumbos incubuerint, polypos coctos et aſſos edat et vinum nigrum odoratum, merum quam plurimum bibat. Aliae potiones, medicamenta ſubdititia et purgantia. Rhoem rubrum et vinacea ex aqua coquito, ſitanea farina in aquam injecta, bibendam dato. Farinam in aquam immiſſam bibendam exhibeto. Mora rubi ſicca, laeviter trita, recenti polenta admixta, quantum amborum acetabulum, ex vino odorato aquoſo bibat. Terram nigram Samiam ex aqua tritam aſtragali quantitate bibendam porrigito. Hypocyſtidem ex vino praebeto. Ex malis

Ed. Chart. VII. [696. 697.] Foës. I. 572. Ed. Lind. II. (379. 386.) οἴνῳ διδόναι πιεῖν. σίδας οἰνώδεας ἐκχυλώσας, ἄλφιτα φυρήσας τῷ χυλῷ ξήρανον. ἔπειτα τρίψας ἐν οἴνῳ λεῖον δίδου πιεῖν. [697] μύρτων μελάνων τὸν καρπὸν τρίψας διεὶς ἐν ὕδατι ἄλφιτα ἐπιβαλὼν δίδου πίνειν. ῥοιὴν γλυκείην ὀπτήσας ὁλκὴν τρίψας ἐν οἴνῳ δίδου πίνειν. πυροὺς καὶ κάχρυας τρίψας, φρύξας τε καὶ ἄλητα ποιήσας ἐν οἴνῳ μέλανι δίδου πιεῖν. ῥοιῆς γλυκείης τὰ εἴσω ξυμμίξας, ἴσῳ ὕδατι δίδου πίνειν. κώνειον ὅσον τρισὶ δακτύλοισιν ἐν ὕδατι δίδου πίνειν. ἀλήτου σιτανίου καὶ γίψου τὸ ἶσον μίξας ἐν ὕδατι δίδου πίνειν. ῥοιῆς γλυκείης τὸν φλοιὸν καὶ σιδία, ἐν οἴνῳ δίδου πίνειν. ἢν αἷμα ἐξ ὑστερέων ῥέῃ, ἄγνου φύλλα ἐν οἴνῳ δίδου πιεῖν μέλανι. ῥόου καὶ ὀδύνης. κάχρυος ῥίζην ἐν οἴνῳ διδόναι πίνειν. ἕτερα ποτὰ ὑστερέων. κε(380)δρίδας., σέσελι, κύμινον Αἰθιοπικόν, κασίης καρπόν, ἀρκευθίδας, κεγχρίδας, ἐχινίδας, μελάνθιον, δαύκου ῥίζην καὶ τὸν καρπόν. ὀρώματα δὲ θύμον, θυμβρίην, ἐρίκην, ὑπερικόν, μήκωνα, λευκὴν, κρηθμοῦ ῥίζας καὶ τὸν καρπόν, μαλάχης ῥίζας. λινοζώστιος καρ-

punicis vinoſis ſucco detracto, eo polentam ſubactam ſiccato, deinde tenuiter tritam ex vino bibendam dato. Myrti nigrae fructum tritum aqua maceratum, polenta immiſſa bibendum exhibeto. Mali punici dulcis aſſati drachmam tritam ex vino propinato. Triticum et hordea trita et torrefacta, ac in farinam redacta, ex vino nigro bibenda dato. Mali punici dulcis interiorem partem, pari aquae portione admixta, potui exhibeto. Cicutae quantum tribus digitis capitur ex aqua bibendum dato. Farinae ſitaniae et gipſi pares portiones ex aqua mixtas bibendas dato. Mali punici dulcis corticem et malicoria ex vino propinato. Si ſanguis ex uteris effluat, viticis folia ex vino nigro potui dato. Ad fluorem et dolorem. Roris marini radicem ex vino propinato. Uterorum aliae potiones. Cedri baccas, ſeſeli, cuminum Aethiopicum, caſiae fructum, juniperi baccas, milium, echinos parvos, melanthium, dauci radicem et ſemen. Ex aromatis vero thymum, thymbram, ericen, hypericum, papaver album, crethmi radices et ſemen, malvae

Ed. Chart. VII. [697. 698.] Foeſ. I. 572. 573. Ed. Lind. II. (380.)
πὸν καὶ τὰ φύλλα, κνίδης καρπὸν, ἐλελίσφακον, αἴγειρον, δίκταμνον, ψευδοδίκταμνον, ἄμωμον, καρδάμωμον, ἑλένιον, ἀριστολόχιον, καστόριον, ἀδίαντον, δρακόντιον, πευκέδανον, πηγάνου φύλλα καὶ τὸν καρπὸν, σελίνου καρπὸν, μαράθρου καρπὸν, ἱπποσελίνου καὶ τὸν καρπὸν καὶ τὰς ῥίζας, ἱππομαράθρου καρπὸν καὶ τὰς ῥίζας, στρουθίου τὸν καρπὸν καὶ τὰς ῥίζας, ὕσσωπον Κιλίκιον, ἐρύσιμον, γλυκυσίδην, πάνακες. ὅ τι ἂν τούτων βούλῃ καὶ ξυμμίσγων καὶ αὐτὸ καθ' ἑαυτὸ ἀφεψῶν ἐν ὕδατι ἢ ἐν οἴνῳ ὡς ἂν βούλῃ, δίδου πίνειν. [598] ἀγαθὰ καὶ καθαρτικὰ καὶ τὰς ὀδύνας παύοντα. τῆς μαλάχης δίδου ἐν ὕδατι τὴν ῥίζην. γλυκυσίδης καρπὸν, καὶ κέδριον ὀλίγον ξυμμίσγων, ἐν οἴνῳ δίδου πίνειν, καὶ παύσεις ὑστέρων ὀδύνας. ὅταν αἱ ὑστέραι πνίγωσιν. καστόριον καὶ κόνυζαν ἐν οἴνῳ λευκῷ δίδου πίνειν. ἢν δὲ προσεστήκῃ πρὸς τῇ ῥινὶ, κόκκου τὸ εἴσω τὸ λευκὸν μέλιτι μίξας ἀλείφειν τὴν ῥῖνα. || ἕτερον παῦον ὀδύνας. μαλάχης τὴν ῥίζαν καὶ μαράθρου φλοιὸν καὶ κρηθμοῦ ἐν ὕδατι δοῦναι πιεῖν. ἀστέρας θαλασσίους τοὺς μέλανας καὶ κράμβην, μίξας ἐν οἴνῳ

radices, mercurialis ſemen et ſolia, urticae ſemen, ſalviam, populum nigram, dictamnum, pſeudodictamnum, amomum, cardamomum, helenium, ariſtolochiam, caſtoreum, adiantum, dracontium, peucedanum, rutae ſolia et ſemen, apii ſemen, ſoeniculi ſemen, hippoſelini et ſemen et radices, hippomarathri ſemen et radices, ſtruthii ſemen et radices, hyſſopum Cilicium, eryſimum, poeoniam, panacem. Horum quodcunque voles aut cum caeteris mixtum aut per ſe ex aqua et vino decoctum ut voles propinato. Optime purgant et dolores ſedant. Malvae radicem ex aqua dato. Poeoniae ſemen et parum cedrini olei admixtum ex vino propinato, et uterorum dolores ſedabit. Ad uteri ſtrangulatum. Caſtorium et conyzam ex vino albo propinato. Quod ſi ad nares prorumpat, grani Cnidii interiorem partem albam ammixto melle ad nares alline. Aliud dolores ſedans. Malvae radicem et ſoeniculi et crethmi corticem ex aqua propinato. Stellas marinas nigras et braſſicam mixtas ex

Ed. Chart. VII. [698.] Foël. I. 573. Ed. Lind. II. (380. 381.) εὐώδει δοῦναι πιεῖν. σμύρναν ὅσον τριώβολον, κύριον ὀλίγον, ῥητίνην, γλυκυσίδης ῥίζαν, κύμινον Αἰθιοπικόν· (381) ταῦτα τρίψας λεῖα ἐν οἴνῳ λευκῷ διέντα, δίδου πίνειν ἀκροχλιηρὸν ποιήσας. ὑστέρας ἐλαύνει. τοῦ κροτονοειδέος τὴν ῥίζαν, δίδου πίνειν. ἢν πρὸς τὴν καρδίην προσπεσοῦσαι αἱ ὑστέραι πνίγωσιν, ἄγνου τὸν καρπὸν καὶ γλυκυσίδης δίδου ἐν οἴνῳ πίνειν. προσθετὰ δριμέα αἷμα ἄγοντα. κανθαρίδας πέντε ξυμμίξας τῷ λιβανωτῷ καὶ τῇ σμύρνῃ, τὸ μέγεθος ποιέει ὅσον κηκίδα μακρὸν ποιήσας, καὶ περιθεὶς εἰρίῳ περιελίξας τε ὀθονίῳ λευκῷ, βρέξας μύρῳ Αἰγυπτίῳ λευκῷ ἢ ῥοδίνῳ, πρόσθες. βούπρηστιν, ἢν μὲν μικρὴ ᾖ, ὅλην, ἢν δὲ μεγάλη, τὸ ἥμισυ ξύμμισγε πρὸς τοῖς ῥηθεῖσι καὶ τὸν αὐτὸν τρόπον προστίθει. ἢν δὲ μαλακωτέροισιν ἐθέλωσι χρῆσθαι, τὰς βουπρήστιδας ἔμβαλλε ἐς οἶνον, κύμινον Αἰθιοπικὸν παρεμβαλὼν, καὶ σέσελι, καὶ ἄννησον ἀναζέσαι. ἔσται δὲ καὶ βουπρήστιας ξυμμίξας ὀξίβαφον ἐλαιηρὸν τῶν ἄλλων ἁπάντων ὅσον ἑκάστου. μῖξαι δὲ σμύρναν, λιβανωτὸν ὀλίγον. τούτου λαβὼν ὅσον δραχμίδα προσθεῖναι, ὥσπερ ἐν τῷ πρόσθεν

vino odorato propinato. Myrrhae obolos tres, coriandri parum, reſinam, paeoniae radicem, cuminum Aethiopicum. Haec leviter trita, vino albo macerata, ſumme tepida propinato. Quod uteros propellit. Ricini radicem potui exhibeto. Si uteri ad cor irruentes ſtrangularint. Viticis et paeoniae ſemen ex vino bibendum dato. Haec ſubdita acria ſanguinem cient. Cantharidas quinque thure et myrrha ammixta ad gallae quantitatem, in longitudinem efformato et lana circumductam, alboque linteo convolutam, unguentoque Aegyptio albo aut roſaceo imbutam, ſubdito. Bupreſtin integram, ſi parva fuerit, ſi magna, dimidiam ad praedicta admiſceto et ad eundem modum ſubdito. Quod ſi mollioribus uti velint, bupreſtidibus in vinum injectis cuminum Aethiopicum, ſeſeli et anniſum addito et ferveſacito. Ad decem autem bupreſtes olei acetabulum admiſceto, reliquorum omnium ſingulorum par ſit modus. Myrrham autem admiſceto et thuris parum. Ex eo pugillo accepto,

Ed. Chart. VII. [699.] Foës. I. 573. Ed. Lind. II. (381. 382.)
προσθήματι. [699] τοῦ μελανθίου τρίψας μέλιτι, δεύσας τε ἐν οἴνῳ βάλανον ποιήσας πρὸς τῷ προτέρῳ προσθέτῳ. φιλίστιον τὸν αὐτὸν τρόπον ποιέων προστίθει. τηλεφίου καρπὸν τὸν ἴσον τρόπον ποιέων προστίθει. ἀνεμώνης φύλλα τρίψας ἐνθείς τε εἰς ῥάκος καὶ σμύρνης μικρὸν ξυμμίσγειν καὶ τὸν αὐτὸν τρόπον χρῆσθαι· ἄγει αἷμα. βάλανον Αἰγυπτίην τρίψας, καὶ Σούσινον, ὅ ἐστι γῆ Αἰγυπτίη, ὕδατι διείς, εἰρίῳ ἐλίξας προστίθει. ἕτερον χολὴν καθαῖρον. σικύης ἐντεριώτην λείην τρί(382)ψας, μέλιτι φυρήσας, βάλανον ποιέων προστίθει. κολοκυντίδος ἀγρίης τὸ εἴσω λεῖον ποιήσας, μέλιτι φυρήσας τὸν αὐτὸν τρόπον προστίθει. ἐλατηρίου πόσιας τέσσαρας, ξυμμίσγων στέαρ χηνειον καὶ αἴγειον καὶ ἡμισυβάλανον ποιέον, προστίθει ἐν τῷ ῥάκει. θαλπίην ποιέων, μέλιτι φυρέων προστίθει. συκοφυλλίου τὸ πῖον ξύσας καὶ ξυμμίξας πόσιας ἐλατηρίου δύο καὶ νίτρου ὅσον τὸ ἐλατήριον μέλιτι δεύσας, προστίθει. ἢν φλεγμήνῃ. νίτρον ἐρυ-

velut prius ſubditium ſupponito. Melanthium cum melle tritum et ex vino ſubactum in glandulam efformato, velut in priore ſubdititio. Aparinem, philiſtium dictam, ad eundem modum apparatam ſubter apponito. Telephii ſemen eodem modo apparatum ſubdito. Anemones foliis tritis et linteo exceptis, pauca myrrha admixta, ad eundem modum utitor. Quod ſanguinem ducit. Glandem Aegyptiam tritam et ex liliis confectum quod Suſinum dicitur, ex terra Aegyptia, aqua diſſolutum et lana convolutum ſubter apponito. Aliud bilem purgans. Cucumeris agreſtis medullam laeviter tritam, melle ſubactam, in glandem efformatam, in ſubditicio apponito. Colocynthidis ſylveſtris interiorem partem laevigatam, melle ſubactam, ad eundem modum ſubter apponito. Elaterii potiones quatuor, adipe anſerino et caprillo admixto, dimidiam glandulam formato, et ex linteo in ſubditicio apponito. Thlaſpi laevigatum, melle ſubactum, ſubter apponito. Fici folia pinguiora deraſa, admixtis duabus elaterii potionibus et nitri quantum elaterii, melle ſubactum ſubdito. Si uteros pituita laboret. Nitrum rubrum, fici in-

Ed. Chart. VII. [699. 700.] Foës. I. 573. 574. Ed. Lind. II. (382. 383.) θρὺν σύκου τὸ εἴσω τὸ πῖον, ἴσον ἑκάστου τρίψας λεῖα, ὅσον κικίδα ποιήσας προστίθει. κυμίνου φύλλα ἐν οἴνῳ τρίψας, ἐν ῥάκει προστίθει. τὴν λευκὴν ῥίζαν τρίψας λείην, μέλι ἐπιχέας καὶ ἀναζέσας, βάλανον ποιήσας προστίθει. ὀπὸν σιλφίου καὶ σῦκον μίξας, βάλανον ποιέων προστίθει. [700] συκῆς σπέρμα τρίψας τὸν αὐτὸν τρόπον. χολὴν ταύρου, καὶ νίτρον ἐρυθρὸν νέτωπον, κυκλάμινον, τρίψας τουτέων ὅσον κηκίδα. τοῦ κυκλαμίνου δὲ πλεῖστον, μέλιτι ξυμμίξας προστίθει. τοῦ κρομμύου τὴν κεφαλὴν καθαίρειν ἐν ὕδατι τρίψας ἐς ῥάκος ἀποδήσας προσθεῖναι. σμύρναν, ἄλες, κύμινον, χολὴν ταύρου μέλιτι ταῦτα φυρήσας, ἐνθέντα πρὸς ῥάκος προσθεῖναι. κόκκους ἐκλέξας οἷον τριάκοντα καὶ τρίμματα μηδικοῦ φαρμάκου τὸ τῶν ὀφθαλμῶν ὃ καλεῖται πέπερι, καὶ τῶν στρογγύλων ἕτερα. ταῦτα τὰ τρία τρίβων ἐν οἴνῳ παλαιῷ, λεῖα διείς, γλυκεῖ ἐλαίῳ ἀναφυρέων περὶ τὸ εἰρίον περιθείς, προσθέσθω καὶ διανιζέσθω οὔρῳ. τι-(383) θυμάλου ὀπὸν μέλιτι φυρήσας, ἐς ῥάκος ἐνθεὶς προστιθέναι. ‖ σκίλλης ῥίζαν ὅσον ἑξαδάκτυλον κατελίξας τοὺς δύο

teriorem pinguedinem, ſingulorum aequalem portionem laevigatam, ad gallae magnitudinem efformatam ſubter apponito. Cumini folia ex vino trita in linteo ſubdito. Radicem albam tenuiter tritam, melle affuſo ferveſactam, in glandis formam ſubter apponito. Laſeris ſuccum et ficum ſimul mixta in glandis formam ſubdito. Cucumeris agreſtis ſemen tritum ad eundem modum, fel tauri, nitrum rubrum, netopum, cyclaminum, horum tritorum quantum gallae magnitudinem, cyclamini vero maximam portionem, melle admixto in ſubdititio apponito. Caepae caput purgatum, ex aqua tritum, in linteo ligatum ſubdito. Myrrham, ſalem, cuminum, fel tauri, haec melle ſubacta, linteo impoſita ſupponito. Grana decorticata fere triginta et tria. Indici medicamenti oculorum, quod piper vocatur, et de rotundis altera tria, haec tria tenuiter trita ex vino veteri macerata, oleo dulci ſubacta, lana excepta ſubdat et lotio abluatur. Tithymali ſuccum melle ſubactum, linteo exceptum, in ſubdititio apponito. Scillae radicem longitudinis

Ed. Chart. VII. [700. 701.] Foeſ. I. 574. Ed. Lind. II. (383.)
δακτύλους ἐρίῳ πρόσθες. ἕτερα μαλθακτικὰ, ὑφ' ὧν καθαίρεται ὕδωρ καὶ αἷμα. ἐπιμήνιά τε ἄγονται, ἢν μὴ πολύχρονα ᾖ καὶ τὸ στόμα μαλθάσσεται. ναρκίσσινον, κύμινον Αἰθιοπικὸν, λιβανωτὸν, ἀψίνθιον, κύπειρον, τῶν μὲν ἄλλων ἴσον ἑκάστου, τοῦ δὲ ναρκισσίνου μοίρας τέσσαρας, ἐπ' ὀθόνιον ὠμόλινον ξυμμίξας, ταῦτα τρίψας καὶ ποιήσας βάλανον προστίθει. κυκλαμίνου μέγεθος ὅσον ἀστραγάλου, καὶ ἄνθος χαλκοῦ, ὅσον κύαμον τρίψας καὶ μέλιτι δεύσας, καλῶς ποιήσας βάλανον προστιθέναι. γλήχωνα, σμύρναν, λιβανωτὸν, ὑὸς χολὴν μέλιτι φυρήσας καὶ ποιήσας βάλανον προστιθέναι. ἕτερα στρυφνά. ῥοῦν οἴνῳ μέλανι φυρήσας προσθεῖναι. [701] κνίκον τὸν αὐτὸν τρόπον ποιήσας προστίθει. λωτοῦ πρίσματα τὸν αὐτὸν τρόπον ποιέειν. ῥοῦν μέλιτι μίξας, προσθεῖναι. ἕτερα μαλθακτήρια. θεῖον, στέαρ, ᾠοῦ λέκιθον, ἄλητον, μέλιτι φυρήσας. ταῦτα παραχλιαίνων, τὸ ἀποστάζον εἰρίῳ πρόσθες. χηνὸς ἔλαιον καὶ στέαρ μήλειον, κηρὸν λευκὸν, ῥητίνην, μύρον ῥόδινον, ῥάκος κατατείλας λεπτὸν προσ-

ſex digitorum ad duos digitos lana convolutam ſubdito. Emollientia alia aquas purgantia, ſanguinem menſesque niſi diuturni fuerint ducentia et os emollientia. Narciſſinum, cuminum Aethiopicum, thus, abſinthium, cyperum, aliorum quidem ſingulorum pares portiones, narciſſini autem partes quatuor ex linteo tenui mixtas et tritas, in glandulam efformatas ſubter apponito. Cyclaminum tali magnitudine et aeris florem ſabae quantitate, trita, melle ſubacta in glandem probe efformata ſubter apponito. Pulegium, myrrham, thus, fel ſuis melle ſubacta et in glandis formam redacta ſubdito. Alia acerba. Rhoem vino nigro ſubactum in ſubdititio apponito. Cnicum ad eundem modum apparatum ſubdito. Loti ramenta eodem modo apparato. Rhoem melle ammixto ſubdito. Alia emollientia. Sulphur, adipem, ovi vitellum, farinam, melle ſubacta et leviter caleſacta, quod lana exceperis ſubdito. Anſerinam pinguedinem et adipem ovillum, ceram, albam, reſinam, unguentum roſaceum tenui concerpto linteo excepta ſubter apponito. Cervi me-

Ed. Chart. VII. [701. 702.] Foeſ. I. 574. Ed. Lind. II. (383. 384.)
τίθει. ἐλάφου μυελὸν καὶ στέαρ τήξας ἐν εἰρίῳ πρόσθες. στέαρ ὄϊος ἢ αἰγὸς καὶ ὠοῦ τὸ λευκὸν ῥοδίνῳ μύρῳ ἀναφυρήσας εἰρίῳ ἀνασπογγίσας πρόσθες. κλυσμοί. ὀλύνθους τοὺς χειμερινοὺς ἐμβαλὼν ἕψειν ἐν ὕδατι ὑποκαίων ἡσυχῇ, ἔπειτα ἀποχέας ἔλαιόν τε ἐπιχέων κλύζειν. (384) μετακλύζειν δὲ σιδίοισι καὶ κυκίδι καὶ λωτοῦ πρίσμασιν ἐν οἴνῳ ἑψῶν στρυφνῷ. ἀποχέων δὲ κλύζειν. τρύγα κατακαίων ἐς ὕδωρ βάλλε. ἔπειτα τῷ ὕδατι κλύζειν. μετακλύζειν δὲ σιτίοις, μύρτοις, ῥοῦ φύλλοις, ἀφεψῶν ἐν οἴνῳ. σκίλλου φύλλα, ἐλελισφάκου, ὑπερικοῦ ἑψήσας ἐν οἴνῳ μέλανι. ἢν ἕλκωθῇ δέ τι τῶν μητρέων. βούτυρον, λιβανωτὸν, σμύρναν, ῥητίνην ὀλίγην, τουτέοισι χρὴ κλύζειν. πράσα ἑψήσας ἐν ὕδατι, ἀποχέων δὲ ὕδωρ, οἴνῳ μίξας κλύζε. ἀκτῆς καρπὸν, ἄνησον, λιβανωτὸν, σμύρναν, οἶνον. τῷ χυμῷ τούτων κλύζειν. κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυμῷ τῆς [702] κράμβης ἕψε τὴν λινοζῶστιν. παρεμβάλλων λίνου σπέρμα μικρόν. ἔπειτα ἀποχέας κλύζε. σμύρνης ὅσον ὀξύβαφον, λιβανωτὸν, σέσελι, ἄννησον, λίνου σπέρμα, νέτωπον, ῥητίνην, μέλι, χηνὸς ἔλαιον,

dullam et adipem liquefacta in vellere ſubdito. Adipem ovillum aut caprinum et ovi candidum unguento roſaceo ſubactum, vellere exceptum, ſubter apponito. Ad colluendos uteros. Groſſos hibernas in aquam injectas lento igne coquito, deinde percolato et affuſo oleo colluito. Poſtea malicorio, galla et loti ramentis in vino acerbo coctis colluito, percolatum infundito. Faecem vini uſtam in aquam injicito, deinde aqua colluito, poſtea vero malicorio, myrti baccis, rhois foliis ex vino decoctis perluito. Lentiſci, ſalviae, hyperici foliis in vino nigro decoctis utitor. Si quid in uteris exulceratum fuerit. Butyrum, thus, myrrham, reſinam paucam, ex his colluere oportet. Porra in aqua ubi decoxeris, aqua percolata vino ammixto colluito. Sambuci fructum, aniſum, thus, myrrham, vinum, horum ſucco colluito. Braſſica in aqua cocta, in ejus cremore mercurialem coquito, pauco lini ſemine injecto, poſtea percolato colluito. Myrrhae acetabuli quantitatem, thus ſeſeli, aniſum, lini ſemen, netopum, reſinam, mel, anſeris pingue,

Ed. Chart. VII. [702.] Foëſ. I. 574. Ed. Lind. II. (384. 385.) ὄξος λευκὸν τὸ Αἰγύπτιον, τουτέων ἑκάστου τὸ ἴσον τρίψας, διεῖναι οἴνου λευκοῦ κοτύλαις δυσί. ἔπειτα χλιαρῶς κλύζειν. λιποζῶστιν ἐν ὕδατι ἑψήσας, ἀπηθήσας. σμύρνης ὀξύβαφον, λιβανωτοῦ, νετώπου, ἴσον ἑκάστου μίξας, χλιαρῶς κλύζειν. ἐλελίσφακον καὶ ὑπερικὸν ἐν ὕδατι κλύζε. ἀκτῆς καρπὸν, δαφνίδας, ἑκατέρου τὸ ἴσον ἐν οἴνῳ ἕψε, ἔπειτα τῷ οἴνῳ κλύζε. γλήχωνα ἐν ὕδατι ἑψήσας, ἔλαιον περιχέας μεθ' ὕδατος κλύσον. χηνὸς ἔλαιον ῥητίνην ξυντήξας, κλύσον. βούτυρον, κέδρινον ἔλαιον, (385) παραμίξας ὀλίγον, μέλιτι διατήξας κλύσαι τούτοις χλιαρῶς. κύπειρον, σχοῖνον, κάλαμον. ταῦτα ἴσα τῇ σμύρνῃ μίγνυται, σισύμβριον οἴνῳ ἑψῶν κλύζειν. σελίνου καρπὸν, ἀννήσου, σεσέλιος σπέρμα. μελάνθιον οἴνῳ ἑψήσας, κλύζειν. κέδρον κρητικὴν ἐν οἴνῳ ἑψήσας κλύζε. ἐχέτρωσιν καὶ σμύρναν διεὶς ἐν ὕδατι κλύζε. ἀργυρίου ἄνθος ἐν οἴνῳ καὶ ὕδατι κλύσαι. ἑλατήριον ὅσον δύο πόσιας ὕδατι διεὶς, κλύσαι. κολοκυντίδας ἀγρίας δύο ἐν οἴνῳ ἢ

acetum album, unguentum Aegyptium, horum ſingulorum parem portionem, vini albi heminis duabus macerato, deinde tepido colluito. Mercurialem ubi in aqua decoxeris, percolaris, myrrhae acetabulum, thuris, netopi, ſingulorum aequalem portionem admiſceto, tepido colluito. Salviam et hypericum ex aqua decoquito et colluito. Sambuci fructum, lauri baccas, utriusque parem portionem in vino coquito, deinde vino ad collutionem utitor. Pulegium in aqua cum decoxeris, oleo ad aquam affuſo colluito. Anſeris pingui et reſina liquefactis colluito. Butyrum pauco cedrino oleo ammixto cum melle liquefeceris, his tepidis colluito. Cyperum, juncum odoratum, calamum aromaticum, haec pari portione myrrhae miſcentur. Siſymbrio in vino cocto colluito. Apii ſemen, aniſi, ſeſelios ſemen, melanthium vino coquito colluito. Cedrum Creticam ubi vino decoxeris, colluito. Bryoniam albam et myrrham aqua macerato, colluito. Argenti flore vino et aquae diluto, colluito. Elaterii potiones duas aqua macerato, colluito. Cucurbitas agreſtes duas vino aut lacte cocto mace-

Ed. Chart. VII. [702. 703.] Foës. I. 574. 575. Ed. Lind. II. (385. 386.) γάλακτι ἐφθῷ ἀποβρέξας, ὅσον τέσσαρας κοτύλας ἀπηθήσας κλύζε. [703] || σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κοτύλαις τέσσαρσι, μέλι καὶ ἔλαιον ἐπιχέας κλύσαι. τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας καὶ μέλι καὶ ἔλαιον διεὶς, ὕδατος κοτύλῃσι δυσὶ κλύσαι. ἐλλεβόρου ὅσον δύο κοτύλας κλύσαι χλιαρῶς. θλάσπιον ὅσον ὀξύβαφον μέλιτι παραμίξας, ὕδατος διεὶς ὅσον δύο κοτύλας, κλύσαι χλιαρῶς. σικύης ὅσον παλαιστὴ ἑψήσας ἐν ὕδατος κοτύλῃσι πέντε, ἔλαιον παραμίξας κλύσαι. κόκκους Κνιδίους ὅσον ἑξήκοντα, μέλι ἔλαιον ὑποδιεὶς κλύσαι. ἢν φύσει φλεγματώδης ᾖ. κνεώρου ποσὸν τρίψας διεῖναι μελικρήτου κοτύλῃ αἰγινῇ, τουτέῳ κλύσαι. ἢν δὲ χολώδης ᾖ, τῆς δάφνης ὅσον πόσιν τῆς ἐδώδεος, ὅσον δραχμήν. σκαμμωνίης ὅσον πόσιν, (386) τρίψας διεῖναι μελικρήτῳ ἢ ἀπὸ σταφίδος ὕδατι, ὅσον κοτύλη Ἀττική. δαφνοειδέος πόσιν κατὰ τὸν αὐτὸν λόγον. ἢν φύσει ᾖ χολώδης, τουτέῳ κλύσαι. ἢν δὲ φλεγματώδης, κόκκους ἐκλελεγμένους καὶ τοῦ τιθυμάλου ὀποῦ, ὅσον πό-

rato, ad quatuor heminas percolato, colluito. Cucumeris agreſtis medulla interiore ad palmi quantitatem in aquae heminis quatuor decocta, melle et oleo affuſo colluito. Radicis thapſiae potiones duas, mel et oleum aquae duabus heminis macerato et colluito. Veratri duas potiones ex duabus aquae heminis maceratas, tepidum infundito, Thlapſeos acetabulum melle admixto, duabus aquae heminis macerato, tepido colluito. Cucumeris agreſtis ad palmae quantitatem, in aquae heminis quinque decoctam, oleo admixto colluito. Grana Cnidia fere ſexaginta melle aut oleo macerata infundito. Si natura pituitoſa fuerit. Cneori potionem tritam in aquae mulſae heminae Aegineae menſura macerato, hoc colluito. Si vero bilioſa fuerit. Daphnes potionem, odoratae drachmae quantitatem, ſcammoniae potionem tritam aqua mulſa, aut aquae uvae paſſae hemina Attica macerato. Daphnoidis potionem ad eundem modum accommodato, et ſi bilioſa fuerit colluito. Si vero pituitoſa fuerit, grana ſelecta et ſucci tithymali

Ed. Chart. VII. [703. 704.] Foël. I. 575. Ed. Lind. II. (386.)
σιν κλύζειν. ὡσαύτως καὶ κτεωρίου καὶ μηκωνίου. ὡσαύτως ἑκατέρου τουτέων χρῆσθαι χρή. κλύζε δὲ ἢ κλυσμῷ πλέον ἢ δυσὶ κοτύλαις. ὑποθυμήσεις δέ ἐστι κεκομμένα ταῦτα. κικίδα θυμιῆν καὶ πρίσματα λωτοῦ. ἐλαίης φύλλοις ξηροῖς, κεκομμένοις. μίξας καὶ φυρήσας ἐλαίῳ ὑποθυμιᾶν. ἄνθρακας ὑποβαλὼν κριθῶν ἄχυρα νοτερὰ ὑποβάλλων ὑποθυμιᾶν. [704] ἀπ' ἀμφορέως ἐλαιηροῦ τὸ ἐπίθεμα τὴν στοιβὴν ὑποκαίων. πρίσματος κυπαρίσσου ὑποβάλλων θυμιᾶν. σκαμμωνίην, σμύρναν, λιβανωτὸν, μύρον περιχέας ὑποθυμιᾶν. ἄσφαλτον, κριθῶν ἄχυρα ξυμμίξας, ὑποθυμιᾶν. ἔλαιον φώκης ἀναδεύσας ὑποθυμιᾶν. μελίην κυπαρίσσου πρίσματα. κυπέρου ῥίζαν, μύρον ῥόδινον δεύσας θυμιᾶν. κάλαμον, κύπερον, βρυωνίην, βρύον, σελίνου σπέρμασι. ἄγρησα μίξας ὁμοῦ καὶ μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιᾶν. ῥητίνην αὖην ἐπὶ σποδὸν ἐπιβάλλων, ὑποθυμιᾶν. κινάμωμον, σμύρναν, κασίην, ἴσον ἑκάστου. κρύκον μίσγοντα σμύρναν, τὸ βρύον ἴσον

potionem ſumito, eoque colluito. Ad eundem modum etiam cneorum et peplum adhibeto, et utrisque ad eundem modum uti oportet. Collutionis autem copia amplior non ſit quam duarum heminarum. Suffitum autem haec contuſa faciunt. Gallam ſuffito et loti ramenta, oleae foliis ſiccis contuſis admixta et oleo ſubacta ad ſuffitum adhibeto. In prunas ſubſtratas immiſſis hordei paleis humidis ſuffitum parato. Super oleariae amphorae operculo ſtoeben ſuccendito, et immiſſis cupreſſi ramentis ſuffitum parato. Scammonium, myrrham, thus affuſo unguento ad ſuffitum adhibeto. Bitumen admixtis hordei paleis ad ſuffitum admoveto, aut vituli marini pingue admixtum ſuffito. Fraxinum, cupreſſi ramenta, cyperi radicem, unguento roſaceo aſperſa ad ſuffitum adhibeto. Calamum, cyperum, bryoniam, muſcum, admixto ſimul aniſo et apii ſemine, unguentoque roſaceo aſperſa, ad ſuffitum admoveto. Reſinam ſiccam in cinerem calidum injectam ſuffito. Cinnamomum, myrrham, caſiam, aequis ſingula portionibus admiſceto. Vel crocum admixta myrrha, et muſcum aequali

Ed. Chart. VII. [704. 705.] Foës. I. 575. Ed. Lind. II. (386. 387.) τῷ κρόκῳ. κάλαμον κνεώρου, κρόκου, ῥόδων φύλλα ἐρυθρὰ τὰ ἡδὺ ὄζοντα τρίψας καὶ ξηρήνας ξυμμίσγειν τῷ κρόκῳ, καὶ στύρακα ἥμισυ τοῦ κρόκου, ταῦτα λεῖα ξυμμίξας καὶ ξηρήνας, (387) μέλιτι ἐφθῷ δεύσας ὡς ἐλαχίστῳ, τουτέων δὲ πάντων ξυμμεμιγμένων ἔστω ἡ θυμίησις, ὀβολὸς Ἀττικὸς σταθμός. ταῦτα θυμιῆν ἐπὶ βολβίτου. τὸ δὲ βόλβιτον πλάσσειν, οἷον ὀξύβαφον ἐλαιηρόν· τὸν πυθμένα δὲ ἐχέτω λεπτόν. ἔστω δὲ ξηρόν. τὲ πῦρ δὲ ἔστω κληματίνον, ἐφ᾽ οὗ τὸ βόλβιτον κείσεται· ἐν τῷ ἐκείνῳ περιβάσα θυμιήσθω. χαλβάνην, ῥητίνην, μάννιαν, μύρῳ ῥοδίνῳ δεύσας ὑποθυμιῆν. πανάκεως καὶ κυπαρίσσου πρίσματα δεύσας μύρῳ Αἰγυπτίῳ λευκῷ θυμιῆν κινάμωμον καὶ νάρδον καὶ σμύρναν μύρῳ ῥοδίνῳ δεύσας ὑποθυμιῆν. [705] λευκοΐου τὸν καρπὸν, κέδρου πρίσματα, καὶ χαλβάνην μέλιτι ἀναφυρήσας, ὑποθυμιῆν. αἰγὸς σπυράθους καὶ λαγωοῦ τρίχας ἐλαίῳ φώκης δεύσας, ὑποθυμιῆν. φώκης τῆς πιτύης τὸ δέρμα κόψας λεῖον καὶ σπόγγον καὶ βρύα ὁμοῦ λεῖα μίξας τῷ ἐλαίῳ τῆς

croci portione. Calamum, cneorum, crocum, roſarum folia rubra ſuave olentia ſicca et trita croco admiſceto et ſtyracem dimidia croci portione. Haec levigata, mixta et ſicca melle quam pauciſſimo cocto ſubigenda. Ex his omnibus commixtis ſuffitus materiam oboli Attici pondere conficito. Hi ſuffitus in ſtercore bubulo parentur. Stercus autem bubulum in acetabuli olearii formam effingito, quod fundum tenue habeat ſiccumque ſit. Ignis in quo ſtercus ponitur ſit ex vitium ſarmentis, cui inſidens mulier ſuffitum accipiat. Galbanum, reſinam, mannam, unguento roſaceo aſperſa ſuffito. Panacis et cupreſſi ramenta, unguento Aegyptio albo madefacta ſuffito. Cinnamomum, nardum et myrrham unguento roſaceo irrigata ſuffito. Violae albae ſemen, cedri ſcobem et galbanum melle ſubacta ſuffito. Caprini ſtercoris globulos et leporis pilos, vituli marini pingui aſperſos, ad ſuffitum adhibeto. Coaguli vituli marini pelliculam tenuiter contuſam, ſpongiam, muſcum, ſimul tenuiter trita et mixta, vituli marini pin-

Ed. Chart. VII. [705.] Foës. I. 575. 576. Ed. Lind. II. (387. 388.)

φώκης περιποιήσας, ὑποθυμιᾶν. αἰγὸς σπυράθους καὶ φώκης τοῦ πνεύμονος καὶ κέδρου πρίσματα ὑποθυμιᾶν. βόλβιτον, κέδρου πρίσματα, καὶ ἄσφαλτον ὑποθυμιᾶν. ἀκάνθης Αἰγυπτίης καρπὸν καὶ κέδρου πρίσματα καὶ μυρσίνης φύλλα ξηρᾶς. ταῦτα ποιήσας λεῖα, μύρῳ τε ὀποβαλσάμῳ δεύσας ὑποθυμιᾶν. || ἀρώματα ἐς μύρον ἐμβαλλόμενα ὑποθυμιᾶν. γίγαρτα κόψας λεῖα, καὶ κεδρίδας, καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας γλυκεῖ ἐφθῷ δεύσας, ὑποθυμιᾶν. πυριήσιες, βόλβιτον κεκομμένον καὶ σεσημένον, ὄξους τὸ ἥμισυ. τοῦ ὀροβίου τὸ ἥμισυ ἐμβάλλων, πυριᾶν βληχρῶς. ἐπὴν δὲ πυριήσῃς, φάκιον πίνειν καὶ ῥοφεῖν καὶ ἀπεμεῖν, δοῦ(388)ναι ἄλητον, καὶ ἐπιπίνειν οἶνον. τῇ δ' ὑστεραίῃ κόκκον δοῦναι κατάποτον. τῇ δὲ ἑτέρῃ διουρητικόν. ἐρεβίνθους λευκοὺς δύο τρίψας. τῆς δὲ σταφίδος τρίτον, ἐπιχέας ἥμισυ ὕδατος ἑνεψεῖν. ἔπειτα ἀποχέας ἐς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ δοῦναι πίνειν καὶ τὸ λοιπὸν ἐλελίσφακον, καὶ τοῦ λίνου σπέρμα τουτέοις ἀμφοτέροις μίξας καὶ ἄλφιτον, διδόναι δὶς τῆς

gui excepta fuffito. Stercoris caprini globulos, vituli marini pulmonem et cedri ramenta fuffito. Stercus bubulum, cedri ramenta et bitumen fuffitui adhibeto. Spinae Aegyptiae fructum, cedri ramenta et myrti ſi·cae folia. Haec tenuiter trita et oleo balſamino ſubacta fuffito. Aromatibus in unguentum immiſſis fuffitum parato. Vinacea tenuiter contuſa, cedri baccas, reſinam pineam ſimul mixta et paſſo cocto ſubacta, fuffito. Fotus. Stercus bubulum contuſum et cribratum, aceti dimidiam portionem, immiſſa decocti ervi dimidia portione, leviter foveto. Poſt adhibitum fotum lenticulae decoctum bibendum dato, farinam ſorbendam ac removendam exhibeto, et vinum ſuperbibendum. Poſtero vero die granum Cnidium devorandum dato, ſequenti die quod urinam cieat. Ciceris albi partes duas tritas, uvae paſſae tertiam partem, aqua ad dimidias affuſa decoquito, deinde percolatum per noctem ſub dio reponito, poſtridie bibendum exhibeto. De caetero ſalviam, lini ſemen, polenta his ambobus admixta, bis die ex vini aqua tempe-

Ed. Chart. VII. [705. 706.] Foës. I. 576. Ed. Lind. II. (388. 389.)
ἡμέρης ἐν οἴνῳ κεκρημένῳ κοτύλησι τέσσαρσιν. ἐλαίου τρία ἡμικοτύλια. ἀκτῆς φύλλα ὅσον χεῖρα πλείην. ταῦτα ἕψειν ἐγχέας ἐς κρατήριον θερμὸν πυριὴν ὀστράκοις θερμοῖς ἐπὶ διφροῦ ἐπικαθίσας περικαλύψας τε ἱματίοις. [706] τῆς ἀκτῆς φύλλα ὅσον χεῖρα πλείην, καὶ τῆς μυρσίνης τὸ ἴσον ἐμβάλλων ἐς ὕδωρ, ἑψήσας καὶ ἀποχέας τὸ ὕδωρ, ἐμβάλλων κριθῶν ἄχυρα, ἑψήσας ἔμβαλλε εἰς ῥάκος. ἔπειτα τουτέῳ πυριὴν, ὡς ἂν δύνηται θερμότητα ἀνέχεσθαι μάλιστα. ὄξος, ἔλαιον, ὕδωρ, μέλι κεράσας ταῦτα ἀνάζεσον σφόδρα. ἔπειτα λαβὼν κύστιν χωρέουσαν ὡσεὶ χοέα, ἢ ἀσκίον ὡς λεπτοδέρμαιον ἐγχέας καὶ περιελίξας ῥάκει εἰρίῳ πυριὴν. ὁκόταν δὲ χλιαρὸν τὸ ῥάκος γένηται, ἕτερον περιελίσσειν. τῆς πίτυος τὸν φλοιὸν, καὶ τοῦ ῥοῦ τὰ φύλλα ἐμβάλλων, ἑψήσας ἰσχυρῶς, ἀποχέας τε τὸ ὕδωρ καὶ κριθῶν ἄχυρον, ἕψε ἔλαιον ἐπιχέας. ὁκόταν δὲ συνεψήσῃς ἐμβαλὼν εἰς ῥάκος πυρία. λωτοῦ πρίσματα καὶ κυπαρίσσου, ὕδωρ ἐπιχέας καὶ ἔλαιον ἕψε, ἕως ἂν ξυνεψήσῃς. (389) ἔπειτα ἐμβαλὼν εἰς ῥάκος πυρία.

rati quatuor heminis dato. Olei dimidias heminas tres, ſambuci folia quantum manus plena capit, haec cocta in craterem calidum effundito, muliere veſtibus circumtecta in ſedili collocata, teſtis calidis immiſſis fomentum adhibeto. Sambuci folia quantum manus plena capit, et myrti aequalem menſuram in aquam injectam decoquito, et in percolatam aquam hordei paleas immiſſas, decoctas in linteum immittito, deinde ex eo fomentum quam maxime calidum ferre poterit admoveto. Acetum, oleum, aquam, melle admixto, haec valde decoquito. Deinde veſica ſumpta congium capiente, aut utriculo ex tenui corio infundito et tenui panno laneo ad fomentum convolvito. Cum vero tepidus pannus fuerit, alium convolvito. Pini corticem et rhois folia in aquam injecta vehementer decoquito, in aqua diffuſa hordei paleas oleo affuſo coquito, haec ſimul cocta, in pannum immiſſa ad fomentum adhibeto. Loti arboris et cupreſſi ramenta, affuſa aqua et oleo coquito, quoad ſimul coxerint, deinde in pannum immiſſa ad fomentum adhibeto.

Ed. Chart. VII. [706. 707.] Foës. I. 576. Ed. Lind. II. (389.)
ἀρώματα ἐς τὸ ὕδωρ ἐμβαλλόμενα ἑψήσας ὅσον χοίνικα καὶ τῷ ὕδατι πίτυρα πύρινα ἑψήσας, τὸν αὐτὸν τρόπον κηκίδα κόψας καὶ ῥάμνου τὸν φλοιὸν ἐφεψήσας ἰσχυρῶς, πίτυρα πύρινα φύρησον τῷ ὕδατι καὶ παράμιξον ἔλαιον. ἔπειτα ἡμίοπτον ποιήσας ἄρτον ὅσον διχοίνικα, ἐνδήσας ἐς ῥάκος πυρία. κράμβην καὶ πράσα ἀφεψῶν τῷ χυμῷ ποίησον τὸν ἴσον τρόπον. κριθῶν ἄχυρα συνεψῶν, ἔλαιον ἐπιχέας, ἐς ῥάκος ἐνδέων πυρία. στρύχνον καὶ τῆς ἐλαίης τὰ φύλλα ἐφεψῶν, τὸν αὐτὸν ποίει τρόπον, καὶ ταῦτα δή, ἢν μὲν βούλῃ ὑγραῖσι χρῆσθαι, πυρία, ὡς γέγραπται. ἢν δὲ βούλῃ ξηροῖς, ἄρτους ποιέων καὶ ἐξόπτους καὶ ἡμιόπτους, πυρία. πυρία δὲ καὶ ὀστράκοις εἰς ῥάκος ἐνειλίσσων καὶ αὐτοῖς τοῖς ῥάκεσι θερμαίνων, καὶ τοῖς φακοῖς τοῖς ὀστρακίνοις, τὸ ὕδωρ ἐγχέων ζεστόν. προστίθει δὲ πρὸς τοὺς πόδας τῆς ἴρεως τὴν ῥίζαν, κόπτων καὶ ἀφεψῶν τὸν αὐτὸν τρόπον πυρία. [707] ἢν ὕδωρ ἐγγένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται καὶ κακίω καὶ διὰ πλέονος χρόνου, καὶ κύϊ-

Aromata in aquae choenicem injecta decoquito, et in aqua furfures triticeos coquito. Ad eundem modum gallam contuſam et rhamni corticem vehementer decoquito, et triticeos furfures oleo admixto aqua ſubigito, deinde ſemiaſſum panem duas choenices pendentem conficito, et in panno ligatum ad fomentum adhibeto. Braſſicam et porra decoquito, ſuccum ad eundem modum adhibeto, hordei paleas oleo affuſo ſimul decoquito, in panno ligatum ad fomentum admoveto. Solani et oleae folia decoquito, ad eundem modum adhibeto. Atque haec quidem, ſi humidis uti volueris, velut ſcripta ſunt fomenta adhibenda. Sin ſiccis uti volueris, panibus exaſſatis et ſemiaſſatis confectis, ad fomentum utitor. Sed et per teſtacea panno involuta, et per pannos ipſos calidos et per lenticulata vaſa teſtacea pedibus adhibita, aqua fervente infuſa, fomentum admoveto. Iridis radicem tuſam et decoctam ad eundem modum in ſotu adhibeto. Si aqua in uteris ſuborta fuerit, menſes pauciores, deteriores et longiore tempore fluunt, et interdum duobus menſi-

Ed. Chart. VII. [707.] Foës. I. 576. 577. Ed. Lind. II. (389. 390.)
σχεται ἑκάστοτε, ἔτι δὴ μὴν οὐ μικρῷ πλέον. ἐπειδὰν δὲ οὗτος ὁ χρόνος γένηται καὶ διαφθείρῃ καὶ ὕδωρ ἐν αὐτῇ γίνεται πουλὺ, ταύτην δὲ χρὴ γαλακτοποτέειν., καὶ τῶν μηκώνων πίνειν, ἕως ἂν κινῆσθαι ἄρχεται τὸ ἔμβρυον. ὡς ἐπιτοπουλὺ δὲ πρὸ τουτέου διαφθείρεται καὶ ἐξαμβλοῦται, καὶ αἵματος ῥέουσιν αἱ μῆτραι. ταῦτα δὲ (390) πάσχει οὐδέν τι μᾶλλον ἐκ πόνου ἢ ἄλλως. τοῦτο δ' ἂν γνοίης ὅτι ὕδρωψ ἔνεστιν ἀφάσσων τῷ δακτύλῳ. ὄψει γὰρ τὸ στόμα αὐτέων ἰσχνὸν καὶ ἀφανιζόμενον περιπλεῖον ὑγρασίης. || ἢν δὲ αὐτῇ μὴ κατ' ἀρχὰς, ἀλλ' ἤδη κενούμενον μὴ διαφθείρηταί τε καὶ ἀποπνίγηται, ἥ τε γαστὴρ ἡ νείαιρα ἐπανοιδέει, καὶ ἀλγέει ἁπτομένη ὥσπερ ἕλκεος, καὶ πυρετὸς αὐτὴν καὶ βρυγμὸς λαμβάνει, καὶ ὀδύνη ἔχει ἐς αὐτά τε τὰ αἰδοῖα καὶ τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας καὶ τὴν ὀσφὺν ὀξειά τε καὶ σπερχνή. ὁκόταν ὧδε ἔχῃ, λοῦσιν χρὴ αὐτὴν θερμῷ, καὶ ὅπῃ ἂν ὀδύνη λαμβάνῃ τῶν χλιασμάτων πειρώμενος ὅ τι μάλιστα προσδέχηται προστιθέναι, καὶ φάρμακον πῖσαι καθαρτήριον κάτω. διαλιπὼν δὲ χρόνον

bus aut paulo plus utero gerit, quo exacto tempore et foetum corrumpit, multaque aqua in ea gignitur. Huic lac et meconii succum propinare oportet, quoad foetus moveri incipiat. Plerumque tamen ante hoc tempus abortione corrumpitur, et sanguis ex uteris effluit. Haec autem non magis ex labore quam aliter ei contingunt. Quod autem hydrops in uteris insit, id deprehendes, si leviter immisso digito contrectaris. Os enim ipsorum gracile, et prae humoris copia evanescens comperies. Quod si ei non per initia, sed cum jam movetur foetus corrumpatur et suffocetur, venter imus intumescit et ad contactum velut ex ulcere dolet, febris et dentium fremitus eam prehendit, dolorque gravis et vehemens ipsa pudenda, imum ventrem, coxendices, laterum inanitates et lumbos detinet. Cum sic habuerit, ipsam calida lavare oportet. Et qua parte dolor prehenderit, ex tepefactoriis quod maxime recipiat admovere tentato, et medicamentum deorsum purgans potui exhibeto. Tempore au-

Ed. Chart. VII. [707.] Foël. I. 577. Ed. Lind. II. (390. 391.)
ὅσον ἂν δοκέῃ σοι καιρὸς εἶναι καὶ πυριήσας, προστιθέναι τῆς κυκλαμίνου. ἀποδήσας ὅσον περ, ἔνθες ἐς ῥάκος, καὶ τῷ μέλιτι δεύων προστιθέναι πρὸς τὸ στόμα τῶν ὑστερέων καὶ τῆς κυπαρίσσου καταξύσας καὶ τέγξας ἐν ὕδατι, προστιθέναι ὡσαύτως. ἐλάσσω δὲ χρόνον καὶ διὰ πλείονος τοῦτο ὅσῳ μᾶλλον δάκνει καὶ ἐξελκοῖ, καὶ μήλην ποιησάμενος κασσιτερίνην καθιέναι, καὶ τῷ δακτύλῳ ὡσαύτως, καὶ τῶν ποτημάτων πειρώμενος ὅ τι ἂν προσδέχηται πιπίσκειν, καὶ ξυγκοιμᾶσθαι τῷ ἀνδρὶ, ὡς μάλιστα τῶν καιρῶν παριόντων· ἢν γὰρ ξυλλάβῃ τὴν γονὴν καὶ κυήσῃ καὶ τέκῃ, ὑποκαθαίρεται, (391) καὶ τὰ πρόσθεν ὑπ' αὐτῷ ξὺν αὐτῷ, καὶ ὧδε ἂν μάλιστα ὑγιὴς γένοιτο. ἢν σκιρρωθῶσιν αἱ μῆτραι, τό τε στόμα τρηχὺ γίνεται καὶ τὰ ἐμμήνια κρύπτεται. ὁκόταν δὲ προφαιῇ ὥσπερ ψάμμος καὶ ἡ γονὴ οὐ γίνεται τουτέου τοῦ χρόνου. ἢν δὲ καὶ ἐσαφάσῃς τὸν δάκτυλον, τρηχὺ τὸ στόμα εὑρήσεις τῶν μητρέων. ὁκόταν ὧδε ἔχῃ, τῆς κυκλαμίνου χρὴ τρίψαντα καὶ ἁλὸς καὶ σύκου ἁμοῦ μίσγοντα καὶ ἀναποιοῦντα μέλιτι προστιθέναι, καὶ πυριήσαντα κλύσαι τοῖσι κα-

tem quantum ſatis videbitur interpoſito et fomento adhibito, cyclaminis aliquantulum panno inditum et ligatum, melleque ſubactum ad os uterorum ſubter apponito. Et cupreſſi ramenta aqua macerata ad eundem modum ſubdito. Id autem breviore aut longiore tempore finendum, quando magis mordet et ulcerat et per ſpecillum ſtanneum paratum, et digitum ſimiliter immittendum. Potiones experimento facto quascunque admiſerit propinato, et hoc opportuno praeſertim tempore cum viro dormiat. Nam ſi genituram continuerit et praegnans facta fuerit, ac pepererit, expurgabitur, et cum ipſo puerperii purgamento quae prius in ea ſuberant. Atque ad hunc modum maxime ſana evadet. Si uteri indurati fuerint, os aſperum redditur et menſes deliteſcunt et cum apparuerint, arenae ſimiles ſunt, eoque tempore genitura non fit. Quod ſi etiam digitum ad contrectandum immiſeris, os uterorum aſperum deprehendes. Cum ſic habuerit, cyclaminum et ſalem tritum, et ſicum crudam permixtam, haec melle ſubacta in ſubdititio apponito,

Ed. Chart. VII. [707. 708.] Foël. I. 577. Ed. Lind. II. (391. 392.)
θαρτηρίοισιν. ἐσθιέτω δὲ τὴν λινοζώστιν καὶ κράμβας ἕφθὸς καὶ τὸν χυλὸν ῥοφείτω, καὶ θερμῷ λουέσθω. ἢν σκιῤῥωθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια κρύπτεται καὶ τὸ στόμα αὐτέων ξυμμύει, καὶ οὐ κνῖσκεται. ὅταν ὧδε ἔχῃ, ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα τρηχύ, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, [708] καὶ πυρετὸς αὐτὴν λαμβάνει καὶ βρυγμὸς καὶ ὀδύνη ἔχῃ τὴν νείαιραν γαστέρα καὶ τὸν κενεῶνα καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα ἢν ἐν αὐτῇ διαφθαρὲν σαπῇ τὸ ἔμβρυον. ἔστι δ᾽ ἧσι καὶ ἐκ τόκου γίνεται. πολλάκις δὲ καὶ ἄλλως. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν πολλῷ καὶ θερμῷ καὶ πυριῆν. ὅταν δὲ νεόλουτος ἢ νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς ἀναστομοῦ, καὶ ἀνεύρυνε τὸ στόμα αὐτέων, καὶ τῷ δακτύλῳ ὡσαύτως, καὶ προστιθέναι ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται, καὶ τῶν ποτημάτων ὡσαύτως πιπίσκειν, καὶ θεραπεύειν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρότερον. ἢν αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσι, βὴξ ἔχει καὶ ὀδύνη ὑπὸ τὸ πλευρόν οἷον σφαῖρα, καὶ (392) ἁπτομένη πονέει ὥσπερ ἕλκος, καὶ καταφθίνει, καὶ δοκέει περιπλευ-

et poſt fomentum admotum purgatoriis eluito. Mercurialem autem et braſſicas coctas comedat et ſuccum ſorbeat, calidaque lavet. Si uteri tumorem durum ſenſerint, menſes abſconduntur et eorum oſculum clauditur, neque praegnans fit. Cum ſic habuerit, ſi digito contrectaris, os aſperum deprehendes, neque digitum intromittit, febris et dentium fremitus eam prehendit, dolor imum ventrem detinet, laterum inanitatem et lumbos. Quae ei contingunt, ſi corruptus in ea foetus computruerit. Quibusdam vero etiam ex partu, et plerumque aliter contingit. Cum ſic habuerit, ipſam multa calida lavare, eique fomentum admovere oportet. Recens lotae et fotae per ſpecillum immiſſum os uterorum aperito et dilatato, quod per digitum ſimiliter facito, et ſubditicia medicamenta, velut in priore ſcriptum eſt, adhibeto, potiones eodem modo propinato, eandemque velut in priore curationem facito. Si uteri ad latera incumbant, tuſſis et dolor detinet, ſub coſtis velut pila ſentitur, et ad contactum dolor velut ab ulcere, contabeſcit, pulmonis inflammatione

Ed. Chart. VII. [708.] Foës. I. 577. 578. Ed. Lind. II. (392.)
μονίη εἶναι, καὶ σπᾶται, καὶ φυγὴ γίνεται, καὶ τὰ ἐπιμήνια ὅλως οὐ προφαίνεται, ἐνίῃσι δὲ προφανέντα οἴχεται. τότε δὲ γενόμενα ἀσθενέα τε καὶ ὀλίγα ἢ κακίω ἢ πρὸ τοῦ καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου. ὅταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω ἐλατήριον καὶ πίσας αὐτὴν πολλῷ καὶ θερμῷ καὶ τῶν χλιασμάτων ὅ τι ἂν μάλιστα προσδέχηται, προσίσχειν καὶ προστιθέναι, ὑφ' ὧν καθαίρεται αἷμα, καὶ λίνου σπέρμα φώξας καὶ κόψας καὶ σήσας καὶ τῶν μηκώνων τῶν λευκῶν καὶ σὺν ἀλφίτοις λεπτοῖς, καὶ τυρὸν αἴγειον περιξέσας τὸν ῥύπον καὶ τὴν ἅλμην, ταῦτα μίσγειν τοῦ τυροῦ δύο, || ἓν δὲ τῶν ἄλλων. τῶν δὲ ἀλφίτων ἑώλων ἀνάλιτων νήσιει δίδου πίνειν ἐν οἴνῳ. ἑσπέρης δὲ κυκεῶνα παχὺ μέλι ἐπιχέων δίδου καὶ τῶν πομάτων ὅ τι ἂν μάλιστα προσδέχηται πιπίσκειν καὶ πυριῆν πικνά, τῷ θερμῷ δὲ αἰονᾶν, τῇ κερωτῇ ἡσυχῇ μαλάσσοντα ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ, καὶ ἀναδεῖν τὸ πλεῖρον ταινίῃ πλατείῃ, καὶ γαλακτοποιεῖν, τὸ βόειον γάλα ὅτι πλεῖστον ἐφ' ἡμέρας τεσσαράκοντα. σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισιν. ἡ δὲ νοῦ-

tentari videtur, convellitur et gibbosa evadit, menses in totum non apparent, quibusdam vero prius apparentes evanescunt, tumque eunte debiliores et pauciores aut deteriores sunt quam antea, neque eo tempore genitura intus oritur. Cum sic habuerit, medicamentum deorsum purgans propinare oportet, et post potionem calida multa lavare, et tepefactoria quae maxime admittet admovere, et in subdititio ea quae sanguinem purgent apponere. Lini semen tostum, tusum et cribratum, papaver album cum tenui polenta, caseum caprinum sorde et muria derasa, haec misceto ut casei partes sint duae, reliquorum vero una, et cum polenta vetere insulsa in vino jejunae bibenda exhibeto. Sub vesperum autem cyceonem crassum melle affuso exhibeto, et ex potibus quem praecipue admiserit propinato et crebro foveto. Calida autem persundito, et cerato leviter emolliendo a latere retrudito, latus fascia lata deligato et lac bubulum quamplurimum ad dies quadraginta potui exhibeto, cibis vero quam molliſſimis utatur. Hic morbus

Ed. Chart. VII. [708. 709.] Foëſ. I. 578. Ed. Lind. II. (392. 393.)

σος σπερχνή τε καὶ θανατώδης, καὶ ὀλίγαι καὶ μελεδαινόμεναι διαφεύγουσιν αὐτήν. ἢν τὸ στόμα ξυμμύσῃ, γίνεται ἰσχυρὸν ὥσπερ ἐρινεὸν, καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει σκληρὸν καὶ ξυνεστραμμένον, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, καὶ τὰ ἐπιμήνια ἀποκεκρύφαται, καὶ τὴν γονὴν οὐ δέχεται τουτέου τοῦ χρό(393)νου, καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα καὶ τὴν ὀσφῦν καὶ τὸν κενεῶνα. ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται καὶ πνίγει. ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ λούειν πολλῷ καὶ θερμῷ, καὶ προστιθέναι ἅπερ μαλθάσσει τὸ στόμα, καὶ τὴν μήλην καθιέναι καὶ ἀναστομοῦν, καὶ τὸν δάκτυλον ὡσαύτως καὶ αἰονῆν. ὁκόταν οὖν μαλθακὸν ᾖ, προστιθέναι ὁκόσα καθαίρει αἷμα, καὶ τῶν ποτημάτων διδόναι πειρώμενος ὅ τι ἂν προσδέχηται, καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφείτω. [709] ἢν παραλοξαίνονται αἱ μῆτραι καὶ τὸ στόμα αὐτέων λοξὸν γίνεται, καὶ τὰ ἐπιμήνια αὐτῇ τοτὲ μὲν κρύπτεται, τοτὲ δὲ προφανέντα οἴχεται, καὶ οὐχ ὅμοια γίνεται, ἀλλὰ κακίω τε καὶ ἐλάσσω ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τούτεου τοῦ

vehemens eſt et lethalis, paucaeque etiam curatae eum effugiunt. Si uteri oſculum conniveat, durum velut caprifici fructus evadit, et ſi digito immiſſo contrectaris, durum et converſum comperies, neque digitum intromittit, menſes delitescunt, genituram per hoc tempus non recipit, dolor imum ventrem, lumbos et lateris inanitatem detinet, interdum vero ad ſuperiora inſtat et ſuffocat. Cum igitur ſic habuerit, medicamentum deorſum purgans propinato, copioſa calida lavato et quae os emolliant in ſubdititio apponito, immiſſoque ſpecillo aperito, quod per digitum eodem modo facito, et aqua perfundito. Ubi autem molle fuerit, quae ſanguinem purgant ſubter apponito, potiones, experimento facto quamcunque admiſerit, exhibeto, braſſicam comedat et ſuccum ſorbeat. Si uteri transverſi fuerint, eorum quoque os obliquatum redditur et menſes interdum ei delitescunt, interdum vero ubi antea comparuerint evanescunt, neque ſimiles exiſtunt, ſed deteriores et quam antea pauciores, neque per id tempus genitura intus manet, dolor imum ventrem,

Ed. Chart. VII. [709.] Foës. I. 578. Ed. Lind. II. (393. 394.)
χρόνου καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τὴν ὀσφῦν καὶ τὸ ἰσχίον, καὶ ἐφέλκει αὐτό. ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι ἑλατήριον, καὶ λούειν θερμῷ καὶ πυριῆν. ὁκόταν δὲ νεοπυρίητος ἢ νεόλουτος ᾖ, τὸν δάκτυλον ἐσαφάσσουσα, ἀπορθούτω καὶ παρευθυνέτω τὸ στόμα τῶν μητρέων, καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, καὶ τῶν ποτημάτων δίδου πειρώμενος ὅ τι ἂν μάλιστα προσδέχηται. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι, καὶ σκόροδα ἐσθιέτω ἑφθὰ καὶ ὠμά, καὶ τῷ ἀνδρὶ συγκοιμάσθω, καὶ ἐπὶ τοῦ ὑγιέος ἰσχίου κατακείσθω. τὸ δὲ ἕτερον πυριήσθω. ἡ δὲ νοῦσος δυσαπάλλακτος. ἢν πρισθῶσιν αἱ μῆτραι, ἥ τε γαστὴρ αἴρεται καὶ φυσᾶται, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τοῦ προσώπου. ἡ χροιὴ δὲ ἀειδὴς γίνεται, καὶ τὰ ἐπιμήνια οὐ γίνεται (394) τουτέου τοῦ χρόνου, καὶ ἀσθενεῖ, καὶ ἀλύει, καὶ ὁκόταν ἀνίστηται ἢ προσέλθῃ, ἐς τὴν ὀρθόπνοιαν αὐτὴν ἴσχει, καὶ ὅ τι ἂν φάγῃ ἢ πίῃ, λυπεῖ αὐτήν, καὶ στένει τε καὶ δυσημεῖ μᾶλλον ἢ πρὶν φαγεῖν. πολλάκις δὲ καὶ πνίγεται. ὁκόταν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω καὶ τῷ θερμῷ

ilia, lumbos et coxam detinet, eamque contrahit. Cum ſic habuerit, medicamentum deorſum purgans potui exhibendum et calida lavandum, fomentumque admovendum. Cum autem recens ſota et lota fuerit, mulier digito ad contrectandum immiſſo os uterorum dirigat et emendet et ſuffitus ex odoratis adhibeatur. Ex potionibus quam maxime experimento facto admittet exhibeto. Cibis autem mollibus utatur et allia cocta et cruda comedat, viro condormiat et in ſanam coxam decumbat, alteri autem fomentum adhibeatur. Morbus autem aegre expellitur. Si uteri inflati fuerint, venter attollitur et flatu diſtenditur, pedes et faciei cavae partes intumeſcunt, color deformis exiſtit, menſes per hoc tempus non eunt, debilis eſt et anxietate premitur, cumque ſurrexerit aut progreſſa fuerit, erectae cervicis ſpiratio eam detinet, quicquid comederit aut biberit, eam moleſtia afficit, gemit et animum magis deſpondet quam prius quam comederit, plerumque etiam praefocatur. Cum ſic habuerit, medicamentum deorſum pur-

Ed. Chart. VII. [709.] Foëſ. I. 578. 579. Ed. Lind. II. (394.)

λούειν καὶ πυριῆν. διαλιπὼν δὲ χρόνῳ τινὰ, προστιθέναι ὑφ' ὧν καθαρθείη καὶ δηχθήσεται. πυριῆν δὲ ὡς πυκνότατα τὸ ὅλον σῶμα. τότε δὲ ὑπὸ τὰ αἰδοῖα ὑποθυμιήσθω τὰ εὐώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ κακώδεα, καὶ ποτήματα δίδου, ὅσα καθαίρει ὑστέρας, καὶ τὴν λινοζῶστιν ἐσθιέτω, καὶ τὸ γάλα πινέτω, ὥσπερ ἐπὶ τοῦ πλευροῦ εἴρηται. ἡ δὲ νοῦσος χρονίη. ἄλλη θεραπεία. ἢν θρομβωθῶσιν αἱ μῆτραι, τὸ στόμα αὐτέων γίνεται οἷον ὀρόβων μεστόν, καὶ ἢν ἐσαφάσσῃς, ὄψει ὧδε ἔχον, καὶ τὰ ἐπιμήνια οὐ γίνεται. οὐ δ' ἡ γονὴ κατέχεται. ὁκόταν οὖν ὧδε ἔχῃ, τῆς κυκλαμίνου τὸν φλοιὸν περιλεπίσαντα καὶ σκόροδον καὶ ἄλας καὶ σῦκον καὶ μέλι ὀλίγον. || ταῦτα τρίψας καὶ ξυμμίξας ποιήσας βάλανον προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων, καὶ τῶν ἄλλων προσθετῶν τῶν μητρέων τὰ προσήκοντα, ὁκόσα δηλαδὴ δριμέα ἐστὶ, καὶ ἐσθίει καὶ ὑφ' ὧν καθαίρεται αἷμα, καὶ τῶν ποτημάτων διδόναι ὅσα ὑστέρας καθαίρει, καὶ περιξύσας πάντα καὶ περιειλίξας κύστιος δέρμα ἢ ὑμένα, δια-

gans propinato, calida lavato et fomentum adhibeto. Interjecto vero tempore aliquo ex quibus purgetur et mordeatur ſubter apponito, creberrime etiam totum corpus foveto, tuncque ſubter pudenda ſuffitum ex odoratis, ad nares vero ex graveolentibus admoveto, potiones quae uteros purgent exhibeto, mercurialem edat et lac bibat, velut in latus allapſu dictum eſt. Morbus autem diuturnus eſt. Alia curatio. Si in uteris ſanguinis grumi fuerint, eorum os tanquam orobis plenum exiſtit, et ſi attrectaris, ita ſe habere comperies, menſes non eunt, neque genitura intus manet. Cum igitur ſic habuerit, cyclaminum detracto cortice, allium, ſales, ficum et mellis parum, haec trita et ſimul mixta in glandulam effermato, et ad uterorum os in ſubdititio apponito, et ex aliis uterorum ſubditiis, ea quae conveniunt, nempe quae acria ſunt, rodunt et ex quibus ſanguis purgatur. Potiones quae uteros purgent exhibeto et omnibus derafis, convoluta circa digitum veſicae cute aut pellicula os uterorum deradito.

Ed. Chart. VII. [709. 710.] Foës. I. 579. Ed. Lind. II. (394. 395.)
ξύειν τὸ στόμα τῶν μητρέων. [710] ἢν περιστραφῶσιν αἱ μῆτραι, τά τε ἐπιμήνια οὐ γίνεται (395) καὶ ἡ γονὴ οὐκ ἐγγίνεται, καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας. καὶ ἢν ἐσαφάσσῃ τῷ δακτύλῳ, οὐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ' ἀνακεχώρηκεν ἰσχυρῶς. ὁκόταν οὕτως ἔχῃ, φάρμακον χρὴ πῖσαι ὑφ' οὗ καθαίρεται ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον, καὶ πυριῆν τό τε στόμα καὶ τὰς μήτρας ὡς μάλιστα, καὶ λούειν τῷ θερμῷ δὶς τῆς ἡμέρης, καὶ τῶν ποτημάτων ὅ τι ἂν μάλιστα προσδέχηται πειρώμενος δίδου, καὶ ξυνευδέτω τῷ ἀνδρὶ ὡς πυκνότατα, καὶ τὴν κράμβην ἐσθιέτω. ἢν μὴ κατὰ χώραν μένωσι κινηθεῖσαι αἱ μῆτραι, ἔνθα δὲ προσπίπτουσιν ὀδύνας παρέχωσι καὶ ἀφανέες γίνονται, ὁτὲ δὲ ἐξίσχωσιν ὥσπερ ἕδρη. ὁκόταν μὲν ὑπτίη κατακειμένη τύχῃ, κατὰ χώρην μένουσιν· ὅταν δὲ ἀναστῇ ἢ ἐπικύψῃ ἢ ἄλλο τι κινηθῇ, ἐξέρχονται. πολλάκις δὲ καὶ ἡσυχίην ἔχουσι. ταύτην χρὴ ὡς ὅτι μάλιστα ἡσυχάζειν καὶ μὴ κινεῖσθαι, καὶ τὴν κλίνην κεῖσθαι πρὸς ποδῶν ὑψηλοτέρην, καὶ τοῖσι αὐτέοισι χρῆ-

Si uteri intorti fuerint, menſes non eunt, neque genitura intus gignitur, dolor imum ventrem, lumbos et laterum inanitates detinet, et ſi digito immiſſo contrectarit, os uterorum cum valde receſſerit contingere nequeat. Cum ſic habuerit, medicamentum ex quo ſurſum ac deorſum, magis tamen deorſum purgetur, exhibendum, orique et utero praecipue fomentum admovendum, bisque die calida lavandum, potiones quas maxime recipere expertus fueris, exhibeto, quam frequentiſſime cum viro dormiat, et braſſicam comedat. Si uteri moti ſuo loco minime maneant, quam vero in partem prolabuntur dolores afferunt, inconſpicui exiſtunt, interdum vero velut ſedes extra prominent. Cum quidem ſupinam decumbere contigerit, ſuo loco manent, ubi vero exurrexerit, aut prona incubuerit, aut aliquantum mota fuerit, extra feruntur, plerumque etiam quieſcunt. Hanc quam maxime quieſcere minimeque moveri oportet, lectumque ad pedes altiorem ſternere et iisdem quibus ſupra uti, acerbis perfundere, ſuffitum

Ed. Chart. VII. [710.] Foëſ. I. 579. Ed. Lind. II. (395. 396.)

σθαι, ὥσπερ ἐν τοῖσιν ἐπάνω, καὶ τοῖς στρυφνοῖσιν αἰονᾶν, καὶ ὑποθυμιᾶν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα, καὶ ῥοιὰν διὰ τοῦ ὀμφαλοῦ τρήσαντα μέσην, πίσσαν χλιήναντα ἐν οἴνῳ ἥτις ἂν μάλιστα ἁρμόζῃ, καὶ μὴ πιέζου λίαν προστιθεὶς ὡς προσωτάτω. ὁκόταν δέ τι προστιθῇς, ἐκ τῆς ὀσφύος ἐπαναδῆσαι ταινίῃ πλατείῃ ἀναλαβὼν, ὡς ἂν μὴ ἐξολισθάνῃ, ἀλλὰ μένῃ καὶ ποιέῃ τὸ δοκέον, καὶ τῶν μηκώνων ξὺν τῷ πυρῷ καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, ὥσπερ ἐν τῇ πρὸς τὸ πλευρὸν προσπτώσει γέγραπται. τῶν ποτη-(396)μάτων πειρώμενος ὅ τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρήσθω, καὶ μετὰ ἀνδρὸς ὡς ὅτι μάλιστα κοιμάσθω. ἢν ἀναχάῃ τὸ στόμα τῶν μητρέων μᾶλλον ἢ ὡς πέφυκε, τά τε ἐπιμήνια γίνεται πλείω καὶ κακίω καὶ ὑγρότερα καὶ διὰ πλέονος χρόνου, καὶ ἡ γονὴ αὐτῆς οὐχ ἅπτεται οὐδὲ ἐμμένει ἀλλὰ πάλιν ἐκχεῖται ἔξω. καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ τὸ στόμα τῶν μητρέων, εὑρήσεις ἀνακεχηνός, καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐπιμηνίων, καὶ πυρετὸς καὶ ῥῖγος καὶ ὀδύνη ἴσχει τὴν νεί-

ex graveolentibus ſubter adhibere, naribus vero ex odoratis. Et malum punicum in medio per umbilicum perforatum et picem quae maxime conveniat in vino tepefactam, neque admodum expreſſam, quam penitiſſime in ſubdititio apponito. Cum vero aliquid ſubter appoſueris, faſcia lata exceptum, ex lumbis ne elabatur religato, ſed ut intus maneat et quod convenit efficiat, et peplum cum caſeo et polenta propinato, velut in uteri ad latus prolapſu ſcriptum eſt. Ex potionibus, expertus quam maxime ſuſcipiat, bibendam exhibeto. Cibis vero quam molliſſimis utatur, et quam maxime cum viro dormiat. Si uteri plus ſolito hiarint, menſes tum copioſiores tum deteriores et humidiores et per longius tempus eunt, neque genitura eam attingit, neque intus manet, ſed contra foras effunditur, et ſi digito immiſſo uterorum os contrectaris, dehiſcens deprehendes et imbecillitas propter menſes eam prehendit, febrisque et rigor, dolor imum ventrem, laterum

Ed. Chart. VII. [710. 711.] Foël. I. 579. 580. Ed. Lind. II. (396.)
αιραν γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα μάλιστα μὲν, ἤν τι ἐν αὐτῇ χυθῇ καὶ διαφθαρὲν σαπῇ. πάσχουσι δὲ καὶ ἐκ τόκων, αἱ δὲ [711] καὶ ἄλλως. ὁκόταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν ὑφ' οὗ ἄνω καθαίρεται, καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ τῶν χλιασμάτων προστιθέναι, καὶ τῷ θερμῷ λούειν, καὶ διαλιπὼν κλύζειν, ὥσπερ ἐπὶ τῆς προτέρας γέγραπται, καὶ τῶν ποτημάτων διδόναι ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν ὁκόσα ξηραίνει, καὶ τῶν πολυπόδων ἐσθιέτω, καὶ τὴν λινοζῶστιν. ἢν λειανθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια πλείω γίνεται καὶ κακίω καὶ ὑγρότερα καὶ πυκνότερα, καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλὰ πάλιν ἐξέρχεται, καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα λεῖον, καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων καὶ πυρετὸς καὶ ῥῖγος καὶ ὀδύνη ἐς τὴν || γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, μάλιστα μὲν ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ καὶ ἐκ τόκου καὶ ἄλλως. ὅταν ὧδε ἔχῃ, θεραπεύειν χρὴ ὅκου ἂν ἡ ὀδύνη ἔχῃ,

inanitates et lumbos detinet. Haec autem ei quidem praecipue contingunt, ſi quid in ea corruptum computruerit et effuſum fuerit, accidit etiam ex partu et aliis alio modo. Cum igitur ita habuerit, medicamentum ex quo ſurſum purgetur propinare oportet, et cum dolor detinuerit, tepefactoria admovere et calida lavare, intermiſſoque aliquo tempore ex infuſo colluere, velut in ſuperiore ſcriptum eſt, et potiones quas maxime ſuſcipiat exhibere, ac in ſuffitu quae ſiccant apponere, polypos etiam et mercurialem edat. Si uteri laeves et lubrici extiterint et menſes copioſiores et deteriores, humidiores et crebriores contingunt, genitura intus non manet, ſed contra extra fertur, ſique digitum ad contrectandum immiſeris, os laeve deprehendes, imbecillitas eam propter menſes et febris et rigor invadit et dolor ad imum ventrem, lumbos et lateris inanitates, praecipue quidem ſi quid in ea corruptum computruerit et ex partu aliaque ex cauſa. Cum ſic habuerit, ubi dolor detinuerit, curare oportet, velut in ſuperiore

Ed. Chart. VII. [711.] Foës. I. 58α. Ed. Lind. II. (396. 397.) ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται. (397) ἢν αἱ μῆτραι κατὰ γαστέρα νείωσι, τὸ ἰσχίον ὀδύνῃ ἔχει ὀξείῃ τε καὶ σπερχνῇ καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, καὶ τὸ σκέλος ἐπισκάζει. ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι ἐλατήριον, τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν. τῶν τε κριθέων χοίνικας δύο καὶ ἐλαίης φύλλα κατακνήσας πυκνὰ, καὶ κικίδα κατακόψας καὶ σήσας, καὶ ὑοσκυάμου τριταῖα χοίνικος, ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ, ὑποθυμία ἐπὶ τέσσαρας ἡμέρας τρὶς τῆς ἡμέρης. τῆς δὲ τυκτὸς γάλα βοὸς καὶ μέλι καὶ ὕδωρ πινέτω, καὶ θερμῷ λουέσθω. ἢν ἐς τὴν κεφαλὴν τραπῶσιν αἱ ὑστέραι, σημεῖον τόδε. τὰς φλέβας τὰς ἐν ῥινὶ, τάς τε ὑπὸ τοῖς ὀφθαλμοῖς ἀλγεῖν δοκεῖ. ταύτην χρὴ λούειν θερμῷ πολλῷ καὶ κατὰ τῆς κεφαλῆς, δάφνην τε καὶ μυρσίνην ἑψῶν ἐν τῷ ὕδατι, καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν ἐγχριέσθω, καὶ ἐπιθυμιήσθω τὰ εὐώδεα, καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ἐπιροφείτω. ἢν ἐς τὰ σκέλεα καὶ τοὺς πόδας τραπῶσι, γνώσῃ ἐν τῷδε. τοὺς μεγάλους δακτύλους τῶν ποδῶν σπᾶται ὑπὸ τοὺς ὄνυχας, καὶ ὀδύνη ἴσχει τὰ σκέλεα καὶ τοὺς μηροὺς.

ſcriptum eſt. Si uteri ad ventrem vergant, dolor acutus et vehemens coxendicem, lumbos ac lateris inanitates detinet, crusque claudicat. Cum ſic habuerit, medicamentum deorſum purgans potui exhibendum, poſtridie vero ſuffitus admovendus. Hordei choenices duas, oleae folia tenuiter conciſa, gallam contuſam et cribratam, hyoſciami tertiam choenicis partem, haec mixta et oleo ad dimidiam heminam in olla ſubacta per dies quatuor ter die ad ſuffitum adhibeto. Lac bubulum noctu mel et aquam bibat et calida lavet. Si uteri ad caput vertant, iſtud erit indicio. Naſi venas et ſub oculis dolere exiſtimat. Hanc multa calida lavare oportet et lauro et myrto in aqua decocto caput etiam lavare et unguento roſaceo illinere, ad ſuffitum odorata adhibeantur, et braſſicam comedat, ſuccumque inſuper ſorbeat. Si ad crura et pedes vertantur, inde cognoſces, pedum pollices ſub unguibus convelluntur et crura ac femora dolor detinet. Cum ſic habue-

Ed. Chart. VII. [711. 712.] Foës. I. 580. Ed. Lind. II. (397. 398.)
ὁκόταν ὧδε ἔχῃ, χρὴ λούειν αὐτὴν πολλῷ καὶ θερμῷ, καὶ πυριῆν ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν τὰ κακώδεα, καὶ τᾷ μύρῳ τῷ ῥοδίνῳ ἀλείφεσθαι. [712] ἢν γυνὴ ὑστέρας ἀλγέῃ ἀσιτέουσα καὶ πυρετὸς αὐτὴν καὶ ῥῖγος λαμβάνῃ, μήκωνος λευκῆς, ὅσον πεμπτημόριον ἡμιχοινικίου καὶ Κνιδίου καρποῦ τὸ ἴσον καὶ τυροῦ αἰγείου ὅσον ἡμιχοίνικα ξύσας, ὁμοῦ τε μαλθάξας σὺν οἴνῳ παλαιῷ, ἔπειτα ἑψήσας διδόναι ῥοφάνειν. (398) ἢν ἐκ τόκου ῥοῦς λαμβάνῃ καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμένῃ, ἀσταφίδος χρὴ μελαίνης καὶ ῥοιῆς γλυκείης τὰ εἴσω τρίψαντα καὶ ἐρίφου πιτύην διεὶς οἴνῳ μέλανι χρέο, τυρὸν ἐπιξύσας αἴγειον, καὶ ἄλφιτα πυρῶν πεφωσμένα ἐπιβάλλων, κεράσας εὔκρατον δὸς πιεῖν. ἢν αἷμα ἐμέῃ ἐκ τόκου, τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, καὶ ὀδύνη ἐς τὰ σπλάγχνα φοιτᾷ καὶ τὴν καρδίην καὶ σπᾶται. ταύτην χρὴ λούειν πολλῷ καὶ θερμῷ, καὶ τῶν χλιασμάτων ὅ τι ἂν μάλιστα προσδέχηται προστιθέναι, καὶ πιπίσκειν ὄνου γάλα ἐπὶ ἡμέρας πέντε. μετὰ δὲ ταῦτα μεταπιπίσκειν βοὸς μελαίνης, ἀσιτέουσαν ἐπὶ ἡμέρας τεσσα-

rit, eam calida multa lavare oportet. Fomentum quod maxime ſuſcipiet admovere, graveolentia ad ſuffitam adhibere ac unguento roſaceo illinere. Si mulierem ex uteri dolore cibi faſtidium, febris et rigor prehendat, pepli albi quintam dimidiae choenicis partem, ſeminis urticae parem portionem et caſei caprini derafi choenicis dimidium, haec vino veteri ſimul emollita, deinde cocta, forbenda dato. Si ex partu fluxus prehendat, cibique in ventre minime maneant, uvae paſſae nigrae et mali punici dulcis interiora trita, et hoedi coagulum vino nigro macerato et utitor et caſeo caprino derafo, triticique polenta torrefacta injecta et probe temperata potui exhibeto. Si ex partu ſanguinem vomitione rejiciat, hepatis fiſtula perforata eſt, dolor ad inteſtina et cor procedit et convellitur. Hanc calida copioſa lavare oportet et ex tepefactoriis quod maxime ſuſcipiet admovere, et lac aſininum ad dies quinque potui exhibere, poſt haec vero lac vaccae nigrae jejunae ad dies quadraginta propinare, ſub veſpe-

Ed. Chart. VII. [712. 713.] Foël. I. 580. 581. Ed. Lind. II. (398. 399.) ῥάκοντα, ἐς δὲ τὴν ἑσπέρην σήσαμον τριπτὸν πιπίσκειν. ἡ δὲ νοῦσος ἐπικίνδυνος. ἢν γυνὴ διὰ παλαιοῦ μὴ κυΐσκηται τῶν ἐπιμηνίων ἐμφαινομένων, ὁκόταν ᾖ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας διεὶς μύρῳ εἰρίῳ ἀνασπογγίζων προστίθει, καὶ ἐχέτω κείμενον ἡμέρας τρεῖς. τῇ δὲ τρίτῃ ξύσας βοὸς χολὴν καὶ ἐν ῥάκει ἐπιθεὶς, διεὶς ἐλαίῳ τὸ ξύσμα καὶ ἀναδεύσας προστίθει, καὶ ἐχέτω ἡμέρας τρεῖς. τῇ δὲ ἑτέρῃ ἀνδρὶ ξυνελθέτω. λίνου τὸ σχιστὸν ταύτης τῆς καλάμης ὅσον δραχμίδα κόψας λεπτὰ καταβρέξας τε ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα, ἔπειτα ἀπηθήσας χλιαίνων ἐν χυτριδίῳ, εἰρίον ὡς μαλθακώτατον ἐμβάπτων τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν. (399) ἢν βούλῃ ὑστέρας καθῆραι, πρῶτον μὲν χρὴ ὑποθυμιῆσαι κριθὰς ἐν ἐλαίῳ δεδευμένας ἐπ' ἀν[713]θράκων. τῇ δὲ ὑστεραίῃ ὄϊος χρὴ κρέας ἑψεῖν, κριθιδίῳ ἐξηθριασμένον. τὸ δὲ κριθίων εἶναι ὅσον χοέα, καὶ καθεψεῖν σφόδρα. ἐπειδὰν δὲ ἐφθὰ ᾖ, ἀκροχλίαρα κατεσθιέτω, καὶ τὸν ζωμὸν ἐπιῤῥοφείτω. || τῇ δ' ὑστεραίῃ λιβα-

rum autem ſeſamum tritum. Hic vero morbus cum periculo conjunctus eſt. Cum mulier ex longo intervallo non conceperit menſesque apparuerint, tertio vel quarto die alumen tenuiter tritum, unguento ſubactum, lana exceptum ſubter apponito et tribus diebus poſitum teneat. Tertio die fel bubulum deraſum et linteo impoſitum, ubi ramentum oleo madefeceris ac ſubegeris, in ſubditio apponito, et tribus diebus detineat, altero vero die virum adeat. Linum ſciſſum cum calamis fere pugillum tenuiter tuſum, per noctem vino albo ſuaviſſimo maceratum, poſtea excolatum in ollula tepefacito, in eo lanam quam molliſſimam intingito et partim ſubter apponito, partimque detrahito. Si uteros purgare voles, primum quidem ex hordeo oleo madefacto prunis impoſito ſuffitum adhibere oportet, poſtero vero die carnem ovillam decoquere in hordei decocto per noctem ſub dio expoſitam. Hordei decoctum congii menſuram eſſe oportet, valdeque decoquere. Cum decocta fuerint, exacte tepida edat et juſculum inſuper

Ed. Chart. VII. [713.] Foës. I. 581. Ed. Lind. II. (399.)

νωτὸν καὶ γλήχωνα λεῖον ποιήσας ἀναδεύσας μέλιτι εἰρίῳ ἀνασπογγίζων προστίθει ἐπὶ τρεῖς ἡμέρας. ἢν δὲ ἐς τὴν ἕδρην τραπῶσι καὶ τὰ ὑποχωρήματα κωλύωσιν ὑποχωρέειν, ὀδύναι ἴσχουσι τήν τε ὀσφῦν καὶ τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν τῷ θερμῷ, καὶ πυριῆν τὴν ὀσφῦν, καὶ ὑποθυμιῆν τὰ κακώδεα, καὶ προστιθέναι ὁκόσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας, καὶ πιπίσκειν ὅ τι ἂν μάλιστα προσδέχηται. ἢν ἕλκωθῇ τὸ στόμα ἢ φλεγμήνῃ, σμύρναν καὶ στέαρ χήνειον καὶ κηρὸν λευκὸν, καὶ λιβανωτὸν ἐν λαγωοῦ θριξὶ, τῇσιν ὑπὸ τὴν γαστέρα μίξας καὶ λεῖα ποιήσας ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ προστιθέσθω. ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, παραχρῆμα μὲν χρὴ ἀσιτέειν. ἄγνου δὲ πέταλα λεῖα τρίψαντα ἐν οἴνῳ καὶ μέλιτι, ἔλαιον ἐπιχέας, ἀναχλιήνας δίδου πιεῖν ὅσον κοτύλην. ἢν φλεγμήνωσιν αἱ ὑστέραι, τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κριμνοῖς ἑψήσας σηταníοις ἀκροχλίαρον δίδου ῥοφεῖν. ἢν μετακινηθῶσιν αἱ μῆτραι, κισσὸν ὡς ξηρότατον τρίψας καὶ λειότατον δήσας ἐς ὀθόνιον

sorbeat. Postero vero die thus et pulegium laeviter tritum, melle subactum, vellere exceptum, triduo subter apponito. Quod si ad sedem vergant, et alvi excrementa secedere prohibeant, dolores lumbos, imum ventrem et ilia detinent. Cum sic habuerit, eam calida lavare oportet, ad lumbos fomentum admovere, ex graveolentibus suffitum adhibere, quae uteros purgent et pellant in subdititio apponere, et quod maxime admiserit potui exhibere. Si os ulceratum aut inflammatione tentatum fuerit, myrrham, adipem anserinum, ceram albam et thus, cum leporis pilis qui sub ventre sunt mixta et trita, in vellere molliſſimo subdito. Si secundae devolvi nequeant, confestim quidem cibo abstinendum. Viticis autem folia tenuiter trita ex vino et melle, oleo affuso tepefacta, heminae mensura potui exhibeto. Si uteri inflammatione laboraverint, sambuci foliis quam tenerrimis in tritici setanii farina crassiore decoctis, summe tepidum sorbendum dato. Si uteri transmoti fuerint, hederam quam siccissimam, tenuissime tritam, linteo illiga-

Ed. Chart. VII. [713. 714.] Foëſ. I. 581. Ed. Lind. II. (400.) προσ(400)ίσχειν λιπαρὸν καὶ προσφέρειν ἄλλο μηδέν. πιεῖν δὲ διδόναι πυρούς προκωνίας, καὶ μήκωνα ὀπτὴν, καὶ ἐλελίσφακον, καὶ κύπερον καὶ ἄννησον. ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθῶν, διδόναι δὶς τῆς ἡμέρης ἐφ' ἑκάτερον ἡμικοτύλιον. [714] ἢν τὰ ἐπιμήνια μὴ γίνηται ἐν τῷ καθεστηκότι χρόνῳ, κράμβης πέταλα καὶ πήγανον τρίψας λεῖα, ἔπειτα ἄχυρα ἀπὸ τῶν κριθῶν ὅσον χοίνικα βρέξας ὡς ἂν τέγγηται, ἐξαιθρίασον. ἔωθεν δὲ ποιήσας ὅσον κοτύλην διεῖναι τὴν κράμβην καὶ τὸ πήγανον, ἔλαιον αὐτοῖς ἐπιχέας καὶ ἀναταράξας δοῦναι πιεῖν. ἔπειτα πουλύποδα πνίξας ἐν οἴνῳ λευκῷ δὸς φαγεῖν καὶ τὸν οἶνον ἐκπιεῖν. ἢν δὲ βούλῃ, τῶν ἰχθύων ἑψῶν τῶν εὐωδεστάτων διδόναι ἐσθίειν καὶ τὸν ζωμὸν ῥοφάνειν. ἢν ἀφθήσῃ τὰ αἰδοῖα, μύρτα ἑψήσας ἐν οἴνῳ διακλυζέσθω αἰδοῖα. ἔπειτα ῥοιῆς γλυκείης σίδια ἑψήσας ἐν οἴνῳ, καὶ σμύρνης καὶ ῥητίνης ὁμοῦ μίξας διεὶς οἴνῳ, ὀθόνιον ἐμβάπτων προστιθέναι. ἢν στραγγουρίη λάβῃ, τῆς σικύης ἀποταμὼν τὸ στόμα καὶ τὸν πυθμένα, ἐπιθεὶς ἀνθρακίην, περίθες τὴν σικύην

tam admoveto et pingue aliud nihil adhibeto. Potui autem exhibeto triticum tenerum non toſtum, peplum aſſatum, ſalviam, cyperum et aniſum. Haec tenuiter trita, vino macerata, cum hordei repurgamentis bis die exhibeto, utraque vice dimidiae heminae menſura. Si menſes praeſtituto tempore non eant, braſſicae folia et rutam tenuiter trita, deinde hordei paleas choenicis menſura maceratas, quoad emollitae fuerint, per noctem ſub dio exponito. Mane vero in heminae menſura braſſicam et rutam macerato, oleo affuſo et permixto potui exhibeto, deinde polypum in vino albo ſuffocatum comedendum, et vinum ebibendum dato. Quod ſi voles piſces odoratiſſimos coctos comedendos et jus ſorbendum exhibeto. Si ſuperficiariae igneae caliditatis ulcerationes in pudendis fuerint, myrti baccis in vino decoctis pudenda collue. Deinde mali punici dulcis putamina vino decocta, myrrha et reſina ſimul ammixta, vino macerata, linteum imbutum ſubter apponito. Si ſtranguria invaſerit, cucurbitam ore et fundo diſſecto, prunis ſubditis circumpo-

Ed. Chart. VII. [714. 715.] Foës. I. 581. Ed. Lind. II. (400. 401.)
τῆς σμύρνης ἐπὶ τὸ πῦρ ἐπιπάσσας καὶ περικαθίσας ἐπὶ τὴν σικύην, καὶ ἐνθέσθω ἐς τὸ αἰδοῖον τὸ ἄκρον τῆς σικύης ὡς ἐσωτάτω, ὅκως ἂν ἡ ἀτμὶς ὡς πλείστη ἐς τὰ αἰδοῖα ἀποπέμπηται. καὶ τῶν οὐρητικῶν ποτημάτων διδόναι νήστει. ἢν δὲ ἐς τὴν καρδίαν προϊστάμεναι πνίγωσιν αἱ ὑστέραι καὶ μὴ ἀφιστῶνται, πράσου καρπὸν τρίψας καὶ γλήχωνος διεὶς (401) ὕδατος κυάθοις τρισὶ καὶ ὄξεος λευκοῦ κυάθῳ καὶ μέλιτος τρίτῳ μέρει κυάθου, χλιαίνων, νήστει δίδου ῥοφάνειν. ἢν ἐκ τόκου ἢ τρωσμοῦ ῥῖγος λαμβάνῃ, ἀρκεύθου τὸν καρπὸν καὶ ἐλελισφάκου ὁμοῦ τρίψας δίει ἐς ὄξους λευκοῦ κύαθον, ἐπιχέας τε ἐπὶ οἴνου λευκοῦ κεκρημένου κύλικα, κατελίξας, ἔασον κεῖσθαι. ἔωθεν δὲ ἀπηθήσας χλιήνας πιεῖν δίδου. [715] ἢν ἀνεμέωσιν αἱ μήτραι, καὶ ἢν ἄνεμος ἐγγένηται τῇ νηδύϊ καὶ πόνος ᾖ, ἐλελίσφακον καὶ κύπερον κόψας τέγξαι τὴν νύκτα ἔωθεν ἀπηθήσας, τὸ καθαρὸν εἰς χύτρην ἐγχέας, κρίμνα πύρινα ἐμβαλὼν καὶ ὄξος λευκὸν ὅσον κύαθον, ἐπιχέας ὀπὸν σιλφίου ὅσον κύαθον, ἐμβαλὼν καὶ ἑψήσας ἐνωμότερον δίδου ῥοφάνειν. ἢν ἐν τοῖς αἰδοίοισι

situm, myrrha in ignem inspersa, et muliere super cucurbitam collocata, cucurbitae summum in pudendum quam penitissime immittito, ut plurimus vapor ad pudenda deferatur, et potiones urinam cientes jejunae exhibeto. Quod si ad cor prorumpentes uteri strangulatum inferant, neque decedant, porri et pulegii semen tribus aquae cyathis maceratum, aceti albi cyatho addito et mellis tertia cyathi parte, tepidum jejunae sorbendum dato. Si ex partu aut abortione rigor invadat, juniperi fructum et salviam simul trita, aceti albi cyatho macerata, affuso vini albi temperati poculo, involuta et residere permissa, mane vero colata et tepida bibenda dato. Si uteri flatu distenti fuerint et flatus in inferiore ventre gignatur, dolorque fuerit, salviam et cyperum tusa per noctem macerato, mane percolatum, purum in ollam diffusum, triticea farina crassiore injecta et aceti albi cyatho, laseris succo ad cyathi mensuram affuso, mixtum et crudius decoctum sorbendum dato. Si in pudendis gra-

Ed. Chart. VII. [715.] Foël. I. 581. 582. Ed. Lind. II. (401. 402.)
δυσοσμίη ἢ καὶ κίων ἐγγένηται καὶ ὀδύνη ἔχῃ, τὴν μὲν ὀδύνην παύσει σελίνου καρπὸς ἐν οἴνῳ διδόμενος νήστει, τὴν δὲ δυσοσμίην ἄννησον τὸν αὐτὸν τρόπον διδόμενον. || τὸν δὲ κίονα χρὴ ἀποτάμνειν. ἢν ἕλκεα ἐγγένηται ἐν τοῖσιν αἰδοίοισι καὶ ξυσμὸς λαμβάνῃ, ἐλαίης φύλλα καὶ κισσοῦ καὶ βάτου καὶ ῥοιῆς γλυκείης τρίψας, ἐν οἴνῳ τε διεὶς παλαιῷ, ἔπειτα λαβὼν σάρκα ποταινίην προσθεῖναι καὶ καταπλάσαι τοῖσι φύλλοισι, καὶ ἐχέτω τὴν νύκτα. ἔωθεν δὲ ἐξελομένη μυρσίνην ἐν οἴνῳ ἀφεψοῦσα, τῷ οἴνῳ διακλυζέσθω τὰ αἰδοῖα. ἢν τὴν γονὴν μὴ δέχηται τῶν γυναικείων κατὰ φύσιν γινομένων, ἡ μῆνιγξ ἐπίπροσθεν τούτου γίνεται. γίνεται δὲ καὶ ἐξ ἄλλων. γνώσῃ δὲ τόδε, ἢν ἐσαφάσσῃς τῷ (402) δακτύλῳ, ἅψῃ τοῦ προβλήματος. ταῦτα χρὴ πρόσθεμα ποιήσαντα, ῥητίνην καὶ ἄνθος χαλκοῦ μέλιτι διεὶς, ὀθόνιον ἀρδαλώσας προσθεῖναι ὡς ἐσωτάτω ῥάμμα ἐνδήσας ἀπὸ τοῦ ἄκρου. ὁκόταν γοῦν ἐξάλληται τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιηρῷ κλυζέσθω. ἢν ἄσθματα λαμβάνῃ γυναῖκα, θείου ὅσον κύαμον καὶ καρδάμου τὸ ἶσον καὶ πήγα-

vis odor et columella innata fuerit, dolorque detineat, dolorem quidem ſedabit apii ſemen ex vino jejunae exhibitum, gravem autem odorem aniſum eodem modo datum. At columellam praecidere oportet. Si ulcera in pudendis innaſcantur et pruritus corripiat, oleae, hederae, rubi et mali punici dulcis folia trita, vino veteri macerato, deinde carnem recentem foliis obductam in ſubdititio apponito, et per noctem teneat. Ea vero mane exempta, myrto in vino decocto pudenda colluat. Si genituram non recipiat, menſibus ſecundum naturam euntibus, membrana ori uteri praetenditur, quod etiam aliis ex cauſis contingit. Id autem cognoſces, ſi digito ad attrectandum immiſſo obicem attigeris. Haec in medicamento ſubdititio apponenda, reſinam et aëris florem melle ſubigito, et eo linteum conſpurcatum quam penitiſſime ſubdito, filo in ſummo alligato, quod cum exilierit, myrto in vino decocta, eo tepido colluatur. Si mulierem anhelationes invadunt, ſulphuris ſabae quantitatem, naſturtium pari portione, rutam et cuminum Aethio-

Ed. Chart. VII. [715. 716.] Foël. I. 582. Ed. Lind. II. (402. 403.)

νον, καὶ κυμίνου Αἰθιοπικοῦ, ταῦτα τρίψας λεῖα, καὶ δοὺς ἐν οἴνῳ πίνειν δοῦναι πήσει. δεῖ δὲ καὶ τῶν σιτίων ἀπέχεσθαι καὶ μὴ πυκνὰ ἐσθίειν. [716] ἢν τίκτουσα ἐξανεμωθῇ, ἅπαρ οἷος ἡ αἰγὸς ἐς τέφρην ἐγκρύψας διδόναι ἐσθίειν. ζωρότερον ἐπὶ τέσσαρας ἡμέρας, καὶ οἶνον πινέτω παλαιόν. ἢν τὰς ἰξύας ἀλγέῃ, ἄνησον καὶ κύμινον Αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω. ἢν τὰ ἐπιμήνια γίνηται, ὄστρακον παχὺ κατακαύσας καὶ λεῖον τρίψας καὶ ὀρίγανον ἑψήσας ἐν χηνὸς ἐλαίῳ λεῖον ποιῆσαι, καὶ ξυμμίξας τῷ ὀστράκῳ ἐν ὀθονίῳ χλιαρὸν προστιθέσθω. ἢν ξυμμύσωσιν αἱ μῆτραι καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, κολοκυντίδα ἀγρίην, καὶ φύλλον, κύμινον Αἰθιοπικὸν, νίτρον, ἅλας Θηβαϊκὸν καὶ νέφρην καὶ ἄλευρον καὶ σμύρναν καὶ ῥητίνην. ἅπαντα ζέσας ταῦτα ὁμοῦ τε μίξας λεῖα ποιῶν βάλανον προστιθέσθω. ἢν πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, οἶνον κέδρι(403)νον καὶ κύμινον Αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω. ἢν τὰ ἐπιμήνια μὴ γίνηται, χηνὸς ἔλαιον καὶ νέτωπον καὶ ῥητίνην ξυμμίσγουσα

picum, haec tenuiter trita, vino macerata jejunae potui exhibeto. Cibis autem abſtinendum, et non crebro edendum. Si puerpera flatu diſtenta fuerit, ovillum aut caprinum jecur cinere obrutum edendum dato, meracius ad dies quatuor et vinum vetus bibat. Si lumbis doleat, aniſum et cuminum Aethiopicum bibat, calida lavet et a balneo bibat. Si menſes non eunt, teſtam craſſiorem uſtam tenuiter tritam, et origanum anſeris pingui decoctum ac laevigatum teſtae in linteo commixtum, tepidum ſubter apponito. Si uteri conniveant, neque menſes comparent, colocynthida agreſtem, ſilphii ſemen, cuminum Aethiopicum, nitrum, ſalem Thebaicum, adipem renalem, farinam, myrrham, omnia ferveſacta, ſimul mixta trita, in glandem formata, ſubter apponito. Si uteri ad viſcera verſi ſtrangularint, vinum cedrinum et cuminum Aethiopicum bibat, calida lavet et a balneo bibat. Si menſes non eunt, anſeris adipem, netopum, reſinam, ſimul mixta, vellere excepta

Ed. Chart. VII. [716. 717.] Foës. I. 582. Ed. Lind. II. (403.)
ἡ γυνὴ προσθέσθω, εἰρίῳ ἀνασπογγίζουσα. ἢν δὲ μᾶλλον τοῦ προσήκοντος ἔρχωνται, σούσινον καὶ βάτου γλῶσσαν ἐν εἰρίῳ προστιθέσθω. ἢν μετακινηθεῖσαι προσπέσωσί που αἱ ὑστέραι, κριθὰς πτίσας λείας ξὺν τοῖς ἀχύροις πρόσβαλλε, καὶ ἐλάφου κέρας οἴνῳ δεύσας ὑποθυμιῆν τὰς ὑστέρας. [717] ἢν μὴ δύνηται ἀποφυγεῖν, μαράθρου ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ μέλιτι ἀναζέσαντα δοῦναι πιεῖν. ἢν τὰ ἐπιμήνια μὴ φαίνηται καὶ βούλῃ αὐτὰ κατασπᾶν, πυρῶν κρίμνα καὶ κριθὰς ἕψειν, ἔλαιον ἐπιχέαντα. εἶτα διδόναι ἐσθίειν. ἢν φλεγμήνωσιν αἱ μῆτραι, κοτυληδόνος φύλλα καὶ πράσα κρίμνοις ἐρεψῶν πυρίνοις, ἔλαιον ἐπιχέων δίδου ἐσθίειν. ἢν κινηθεῖσαί που προσπέσωσι καὶ ὀδύνην παρέχωσιν, ἑλμίνθης ψώρην καὶ δάφνης καὶ κυπαρίσσου πρίσματα ἑψήσας ἐν ὕδατι ἐς ὀθόνιον ἐμβαλὼν προστίθει. ἢν ὑστέρα ἀλγέῃ καὶ πρὸς τὴν κύστιν ᾖ ὀδύνη, πράσου καρπὸν τρίψας ἐν ὕδατι πιεῖν δίδόναι νήστιδι καὶ χλιάσματα προστιθέναι. ἢν αἱ μῆτραι προσέχωσι, περινίψας αὐτὰς ἐν ὕδατι χλιαρῷ καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι, καὶ ἀναδῆσαι ἐκ

mulier ſubter apponat. Si vero plus quam conveniat prodeant, ſuſinum et rajae linguam in vellere ſubter apponat. Si commoti uteri aliquam in partem procumbant, hordeum decorticatum tritum cum paleis in vinum conjectum, cum cornu cervino vino ſubactum, utero ad ſuffitum adhibeto. Si ſecundis liberari nequeat, foeniculum ex vino et oleo et melle ferveſactum potui exhibeto. Si menſes non compareant, eosque evellere voles, triticeam farinam craſſius molitam et hordeum oleo affuſo coquito, deinde comedendum dato. Si uteri inflammatione laborarint, umbilici veneris ſolia et porrum cum triticea farina craſſius molita, oleo affuſo decocta edenda dato. Si uteri moti aliquam in partem procubuerint, doloremque exhibuerint, oleae ſcabiem, lauri et cupreſſi ramenta aqua decocta, linteo excepta, ſubter apponito. Si uterus doleat, dolorque ad veſicam pertingat, porri ſemen ex aqua tritum jejunae potui exhibeto et tepefactoria admoveto. Si uteri promineant, eos aqua tepida lotos oleo et vino illitos rurſus intromit-

Ed. Chart. VII. [717. 718.] Foës. I. 582. 583. Ed. Lind. II. (403. 404.) τῶν ἰξύων, καὶ ὑποθυμιᾶν τὰ κακώδεα, καὶ ἢν μὴ δύνηται οὐρέειν, λούσας (404) θερμῷ καὶ πυριήσας. ὑποθυμιήσας κυπαρίσσου πρίσματα καὶ τῶν οὐρητικῶν ποτημάτων διδόναι πίνειν. || ἢν ῥόος γένηται, ὑποθυμιήσας στρυφνοῖσιν, ὀνίδα περιξέσας, ἐνδήσας εἰρίῳ προστίθει. ἡ δὲ ὀνὶς ἔστω ξηρή. ἢν ἐν τοῖσιν αἰδοίοισιν ἕλκεα γένηται, βόειον στέαρ ἐπιλείφειν καὶ προστιθέναι, καὶ τῆς μυρσίνης ἐν οἴνῳ ἀφεψῶν διακλύσαι. [718] ἢν ἐκ τόκου τὸ στόμα ἑλκωθῇ, ῥόδων ἄνθος τρίψας λεῖον οἴνῳ δεύσας ἐν λαγωοῖσι θριξὶ, προστιθέναι καὶ διακλυζέσθω τοῖσι στρυφνοῖσι. ἢν τὰς ὑστέρας ἀλγέῃ, σκορόδων μώλυζαν καὶ νίτρον ὀπτὸν καὶ κύμινον λεῖα ποιήσας μέλιτι δεύων προστίθει, καὶ τῷ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω. ἢν ἀφθήσῃ τὰ αἰδοῖα, στέαρ βοὸς καὶ βούτυρον καὶ χηνὸς ἔλαιον καὶ σούσινον μίξας, διαχρίειν τὰ αἰδοῖα τουτέοισι, καὶ διακλυζέσθω χλιαρῷ ὕδατι. ἢν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον χλιήνας, ἀποσβέσας, ὑπίσχειν ὑπὸ τὴν ῥῖνα, ὅκως ἂν τὸν καπνὸν ἕλκῃ. ἔπειτα σμύρναν

tito, ex lumbis religato, et graveolentium ſuffitum adhibeto. Quod ſi urinam reddere nequeat, poſt calidae balneum et fotum, cupreſſi ramenta ad ſuffitum admoveto, et potiones urinam ducentes potui exhibeto. Si fluor muliebris contingat, ſuffitu ex acerbis adhibito, ſtercus aſininum deraſum, in vellere ligatum ſubter apponito. Sit autem ſtercus aſininum ſiccum. Si in pudendis ulcera exorta ſint, adipem bubulum illinito et apponito, et myrto ex vino decocta colluito. Si ex partu os exulceratum fuerit, roſarum florem tenuiter tritum, vino maceratum ex leporinis pilis ſubter apponito, et acerbis colluito. Si uteros dolor detineat, allii caput integrum, nitrum toſtum, cuminum, haec laeviter trita, melle ſubacta ſubter apponito, calida lavet et ſubcalidum bibat. Si pudenda ſuperficiario ulcere laborent, adipem bubulum, butyrum, anſerinum adipem et ſuſinum permiſceto, his pudenda inungito et aqua tepida colluito. Si ſurſum prorumpentes uteri ſuffocent, funiculum lucernarium accenſum extinctum ad nares admoveto, quo fumum attrahat et myrrham unguento ſub-

Ed. Chart. VII. [718. 719.] Foës. I. 583. Ed. Lind. II. (404. 405.)
διεὶς μύρῳ, εἰρίῳ ἀναδεύσας προστίθει, καὶ πιεῖν δίδου ῥητίνην ἐλαίῳ διέντα. ἢν τὸ χωρίον μὴ ὑποχωρέῃ, κόννυζαν τρίψας ἐν εἰρίῳ ποιήσας πρόσθεμα προστιθέναι, καὶ τὴν ἴγνυν οἴνῳ διατρίψας δοῦναι πιεῖν. ἢν τὴν κεφαλὴν ἀλγέῃ καὶ τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας. χολὴ ἐν τῇσι μήτρῃσιν ἐστί. ταύτῃ γοῦν χρὴ δοῦναι φάρμακον, ὃ καθαίρειν ἄνω τε καὶ κάτω δύ(405)ναται, καὶ λοίειν θερμῷ, καὶ προστιθέναι ὅσα χολὴν καθαίρει. καὶ ἄννησον καὶ μελάνθιον διεὶς οἴνῳ δίδου πιεῖν. ἢν ῥόος ἐγγένηται, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ τὸν οἶνον διδόναι πίνειν καὶ [719] ὑποθυμιᾶν ὅσα ξηραίνει καὶ προστιθέναι. ἢν ῥοῦς ἐγγένηται, τῶν πράσων ὅσον δεσμίδα τρίψας ἐν οἴνῳ δίδου πίνειν, καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι στρυφνοῖσι χρήσθω. ἢν ῥοῦς ἐγγένηται, ἡμιονίδα κατακαύσας καὶ κόψας λείην, διασήσας τε διεὶς οἴνῳ πιπισκέτω. τοῖσι δὲ ἄλλοισι τὸν αὐτὸν τρόπον χρῶτο. ἢν ῥοῦς ἐγγένηται καὶ πολυχρόνιος ἤδη ᾖ, σῆνον κατακαύσας καὶ τρίψας λεῖον, οἴνῳ διεὶς εὐώδει πῖσον, καὶ ὑποθυμιήσας ξήραινε καὶ προστίθει ὅ τι ἂν ἀποσύφῃ. ἢν

actam, vellere exceptam ſubter apponito, et reſinam oleo dilutam bibendam dato. Si ſecundae non ſecedant, conyzam tritam in vellere ad ſubditicium exceptam ſubter apponito, et in pila ex vino tritam potui exhibeto. Si caput venter imus et lumbi doleant, bilis uteros infeſtat. Huic igitur medicamentum quod ſurſum et deorſum purgare poteſt exhibere oportet, calida lavare, et quae bilem purgent in ſubditicio apponere. Aniſum et melanthium vino maceratum bibendum praebeto. Si fluor muliebris obortus fuerit, cancris fluvialibus ex vino ſuffocatis, vinum potui exhibeto, quaeque ſiccant ad ſuffitum et ſubditicium apponito. Ad idem. Porri pugillum ex vino tritum bibendum dato, ſiccis et acerbis utatur. Ad idem. Muli ſtercus uſtum, tenuiter tuſum et cribratum, ex vino maceratum bibat, reliquis quoque ad eundem modum utatur. Si fluor muliebris obortus jam diu tenuerit, ſpongiam uſtam tenuiter tritam, vino odoro maceratam propinato et ſuffitu adhibito reſiccato, quodque reſtringat in

Ed. Chart. VII. [719.] Foël. I. 583. Ed. Lind. II. (405. 406.)

καθῆραι τὰς ὑστέρας βούλῃ, νίτρον, κύμινον, σκόροδον, καὶ σῦκα λεῖα ποιήσας μέλιτι δεύσας προστίθει, καὶ θερμῷ λουέσθω, καὶ ὑπόθερμον πινέτω. ἢν ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου τὴν ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νήστει, καὶ θερμῷ λουέσθω καὶ ὑπόθερμον πινέτω. ἢν γάλα ἀποσβεσθῇ, τὰ μὲν ἄλλα τὸν αὐτὸν τρόπον θεράπευε· πιπίσκειν δὲ δίδου τὸν καρπὸν τοῦ μαράθρου, καὶ τὰς ῥίζας ἐπτημένας καὶ βούτυρον ἐψήσας ὁμοῦ. ὁκόταν δὲ ἐφθὰ ᾖ, ψύξας δὸς πιεῖν. ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον καὶ τὸ ἱπποσέλινον συνεψόμενα. ἢν γάλα ἀποσβεσθῇ, πράσα τρίψας διεὶς ὕδατι δοῦναι πιεῖν καὶ θερμῷ λουέσθω, καὶ τῶν (406) πράσων καὶ τῶν κραμβῶν ἐσθιέτω συνεψοῦσα τοῦ κυτίσου τὰ φύλλα, καὶ τὸν χυλὸν ῥοφείτω. ἢν γάλα ἀποσβεσθῇ, πράσα τρίψας διεὶς ὕδατι δοῦναι πιεῖν, καὶ θερμῷ λουέσθω, τὸν ἐλελίσφακον ἐφοῦσα, καὶ τῶν κεδρίνων ἢ τῶν ἀρκευθίδων παρεμβάλλουσα, ἀποχέουσα τὸν χυμὸν καὶ οἶνον ἐπιχέουσα, πινέτω ἐς τὰ λοιπὰ ἄλευρον ἐμβάλλουσα καὶ βόλβον, καὶ ἐλαίου μικρὸν ἐπιχέουσα ἐσθιέτω, καὶ τῶν δριμέων καὶ τῶν ὀξέων καὶ ἁλμυρῶν καὶ ὠμῶν λαχάνων πάντων ἀπεχέσθω. τὸ δὲ

ſubdititio apponito. Si uteros purgare voles, nitrum, cuminum, allium, ficus, haec tenuiter trita, melle ſubacta ſubter apponito, calida lavet et a balneo bibat. Si uteri dolor vexet, cyclamini radicem ex vino albo jejunae propinato, calida lavet et a balneo bibat. Si lac extinctum fuerit caetera quidem eodem modo curato, potui autem exhibeto foeniculi ſemen et radices decorticatas, ſimulque butyrum decoquito, cum vero decocta fuerint, refrigerata potui exhibeto. Optimum autem hipponarathrum et hipposelinum ſimul cocta. Ad idem valet porrum tritum aqua maceratum, potui exhibitum, calida lavet, porrum et braſſicam et ſimul decocta cytiſi folia edat ſuccumque ſorbeat. Ad idem porrum tritum aqua maceratum bibendum dato, calida lavet, ſalvia decocta et injectis cedri et juniperi baccis, ſucco diffuſo vinum affundat, bibat, ad reliqua injectam farinam et bulbum pauco oleo affuſo edat; acribus, acidis, ſalſis et omnibus oleribus crudis abſtineat:

Ed. Chart. VII. [719. 720.] Foës. I. 583. 584. Ed. Lind. II. (406. 407.) κάρδαμον ἐν οἴνῳ πινόμενον ἀγαθὸν, καὶ γὰρ τὸ γάλα καθαίρει, καὶ θερμῷ λουέσθω καὶ ἀπόθερμον πινέτω. ἢν βούλῃ γυναῖκα κυῆσαι, κάθηρον αὐτὴν καὶ τὰς μήτρας. || ἔπειτα δίδου τὸ ἄνηθον ἐσθίειν νήστει, καὶ οἶνον ἐπιπίνειν ἄκρητον, καὶ προστιθέναι νίτρον ἐρυθρόν. κύμινον καὶ ῥητίνην μέλιτι δεύσας ἐν ὀθονίῳ [720] πρόσθες, καὶ ὁκόταν τὸ ὕδωρ ἀποῤῥυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτήριον καὶ τῷ ἀνδρὶ ξυνευνούτω. ἢν βούλῃ ἔγκυον ποιῆσαι γυναῖκα, καθήρας αὐτὴν καὶ τὰς μήτρας προστιθέναι τῇσι μήτρῃσι ῥάκος καταξηράνας ὡς λεπτότατον, καὶ μέλιτι δεύσας καὶ βαλάνους ποιήσας ἀποβάπτων ἐς ὀπὸν συκῆς προστιθέναι, μέχρις ἂν στομωθῇ. ἔπειτα δὲ μᾶλλον εἰσωθεῖν. ἐπειδὰν δὲ ἀποῤῥυῇ τὸ ὕδωρ, διανιζομένη οἴνῳ καὶ ἐλαίῳ συνευδέτω τῷ ἀνδρί. πινέτω δὲ καὶ, ὁκόταν μέλλῃ καθεύδειν, βλήχωνα ἐπὶ κεδρίνῳ οἴνῳ. ἐκβόλιον ἐμβρύου καὶ μητρέων. σικύου ἀγρίου τὸν ὀπὸν, ὅσον πόσιν ἐς μᾶζαν ἐμπάσασαν προσθεῖναι, προνηστεύσασαν ἐπὶ (407) δύο ἡμέρας. σταφίδος ἀγρίης ὅσον δύο δραχμίδας διεὶς ἐν μελικρήτῳ

Naſturtium ex vino potum prodeſt, lac enim purgat, calida lavet et a balneo bibat. Si voles ut mulier concipiat, ipſam et uteros purgato, deinde anethum jejunae comedendum dato, vinumque merum ſuperbibendum et nitrum rubrum, cuminum, reſinam, melle ſubacta in linteo ſubter apponito, cumque aqua defluxerit, peſſos nigros qui emolliant in ſubdititio apponito et cum viro dormiat. Si velis ut mulier concipiat, ubi ipſam uterosque purgaveris, linteum detritum quam tenuiſſimum reſiccatum in peſſo adhibeto, et melle ſubactum in glandulas efformatum, ſici ſucco imbutum, quoad os apertum fuerit ſubter apponito, deinde magis intro pellito. Ubi autem aqua defluxerit et vino et oleo colluta fuerit, cum viro dormiat, cumque dormire volet, pulegium ex vino cedrino bibat. Medicamentum foetum ex uteris ejiciens. Cucumeris agreſtis ſuccum potionis quantitate in mazam efformatum in ſubdititio apponat, cum antea per duos dies jejunaverit. Uvae taminiae agreſtis pugillos duos aqua mulſa maceratos potui

Ed. Chart. VII. [720. 721.] Foëſ. I. 584. Ed. Lind. II. (407.)
δοῦναι πιεῖν. πειρητήριον. μώλυζαν σκορόδου ἀποζέσας προσθεῖναι πρὸς τὰς μήτρας. τῇ δ' ὑστεραίῃ τὸν δάκτυλον διεῖσα καὶ ἐσαφάσσουσα σκοπείτω. καὶ ἢν μὲν ὀρῇ τὸ στόμα, εὖ ἔχει· εἰ δ' οὐ, πάλιν προστιθέσθω. ἕτερον πειρητήριον. τέτωπον ὀλίγον ἐν εἰρίῳ εἰλίξας προσθεῖναι, καὶ ὀρῇν ὅθεν ἂν τοῦ στόματος ὄζῃ προσθετά. σκορπίου θαλασσίου τὴν χολὴν ἐς εἴριον ἐνειλίξας καὶ ξηρήνας ἐν σκιᾷ προστίθει. γλήχωνα ξηρὸν λεῖον ποιήσας μέλιτι δεύσας προστιθέναι ἐν εἰρίῳ. σικύου σπέρμα καὶ ὄστρακον κατακαύσας οἴνῳ τε δεύσας ἐν λαγωῇσι ὀριξὶν, ἐν εἰρίῳ προστιθέναι. στυπτηρίην Αἰγυπτίην εἰρίῳ κατελίξας προστίθει. κανθαρίδας οἴνῳ δεύσας ἐν εἰρίῳ προστίθει. [721] τὴν ἀρτεμισίην ποίην οἴνῳ δεύσας προστίθει. μελάνθιον τρίψας ἐν οἴνῳ λευκῷ εἰρίῳ προστίθει. νεοτόκῳ. ῥόδινον μύρον καὶ κηρὸν ἐν εἰρίῳ προστίθει. βόλβιτον τὸ ἐκ τῶν πυρῶν τρίψας ἐν οἴνῳ δεύσας ἐν εἰρίῳ προστίθει. οἴνου λευκοῦ παλαιοῦ τὴν τρύγα κατακαύσας καὶ καταδεύσας ἐν οἴνῳ λευκῷ καὶ

exhibeto. Medicamentum quo foecunditatem explores. Allium caput unicum habens decoctum ad uteros ſubter apponito, poſtero vero die immiſſo ad contrectandum digito conſideret, et ſi quidem os deprehendat, bene ſe res habet, ſin minus, rurſus ſubter apponat. Aliud ad explorandam foecunditatem. Netopum parva quantitate vellere involutum ſubter apponito et videto, quemnam odorem os redolcat. Medicamenta in ſubdititio appoſita. Scorpii marini fel in vellere convolutum et in umbra ſiccatum ſubdito. Pulegium ſiccum tenuiter tritum, melle ſubactum in vellere ſubdito. Cucumeris ſemen et teſtam uſtam, vino ſubactam cum pilis leporinis, in vellere ſubdito. Alumen Aegyptium lana involutum ſubdito. Cantharidas vino maceratas in vellere ſubdito. Artemiſiam herbam vino maceratam ſubter apponito. Melanthium ex vino albo tritum in vellere apponito. Recens enixae unguentum roſaceum et ceram in vellere ſubter apponito. Bulbulum in ſegetibus naſcentem, tritum, vino ſubactum, in vellere apponito. Vini albi veteris faecem uſtam, vino albo reſtinctam

Ed. Chart. VII. [721. 722.] Foës. I. 584. Ed. Lind. II. (407. 408.)

τρίψας ἐν εἰρίῳ προστίθει. χαλβάνην καὶ νέτωπον καὶ μίσυ ἐν ῥοδίνῳ μύρῳ ἐν ὀθονίῳ προστίθει. ἐλατήριον ὡς δύο πόσιας καὶ κηρίον ἐν οἴνῳ ἐν ὀθονίῳ προστίθει. βούτυρον καὶ στυπτηρίην μέλιτι δεύσας ἐν ὀθονίῳ προστίθει. ὀπὸν σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ συναναμίξας οἴνῳ, (408) δεύσας, ἐν ὀθονίῳ προστίθει. ἢν μὴ θέλῃ κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι δίδου πίνειν καὶ ἑνιαυτὸν οὐ κυΐσκεται. ἢν βούλῃ γυναικὸς ἐμπειρηθῆναι, εἰ ἔστι παιδίουσα εἴτε καὶ μή, τῇ ἐρυθρᾷ λίθῳ τοὺς ὀφθαλμοὺς ὑπαλεῖψαι, καὶ ἢν μὲν ἐσέλθῃ τὸ φάρμακον, παιδίουσα γίνεται· ἢν δὲ μή, οὔ. ἢν παιδίου ἀφθᾷ τὰ αἰδοῖα, ἀμύγδαλα λεῖα τρίψας καὶ βοὸς μυελὸν ἐν ὕδατι ἑψῶν καὶ ἄλητον ἐμβαλὼν μικρὸν, διαχρίειν τὰ αἰδοῖα, καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων. ἢν παρθένος λιθιήσῃ, τοῦ φύλλου διδόναι τῆς Αἰθιοπικῆς ῥίζης ἐν σταθμῷ. ἐν οἴνῳ παλαιῷ διδοὺς ἐπὶ ἡμέρας δέκα, τὸ δὲ λοιπὸν διηθῶν ἐν ὕδατι ἐπὶ εἴκοσιν ἡμέραις, καὶ λούειν δὶς τῆς ἡμέρης πολλῷ καὶ θερμῷ. [722]

et tritam, in vellere apponito. Galbanum, netopum, miſy, unguento roſaceo excepta, in linteo ſubter apponito. Elaterium fere duarum potionum quantitate et favum vino ſubactum in linteo ſubdito. Butyrum et alumen melle ſubacta in linteo ſupponito. Scammoniae ſuccum et adipem cum maza permixtum, vino ſubactum, in linteo ſubter apponito. Si mulier concipere nolit, miſyos fabae quantitatem aqua maceratam potui exhibeto, et per annum non concipiet. Si periculum facere velis in mulie e, praegnans ſit necne, terra erythraea aut rubrica oculos illine, ſique medicamentum intro ſubierit, praegnans eſt, ſin minus, minime. Si puerperae pudenda ulcere ſuperficiario laborarint, amygdalis tenuiter tritis et medulla bovis aqua decocta, modica farina injecta pudenda illine, et aqua in qua myrti baccae decoctae fuerint collue. Si virgo calculo laborarit, radicis Aethiopicae folium ex vino vetere drachmae pondere decem diebus exhibeto, deinde ex aqua percolatum diebus viginti, bisque die multa calida

Ed. Chart. VII. [722.] Foës. I. 584. 585. Ed. Lind. II. (408. 409.)
καταπλάσματα. σκόροδον, ἀνδράχνην, σέλινον, λωτοῦ καὶ κέδρου πρίσματα λεῖα ὁμοῦ μίξας διεὶς μελικρήτῳ, κατάπλασμα ποιέων κατάπλασσε. βάτου φύλλα, μυρσίνης φύλλα, ὁμοῦ λεῖα διεὶς μελικρήτῳ ξυμφυρήσας ἀλφίτοις κατάπλασσε. ἀκτῆς φύλλα, μυρσίνης φύλλα, τερμίνθου τὰ ἁπαλώτατα τὸν αὐτὸν τρόπον κατάπλασσε. || λωτοῦ πρίσματα, συκαμίνου φύλλα ὁμοῦ λεῖα μίξας, διεὶς ὕδατι ἀσταφίδος κατάπλασσε. ὑποθυμιήσεις. ὄϊος σταῖς, ἢ αἰγὸς ξηρὰς κόψας καὶ κριθὰς πεφωσμένας καὶ ἐρηριγμένας ἐν ἐλαίῳ δεύσας, ὑποθυμία. ἐλάφου κέρας καὶ ἐλαίας τὰς μήπω ἐχούσας ἔλαιον, ὁμοῦ λεῖα μίξας θυμία. ῥοῦν τὴν ἐρυ- (409)θρὴν καὶ ἄλφιτα πεφωσμένα ἐλαίῳ δεύσας ὑποθυμία. ἄλφιτον καὶ βόλβιτον καὶ ἄχυρα ἐλαίῳ δεύσας ὑποθυμία. λωτοῦ πρίσματα καὶ ῥοῦ φύλλα καὶ κυπαρίσσου ξηρῆς πρίσματα οἴνῳ μέλανι δεύσας αὐστηρῷ ὑποθυμιᾶν. χαλβάνην, μάνναν, ῥητίνην μύρῳ δεύσας ὑποθυμιᾶν. αἰγὸς κέρας καὶ κικίδα καὶ στέαρ ὑὸς καὶ κεδρία ὑποθυμία. ὄνων τὴν ἐπὶ

lavet. Cataplasmata. Allium, portulacam, apium, loti et cedri ramenta trita simul mixta, aqua mulsa macerata, ex cataplasmate imponito. Rubi folia, myrti folia simul trita, aqua mulsa macerata cum polenta subacta, in cataplasmate admoveto. Sambuci folia, myrti folia, terebinthi tenerrima germina, ad eundem modum ex cataplasmate imponito. Loti ramenta, mori folia trita, simul mixta uvae passae aqua macerata, ex cataplasmate imponito. Suffitus. Ovis aut caprae pingue siccum actusum, et hordeum tostum ac confractum, oleo subactum, ad suffitum adhibeto. Cervi cornu et olivas oleum nondum habentes, trita simul mixta, ad suffitum adhibeto. Rhoën rubrum et polentam tostam oleo subactam suffito. Polentam, stercus bubulum et hordei paleas, haec oleo subacta suffitu adhibeto. Loti ramenta, rhois folia et cupressi siccae ramenta, vino nigro austero macerata, ad suffitum adhibeto. Galbanum, mannam, resinam, haec unguento subacta suffito. Caprae cornu, gallam, suillam adipem et cedriam suffito. Terram a pedibus asinorum

Ed. Chart. VII. [722. 723.] Foës. I. 585. Ed. Lind. II. (409.)
τῷ ποδὶ γῆν ξύσας καὶ ὀνίδας οἴνῳ μέλανι δεύσας ὑποθυμιᾶν. [723] κλυσμοί. μυρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ ἐν ὕδατι χλιηρῷ κλύζειν. ῥοῦ φύλλα καὶ ῥοιῆς καὶ βάτου, ἐν μελικρήτῳ ἀφεψῶν ἀποχέων κλύζειν. τῆς ἀκτῆς τὰ φύλλα καὶ τῆς ἐσχίνου ἀφεψῶν ὕδατι ἀποχέας, ἀκροχλιήρως κλύζειν. μαράθρου ῥίζαν κόψας, ἐν ὕδατι ἀφεψῶν καὶ κράμβης ἐπιχέας ἔλαιον, ἔπειτα ἀποχέας κλύζειν. οἰνάνθην καὶ κύπερον καὶ ἀσταφίδας ἀφεψῶν ἐν μελικρήτῳ κλύζειν. μάλαγμά τι ἐν ὕδατι ζέσας ἀποχέας τὸ ὕδωρ, ἀκροχλίηρον κλύζειν. κυπαρίσσου πρίσματα καὶ ἀμάρακον ἐν γλυκεῖ κεκρημένῳ ὕδατι ἀφεψῶν κλύζειν. ἔρπυλον καὶ λευκοΐου τὴν ῥίζαν ἀφεψῶν ἐν μελικρήτῳ κλύζειν. ὑπερικὸν καὶ σχῖνον καὶ κεδρίδας ἐν ὕδατι ἀφεψῶν, ἀκροχλίηρον κλύζειν. κηρίον καὶ βούτυρον καὶ ῥητίνην καὶ χηνὸς ἔλαιον, ἐν ὕδατι ἀφεψῶν κλύζειν. πυριήσεις. αἴρας φώξας καὶ καταλέσας ἕψε ἐν ὀξυκράτῳ ἀκρατεστέρῳ. ὁκόταν δὲ ἑψήσῃς, ἐνδήσας εἰς ὀθόνιον πυριᾶν. φακοὺς φώξας καὶ περιπτήσας καὶ ποιήσας ἄλευρα

derafam et ſtercus aſininum, vino nigro macerata ſuffito. Collutiones. Myrti folia, lauri et hederae in aqua decoquito, tepido colluito. Rhois, mali punici et rubi folia in aqua mulſa decoquito, colata colluito. Sambuci et lentiſci foliis aqua decoctis et percolatis, ſumme tepido colluito. Foeniculi et braſſicae radice tuſa, in aqua decocta, affuſo oleo, deinde excolata colluito. Oenanthen, cyperum et uvas paſſas in aqua mulſa ubi decoxeris, colluito. Emolliente aliquo in aqua decocto, diffuſſa aqua, ſumme tepido colluito. Cupreſſi ramenta et amaracum paſſo aqua temperato ubi decoxeris, colluito. Serpillum et violae albae radicem, cum in aqua mulſa decoxeris, colluito. Hypericum, lentiſcum, cedri baccas aqua decoquito, ſumme tepido colluito. Favum, butyrum, reſinam et anſeris adipem aqua ubi decoxeris, colluito. Fotus. Lolium toſtum et molitum in paſſo meraciore decoquito, decoctum in linteo ligatum fotui adhibeto. Lentem toſtam detracto cortice, in ſarinam craſſiorem redactam et in grumos collectam, aqua

Ed. Chart. VII. [723. 724.] Foël. I. 585. Ed. Lind. II. (409. 410.)
χονδρώδη, ὕδατι (410) ἀφεψήσας ἐνδήσας εἰς ὀθόνιον προστίθει. ὀρόβους τὸν αὐτὸν τρόπον ποιέων πυριῆν. [724] ἀγαθὸν δὲ καὶ ὁ ἐλελίσφακος τὸν αὐτὸν τρόπον γινόμενος. ἐλελίσφακον καὶ ὑπερικὸν ἀφεψῶν ἐν ὕδατι, ἐν τῷ ἀφεψήματι ἄχυρα κριθῶν ἑψήσας ἐς ὀθόνιον πυρία. λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἀφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι, ἐνδήσας ἐς ὀθόνιον πυρία. ἐλαίης φύλλα καὶ μυρσίνης καὶ κισσοῦ καὶ δάφνης ἑψῶν ἐν ὕδατι ἀποχέας τὸ ἀφέψημα ἕψε ἐν αὐτέῳ ἄχυρα κριθῶν. ἔπειτα ἐνδήσας ἐς ὀθόνιον πυρία. κυπαρίσσου πρίσματα καὶ κέδρου καὶ πίτυρα κριθῶν, ὁμοῦ μίξας ἐν ἀποβρέγματι ἀσταφίδος, φυρήσας καὶ ποιήσας ἄρτον, ὀπτήσας θερμὸν ἐς ῥάκος ἐνδήσας πυρία. λευκοΐου τὸν καρπὸν ἢ τὰς ῥίζας ἀφεψήσας ὕδατι καὶ τῷ ὕδατι φυρήσας πίτυρα πυρῶν ἄρτον ποιήσας θερμὸν, ἐς ῥάκος ἐνειλίξας πυρία. τὸν ἔρπυλον ἐν ὕδατι ἀφεψήσας, τῷ ἀφεψήματι πίτυρα πύρινα ἐμβαλὼν, τὸν αὐτὸν τρόπον πυρία. σπόγγους θερμαίνων καὶ προσιτθεὶς, καὶ εἰρίοισι μαλθακοῖσι καὶ ῥάκεσι ἐρίοισιν καὶ ὀστρακίοισιν ἀγγείοισιν ὕδωρ ἐπιχέων καὶ

decoctam, in linteo ligatam apponito. Orobum eodem modo apparatum in fotu admoveto, valet etiam ſalvia ad eundem modum apparata. Salviam et hypericum in aqua decoquito et hordei paleas in decocto coctas, in linteo ad fomentum adhibeto. Loti et cupreſſi ramenta, uvae paſſae diluto decocta, ex linteo ligata fotui exhibeto. Oleae, myrti, hederae et lauri folia, aqua decocta et in ipſo diluto colato hordei paleas decoctas, deinde in linteo ligatas fotui adhibeto. Cupreſſi et cedri ramenta, ac hordei furfures, ſimul mixta et uvae paſſae diluto ſubacta, in paſtillum efformato, hunc aſſatum calidum in linteo ligatum ad fotum admoveto. Violae albae ſemen et radices aqua decoctas, ex qua tritici furfures ſubactos in paſtillum redigito, calidum linteo involutum ad fotum adhibeto. Serpillum in aqua decoctum, furfuribus triticeis in dilutum injectis, eodem modo fotui admoveto. Spongiis calidis admotis, lanis mollibus, pannis laneis et vaſis teſtaceis aqua infuſa, utriculisque ad eundem

Ed. Chart. VII. [724. 725.] Foës. I. 585. 586. Ed. Lind. II. (410. 411.)
θυλακίοισι τὸν αὐτὸν τρόπον καὶ τῶν ἀφεψημάτων ἐγχέων, πυριῆν. καθαρτήριον. ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, κυῆσαι θέλῃς ποιῆσαι, σκέψασθαι χρὴ ἐν τοῖσιν καταμηνίοισιν, ἢν τε χολώδης, ἢν δὲ φλεγματώδης ᾖ. γνώσῃ δὲ τόδε πρότερον. ψάμμον ἐμβαλὼν εἰς τὸν ἥλιον λεπτὴν, ξηρὴν, ὁκόταν τὰ καταμήνια γένωνται, ἐν τῷ ἡλίῳ ἀποχέας τοῦ αἵματος ἔα ξηρανθῆναι. ‖ καὶ ἢν (411) μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται· ἢν δὲ φλεγματώδης, οἷον μύξα. ταυτέων οὖν ὁκότερον ἂν ᾖ καθήρας τὴν κοιλίην, ἢν τε ἄνω ἢν τε κάτω δοκέῃ σοι δεῖσθαι, εἶτα διαλιπὼν ἡμέρας ὀλίγας, τὰς ὑστέρας καθαίρειν. [725] ὑστερέων πυρίαι. ἢν σκληραὶ ἔωσιν αἱ ὑστέραι καὶ μὴ κυΐσκηται, οἷον ὡς ἥδιστον ἴσον κεράσας, ὡσεὶ τρία ἡμίχοα Ἀττικὰ, καὶ μαράθρου ῥίζας, καὶ τοῦ καρποῦ τοῦ μαράθρου τετάρτην μοίρην, καὶ ῥοδίου ἀλείμματος ἡμικοτύλην. ταῦτα ἐγχέας ἐς ἐχῖνον κενὸν καὶ τὸν οἶνον ἐπιχέας, τοῦ δὲ ἐχίνου τρυπῆσαι τὸ ἐπίθεμα καὶ ἐνθέντα κάλαμον πυριῆν. τὸν δὲ κάλαμον σὺν τῷ ἐπιθέματι ἀφαιρέεσθαι. ἢν γὰρ ἄνευ τοῦ

modum diluto infuſo ad fotum utitor. Medicamentum purgans. Si mulierem parere nequeuntem conceptui aptam reddere voles, ad menſes animum intendere oportet, biliosane an pituitoſa exiſtat. Hoc ſic prius cognoveris. Arenam tenuem et ſiccam ſoli exponito, cum menſes jam fluant, in ſole ſanguinem effuſum ſiccari ſinito. Ac ſi bilioſa fuerit, in arena ſiccatus ſanguis pallidus redditur, ſin pituitoſa, velut mucus. Utrum igitur horum contingat, ventrem, ſive per ſuperiora ſive per inferiora purgatione indigere tibi viſum fuerit, purgato, deinde paucis interjectis diebus uteros. Uteri fotus. Si duri fuerint uteri, neque concipiat, vini quam ſuaviſſimi pari aqua temperati tria ſemicongia Attica, radicum feniculi et ſeminis quartam partem, unguentique roſacei dimidiam heminam. Haec in ollam magnam novam vino affuſo fundens, ollae operculum perforato et arundine impoſita fotum adhibeto, arundinem cum operculo tollito. Niſi enim cum operculo abſtuleris, exuretur. Poſt adhibi-

Ed. Chart. VII. [725.] Foël. I. 586. Ed. Lind. II. (411. 412.)
ἐπιθέματος ἀφαιρέης, καυθήσεται. ἐπὴν δὲ πυριήσηται, τὴν σκίλλαν προστίθεσθαι, ὡς κάτω γέγραπται. προστίθεσθαι δὲ ἔστ' ἂν φῇ μαλακὸν εἶναι τὸ στόμα καὶ εὐρύ. καὶ ἢν μὲν ἑλκωθῇ καὶ φλύκταιναι ὦσιν ἐν τῇ καθάρσει, ἢν μὲν ἄκρα τὰ χείλεα ἑλκωθῇ, ἄνησον καὶ χήνειον ἔλαιον ἐν ῥοδίνῳ ἐλαίῳ τρίψας, ἐς εἰρίον ἐνειλίξας, σάρκα βοὸς λαβὼν παχυτέρην τοῦ μεγάλου δακτύλου ποδὸς, μῆκος δὲ ἓξ δακτύλων, χρίσας τῷ φαρμάκῳ περιελίξας τῷ εἰρίῳ τὸ φάρμακον, ἀναστρογγίσας, τὸ ἔσχατον τῆς σαρκὸς ᾗ μέλλει ἔξω εἶναι, λίνῳ δήσας ἔνθες τὸ ψιλὸν τῆς σαρκὸς ἐς τὰς μήτρας οὗ ἂν τὸ ἕλκος. γυναικεῖα καθαρτήρια. ἢν μὴ πορεύηται ἡ κάθαρσις, λαβὼν σικύης ἐντεριώτην, ὅσον τριώβολον καὶ ἀρτεμισίην ποίην καὶ (412) λιβανωτοῦ ὀβολὸν τρίψας, ἐν μέλιτι μίξας ἐς εἰρίον ἐνελίξας, πρόσθες πρὸς τὸ στόμα τῆς μήτρης, τῆς ἡμέρης πεντάκις τοῦτο ποιῶν. τὸ ἀμπέλιον τρίβων χλωρὸν ἐν μέλιτι καὶ ἐς εἰρίον ἐνελίξας προστιθέναι τὸν αὐτὸν τρόπον. τῆς κυπαρίσσου τὸν καρπὸν καὶ σικυώνης ἐντεριώνης καὶ λιβανωτὸν τρίψας, ἐν τῷ αὐτῷ τε μέλιτι ἐνελίξας ἐν εἰρίῳ

tum fotum, ſcillam, veluti infra ſcriptum eſt, ſubter apponito tamdiuque apponito, quoad os uteri molle et latum eſſe dicat. Quod ſi exulceratum fuerit, et puſtulae in purgatione exortae fuerint, ſi quidem ſumma labra exulcerentur, aniſum et adipem anſerinum cum oleo roſaceo tritum, lana involutum, carnis bubulae fruſtulum pedis pollice craſſius et longitudinis ſex digitorum medicamento illitum, lana convolutum et medicamento lana excepto, ejus extremo quod foras ſpectare debet filo alligato, quod carnis eſt reliquum in uteros qua parte ulcus eſt immittito. Menſes purgantia. Si purgatio non decurrat, cucumeris agreſtis interiorem partem trium obolorum pondere, artemiſiae herbae, thuris obolum tritum, melle ammixto lana involutum, ad os uteri per diem quinquies apponito. Vitis pampinum viridem ex melle tritum, lana involutum ad eundem modum ſubter apponito. Cupreſſi fructum, cucumeris agreſtis interiorem partem et thus ex eodem melle tritum, lana con-

Ed. Chart. VII. [725. 726.] Foël. I. 586. Ed. Lind. II. (412.)
πρόσθες τὸν αὐτὸν τρόπον. τῆς κυπαρίσσου τὸν καρπὸν καὶ λιβανωτὸν τρίψας, ἐν τῷ αὐτῷ τε μέλιτι ἐνελίξας ἐν εἰρίῳ πρόσθες. ἀβρότονον ὅσον τριώβολον τρίψας, ἐν μέλιτι ἐς εἰρίον ἐνελίξας προστίθει. ἐλατηρίου ὀβολὸν καὶ σμύρνης ὀβολὸν τρίψας, καὶ μέλιτι ἐς εἰρίον ἐνελίξας, προστίθει. ἢν γυνὴ μὴ κυΐσκηται καθαρτήριον. ταύρου οὖρον ξυλλέξαι ὅσον τρεῖς κοτύλας. ἔπειτα λαβὼν ἀρτεμισίην ποίην ἢ παρθένιον ἢ ἀδίαντον καὶ δάφνην χλωρὴν καὶ κέδρου πρίσματα, κόψον λεῖα ὁμοῦ. εἶτα ὀρύξας βόθρον, ἐγκαύσας τε ἄνθρακας καὶ ἐπιθεὶς χύτραν, ἐγχέαι τὸ οὖρον τοῦ ταύρου καὶ [726] ἔμβαλλε τὰ κεκομμένα ἐν ὅλμῳ. ἔπειτα περιθεὶς δίφρον, ἐπίθες τῆς ἀρτεμισίης ποίης ἢ ὕσσωπον ἢ ὀρίγανον. εἶτα ἐπικαθίσας τὴν γυναῖκα, πυρίησον ἕως ἂν ἱδρώσῃ. ὅταν δὲ ἱδρώσῃ, λοῦσαι θερμῷ. ἐς δὲ τὸ λουτρὸν ἐμβάλλειν τὴν ἀρτεμισίην καὶ δάφνην. εἶτα πρόσθετον ποιῆσαι ἢ ἀρτεμισίην, ἢ βόλβιον ἐν οἴνῳ λευκῷ τρίψας εἰρίῳ ἐνειλίξας προστιθέτω. ταῦτα ποιέειν ἐφ' ἡμέρας τρεῖς. εἶτα κοιμάσθω παρὰ ἀνδρί.

volutum, ad eundem modum ſubter apponito. Cupreſſi fructum et thus ex eodem melle tritum, lana convolutum, ſubter apponito. Abrotanum trium obolorum pondere ex melle tritum, lana convolutum ſubdito. Elaterii obolum et myrrhae tantundem ex melle tritum, lana involutum ſubdito. Medicamentum purgans ubi mulier non concipit. Tauri urinam ad tres heminas collectam ſumito, deinde artemiſiam herbam aut parthenium aut adiantum et laurum viridem et cedri ramenta, tenuiter contuſa omnia ſimul miſceto. Deinde in effoſſa ſcrobe et accenſis carbonibus olla impoſita, urinam tauri infundito, immiſſis iis quae in pila ſunt contuſa. Poſtea circumpoſita ſella, artemiſiam herbam aut hyſſopum aut origanum imponito, deinde mulierem collocatam donec ſudet foveto. Ubi ſudarit, balneo calido artemiſia et lauro injecta lavet. Deinde ſubdititium medicamentum apponito, aut artemiſiam, aut bulbulum ex vino albo tritum, lana convolutum in ſubdititio apponat. Haec per tres dies faciat, poſtea cum viro dormiat. Subdititium

Ed. Chart. VII. [726.] Foël. I. 586. 587. Ed. Lind. II. (412. 413.)
προσθετὸν κυητήριον. ἐκ νίτρου καὶ λιβανωτοῦ βάλανον ποιήσας ἐν μέλιτι πρόσθες. προσθετὸν (413) καθαρτήριον μαλθακτικόν. ἰσχάδα λαβὼν ἕψησας, ἕως ἂν τὰς κεγχραμίδας ἀποβάλλῃ, τοῦτο ὑποπιέσας ὡς λειότατον, προσθέσθω ἐν εἰρίῳ καὶ ῥοδίνῳ μύρῳ. ἕτερον θριμύτερον. κράμβης, πηγάνου, ἑκάτερον ἴσον τρίψας χρῷ τὸν αὐτὸν τρόπον. ἕτερον προσθετὸν μαλθακόν τε καὶ καθαρτήριον. χηνὸς μυελὸν ἢ βοὸς ἢ ἐλάφου, ὅσον κύαμον παραχέοντα μύρου ῥοδίνου καὶ γάλα γυναικὸς, τρίβειν ὥσπερ τὸ μαλθακὸν φάρμακον τρίβεται. εἶτα ὑπαλείφειν ἐκ τούτου τὸ στόμα τῆς μήτρης. || ἕτερον χλιηρὸν καθαρτήριον. χηνὸς μυελὸν ὅσον κάρυον, ῥητίνης σχινίνης ἢ τερεβινθίνης ὅσον κάρυον. ταῦτα τήξας ἐν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ καὶ ποιήσας ὥσπερ κηρωτὴν, εἶτα τουτέῳ χλιηρῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης καὶ τὸν πτένα καταβρέχειν. κατασπαστικὸν καθάρσιος καὶ στατικὸν γλυκυσίδης κόκκους τοὺς μέλανας ἢ ἐρυθροὺς τρεῖς ἢ τέσσαρας τουτέους τρίβοντας ἐν οἴνῳ, δοῦναι πιεῖν. ἢν δὲ μᾶλλον κατασπάσαι θέλῃς τῶν μελάνων κόκκων τῆς

medicamentum ad conceptum faciens. Ex nitro et thure cum melle glandulam confectam ſubter apponito. Subditium purgans et emolliens. Caricam coquito, donec grana interiora deponat, id expreſſum laeviſſime tritum in vellere cum unguento roſaceo ſubdito. Aliud acrius. Braſſicae, rutae, aequalibus utriusque portionibus tritis ad eundem modum utitor. Subditium aliud tum emolliens tum purgans. Anſeris medullam aut bovis aut cervi, fabae quantitate, unguento roſaceo et lacte muliebri terito, velut medicamentum emolliens teritur, deinde eo os uteri linito. Aliud tepidum purgatorium. Anſeris medullam nucis quantitate, reſinae lentiſcinae aut terebinthinae tantundem. His lento igne ex unguento roſaceo liqueſactis, velut ceratum conficito, deinde eo tepido uteri os inungito et pectinem perſundito. Purgationem deorſum detrahens et ſiſtens. Paeoniae grana nigra aut rubra tria vel quatuor, ex vino trita potui praebeto. Quod ſi magis detrahere voles, paeoniae

Ed. Chart. VII. [726. 727.] Foës. I. 587. Ed. Lind. II. (413. 414.) γλυκυσίδης τρίψας τὸν αὐτὸν τρόπον δὸς πιεῖν. ἕτερον καθαρτήριον καὶ κατασπαστικόν. δαφνίδας εἴκοσι τὰς πλείστας καὶ σεσέλιος ἥμισυ ὀξυβάφου τρίψας μετὰ οἴνου πινέτω. ταύρου χολὴν ὅσον τρία ἡμιοβόλια Ἀττικὰ τρίψας, ἐν οἴνῳ δοῦναι πιεῖν νήστει, καὶ περιπλάσσων καταπότια δίδου. ἄλευρον σιτάνιον, σμύρνης ὅσον τριώβολον, κρόκου τὸ ἴσον, καστορίου ὀβολὸν, ταῦτα τρίψαντα, μύρῳ ῥοδίνῳ προστιτέσθω. [727] ἕτερον καθαρτήριον. κνίδης καρποῦ καὶ μαλάχης χυλὸν ἐν στέατι χηνὸς τρίψαντα προσθεῖναι. (414) ἢν μὴ καθαρθῇ ἐκ τόκου, τῆς πάλης ὅσον τοῖς τρισὶ δακτύλοις ἐψήσας, μέλιτι ἐγχέαι καὶ συμπλάσαι τὴν κοιλίην καὶ δοῦναι πιεῖν. ὑστέρας ἀναστομωτήριον τὸ αὐτὸ καὶ καθαρτικόν. κανθαρίδας τρῖβε πέντε, ὄξος λευκὸν παραχέων, καὶ μὴ ὑγρὸν πάνυ ποίει, ἀλλ' ὡς ἐκμάσσεσθαι δάκτυλον. λαβὼν δὲ σύκου λευκοῦ πίονος, ἄνευ τῶν κεγχραμίδων καὶ τοῦ δέρματος, διπλάσιον ξυμμίξας μέρος τῆς κανθαρίδος, τρυβίων ποιήσας, εἰρίῳ λεπτῷ κατελίξασα προσθέσθω. καθαρτήριον. ἢν ἐκ τόκου μὴ καθαρθῇ, τοῦ τριφύλλου ἐν οἴνῳ πίνειν.

grana nigra trita ad eundem modum bibenda exhibeto. Aliud purgans et detrahens. Lauri baccas viginti ad ſummum et ſeſelios acetabuli dimidium, tritum ex vino bibat. Tauri fel trium dimidiorum obolorum Atticorum pondere, ex vino tritum, jejunae bibendum dato et catapotia efformata exhibeto, farinam ſitaniam, myrrhae obolos tres, croci tantundem caſtorii obolum, haec trita cum unguento roſato in ſubdititio apponito. Aliud purgans. Urticae ſemen et malvae ſuccum cum anſeris adipe tritum, ſubter apponito. Si non purgetur ex partu, farinae pellinem quantum tribus digitis apprehenditur, melle affuſo decoctum, ventri ex cataplasmate imponito et bibendum exhibeto. Uteros aperiens idem etiam purgans. Cantharidas quinque aceto albo affuſo terito, neque liquidum admodum facito, ſed ut paſtillus effingi poſſit, ficus autem albae pinguis detractis granulis et pelle, duplum ad cantharidas ammiſceto, tenuiter tritum et lana tenui convolutum ſubter apponat. Purgans. Si ex partu minime purgata fuerit, triſolium ex vino potui

Ed. Chart. VII. [727.] Foës. I. 587. Ed. Lind. II. (414. 415.)

τοῦτο δὲ καὶ τὰ καταμήνια καταῤῥήγνυσι καὶ ἔμβρυον ἐκβάλλει. μητρέων καθαρτήριον. ὁκόταν παιδίου ἐναποθανόντος αἷμα ἐμμείνῃ, κολοκυντίδα ἀγρίην τρίψας ἐν μέλιτι λειχέτω ἢ προσθέτω. αἵματος καθαρτικόν. αἷμα ἐξελάσεις ἐκ μητρέων, λευκοΐου καρπὸν τρίβων λεῖον, οἴνῳ διεὶς, διδόναι πίνειν. αἷμα ὡσαύτως ἐξελάσεις ἐκ μητρέων. ῥοῦ τὸν καρπὸν, ὁκόταν ἐρυθρὸς ᾖ, τρίβων κόκκους ὅσον τριήκοντα χλωροὺς καὶ κυνόροδα ἐρυθρὰ περιλέγων, τὸ ἐρυθρὸν διδόναι πίνειν ἐν οἴνῳ. ὅταν τὸ αἷμα ῥαγῇ, προσθετὸν καθαρτήριον. ἢν τὰ γυναικεῖα μὴ φαίνηται, στύρακα καὶ ὀρίγανον τρίψας λεῖα καὶ ξυμμίξας, ἐπίχεον καὶ χηνὸς ἔλαιον, ἔπειτα προστιθέσθω. προσθετὸν καθαρτικὸν, ὥστε μήτρας ἐκκαθαίρειν καὶ κενοῦν. ἀψινθίου ῥίζαν τρίψας λείην καὶ περιμίξας μέλι, προσθεῖναι σὺν ἐλαίῳ. προσθετὰ ὑστερέων καθαρτικὰ ἀναστομωτήρια καὶ ὕδωρ ἄγοντα. σκίλλης ὅσον ἑξαδάκτυλον τὸ (415) μῆκος. παχέος δὲ ὡς ὁ μικρὸς δάκτυλος. τουτέου περιξύσας ὅσον δύο δακτύλους λεῖον ποιήσας, κατελίξας τὸ

exhibeto, hoc etiam menſes erumpere facit et foetum ejicit. Uteros purgans. Si puero immortuo ſanguis remanſerit, colocynthida ſilveſtrem tritam ex melle delingat aut in ſubdititio apponat. Sanguinem purgans. Sanguinem ex uteris expelles, violae albae ſemen tenuiter tritum, vino maceratum, ſi bibendum exhibueris. Sanguinem eodem modo ex uteris expellit. Rhois ſemen cum rubrum fuerit, ad grana triginta viridia trita et roſas caninas rubras, eo quod rubrum eſt ſelecto, potui ex vino exhibeto, cum ſanguis eruperit. Subditititium medicamentum purgans. Si menſes non appareant, ſtyracem et origanum tenuiter terito et adipe anſerino affuſo commiſceto, poſtea ſubter apponito ſubditititum purgans quod uteros purgat et evacuat. Abſinthii radicem tenuiter tritam melle admixto cum oleo ſubter apponito. Subditicia medicamenta uteros purgantia, aperientia et aquam ducentia. Scillae fruſtum ſex digitorum longitudine ſumito, parvi verò digiti craſſitudine, cujus duos digitos circumradito et laevigato, reliquo lana ſordida

Ed. Chart. VII. [727. 728.] Foës. I. 587. 588. Ed. Lind. II. (414. 415.) λοιπὸν ἐν εἰρίῳ ὑπαρῷ, καὶ τὸ μὲν ἀπεξεσμένον πρὸς τὸ στόμα τῶν ὑστερέων ἐᾶν προσκεῖσθαι ἡμέραν καὶ εὐφρόνην. [728] λουσαμένη δὲ καὶ ἀφαιρεομένη, διανιζέσθω ὕδατι εὐώδει. καθαρτικὸν μαλθακὸν, ὅπερ ὕδωρ ἄγει καὶ φλέγματα. χλωρά τε ὕφαιμα καταμήνια κατασπᾷ, ἢν μὴ πολυχρόνια ᾖ καὶ τὸ στόμα μαλθάσσει. μύρον ναρκίσσινον, κύμινον ὃ ἐσθίομεν, σμύρναν τε καὶ λιβανωτὸν, ἀψίνθιον, κυπάρισσον, ἄλας, ῥόδινον, ἄλειφα. τῶν μὲν ἄλλων χοῦν ἑκάστων, τοῦ δὲ ναρκισσίνου τέσσαρας μοίρας ἐπὶ ὀθόνιον ὠμόλινον ξυμμίξας ἅπαντα καὶ ποιήσας βάλανον, ἢ περὶ τῷ πτερῷ ῥάκος λεπτὸν περιθεὶς, || καταδῆσαι καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν Αἰγύπτιον προσθεῖναι καὶ ἐᾶν ὅλην ἡμέραν προσκεῖσθαι. εἶτα λουσαμένη καὶ ἀφαιρευμένη διανιζέσθω ἐν ὕδατι εὐώδει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΥΝΑΙΚΕΙΩΝ ΠΡΩΤΟΝ.

(415) Τὰ δὲ ἀμφὶ γυναικείων νούσων ὧδε φημί. γυναῖκα ἄτοκον ἐοῦσαν ἢ τετοκυῖαν χαλεπώτερον καὶ θᾶσσον

convoluto, ea parte quae derasa est ad os uterorum apposita, per diem et noctem finito. Quod ubi laverit et detraxerit, aqua odorata perluatur. Purgans et emolliens quod aquam et pituitam ducit, mensesque pallidos et subcruentos deturbat, nisi diuturni fuerint, et os emollit. Unguentum narcissinum, cuminum, quod editur, myrrham, thus, absinthium, cupressum, salem, oleum rosaceum, reliquorum quidem singulorum congium unum, narcissini vero partes quatuor, haec omnia permixta tenuissimo linteo excepta, in glandulam efformato, aut pennam tenui panno circumdatam et deligatam, ac oleo albo Aegyptio intinctam subter apponito et per totum diem finito. Deinde ubi laverit et detraxerit, aqua odorata perluatur.

HIPPOCRATIS DE MVLIERVM MORBIS LIBER PRIMVS.

Ad hunc sane modum de mulierum morbis sentio. Mulierem quae nunquam peperit majore cum molestia et

Ed. Chart. VII. [728. 729.] Foës. I. 588. Ed. Lind. II. (415. 416.)
ἀπὸ τῶν καταμηνίων τοσέειν. ὁκόταν γὰρ τέ(416)κῃ, εὐροώτερά οἱ τὰ φλέβιά ἐστιν ἐς τὰ καταμήνια. εὖροα δέ σφιν ποιέει ἡ λοχίη, κάθαρσίς τις ἐοῦσα, καὶ ἢν καταῤῥαγῇ τοῦ σώματος τὰ πλησιάζοντα μάλιστα, τῆς τε κοιλίης καὶ τῶν μαζῶν καταῤῥήγνυται. καταῤῥήγνυται δὲ καὶ τὸ ἄλλο σῶμα. ὑπ' ὕτευ δὲ γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου τοῦ ἐν τόκῳ. καταῤῥαγέντος δὲ τοῦ σώματος ἀνάγκη τὰς φλέβας μᾶλλον στομοῦσθαι καὶ εὐροωτέρας γίνεσθαι ἐς τὰ καταμήνια, καὶ τὰς μήτρας μᾶλλον στομοῦσθαι, οἷα τοῦ παιδίου χωρήσαντος διὰ σφέων καὶ βίην καὶ πόνον παρασχόντος. καὶ τουτέων ὧδε ἐχόντων, [729] τὰ καταμήνια ἀκαματώτερον καθαίρεται ἡ γυνὴ, ἐπὴν λοχίων ἔμπειρος γένηται. εἰ δὲ καί τι πάθημα τῇ γυναικὶ γένοιτο τῇ ἤδη τετοκυίῃ, ὥστε καταμήνια μὴ δύνασθαι ἐλθόντα εὖ καθαρθῆναι, ῥηϊτέρως τὸν πόνον οἴσει ἢ εἰ ἄτοκος ἦ. ἠθάδες γὰρ αἱ μῆτραι καὶ τὸ σῶμα ἐπιτήδειον πληροῦσθαι, ἅτε ἐν γαστρὶ ἐχούσῃ καὶ ἅμα εὐρυχωρίη πολλὴ ἐστιν ἐν τῷ σώματι. πλείων

celerius ex menſibus profluentibus affici quam quae partum experta eſt. Ubi enim peperit, venulae ei ad menſium deſcenſum inſunt ampliores. Amplas autem ipſis reddit puerperiorum effluxus, qui purgationis quoddam genus eſt. Qui cum vi prorumpit, vicinae maxime corporis partes tum ventris tum mammarum affatim effunduntur. Quin etiam corpus reliquum confertim vacuatur. Quod unde contingat a nobis eſt commemoratum in pueri natura, cum partu in lucem editur. Corpore vero univerſim effuſo, venas magis aperiri et ad menſium profuſionem ampliores fieri neceſſe eſt, uterosque magis patere, nimirum puero per eos non ſine vi et dolore egreſſo. Quibus ita conſtitutis mulier, quae puerperii purgamenta experta fuerit, cum minore labore purgationem menſtruam ſuſtinet. Quod ſi mulieri quae jam peperit affectio aliqua contingat, ita ut procedentes menſes probe repurgari nequeant, ea facilius quam ſi nunquam peperiſſet, laborem ferat. Aſſuefacti enim ſunt uteri et corpus ad repletionem accommodatum, velut quae uterum geſtet, ſimulque magna eſt in corpore ampli-

Ed. Chart. VII. [729.] Foël. I. 588. Ed. Lind. II. (416. 417.)
δὲ ἡ εὐρυχωρίη γίνεται καὶ τῷ αἵματι, ἐπὴν τέκῃ, οἷα τοῦ σώματος καταῤῥαγέντος, καὶ ἐν εὐρυχωρίῃ ἐὸν τὸ σῶμα ἀπονώτερον γίνεται, ἢν μὴ ὑπερπιμπλῶνται αἱ φλέβες καὶ ὑπερπονέωσιν. ἀτόκῳ δὲ ἐούσῃ, τοῦ δὲ σώματος οὐ ξυνήθεος ἐόντος, ἐπὴν πληρωθῇ, καὶ ἰσχυροτέρου τε καὶ στερεωτέρου καὶ πυκνοτέρου ἐόντος, ἐπὴν λοχίων ἔμπειρος γένοιτο καὶ τῶν μητρέων ἀναστομωτέρων ἐουσῶν τὰ ἐπιμήνια ἐπιπορωτέρως χωρέει καὶ τὰ παθήματα προσπίπτει πλείονα, ὥσιε διὰ τοῦτο τὰ κατάμηνια ἀποφράσσεσθαι, ἐπὴν ἄτοκος ᾖ. ἔχει δὲ ὧδε ὡς μοι καὶ πρὶν εἴρηται. (417) φημὶ τὴν γυναῖκα ἀραιοσαρκοτέρην καὶ ἁπαλωτέρην εἶναι ἢ τὸν ἄνδρα, καὶ τούτου δὲ ὧδε ἔχοντος, ἀπὸ τῆς κοιλίης ἕλκει τὴν ἰκμάδα, καὶ τάχιον καὶ μᾶλλον τὸ σῶμα τῆς γυναικὸς ἢ τοῦ ἀνδρός. καὶ γὰρ εἴ τις ὑπὲρ ὕδατος καὶ διὰ χωρίου ὑδρηλοῦ δύο ἡμέρας καὶ δύο εὐφρόνας θείη εἴρια καθαρὰ καὶ εἶμα καθαρὸν καὶ βεβυσμένον εὐσταθμῶς ἴσον τοῖσιν εἰρίοισιν, ἀνελὼν εὑρήσει στήσας πολλὸν βαρύτερα τὰ εἴρια ἢ τὸ εἶμα. ὅτι

tudo. Amplior autem fit ſanguinis via ubi peperit, univerſim nimirum evacuato corpore, cumque corpus amplam capacitatem habeat, minorem ſentit moleſtiam, niſi venae ſupra modum impleantur et nimio dolore afficiantur. At vero ei quae nunquam peperit, cum corpus ad repletionem minime aſſuefactum ſit et validius, ſolidius et denſius exiſtat, cum puerperii purgamenta nondum experta ſit, uterique oſculum minime pateat, majore cum moleſtia menſes prodeunt pluresque affectiones incidunt, ut proinde menſes intercludantur ubi nunquam pepererit. Atque ad hunc modum ſe res habet, velut ante a nobis dictum eſt, mulierem rariore et molliore carne eſſe quam virum cenſeo. Atque cum id ita ſe habeat, mulieris corpus celerius et magis humorem ex ventre trahit quam viri. Si quis enim aquae in loco humido per duos dies et duas noctes lanas puras imponat et veſtimentum parum denſe contextum, aequali cum lanis pondere iis ſublatis et appenſis, longe graviores lanas quam veſtimentum comperiet:

Ed. Chart. VII. [729.] Foës. I. 588. 589. Ed. Lind. II. (417. 418.)
δὲ τοῦτο γίνεται, αἰεὶ ἀποχωρέει ἐς τὸ ἀνεκὰς ἀπὸ ὕδατος ἐν ἀγγείῳ εὐρυστόμῳ ἐόντος, καὶ τὰ μὲν εἴρια, ἅτε ἀραιά τε καὶ μαλθακὰ ἐόντα, ἀναδέξεται τοῦ ἀποχωρέοντος πλέον, τὸ δὲ εἶμα, ἅτε πλῆρες ἐὸν καὶ βεβυσμένον, ἀποπληρώσεται τὸ πολλὸν οὐκ ἐπιδεχόμενον τοῦ ἀποχωρέοντος. οὕτω δὴ καὶ ἡ γυνὴ, ἅτε ἀραιοτέρη ἐοῦσα, εἵλκυσε πλείονα ἀπὸ τῆς κοιλίης τῷ σώματι τὴν ἰκμάδα καὶ θᾶσσον ἢ ὁ ἀνὴρ καὶ ἅτε ἁπαλοσάρκῳ ἐούσῃ τῇ γυναικὶ, ἐπὴν πλησθῇ τοῦ αἵματος τὸ σῶμα, ἢν μὴ ὑποχωρήσῃ ἀπ' αὐτέου, || πληρευμένων τῶν σαρκῶν καὶ θερμαινομένων, πόνος γίνεται. θερμότερον γὰρ τὸ αἷμα ἔχει ἡ γυνὴ, καὶ διὰ τοῦτο θερμοτέρη ἐστὶ τοῦ ἀνδρός. ἢν δὲ τὸ πλεῖον ἐπιγινόμενον ἀποχωρέῃ, οὐ γίνεται ὁ πόνος καὶ ἡ θέρμη ὑπὸ τοῦ αἵματος. ὁ δὲ ἀνὴρ στερεοσαρκότερος ἐὼν τῆς γυναικὸς οὔτε ὑπερπίμπλαται τοῦ αἵματος ἐς τὸ ἄνω τῆς κοιλίης τόσον, ὥστε, ἢν μὴ ἀποχωρέῃ τι τοῦ αἵματος καθ' ἕκαστον μῆνα, πόνον χρὴ ἔσεσθαι, ἕλκει τε ὁκόσον ἐς τροφὴν τοῦ αἵματος. τό τε σῶμά οἱ οὐκ ἁπαλὸν ἐὸν οὐχ ὑπερπονέει, οὐδ' ὑπερθερμαίνεται (418)

Quod cum fit, ab aqua quae in vafe lati oris eft femper furfum aliquid decedit, lanaeque cum rarae fint et molles, ejus quod fecedit majorem partem excipiunt. Veftimentum autem, quod plenum fit et confertim contextum, explebitur, neque multum ejus quod decedit excipiet. Ad hunc fane modum mulier, cum rarior fit, ampliorem ex ventre in corpus humorem et citius quam vir attrahet, cumque molli carne fit, ubi fanguine corpus expletum fuerit, nifi ab eo aliquid decedat, carnibus expletis et concalefactis dolor oboritur. Calidiorem enim fanguinem mulier habet, ideoque viro calidior eft. Quod fi plurimum ex eo quod accedit fecedat, neque dolor, neque calor a fanguine oritur. Cum vero vir carnis fit folidioris quam foemina, neque fuperiore ventre ita fanguine fupra modum impletur, ut nifi aliquid fanguinis fingulis menfibus decedat, dolorem fuboriri neceffe fit, trahitque quantum fanguinis fatis effe poffit ad nutritionem, cumque corpore non fit molli, neque nimium dolore affligitur, neque ut

Ed. Chart. VII. [729. 730.] Foeſ. I. 589. Ed. Lind. II. (418.)
ὑπὸ πληθώρης ὡς τῇ γυναικί. μέγα [730] δὲ ξυμβάλλεται
ἐς τοῦτο τῷ ἀνδρὶ, ὅτι ταλαιπωρέει μᾶλλον τῆς γυναικός.
ἡ γὰρ ταλαιπωρίη ἀπάγει τι τῆς ἰκμάδος. ἐπὴν οὖν γυναικὶ
ἀτόκῳ ἐούσῃ κρυφθῇ τὰ ἐπιμήνια καὶ μὴ δύνηται ὁδὸν
ἔξω εὑρεῖν, ἢ νοῦσος γίνεται, τοῦτο δὲ ξυμβαίνει, ἢν τῶν
μητρέων τὸ στόμα μεμύκῃ ἢ ἰδγωθῇ, ἢ ξυστραφῇ τι τοῦ
αἰδοίου. ἢν γὰρ τουτέων τι ᾖ, οὐ δυνήσεται ἔξοδον εὑρεῖν
τὰ ἐπιμήνια, πρὶν ἂν αἱ μῆτραι ἐς τὴν φύσιν τὴν ὑγιεινὴν
μεταστέωσι. γίνεται δὲ τὸ νοῦσημα τοῦτο μάλιστα ταύταις,
αἵτινες στενοχώρους τὰς μήτρας ἔχουσιν, ἢ τὸν αὐχένα
πρόσω τοῦ αἰδοίου κείμενον. ἢν γὰρ τουτέων θάτερον ᾖ,
καὶ μὴ μίσγηται ἡ γυνὴ τῷ ἀνδρὶ, καὶ κενωθῇ ἡ κοιλίη
μᾶλλον τοῦ καιροῦ ὑπὸ τουτέου τοῦ παθήματος, στρέφονται
αἱ μῆτραι. οὔτε γὰρ ἰκμαλέαι εἰσὶ κατὰ σφέας, οἷα μὴ λα-
γνευομένης, εὐρυχωρίη τε σφίσιν ἐστὶν, ἅτε τῆς κοιλίης κε-
νωτέρης ἐούσης ὥστε στρέφεσθαι, ἅτε ξηροτέρης καὶ κουφο-
τέρης ἐούσης τοῦ καιροῦ. καὶ ἔστιν ὅτε στρεφομένων σφῶν
τυγχάνει τὸ στόμα παραστρέφειν, ἅτε τοῦ αὐχένος πρόσω

mulier ex plenitudine ſupra modum incaleſcit. Ad id autem multum viro conſert, quod duriter ſe magis quam foemina exerceat. Vehemens enim exercitatio nonnihil humoris deducit. Poſtquam igitur mulieri, quae nunquam peperit, menſes deliteſcunt, neque foras exitum invenire poſſunt, hic morbus oritur. Id autem contingit, ſi uterorum os concluſum aut obtortum fuerit, aut pudendi pars aliqua inverſa. Ex his enim ſi quid adſit, non ante menſes exitum invenire poterunt quam uteri ad priſtinam ſanitatem redierint. Hic vero morbus iis praecipue contingit, quae anguſtos habent uteros, aut cervicem extra pudendum ſitam. Horum enim alterum ſi adfuerit, neque mulier viri conſuetudine fruatur, venterque plus juſto vacuetur, ex hac affectione uteri invertuntur. Neque enim uteri in ſe madeſcunt, cum minime venerem experiantur, amplumque ſpatium habent, ut pervertantur, cum alvus plus quam conveniat vacua, ſicca et levis exiſtat. Iisque perverſis interdum contingit, ut eorum oſculum diſtorque-

Ed. Chart. VII. [730.] Foeſ. I. 589. Ed. Lind. II. (418. 419.)
τοῦ αἰδοίου κειμένου. ἢν γὰρ ἰκμαλέαι ἔωσιν αἱ μῆτραι ἀπὸ λαγνείης καὶ κοιλία μὴ κενῶται, οὐ ῥηϊδίως στρέφονται· τοῦτ' οὖν αἴτιον γίνεται ὥστε αὐτὰς ξυμμίειν, οἷα μὴ λαγνευομένης τῆς γυναικός. ἐν δὲ τοῖσι τριταίοισιν ἄριστα μὲν πείσεται, ἢν οἱ κατελθόντα ἐξαγάγῃ τὰ προϋπάρχοντα· εἰ δὲ μὴ, πείσεται τάδε ἡ γυνὴ, πτίξ τέ οἱ ἄλλοτε ξυμπεσεῖται, καὶ πῦρ λήψεται ἄλλοτε καὶ ἄλλοτε καὶ φρί-(419)κη καὶ ὀσφύος ἄλγημα. ταῦτα πείσεται ἐν τοῖσι τριταίοισιν ἐπιμηνίοισιν, ἢν μή οἱ ἐξίῃ. ἐν δὲ τοῖσι τεταρταίοισιν, ἢν μή οἱ ἐξιόντα τοῖσί τε πρωτέροισιν ἔξοδον ποιήσῃ, καὶ τότε μὲν τρίτα πονήματα πάντα μᾶλλον πονήσει, καὶ μάλιστα ἐν τῷ χρόνῳ τῶν καταμηνίων. ἔπειτα ἧσσον. πολλάκις δὲ καὶ δοκέει ἄπονος εἶναι. ἔσται δὲ ἐπὶ τοῖσι τεταρταίοισι καὶ τάδε τὰ σημεῖα. οὐρήσει τε πολὺ παχὺ ἄλλοτε καὶ ἄλλοτε, καὶ ἡ γαστὴρ αὐτῆς σκληρὴ ἔσται καὶ μείζων ἢ τυπρόσθεν, καὶ βρύξει τοὺς ὀδόντας, καὶ ἀσιτήσει, καὶ ἀγρυπνήσει. τοιαῦτα πείσεται ἐπὶ τοῖσι τεταρταίοισι καταμηνίοισι. μελεδαινομένη δὲ

atur, cum cervix extra pudenda ſita ſit. Si enim ex veneris uſu madeſcant uteri et alvus minime vacuetur, non facile pervertuntur. Haec igitur cauſa eſt cur ipſi conniveant, cum nimirum veneris uſum mulier non experiatur. Intra vero trium menſium ſpatium ſi ei decurrentes menſes ea quae prius inerant eduxerint, perbelle quidem affecta erit, alioqui in has affectiones mulier incurret. In ſuffocationem ſubinde incidet, febrisque ac horror et lumborum dolor ſaepe invadet. Atque in has affectiones veniet, ſi intra trimeſtre ſpatium menſes ei non prodierint. Intra vero quadrimeſtre ſpatium, niſi progreſſi menſes prioribus viam fecerint, etiam tunc trimeſtres omnes afflictiones eam magis affligent, maximeque quo tempore menſes decurrere conſueverunt, poſtea minus. Plerumque vero doloris expers videtur. Erunt etiam in quadrimeſtri ſpatio haec indicia. Urinam copioſam et craſſam ſubinde reddet, ei venter indureſcet majorque erit quam antea, dentium ſtridor aderit, ciborum faſtidium et inſomnia. Atque iſta mulieri contingent, ſi intra quadrimeſtre ſpatium menſes non decurrant,

Ed. Chart. VII. [730. 731.] Foës. I. 589. 590. Ed. Lind. II. (419. 420.) καὶ ἐν τουτέοισιν ὑγιαίνει, καὶ ἐν τοῖσι πεμπταίοισιν, ἢν μή οἱ πολλὰ τὰ ἐπιμήνια κατίῃ, καὶ ὁ πόνος ἰσχυρότερος προσπίπτει. ἐν δὲ τοῖσιν ἕκταίοισιν ἤδη ἀνίητος ἔσται. καὶ κατὰ μὲν πρότερα σημεῖα μᾶλλον πονήσει, ἔπειτα δὲ ἐπ' αὐτοῖσι καὶ τάδε· ἀλύξει τε καὶ ῥίψει ἑωϋτὴν ἄλλοτε καὶ ἄλλοτε, καὶ λειποθυμήσει, καὶ ἐμέσει φλέγμα, καὶ δίψα ἰσχυρὴ μιν λήψεται, ἅτε καιομένης τῆς κοιλίης ὑπὸ τῶν μητρέων ἐουσέων πληρέων αἵματος, καὶ ψαυομένη ἀλγήσει, καὶ μάλιστα τὸ ἧτρον, [731] καὶ πυρέξει ἄλλοτε καὶ ἄλλοτε ὀξέως, καὶ βορβορύξουσιν αἱ μῆτραι ἄλλοτε καὶ ἄλλοτε, || ἅτε τοῦ αἵματος ἐγκλονευμένου καὶ διαχωρέοντος ἐν αὐτῇσι, καὶ ἡ κοιλίη οὐ διαχωρήσει κατὰ τρόπον, οὔτε ἡ νύστις διηθήσει τὸ οὖρον. ἐπὴν οἱ αἱ μῆτραι προσπέσωσι πρὸς τὸν στόμαχον νευρώδεα ἐόντα, καὶ ἐς τὴν κοιλίην ἐμβάλλωσιν, ἀλγέει τὴν ῥάχιν καὶ τὸ νῶτον πᾶν, καὶ τὴν γλῶτταν αὐτῆς χαλινοῦται, καὶ ἀσαφῆ ταύτην ἔχει καὶ λειποθυμίη. ἔστι (420) δ' ἧσι καὶ ἀφωνίη, καὶ δάκνεται τὸν στόμαχον, καὶ ξανθὴ ἡ χολὴ ἔξεισι, καὶ πνεῦμα προσπταῖον, καὶ ἀλύει, καὶ ῥίπτει ἑωϋ-

curata vero etiam ex his convaleſcit. Ac intra quintum menſem, niſi ei copioſi menſes deſcenderint, etiam vehementior dolor ingruit. Sexto vero menſe jam incurabilis erit, et juxta quidem priora ſigna magis affligetur. Deinde vero ad haec iſta accedent, anxietate vexabitur et ſubinde ſeipſam jactabit, animo deficiet, pituitam vomitione rejiciet, vehemens eam ſitis corripiet, incenſo nimirum ventre ab uteris ſanguine redundantibus, ad contactum maximeque circa pubem dolebit, ſubindeque acute febricitabit, uteri frequenter murmur edent, agitato nimirum et permeante in eis ſanguine, neque pro more venter dejiciet, neque veſica urinam percolabit. Cum mulieri uteri ad ſtomachum qui nervoſus eſt irruerint, et in ventrem prociderint, ſpinae et totius dorſi dolore vexatur, lingua ejus fraenatur eamque obſcuram habet, et animo linquitur. Nonnullis etiam vox deficit, ſtomachus mordetur, bilis flava foras prodit, ſpiritus offenſans eſt, anxietate premitur, ſeipſam jactat et incenditur.

πίπραται. ἐπὴν δὲ μεταστέωσι καὶ εἰρύσει ἡ κύ-
τὸν τοῦ αἵματος τοῦ ἀπὸ τῶν μητρέων, τότε τὸ
ρέεται ἐρυθρὸν, καὶ πονέει μὲν τὸ ἄλλο σῶμα,
τὸν τράχηλον καὶ τὴν ῥάχιν καὶ τὴν ὀσφῦν, τούς
ς, καὶ ἐς τοῦτο ἐλθούσῃ αὐτῇ ἥ τε γαστὴρ αὖ-
ὰ σκέλεα ὑπὲρ τὸ χρεὼν διοιδίσκεται καὶ αἱ κνῆ-
πόδες, καὶ ὁ θάνατος ἔπεισι. καὶ περὶ μὲν ταύ-
ελευτῆς ἐς ἓξ μῆνας τὰ ἐπιμήνια ἀδηλεύμενα. γί-
αὶ ταῦτα. ἔστιν ἧσι τῶν γυναικῶν, ἐπὴν δίμηνα ᾖ
νια ἐν τῇσι μήτρῃσι πολλὰ ἐόντα, ἔρχεται ἐς
ἐπ' ἣν ἀποληφθῇ, καὶ πάσχει πάντα ἅπερ ἐν φθι-
ι, καὶ οὐχ οἵη τέ ἐστι περιεῖναι. γίνεται δὲ καὶ
ἧσι διάπυα γίνονται τὰ ἐπιμήνια χρονίσαντα,
αι δίμηνα ἢ τρίμηνα. τοῦτο δὲ μάλιστα γίνεται,
ὑπὸ τοῦ πυρός. σημεῖα δέ ἐστιν, ἢν διάπυα ᾖ,
ἐμπίπτουσιν εἰς τὸ ἧτρον ἰσχυραὶ καὶ σφύξιες,
ίη οὐκ ἀνέχεται, καὶ ἢν μέλλῃ βελτιόνως ἔχειν,
ὐτῇ τὰ ἐπιμήνια κατὰ τὸ αἰδοῖον, καὶ χωρέει

o quam transmoti fuerint, et vesica tenuem ex
minem trahet, tunc urina rubra effunditur et re-
dem corpus dolore afficitur, potissimumque cer-
, lumbi et inguina. Cumque eo devenerit, tum
llitur, tunc crura et tibiae ac pedes plus aequo
t et mors instat. Et in ea hunc quidem habent
nses sex mensium spatio delitescentes. Quin etiam
unt. Nonnullis mulieribus cum copiosi menses
ensium spatio in uteris extiterint, ubi intercepti
pulmonem feruntur, eademque omnia his con-
ue in tabe dicta sunt neque inde superesse potest.
contingunt. Sunt quibus menses purulenti eva-
duobus aut tribus mensibus moram fecerint, id-
ue accidit, si a febre exusti fuerint. Purulen-
m haec sunt indicia. Dolores enim ad imum
unt et pulsationes vehementes, neque contactum
Quod si melius habitura sit, menses ei per puden-
unt pusque et sanguis fertur, graveolens autem

Ed. Chart. VII. [731. 732.] Foës. I. 590. Ed. Lind. II. (420. 421.) πῦον καὶ αἷμα. ὀζόμενον δὲ χωρέει ἐπὶ ἡμέρας ἑπτὰ ἢ ὀκτὼ ἢ ἐννέα. ἐν δὲ τῷ πρὶν χρόνῳ πονέεται, ὡς εἴρηται ἔμπροσθεν. ἐπὴν δὲ ἀποκαθαρθῇ, ἄριστον μὲν μὴ γένοιτο ἕλκεα· ἢν δὲ ὑπολείπηται ἕλκεα, πλείονος δεήσει θεραπείης, ὅκως τὰ ἕλκεα μὴ μυδήσῃ καὶ κάκοδμα γίνηται. ἄφορος δὲ ἔσται καὶ ἢν ῥαΐσῃ, ἢν μεγάλα ᾖ τὰ ἕλκεα (421) γενόμενα ἐν τῇσι μήτρῃσιν. ἢν δὲ μὴ οἱ τὰ κατὰ τὸ αἰδοῖον χωρήσῃ, τὰ ἐπιμήνια διάπυα γενόμενα ἐς τὰ ὑπὲρ τοῦ βουβῶνος ξυμβήσεται κατὰ τὴν λαπάρην ῥαγῆναι, ἄτερ φύματος, ἄτε τοῦ πύου διαῤῥαγέντος, καὶ κεἰνῃ χωρήσει πυώδεα ὀδμαλέα. καὶ ἢν τοῦτο γένηται, οὐ περιγίνεται ἡ γυνή. ἢν δὲ καὶ περιγένηται, ἀεὶ ἄφορος ἔσται. ταύτῃ γὰρ οἱ τὸ λοιπὸν ἡ ὁδὸς γίνεται τοῖσιν ἐπιμηνίοισιν ἔξω. τὸ γὰρ στόμα τῶν μητρέων πρὸς τοῦτο τὸ χωρίον προσπέπτωκε. γίνεται δὲ καὶ τόδε. [732] ἔστιν ᾗσιν, ἐπὴν δίμηνα ἢ τρίμηνα ἢ χρονιώτερα ᾖ τὰ ἐπιμήνια καὶ προσπέσῃ πρὸς τὴν λαπάρην, μὴ διαπύων τῶν καταμηνίων ἐόντων, ὡς φῦμα γίνεται ὑπὲρ τοῦ βου-

per ſeptem aut octo aut novem dies fertur. Antea vero quo ſupra dictum eſt modo afficitur. Ubi autem repurgata fuerit, optimum quidem ſi nulla oboriantur ulcera. Quod ſi ulcera remaneant, majore opus erit curatione, ut ne ulcera nimio humore diffluant et gravem odorem contrahant. Infoecunda autem erit, etiamſi meliuſcule habeat, ſi magna in uteris orta ulcera fuerint. Quod ſi ei per pudendum non prodeant, futurum eſt ut menſes in pus verſi ſupra inguina per lateris mollitudinem ſine tuberculo erumpant, perrupto nimirum hac parte pure, et per eam purulenta gravis odoris procedent. Quod cum accidit, minime ſupereſt mulier, et ſi ſuperſit, perpetuo infoecunda futura eſt. Per hanc enim partem via facta in poſterum ei menſes foras prodeunt, cum hunc in locum uterorum oſculum procubuerit. Accidit id quoque nonnullis, ubi bimeſtres aut trimeſtres aut diuturniores menſes extiterint, et ad lateris mollitudinem irruperint, minime purulentis menſibus ſupra inguina velut tuberculum exoritur ſine vertice, magnum et

Ed. Chart. VII. [732.] Foës. I. 590. 591. Ed. Lind. II. (421. 422.)
βῶτος ἀκέφαλον, μέγα, ἐρυθρόν. καὶ τῶν ἰητρῶν πολλοὶ ἤδη οὐκ εἰδότες τοῦτο οἷόν ἐστιν ἔταμον καὶ ἐς κίνδυνον ἤγαγον οὕτως. τὸ δὲ ὡς φῦμα γενόμενον γίνεται τρόπῳ τοιῷδε. ἐπαυρίσκεται τοῦ αἵματος ἡ σάρξ, ἅτε προσκειμένου τοῦ στόματος τῶν μητρέων τῇ λαπάρῃ, καὶ πίμπλαται ἀπ' αὐτέου καὶ ἐξίσταται ἅτε πλησθεῖσα τοῦ αἵματος ἡ σάρξ. καὶ ἔστιν ὅτε, ἢν μεταστῇ τὸ στόμα τῶν μητρέων καὶ γένηται κατὰ τὸ αἰδοῖον, καὶ χωρέουσι διὰ τοῦ αἰδοίου τὰ καταμήνια, καθίσταται τὸ ἐξεστηκὸς κατὰ τὴν λαπάρην. διαδιδοῖ γὰρ ἐς τὰς μήτρας. αἱ δὲ ἔξω ἐχάλασαν. ἢν δὲ μὴ στραφῇ κατὰ τὸ αἰδοῖον τὸ στόμα τῶν μητρέων, διαπύει κατὰ τὴν λαπάρην, καὶ ταύτῃ ὁδὸς γίνεται τοῖσι καταμηνίοισι, || (422) καὶ οἱ κίνδυνοι οἱ αὐτοί εἰσιν οἱ καὶ πρόσθεν εἰρημένοι. τρέπεται δὲ καὶ ἐς ἔμετον. ἔστιν ἧσι καὶ κατὰ τὴν ἕδρην, ὥσπερ μοι εἴρηται, ἐν τῇσι παρθενίῃσι νούσοισι, καὶ σημεῖα καὶ πόνους τοὺς αὐτοὺς δείκνυσι τοῖσι κεῖθι εἰρημένοισιν. ἧσσον δὲ ταύτην τὴν ὁδὸν ποιέεται τὰ ἐπιμήνια τῇσι γυναιξὶν ἢ τῇσι παρθένοισιν. ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη

rubrum. Quod plerique medici quid effet ignorantes, diffecuerunt, eoque modo mulieres in periculum conjecerunt. Quod vero tuberculi ſpeciem refert, hoc modo ſuboritur. Cum uterorum oſculum ad lateris mollitudinem incumbat, caro ſanguinis fructum percipit, impletur, eoque oppleta in molem aſſurgit. Quandoque etiam ubi uterorum oſculum transmotum fuerit, eoque in pudendum converſo, per pudendum menſes prodierint, ſubſidet id quod ad lateris mollitudinem in tumorem ſublatum fuerat. In uteros enim transfundit, qui poſtea foras emittunt. Quod ſi os uterorum in pudendum non convertatur, circa lateris mollitudinem pus colligit, eaque parte menſibus via patet, et in eadem pericula incurrunt, quae prius dicta ſunt. Vertuntur etiam ad vomitum menſes et quibusdam ad ſedem, quemadmodum a me in virginum morbis dictum eſt, et ſigna et labores eosdem habent, qui illic dicti ſunt. Hanc autem viam minus in mulieribus quam virginibus menſtrua affectant. Cum menſes in occulto latent, dolor infimum ventrem infeſtabit,

Ed. Chart. VII. [732. 733.] Foeſ. I. 591. Ed. Lind. II. (422.)
ἔξει τὴν νείαιραν γαστέρα, καὶ δοκέει τι ἐγκεῖσθαι βάρος, καὶ τὰς ἰξύας ἐκπάγλως πονέει καὶ τοὺς κενεῶνας. ἢν δὲ τὰ ἐπιμήνια παντάπασι μὴ ᾖ χωρέοντα, γίνεται ὑπὸ νόσου ἢ παχέα καὶ γλίσχρα, ἢ κολλώδεα. χρὴ οὖν πρῶτον τὴν κοιλίην καθῆραι ἄνω τε καὶ κάτω· ἔπειτα τὰς ὑστέρας προσθέτῳ, ἀφ' οὗ αἷμα καθαίρεται, καὶ διαλείπειν, καὶ πῖσαι ὑφ' οἷ αἷμα ἴῃ. πινέτω δὲ καὶ κρηθρὸν ἐν οἴνῳ τῷ ἀπὸ δαιδός. ἢν δέ οἱ ῥόος μὴ γίνηται, ἔσται ὥστε δοκέειν ἐγκύμονα εἶναι, καὶ μισγομένην ἀνδρὶ ἀλγέειν, ὥστε δοκέειν ἐγκεῖσθαί τι, καὶ βρῖθος ἐν τῇ γαστρὶ ἐγγένηται, καὶ ἡ γαστὴρ πρόκειται καὶ ἱμείρεται ἠδελφισμένως ὡς ἐν γαστρὶ ἔχουσα καὶ καρδιώσσει, ἐπ' ἢν ἡμέραι πεντήκοντα μάλιστα ἔωσι, καὶ πόνος ἔχει ἄλλοτε καὶ ἄλλοτε τῆς γαστρὸς τὸ κατὰ τοῦ ὀμφαλοῦ, τόν τε τράχηλον καὶ τοὺς βουβῶνας καὶ τὴν ὀσφῦν. καὶ ἐπὴν μῆνες δύο ἢ τρεῖς γένωνται, ἔστιν ὅτε ἐρρύγη οἱ κατὰ τὸ [733] αἰδοῖον τὰ καταμήνια ἀθρόα, καὶ δοκέει ὥσπερ σάρκα εἶναι τὰ ἀπιόντα ὡς ἐκ διαφθορᾶς καὶ μέλανα. ἔστι δ' ἧσι καὶ ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι, καὶ δεήσεται

et pondus quoddam incumbere videtur, lumbi et laterum inanitates ſtupendum in modum dolent. Si vero menſes nullo modo prodeunt, ex morbo craſſi, lenti et glutinoſi redduntur. Imprimis igitur venter ſurſum ac deorſum repurgandus, deinde uterus medicamento ſubdititio, ex quo ſanguis purgatur et intermiſſis aliquot diebus bibendum aliquod medicamentum, ex quo ſanguis prodeat. Bibat autem crethmum ex vino taedaceo. Quod ſi ne ſic quidem ei profluant, continget ut praegnans eſſe videatur et in viri congreſſu doleat, ita ut aliquid incumbere videatur et pondus aliquod in ventre inſit, venter prominet et deſideriis tentatur, perinde ac ſi uterum geſtaret, oris ventriculi morſu afficitur, praecipueque poſt quinquageſimum diem, ventrem ſubinde dolor detinet circa umbilicum et cervicem et inguina ac lumbos. Interdum etiam poſt duos aut tres menſes exactos ei per pudendum menſtrua confertim erumpunt, quique prodeunt carunculas referre videntur, velut ex foetus corruptione, et nigra ſunt. Nonnullis vero ulcera quo-

Ed. Chart. VII. [753.] Foël. I. 591. Ed. Lind. II. (423.)

(423) προσέχειν τῇ μελέτῃ. πολλῇσι δὲ συμβαίνει ὥστε δοκέειν ἓξ μῆνας ἔχειν ἐν γαστρὶ ἢ καὶ ὀλίγῳ ἐλάσσονα χρόνον, καὶ ἡ γαστὴρ πρόκειται καὶ τἄλλά οἱ δοκέει γίνεσθαι ὥστε ἐν γαστρὶ ἐχούσῃ. ἔπειτα ἔστιν ἧσι διαπύοντα ἐρράγη ὑπὲρ τοῦ βουβῶνος ἅμα τῷ πέμπτῳ ἢ ἕκτῳ μηνὶ καὶ ὁδὸν ταύτῃ ἐποιήσατο. ἔστι δὲ καὶ ἧσιν ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι καὶ κάτω ὑπὲρ τοῦ βουβῶνος, καὶ κινδυνεύσει ἀποθανεῖν, ἢν δὲ καὶ περιγένηται, ἄφορος ἔσται. ἔστι δὲ ἧσι καὶ κατὰ τὸ αἰδοῖον ῥήγνυται καὶ χωρέει αὐτέῃ σεσηπότα καὶ πυώδεα. καὶ ἀπὸ τουτέων ἕλκεα ἐγγίνεται ἐν τῇσι μήτρῃσι καὶ κινδυνεύσει, καὶ χρὴ, ὅκως μὴ τὰ ἕλκεα παλαιὰ γένηται, ἰητρεύειν προσέχοντα. ἄφορος δὲ καὶ αὐτὴ γίνεται, ἢν γε καὶ ἰηθῇ. ἢν δὲ μή οἱ ῥαγῇ τὰ καταμήνια διενειχθέντα ἓξ μῆνας, πείσεται πάντα ἅπερ τῇ αὐτῇ τὰ καταμήνια ὁδὸν οὐ δυνάμενα ἐφευρεῖν. καὶ ἢν μὲν θεραπευθῇ, ὑγιὴς ἔσται. ἢν δὲ μὴ, διαρκέσασα καὶ ἐς ὀκτὼ μῆνας θνήσκει. πολλῇσι δὲ γίνεται ἢν τὰ καταμήνια φλεγματώδεα χωρέοντα ἐπὶ πολ-

que in uteris oriuntur, tumque diligenter animum ad curam intendere oportebit. Plerisque etiam contingit, ut se sexto menſe aut etiam paulo breviore tempore uterum gestare existiment, venter prominet, reliquaque ei evenire videntur, quae utero gerenti. Postea quibusdam, simulatque quintus aut sextus mensis advenerit, in pus versi menses eruperunt, eaque sibi viam fecerunt. In quibusdam autem ulcera in uteris oriuntur, inferiore etiam inguinis parte, et de vita periclitantur, ac si evaserint, steriles erunt. Nonnullis vero per pudendum erumpunt et purulenti ac putrefacti prodeunt, ab iisque ulcera in uteris excitantur et periculum imminet, oportetque ut ne inveterascant diligenti curatione incumbere. Haec autem, etiamsi curata fuerit, sterilis manebit. Quod si menses superiore inguinis parte ei non erumpant sex mensibus coërciti, universa illi contingent quae ei, quae nunquam peperit, cum menses exitum invenire nequeunt. Ac si quidem curata fuerit, convalescet, sin minus, ad octavum etiam mensem perdurans moritur. Multis vero contingit, si pituitosi menses diutius prodeant,

Ed. Chart. VII. [734.] Foës. I. 592. Ed. Lind. II. (425.)

λοχίων ἐμπείρῳ, ἢν μὴ θεραπεύωνται. χρὴ δὲ αὐτίκα τὴν θεραπείην ποιέεσθαι· εἰ δὲ μή, ἐπιφαίνεται αὐτίκα τὰ νουσήματα. ἢν δὲ τὰ ἐπιμήνια πλείονα τοῦ δέοντος χωρέῃ καὶ παχύτερα, οἷα τοῦ σώματος φύσει τε εὐρέος ἐόντος καὶ τοῦ στόματος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου καὶ ἐπὶ τουτέοισιν ἀνδρί τε ξυνίῃ πολλὰ καὶ εὐωχέηται ἐσάπαξ ποτὲ, πολλὰ κατελθόντα καὶ χωρέοντα βύζην, ἐπευρύνει μᾶλλον τὸ στόμα τῶν μητρέων βιασάμενα, καὶ ἐπὶ τουτέοισι μὴ ἐπιπέσῃ κενεαγγείη, ἀλλ᾽ αὖθις πολλὰ ἴῃ ἄλεα καὶ τὸ στόμα εὐρὺ ποιέει καὶ τὸ σῶμα, ἅτε εὐωχουμένης ἱμειρομένης τε καὶ συνεούσης ἀνδρὶ, εὔροον ἢ ἐπὶ τὰς μήτρας καὶ ἄλεα ἐπιφέρηται, ἄχρους τε ἔσται μέχρις ἂν οὕτως ἔχῃ, καὶ ἢν ὕστερόν τι νόσημα ἢ πάθημα ἐπιπέσῃ ὥστε τρυχωθῆναι τὸ σῶμα, ὁμοίως αἵ τε μῆτραι κατὰ τὸ εἰωθὸς εὐρύστομοί εἰσι καὶ τὸ σῶμα εὔροον ἐπ᾽ αὐτάς ἐστιν καὶ μετὰ ταῦτα πῦρ ἔχει καὶ ἀσιτέει καὶ ἀλύει καὶ λεπτὴ καὶ ἀμενηνὴ καὶ τὴν

que exitus contingunt tum ei quae nunquam peperit tum ei quae puerperii purgamenta experta eſt, niſi curentur. Confeſtim vero curationem inſtituere oportet, alioqui ſtatim ſe morbi produnt. At vero ſi menſes copioſiores quam par ſit et craſſiores prodeant, cum nimirum corpus natura latum, et uterorum os prope pudendum ſitum ſit, ad haec etiam frequenti viri conſuetudine utatur et liberaliter epuletur, ſemel omnino aliquando copioſi delati et cumulate prodeuntes, uterorum os vi ſua magis dilatant. Quod ſi ad haec nulla accedat vaſorum inanitio, ſed rurſus multa et conferta ferantur, quae os amplum reddunt, cumque mulier nimirum liberaliter convivetur, venerem appetat virique conſuetudine perfruatur, corpus ad uterum facile confluat confertaque deferantur, decolor erit quoad ſic affecta fuerit. Et ſi poſtea morbus aut affectio aliqua incidat, qua corpus inficiatur, ſimili modo uteri pro conſuetudine os amplum et corpus habent, corpusque ad eos facile transfluit. Poſteaque febrisque detinet, ciborum faſtidio et anxietate premitur, tenuis eſt et debilis et lumborum ex menſium pro-

Ed. Chart. VII. [733. 734.] Foës. I. 592. Ed. Lind. II. (424. 425.)

ρην. καὶ ἀλγέει ἄλλοτε καὶ ἄλλοτε τὸ σῶμα, καὶ μάλιστα τὴν ὀσφῦν καὶ τὴν ῥάχιν καὶ τοὺς βουβῶνας, τά τε ἄρθρα τῶν χειρῶν καὶ τῶν ποδῶν. ταῦτα δὲ οὐχ ὁμοῦ ἀλγέει, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε, ὅπη ἂν βρίσῃ τὸ αἷμα τὸ ἀποκεκριμένον καὶ μὴ δυνάμενον εἶναι ἐν τῇσι μήτρῃσι, καὶ ὅπῃ ἂν στηρίξῃ τοῦ σώματος, οἴδημά ἐστιν. ὅ τε γίνεται καὶ σπασμὸς ἰσχυρὸς τῶν ἄρθρων τοῦ σώματος καὶ τῶν ἄλλων σημείων τῶν προειρημένων, φαίνεται οἱ ἄλλοτε ἄλλο ἐστὶν ὅτε. [734] αὕτη ἢν μὲν θεραπευθῇ κατὰ τρόπον, ὑγιὴς ἔσται· εἰ δὲ μή, ἢ νοῦσος ἐπιόμενος ἢ καὶ χρονιωτέρη γινομένη θανατώδης εἴη ἄν, ἢ χωλεύσειεν, ἢ ἀκρατέα τινὰ τῶν μερέων ποιήσειεν. ἢν ὑπὸ ῥίγεος καὶ ἀσιτίης τὸ αἷμα ἔνθα ἂν ἐπέλθῃ, πῆξιν ἴσχει περὶ τὰ νεῦρα. τοῦτο δὲ τὸ νούσημα γίνεται μᾶλλον τῇσιν ἀνάνδροισιν. ἢν δὲ μὴ ἐμπειροτόκῳ ταῦτα τὰ νοσήματα ἐμπέσῃ τὰ εἰρημένα ἢ ὅσσα μέλλῃ εἰρή(425)σεσθαι, πολυχρονιώτερα ἔσται καὶ ἧσσον ἐπίπονα. τὰ δὲ σημεῖα ταῦτα καὶ τελευταὶ αἱ αὐταὶ γίνονται τῇ τε ἀτόκῳ καὶ τῇ

est simile, copiamque in dies crescere. Subinde et corpus dolor occupat, praecipueque lumbos et spinam et inguina, manumque et pedum articulos. Neque haec simul dolent, sed subinde alia atque alia pars, prout secretus sanguis, qui uteris contineri nequit, aliquam in partem, suo momento inclinarit, quaque se corporis parte firmarit, ea intumescet et articulorum corporis vehemens oboritur convulsio, ex aliisque ante commemoratis indiciis aliud alias ei interdum apparet. Haec si quidem convenienti modo curetur, convalescit, alioqui morbus in septimum mensem, aut etiam longius protractus lethalis evaserit, eamque aliquo articulo mutilaverit, aut aliquas partes ad motionem impotentes reddiderit, si sanguis pro rigore et cibi fastidio quemcunque in locum irruperit, circa nervos concretionem habuerit. Hic vero morbus iis, quae sine viro sunt, magis contingit. At si hujusmodi morbi jam commemorati, aut de quibus dicetur, in mulierem jam partum expertam inciderint, longiores erunt minusque molesti. Eadem autem indicia iidem-

Ed. Chart. VII. [735.] Foës. I. 592. 593. Ed. Lind. II. (426. 427.) ἱερείου, καὶ παχὺ πήγνυται, ἢν ὑγιαίνῃ ἡ γυνή. ἦσι δὲ ἐν φύσει ἐστὶ πλέονα καθαίρεσθαι τεσσάρων ἡμερέων καὶ πολλὰ κάρτα χωρέει τὰ ἐπιμήνια, αὗται λεπταὶ γίνονται, || καὶ τὰ ἔμβρυα αὐτέων λεπτὰ καὶ ἀμαλδύνεται. ἦσι δὲ τριῶν ἡμερέων ἔλασσον ἡ κάθαρσις γίνεται ἢ ὀλίγα χωρέει, αὗται παχεῖαι καὶ εὔχροοι ἀνδρικαί τε, οὐ μνησιτόκοι εἰσὶν, αἱ δὲ οὐδὲ κυΐσκονται. ἢν δὲ πνῖξ προσιῇ ἐξαπίνης, γίνεται δὲ μάλιστα τῇσι μὴ ξυνιούσῃσιν ἀνδράσι καὶ τῇσι γεραιτέρῃσι μᾶλλον ἢ τῇσι νεωτέρῃσι· κουφότεραι γὰρ αἱ μῆτραι σφέων εἰσί· γίνεται δὲ μάλιστα τότε, ἐπὴν κενεαγγήσῃ καὶ ταλαιπωρήσῃ πλείονα τῆς μαθήσιος. αὐανθεῖσαι αἱ μῆτραι ὑπὸ τῆς ταλαιπωρίης στρέφονται, ἅτε κενεαὶ ἐοῦσαι καὶ κοῦφαι. εὐρυχωρίη γάρ σφιν ἐστὶν ὥστε στρέφεσθαι, ἅτε τῆς κοιλίης κενεῆς ἐούσης. στρεφόμεναι δὲ ἐπιβάλλουσι (427) τῷ ἥπατι, καὶ ὁμοῦ γίνονται, καὶ ἐς τὰ ὑποχόνδρια ἐμβάλλουσι. θέουσι γὰρ καὶ ἔρχονται ἄνω πρὸς τὴν ἰκμάδα, ἅτε ὑπὸ τῆς ταλαιπωρίης ξηρανθεῖσαι μᾶλλον τοῦ καιροῦ. τὸ δὲ ἧπαρ ἰκμαλέον ἐστίν. ἐπὴν δὲ ἐπιβάλλωσι τῷ ἥπατι, πνίγα ποιέουσιν

creſcit, ſi modo mulier valet. At quibus a natura ineſt ut pluribus quam quatuor diebus purgentur, et admodum copioſi menſes ferantur, eae tenues redduntur, earumque foetus tenues ſunt et languidi tabeſcunt. Quibus vero parcior quam tribus diebus purgatio contingit, paucique menſes prodeunt, eae craſſae ſunt, bene coloratae, virilesque, neque partus meminerunt et ne concipiunt ipſae quidem. At vero ſi repente ſuffocatio urgeat, quae iis potiſſimum contingit, quae viri conſuetudine minime fruuntur, et ſenioribus potius quam junioribus, cum earum uteri leviores exiſtant. Id vero tum maxime contingit, ubi magna vaſorum inanitio, aut ſolito vehementior labor acceſſerit. Vehementi labore reſiccati uteri convertuntur, cum ſint vacui et leves. Amplum enim locum quo convertantur nacti ſunt, vacuo nimirum ventre. Converſi vero jecur appetunt, ei adhaereſcunt et ad praecordia impetum faciunt. Vehementiore enim labore plus quam par eſt reſiccati, ad humorem qui ſurſum eſt concurrunt ac feruntur. Jecur autem humidum

Ed. Chart. VII. [734. 735.] Foël. I. 592. Ed. Lind. II. (425. 426.) ὀσφῦν ἐκ τῶν ἐπιμηνίων πονήσει, καὶ τοῦ χρόνου προϊόντος, ἢν μὴ θεραπευθῇ, πάντα μιν μᾶλλον πονήσει ἐν τῷ μεταξὺ χρόνῳ, καὶ οἱ ἔσται κίνδυνος ἀφόρῳ τε γενέσθαι ἢ τρυχωθεῖσαν ὑπὸ χρόνου τε καὶ τῆς τοίσου, ἤν τί οἱ ξυμπέσῃ καὶ ἄλλο νόσημα, ἐπὶ τουτέῳ θανεῖν αὐτήν. χωρέει δὲ τὰ καταμήνια παχύτερα, καὶ πλεῖστα τῶν ἡμερέων τῆσιν ἐν μέσῳ. ἀρχόμενα δὲ καὶ τελευτῶντα ἐλάσσονα καὶ λεπτότερα. (426) μέτρια δ' ἐστὶ πόση γυναικὶ χωρέειν, ἢν ὑγιαίνῃ, τὰ ἐπιμήνια ἐλθόντα ὅσον κοτύλαι δύο Ἀττικαὶ ἢ ὀλίγῳ πλέονα ἢ ἐλάσσονα, ταῦτα δὲ ἐφ' ἡμέρας δύο ἢ τρεῖς. ὁ δὲ πλείων χρόνος ἢ ἐλάσσων ἐπίνουσος καὶ ἄφορός ἐστι. τεκμαίρεσθαι δὲ χρὴ ἐς τὸ σῶμα τῆς γυναικὸς ὁρέοντα καὶ ἐρωτῶν πρὸς τὸ πρότερον ξυμβαλλόμενον, εἴτε ἐπίνοσος ἀεὶ ζῇ εἴτε μή. ἢν γὰρ ἐλάσσονας ἢ πλέονας ἡμέρας τοῦ συνήθεος φοιτᾷ, ἢ αὐτὰ ἐλάσσονα ἢ πλείονα εἴῃ, ἐπίνοσά ἐστιν, ἢν μὴ ἡ φύσις αὐτὴ νοσηρὴ καὶ ἄφορος ᾖ. ἢν δὲ τοῦτο ᾖ καὶ μεθίστηται ἐπὶ τὸ ὑγιηρότερον, ἄμεινον. [735] χωρέει δὲ αἷμα οἷον ἀπὸ

fluvio dolor aderit temporeque procedente, nisi curatio adhibeatur, intermedio tempore omnia eam magis affligent, et periclitabitur ut sterilis evadat, aut ut temporis longinquitate et morbo confecta, si quis alius morbus contingat, ex eo moriatur. Prodeunt autem menses crassiores et copiosiores in intermediis diebus, pauciores vero et tenuiores, cum incipiunt vel desinunt. In omni autem muliere si sana sit, euntes menses moderata quantitate prodeunt ad duarum Atticarum heminarum mensuram aut paulo plures, aut pauciores, idque ad biduum vel triduum. Longius autem tempus aut brevius morbum aut sterilitatem portendit. Inspecto vero mulieris corpore considerare oportet, et conjectura ex superioribus facta percontari, num morbosa necne semper degat. Si enim paucioribus aut pluribus solito diebus advenerint, aut parciores aut copiosiores fuerint, morbosi sunt, nisi natura morbosa et sterilis ipsa sit. Quod si sit, et mulier ad meliorem permutetur valetudinem, satius est. Prodit autem sanguis qualis e victima, citoque con-

Ed. Chart. VII. [735. 736.] Foës. I. 593. Ed. Lind. II. (427. 428.)
μαχον προσπίπτουσι καὶ στραγγουρίην ποιέουσιν. ἄλλο δὲ οὐδὲν κακὸν ἴσχει, καὶ ἐν τάχει ὑγιαίνει θεραπευομένη, ἔστι δ' ὅτε καὶ αὐτομάτη. ἔστι δ' ἦσιν ἐκ ταλαιπωρίης ἢ ἀσιτίης πρὸς ὀσφῦν ἢ πρὸς ἰσχία (428) προσπεσοῦσαι πόνους παρέχουσιν. [736] ἢν δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ καὶ ἴῃ χολώδεα τὰ καταμήνια, εὔγνωστά ἐστι τῷδε. μέλανά ἐστι κάρτα. ἔστι δ' ὅτε μέλανα ἢ λαμπρά, καὶ κατ' ὀλίγιστα ἔρχεται καὶ ταχύτατα πήγνυται, καὶ ὁ γόνος ἀμαλδύνεται ἀμφοῖν, τοῦ τε ἄῤῥενος καὶ τοῦ θήλεος, καὶ οὐκ ἴσχει ἐν γαστρὶ, καὶ ἀρχομένης μὲν τῆς νόσου, καθαίρεται τὰς ἡμέρας ἃς μεμαθήκει, οὐ πλέονας. προϊόντων δὲ τῶν ἐπιμηνίων πλείονας ἡμέρας καθαίρεται καὶ ἐλάσσονα τὰ καταμήνια καθ' ἑκάστην ἡμέρην φαίνεται. πυρετοί τε ἐπιγίνονται πλανῆται ὀξέες ξὺν φρίκῃ καὶ ἀσιτίῃ ἄλλοτε καὶ ἄλλοτε, καὶ καρδιωγμὸς, καὶ πονήσει μάλιστα ἐπὴν πλησιάζωνται τὰ καταμήνια αὐτέῃ. ἐπὴν δὲ ἀποκαθαρθῇ καὶ ῥηΐσῃ ἐπ' ὀλίγον χρόνον πρὸς τὰ πρόσθεν. ἔπειτα δὲ αὖθις ἐς τωὐτὸ κατα-

in ejus oſculum impingunt et ſtrangulatum inducunt. Nullum autem aliud habet malum, et ſi curatio adhibeatur, brevi convaleſcit, nonnunquam etiam ſponte. Quibusdam vero ex nimio labore et inedia ad lumbos et coxas irruentes dolores excitant. At ſi mulier ſit corpore male affecto et menſes bilioſi decurrant, ex hoc facile dignoſcuntur. Admodum nigri ſunt, interdum vero nigri aut ſplendidi, parciſſimique feruntur et citiſſime concreſcunt, amborumque ſemen tum maris tum foeminae languidum evaneſcit, neque utero concipit. Per morbi quidem exordia purgatur diebus quibus conſuevit, non pluribus. Procedentibus autem menſibus pluribus diebus purgatur et ſingulis diebus minore quantitate menſes apparent. Febres quoque errantes acutae accedunt, cum horrore et cibi faſtidio, ſubindeque oris ventriculi morſus, tuncque maxime vexabitur, ubi ei in propinquo menſes fuerint. Poſtquam autem repurgata fuerit, et paulo melius habebit quam antea, poſtea rurſus ad eundem relabetur ſtatum, brevi tamen

Ed. Chart. VII. [735.] Foës. I. 593. Ed. Lind. II. (427.)

ἐξαπίνης ἐπιλαμβάνουσαι τὸν διάπνουν τὸν περὶ τὴν κοιλίην, καὶ ἅμα τε ἄρχονται ἔστιν ὅτε προσβάλλειν πρὸς τὸ ἧπαρ καὶ ἀπὸ τῆς κεφαλῆς φλέγμα καταῤῥεῖ ἐς τὰ ὑποχόνδρια οἷα πνιγομένης, καὶ ἔστιν ὅτε ἅμα τῇ καταῤῥύσει τοῦ φλέγματος ἔρχονται ἐς χώρην ἀπὸ τοῦ ἥπατος καὶ παύεται ἡ πνίξ. κατέρχονται δὲ καθέλκουσαι ἰκμάδα καὶ βαρυνθεῖσαι. τρυσμὸς δὲ ἀπ' αὐτέων γίνεται, ἐπὴν χωρέωσιν ἐς ἕδρην τὴν σφῶν αὐτέων. ἐπὴν δὲ ἔλθωσιν, ἔστιν ὅτε ἡ γαστὴρ μετ' ἐκεῖνα ὑγροτέρη γίνεται ἢ ἐν τῷ πρὶν χρόνῳ. χαλᾷ γὰρ ἤδη ἡ κεφαλὴ τοῦ φλέγματος ἐς τὴν κοιλίην. ἐπὴν δὲ πρὸς τῷ ἥπατι ἔωσιν αἱ μῆτραι καὶ τοῖσιν ὑποχονδρίοισιν, πτίγουσι καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἀναβάλλει καὶ ψυχρὴ γίνεται· εἰσὶ δὲ αἳ καὶ πελιδναὶ γίνονται. ἡ δὲ καὶ τοὺς ὀδόντας βρύχει, καὶ σίαλα ἐπὶ στόμα ῥέει, καὶ ἐοίκασι τοῖσιν ὑπὸ τῆς ἡρακλείης νόσου συνεχομένοισιν. ἢν δὲ χρονίσωσι αἱ μῆτραι πρὸς τῷ ἥπατι καὶ τοῖσιν ὑποχονδρίοισιν, ἀποπνίγεται ἡ γυνή. ἔστι δ' ὅτε, ἐπὴν κενεαγγήσῃ ἡ γυνὴ καὶ ἐπιταλαιπωρήσῃ, αἱ μῆτραι στρεφόμεναι πρὸς τῆς κύστιος, τὸν στό-

eſt. Ubi autem hepar appetiverint, ſtrangulatum afferunt, perſpirationem quae circa ventrem eſt intercipientes. Interdum etiam ſimul atque uteri hepar appetere coeperint pituita e capite velut ſuffocato ad praecordia defluit, nonnunquam etiam una cum pituitae defluxu ab hepate in locum ſuum feruntur ſuffocatioque ceſſat. Deſcendunt autem humore attracto, eoque gravati. Stridor autem ab ipſis concitatur, ubi ad ſuam ſedem feruntur, quo cum venerint, poſt illa interdum venter humidior quam prius redditur. Jam enim caput in ventrem pituitae partem demittit. Ubi vero circa hepar et praecordia uteri fuerint, ſtranguriam inducunt, oculorum alba ſurſum convertit mulier et frigida redditur, nonnullae etiam liveſcunt, quaedam etiam dentibus ſtrident, ſaliva in os confluit et ſimiles iis fiunt, qui morbo Herculeo detinentur. Quod ſi uteri circa hepar ac praecordia diutius immorentur, mulier ſuffocatur. Interdum etiam ubi mulier vaſorum inanitionem paſſa fuerit vehementerque laborarit, uteri ad veſicam converſi

Ed. Chart. VII. [736. 737] Foël. I. 594. Ed. Lind. II. (429.)
ῥόος ἐπιγένηται αὐτῇ μὴ ἰσχυρός. ἢν μὴ γάρ τι τουτέων ἐπιπέσῃ ἰσχυρὸν ἐπὶ σῶμα τετρυχωμένον, κινδυνεύσει. ἢν δὲ ἠρεμέως ἀποκαθαίρηται τοῦ χολώδεός τι ἢ πᾶν τὸ λυπέον, ὑγιὴς γίνεται. ἢν δὲ μήτε μελεδαίνηται μήτε μηδὲν τουτέων γένηται, θνήσκει ἡ γυνή. ὡς δὲ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει ῥόον ἐμπίπτειν χολώδεα ἐκ τοιουτέου νοσήματος. ἢν ῥόος γένηται, κατὰ μὲν πρῶτα ὀλίγα οἱ τὰ φαινόμενα ἔσται, ἀνὰ πάσας δὲ τὰς ἡμέρας ὡς ἐπίπαν πλέονα ξυμβαίνει. ὁκόταν δὲ ὁ χρόνος προΐῃ ὡς ἐπιτοπλέον καὶ ἡ νοῦσος ὀξείη γίνηται, καὶ αἱ μῆτραι δάκνονται ὑπὸ τῆς καθάρσιος τῆς χολώδεος χωρεούσης καὶ ἕλκουνται. ἔτι δὲ καὶ ἐν τούτῳ ὑγιαίνει μελεδαινομένη, ἢν οἱ ἐρχθῇ ὁ ῥόος· ἢν δὲ φλεγμαίνωσιν αἱ μῆτραι ὑπὸ τῶν ἑλκέων, ἔτι ὀξυτέρη ἡ νοῦσος ἔσται, καὶ πολλά τε καὶ ὀδμαλέα καὶ πυώδεα ἑλεύσεται ἀπ' αὐτέων τῶν μητρέων ἤδη ἀπιόντα, καὶ ἑκάστοτε οἷον ἀπὸ κρεῶν, καὶ τὰ πρότερον εἰρημένα ἅπαντά μιν μᾶλλον πονήσει, [737] καὶ τὰ ἕλκεα ἔτι μᾶλλον ἀγριώτερα ἔσται μέχρι μιν ὑπερνικῇ. εἰ δὲ καὶ ἰηθῇ, ἄφορος ἔσται ἀπὸ τῶν οὐλέων. ἢν δὲ γυνὴ

ſuperveniat. Horum enim ſi quid vehemens in corpus confectum inciderit, in periculo verſabitur. Quod ſi bilioſi humoris aliquid, aut id totum quod moleſtum eſt ſenſim repurgetur, ſana evadit. Si vero neque curetur, neque horum quicquam contingat, mulier moritur. Plerumque autem ex hoc morbo muliebre profluvium bilioſum conſequitur. Quod ſi eveniat, primis quidem diebus ei pauca apparebunt, per omnes autem dies omnino copioſiora contingunt. Cum vero tempus proceſſerit, fere ſemper gravis morbus evadit, bilioſaque purgatione prodeunte uteri mordentur et ulcerantur. Ex eo autem etiam adhuc diligenti adhibita curatione convaleſcit, ſi ei profluvium coërceatur. At ſi ex ulceribus uteri inflammatione laborarint, longe acutior morbus erit et copioſa graveolentia ac purulenta erunt, quae ab uteris prodibunt, et continenter tanquam a carnibus effluent, omniaque prius commemorata eam magis affligent, efferataque magis ulcera reddentur, donec eam evincant. Quod ſi etiam curetur, ſterilis erit propter

Ed. Chart. VII. [736.] Foës. I. 593. 594. Ed. Lind. II. (428. 429.)

στήσεται. μελεδαινομένη δὲ ἐν τάχει ὑγιαίνει. ἢν δὲ μὴ θεραπεύηται καὶ ὁ χρόνος προΐῃ, πάντα μιν μάλα ποιήσει τὰ πρόσθεν εἰρημένα καὶ ὀδύνη λήψεται, τοτὲ μὲν τῆς γαστρὸς τὸ κάτω τοῦ ὀμφαλοῦ, τοτὲ δὲ τοὺς βουβῶνας, || τοτὲ δὲ τὴν ὀσφῦν τε καὶ κοχώνην, τοτὲ δὲ τὸν τράχηλον, τοτὲ δὲ πνὶξ προσπεσεῖται ἰσχυρὴ, καὶ πρὸ τῶν ὀφθαλμῶν ζόφος ἔσται οἱ καὶ δῖνος, οἷα τῆς καθάρσιος ἄνω στελλομένης καὶ ἀνιούσης. ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, γυναικὶ τὰ καταμήνια ἐλάσσω γίνεται, καὶ ἧσιν ἂν τὸ σῶμα ἔμπλεον ᾖ, τὰ καταμήνια ταύτῃσι πλείονά ἐστι. τῇ δὲ χολώδεϊ τὰ καταμήνια ἢν ἔρχηται, ὀλιγοψυχίη ἐμπίπτει, καὶ ἀποσιτίη ἄλλοτε καὶ ἄλλοτε καὶ ἁλυσμὸς καὶ ἀγρυπνίη, (429) καὶ ἐρυγγάνει θαμινὰ καὶ οὐκ ἐθέλει περιπατέειν, καὶ ἀθυμέει, καὶ ἐμβλέπειν οὐ δοκέει, καὶ δέδιεν. καὶ ἢν μελεδαίνηται ἐκ τουτέων, ὑγιὴς ἔσται· ἢν δὲ ὁ χρόνος προΐῃ, ἔτι μᾶλλον πονήσει. ξυμβαίη δ' ἂν ἄριστα, ἢν ἔμετος χολώδης ἐπιγένηται. ἢν ἡ κοιλίη ταραχθῇ μὴ ἰσχυρῶς καὶ ὑπίῃ χολώδεα καὶ

convaleſcit, ſi diligens cura adhibeatur. At niſi curetur, progreſſu temporis eam commemorata omnia valde affligent, et dolor modo quidem ventris partem umbilico inferiorem invadet, modo vero inguina, quandoque etiam lumbos et coxendicis commiſſuram, quae eſt ad ſedem, totamque eam partem, quandoque vero cervicem. Interdum quoque vehemens continget ſtrangulatus, eique ante oculos caligo obverſabitur et vertigo, velut purgatione ſurſum miſſa et reſiliente. Corpore enim male affecto, mulieri pauciores menſes contingunt, quibus vero corpus plenum fuerit, his copioſiores menſes feruntur. Bilioſae vero cum menſes prodeunt, animi dejectio accidit et ſubinde cibi faſtidium, anxietas, inſomnia, frequens ructus, obambulare recuſat, animum deſpondet, neque videre videtur et metuit. Quod ſi curatio adhibeatur, ex his convaleſcit, alioqui vero procedente tempore magis ſemper affligetur. Optime autem cum ea agetur, ſi bilioſa accedat vomitio, ſi alvus non perturbetur vehementer et bilioſa ſubeant, muliebreque profluvium, non tamen vehemens ei

Ed. Chart. VII. [737.] Foël. I. 594. 595. Ed. Lind. II. (430. 431.)
ἄλλα ἄσσα ἐγὼ ἐρέω ὀλίγῳ ὕστερον. καὶ ἢν προσεπιγένηται αἰεὶ, πορεύεται ἀνὰ πάσας τὰς ἡμέρας, ὁτὲ μὲν ἀθρόα, ὁτὲ δὲ ὀλίγα, καὶ ἔστιν ὅτε οἷον ἀπὸ κρεῶν ὕδωρ χωρέει, ὁτὲ δὲ οἷον ἰχὼρ, καὶ ἐν αὐτέῳ θρόμβοι πολλοὶ αἵματος ἐγγίνονται, καὶ ξύει τὴν γῆν ὡς ὄξος καὶ δάκνει τῆς γυναικὸς οἷ ἂν ἐπιψαύσῃ, καὶ ἕλκοῖ τὰς μήτρας. καὶ ἐλθοῦσα ἐς τοῦτο τὰ μὲν ἄλλα πάσχει ταύτῃ ὡς ἡ προτέρη, ἧσσον δὲ τὴν κεφαλὴν ἐκείνης πονήσει καὶ τὰ ἕλκεα οὔτε δυσειδέα οὔτε μεγάλα οὔτε πυώδεα || οὔτε ὀδμαλέα ὁμοίως κείνῃ γίνεται, ἀλλὰ ταύτῃ ἧσσον. ἐπιμελεδαινομένη (431) δὲ ὑγιαίνει καὶ προεληλυθυίης τῆς νούσου, καὶ οὐ μάλα ἀποθνήσκει, φορὸς δὲ οὐ δύναται εἶναι ὧδε ἔχουσα. ὁκόσαι δὲ ξυνοικέουσαι οὐ δύνανται ἐν γαστρὶ ἔχειν, πυθέσθαι χρὴ εἰ σφιν ἐπιγέηνται τὰ καταμήνια ἢ οὔ, καὶ γίνεται πυώδεα ἢ ψυχρά. ἢν μὲν οὖν φῇ, εἰ αὐτίκα ἄπεισιν ἡ γονὴ ἢ τῇ ὑστεραίῃ ἢ τῇ τρίτῃ ἢ τῇ ἕκτῃ ἢ τῇ ἑβδόμῃ, ἢν μὲν οὖν φῇ αὐτίκα ἀπιέναι ὅταν εὐνασθῇ, τὸ στόμα οὐκ ὀρθόν ἐστι τῆς μήτρης,

praeterea ſemper accreſcat, quotidie decurrunt modo quidem conferta, modo vero pauca. Quandoque vero velut ex carnibus aqua prodit, quandoque velut ſanies, in eoque multi ſanguinis grumi inſunt et tanquam acetum terram abradit, et quacunque mulierem contigerit mordet, uterosque exulcerat. Quo cum devenerit, in caeteris quidem velut prior afficitur, minus tamen quam illi caput dolebit, neque hinc ulcera contingunt tam turpia, neque tam magna, neque purulenta, neque tam graveolentia, verum aliquanto minus. Diligenti autem cura adhibita convaleſcit, etiamſi longius morbus proceſſerit, neque fere moritur. Verum ſic affecta foecunda eſſe nequeat. At vero quae viri conſuetudine perfruuntur et nequeunt uterum geſtare, interrogandae ſunt an illis menſes contingant, necne, et purulenti ſunt aut frigidi. Si quidem igitur ita affirmarit, an protinus genitura effluat, an poſtridie, an perendie aut ſexto aut ſeptimo die. Itaque ſi confeſtim poſt congreſſum exire reſponderit, uteri oſculum

Ed. Chart. VII. [737.] Foës. I. 594. Ed. Lind. II. (429. 430.)
τὸ σῶμα φλαύρως ἔχῃ καὶ ἢν φλεγματώδεα τὰ ἐπιμήνια χωρήσῃ, γνωστὸν δέ ἐστιν ἢν χωρέῃ φλεγματώδεα. (430) ὑμενώδεά τε γὰρ φαίνεταί οἱ καὶ ὥσπερ ἀράχνια διατείνεται καὶ ὑπόλευκά ἐστι. τοῦτο δὲ γίνεται, ἢν οἱ τὸ σῶμα καὶ ἡ κεφαλὴ φλέγματος πεπληρωμένα ᾖ καὶ τοῦτο μὴ ὑποκαθαίρηται, μήτε κατὰ τὰς ῥῖνας μήτε κατὰ τὴν ἕδρην μήτε κατ' οὐρήθρην, ἀλλ' ἐν τοῖσι καταμηνίοισι καὶ ἐν τῷ ταράχῳ τοῦ αἵματος σὺν τῇ καθάρσει ἔξω ἥκει. καὶ ἢν ταῦτα ὧδε ἔχῃ, ἐπὶ μὲν δύο ἢ τρεῖς μῆνας οὐδὲν νοσέει, ἐπὴν δὲ ὁ χρόνος πλείων γένηται καὶ μὴ μελεδαίνηται, μᾶλλον πονήσει καὶ πυρετὸς ἐπιλήψεται πλάνος καὶ ἀσιτήσει ἄλλοτε καὶ ἄλλοτε, καὶ καρδιώξει, καὶ πονήσει, μάλιστα ἐπὴν πλησιάζῃ τὰ ἐπιμήνια. ὁκόταν δὲ ἀποκαθαρθῇ ῥηΐως ἀπὸ ὀλίγων χρόνων πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τὸ αὐτὸ καθίσταται, καὶ ἢν μὴ μελεδαίνηται, ἀλλὰ χρόνος προΐῃ, γενήσεται πάνθ' ὅσα τῇ χολώδεα ἐχώρεε τὰ καταμήνια, ἄχρις οὗ ὁ ῥόος οἷ εἴχετο. ἕπεται δὲ ταύτῃ καὶ ῥόον φλεγματώδεα γίνεσθαι, ἢ

cicatrices. At ſi mulier male affecto ſit corpore et pituitoſi menſes ferantur, id inde dignoſcitur. Pelliculoſi enim ei apparent et velut aranearum telae diſtenti, aliquantumque ſubalbicant. Id autem ei contingit, cum corpus et caput pituita oppleta fuerint, neque ea per nares, neque per ſedem, neque per urinae viam ſubducatur, ſed in menſium decurſu et ſanguinis perturbatione una cum purgatione foras exeat. Atque cum haec ita ſe habeant, ad duos aut tres quidem menſes nihil aegrotat, longiore autem temporis progreſſu, niſi diligens cura adhibeatur, magis affligetur et febris errabunda prehendet, cibi faſtidio ſubinde et oris ventriculi morſu vexabitur, praecipueque affligetur cum menſium tempus inſtabit. Cum autem repurgata fuerit, pauco tempore habitu ſuperiorum ratione, meliuſcule habebit, poſtea ad eundem ſtatum redit. Quod ſi minime curetur, ſed temporis progreſſus fiat, omnia contingent quae cui bilioſi menſes ferebantur, quoad ei fluxus reprimatur. Ad id vero fere conſequitur profluvium pituitoſum, aut alia quae paulo poſt explicabo. Quod ſi

Ed. Chart. VII. [738.] Foës. I. 595. Ed. Lind. II. (432.)

σηται. (432) κράτιστον δὲ ἐν σκοτιαίῳ χωρίῳ. ἢν μὲν οὖν φλέγμα ᾖ τὸ κωλῦον, μυξώδεα τὰ ῥάκεα ἔσται· ἢν δὲ δι' ἅλμην τε καὶ χολήν, πυῤῥά τε καὶ ὑποπέλιδνα. ταῦτ' οὖν ἐσιδὼν καὶ γνώμῃ σκεθρῇ βασανίσας ὅλον τε τὸ σῶμα ἀθρέειν, ἤν τε πολλῆς καθάρσιος δοκέῃ δεῖσθαι, ἤν τε καὶ μή, ἀποσκεψάμενος ἐς τὴν χροιὴν καὶ τὴν ἡλικίην καὶ ῥώμην καὶ ὥρην καὶ οἵῃ διαίτῃ χρέονται. ἰητρείη δὲ καὶ τὸ σώματος παντὸς προνοεῖσθαι καὶ τὰς ὑστέρας καὶ τὸ στόμα ἰῆσθαι, καὶ ἢν μεμυκὸς ᾖ, ἀναστομῶσαι. ἢν δὲ λοξωθέωσιν, ἐξιθύειν χρή· ἢν δὲ ὑγραὶ ἔωσιν, αὐαίνειν, καὶ τἆλλα δρᾶν ἐναντίον. σχεδὸν δὲ πάσῃσιν ἡ πολλὴ θεραπείη ἡ αὐτή ἐστι, πλὴν τοῦ κατασπάσαι τὰ ἐμμήνια. ὅσῃσι γὰρ γίνεται, οὐδὲν δεῖ ταύτῃσι κατασπᾶν, ἀλλ' ὅτι κακὸν ἐν τοῖσιν ἐπιμηνίοισιν ἔνι, τοῦτο ἀφαιρέειν χρὴ, ὅταν φλεγματώδεά τε καὶ ὑμενώδεα καὶ ἰχωροειδέα καὶ λεπτὰ ἢ λευκὰ καὶ θρομβοειδέα, καὶ ὅταν μέλανά τε καὶ ἀνθρακώδεα, ἢ ζοφοειδέα, ἢ δριμέα, ἁλμυρὰ, θολερὰ, πυώδεα. αὗται πᾶσαι αἱ προφάσιες ὑπερ-

bratili loco fieri optimum fuerit. Si igitur pituita impedimento fuerit, mucosa erunt lintea detrita. Sin propter salsuginem et bilem contingat, tum fulva tum sublivida erunt. Quibus perspectis et accurata mentis acie exploratis, universum quoque corpus inspicito, multane purgatione indigere videatur, necne, ad colorem intentus, aetatem, virium robur, anni tempestatem et victus rationem, qua utuntur. Curatio vero recte instituitur, si ubi universo corpori consultum fuerit, uteris etiam et osculo medelam adhibeas. Quod si conniveat, aperiendum; si uteri in obliquum versi fuerint, dirigendi; si humidi, reficcandi, reliquaque per contraria praestanda. At vero omnibus propemodum eadem curatio adhibenda, nisi cum menstrua detrahenda sunt. Quibus enim eunt, iis nihil detrahendum, sed quicquid inest in mensibus vitii, id summovendum, si tum pituitosi tum pelliculosi sunt et sanie perfusi, tenues aut albi, si grumosi atque etiam nigri, ac carbunculosi, aut caliginosi, aut acres, salsi, returbidi, purulenti, hae omnes causae, quod

Ed. Chart. VII. [737. 738.] Foëſ. I. 595. Ed. Lind. II. (431.)

ἀλλ' ἰδνοῦται καὶ οὐ λάζυται τὴν γονήν. ἢν δὲ φῇ δευτεραίῃ ἢ τριταίῃ ἢ τεταρταίῃ, ἡ ὑστέρη ἐξυγρασμένη ἐστὶ καὶ ἡ γονὴ ἐκπλύνεται. ἢν δὲ ἑκταίῃ καὶ ἑβδομαίῃ, ἡ γονὴ κατασήπεται, κατασαπεῖσα δὲ ἀπέρχεται. [738] τοῦ μὲν οὖν ἀρχὴν μὴ προσδέχεσθαι τὴν γονὴν τῆς ὑστέρης τὸ στόμα θεραπευτέον πρῶτον, ὅκως ὀρθὸν ἔσται· τοῦ δὲ καταπλύνεσθαι δευτεραίῃ καὶ τριταίῃ ἡ ὑστέρη καὶ κεφαλή· τοῦ δὲ κατασήπεσθαί τε καὶ ἀπέρχεσθαι καὶ ἡ ὑστέρη καὶ τὸ σῶμα ἅπαν ἔνυγρον ὄν. τουτέων ἕκαστα γινώσκειν ὧδε χρή. ὁκοίης δὲ χρήζει καθάρσιος, γνώσηται ὧδε. ὅταν τὰ ἐπιμήνια γίνεται, ῥάκος πτύξας ὅσον σπιθαμῆς, ἐπιτανύσαι ἐπὶ σποδιὴν λεπτήν. κἄπειτα ποιέειν ἐπὶ τούτῳ ὡς ἐπιῤῥυῇ τὰ ἀπιόντα. εἶναι δὲ δύο τὰ τρυχία χωρὶς ἐφ' ἑκάτερα, τὸ μεθ' ἡμέρην τε καὶ νύκτωρ. καὶ τὰ μὲν ἡμερήσια πλύνειν χρὴ τῇ ὑστεραίῃ, τὰ δὲ νύκτωρ, ὁκόταν αὐτέοισιν ἡμέρη καὶ νύκτωρ γένηται, ἐπὶ τῇσι σποδιῇσι κειμένοισιν. ἐν δὲ τῇ πλύσει σκέπτεσθαι ὁκοῖα ἄσσα γένηται τὰ ῥάκεα πλυθέντα, ὅταν ἐν ἡλίῳ τέρ-

rectum non eſt, ſed obliquatur, neque genituram prehendit. Quod ſi dixerit poſtero die, aut tertio, aut quarto, uterus nimio humore madet, quo genitura diluitur. Sin ſexto et ſeptimo, genitura computreſcit, putrefactaque exilit. Si igitur per initia genitura non excipiatur, imprimis os uteri curandum eſt ut rectum ſit. Si vero poſtero et tertio die diluatur, uterus et caput curanda ſunt. At ſi computreſcat et exiliat et uterus, et corpus univerſum nimio humore madens procurandum. Atque haec ſingula ad hunc modum dignoſcere oportet. Cujusmodi autem purgatione opus habeat, dignoſcetur hoc modo. Cum menſes eunt, linteum attritum palmi parvi magnitudine complicatum in tenui cinere extendito, deinde ut in hoc defluant, quae decurrunt, curato. Sint autem lintea duo, ſeorſim utraque diurnum quidem et nocturnum. Et diurna quidem poſtero die eluere oportet, nocturna vero ubi per diem et noctem in cinere jacuerint. In ablutione autem conſiderandum qualia ſint detrita lintea, ubi in ſole reſiccata ſuerint, quod tamen um-

Ed. Chart. VII. [738. 739.] Foës. I. 596. Ed. Lind. II. (433. 434.) αἰεὶ, πρότερον μὲν τῇ πυρίῃ τῇ ἐκ τῶν μαράθρων, ἔπειτα τῇ ἐκ τῶν θυμιαμάτων. [739] τὰς δὲ πυρίας ποιέεσθαι, καὶ τὰς προσθέσιας τεκμαιρόμενος ὅκως ἅπαντα πεποιήσεται, καὶ κατὰ τρόπον ἔσται, ἐν ᾧ χρόνῳ τὰ ἐπιμήνια εἴῃ. ἢν μὲν οὖν καθαρά τε καὶ ἀκραιφνέα καὶ ἔναιμα γένηται, οὕτως ἴτω παρὰ τὸν ἄνδρα ἐν ἀρχομένοισι τοῖσιν ἐπιμηνίοισιν· ἄριστον δὲ ἐν ἀπολείπουσι καὶ ἔτι ἰόντων μᾶλλον ἢ ἀφανέων. ὅταν δὲ μέλλῃ ἰέναι παρὰ τὸν ἄνδρα, ὑποθυμιήσθω τι τῶν ὑποθυμιαμάτων τῶν στυπτικῶν. θυμιήσθω δὲ διὰ τοῦ κανείου καὶ τοῦ καλάμου ἐπὶ σποδιὴν θερμὴν ἐπιπάσσουσα τὸ φάρμακον. ὅταν δὲ ἐπιπάσσῃ, καὶ τὸ κανεῖον περιθεῖναι καὶ τὸν κάλαμον καθεζομένην πυριῆσθαι. ὁκόταν δὲ δέῃ αὐτὴν θυμιᾶσθαι, τῷ μολυβδίῳ χρῆσθαι, ὡς ἀνεῳγμένῳ τῷ στόματι θυμιᾶται. εἶτα ὅταν ἀνίσηται, πάλιν ἐν τῇ κλίνῃ προσθέσθω τὸ μολύ(434)βδιον. εἶτα ὑφελομένη, τηνικαῦτα ξυνεγείρεσθω τῷ ἀνδρὶ, καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς μὴ δῆλά οἱ ᾖ, ἐπτείνασα τὰ σκέλεα καὶ ἐπαλλάξασα ἠρεμείτω. νηστείη

dum fomentum, priore quidem loco fomentum ex foeniculis, deinde quod fit per aromatum ſuffitum. Fotus autem et medicamenta ſubdititia admoveto ea conſideratione adhibita, ut omnia recte et convenienter fiant, quo tempore menſes eunt. Si igitur pura, ſincera et ſanguinea appareant, tum virum adeat ineunte purgatione menſtrua, praeſtat tamen ea deſinente, ſed tamen adhuc eunte potius quam penitus ceſſante. Cum autem ad virum acceſſura eſt, ſuffitum aliquem adhibeat ex odoratis adſtringentibus quae in hanc rem parantur, idque per ollae operculum et arundinem adhibeat, aſperſo in cinerem calidum medicamento. Quo aſperſo, operculum et arundinem circumponito, eamque ſedentem ſuffito. Cumque ſuffitum capere opus erit, plumbea fiſtula utendum, quo adaperto oſculo ſuffitus excipiatur. Deinde poſtquam ſurrexerit, rurſus in lecto plumbea fiſtula ſubdatur, qua deinde ſubtracta cum viro congrediatur. Quod ſi quae a viro emittuntur, non ſint ei manifeſta, cruribus diſtentis et alternatim poſitis quieſcat.

Ed. Chart. VII. [738.] Foël. I. 595. 596. Ed. Lind. II. (432. 433.)
ἐξαιρετέαι. κωλύουσι γὰρ λαμβάνειν ἐν γαστρί. ὁκόσα μὲν οὖν φλεγματώδεα καὶ ὑμενοειδέα τῶν ἐπιμηνίων ἐστὶ, καὶ αὗται σαρκώδεές εἰσι, καὶ ταύτῃσι τὸ στόμα ἔξυγρον καὶ πτύελον πουλὺ καὶ γλίσχρον, καὶ ἢν ὀξέος γεύηται ἢ δριμέος, τὸ πτύελον ἐν τῷ στόματι πλαδωδέστερόν τε ἔσται καὶ ἄναλτον, καὶ πρὸς πᾶν ὅ τι ἂν φάγωσιν ἢ πίωσιν ὄχλος, καὶ προσίστηται αὐτέοισιν καὶ ἀείρεται καὶ ἡ κοιλίη, καὶ ναυσίη, καὶ ἀλυ(433)σμὸς πουλύς. ἀπό τε κεφαλῆς ῥεῦμα καταῤῥέει καὶ πάντ' ἐπιπλάσσεται, καὶ πολλὴν ὑγρασίην ἐπάγεται, καὶ τὰ ὑποφθάλμια πελιδνὰ καὶ πεφυσημένα. ταύτας χρὴ ὅλας πυριῆν καὶ πυκνὰ ἐμέειν καὶ ἀπὸ σιτίων καὶ ἀπὸ νηστείης. μαλάσσειν δὲ τὴν κάτω κοιλίην. φαρμάκοισι δὲ πάμπαν κούφοισιν, ὁκόσα ἥκιστα χολὴν ἄγει, καὶ μονοσιτέειν καὶ γυμνάζεσθαι συχνὰ, καὶ ὡς ξηροτάτῃ τροφῇ διαιτᾶσθαι, || καὶ ποτῷ ἐλαχίστῳ ἀκρητεστέρῳ. κοιλίη δὲ εὔλυτος ἀμείνων διαφυλάσσεσθαι. τὰς δὲ ὑστέρας χρὴ, ἢν μὴ πρὸς ταύτην τὴν διαίτην ἐνακούωσι, καθαίρειν φαρμάκοισιν, ἀδήκτοισι, προσθέτοισιν. προπυριῆν δὲ πρὸ τῶν καθαρσίων

uteri conceptum impediant, penitus tollendae. Quibus igitur pituitoſi et membranoſi menſes ſunt, eae carne abundant, os valde humidum eſt, ſputum copioſum et glutinoſum. Si quid vel acidum vel acre deguſtarint, oris ſaliva liquidior et inſulſa erit et ad quodvis cibi aut poticnis genus turbatio conſequitur, his venter inhibetur et attollitur, nauſea adeſt et multa corporis jactatio, ex capite fluxio demittitur et omnia obducit, magnamque adducit humoris copiam, et partes ſub oculis lividae ſunt et flatu diſtentae. His toto corpore fotus adhibendus et a cibo et jejunis frequens vomitus ciendus, quin etiam inferna alvus mollienda, ſed levibus omnino medicamentis, et quae minimum bilem educant. Semel tantum cibus ſumendus, frequentique exercitatione utendum et in victus ratione ſiccifſimo cibo, et potu parciſſimo meraciore. Praeſtiterit autem ut alvus ſervetur quae facile ſolvatur. At vero uteros, ſi huic victus rationi non cefſerint, medicamentis ſubditiiis minime mordacibus purgare oportet. Semper autem ante purgationes praemitten-

Ed. Chart. VII. [739. 740.] Foël. I. 596. 597. Ed. Lind. II. (434. 435.)
τῶν θηρείων. καὶ ταῦτα μὲν ἢν ξυλλάβῃ, οὕτως χρὴ ποιέειν. ἢν δέ γε μὴ ξυλλάβῃ, ἀλλ' οἴχεται δευτεραῖα ἢ τριταῖα τὰ τοῦ ἀνδρὸς ῥεόμενα παμπόλλῳ ὑγρασίῃ, δῆλον ὅτι ὑγρότεραί εἰσιν αἱ ὑστέραι. θεραπεύειν οὖν χρὴ κατὰ (435) τὸν ὑφηγημένον τρόπον, μέχρις ἂν ξηραὶ γένωνται. ὁκόταν δὲ δοκέωσι ξηραὶ εἶναι, ἰητρεύεσθαι οὕτως. ἄριστον φάρμακον μαλθακτήριόν μιν κατόπιν τε καὶ ἐς τοὔμπροσθεν, ἄχρις οὗ αὗται κατὰ φύσιν γένωνται, καὶ αὖθις ἴτω παρὰ τὸν ἄνδρα, ὅταν τὰ ἐπιμήνια μηκέτι πολλὰ, ἀλλ' ὀλίγα καὶ εὔχροα καὶ ὀργᾷ. καὶ ἐν τῇσιν ἄλλῃσιν ἡμέρῃσιν ἱμεροῦσθαι χρὴ τοῦ ἀνδρὸς, ἢν ἄριστα ἔχωσιν αἱ ὑστέραι. ὅταν δὲ ξυγγένηται ἐν τῇσιν ἡμέρῃσιν τῇσιν εἰρημέναισιν, ἢν εὐτρεπισθῶσιν αἱ ὑστέραι, ἢν κατάσχῃ τε τὴν γονὴν ἡμερέων δέκα ἢ δυοκαίδεκα, μὴ ἰέναι ὡς τὸν ἄνδρα. [740] ἢν δὲ μὴ ξυλλάβῃ, ὑγιέες δὲ ἔωσιν αἱ μῆτραι, γίνεται γὰρ δὴ καὶ τοῦτο πολλῇσιν, ἐπειδὰν ἀκιδναὶ αἱ μῆτραι ἐοῦσαι ἄτροφοι ὑπὸ πάθεος γίνονται, ἢ ὑπὸ || φαρμακείης τε καὶ πυρίης πολλῆς

nis. Atque iſta quidem, ſi conceperit, ad hunc modum facienda ſunt. Si vero non conceperit, ſed poſtero aut tertio die quae viri ſunt nimio humore diffluentia foras prodeant, uteros humidiores eſſe conſtat, quos prius expoſito modo curare oportet, dum ſicciores evadant. Cum vero ſicci eſſe videbuntur, hac arte curandi. Optimum eſt emolliens medicamentum, poſteriore et anteriore parte adhibitum, donec ad priſtinam naturam redeant. Tum rurſus virum adeat, cum non amplius multi, ſed pauci et bene colorati menſes feruntur, et impetu quodam in venerem excitatur. Quin etiam aliis diebus complexu viri frui licet, ſi uteri bene habeant. Ubi autem praedictis diebus viri complexum experta fuerit, ſi commode apparati uteri fuerint, et decem aut duodecim diebus genituram continuerint, tum ne virum adeat. At ſi non conceperit, uteri autem bene valeant, id enim plerisque contingit, cum imbecilli uteri ex affectione aliqua alimenti penuria laborant, aut propter frequens medicamentum, aut fotum non prius genituram ferre queunt,

Ed. Chart. VII. [739.] Foës. I. 596. Ed. Lind. II. (434.)

δὲ ὄφελος ἐν ταύτῃ τῇ ἡμέρῃ. πλὴν κυκεῶνα ἢν ἐθέλῃ ἄναλτον ἐφ' ὕδατι. τοῦτο δὲ πιέειν τότε, ὁκόταν μέλλῃ θυμιᾶσθαι. ἢν δὲ ξυγγενομένη τῷ ἀνδρὶ κατάσχῃ τῇ ὑστεραίῃ τὴν γονὴν καὶ μηδὲ ἐς τὴν ἑτέρην ἀπίοι ἡμέρην, σιτίων μὲν εἴργεσθαι καὶ λουτρῶν, πίνειν δὲ ἄλφιτον ἐν ὕδατι ἄναλτον καὶ δὶς καὶ τρὶς τῆς ἡμέρης. αὕτη δὲ ἡ δίαιτα ἔστω ἡμέρας ἓξ. ἀμείνων δὲ καὶ ἑπτά. ἢν μὴ ἀπίῃ τὰ τοῦ ἀνδρὸς ὅταν ξυγγένηται, ἀλουτείτω δὲ πάντα τὸν χρόνον, καὶ ἀκινητεῖν ἐπιτηδευέτω, ἢν δὲ βούληται περιπατεῖν, περιπατείτω ἐν ὁμαλῷ χωρίῳ καὶ λείῳ. προσάναντες δὲ μηδαμῶς, μηδὲ κάταντες. καθέζεσθαι δὲ ἐπὶ μαλθακά, ἢν ξυλλάβῃ, τὴν δ' ἄλλην δίαιταν τὴν αὐτὴν ποιέεσθαι, μέχρις ἡμερέων τριήκοντα. ἀλουτεέτω δὲ, ἢ καὶ ὅτε δέοι λουθῆναι, ὀλίγῳ καὶ μὴ λίην θερμῷ· τὴν δὲ κεφαλὴν μὴ βρέχειν. σιτίοισι δὲ χρεέσθω καὶ ἄρτοισι καὶ μάζῃ, ἢν γε βούληται. κρεῶν δὲ φάσσῃ καὶ τοῖσι παραπλησίοισι, θαλασσίων δὲ ὁκόσα κολίην ἵστησιν. εἴργεσθαι δὲ λαχάνων θριμέων. οἴνῳ δὲ μέλανι χρεέσθω, κρέασι δὲ ὀπτοῖσι μᾶλλον ἑφθοῖσι, καὶ τῶν ἡμερέων καὶ

Jejuna autem esse debet eo ipso die, nisi cyceonem insulsum ex aqua sumere velit. Quod certe faciendum, cum suffitum adhibere volet. Post autem viri congressu m, si mulier postero die genituram continuerit, neque altero die exciderit, a cibis et balneis arcenda. Polentam autem insulsam ex aqua bis terque die bibat. Eaque victus ratio sex diebus, aut quod praestiterit, septem servanda: si quae a viro emittuntur post congressum non exciderint, totoque tempore illota maneat et studiose motum vitet. Quod si deambulare volet, loco adaequato et plano, non acclivi, neque declivi obambulet. Moliter etiam desideat, si conceperit, reliquamque eandem victus rationem ad dies triginta observet. Balneo autem abstineat, aut si quando lotione opus fuerit, pauca eaque non admodum calida utatur, caput tamen ne madefaciat. In cibo panibus utatur et maza, si volet, ex carnibus, palumbo et similibus, marinis, quae alvum sistunt. Inlibendus autem olerum omnium usus. Vino utatur nigro et carnibus assis potius quam elixis, tum cicuribus tum seri-

Ed. Chart. VII. [740. 741.] Foël. I. 597. Ed. Lind. II. (436.)
καθαίρειν προσθέτοισιν οἷα λεπτύνει τὰς ὑστέρας καὶ ἐς εὐθὺ καθίστησι. μετὰ δὲ τὰς καθάρσιάς τε καὶ πυρίας κλύζειν τοῖσδε ἅσσα ἐναντία τῇ προφάσει. ὅσῃσι δὲ τὸ στόμα ἀπεστραμμένον ἐστὶ καὶ προσπεπτωκὸς πρὸς τὸ ἰσχίον, γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην τὴν γονὴν προσδέχεσθαι, ὅταν οὖν τι τοιοῦτον ξυμβῇ, πυριῆν χρὴ τῇσιν εὐώδεσι πυρίῃσι. μετὰ δὲ τὴν πυρίην παρασπασαμένην τῷ δακτύλῳ ἀποσπᾶν τοῦ ἰσχίου. ὅταν δὲ ἀποστήσῃ, ἐξορθοῦν τοῖσι δαιδίοισι καὶ τῷ μολιβδίῳ κατὰ τὸν ἔμπροσθεν λόγον. ὅταν δὲ ἐξωρθωμέναι τε καὶ ἀνεστομωμέναι γένωνται, προσθέτοισι μαλακοῖσι καθαίρειν καὶ τἆλλα ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον. [741] ὅταν ἀνεστομωμέναι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι ἔωσι, καθάρσιος δέονται· μετὰ δὲ τὰς καθάρσιας κλυσμῶν ἀξιοῦν καὶ θυμιαμάτων. ἢν δὲ ἐγγύτερον ἔωσι τοῦ δέοντος, ἐμέτων δέονται αἱ ὑστέραι καὶ πυρίης δυσώδεος, μέχρις ὅτου ἐς χώρην ἔλθωσι. τῇ διαίτῃ δὲ τῇ ὑφηγημένῃ χρῆσθαι. ἢν δὲ τὸ στόμα πιμελῶδες ᾖ καὶ

Per ſubdititia etiam medicamenta purgandum, quae uteros attenuent et directos conſtituant. Poſt purgationes autem et fotus infundenda quae cauſam oppugnent. Quibus vero os detortum in coxendicem prolapſum eſt, ejusmodi enim quaedam contingunt quae uterum impediunt quo minus geniturum ſuſcipiat, cum igitur tale quippiam contigerit, fotus ex odoratis admovendus. Poſt fotum autem immiſſo digito leniter contrectata muliere a coxa avellendum. Quod cum abductum fuerit taedaceis et plumbeis fiſtulis, juxta praedictam rationem dirigendum. Cum autem directi et aperti fuerint uteri, per emollientia ſubdititia medicamenta repurgandi, reliquaque juxta praeſcriptum modum facienda. Cum uteri plus aequo aperti fuerint, purgatione indigent. Poſt purgationes autem operae pretium eſt collutiones et ſuffitus ex aromatis adhibere. Si vero propius acceſſerint quam conveniat, vomitionibus et ſuffitibus ex rebus graveolentibus indigent, quoad in ſuum locum redeant. Praeſcripta quoque victus ratione utendum. At ſi oſculum prae-

Ed. Chart. VII. [740.] Foës. I. 597. Ed. Lind. II. (435. 436.)
οὐ δύνανται φέρειν τὴν γονήν, πρὶν ἢ ἐθάδες γίνονται καὶ ἰσχύωσιν. γνωστὸν δὲ τοῖσιδ' ἐστὶν ὧδε. ὁκόταν ἀπίῃ οἱ, ἄπεισι δὲ δευτεραίῃ ἢ καὶ τριταίῃ καὶ ἔτι ἀνωτέρω, ἀπέρχεται δὲ παχέα τε καὶ ξυνεστεῶτε οἷον βλέννας, ἢν μὴ κακόν τι ᾖ καὶ διὰ νοῦσον ἑτέρην ὑστερέων ἡ γονὴ ἀπαλλάσσηται. ὅταν οὖν τοιαῦτα φανθῇ, θεραπείης μὲν ἀπόχρη ὑστερέων. τοῦ δ' ἄλλου σώματος ἐπιμελίην ἔχειν, ὡς καὶ εὐεξίη τοιαύτη οἱ ᾖ, ὡς ξυνεσταλμένον τε ἅμα τὸ σῶμα εἶναι καὶ εὔογκον. λουτροῖσιν ὀλίγοισιν, πλείοισι δὲ δριμέων καὶ ἁλμυρῶν εἴργεσθαι. ἐμέτοισι χρῆσθαι πρὸ τῶν ἡμερέων ὧν μεμαθήκει τὰ ἐπιμήνια γίνεσθαι, καὶ αὖθις (436) λιμοκτονέεσθαι, καὶ τἆλλα ἐπιτελεῖν ὅσσα εἴρηται. αὕτη μὲν θεραπείη ἀμφὶ τῶνδε. ὅσῃσι δὲ, ὅταν ξυγγένωνται, αὐτίκα διαῤῥέει τὰ ἀπὸ τοῦ ἀνδρός, ταύτῃσι τὸ στόμα τῶν ὑστερέων πρόφασις. θεραπεύειν δὲ δεῖ οὕτως. ἢν μὲν σφόδρα μεμυκὸς ᾖ, ἀναστομῶσαι τοῖσι δαιδίοισι καὶ τοῖσιν μολιβδίοισι. πυριῇν δὲ μαλθακῇ πυρίῃ, τῇ ἐκ τοῦ μαράθρου, καὶ

quam in conſuetudinem venerint, aut robur acquiſierint. Quod quibusdam hoc modo cognoſcitur. Cum mulieri genitura exciderit, quod ſit poſtero die aut tertio aut etiam tardius, craſſa et velut mucus coacta exeunt, niſi vitium aliquod ſubſit aut propter alium uteri morbum genitura dimittatur. Cum igitur talia viſa fuerint, uteros quidem curare non ſatis eſt, ſed reliqui corporis cura habenda eſt, quo ei laudabilis hujusmodi habitus comparetur, ut corpus ſit compactum et juſta mole praeditum. Balneis paucis, ſed multis et levibus laboribus utatur, ab acribus et ſalſis arceatur. Vomitionibus utatur ante dies quibus menſes fieri conſueverunt, et rurſus omnimodam abſtinentiam adhibeat, ac reliqua quae commemorata ſunt perficiat. Ea quidem his curatio convenit. At quibus ſtatim a viri complexu efflunt quae a viro immiſſa ſunt, his uterorum oſculum in cauſa eſt. Cui ad hunc modum curatio adhiberi debet. Si quidem admodum conniveat, fiſtulis taedaceis aut plumbeis aperiendum, mollis quoque ſotus ex foeniculo admovendus.

Ed. Chart. VII. [741. 742.] Foeſ. I. 597. 598. Ed. Lind. II. (437. 438.)
σίων τῇσι πυρίῃσι χρῆσθαι ἐκ τῶν θυμιημάτων. ὅταν δὲ πυριήσῃς, καθαίρειν προσθέτοισι τὸν αὐτὸν τρόπον ὡς ἐν τοῖσι πρόσθεν, καὶ μετὰ τὰς προσθέσιας καὶ καθάρσιας τοῖσι μαλθακτηρίοισι χρέο, καὶ τὸ ἐκ τῆς λινοζώστιος πρόσθετον, || καὶ ἀρτεμισίης ποίης καὶ ἀνεμώνης καὶ ἐλλεβόρου λευκοῦ ἢ μέλανος. τὰ μὲν τῶν φαρμακειῶν ταύτῃσιν ὧδε χρή. τὴν δὲ δίαιταν ἀποσκεπτόμενον τῆς ἀνθρώπου ἐς τὸ ὅλον (438) σῶμα ποιέειν, ἢν τε αὐχμη[742]ροτέρη δοκέῃ εἶναι, ἢν τε σαρκωδεστέρη. ἢν μὲν αὐχμηροτέρη, λουτροῖσι πλείοισι καὶ ἐφθοῖσι πᾶσι τοῖς ὄψοισιν, εἴτε θαλασσίοισιν εἴτε κρέασιν, οἴνῳ δὲ ὑδαρεῖ, λαχάνοισί τε ἐφθοῖσι καὶ λιπαροῖσι πᾶσι καὶ γλυκέσι. ταῦτα γὰρ ὡς ἐπιτοπολὺ ποιέει ὑγρηδόνα εἶναι καὶ ἐν τῷ ἄλλῳ σώματι καὶ ἐν τῇσιν ὑστέρῃσιν. ἢν δὲ ὑγροτέρη ᾖ, δέονται αἱ τοιαῦται ὑστέραι τούτων οὐδὲν, ἀλλὰ τἀναντία. οὐ χρὴ ψαύεσθαι οὐδὲ κλύζεσθαι τεοχμῶς οὐδὲ θυμιᾶσθαι. πρὸς γὰρ τὸ κινδυνεύμενον φιλέει ἰέναι, καὶ ἢν ἐξυγρανθῶσι μᾶλλον τῆς φύσιος, χρὴ

que purgant, flatusque deducunt. Ante purgationes tamen fotibus ex odoratis utendum, et poſt fotus per ſubdititia purgato, eodem quo in ſuperioribus modo. At poſt ſubdititia et purgationes emollientibus utitor, et in ſubdititio mercurialem artemiſiam herbam, et anemonem veratrumque album aut nigrum apponito. Atque haec quidem per medicamenta curatio his hoc modo convenit. Victus vero rationem habita totius corporis muliebris ratione, ad id accommodato, ſive illa ſiccior, ſive carnoſior videatur. Quae quidem ſi aridior fuerit, pluribus balneis, opſoniis omnibus elixis, tum marinis, tum carnibus, vino etiam aquoſo, oleribus coctis et pinguibus quibusque ac dulcibus utatur. Haec enim fere humiditatem tum reliquo corpori tum uteris conciliant. Sin vero humidior fuerit, ſic affecti uteri horum nullo indigent, ſed contra neque haec attrectare, neque recenter lavare neque ſuffitum adhibere oportet, cum haec quidem periculum creare ſoleant. Et ſi humidiores quam eorum naturae conveniat extiterint, ſiccare ſane et

τον διὰ τοῦτο μὴ κυισκηται, ταπυ ἐφθὸν ἐσθιειν νηστιν,
τον ἐπι(437)πίνειν. πρόσθετον δὲ νίτρον ἐρυθρὸν
νον καὶ ῥητίνην. ἄριστον δὲ οἴνῳ νίτρον ξυμμίσγειν,
νῃ, ἅμα καὶ κυμίνῳ καὶ μύρῳ λευκῷ, ἢ ἐλάφου
ὖσαι καὶ μίξαι ὠμήλυσιν διπλῆν ἐν οἴνῳ. ἢν δὲ μὴ
ράσα ἕψειν καὶ ἀμφικαθέζεσθαι, ἢ φηγὸν τρίβουσα
έσθω, σκόροδά τε τρώγειν νεαρὰ καὶ μελίκρηιον ἐπι-
ἐμεέτω. ὅσηισι δὲ ἐμμένει καὶ ἐνσήπεται καὶ ὄχλον
ἀνδραφάξιος ἀγρίης καρπὸν ἢ χυλὸν ξὺν μέλιτι ἢ
νῳ ἐλλικτὸν διδόναι. ὅταν δὲ δύσοδμα εἴη, οὐ κυί-
ἀνδράχνην οὖν καὶ χηνὸς ἔλαιον μίσγειν καὶ προσ-
ὅσηισι δὲ ἑκταῖα καὶ ἑβδομαῖα τὰ ἀπὸ τοῦ ἀνδρὸς
όμενα χωρέει, ταύτῃσιν εἰκὸς γίνεσθαι ὑπ' ἀμφοῖν.
δοὴ χοΐ ης καὶ ἄλμης, θεραπεύειν χρὴ ὧδε ἐλλεβόρῳ
ωνίῃ καὶ πεπλίῳ. καθαίρουσι γὰρ ταῦτα ἄνω τε καὶ
έγμα καὶ χολὴν καὶ φύσας ἄγει. πρὸ δὲ τῶν καθαρ-

it et craſſum, eamque ob cauſam non concipit, ſinapi
jejuna edat et vinum merum ſuperbibat. Nitrum
ubrum in ſubdititio medicamento apponat, cum
et reſina. Praeſtiterit autem nitrum vino diluere,
reſina, cumino et unguento albo. Aut cornu cervi
t hordaceae farinae crudae duplum cum vino ad-
Quod ſi his non levetur, porris decoctis inſideat,
m contritam in ſubdititio apponat et allia recentia
et aqua mulſa ſuperbibita vomat. Quibus autem
in utero immoratur, ibique putreſcit et moleſtiam
atriplicis agreſtis ſemen, vel ſuccum cum melle
no delingendum dato. Cum vero gravis odoris
non concipit. Portulacam igitur cum anſerino
rmiſceto et in ſubdititio apponito. At quibus quae
mmiſſa ſunt ſexto vel ſeptimo die putrefacta efflu-
ab utrisque contingere eſt verosimile. Si humor
et ſalſuginoſus affluat, ad hunc modum curationem
rum aut ſcammonium aut peplium adhibere opor-
ec enim tum ſurſum tum deorſum pituitam bilem-

Ed. Chart. VII. [742.] Foes. I. 598. Ed. Lind. II. (439.)

μὴ λίην ἀνεξηράνθαι. αἱ γὰρ ὑπερβολαὶ τουτέων πάνυ φευκτέαι. λαμβάνειν δὲ ἐν γαστρὶ οὔτε τὴν ὑγρηδόνα ἔχουσαν, ἀτὰρ οὐδὲ τὴν αὐαινομένην, ἢν μὴ ᾖ ἐν τῇ ἀρχαίῃ φύσει τουτέων τι. ἰέναι δὲ χρὴ παρὰ τὸν ἄνδρα, ὅταν τὰ ὑπὸ τῆς θεραπείης ἔχῃ, ληγόντων ἢ ἀρχομένων τῶν ἐπιμηνίων. ἄριστον δὲ καὶ ἐπὴν παύσηται. μάλιστα δὲ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι πειρηθῆναι, ἢν δύνηται κυΐσκεσθαι. αὗται γὰρ κυριώταται. ἢν δὲ μὴ αὐτίκα ξυλλάβῃ, τἄλλα δὲ καλῶς ἔχῃ, οὐδὲν τὸ κωλῦον ἐν τῇσιν ἄλλῃσι τῶν ἡμερέων ξυνιέναι ἀνδρί. προθυμίην γὰρ σφίσι ποιέει ἡ μελέτη καὶ ἀναχαλᾶται τὰ φλέβια, καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς ἀπιόντα ὁμορρόθῃ καὶ ἴξιν τῷ ἀπὸ τῆς γυναικὸς, ταχύτερον κυήσει. καὶ γὰρ τόδε αἴτιον ἐστὶν ἧσιν, ἤν τε αὐτίκα ἢν τε ἐν ὑστέρῳ χρόνῳ ἀπίῃ. ταῦτα μὲν ἀμφὶ τούτων λέλεκται. ἢν δὲ ὑγρότερον ᾖ τὸ στόμα τῶν ὑστερέων, οὐ δύνανται εἰρύσαι τὸν γόνον. προσθέτοισι δὲ χρέεσθαι δριμέσι. δηχθεὶς γὰρ καὶ φλεγμήνας ὁ στόμαχος στερρός ἐστιν ὅτε γίνεται. κατὰ δέ τι ἠδέλφι-

nimia horum exuperantia valde vitanda ſit. Concipiendi autem facultatem habet ea, quae neque humiditate redundat, neque etiam exareſcit, niſi horum aliquid ex priſca natura inſit. Ad virum autem eam accedere oportet, curatione recepta, deſinentibus aut incipientibus menſibus, praeſtiterit tamen etiam ubi deſierint. Atque his potiſſimum diebus faciendum eſt periculum an concipere poſſit, cum ſint ii maxime opportuni. Quod ſi non ſtatim concipiat, caetera belle habeant, nihil vetat quominus aliis etiam diebus cum viro congrediatur. Haec enim exercitatio propenſiores quodammodo ad id eas facit, venulaeque laxiores fiunt. Ac ſi quae a viro prodeunt una cum eo, quod a muliere emittitur, recta concurrerint, citius concipit. Haec enim ea cauſa eſt, quibus vel ſtatim, vel longo poſt tempore genitura effluit. Ac de iis quidem haec dicta ſint. Si vero humidius uterorum os fuerit, attrahere genituram non poſſunt. Subter autem appoſitis acribus utendum. Compunctus enim et inceuſus ſtomachus interdum firmus red-

Ed. Chart. VII. [742.] Foël. I. 598. Ed. Lind. II. (438. 439.)
δὴ ξηραίνειν καὶ θυμιᾶν. ἢν δὲ χολώδεα ἴῃ ἐπὶ σφέας, ὅ τι χολὴν καθαίρει διδόναι. ἢν δὲ ἁλμυρώδεα, γάλα ὄνειον καὶ οἶνον καὶ τἆλλα ἀλεξητήρια. χρὴ δὲ σκεψάμενον τῶν νοσημάτων τὰς δυνάμιας καὶ ὑφηγεύμενον τὰς προφάσιας ὡς χρὴ ἐξ ὧν αἱ νοῦσοι γίνονται, ἐπὶ τὰ ἄλλα ἰέναι ὧδε καὶ τὰ ἀμφὶ τὰ χωρία ἰᾶσθαι, ὅσαι μὲν διὰ τῶν στομάτων προφανέων τὴν αἰτίην κωλύονται μὴ ἴσχειν ἐν γαστρὶ, τούτων εὐρεπίζειν τὰ στόματα, ὡς εὐκρινέα ᾖ. ὁκόταν δὲ ἡ ὑγρηδὼν εἴργῃ ταύτην ἐσορᾶν ὡς μὴ διακωλύῃ, σκεπτόμενον ἐς ὅλα τὰ πρήγματα τῶν γυναικῶν, ἤν τε ἐξ ἅπαντος τοῦ σώματος δοκέῃ τι κινέεσθαι, ἤν τε ἀπ' αὐτέων τῶν ὑστερέων, ἤν τε ἀπ' ἄμφω. τὰς δὲ ὑστέρας ὧδε μελεδαίνειν, ὅκως μήτε ὑγραὶ ἔωσι μήτε λίην αὐαίνουσαι. ἀλλὰ τὰς μὲν ξηροτέρας εὐχύλως ὅσῳ καὶ αὐχμηρότεραί εἰσι τοιαύτῃ ἰκμάδι, ὡς πιαλέαι μᾶλλον ἔσονται ἢ ἰσχναλέαι. τὰς δὲ ἐξυγρασμένας καὶ διαβρόχους ξηραίνειν ὑπολειπό(439)μενον ἐνίκμους εἶναι καὶ

fuffitum admovere oportebit. Quod ſi bilioſa ad eos confluant, medicamentum quod bilem purget exhibendum. Sin autem ſalſuginoſa, lac aſininum et vinum aliaque praeſidia. Oportet autem conſideratis morborum viribus et explicatis ut decet cauſis, ex quibus morbi oriuntur, ad reliqua hac via procedere et eorum quae ſunt in locis curationem inſtituere. Et quae quidem oſculorum nimis patentium cauſa a conceptu prohibentur, in his oſcula recte apparare oportet, ut probe ſint explicata. Cum vero nimia humiditatis copia prohibuerit, in hanc intentum eſſe oportet, ut ne impediat, mulierum rebus omnibus diligenter expenſis, ſive quid ex toto corpore agitari videatur, ſive ex ipſis uteris, ſive ab utrisque. Uteris autem ea cura adhibenda, ut neque humidi ſint neque admodum exareſcant. Sed ficciores quidem eo copioſiorem ſuccum bonum habeant, quo aridiores exiſtunt, ut per ejusmodi humorem pingues potius quam macilenti evadant. Humore vero nimis redundantes et madidi, eatenus ſiccandi, ut aliquis humor relinquatur quo perfundantur, neque nimis reſiccentur, cum nimirum

Ed. Chart. VII. [743.] Foës. I. 599. Ed. Lind. II. (440. 441.)

ελεῖν δὲ τὸν χιτῶνα ἄμεινον. εἰσὶ δὲ γυναῖκες αἵτινες λαμβάνουσι μὲν ῥηϊδίως ἐν γαστρὶ, ἐξενεγκεῖν δὲ οὐ δύνανται, ἀλλὰ σφέων τὰ παιδία διαφθείρονται ἢ ἅμα τῷ τρίτῳ μηνὶ ἢ τῷ τετάρτῳ, οὐδὲ μιῆς αἰτίης ἐπιγενομένης, οὐδὲ βορῆς ἀνεπιτηδείου. καὶ τοῦτό ἐστιν αἴτιον τὸ εἰρημένον, καὶ μάλιστα ἐπὴν παραμινυθέωσι τῆς αὐξήσεως τῷ ἐμβρύῳ αἱ μῆτραι, ἢ ἡ κοιλίη σφιν ταράσσεται, ἀσθένεια καὶ πυρετὸς σφοδρὸς καὶ ἀσιτίη ἐμπίπτει τῷ χρόνῳ τούτῳ, ᾧ ἂν τὰ παιδία φθείρωσιν. ἔστι δὲ καὶ τόδε αἴτιον. ἢν αἱ μῆτραι ἕωσι λεῖαι ἢ φύσει ἢ ἑλκέων ἐν αὐτῇσιν ἐγγενομένων. ἢν γὰρ λεῖαι ἕωσιν, ἔστιν ὅτε περιέχοντες αὐτὸ ὑμένες ἧσσον ἢ ὡς δεῖ ἐχόμενοί εἰσιν ἢ τῶν μητρέων ἀλέων ἐουσέων. εἰδείη δ' ἄν τις τούτων ἕκαστα, εἰ ἐρωτῴη ἀτρεκέως ταῦτα. περὶ δὲ τῆς λειότητος εἰ (441) ἑτέρη γυνὴ ψαύσειεν τῶν μητρέων κενεῶν ἐουσέων, οὐ γὰρ ἁρμόδια, δῆλον γίνεται. ἢν δὲ ἴωσι τὰ καταμήνια ταύτῃσιν, ἀλέα ἔρχεται, ἔστιν αὐτέων ἧσι γίνεται, ὥστε ἐκφέρειν τὰ ἔμβρυα. μελεδαινομένη δὲ ἐλπίδες ἔνεισι

abluatur. Praeſtiterit autem membranam undiquaque abſcindere. At vero nonnullae mulieres facile concipiunt, foetus tamen perferre nequeunt, ſed ſtatim ſub tertium aut quartum menſem perduntur, nulla cauſa neque cibo minime idoneo accedente. Ejusque rei praedicta cauſa eſt, idque maxime ubi uteri incrementum foetui ſubduxerunt, aut ipſis alvus vehementer conturbatur. Eoque tempore quo foetus perdunt, imbecillitas, febris vehemens cibique faſtidium accedit. Ad id haec quoque cauſa accedit, ſi uteri aut a natura, aut ex ulceribus in his ſubortis lubrici fuerint. Si namque uteri laevore correpti fuerint, interdum foetum continentes membranae minus quam conveniat adhaereſcunt, condenſatis nimirum uteris. Quae ſingula is agnoſcat, qui in haec ſedulo inquirat. De laevore autem conſtabit, ſi mulier alia, neque enim alias deceat, uteros dum vacui ſunt contrectarit. Quod ſi iis menſes eunt, confertim feruntur. Quibusdam etiam contingit ut foetus maturos ferant. Diligens vero adhibita cura

Ed. Chart. VII. [742. 743.] Foël. I. 598. 599. Ed. Lind. II. (439. 440.)

σται, καὶ ἢν σκυρωθῶσιν, ἄρειον τὰ δριμέα τε προστιθέναι ἃ δήξονται. τὰ γὰρ λευκὰ καὶ πυρώδεα ἐόντα τὸν σκῦρον διαχέει. ἢν δὲ λιπαχθῇ ὁ σκῦρος, μαλθακοῖσιν ἰῆσθαι καὶ ὅ τι μὴ δήξηται. [743] ἢν δὲ διὰ πολλοῦ μὴ κυΐσκηται τῶν καταμηνίων μὴ φαινομένων, ὅταν ἢ τριταίη ἢ τεταρταίη, σιυπτηρίην λείην τρίψας διεὶς μύρῳ, εἰρίῳ ἀναστοιγίζων (440) προστίθει καὶ ἐχέτω ἡμέρας τρεῖς. τῇ δὲ τετάρτῃ, χολὴν βοὸς αὖην ἐν ἐλαίῳ ἀναζέσας, || καὶ ἄχνην ἀναδεύσας πρόσθες, καὶ ἐχέτω ἐπὶ ἡμέρας τρεῖς. τῇ δὲ ὑστεραίῃ ἐξελέσθω καὶ τῷ ἀνδρὶ ξυνίτω. ἢν γονὴν μὴ δέχηται ἡ γυνὴ τῶν γυναικείων κατὰ φύσιν ἐρχομένων, ἡ μῆνιγξ ἐπὶ πρόσθεν ἔσται. γίνεται δὲ καὶ ἐξ ἄλλων. γνώσῃ δὲ τῷ δακτύλῳ ἅψῃ τοῦ προβλήματος. πρόσθεμα δὲ ποιῆσαι ῥητίνην καὶ ἄνθος χαλκοῦ, ἐν μέλιτι εἰς ὀθόνιον ἀρδαλώσας, πρόσθες ῥάμμα ἐκδήσας ἐκ τοῦ ἄκρου ὡς ἐσωτάτω. ὅταν δὲ ἐξελκύσῃς τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν τῷ οἴνῳ χλιαρῷ διανιζέσθω. περι-

ditur, quadam vero ex parte cum eo cognationem habet. Quod ſi in callum obdurucrint, praeſtiterit acria in ſubdititio apponere. Mordent enim quae tenuia ſunt et ignea, et callum liquant. At ſi callus emollitus fuerit, emollientibus curato, quae minime mordeant. Quod ſi ex longo intervallo non concipiat non apparentibus menſibus, tertio aut quarto die alumen tenuiter tritum, unguento dilutum vellere exceptum ſubdito, quod per triduum contineat. Quarto vero die fel bubulum aridum, oleo ferveſactum, eoque tenuem lanuginem imbutam in ſubdititio apponito, quod etiam triduo contineat, quo poſtridie exempto, cum viro congrediatur. Si mulier genituram non recipiat, menſibus ſecundum naturam euntibus, membrana praetenditur, quod etiam ex aliis cauſis contingit. Id autem cognoſces, cum digito quod obtenditur contigeris. Subdititium medicamentum confectum ex reſina et aeris flore cum melle, eoque linteolum infectum quam maxime intro apponito, ejus extremo filo alligato. Quod cum eduxeris, tepido vino, in quo myrtus decocta ſit, mulier

Ed. Chart. VII. [744.] Foes. I. 599. 600. Ed. Lind. II. (441. 442.)

στα ἐν γαστρὶ λαμβάνουσιν ἱμερωθεῖσαι καὶ ὁ γόνος σφίσι ῥώννυται, ἢν μισγέωσιν ὅτε χρὴ καὶ ὁ τοῦ ἀνδρὸς ῥηϊδίως μίσγεται, καὶ ἢν ἐπικρατήσῃ, τῷδε ἠδέλφισται. τότε γὰρ μά-(442)λιστα τὸ στόμα τῶν μητρέων κέχηνε καὶ τέτανύς ἐστι καὶ μετὰ τὰς καθάρσιας καὶ αἱ φλέβες τὴν γονὴν σπῶσιν. ἐν δὲ τῷ πρὶν χρόνῳ τό τε στόμα τῶν μητρέων μέμυκε, καὶ μᾶλλον αἱ φλέβες πλεῖαι αἵματος ἐοῦσαι οὐχ ὁμοίως σπῶσι τὴν γονήν. ἢν δὲ γόνος ἀπορῥέῃ διϋπετὴς, καὶ ἡ γυνὴ τῷ ἀνδρὶ οὐ ξυμμίσγεσθαι φιλεῖ, καὶ ξυνεοῦσα οὐ κυΐσκεται, καὶ ἢν ὀσφὺς καὶ τὰ ἰσχία πόνους παρέχωσι, καὶ μὴ πῦρ ἔχῃ βληχρὸν, καὶ ἀδυναμίη καὶ ἀψυχίη ἐπιγένηται, καὶ ἔστιν ὅτε αἱ ὑστέραι ἐν τῇ σφέων αὐτέων μὴ εἰσὶν ἕδρῃ. || ἢν μὲν οὖν ὑπὸ πλησμονῆς ᾖ, ἐᾶν ἄριστον, ἢν δὲ ὑστέρῃ χαλάσῃ, δίαιτα χόνδρος, κρέας ὕειον ἢ φάσσης ἢ οἶνος μέλας. ποτήματα δὲ ὅσα πρὸς ῥόον γεγράψεται. νῦν δὲ ἐρέω ἀμφὶ νουσημάτων τῶν ἐν γαστρὶ ἐχουσέων. φημὶ τῇ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ δίμηνον ἢ τρίμηνον καὶ περαιτέρω, ἢν τὰ ἐπιμήνια

piunt viri congreſſu potitae, et genitura robur acquirit, ſi tempeſtive liberis operam dederint, virique ſemen facile commiſcetur et ſi temperationem acceperit, cum eo germanam init ſocietatem. Tunc enim maxime uterorum os apertum eſt et diſtentio quaedam etiam poſt purgationes manet, venaeque genituram attrahunt. At contra prius tum os uterorum connivet, tum ſanguinis copia magis refertae venae, genituram non aeque trahunt. Quod ſi genitura continuo curſu defluat, neque mulier viri complexum appetit, neque eo potita concipit, lumborum et coxendicum dolore vexatur, eamque febris lenta detinet viriumque debilitas et animi deliquium accedit, interdumque uteri ſua ſede non manent. Si igitur prae copia effluat, eam miſſam facere optimum. Si vero uterus laxetur, in victus ratione alica utatur, carne ſuilla, aut palumbo, aut vino nigro. Potionibus autem his quae adverſus muliebre profluvium paulo poſt deſcribentur. Nunc vero de praegnantium morbis dicendum. Mea ſententia, ſi mulieri foetum duorum aut trium menſium, aut grandiorem utero

Ed. Chart. VII. [743. 744.] Foës. I. 599. Ed. Lind. II. (441.)

τόκου. ἀμφὶ δὲ τῶνδε ὧδε ἔχει. ἢν γυναῖκα μὴ δυναμένην τοκήεσσαν ἐθέλῃς γενέσθαι, χρὴ τοῖσιν ἐπιμηνίοισι σκέψασθαι, ἤν [744] τε φλεγματώδεα ἤν τε χολώδεα ᾖ. γνώσῃ δὲ τῷδε. ψάμμον ὑποβάλλων λεπτὴν καὶ ξηρὴν, ὅταν οἱ τὰ ἐπιμήνια γίνηται, ἐν τῷ ἡλίῳ ἐπιχέαι τοῦ αἵματος καὶ ἐᾶν ξηρανθῆναι. καὶ ἢν μὲν χολώδης ᾖ, ἐν τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν ἔσται, ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. τούτων ὁκότερον ἂν ᾖ, καθῆραι τὴν κοιλίην, ἤν τε ἄνω δέῃ ἤν τε κάτω. ἔπειτα τὰς ὑστέρας καθαίρειν. ἢν δὲ θέλῃς ξυλλαβεῖν, τοῦ κισσοῦ ἑπτὰ κόκκους, ἢ τῶν φύλλων κατὰ μῆνα πίνειν, ἐν οἴνῳ παλαιῷ παυομένων τῶν ἐπιμηνίων, ἑψήσας καὶ σίδιον ἐν οἴνῳ εὐώδει ἀκρήτῳ, καὶ βάλανον ἐκ τούτου ποιήσας προσθεῖναι ἔς τε μεσημβρίην ἢ στυπτηρίην Αἰγυπτίην τρίψας λείην ἐς εἴριον ἐνδήσας προστίθεσθαι. ἥμος δ᾽ ἥλιος δύνῃ, εἶτα ἀφελκομένη διανιζέσθω οἴνῳ εὐώδει. ποιέειν δὲ ταῦτα παυομένων ἐπιμηνίων. ἔχει δὲ καὶ τόδε οὕτως. ἐπὴν ἀποκαθαρθῶσιν αἱ γυναῖκες, μάλι-

sperabilem partionem facit. Ac de his sic quidem se res habet. Si mulierem, quae antea non poretat, puerperam fieri voles, menses spectandi an pituitosi sint, an vero bilioſi. Inde autem noſces. Arena tenui et ſicca dum menſes feruntur ſuppoſita, in ſole ſanguinis aliquid infundito et ſiccari permittito. Quod ſi quidem bilioſa fuerit, ſiccatus in arena ſanguis pallidus erit, ſi vero pituitoſa, ad inſtar muci. Horum quodcunque fuerit, ventrem purgato, ſive ſurſum opus erit ſive deorſum, poſtea uteros purgato. Si vero voles ut concipiat, hederae grana ſeptem aut foliorum ſuccum ſingulis menſibus deſinentibus menſtruis, ex vino veteri potui exhibeto. Ex malicorio etiam in vino odorato meraco cocto glandem efformatam, ad meridiem usque ſubdito, aut alumen Aegyptium tenuiter tritum in vellere ligatum ſupponito. Quo deinde ſimul ut ſol occiderit detracto, vino odorato eluatur. Haec autem ceſſantibus menſibus facienda. Sed et haec ſic ſe res habet. Ubi repurgatae mulieres fuerint, tum potiſſimum conci-

Ed. Chart. VII. [745.] Foës. I. 600. Ed. Lind. II. (443. 444.)

δριμὺ ἐς τὴν κοιλίην, καὶ καταῤῥήσει ἀπὸ τῆς κεφαλῆς τὴν κοιλίην, καὶ πῦρ ἐπιλαμβάνει αὐτὴν βληχρὸν καὶ παλμοί ἐστιν ἦσιν ἀσθενέες ὑπεκλυόμενοι, ἐπαναδιδόντες ὀξέες. ἢν δὲ καὶ ἀσιτίη ἔχῃ καὶ ἀδυναμίη, κίνδυνος ἐν τάχει φθαρῆναι τὸ ἔμβρυον, καὶ αὐτὴ ἐν κινδύνῳ ἔσται ἀπενηνεγμένη, ἢν μὴ μελεδαίνηται. ἐπὴν δὲ ἀποφύγῃ, ἅτε τῆς κοιλίης εὐρόου ἐούσης, αὐτίκα δεῖ καταλαμβάνειν. πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ κίνδυνοι, ἐν οἷσι τὰ ἔμβρυα φθείρονται. καὶ γὰρ ἢν ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νοσήσῃ καὶ ἀσθενήσῃ καὶ ἄχθος βιήσηται ἢ πληγῇ ἢ πηδήσῃ ἢ ἀσιτήσῃ ἢ λειποθυμίῃ ἔχηται ἢ πλέονα ἢ ὀλίγην τροφὴν λαμβάνῃ ἢ διδίσσηται καὶ πτύρηται ἢ κεκράγῃ ἢ ἀκρατήσῃ. καὶ γὰρ καὶ τροφὴ αἰτίη φθορῆς καὶ πόμα πουλύ. καὶ αὗται δὲ μῆτραι ἔχουσι φύσιας ἦσιν ἐξαμβλέσται, οὖσαι πνευματώδεες πυκιναὶ, μεγάλαι, μικραὶ καὶ ἄλλα ὅσα ἔοικεν. ἢν γυνὴ ἐν γαστρὶ ἔχουσα τὴν κοιλίην ἢ τὴν ὀσφῦν πονέῃ, ὀῤῥωδέειν χρὴ τὸ ἔμβρυον ἀμ 444)βλῶσαι ῥαγέντων

redundarit, pituita acris in ventrem fertur et ex capite in ventrem cum impetu decidit, eamque febris levis invadit, quibusdam etiam palpitationes, quae aliquantulum exolvuntur, ubi increfcunt graves funt. Quod fi appetentiae dejectio et imbecillitas detineat, periculum eft ne brevi foetus corrumpatur, ipfaque nifi fedulo curetur in periculum vitae veniet: ubi autem evaferit, nimirum cum alvus fit fluida, eam confeftim comprimere oportet. Multa quoque funt alia ex quibus foetui corruptionis periculum impendet. Si enim quae utero gerit aegrotarit, invalida fit et onus vi fuftulerit, aut plagam aeceperit aut faltarit, aut inedia laborarit aut animo defecerit, fi copiofius aut parcius alimentum fumpferit, aut metu correpta et confternato animo fuerit, aut vociferetur aut intemperanter vivat. Eft enim cibus et potus copiofior corruptionis caufa. Quin et ipfi uteri ita funt a natura comparati ut abortionem faciant, fi flatulenti, denfi, magni, parvi extiterint aliisque fimilibus affectionibus laborarint. Si mulier quae uterum geftat, ventris aut lumborum dolore conflictetur, metus eft ne ruptis mem-

Ed. Chart. VII. [744. 745.] Foël. I. 600. Ed. Lind. II. (442. 443.) παραχωρέῃ αὐτίκα κατὰ μῆνα ἕκαστον, ἀνάγκη λεπτήν τέ μιν γενέσθαι καὶ ἀσθενέα. ἔστι δ' ὅτε καὶ πῦρ ἐπιλαμβάνει τὰς ἡμέρας ἕως ἂν χωρέῃ τὰ ἐπιμήνια, καὶ ἐπὴν χωρέῃ καὶ μετὰ τὴν χώρησιν χλωρὴ γίνεται καὶ χωρέῃ δὲ ὀλίγα. ταύτῃσι κεχήνασιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, παραμεθίασί τε τῆς αὔξης τοῦ ἐμβρύου. κατέρχεται γὰρ ἐπὴν ἐν γαστρὶ ἔχῃ ἡ γυνὴ ἀπὸ παντὸς τοῦ σώματος αἷμα ἐπὶ τὰς μήτρας κατ' ὀλίγον καὶ περιϊστάμενον κύκλῳ περὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν αὔξει κεῖνο. ἢν δὲ χάνωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, παραμεθίασι τοῦ αἵματος κατὰ μῆνα, ὥσπερ εἴωθε χωρέειν, καὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν λεπτόν τε καὶ (443) ἀσθενὲς γίνεται. μελεδαινομένης δὲ τῆς γυναικὸς ἄμεινον τό τε [745] ἔμβρυον καὶ αὐτὴ ἡ γυνή. ἢν δὲ μὴ μελεδαίνηται, φθείρεται τὸ ἔμβρυον, κινδυνεύει δὲ καὶ αὐτὴ τὸ νούσημα χρόνιον ἔχειν, ἢν οἱ ἡ κάθαρσις πλεῖον τοῦ δέοντος χωρέῃ. μετὰ τὴν διαφθορὴν οἷα τῶν μητρέων μᾶλλον ἑστομωμένων καὶ κίνδυνος ἔσται. ἢν δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἡ κεφαλὴ φλεγματώδης ᾖ, καταβαίνει τὸ φλέγμα

gerenti menſes conſeſtim ſingulis menſibus prodeant, ea ut tum extenuetur tum debilis reddatur neceſſe eſt. Interdum etiam, quamdiu menſes prodeunt, febris corripit cumque fluunt et ubi effluxerint ex virore palleſcit, quantumvis parce fluant. His uteri plus aequo dehiſcunt. Ubi enim mulier uterum gerit, ſenſim a toto corpore ſanguis in uteros defertur, et velut in orbem id quod in uteris eſt circumſiſtens ipſum auget. Si autem uteri plus aequo dehiſcunt, et foetus incrementum effluere ſinunt, ſanguinem ſingulis menſibus, ſicut prodire conſuevit, effluere ſinunt, et quod in uteris continetur tenue et debile evadit. Verum ſi diligens cura adhibetur, tum mulier tum foetus melius habet. Si vero nulla adhibeatur, foetus corrumpitur. Quin etiam ipſa in periculum venit ne diuturno morbo teneatur, ſi ei longior quam conveniat purgatio prodeat. Sed et poſt corruptionem periculum etiam imminet, uteris nimirum magis apertis. Si vero mulieri utero gerenti caput pituita

Ed. Chart. VII. [745.] Foës. I. 601. Ed. Lind. II. (444. 455.) ἄλλοτε καὶ ἄλλοτε καὶ τὸ στόμα ἐκπικράζοιτο καὶ χλωρὴ γλῶσσα, ὄμματα ἰκτερώδεα, ὄνυχες χολώδεες, οὖρον δριμύ, ἄλλως τε καὶ εἰ πυρεταίνη, ἄλλοτε καὶ ἄλλοτε ταύτῃ ξυμβήσεται. ἐπὴν δὲ συμβῇ οἱ καὶ τὴν κάθαρσιν χολώδεα εἶναι, πᾶσα ἐλπὶς καὶ τὰ παιδία ἀσθενέα ἔσεσθαι. ἢν χολώδεα ἀποπατέῃ, κάρτα δὲ γίνεται τοῦτο, ῥηϊτερον διάξει, καὶ ἢν χολώδεα τὰ λοχεῖα ᾖ μέλανά ἐστι, κάρτα καὶ ἐπιπολὺ λῖπος ἐπιγίνεται καὶ (445) ἔρχεται κατ' ὀλίγον καὶ οὐ ταχὺ πήγνυται, καὶ τὸν μὲν πρῶτον χρόνον ῥηϊτέρως οἴσει, ἔπειτα χαλεπώτερον καὶ ἐπικαθαίρεται ἐλάσσονα τοῦ δέοντος. ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ καὶ τὰ λοχεῖά οἱ ἐλάσσονα χωρήσει καὶ πονηρότερα. πείσεται δὲ ταῦτα πάντα καὶ ἢν τὰ καταμήνια χωρέηται, χολώδεα, ἐλάσσονα δὲ χρόνον νοσήσει, καὶ κινδύνους ἐς τοὺς αὐτοὺς ἥξει ἡ νοῦσος, καὶ σημήϊα, καὶ μεταλλαγάς. εἰ γὰρ ἔμετος ταύτῃσι χολώδης ἢ κατὰ τὴν κοιλίαν κάθαρσις ἐπὶ ταύτῃ γίνεται, καὶ ἕλκοῦνται αἱ μῆτραι. φυλακῆς δὲ πολλῆς δέεται ἡ γυνή. ὅταν οὖν τοιοῦτόν τι γίνηται, ὅκως

doloribus divexetur, ſubindeque febricitet, os amareſcat, lingua ex virore ſit pallida oculi velut regio morbo ſuffuſi, ungues bilioſi et acris urina, eaque tum vel maxime ſi febricitet alias atque alias ei contingent. Ubi vero bilioſa ei purgatio obtigerit, omnino metuendum erit foetus etiam imbecillos fore. Si bilioſa per alvum egerat, quod quidem fere contingit, meliuſcule deget. Ac ſi puerperii purgamenta bilioſa, aut atra ſunt admodum fereque pinguedo accedit, ſenſimque feruntur neque cito concreſcunt, tumque primo quidem tempore facilius feret, poſtea moleſtius, minorque quam conveniat purgatio conſequitur. Cum enim corpus adverſa valetudine fruatur, ei parciora et deteriora puerperii purgamenta prodibunt. Eodem autem omnino modo afficietur ac ea cui menſes feruntur bilioſi, neque tamen tamdiu aegrotabit ad eademque pericula, ſigna et commutationes morbus deveniet. Aut enim iis vomitio bilioſa, aut per alvum purgatio in hoc morbo contingit, uterique exulcerantur. Multa autem cura mulier indiget. Cum igitur tale quid contingit, etſi minime moritur, in-

Ed. Chart. VII. [745.] Foës. I. 600. 601. Ed. Lind. II. (444.)
τῶν ὑμένων, οἳ αὐτὸ περιέχουσιν. εἰσὶ δὲ αἳ διαφθείρουσι τὰ ἔμβρυα, ἢν δριμύ τι ἢ πικρὸν φάγωσι παρὰ τὸ ἔθος ἢ πίωσι, νηπίου τοῦ παιδίου εἴσω ἐόντος. ἢν γὰρ τῷ παιδίῳ παρὰ τὸ ἔθος τι γένηται, καὶ ἢν σμικρὸν ἔτι ᾖ, θνήσκει, καὶ ἢν τοιαῦτα φάγῃ ἢ πίῃ ὥσπερ εἴπομεν, ὥστε οἱ ἀνάγκη ταραχθῆναι τὴν κοιλίην, νηπίου ἐόντος τοῦ παιδίου. ἐπαΐουσι γὰρ αἱ μῆτραι τοῦ ῥεύματος χωροῦντος ἐκ τῆς κοιλίης. καὶ ἢν ταλαιπωρήσῃ ἡ γυνὴ πλέονα τοῦ καιροῦ καὶ οἱ ἡ κοιλίη ἐρχθῇ ἢ καὶ μεγάλη γένηται, ἀπογίνεται καὶ οὕτως τὸ παιδίον οἷα θερμανθὲν ὑπὸ τῆς ταλαιπωρίης καὶ πιεζεύμενον ὑπὸ τῆς κοιλίης. κάρτα γὰρ τὰ πολλὰ σμικρὰ ἐόντα, ἔστιν ἅγυια. τὰ δὲ καὶ μεγάλα φθείρεται παιδία. ὥστε οὐ χρὴ θαυμάζειν τὰς γυναῖκας, ὅτι διαφθείρουσιν ἄκουσαι. φυλακῆς γὰρ καὶ ἐπιστήμης πολλῆς δεῖ ἐς τὸ διενεγκεῖν καὶ ἐνθρέψαι τὸ παιδίον ἐν τῇσι μήτρῃσι καὶ ἀποφυγεῖν αὐτῷ ἐν τῷ τόκῳ. || εἰ δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα τὸ σῶμα φλαύρως ἔχοι καὶ εἴη χολώδης καὶ ἐπίπονος καὶ πυρεταίνοι

branis foetum, quem undique cingunt, abortione ejiciat. Sunt autem quae si acre quiddam aut amarum praeter consuetudinem ederint aut biberint, foetus perdunt, cum adhuc tenellus puellus intus exiſtat. Si quid enim puero praeter consuetudinem contingat, idque si parvulus adhuc fuerit, moritur. Et si, quemadmodum diximus, ejusmodi ederit aut biberit mulier, ex quo tenello adhuc puerulo, ventrem ei exturbari neceſſe ſit. Fluentis enim alvi moleſtiam uteri ſentiunt. Quod si mulier plus aequo laborarit, eique venter coarctetur aut dilatetur, ſic quoque foetus perit, cum nimirum ex nimio labore incaleſcat, et a ventre comprimatur. Plerumque enim cum admodum ſunt exigui, invalidi exiſtunt. Quin et grandiuſculi foetus etiam corrumpuntur, ut proinde mulieres mirari non debeant, si nolentes foetum corrumpant. Summa enim cura providentiaque opus eſt, ut in uteris foetum perſerant et enutriant, eoque in partu liberentur. Si vero quae utero gerit adverſa utatur corporis valetudine, fueritque biliosa et

Ed. Chart. VII. [747.] Foes. I. 601. Ed. Lind. II. (446.)

κοινὴ ἐκλευκος, ψυχρὴ, τάραξις, δυσκινησίη. ἐπὴν δὲ τέκῃ, χωρήσει οἱ ἡ κάθαρσις φλεγματώδης, καὶ φανεῖται ὑμενώδες, καὶ ὥσπερ ἀράχνια διατεταμένα ἐν ταύτῃ ἔσται, καὶ πείσεται μὲν ταῦτα πάντα καὶ ᾗ τὰ καταμήνια ἐχώρεε τὰ φλεγματώδεα, ἐλάσσονα δὲ χρόνον νοσήσει, καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει, καὶ σημεῖα, καὶ μεταλλαγάς. ξυμβήσεται γὰρ αὐτῇ, ἔμετον γενέσθαι φλεγματώδεα καὶ παθήματα ὅμοια κείνῃ χωρήσαντα. ἐξήρτηται γὰρ τῷ αὐτῷ τρόπῳ τὰ λοχεῖα καὶ τὰ καταμήνια τὰ φλεγματώδεα. ἐλάσσονα δὲ χρόνον μὲν τῶν καταμηνίων καὶ ἢν μὴ ῥαγῇ αὐτῇ ἡ κάθαρσις χρονισθεῖσα, θνήσκει ἐν πέντε καὶ τεσσαράκοντα ἡμέρῃσι, καὶ ἢν οἱ φλεγματώδης ἡ λοχίη κάθαρσις χωρήσει, μελεδαινομένη δὲ ἡ γυνὴ ὑγιὴς ἔσται καὶ φυσηθήσεται ἐξ ἀρχῆς ἢν ὑγιανθῇ. χαλεπὸν γὰρ τοῦτο ἔσται νόσημα. ταύτῃ χρὴ διδόναι φάρμακον, ὅ τι φλέγμα ἄγει, καὶ μίσγειν γάλα ἐφθὸν αἴγειον ξὺν μέλιτι. ἢν δὲ πολλάκις μὴ ἐσακούῃ, κάρδαμον ἢ κνῆκον ἢ κνέωρον ἢ πολυπόδιον ἢ ὀρῦὸν ἢ τὸ ἀπὸ

redditur, frigida eſt, perturbatio adeſt et aegre movetur. Ubi autem pepererit, purgatio pituitoſa procedet et in qua membranulae et velut araneorum telae diſtentae apparebunt, iisdemque quidem omnibus afficietur, quibus ea cui menſtrua pituitoſa ferebantur, minus tamen diu aegrotabit morbusque eadem pericula, ſigna et commutationes habebit. Ei enim vomitus pituitae continget et procedentes affectiones eaedem ac ſuperiori. Eodem namque modo puerperii purgamenta et menſes pituitoſi dependent, breviori tamen quam menſes tempore. Ac niſi ea purgatio quae diu moram traxit affatim erumpat, intra quinque et quadraginta dies perit. Quod ſi puerperii purgatio pituitoſa ei prodierit, diligenti tamen curatione adhibita mulier convaleſcet, ſed per initia flatu diſtendetur, ſi ſana evaſerit, cum gravis futurus ſit hic morbus. Huic medicamentum quod pituitam educat exhibendum, et lac caprinum coctum cum melle mixtum. Quibus ſaepe oblatis ſi non cedat, naſturtium exhibendum aut carthamum aut cneorum aut polypodium aut ſerum aut ex ſalibus compoſitum me-

Ed. Chart. VII. [746. 747.] Foes. I. 601. Ed. Lind. II. (445. 446.) μὴ θάνηται ἄφορος ἔσται. ἢν δὲ μηδὲν τουτέων γένηται καὶ μὴ μελεδαίνηται, ἀλλά οἱ τὰ λοχεῖα κρυφθῇ, θνήσκει ἐν τριήκοντα καὶ μιῇ ἡμέρῃ ὡς ἐπιτοπολύ. ταύτην φάρμακον πίσαι χολαγὸν, καὶ ἄνησον ἀρήγει, καὶ ὅσα ἐς οὔρησιν. ἐμέειν δὲ καὶ ἱδρῶτας ἄγειν, καὶ τὴν κοιλίην κλύζειν χυλῷ πτισάνης καὶ μέλιτι καὶ ὠοῖσι καὶ μαλάχης ὕδατι. ἦσιν ἐν γαστρὶ ἐχούσῃσι περὶ τὸν ἕβδομον ἢ ὄγδοον μῆνα ἐξαπίνης τὸ πλήρωμα τῶν μαζῶν καὶ τῆς γαστρὸς ξυμπίπτει, καὶ οἱ μαζοὶ ἐξισχνοῦνται, καὶ τὸ γάλα οὐ φαίνεται, φάναι τὸ παιδίον ἢ τεθνηκὸς εἶναι ἢ ζώειν τε καὶ εἶναι ἠπεδανόν. ἢν γὰρ ἔχωσιν ἐν γαστρὶ καὶ ἐπιφαίνεται τὰ ἐπιμήνια καὶ τιτρωσμοὶ γίνονται, ἢν πλείονα ᾖ καὶ κάκοδμα ἢ νοσώδεα τὰ ἔμβρυα γίνεται. ἢν γυνὴ ἐν γαστρὶ ἔχουσα φλεγματώδης ᾖ καὶ τὴν (446) κεφαλὴν ἀλγέει καὶ πυρεταίνει ἄλλοτε καὶ ἄλλοτε, καὶ ἐν τῇ κεφαλῇ εἰλέεται τὸ φλέγμα, καὶ βάρος ἔχει καὶ ψύξιν, καὶ ἐς τὸ σῶμα διαχωρέει καὶ ἐς τὰς φλέβας ὅταν ἡ [747] κεφαλὴ ᾖ πλήρης. γίνεται δὲ καὶ μολίβῳ τὴν χροιὴν ἴκελος, καὶ ἐμέει φλέγμα, γλῶσσα λευκή, καὶ οὔρησις

foecunda tamen erit. Si vero nihil horum contingat, nec ipfa fedulo curetur, fed puerperii purgamenta ipfi in occulto delitefcant, intra unum et trigefimum diem fere perit. Huic medicamentum quod bilem educat propinato. Confert et anifum, et quaecunque urinam movent. Prodeft quoque vomitionem ciere et fudores elicere, alvumque ptifanae cremore, melle, ovis et malvae decocto eluere. Quibus uterum gerentibus ad feptimum aut octavum menfem, mammarum ventrisque plenitudo derepente fubfidet, mammaeque extenuantur et lac non apparet, puerum aut periiffe, aut vivere et debilem effe afferendum. Si enim uterum geffent, et menfes appareant et abortiones fiant, fi copiofi et graveolentes fuerint, aut morbofi foetus redduntur. Si mulier utero gerens pituitofa fuerit, caput dolet fubindeque febricitat, pituita in capite volvitur et gravitatis fenfum habet et frigoris, in corpus fecedit et venas, cum caput repletum fuerit. Plumbi etiam colorem refert et vomitione pituitam reddit, lingua exalbefcit, urina fere exalbida

Ed. Chart. VII. [747. 748.] Foes. I. 602. Ed. Lind. II. (447. 448.)
δὲ πνῖξ προσπέσῃ ἐξαπίνης ἐχούσῃ ἐν γαστρὶ, γίνεται δὲ τοῦτο μάλιστα ἐπὴν ἡ γυνὴ τα[748]λαιπωρέῃ καὶ ἀσιτήσῃ θερμανθεισέων τῶν μητρέων ὑπὸ τῆς ταλαιπωρίης καὶ ἐλάσσονος τῆς ἰκμάδος γινομένης τῷ ἐμβρύῳ, καὶ ἅτε τῆς μήτρης κενεωτέρης τὴν κοιλίην τοῦ καιροῦ ἐούσης, ἰθύει τὸ ἔμβρυον πρὸς τὸ ἧπαρ καὶ τὰ ὑποχόνδρια, ἅτε ἰκμαλέα ἐόντα, καὶ πνίγα ποιήσει ἰσχυρὴν ἐξαπίνης. ἐπιλαμβάνεσθαι γὰρ τὸν διάπνοον τὸν ἀμφὶ τὴν κοιλίην, καὶ ἀναυδίη ἴσχει τὴν γυναῖκα, καὶ τὰ λευκὰ ἀναβάλλει τῶν ὀφθαλμῶν, καὶ τἄλλα πάσχει πάντα ὅσα περ εἴρηται. ἤν τινα ἐφεῖσα τὰς μήτρας πνιγείη καὶ ἅμα τε ἄρχεται ἡ (448) πνῖξ γίνεσθαι τῇ ἐν γαστρὶ ἐχούσῃ γυναικὶ, καὶ ἀπὸ τῆς κεφαλῆς καταῤῥεῖ φλέγμα εἰς τὰ ὑποχόνδρια, οἷα τοῦ σώματος μὴ δυναμένου τὴν ἀναπνοὴν ἕλκειν, καὶ ἢν μὲν ἅμα τοῦ φλέγματος τῇ κατελεύσει ἴῃ τὸ ἔμβρυον ἐς χώρην τὴν ἑωυτοῦ, ὅλην τὴν ἰκμάδα ἑλκύσαν καὶ κατενεχθὲν ὑπὸ τοῦ φλέγματος, ὑγιὴς γίνεται ἡ γυνή. τρυσμὸς δὲ γίνεται, λιπόντος τοῦ ἐμβρύου τὴν χώρην τὴν ἑωυτοῦ, καὶ ἡ γαστὴρ ὑγρὴ γίνεται ὡς ἐπὶ

dato et conquiescet. Si suffocatio derepente in utero gerentem incidat, quod accidit potissimum ubi mulier vehementi labore et inedia confecta fuerit, cum per vehementem exercitationem uteri incalescant, et paucior foetui suppetit humiditas, cumque uterus nimirum sua cavitate plus aequo inanis existat, foetus ad hepar et praecordia nimirum humore scatentia recta fertur, vehementemque derepente suffocationem afferet. Per spirationem enim quae circa ventrem fit intercipit, et loquendi impotentia mulierem detinet, oculorum partes albas sursum convertit, reliquaque universa patitur, quae commemorata sunt, si quae non praegnans uteri strangulatu laboraverit. Et cum primum mulieri utero habenti suffocatio incipit, pituita etiam in praecordia a capite defluit, corpore nimirum spiritum trahere non valente. Quod si una cum pituitae descensu foetus a pituita delatus et secum attracta tota humiditate in suum locum venerit, mulier convalescit. Excitatur autem stridor, dum foetus locum suum deserit, mulierisque venter

Ed. Chart. VII. [747.] Foës. I. 601. 602. Ed. Lind. II. (446. 447.) ἁλῶν ξυντιθέμενον διδόναι καὶ ὅσα φλέγμα χαλᾷ καὶ ἀνάγει. || ἢν δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα σπληνώδης ἢ ὑπὸ παθημάτων ὧν εἴρηται, ἐν τῇ νούσῳ τῶν (447) καταμηνίων τὰ ὑδρωποειδέα καὶ φλεγματοειδέα ἀφίησι καὶ τὰ λοχεῖα χωρήσει ὑδρωποειδέα καὶ ἐλεύσεται ὁτὲ μὲν πολλά, ὁτὲ δὲ ὀλίγα, καὶ γίνεται μὲν ὥσπερ ἀπὸ κρεῶν ὕδωρ, ὡς εἴ τις κρέα αἱματώδεα ἀποπλύνοι, ὁτὲ δὲ ὀλίγῳ παχύτερον καὶ οὐ πήγνυται. καὶ πείσεται ταῦτα πάντα καὶ εἰ τὰ καταμηνία τὰ ὑδατοειδέα χωρέει, καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει καὶ μεταλλαγάς. ξυμβήσεται γάρ οἱ ῥόον γενέσθαι ὑδατώδεα, ἢ κρυφθῆναι τὴν κάθαρσιν καὶ τραπέσθαι τὴν κοιλίην καὶ τὰ σκέλεα ἢ ἐς τὸ στέρνον ἤ τι τούτων, καὶ κίνδυνοι ἔσονται οἱ αὐτοὶ, οἵ καὶ πρόσθεν εἴρηνται. ἢν κύουσα οἰδέῃ, κνίδης καρπὸν ὡς πλεῖστον καὶ μέλι καὶ οἶνον κεκρημένον εὐώδεα διδόναι ποτὸν, δὶς τῆς ἡμέρης. ἢν κύουσαν χολὴ λυπέῃ, πτισάνης χυλὸν δίδου ῥόον ἐπιπάσσων τὸν ἐρυθρὸν ἢ τὸν ἐκ τῆς συκαμίνου, ψυχρὸν δὲ ῥοφεέτω καὶ καταστήσεται. ἢν

dicamentum, et quaecunque pituitam laxant et foras educunt. Sed ſi mulier quae utero gerit ſub commemoratis affectionibus lienoſa fuerit, dum menſes fluunt aquae ſimilia et pituitoſa dimittit, et procedent puerperii purgamenta aquas referentia et interdum quidem copioſa, interdum vero pauca venient, idemque contingit ac ſi aqua ex carnibus reddatur, non ſecus ac ſi quis carnes cruentas abluat, quandoque vero paulo craſſiora, neque concreſcunt. Eademque patietur omnia quae illa cui aquoſi menſes prodeunt, eademque pericula et mutationes morbus habebit. Futurum enim eſt ut fluor aquoſus oboriatur, aut purgatio in occulto deliteſcat et ad ventrem et crura, aut ad pectus aut aliquam ex his partibus convertatur, eademque pericula imminebunt, quae prius dicta ſunt. Si gravida intumeſcat, urticae ſemen quam plurimum cum melle et vino odorato temperato bis die in potu exhibendum. Si praegnantem bilis moleſtia afficiat, ptiſanae ſuccum exhibeto, rhoë rubro aut mori arboris fructu aſperſo, frigidum autem ſorbendum

Ed. Chart. VII. [748. 749.] Foës. I. 602. 603. Ed. Lind. II. (448. 449.) ἐπὴν ἐν γαστρὶ ἡ γυνὴ (449) ἔχῃ, χλωρὴ γίνεται πᾶσα, ὅτι αὐτέης τοῦ αἵματος αἰεὶ τὸ ἀκραιφνὲς καθ' ἡμέρην ὑπολείβεται ἐκ τοῦ σώματος καὶ κατέρχεται ἐπὶ τὸ ἔμβρυον καὶ αὔξη οἱ γίνεται, καὶ ἐλάσσονος τοῦ αἵματος ἐόντος || ἐν τῷ σώματι ἀνάγκη εἶναι χλωρὴν καὶ ἱμείρεσθαι [749] ἀλλοκότων ἀεὶ βρωμάτων, καὶ ἐπὶ κοιλίην αἱματώδεα ἰέναι, καὶ ἀσθενεστέρη γίνεται, ὅτι τὸ αἷμα μινύθει. φημὶ δὲ γυναῖκα, ἢν ἐπιτεύξῃ, πνεῦμα πυκνὸν ἀφιέναι, καὶ ἢν ἡ κάθαρσις ἄρχηται, ἡ κοιλίη πλήρης ἐστὶ, καὶ θέρμη πιεζομένη. μάλιστα δὲ ἀναπνέει πυκινὸν, ἐπὴν τόκου πελάζῃ καὶ τὴν ὀσφῦν τότε μάλιστα πονέεται. φλᾶται γὰρ καὶ ἡ ὀσφὺς ὑπὸ τοῦ ἐμβρύου. καρδιώσσει δὲ ἐν τῷ μεταξὺ σύμπαντι χρόνῳ ἄλλοτε καὶ ἄλλοτε, ἅτε τῆς κοιλίης περιστελλομένης ἀμφὶ τὸ ἔμβρυον, μάλιστα δὲ τῆς ὑστέρης. καὶ ἢν τεκούσης ὑστέρη ἐξανημωθῇ, ἦπαρ ὄϊος ἢ αἰγὸς ἐς τέφρην κρύψαι, καὶ μετέπειτα ἑψεῖν καὶ λαμβάνειν καὶ οἶνον ἢν μή τι κωλύῃ, πίνειν ζωρότερον παλαιὸν ἐπὶ τέσσαρας ἡμέρας, ἢν πορρωτέρω

Ubi uterum geſtat mulier tota pallida redditur, quoniam qui in ea purus eſt ſanguis ſemper quotidie e corpore aliquantulum ſtillat, et ad foetum fertur eique in alimentum cedit, cumque paucus in corpore ſanguis exiſtat, eam pallidam eſſe neceſſe eſt, ſemperque abhorrentes cibos appetere, et ad ventrem ſanguinea ſubire. Debilior etiam redditur, quod ſanguis imminuitur. Mea autem ſententia mulier ubi partui vicina eſt, crebrum ſpiritum emittit, ſique purgatio incipiat, venter plenus eſt et a calore urgetur. Tum vero potiſſimum crebrum ſpiritum ducit, ubi partui proxima eſt, tumque praecipue lumborum dolore affligitur, cum ſiquidem lumbi a foetu collidantur. Toto vero intermedio tempore oris ventriculi dolore ſubinde premitur, cum nimirum venter, ac praecipue uterus foetum undique complectatur et comprimat. At ſi puerperae uterus flatu impleatur, ovis aut caprae jecur cineribus contectum, deinde coctum, in cibum ſumendum et vinum vetus meracius, ſi nihil prohibeat, per dies quatuor bibendum,

Ed. Chart. VII. [748.] Foës. I. 602. Ed. Lind. II. (448.)

τὸ πλεῖον τῆς γυναικός. ἢν δὲ μὴ ἴῃ τὸ ἔμβρυον ἐν τάχει ἐς χώρην τὴν ἑωυτοῦ, δύο γίνεται ἤδη τὰ πονέοντα τὸ ἔμβρυον τὸ φλέγμα τὸ κατελθὸν ἀπὸ τῆς κεφαλῆς, βαρύνει τε γὰρ καὶ ψύχει ἐπιμένον καὶ ἡ ἀηθείη τοῦ χωρίου, καὶ κινδυνεύσει, ἢν γε μή τις ἐν τάχει ἐπιτηδειοτέρως διαιτᾷῃ, ἀποπνιγείη γὰρ ἂν ἡ γυνή. καὶ τὰ μὲν ἀμφὶ τούτων ὧδε ἔχει. ἢν δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὁ χρόνος ἤδη τοῦ τόκου παρῇ καὶ ὠδὶς ἔχῃ καὶ ἐπὶ πολλὸν χρόνον ἀποφυγεῖν ἡ γυνὴ τοῦ παιδίου μὴ οἵη τε ᾖ, ὡς ἐπίπαν ἔρχεται πλάγιον ἢ ἐπὶ πόδας, χρειὼδες δ' ἐπὶ κεφαλὴν χωρέειν. καὶ ἢν πλάγιον ἴῃ, χαλεπὸν γίνεται τὸ πάθημα. ὡς γὰρ εἴ τις ἐς λήκυθον μικρόστομον πυρῆνα ἐμβάλλοι, οὐκ εὐφυὲς ἐξελεῖν πλαγιεύμενον, οὕτω δὴ καὶ τῇ γυναικὶ χαλεπὸν πάθημα τὸ ἔμβρυον, ἐπειδὰν λοξωθῇ καὶ γὰρ χαλεπὸν ἐξελθεῖν. χαλεπὸν δὲ καὶ ἢν ἐπὶ πόδας χωρήσῃ, καὶ πολλάκις ἢ αἱ μητέρες ἀπώλλοντο ἢ τὰ παιδία ἢ καὶ ἄμφω. ἔστι δὲ καὶ τόδε μέγα αἴτιον τοῦ μὴ ῥηϊδίως ἀπιέναι, ἢν νεκρὸν ἢ ἀπόπληκτον ἢ διπλόον ᾖ.

fere fluidus redditur. Sed si brevi ad suum locum foetus non veniat, tum duo foetui molestiam afferunt, pituita quae a capite deorsum delata ipsum gravat et permanens refrigerat, et loci insolentia. Tumque is periclitabitur, et mulier suffocabitur, nisi quis brevi magis accommodatam victus rationem adhibuerit. Ac de his quidem sic res habet. Si vero mulieri uterum gerenti jam pariendi tempus instet, ac parturiendi dolores detineant, diuque in enitendo laboret, is transversus, aut in pedes fere exit, in caput autem prodire praestiterit. Quod si transversus exeat, gravis evadit affectio. Non secus enim ac si quis in ampullam olearium angusti oris, olivae nucleum immittat, qui transversus non facile educitur, eodem plane modo etiam mulieri gravis est affectio ubi foetus transversus descendit, sic enim molestè educitur. Grave vero etiam est si in pedes prodeat, et plerumque aut matres aut puelli, aut ambo etiam perierunt. Id quoque magnopere in causa est cur non facile exeat, si mortuus aut sideratus, aut duplicatus foetus fuerit.

Ed. Chart. VII. [749. 750.] Foes. I. 653. Ed. Lind. II. (450. 451.) πέντε ἢ ἓξ, γλυκυσίδης χηραμύδος ἥμισυ τῆς ῥίζης, ἢ καὶ τοῦ σπέρματος. ταῦτα ἐν οἴνῳ λευκῷ ἡδυόδμῳ μάλιστα νήστει διδόναι, ἢ δαύκου ῥίζαν Αἰθιοπικοῦ, σέσελι, γλυκυσίδης ῥίζαν τὸν αὐτὸν τρόπον, ἢ ἱπποσελίνου, ἢ δαύκου Αἰθιοπικοῦ καρπὸν ὡσαύτως, ἢ κρηθμοῦ ῥίζαν, ἢ κυμίνου Αἰθιοπικοῦ Ἀττικὸν τετρώβολον, ἢ πέπερι, ἄννησον, δαῦκος, ἀκταίης γλυκυσίδης ῥίζα. ταῦτα ἐν οἴνῳ τρίβειν καὶ διδόναι πίνειν ἢ μυρτυδάνου κλωνία δύο ἢ τρία, καὶ κύμινον Αἰθιοπικόν, γλυκυσίδης ῥίζαν, ἢ καὶ λίνου σπέρμα ὁμοίως. ὃ καὶ τὰ παιδία βήσσοντα ψωμίζουσι ξὺν ὠῷ ὀπτῷ λεκίθῳ, ξὺν σησάμῳ πεφρυγμένῳ. ἢν παιδίου ἀφθᾶ τὰ αἰδοῖα, ἀμύγδαλα τρίψας καὶ βοὸς μυελὸν ἐν ὕδατι ἑψεῖν, καὶ ἄλητον ἐμβαλὼν σμικρὸν, διαχρίειν τὰ αἰδοῖα, καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων. [750] (451) νῦν δὲ ἐρέω ἀμφὶ λοχείων καὶ τῶν μετὰ τὸν τόκον ἰόντων. ὅταν γυνὴ ἢ τὰ λοχεῖα μὴ καθαρθῇ ἢ τὰ ἐπιμήνια μὴ ἴῃ ἢ ὑστέρη σκληρὴ ᾖ, ἢ ὀδύνη ἔχει τὴν ὀσφῦν καὶ τοὺς μὲν νεφρεῶνας καὶ βουβῶνας καὶ

anisi et seseleos quantum quinque aut sex, radicis paeoniae, aut etiam seminis concham testae majoris dimidiam. Haec ex vino albo grati odoris jejunae praecipue exhibeto. Aut dauci Aethiopici radicem, seseli, paeoniae radicem ad eundem modum. Aut hipposelini, aut dauci Aethiopici semen eodem modo, aut crethmi radicem, aut cumini Aethiopici quatuor Atticorum obolorum pondus. Aut piper, anisum, daucum, paeoniae Atticae radicem, haec ex vino albo trita propinato, aut myrtidani duos aut tres surculos et cuminum Aethiopicum, et paeoniae radicem aut etiam lini semen similiter, quod etiam tuffientibus pueris in cibo exhibent cum ovi vitello assato et sesamo torrefacto. Si puerperae pudenda ulcere superficiario laborent, amygdalas tritas et medullam bubulam aqua decoquito, paucaque farina injecta pudenda illinito, in myrtillorum decocto eluito. Jam vero de puerperii purgamentis, et his quae post partum prodire solent, nobis est dicendum. Ubi mulieri aut puerperii purgamenta non expurgantur, aut menses non eunt, aut induratur uterus, et lumborum dolor adest,

Ed. Chart. VII. [749.] Foës. I. 603. Ed. Lind. II. (449. 450.)
ἢ ἀπὸ τῆς τέξιος. ἢν δὲ τὰς ἰξύας ἀλγέῃ, ὕννησον καὶ κύμινον Αἰθιοπικὸν πινέτω, καὶ τῷ θερμῷ λουέσθω. ἢν δ' ἆσθμα λάζηται, θείου ὅσον κύαμον καὶ καρδαμώμου ἴσον καὶ πηγάνου καὶ κυμίνου Αἰθιοπικοῦ, ταῦτα τρίψας καὶ διεὶς οἴνῳ δίδου πιεῖν νήστει καὶ σιτίων ἀπεχέσθω πυκινά. ἢν ἐν τόκῳ κάθαρσις ἴῃ πολλὴ, ἡ ὑστέρη ξυνέλκεται καὶ ἡ κύστις καὶ ἔντερον καὶ οὔτε τὸ κόπριον κατέχουσι καὶ τὸ οὖρον, προΐενται δέ. ὠὰ οὖν ῥοφεῖν δίδου, (450) καὶ ὄρτον ἐγκρυφίην τρώγειν καὶ ὅσσα λοιπὰ γέγραπται. ἢν δὲ ἧ ἐν τόκῳ οὖσα, ξηρὴ καὶ δύσικμος ἔλαιον πίνειν καὶ καὶ καταιονᾶν τὰ χωρία ἔλαιον θερμὸν μαλάχης ὕδωρ κηρωτῇ ὑγρῇ διαχρίειν καὶ ἔγχυτον χηνὸς ἄλειφα ξὺν ἐλαίῳ. ἢν δὲ μὴ δύναιτο τίκτειν, ὑποθυμία ῥητίνην ἢ κύμινον ἢ πίτυος φλοιόν. καὶ τούτῳ ὑποθυμία. ὅσσα δὲ οἰδήματα γίνεται ὑστερικὰ ἐν τόκῳ ἢ ἐκ τόκου, οὐ χρὴ στρύφειν, οἷα οἱ ἰητροὶ ποιέουσι. τὰ δὲ φάρμακα ἄριστα προσφέρειν, κύμινον Αἰθιοπικὸν, ὅσον τρισὶ δακτύλοισι καὶ τοῦ ἀννήσου, καὶ τοῦ σεσέλιος

si longius absit a partu. Quod si lumberum dolore conflictetur, anisum et cuminum Aethiopicum bibat et calida lavet. Si vero frequens anhelatio, asthma vocatur, prehendat, sulphuris fabae quantitatem, cardamomi, rutae et cumini Aethiopici parem modum, haec trita vino macerata, jejunae potui exhibeto et cibis frequentibus abstineat. Si in partu purgatio copiosa decurrat, uterus contrahitur et vesica et intestinum, neque stercus neque urinam continent, sed emittunt. Ova igitur sorbenda dato et panem subcineritium edendum, et quae scripta sunt reliqua. Si quae adhuc in partu est, sicca fuerit, nec nisi aegre humectetur, oleum bibendum et loci oleo calido et malvae decocto calido perfundendi et cerato liquido illinendi, adipe etiam anserino cum oleo infuso. Sin autem parere nequeat, resinam aut cuminum, aut pini corticem ad suffitum adhibeto. Qui in partu, aut ex partu uteri tumores contingunt, eos, uti medici faciunt, constringere non oportet, verum praestantissima medicamenta adhibenda, cumini Aethiopici quantum tribus digitis continetur,

Ed. Chart. VII. [750. 751.] Foël. I. 604. Ed. Lind. II. (451. 452.)
τούτου διάῤῥοια ἐπιγενομένη σώματι φλαύρως ἔχοντι πονήσει μιν. ἢν δὲ ἀπὸ κεφαλῆς ἐλθὸν τὸ ῥεῦμα ἐς τὴν λοχείην κάθαρσιν τραπῇ καὶ πολλὰ συθῇ, (452) ῥηΐζει. ἢν δὲ πλεῖον τοῦ μετρίου, μελεδαίνει. ἢν δὲ ἐς τὴν κοιλίην, ῥηϊτέρη ἂν ἡ ἔξοδος τῷ παιδίῳ γένοιτο. εἰ δὲ ἡ κάθαρσις τῇ γυναικὶ ὀλίγη χωρέοι, πόνος λάζηται ἰσχυρὸς ἰξύας τε καὶ τὸν ἀμφὶ τὰ αἰδοῖα πάντα χῶρον καὶ οἰδέει, καὶ οἱ μηροὶ πίμπρανται καὶ ἐκ τοῦ στόματος καὶ ἐκ τῶν ῥινέων ῥέει φλέγμα ἰσχυρῶς ὑδαρὲς, καὶ ἀλγέει κεφαλὴν καὶ πῦρ ἔχει, καὶ φρίκη, καὶ οἰδέει, καὶ οἱ ὀδόντες βρύχουσι, καὶ ἡ γαστὴρ οἱ στεγνὴ ἔσται, καὶ ἡ κύστις καὶ τὰ ὄμματα ἀναδινέει, καὶ ζοφοειδὲς ὁρῇ. [751] γυναικὶ δὲ ἐκ τόκου ἐούσῃ κάθαρσις ἐπὴν ἴῃ, οὐκ εὐμαρέως χωρέει, οἷα τῶν μητρέων ἐν φλογμῷ γινομένων, καὶ τοῦ στόματος σφέων μύσαντος. περιϋδροῦται δὲ ὁ στόμαχος τοῦ αἰδοίου μετὰ τὸ παιδίον ποιήσασθαι τὴν ἐκχώρησιν. ἢν γὰρ τούτων τι ᾖ, οὐ χωρήσει οἱ ἡ κάθαρσις. ἢν δὲ μὴ χωρέῃ οἱ κάθαρσις, ξυμβήσεται ὥστε μιν πυρεταίτειν καὶ φρίκην ἔχειν, καὶ τὴν γαστέρα μεγάλην εἶναι. ἢν δὲ

nihilque ulterius. Succurrendum autem, ut ne corpore male affecto ſuccedens inde alvi profluvium ipſam affligat. Quod ſi ex capite delata fluxio ad puerperii purgationem ſe convertat multumque commoveatur, melius habet. Si vero plus aequo, diligentem curam adhibeto. Sin ad ventrem ſe convertat, facilior utique puello exitus pateat. At ſi modica purgatio mulieri procedat, vehemens dolor lumbos occupat, omnesque partes pudenda complectentes et caput intumeſcunt, femoraque incenduntur, ex ore et naribus pituita valde aquoſa effluit, caput dolet, febris et horror detinet, intumeſcit, dentes fremunt, venter et veſica ei conſtringentur, oculos obvertit et caliginoſa cernit. Si mulieri partu liberatae purgatio non expedite prodeat, exaeſtuantibus nimirum uteris, eorumque oſculo connivente. Uteri autem cervix in ſeſe undique concidit, ſimul ac puellus exceſſit. Si quid enim horum adfuerit, ei purgatio non prodibit. Si vero ei non procedat purgatio, evenit ut eam febris et horror detineat, et uti venter magnus

Ed. Chart. VII. [750.] Foës. I. 603. 604. Ed. Lind. II. (451.)
μηροὺς καὶ πόδας ἀλγέῃ πικρῶς καὶ ἡ γαστὴρ ἐπαίρηται καὶ φρῖκαι διὰ τοῦ σώματος διαΐσσωσιν, ἐκ δὲ τῶν τοιουτέων πυρετοὶ γίνονται ὀξέες. ταύτην τὴν οὕτως ἔχουσαν, ἢν μὲν ἄπυρος ᾖ, διαιτᾶν λουτροῖσι, λιπαίνειν δὲ καὶ τὴν κεφαλὴν ἐλαίῳ ἀνθινῷ. ἕψειν δὲ μαλάχην, ἢ ἔλαιον κύπριον ἐς ὕδωρ ἐγχέειν καὶ ἐγκαθίζεσθαι παρηγορικῶς. ἐν πάσῃσι δὲ τῇσι νούσοισιν, ἐφ' ὧν πυρίη ἀρήγει, ἄμεινον ὕστερον χρίεσθαι καὶ λίπα· || ἢν δὲ πῦρ ἔχῃ, λουτρῶν ἀπέχεσθαι. πυρίῃσι δὲ καὶ χλιάσμασι τὴν ῥεῖαιραν γαστέρα καὶ τὴν ὀσφῦν θεραπεύειν. διδόναι δὲ πίνειν τῶν φαρμάκων τῶν ὑστερικῶν παραμίσγοντα ἢ τῆς σηπίης τῶν ὠῶν ἢ τοῦ κάστορος. μετὰ δὲ τοῦτο ῥοφέειν διδόναι ἄλητον ξὺν πηγάνῳ ἑφθὸν ἢ πτισάνης χυλόν. ἢν δὲ γυναικὶ μετὰ τοῦ παιδίου ἐν τῷ τόκῳ μὴ ἴῃ τὸ ὑγρὸν ὡς χρή, ἀλλὰ μὴν ἢν μὲν ἐν τῇ κεφαλῇ ἔχῃ τὸ ὑγρὸν ὑπὸ θέρμης εἰρυσθὲν ἐν τόκῳ καὶ πρὶν, ὀλίγον κεφαλαλγήσει. ἢν δὲ ἐς τὴν κοιλίην ἔλθῃ ἄλες, ἐπειδὰν συὴῃ, ταράξειν αὐτὴν καὶ οὐχὶ πόρρω. τιμωρέειν δὲ ὡς μὴ ἐκ

et laterum quidem inanitates, inguina, femora et pedes acerbe dolent, venter attollitur, et horrores per corpus cum impetu erumpunt, ex his vero febres acutae oriuntur. Hanc cum sic habuerit, si quidem febris expers sit, balneis curato, caputque oleo anethino illinito. Malvae decoctum aut in id affusum oleum cyprinum, ad insessum, doloris leniendi gratia adhibeto. In omnibus autem morbis, in quibus fotus conducit, praestiterit post fotum pingui aliquo perungi. At si febris detinet, a balneo abstinendum, fotibus autem et tepefacientibus imus venter et lumbi curandi. Ex medicamentis autem, quae ad uterum faciunt, quaedam potui sunt exhibenda, admixtis sepiae ovis et castorio. Deinde farinam cum ruta coctam, aut ptisanae succum sorbendum dato. Si vero mulieri una cum puero in partu humor, ut convenit, non effluat, quin etiam si quidem caput in se humorem calore attractum contineat, in partu et paulo ante caput ei dolebit. Quod si cumulatus in ventrem veniat, ubi commotus fuerit, ipsum conturbabit,

Ed. Chart. VII. [751. 752.] Foës. I. 604. 605. Ed. Lind. II. (453.)
εἴκοσι ἡμερέων οὐχ ὑπερβάλλουσιν, ὡς ἐπὶ τὸ πλέον οὕτω ξυμβαίνει. ἢν δέ οἱ ῥαγῇ κάθαρσις εἴτε καὶ ὑπὸ φαρμάκων εἴτε καὶ αὐτομάτη, γίνεται γὰρ καὶ τοῦτο, ἢν χαλάσωσι τὸ στόμα αἱ μῆτραι ἢ βιασθεῖσαι ὑπὸ τοῦ αἵματος ἀλέως ἐξαπίνης κατελθόντος, καὶ ἢν ῥαγῇ, ἀποκαθαίρεται δύσοδμα καὶ πυώδεα. ἔστι δ' ὅτε καὶ μέλανα, καὶ ῥηΐτερον ἔσται, καὶ μελεδανθεῖσα ὑγιαίνεται. γίνεται δὲ καὶ ἕλκεα ἐν τῇσι μήτρῃσιν οἷα τῶν λοχείων σαπέντων. ἢν γὰρ ἐγγένηται, πλείονος μελεδώνης δεήσεται, ὅκως μή οἱ τὰ ἕλκεα μεγάλα καὶ σηπεδονώδεα ἔσται. || κίνδυνος δὲ ἢ θανεῖν ἢ ἄφορον γενέσθαι. σημήϊα δὲ ταῦτα γίνεται, ἢν ἕλκεα ἐνῇ, ἐπὴν χωρέῃ ἡ κάθαρσις, δοκέει ὡς ἄκανθα διὰ τῶν μητρέων ἰέναι, καὶ πῦρ μιν λάζεται μάλιστα τὴν κοιλίην ἐπιλαμβάνειν. ἀλγέει δὲ ἐπαφωμένη τὸ κάτω τοῦ ὀμφαλοῦ, ὡς ἕλκεος καθαροῦ νευρώδεος εἰ θίγοις. [752] ἔπειτα ὀδύναι ἰσχυραὶ ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτουσιν ἐς τὰς μήτρας καὶ πυρετός. ἔστι δ' ὅτε πρὸς χεῖρα βληχρὸς, καὶ ἄλλοτε καὶ ἄλλοτε ὑπὸ κακοήθεα χωρέει τὰ λοχεῖα,

habet. Primum tamen ac vigeſimum diem non excedunt, itaque fere uſuvenit. At ſi illi vel per medicamentum, vel ſponte purgatio eruperit, id enim uſuvenire ſolet, ubi uteri a ſanguine cum impetu derepente confertim delato os relaxarint, ſi, inquam, erumpat, graveolentia et purulenta repurgantur, interdumque etiam nigra, tumque melius erit et adhibita cura convaleſcet. Ulcera autem in uteris etiam oriuntur, putrefactis nimirum puerperii purgamentis. Quae ſi oboriantur, major cura adhibenda erit, ne illi ulcera increſcant et computreſcant. In periculum autem incurrit ne moriatur, aut ſterilis reddatur. Si vero ulcera in uteris inſint, haec ſigna ſunt. Cum procedit purgatio, velut ſpina uterum pervadere videtur eam ardor corripit, ventremque potiſſimum invadit. Ad contactum partes infra umbilicum non ſecus dolent, quam ſi ulcus purum nervoſum contigeris. Deinde vehementes in uteros dolores ſubinde incidunt, interdumque febris ad manum mitis, et quandoque deferuntur puerperii purgamenta maligna, purulenta et graviter

Ed. Chart. VII. [751.] Foës. I. 604. Ed. Lind. II. (452. 453.)
ψαύσῃ αὐτῆς, ὀλγέειν πᾶν τὸ σῶμα, μάλιστα δὲ ἢν τις τῆς γαστρὸς ψαύσῃ, καὶ καρδιώσσει ἄλλοτε καὶ ἄλλοτε, καὶ ὀσφὺν πονέει, καὶ ἀσιτίη καὶ ἀγρυπνίη καὶ τυγμός. ἔπειτα ἡμέρῃ πέμπτῃ ἢ ἑβδόμῃ ἔστιν ὅτε ἡ κοιλίη ταράσσεται καὶ ὑποχωρέει μέλανα καὶ κάκοδμα κάρτα, ἄλλοτε καὶ ἄλλοτε καὶ ὡς ὄνειον οὖρον, καὶ ἢν ὑπέλθοι δοκέει οἱ ῥῆϊτερον εἶναι, καὶ μελεδαινομένη ἐν τάχει ὑγιὴς γίνεται. ἢν δὲ μή, κινδυνεύσει διαῤῥοίης αὐτῇ ἰσχυρῆς ἐπιπεσούσης καὶ τὰ λοχεῖά οἱ κρύψεται. ἢν δὲ ἡ κοιλίη οἱ μὴ ταράσσηται, μηδὲ ἡ κάθαρσις χωρέῃ αὐτομάτη, μηδέ οἱ προσφέρηται (453) ἐν τάχει τὰ ἐπιτήδεια, ὁ δὲ χρόνος προΐῃ, πονήσει πολλὰ τὰ προειρημένα, καὶ ἐπὶ τουτέοισι κινδυνεύσει πελιδνὴ γενέσθαι ὡς ὁ μόλιβδος, καὶ ὑδερωθῆναι, καὶ ὁ ὀμφαλὸς ἐκστήσεται αὐτῇ, ἀειρόμενος ὑπὸ τῶν μητρέων, καὶ ἔσται μελάντερος τῶν πέριξ. καὶ ἐπὴν ταῦτα γένηται, οὐχ οἵη τέ ἐστι περιγενέσθαι ἡ γυνή. θνήσκουσι δὲ ἄλλαι ἄλλῳ χρόνῳ, ὅκως τε καὶ τὰ τοῦ σώματος ἔχουσι καὶ τὰ τῆς πάθης. μιῆς δὲ καὶ

evadat. Quod ſi eam attigeris, totum corpus dolet, praecipueque ſi quis ventrem attigerit, ſubindeque oris ventriculi morſu conflictatur, lumborum dolore vexatur, cibi faſtidium adeſt, vigilia et corporis compunctio. Deinde quinto aut ſeptimo die quandoque venter exturbatur et nigra ſubindeque admodum graveolentia demittit, et urina qualis aſinina redditur. Quae ſi ſubeant, melius illi eſſe videtur, curaque adhibita brevi convaleſcit, alioqui in periculum veniet ne ei vehemens alvi profluvium ſuccedat, et puerperii purgamenta in occulto deliteſcant. At ſi venter ei non exturbetur, neque purgatio ſponte prodeat, neque ei cito convenientia adhibeantur remedia, tempus autem procedat, a multis commemoratis affligetur, quibus accedet ut in periculum veniat, ne velut plumbum liveſcat et in aquam intercutem intercidat, eique umbilicus ab uteris ſublatus prominebit et nigrior quam circumambientes partes evadet. Quae ubi evenerint, ſupereſſe mulier non poterit. Pereunt autem aliae alio tempore, prout corpus et affectio ſe

Ed. Chart. VII. [752.] Foëſ. I. 605. Ed. Lind. II. (454. 455.)

ὅ τι φλέγμα. μετὰ δὲ τοῦτο πυριῆσθαι τὰς ὑστέρας εὐώδεσι, καὶ προσθεῖναι μαλθακτήριον τὴν ἡμέρην. ἢν δὲ στερρὴ ᾖ, τὸ στόμα πυριῆν ἅπασαν ἡμέρην καὶ τὰ μαλθακτήρια προστιθέναι. ἔπειτα λοῦσαι θερμῷ ὕδατι καὶ τιθέναι τοὺς μολίβδους. μετέπειτα δὲ ἄλὸς χόνδρους καὶ σμύρναν ἐς τρυχίον ἀποδήσας καὶ τὴν πίσσην τὴν ἐφθὴν ἐν εἰρίῳ, ἡδύσματα ξυμμίξας ἴσον ἑκάστου ποιέων ἴσον κικίδι σμικρῇ. προσκείσθω δὲ ἡμέρην καὶ εὐφρόνην. μετὰ δὲ τοῦτο καταλι-(455) πεῖν ἡμέρας τρεῖς, καὶ πυριῆσθαι τοῖσιν αὐτέοισιν. προστιθέναι δὲ καὶ κόκκους ἐκλέψας ὅσον δύο πόσιας καὶ πεπέρεος τρίψας λεῖα, παραμίξας ἔλαιον Αἰγύπτιον λευκὸν καὶ μέλι ὡς κάλλιστον. τοῦτο ἐμπλάσας ἐν εἰρίῳ καὶ περιελίξας περὶ πτερὸν προσθεῖναι ἡμέρην ἅπασαν καὶ εὐφρόνην, καὶ ἢν σοι δοκέῃ κεκαθάρθαι, ἄμεινον ἐᾷν. ἢν δὲ δοκέῃ δέεσθαι καθάρσιος, δύο ἡμέρας διαλιπεῖν, καὶ αὖθις τὸ ξὺν τῇ σικύῃ ἡμέρην καὶ εὐφρόνην προστιθέναι. κἄπειτα τὸ νέτωπον καὶ ῥόδινον ἔλαιον ὡς εὐωδέστατον, καὶ ἐλάφου στέαρ

fuerit, quod bilem purget, ſin autem pituitoſa, quod pituitam. Poſt hoc uteris fomentum ex odoratis adhibendum, et interdiu emolliens in ſubdititio apponendum. At ſi duro corpore fuerit, oſculum per totum diem fovendum et emollientia ſupponenda, deinde calida lavandum et fiſtulae plumbeae imponendae. Poſt haec autem ſalis grana et myrrham in panniculum lacerum illigatam et picem coctam, in vellere exceptam admixtis aromatis, ita ut par cujusque ſit modus et parvae gallae magnitudinem aequet, per diem et noctem ſupponito. Deinde vero intermiſſis tribus diebus ex iisdem foveto. In ſubdititio autem grana Cnidia dempto cortice apponito, quantum ad duas potiones ſatis erit, et piperis grana tenuiſſime trita, oleo Aegyptio albo et melle quam optimo admixto. Hoc lana obductum et circum pennam involutum toto die ac nocte ſupponito. Et ſi tibi purgata videatur, ſinere praeſtiterit. Si vero purgatione indigere videatur, duobus intermiſſis diebus, rurſus medicamentum ex cucumere ſilveſtri per diem et noctem ſupponito. Deinde netopum, roſaceum odoratiſſimum et

Ed. Chart. VII. [752.] Foës. I. 605. Ed. Lind. II. (453. 454.)
πυώδεα, δύσοδμα. ταῦτα σημεῖα ἐστὶν, ἢν ἕλκεα ἐν τῇσι μή(454)τρῃσι ᾖ καὶ δέηται πολλῆς μελεδώνης. ταύτης μὲν νῦν ἀμφὶ τῆς νούσου τόσαι τελευταί εἰσιν. ἢν δὲ ἡ κάθαρσις ἡ λοχείη τὰς μὲν πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας χωρήσῃ, ἔπειτα ἀπόλωλεν ἐξαπίνης ταύτῃ, πάσχει παθήματα τῇ προτέρῃ ἀδελφέα. ἧσσον δὲ καὶ ἢν μεταπίπτῃ ἡ νοῦσος, εἰς τωυτὸ μεταπείσεται. χρονίη δὲ καὶ βληχροτέρη ἔσται τῆς προτέρης. διαιτεομένη δὲ ἡ γυνὴ περιγίνεται, ἢν ἁρμοῖ μελεδαίνηται. ἀμφὶ δὲ τῆς νούσου ταύτης ὧδε ἔχει. ἢν δὲ ἐκ τοῦ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ καὶ ὁ σπλὴν καὶ τὰ σκέλεα, καὶ πῦρ ἔχει, καὶ ῥῖγος λαμβάνει καὶ ὀδύναι αἴσσουσι πρὸς τὰς ἰξύας. ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα, καὶ ἀποψύχεται, καὶ πῦρ ἔχει. σφυγμοὶ βληχροί· ἔστι δ' ὅτε καὶ ὀξέες, ἄλλοτ' ἀειρόμενοι, ἄλλοτε ἐλλείποντες. ταῦτα πάσχει ἀρχομένης τῆς νούσου καὶ ὧδε ἔχει. ἢν δὲ προΐῃ τοῦ χρόνου, τὰ κοῖλα τοῦ προσώπου ἐρυθρὰ γίνεται. ὅταν ὧδε ἔχῃ, διδόναι κοῦφα σιτία. κὴν ὀργᾷ, φάρμακον πίσαι κάτω· ἢν μὲν χολώδης ᾖ, ὅ τι χολὴν καθαίρει, ἢν δὲ φλεγματώδης,

olentia. Iſtaque ſigna ſe produnt, ſi ulcera in uteris fuerint, magnaque cura indigent. Atque ii quidem ſunt hujus morbi exitus. Quod ſi puerperii purgatio primis quidem tribus aut quatuor diebus prodierit, deinde ei derepente perdatur, in ſimiles, ſed minores quam ſuperior affectiones incidit, eandemque ſubit morbus commutationem, diuturnus tamen et priore lenior erit. Recte autem inſtituta victus ratione mulier ſupereſt, ſi cito ejus cura ſuſcipiatur. Ac de hoc morbo ſic ſe res habet. Si vero ex partu non purgetur, venter intumeſcit, lien et crura febris detinet, rigor corripit, dolores ad lumbos irrumpunt, interdumque etiam ad viſcera, et perfrigeratur febrisque detinet, pulſus debiles ſunt, interdum vero etiam acuti, modo elati, modo deficientes. Haec ineunte morbo patitur et ſic ſe habet, procedente autem tempore cavae faciei partes rubeſcunt. Quibus ita habentibus, cibos leves exhibeto, et ſi quidem turgeat, medicamentum per inferiora purgans propinato, ſi bilioſa quidem

Ed. Chart. VII. [753.] Foes. I. 606. Ed. Lind. II. (456.)

σθω καὶ ἐλαιηρῶν. πίνειν δὲ αἰεὶ νῆστιν, τὸ ἀπὸ τῆς δαιδός, ἔστ' ἂν καθαίρηται. ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν μάλα πινέτω. ἢν δὲ ὀλίγῳ ἐλάσσονα τοῦ δέοντος χωρήσῃ γυναικὶ τὰ λοχεῖα, οἷα τῶν μητρέων στενοστόμων ἐουσέων καὶ παρεστραμμένων, ἢ τοῦ αἰδοίου ἤ τι μεμυκὸς κάρτα ὑπὸ φλεγμασίης, ἡ γυνὴ πυρεταίνει ὀξέως, καὶ καρδιώσσει, καὶ ἀλγέει τὸ σῶμα πᾶν καὶ σφαδάζει καὶ ἐς τὰ ἄρθρα τῶν χειρέων καὶ τῶν σκελέων, καὶ τῆς ὀσφύος ἡ ὀδύνη φοιτᾷ, καὶ τὸν ἀμφὶ τὴν δειρὴν τόπον καὶ βάχιν καὶ βουβῶνας ἀλγήσει, καὶ ἀκρατέα τινὰ τῶν μελέων τοῦ σώματος γενήσεται. ἔπειτα πῦρ ἠρεμαῖον, φρίκη πάνυ φανερή. ἐμέουσι δὲ καὶ φλεγματώδεα, πικρά, δριμέα, καὶ ἀμφὶ τῇσδε ὧδε ἔχει, καί οἱ ξυμβήσεται, ἢν μελεδαίνηται, ὑγιέα γενέσθαι· ἢν δὲ μή, χολὴν καὶ ἀκρατέα τῶν μελῶν γίνεσθαι τοῦ σώματος. ἄφορος δὲ ἡ νοῦσος οὐ πάνυ. ἢν μὲν αἱ μῆτραι ἕλκωθῶσι καὶ τὰ λοχεῖα μὴ παρῇ, ὡς χρὴ πάντα πονήσει, καὶ ἢν μὴ μεγάλα ᾖ τὰ ἕλκεα, με-

ſemper bibendum quod ex taeda comparatur, donec expurgetur, idque profluentibus menſibus multum bibat. At ſi mulieri paulo parciora quam conveniat puerperii purgamenta ferantur, tanquam anguſtiore uterorum oſculo, iisque perverſis aut aliqua pudendi parte ab inflammatione valde connivente, mulier graviter febricitat, oris ventriculi morſu et totius corporis dolore vexatur, et prae angore ſtare loco neſcit, ad brachiorum, crurum et lumborum articulos dolor ingruit, isque loca quae ſunt circa cervicem et ſpinam et inguina infeſtabit, et nonnulla corporis membra ad motum impotentia reddentur. Deinde remiſſa febris et horror admodum manifeſtus. Vomitione autem pituitoſa, amara et acria rejiciunt. Atque cum eo ſtatu ſit, continget tamen ſi ei diligens cura adhibeatur, ut ipſa convaleſcat, alioqui claudicat et corporis partes ad motum impotentes redduntur. Hic autem morbus non admodum ſterilem mulierem facit. Si ulcerati quidem uteri fuerint, neque puerperii purgamenta ut decet, adfuerint, omnibus partibus dolebit et niſi magna ulcera fuerint, cura adhibita brevi

Ed. Chart. VII. [752, 753.] Foes. I. 605. 606. Ed. Lind. II. (455. 456.) τήξας εἰρίῳ προσ[753]τιθέναι μίην ἡμέρην, καὶ λούειν πολλῷ τῷ θερμῷ, ὡς οἷόν τε ἦ εὐμενές. καθαρτηρίοισι δὲ αὐτίκα καὶ θερμῷ καθηραμένη τὰ ἀμφιπορεύμενα χωρία, ἐναλειφέσθω τὸ στόμα τῶν μητρέων, χηνείῳ στέατι καὶ σμύρνῃ καὶ ῥητίνῃ χλιαρῇ καὶ θάλπειν. κλυζέτω δὲ τὰς ὑστέρας τῷ οἴνῳ καὶ τῷ ναρκισσίνῳ ἐλαίῳ τῇ ὑστεραίῃ· ἢν δὲ μὴ ᾖ ναρκίσσινον, οἴνῳ μόνῳ. ταῦτα ὅκως σοι πρὸ τῶν ἐπιμηνιῶν ἡμέρῃ μιῇ πρόσθεν ποιήσηται. || ἐπὴν δὲ τὰ ἐπιμήνια γένηται, τὰς μὲν ἐν ἀρχῇ ἡμέρας, τρίβουσαν μελάνθιον τὸ κύπριον καὶ ἁλὸς χόνδρον ἐπιχέασα εἰρίῳ ἀναφορύξαι τοῦτο, ἐν τῷ σώματι ἐχέτω ἐπ' ὀλίγον, καὶ νῆστις οἶνον ἄκρητον εὐώδεα ἐπιῤῥοφεέτω. ἐπὴν δὲ παύσηται τὰ ἐπιμήνια τὴν ἡμέρην, τὸ ξὺν τῇ χλήχωνι προστιθεὶς καὶ πρὸς τὸν ἄνδρα ἴτω. κὴν ἐν γαστρὶ σχῇ, ὑγιὴς γίνεται. σιτίοισι δὲ χρέο ἐν τῇ καθάρσει. πρὸς τούτοις ἀρήγει ἕψειν τὴν λινοζώστιν, καὶ συμμίσγειν πράσα, σκόροδα καὶ κράμβην κόκκονά τε καὶ τὸν χυλὸν ῥοφείτω τοῖσι (456) δακτύλοισι, καὶ ὄψοισι θαλασσίοισι μᾶλλον ἢ κρέασι χρήσθω. τῶν δὲ γλυκέων εἰργέ-

cervi adipem liquatum per diem unum in vellere ſubjicito, et calida copioſa quam blandiſſime fieri poterit lavato. Simulatque vero purgatoriis et calida circum partes affectas expurgata fuerit, anſerino adipe et myrrha ac reſina tepida, uterorum oſculum illinendum et fovendum. Poſtero vero die vino et oleo narciſſino uteros eluat. Quod ſi narciſſinum deſit, vino ſolo. Haec autem uno die ante menſium decurſum tibi facienda. Ubi autem menſes decurrerint, primis quidem diebus melanthium Cyprium tritum affuſo ſalis grano, hoc lana exceptum in corpore paulum contineat, et vinum merum odoratum jejuna inſuper ſorbeat. Uno autem poſt menſium ceſſationem die, ſuppoſito medicamento quod ex pulegio conficitur, virum adeat et ſi conceperit convaleſcit. Cibis autem in purgatione accommodatis utatur, quibus mercurialem incoquere prodeſt, et porra, allia et braſſicam admiſcere et granum. Juſculum ad tres digitos ſorbeat, opſoniis marinis potius quam carnibus utatur, dulcibus autem et oleoſis abſtineat. Jejunae autem

Ed. Chart. VII. [754.] Foës. I. 606. 607. Ed. Lind. II. (457. 458.)
εὐρύστομοι γενοίατο καὶ τῶν φλεβῶν τινες καταῤῥαγέωσιν, αἳ τείνουσιν ὑπὸ τὰς μήτρας, ὑπὸ βίης τῆς ἐξόδου τοῦ ἐμβρύου. πυρετὸς καὶ ῥῖγος ἔξει αὐτὴν λεπτὸς, θέρμη τε ἀνὰ πᾶν τὸ σῶμα, ἔστι δ' ὅτε καὶ φρίκη καὶ ἀσιτίη, καὶ βδελύξεται πάμπαν, καὶ λεπτὴ ἔσται καὶ ἀσθενὴς καὶ χλωρὴ καὶ οἰδαλέως καὶ ἀσιτιεῖ. ἢν δέ τι φάγῃ ἢ πίῃ, οὐ πέσσεται. ἐνίῃσι δὲ καὶ κοιλίη καὶ κύστις καταῤῥήγνυται, καὶ φρίκη ἔχει μᾶλλον. ἀμφὶ δὲ ταύτης ὧδε ἔχει. ἢν δὲ ἐκ τόκου ἐούσης συμφραχθῇ τι τοῦ αἰδοίου, ἤδη δὲ καὶ τοῦτο εἶδον, ἢν ἕλκωθῇ τὸ στόμα τοῦ αἰδοίου καὶ ἐπειδὰν ἕλκωθῇ ἐν τόκῳ βιησθὲν ὑπὸ τῆς ἐξόδου τοῦ || παιδίου, ἐγένετο ἴκελόν τι ἄφθῃ καὶ ἐφλέγμηνε κάρ(458)τα, καὶ τὰ χείλεα ὑπὸ τῆς φλεγμάνσιος συνέπεσε πρὸς ἄλληλα καὶ ἐλάβετο ἀλλήλων, ἅτε ἡλκωμένα ἐόντα, καὶ ψύξις δὲ γίνεται καὶ μεμύκει ἄμφω τὰ χείλεα, ξυνδήσασα τὸ τῆς καθάρσιος ἀπολελειμμένης. εἰ δὲ ἐχώρεεν ἡ κάθαρσις, οὐκ ἂν ἐμυκώθη τὰ ἕλκεα. νῦν δὲ ἐπιῤῥεῖ καὶ παχίνεται ἀλλοκότῳ σαρκὶ, καὶ ἰῆσθαι οὖν ὡς

aut ex his venis quae ad uterum tendunt quaedam ex violento foetus egreſſu perruptae fuerint, eam levis febris et rigor prehendit calorque toto corpore, nonnunquam etiam horror et cibi faſtidium et in totum execrabitur, extenuabitur, debilis erit, ex virore palleſcet, intumeſcet et cibos averſabitur, ſi quid vero comedat aut bibat, non coquitur. Quibusdam autem etiam alvus et veſica cum impetu effunditur, et horror magis detinet. Ac de his ſic ſe res habet. Si vero puerperae pudendum aliqua ex parte obturatum fuerit, quod etiam jam ipſe vidi, ubi os pudendi ulceratum eſt, et ubi in partu per vim egreſſo puero exulceratum fuerit, quid contingit ſuperficiario ulceri ſimile, valdeque inflammatur et labra ex inflammatione, cum nimirum exulcerata ſint, in ſeſe concidunt, mutuoque cohaerent. Fit autem refrigeratio et ambo labra connivent, quae purgationis reliquias conſtringunt. Quod ſi purgatio prodeat, ulcera non utique coaleſcunt. At nunc affluit, et aliena carne incraſſeſcunt. Ea igitur velut quae in reliquo ſunt

Ed. Chart. VII. [753. 754.] Foës. I. 606. Ed. Lind. II. (456. 457.)
λεδαινομένη ἐν τάχει ὑγιαίνει. χρὴ δὲ τὴν μὲν μελέτην ἀτρεκέως ποιέεσθαι ἑλκέων τῶν ἐν τῇσι μήτρῃσιν. ὅτε γὰρ ἐν ἁπαλῷ ἐόντα καὶ εὐπαισθήτῳ καὶ νευρώδει τῇ κοιλίῃ, πολλὰ δὲ τὰ κοινωνέοντα, βρέγμα, στόμαχος, γνώμη ἀΐσσεται καὶ κακοτροπέει καὶ οὐ ῥηϊδίως ἐθέλει ξυνιέναι. ἢν δέ οἱ αἱ μῆτραι στενόστομοι [754] γενοίατο καὶ μὴ παρα-(457) χαλάσωσι τὴν λοχείην κάθαρσιν, φλεγμαίνουσιν, ἢν μὴ μελεδαίνηται ἐν τῷ τάχει, πάντα μιν μᾶλλον πονήσει, καὶ ὀδμὴ πονηρὴ, καὶ οἰδίσκεται ἡ ἔξοδος. καὶ ἢν μὴ φλεγμήνωσιν αἱ μῆτραι, αὐτόματον ἔξεισι κακὸν ὀζόμενον καὶ πελιδνὸν ἐὸν ἢ μέλαν ἐὸν θρομβοειδὲς καὶ ἡ γυνὴ καθαίρεται τὰ λοχεῖα. ἔστι δ' ὅτε οὐκ ἔξεισιν, ἀλλὰ τῇ γυναικὶ θάνατον σημαίνει, ἢν μή τις ἐν τάχει φλέβα τέμῃ ἢ τὴν κοιλίην μαλθάξειεν. ἄμεινον δὲ καὶ κλύσμα ποιῆσαι. ἢν δὲ εὐέμετος ᾖ, καὶ ἐς ἔμετον ἄγειν. κρέσσον δὲ διουρέειν καὶ ἰδίειν. τούτων δὲ καιρὸς, ὅτε δέοι, ἄριστος. ἢν δὲ ἐκ τόκου γυνὴ καθαρθῇ, ὀλίγῳ πλέονα ὧν χρή. γίνεται γὰρ καὶ τοῦτο, εἰ αἵ τε μῆτραι

sanitatem recipit. Ulceribus autem in uteris subortis exacta et diligens cura adhibenda est, quippe cum in molli parte et bene sensili existant et in nervosa cavitate, multaeque cum ea partes consensionem habeant, sinciput, stomachus, mens concutitur, depravatur, nec facile intelligere solet. At si mulieri angustum uterorum osculum fuerit, neque puerperiorum purgationem demiserint, inflammatione tentantur, quae nisi brevi diligenter curetur, omnia eam magis affligent et teter odor inde promanat, exitusque intumescit. Quod si uteri inflammatione tentati non fuerint, suapte sponte malum exit graveolens et lividum, aut nigrum et grumosum existit, et mulier a puerperii purgamentis expurgatur. Interdum vero minime exeunt, verum id mulieri exitium portendit, nisi quis celeriter venam incidat, aut alvum emolliat. Praestat etiam alvum per infusum eluere. Quod si prompte vomuerit, etiam vomitus ciendus. Satius etiam urinam et sudorem provocare. Atque horum, cum res postularit, occasio optima est. Quod si mulier a partu paulo amplius quam par sit purgata fuerit, id enim contingit, si uteri lato ore fuerint,

Ed. Chart. VII. [755.] Foeſ. I. 607. Ed. Lind. II. (458. 459.)
ἀλλ' ἄνω ὁρμηθεῖσα τραπῆναι, κεκρύψεται τὰ λοχεῖα καὶ οὐ χωρήσει, κατά γε δίκην, (459) καὶ βὴξ ὑπολήψεται καὶ ἄσθματα καὶ πληρουμένου τοῦ πλεύμονος ὑπὸ τοῦ αἵματος πονήσει τὸ πλευρὸν κάρτα καὶ τὸ μετάφρενον, καὶ ὅταν βήξῃ, ξηρὸν ἀποβήσσεται. ἄλλοτε δὲ ἀφρῶδες πτύεται. τοῦ δὲ χρόνου προϊόντος πτύαλον ἐπιφαίνεται ὑπόμελαν ἐὸν καὶ θολερὸν, καὶ τὰ στήθεα πῦρ ἔχει, τοῦ ἄλλου σώματος πολλὸν οἷα αἵματος θερμήναντος αὐτὸ, καὶ πυρεταίνει ἡ γυνὴ, καὶ ἡ γαστὴρ οἱ στεγνὴ ἔσται, καὶ ἀσιτήσει, καὶ ἀγρυπνήσει καὶ βδελύξεται, καὶ οὐ περιγίνεται, ἀλλὰ θανεῖται ἐν μιῇ καὶ εἴκοσιν ἡμέρῃσιν ὡς τὰ πολλά. ἢν δέ οἱ κάθαρσις ἀνορμήσασα κατὰ τὸ στόμα μὴ ἔλθῃ, μηδὲ εἰς τὸν πνεύμονα τράπηται, τρέψεται οἱ ἐς τὸ πρόσωπον τὰ λοχεῖα καὶ ἔσται ἐρυθρὸν κάρτα καὶ ἡ κεφαλὴ βαρείη. οὐδὲ κινῆσαι αὐτὴν ἔσται πόνων ἄτερ, καὶ οἱ ὀφθαλμοὶ ἐρυθροὶ κάρτα ἔσονται καὶ ἐκ σφῶν αἷμα ῥεύσεται λεπτόν. καὶ ἐκ τῶν ῥινῶν ἔστιν οἷσιν αἷμα ῥεῖ, καὶ ἢν τοῦτο ἴῃ, ὧδε χρονιωτέρη ἡ νοῦσος γίνεται τοῖσί τε οὔασιν, οὐκ ὀξέως ἔστι τὸ ἀκούειν

delata ſurſum vertatur, puerperia in occulto deliteſcent, neque pro ratione procedent, tuſſis et crebrae ſpirationes, aſthmata dicta, eam corripient oppletoque a ſanguine pulmone latus et dorſum magno dolore affligetur. Cum tuſſit, ſiccum per tuſſim rejicitur, alias vero ſpumoſum expuitur, at progreſſu temporis ſputum ſubnigrum et turbidum appareret. Pectus calor major quam reliquum corpus detinet, cum nimirum ipſum ſanguis caleſaciat. Mulier etiam febricitat, eique alvus adſtringetur, cibum averſabitur, inſomnio et faſtidio torquebitur, neque ſupererit, ſed ut plurimum intra unum et vigeſimum diem morietur. Quod ſi purgatio impetu ſurſum delata per os non exeat, neque ad pulmonem vertatur, ei ad faciem puerperia divertent, quae admodum rubicunda erit et caput ingraveſcet, neque id citra dolorem dimovere poterit. Oculi etiam valde rubicundi erunt, et ex ipſis ſanguis tenuis effluet. Eſt ubi etiam nonnullis ſanguis ex naribus proſluit, qui ſi effundatur, hoc modo diuturnior morbus evadit. Neque in hoc morbo acute

Ed. Chart. VII. [754. 755.] Foës. I. 607. Ed. Lind. II. (458.)
τὰ ἐν τῷ ἄλλῳ σώματι καὶ ἐς ὠτειλὰς ἄγειν. τὸ δὲ χωρίον λεῖον ἔστω καὶ ὁμόχροον, εἰ φροντίς. ἔπασχε δὲ ταῦτα ἃ πάσχουσιν αἱ μῆτραι ἀποκαθαιρόμεναι τὰ λοχεῖα, καὶ ἐπὶ τουτέοισιν ἤλγει τὸ αἰδοῖον, καὶ ψηλαφῶσα ἔγνω ὅ τι ξυνεπέφρακτο καὶ ἔφρασσε, καὶ μελεδαινομένη ἀποκαθήρατό τε καὶ ὑγιὴς ἐγένετο καὶ φορός. εἰ δὲ μὴ ἐμελεδάνθη, μηδέ οἱ ἡ κάθαρσις ἐρρύμη αὐτομάτη, τὸ ἕλκος μέζον ἐποίησε καὶ μὴ ἀνεῖσα ἐκινδύνευσεν ἐς τὸ καρκινωθῆναι τὰ ἕλκεα. [γ55] εἰ δ' ὁρμηθείη γυναικὶ λοχείη κάθαρσις ὡς ἐς κεφαλήν, θώρηκά τε καὶ πλεύμονα. γίνεται γὰρ τοῦτο καὶ θνήσκουσι πολλάκις αὐτίκα, ἢν ἴσχηται. εἰ δὲ χωρέοι κατὰ στόμα ἢ ῥῖνα καλῶς, ἐξάντης γίνεται. εἰ δὲ ὀλίγον ἡ νοῦσος χρονιωτέρη γίνοιτο καὶ πάσχοι ἂν ἡ γυνὴ ὁκοῖα εἴρηται ἀμφὶ τῆς παρθένου, ἢ τὰ ἐπιφαινόμενα πρῶτα ὤρουσεν ἄνω. ἡ δὲ γυνὴ πλέονα χρόνον περιέσται τῆς παρθένου, καὶ βληχρότερα τὰ παθήματα ἔσται οἱ, μέχρις οὗ ὁ πνεύμων διάπυος γένηται. ἢν καὶ μὴ χωρέῃ ἡ λοχείη κάθαρσις κατὰ τὸ στόμα,

corpore ſananda, et ad cicatricem perducenda. Locus autem laevis ſit et aequabilitatem habens, ſi cura adhibetur. Iisdem autem malis affligitur mulier quibus uteri qui a puerperii purgamentis minime repurgantur, et ad haec pudendi dolor accedit, quod tactu deprehendit ſibi obſtructum eſſe, idque fatetur et ſedulo curata repurgatur, ſanaque et fertilis evadit. Quod ſi ſedulo non curetur, neque ei ſua ſponte purgatio erumpat, ulcus majus reddit, cumque nihil demittat, periculum eſt ne ulcera in cancrum vertant. Si vero in muliere puerperii purgatio ad caput irruat, thoracemque et pulmones, id enim contingit, etiam plerumque confeſtim moriuntur, ſi illic detineatur. At ſi per os et nares probe prodeat, incolumis evadit. Quod ſi morbus paulo diuturnior reddatur, eadem utique mulieri eveniunt, quae de virgine ſunt commemorata, cui cum primum menſes comparuerint, ad ſuperiora cum impetu proſilierunt. Sed mulier diutius ſupererit quam virgo, eique leviores erunt affectiones, quoad pulmo purulentus evadat. Si vero per os non prodeat puerperii purgatio, ſed cum impetu

Ed. Chart. VII. [756.] Foës. I. 608. Ed. Lind. II. (460. 461.)
πιπίσκειν βοὸς μελαίνης γάλα ἀσιτεύσασα, εἰ οἵη τε εἴη, ἡμέρας μ'. ἐς δὲ τὴν ἑσπέρην σήσαμον τριπτὸν πιπίσκειν. ἡ δὲ νοῦσος κινδυνώδης. τὸ δὲ γάλα ὅκως γίνηται, εἴρηταί μοι ἐν τῇ γενέσει τοῦ παιδίου τῇ ἐν τόκῳ καὶ τἄλλα παραπλησίως. ἢν γάλα σβεσθῇ, πρᾶσα τρίψας διείς τε ὕδατι, δίδου πιεῖν καὶ ἐν θερμῷ λουέσθω, καὶ εἰς βρῶσιν πρᾶσα καὶ κράμβην ἐσθιέτω. συνεψεῖν δὲ καὶ κυτίσου φύλλα, καὶ τοῦ χυλοῦ ῥοφέειν. πιπίσκειν δὲ καὶ τοῦ χυλοῦ τοῦ μαράθρου, καὶ τοῦ ἀπὸ τῶν μαραθρείων ῥιζῶν, καὶ κριθὰς ἐπτισμένας καὶ βούτυρον ἑψήσας ὁμοῦ καὶ ψύξας δίδου πίνειν. ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον καὶ τὸ ἱπποσέλινον καὶ κύτισος. ὁμοῦ ταῦτα πάντα γάλα πουλὺ ποιέει καὶ αὔξει. Σκυρίαι αἶγες, τυροὶ δὲ μάλιστα ἀγαθόν. ἀλλὰ καὶ τὸν ἐλελίσφακον ἑψεῖν, ἢ ἀπὸ τῶν ἀρκευθίδων ἢ κεδρίδων ἀποχέουσα τὸν χυλὸν καὶ οἶνον ἐπιχέουσα πινέτω, καὶ ἐς τὰ λοιπὰ ἔλαιον ἐπιχέουσα ἐσθιέτω, καὶ τῶν δριμέων καὶ τῶν ἁλμυρῶν καὶ (461) ὀξέων καὶ ὠμῶν λαχάνων πάντων εἰργέσθω. τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον ἀγαθόν· καὶ γὰρ τὸ γάλα

quinque propinare. Poſt haec autem lac vaccae nigrae jejunae, ſi ferre poſſit, ad dies quadraginta propinandum, veſperi autem ſeſamum contritum. Hic vero morbus periculo non caret. Quonam autem pacto lac gignatur, a me dictum eſt in puelli generatione ex partu, aliaque eodem modo. Si lac deficiat, porra trita et aqua macerata potui exhibeto, calida lavet et in cibo porra et braſſicam comedat. Cytiſi autem folia incoquito et decoctum ſorbeat. Quin et feniculi necnon radicis illius decoctum propinato, et hordeum decorticatum una cum butyro coctum et refrigeratum potui exhibeto. Ad hoc etiam conducit hippomarathrum et hippoſelinum et cytiſus, quae ſimul omnia lac copioſum reddunt et augent. Caprae Scyriae, praecipueque caſei, ad id conducunt. Sed et ſalviam coquito. Aut ex juniperi baccis aut cedri fructu expreſſum ſuccum vino affuſo bibat et reliqua affuſo oleo edat. Ab acribus, acidis, ſalſis et omnibus oleribus crudis arceatur. Cardamum etiam ex vino potum ad id valet, lac enim etiam expurgat. Calida

Ed. Chart. VII. [755. 756.] Foës. I. 607. 608. Ed. Lind. II. (459. 460.) ἐν τῇ νούσῳ, καὶ καρδιώξει, καὶ ἐρεύξεται, καὶ ἀλλοφρονήσει, καὶ παράνοιαι γίνονται μανιώδεες. ἔστι δ' ἦσι θράσος ὀμμάτων ἰλλωδέων καὶ τἆλλα πάντα πονήσει, ὅκως καὶ ἐς τὸν πλεύμονα, ὡς εἴρηται, ἢν ἡ κάθαρσις τράπηται, πλὴν οὐ βήξει οὐδὲ πτύσεται τοιαῦτα. οὐδὲ τὸ μετάφρενον ἀλγήσει ὁμοίως. μελεδαινομένη δὲ ὑγιαίνει. οὐ πολλαὶ δὲ ἐλπίδες εἰσὶ περιγενέσθαι. ἢν δὲ ἄρα καὶ περιγένηται, κώφωσις ἔσται οὖ ἢ τύφλωσις τὸ ἐπίπαν. ὀμφὶ τῆσδε τῆς νόσου ὧδε τελευτῇ. ἢν ἐκ τόκου ῥόος λαμ(460)βάνῃ καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μείνῃ, ἀσταφίδα χρὴ μέλαιναν καὶ ῥοιῆς γλυκείης τὰ ἔνδον τρῖψαι. οἴνῳ διεὶς ἐν μέλανι χρῷ, τιρὸν ἐπιξύσας αἴγειον, καὶ ἄλφιτα πύρινα πεφρυγμένα ἐπίπασαι καὶ εὔκρητον δίδου. [756] ἢν δὲ αἷμα ἐκ τόκου ἐμέσῃ, τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, || καὶ ὀδύνη πρὸς τὰ σπλάγχνα φυτᾷ, καὶ τὴν καρδίαν σπᾶται. ταύτην χρὴ λούειν πολλῷ θερμῷ, καὶ τῶν χλιασμάτων ἃ μάλιστα προσδέχεται προστιθέναι, καὶ πιπίσκειν ὄνου γάλα ἑπτὰ ἡμέρας ἢ πέντε. μετὰ δὲ ταῦτα

audire ſolent, oris ventriculi morſu tentabitur, eructabit, mente erit alienata et deliriones furioſae exiſtunt. Quibusdam vero perverſorum oculorum ferocia adeſt, eamque omnia male habebunt non ſecus ac ſi ad pulmonem, velut dictum eſt, purgatio divertat, praeterquam quod minime tuſſiet, neque talia expuentur, neque dorſum conſimiliter dolebit. At cura diligenti adhibita convaleſcit. Neque vero magna ſpes eſt ut ſupereſſe queat. Ac ſi forte ſuperſit, ſurditas aut in totum coecitas ſuccedet. Atque is eſt hujus morbi exitus. Si a partu profluvium corripiat, neque cibaria in ventre maneant, uvam paſſam nigram et mali punici dulcis granula terere oportet, iisque ex vino nigro dilutis utitor, caſeo caprino deraſo et polenta triticea torrefacta aſperſa haec probe temperata exhibeto. Quod ſi a partu ſanguinem vomitione rejiciat, hepatis ſiſtula perforata eſt, et dolor ad viſcera pertingit corque convellitur. Hanc calida copioſa lavare oportet, et qua maxime ſuſcipiet tepefacientia adhibere, lacque aſininum diebus ſeptem aut

Ed. Chart. VII. [757.] Foës. I. 608. Ed. Lind. II. (461. 462.)

ἐν εὐδίῃ. τὸ γὰρ ψῦχος ταύτῃσιν ἐναντίον, καὶ μετὰ τὸ λουτρὸν ὑπαλείφειν ἄμεινον μὴ πολλῷ θερμῷ χρῆσθαι. ὅταν τὸ ὕστερον μὴ αὐτίκα ἀπίῃ μετὰ τὸν τόκον, τῆς νειαίρης γαστρὸς γίνονται πόνοι ἐν κενεῶσι, καὶ ῥίγεα καὶ πυρετοί. κἢν ἀπαλλάσσηται τὸ ὕστερον, (462) ὑγιαίνει καὶ ἡ γυνή. σήπεται δὲ πουλύ. ἀπαλλάσσεται δὲ ἑκταίῃ ἢ ἑβδομαίῃ ἢ καὶ ἀνωτέρω. ἐπὶ τῇ τοιαύτῃ χρὴ διδόναι φάρμακα, ὧν ἂν ἐγὼ γράψω, καὶ πνεῦμα κατέχειν. ἄριστον δὲ πάντων οἶδα ἀρτεμισίην βοτάνην, καὶ δίκταμνον λευκοΐου ἄνθος, καὶ ὀπὸν σιλφίου, κράτιστον ἐν ὕδατι πινόμενον ὅσον κύαμος ἑλληνικός. καὶ ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, ἀσιτέειν. κἄπειτα πέταλα τῆς ἄγνου τρίψας ἐν οἴνῳ καὶ μέλιτι καὶ ἔλαιον ἐπιχέας, χλιάνας, δίδου πίνειν ὅσον κοτύλην, καὶ ἔξεισιν. ἢν δὲ γυναικὶ τὸ χορίον ἐλλειφθῇ ἐν τῇσι μήτρῃσι, τοῦτο δὲ ὧδε γίνεται. ἢν ῥαγῇ βίῃ ὁ ὀμφαλὸς ἢ ἀμαθίῃ ὑποτάμῃ ἡ ὀμφαλητόμος, τὸν ὀμφαλὸν τοῦ παιδίου πρόσθεν ταμοῦσα, πρὶν ἢ τὸ χορίον ἐξιέναι ἐκ τῶν μητρέων,

lavandum. Iis enim frigus eſt adverſum. Poſt balneum autem inungere praeſtat, neque multa calida uti. Si ſecundae ſtatim a partu non diſceſſerint, imi ventris dolores in lateris inanitate ſuboriuntur et rigores ac febres. Quod ſi ſecundae exierint, mulier etiam ſaneſcit. Plerumque vero putreſcunt, ſexto tamen aut ſeptimo die, aut etiam poſterius exeunt. Huic medicamenta quae praeſcribam exhibere oportet et ſpiritum continere. Omnibus autem praeſtare novimus artemiſiam herbam et dictamnum, ac albae violae flores. Et laſeris ſuccus ad fabae Graecae quantitatem ex aqua potus praeſtantiſſime valet. Quod ſi his ſecunda excludi nequeat, cibis abſtinendum. Deinde agni caſti folia ex vino et melle trita et affuſo oleo tepefacta, ad heminae menſuram potui exhibeto et foras prodibunt. At ſi mulieri in uteris partus involucrum relictum fuerit, id hoc modo contingit. Si vi abruptus umbilicus fuerit, aut ſi per imprudentiam ejus quae umbilicum ſecat, prius quam foetus involucrum ex uteris prod-

Ed. Chart. VII. [756. 757.] Foël. I. 608. Ed. Lind. II. (461.)
καθαίρει· καὶ τῷ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω. καὶ ἄγνου καρπὸν ἐν οἴνῳ διδόναι πίνειν, καὶ ὁ χυλὸς τοῦ τεύτλου γάλα πουλὺ ποιεῖ πινόμενος, καὶ σησάμου ἀπ' αὐτοῦ καὶ κριθέων τριμηνιαίων ἐμβαλὼν ἐς θυείαν, τρίψας πάντα δι' ὀθονίου τὸν χυλὸν ἐπιχέας καὶ ἐκχυλίσας, παραμίξας δὲ καὶ μέλι ἢ ἀμαμηλίδας, εἶτα ἐπ' οἴνῳ μέλανι διδόναι πίνειν. ὅταν γυνὴ τέκῃ καὶ τοῦ ὑστέρου μὴ ἀπαλλαγῇ, διδόναι ἄμεινον, ὑφ' ὧν μάλιστα καθαίρεται τὰ λοχεῖα, σκόροδα ἑφθὰ ἢ ὀπτὰ ἐν οἴνῳ καὶ ἐλαίῳ μετὰ πουλυποδίων καὶ σηπιδίων. ἐπ' ἀνθράκων δὲ ὅ τι ἂν βούληται τουτέων. κάστορα δὲ ἢ νάρδον πινέτω. πίνειν δὲ καὶ πήγανον ἐν οἴνῳ μέλανι γλυκεῖ, νῆστις ἢ ἄνευ οἴνου. ἢν δὲ μὴ γλυκὺς ὁ οἶνος ᾖ, ἄμεινον μέλι παραμίσγειν, κράμβην ἑφθὴν ὁμοῦ πηγάνῳ, καὶ λινοζώστει, καὶ τῶν σπερματίων τι πίνειν τῶν ὑστερικῶν. [757] ἢν δὲ θρομβωθῇ καὶ πόνος ἐν νειαίρῃ τῇ γαστρὶ γένηται, διδόναι πράσα ἑφθά, καὶ ὅσα ἄγρια καὶ ἥμερα. λιπαρὰ δὲ ποιέειν ἅπαντα, λούεσθαι δὲ καὶ διὰ τρίτης ἡμέρης

lavet et a balneo bibat. Viticis etiam ſemen ex vino potui praebeto. Quin et betae ſuccus propinatus lac copioſum facit. Poſt eum ſeſamum et hordeum trimeſtre in pilam conjectum, trita omnia, ſucco per linteolum transcolato et expreſſo, melle admixto et amamelidis, deinde ex vino nigro bibenda dato. Cum mulier peperit, neque ſecundis eſt liberata, ea dare praeſtiterit ex quibus puerperii purgamenta potiſſimum expurgantur, alia cocta aut aſſa ex vino et oleo, cum parvis polypis et ſepiolis. In prunis vero quicquid iſtorum volueris. Caſtorium autem aut nardum bibat. Ruta etiam jejunae ex vino nigro dulci bibenda, aut ſine vino. Quod ſi vinum dulce deſit, mel admiſcere commodius. Braſſicam una cum ruta et mercuriali decoctam aſſumat, et ex feminibus utero dicatis aliquod bibat. At ſi puerperia in grumos concreſcant et dolor in inſimo ventre oboriatur, porra cocta exhibeto, quaecunque ſilveſtria et ſativa erunt, pinguia autem omnia facito. Tertio vero etiam quoque die clementiore coelo

Ed. Chart. VII. [758.] Foës. I. 609. Ed. Lind. II. (463.)

θῃ, ῥόδων ἄνθῃ ἰᾶσθαι. διακλυζέσθω δὲ καὶ στρυφνοῖσιν. ἢν δὲ ἕλκωθῃ τὸ στόμα καὶ φλεγμήνῃ, σμύρναν καὶ στέαρ χήνειον καὶ κηρὸν λευκὸν καὶ λιβανωτὸν, λαγωῇσι θριξὶ τῇσιν ὑπὸ γαστέρα μίσγειν καὶ προστιθέναι ἐν εἰρίῳ λεῖα ποιοῦντα. ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, πυρετὸς ἴσχει τὸ σῶμα βληχρὸς καὶ ἀχλύς. ἐκ δὲ τῆς κοιλίης οὐδέποτε ἐκλείπει τὸ πῦρ, καὶ διψῇ καὶ τὰ ἰσχία ἀλγέει καὶ οἰδέει τὴν γαστέρα τὴν ἰσχυρῶς, καὶ ἡ κοιλίη ταράσσεται. ὑποχώρημα δὲ κακὸν καὶ ὀζόμενον, καὶ λύζεται τὸ πῦρ σφοδρὸν, καὶ ἀσιτίη ἔχει καὶ κατὰ τὸ βρέγμα ὀδύνη, καὶ οὐ δύναται εἰρύσαι τῆς κοιλίης ὁ στόμαχος ποτὰ καὶ σιτία, καὶ ἀδυνατέει πέσσειν, καὶ ἢν μὴ θεραπεύωνται εὐθέως, αἱ πλεῖσται θνήσκουσιν. ἡ κοιλίη δὲ αἰτίη. τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν χριμνοῖσιν ἑψήσας σιτανίοισιν, ἀκροχλίαρον ῥοφέειν. διδόναι τε καὶ μελίκρητον καὶ οἶνον ὑδαρέα, καὶ τὸ ἧτρον καταπλάσσειν τοῖσι ψυκτικοῖσι. σιτίον δὲ ὡς ἐλάχιστον ἐσθίειν, καὶ τὴν γαστέρα ἵστασθαι

dendum, quin etiam adſtringentium decocto colluendus. At ſi os ulceratum et inflammatione tentatum fuerit, myrrham, adipem anſerinum, ceram albam, thus, cum pilis leporinis, qui ſub ventre ſunt, mixta et laeviter trita, in vellere ſubdito. Si ex partu uteri inflammationem conceperint, febris levis corpus detinet et oculorum caligo adeſt. Ventrem vero incendium nunquam deſerit, ſiti et coxendicum dolore vexatur, imus venter vehementer intumeſcit et alvus turbatur, dejectio mala eſt et graveolens, vehemens febris invadit, cibi faſtidium detinet, et ad ſinciput dolor pertingit, neque ventriculi ſtomachus potus et cibos attrahere, neque etiam coquere poteſt. Ac niſi confeſtim curentur, plurimae intereunt, venter autem in cauſa eſt. Sambuci folia quam tenerrima, in farina craſſiore tritici ſitanii decocta, perquam tepida ſorbenda dato, aquam mulſam vinumque aquoſum exhibeto. Ad imum ventrem cataplasmata refrigerantia imponenda, et cibus quam pauciſſimus ſumendus, venter ſiſtendus et capiti medendum.

Ed. Chart. VII. [757. 758.] Foës. I. 609. Ed. Lind. II. (462. 463.)
|| αἱ μῆτραι τε ἀνασπῶσιν ὕστερον ἄνω, ἅτε ὀλισθηρὸν ἐὸν καὶ χεόμενον, καὶ κατισχνοῖσιν ἐν ἑωυτῇσι. τέτραται γὰρ τὸ χορίον ἐκ τοῦ ὀμφαλοῦ τοῦ παιδίου, καὶ ὕστερος ἔξεισιν ὁ ὀμφαλὸς ἐκ τῶν μητρέων. ἦν γὰρ πρότερος ἐξίοι, δι' αὐτοῦ οὐκ ἂν διέλθοι τῷ παιδίῳ ἡ τροφή, ὅτι ἐξήρτηται ἐξ αὐτέου. ὅταν δὲ ἐν γαστρὶ ἔχουσα φθείρῃ τὸ ἔμβρυον μηνιαῖον ἢ διμηνιαῖον, καὶ τὰ ὕστερα ἐξιέναι μὴ δύνηται, ἢ δὲ λεπτὴ, ταύτης χρὴ τηνικαῦτα καθῆραι τὸ σῶμα καὶ πιᾶναι. οὐ γὰρ πρότερον ἔξεισι τὰ ἔμβρυα σαπέντα, ἢν μὴ ἰσχυραὶ αἱ μῆτραι ἔωσι καὶ εὐπηγέες. [758] ἢν γυναικὶ τὸ χορίον ἐλλειφθῇ, ἢν μὴ εὐρύστομοι αἱ μῆτραι ἔωσιν, χωρέει ἡ κάθαρσις ἔλασσον τοῦ καιροῦ, καὶ ἡ γαστὴρ σκληρὴ γίνεται καὶ μεγάλη, καὶ (463) ψύξις ἔχει, καὶ πυρετὸς ὀξὺς καὶ πόνος καθ' ὅλον τὸ σῶμα, γαστρὸς δὲ τὸ κατώτερον τοῦ ὀμφαλοῦ, καὶ βρῖθος γίνεται ἐν τῇσι μήτρῃσι, καὶ σιρὸφὴ ἕως ἐμβρύου ἐόντος, καὶ μελεδαινθεῖσα ἐκβάλλει τὸ χορίον ἐν τάχει σεσηπὸς καὶ ὑγιαίνεται. ἢν ἐκ τόκου ἡ μήτρη ἐλκω-

ierit, ſectus fuerit, uterique ſecundas nimirum lubricas et madentes ſurſum attrahunt, et arctiſſime complectuntur. Foetus enim involucrum ex puelli umbilico protenditur, et ex uteris poſtremus exit umbilicus. Si enim priore loco exiret, non utique per ipſum ad puellam alimentum permearet, cum ex eo propendeat. Cum vero quae praegnans eſt foetum menſtruum aut bimeſtrem corrumpat, ſecundaeque foras prodire nequeant, ipſa autem extenuata ſit, hujus corpus ſane purgare et opimum reddere oportet. Neque enim putrefacti foetus exeunt, niſi uteri robuſti et bene compacti fuerint. Si mulieri foetus involucrum intus remanſerit, niſi uteri amplo ore fuerint, parcior quam conveniat purgatio prodit, venter durus et magnus evadit, frigus detinet et febris acuta, dolor totum corpus, praecipue vero ventris partem umbilico inferiorem occupat, pondusque in uteris ac torminа non aliter quam foetu exiſtente ſentiuntur. Diligenti tamen cura adhibita, brevi putrefactum foetus involucrum ejicit, ſanaque evadit. Si ex partu ulceratus uterus fuerit, roſarum floribus me-

Ed. Chart. VII. [759.] Foël. I. 609. 610. Ed. Lind. II. (464. 465.) καὶ ἐς τοὺς νεφροὺς καὶ τὰ ὑποχωροῦντα χολώδεα καὶ κάκοδμα. καὶ ἢν μὴ σταθῇ ἡ κοιλίη, ἐξαίφνης θνήσκει. ὅταν οὖν ὧδε ἔχῃ, χρὴ ψύχειν τὴν κοιλίην, φυλασσόμενον ὅκως μὴ ῥίξῃ. || πινέτω δὲ, ἢν μὴ ἵστηται, τὸ ἀπὸ τοῦ κρίμνου. τρωγέτω ἄρτον ἄλητον. ζοφέειν δὲ σίδης οἰνώδεος τὸν χυλὸν, κεράσας ὕδατι. ἐπίπασσε δὲ λεκίθῳ φακὸν καὶ τούτῳ ἕψει, μίσγων φακὸν καὶ κύμινον καὶ ἅλας καὶ ἔλαιον καὶ ὄξος. τοῦτο διδόναι ζόφημα ψυχρὸν, καὶ φακὴν ὀξείην, καὶ ἐπιπίνων οἶνον οἰνώδεα Πράμνιον. τῶν δὲ ἄλλων σιτίων ἀπέχεσθαι χρὴ ἔστ' ἂν ὁ πυρετὸς λυθῇ. (465) ἢν δὲ δοκέῃ, καὶ λουέσθω. ἢν δὲ ἀσθενὼς ἔχῃ, πίνειν δίδου τὰ ἄλητα. ἢν δὲ ἀκυδροτέρη ᾖ, ἐν ὕδατι ψυχρῷ. σιτίον δὲ προσφέρεσθαι κοῦφον, ὅ τι μὴ εἰνήσεται, ὅταν τὸ πῦρ μεθῇ. ἡ δὲ νοῦσος ὀξείη τε καὶ θανατώδης. ἢν δὲ φλεγμήνωσιν αἱ ὑστέραι λεχοῖ, πίμπλαται ἡ κοιλίη καὶ μεγάλη γίνεται καὶ πρὸς τὰ ὑποχόνδρια πνίξ ἔχει. ὅταν ὧδε ἔχῃ, καταπλάσσειν βρύῳ τῷ θαλασσίῳ, ὃ ἐπὶ τοὺς ἰχθύας ἐπιβάλλουσι, κόψαι δὲ ἐν

inanitates occupat. Quae per alvum fecedunt, biliosa sunt et graveolentia, ac nisi sistatur, derepente perit. Sic igitur affectae alvum refrigerare oportet, ea cautione adhibita ne perhorrescat. Bibat autem, si non sistatur, farinae crassioris decoctum, panis farinam comedat. Mali autem punici vinosi succum aqua temperatum, sorbendum dato, lentium autem lomento aspergito. Quo decocto lentem, cuminum, salem, oleum et acetum misceto, hoc frigidum sorbendum dato et lenticulam aceto conditam, vinum Pramnium generosum superbibendo. Aliis autem omnibus cibis abstinendum, quoad febris soluta videatur. Quod si visum fuerit, etiam lavet. Si vero imbecilla fuerit, polentam bibendam dato, sique debilior, ex aqua frigida. Cibus offerendus levis, qui minime vacuet ubi febris remiserit. Hic autem morbus acutus est et lethalis. At si recens enixae uteri inflammatione laborent, venter incenditur et intumescit et suffocatio ad praecordia detinet. Sica fectae muscum marinum, quem in pisces injiciunt, in pila contusum, farina

Ed. Chart. VII. [758. 759.] Foës. I. 609. Ed. Lind. II. (463. 464.)
καὶ τὴν κεφαλὴν ἰᾶσθαι, ὑποχόνδριον δὲ καταπλάσσειν καὶ τῶν μητρέων τόπον. ὁκόταν ἀλγέῃ τὴν ἕδρην ἢ ἄλλο τι, ἀρκεύθου καρπὸν ἢ λίνου σπέρμα καὶ κνίδης (464) τρίβειν καὶ διδόναι πίνειν. ἢν ἐκ τόκου ἀλγέῃ, ῥητίνην τερεβινθίνην καὶ μέλι καὶ οἶνον χλιαρὸν διδόναι ῥοφέειν, καὶ ἢν φλεγμήνωσιν αἱ μῆτραι, τοῦτο παύσει. ἢν δὲ μὴ ἀλγέῃ τι τῶν μητρέων, ποτὸν ἀμυγδάλας τρίψας πικρὰς, ἐλαίης τε τὰ ἁπαλὰ φύλλα, καὶ ἄνησον καὶ ἐρύσιμον καὶ ὀρίγανον καὶ νίτρον, ταῦτα μίξας καὶ τρίψας λεῖα, κολλούρια ποιέειν μητρέων. ἢν φλεγμήνωσιν καὶ ὀδύνη ἔχῃ, ῥόδων φύλλα, κινάμωμον καὶ κασσίην τρίψας ἐν τῷ αὐτῷ λεῖα ἐπιχεῖ τέτωπον, καὶ ποιήσας φθοΐσκους ὅσον δραχμιαίους, ὀστράκινον χυτρίδιον καινὸν διάπυρον ποιήσας περικαθίσας καὶ περιστείλας ἱματίοισι, θυμιῆν ἐς τὰς μήτρας. τοῦτο ὀδύνας παύσει. [759] ἢν δὲ ἐκ τόκου αἱ ὑστέραι πονήσωσι, βληχρὸν ἔχει τὸ πῦρ. ἔνδοθεν δὲ ἡ κοιλίη ἡ νειαίρη πυριφλεγέθης ἐστὶ, καὶ ἐς τὸ ἰσχίον ἐνίοτε ἀποιδέει, καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα

Ad praecordia quoque et uterorum ſedem cataplasmata adhibenda. Cum ſedes aut alia quaedam pars dolnerit, juniperi baccas aut lini et urticae ſemen terito, et potui exhibeto. Si ex partu dolor eſt, reſinam terebinthinam, mel et vinum tepidum ſorbitione exhibeto. Quod ſi uteri inflammatione laborent, id ſedabit. Quod ſi nulla uteri parte dolor eſt, amygdalas amaras terito et oleae tenera folia et aniſum et eryſimum et origanum ac nitrum. Ex his mixtis et ad laevorem tritis uterorum collyria conficito. At ſi inflammatio cum dolore detinuerit, ad roſarum folia, cinnamomum, caſſiam, in unum ad laevorem trita, netopum affundito. Et paſtillis drachmae unius pondere confectis, ollae fictili recenti igne candenti, ſuperinſidente muliere et veſtimentis contecta, in uterum ſuffitum immittito. Hoc dolores ſedabit. Si vero uteri ex partu laboraverint, febris levis detinet, interiore autem parte imus venter velut igne accenſus eſt, interdumque ad coxam usque intumeſcit, dolor etiam infimum ventrem et laterum

Ed. Chart. VII. [759. 760.] Foës. I. 610. Ed. Lind. II. (466.)
γμαίνηται, ὑποκλύζειν ὅτι τάχος. [760] ἢν αἱ μῆτραι φλέγματος ἐμπλησθῶσι, φῦσαι ἐγγίνονται ἐν τῇσιν ὑστέρῃσι, καὶ τὰ ἐπιμήνια προέρχεται ἐλάσσονα, λευκὰ, φλεγματώδεα. ἔστι δ' ὅτε αἷμα λεπτὸν, ἀκραιφνὲς, ὑμένων ἀνάπλεον, καὶ ἔστιν ἧσιν κυρκανᾶται, καὶ τρὶς τοῦ μηνὸς ἐπιφαίνεται, καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, οὐδ' ὀργᾷ τοῦτο δρᾶν, καὶ λεπτὴ γίνεται. ὀδυνᾶται δὲ τὴν νειαίρην γαστέρα, τὰς ἰξύας καὶ τοὺς βουβῶνας, καὶ εἰ δάκνοι τὸ ῥέον καὶ ἕλκοι τὰ ἀμφίδεα, χρόνιον φάναι τὸ ῥεῦμα. καὶ ἢν μὴ πολὺ εἴῃ, φάκιον ξὺν ἐλλεβόρῳ δοῦναι ἐμέσαι. ἔπειτα ἐς τὰς ῥῖνας ἐγχέαι καὶ φάρμακον πῖσαι κάτω. σιτίων δὲ εἰργέσθω δριμέων, ἢν δὲ βαρύνηται καὶ ψύχηται καὶ νάρκη ἔχῃ, γάλα διδόναι καὶ οἶνον εὐώδεα. πινέτω δὲ νῆστις ὑπερικὸν, λίνου σπέρμα, ἐλελίσφακον ἐν οἴνῳ εὐώδει ὕδαρεῖ, καὶ κλύσαι τὰς ὑστέρας τῷ ξὺν τῇ τρυγὶ καὶ ἢν ἕλκωμέναι ἔωσι, διαλιπόντα ἡμέρας δύο ἢ τρεῖς κλύσαι τρὶς ξὺν τῷ κόκκῳ. μετὰ δὲ τοῦτο στρυφνοῖσι. ἢν δὲ ἕλκωμέναι ἔωσι, νίπτεσθαι

et ſi venter inflammetur, quam citiſſime per infuſum ſubluendus. Si uteri pituita redundent, in iis flatus ſuboriuntur et menſes prodeunt pauciores, albi, pituitoſi, interdumque ſanguis tenuis, purus, membranis plenus, nonnullis etiam conturbatur, terque menſe comparet, neque prae nimia humiditate viri congreſſum expetit, neque ad venerem exercendam incitatur et extenuatur. Dolor autem imum ventrem, lumbos et inguina occupat. Quod ſi quod effluit mordeat et ſummas oſculi uteri oras ulceret, diuturnam fore fluxionem afferendum. At ſi minime copioſa fuerit, lenticulae decoctum cum veratro, ut vomat, exhibeto. Deinde in nares infundito, et medicamentum deorſum purgans propinato, et cibis acribus abſtineat. Quod ſi gravitate et frigore prematur et torpor detineat, lac et vinum odoratum exhibeto. Hypericum autem, lini ſemen et ſalviam ex vino odorato aquoſo jejuna bibat, et uteros vino una cum faece eluat. Quod ſi ulcerati fuerint, duobus aut tribus diebus intermiſſis, ter ex grani Cnidii decocto colluito, poſt haec vero ex adſtringentibus. Si vero adhuc ulcerati

Ed. Chart. VII. [759.] Foës. I. 610. Ed. Lind. II. (465. 466.)
ὅλμῳ καὶ ξυμμίσγειν ὠμήλυσιν καὶ σποδιὴν κληματίνην καὶ λίνου φώξαντα. βαλεῖν δὲ ταῦτα καὶ ἀναφορύξαι ὄξει καὶ ἐλαίῳ. ποιεῖν δὲ οἷον κυκεῶνα παχύν. ταῦτα ἕψειν ὡς οἷον στέαρ γενέσθαι, καὶ τούτῳ καταπλάσσειν ὡς θερμοτάτῳ, καὶ, ἢν χρήζῃ, ἐγκαθιγτῦσθαι. ἢν δὲ λεχοὶ φλεγμήνωσιν αἱ ὑστέραι, οἰδέουσι, καὶ ὁκόταν τὰ λοχεῖα ἐμμείνῃ, κρύβδην ἰείονται. γίνονται δὲ ἐπὴν πυκνωθῶσιν ὑπὸ ψύχεος. ταύτῃσιν ἢν μὲν ἐπιψύχωνται, ἀλεαίνειν· ἢν δὲ περιφλεγέες ἔωσιν καὶ τὸ ψῦχος ἀφῇ, προσθετὸν ποιέειν ὅ τι φλεγμασίῃ ἐναντιοῦται καὶ λούειν ἅμα καὶ πυριῆν καὶ φάρμακα προσάγειν, ὧν ἂν ἐγὼ γράψω ἕλκειν τε ἀτμίδα ἐς τὸ στόμα καὶ ἐς τὰς ῥῖνας. ἢν δὲ πτίγωσι, φακοὺς ἕψειν ἐν ὄξει καὶ ἁλὶ καὶ ὀριγάνῳ πολλῷ καὶ ὀλκὴν ποιέεσθαι, καὶ τὴν λινοζώστιν ἐσθιέτω, καὶ ἐν τῷ χυλῷ λεπτὸν ἄλητον ῥοφεέτω. ὅτ' ἂν τύχισιά τε καὶ πρὶν τὴν ὀδύνην ἔχειν, πρότερον διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει (466) τῆς ὀδύνης καὶ σιτία διαχωρητικὰ προσφερέσθω, καὶ ἢν ἡ γαστὴρ φλε-

hordeacea cruda admixta, ſarmentitio cinere et lini ſemine toſto ex cataplasmate admoveto. His autem agitatis et aceto oleoque ſubactis, mixturam quandam craſſam conficito eaque, donec velut in farinae maſſam coëant, coquito. Hoc quam calidiſſimum in cataplasmate apponito et, ſi opus eſt, ad inſeſſum adhibeto. Si recens puerperae uteri inflammationem conceperint, intumeſcunt, cumque puerperii purgamenta reſtiterint, clam diſtenduntur, quod accidit cum frigore denſati fuerint. Hos, ſi quidem perfrigeſcant, calefacito. At ſi conflagrarint et frigus dimiſerit, medicamentum ſubdititium quod inflammationi adverſetur ſubjiciendum, ſimulque lavandum et ſotu utendum et medicamenta quae deſcribam adhibenda, vaporque in os et nares attrahendus. Quod ſi ſtrangulatus acceſſerit, lentes cum aceto, ſale et origano multo decoquito et ut appoſiti medicamenti nidorem attrahat facito. Mercurialem etiam comedat, et in ejus ſucco coctam farinam ſorbeat. Quam celerrime autem et priusquam dolor detineat, medicamenta exhibeto, quae uterorum dolorem ſedent, et cibi alvum ſubducentes aſſumendi,

Ed. Chart. VII. [760. 761.] Foës. I. 611. Ed. Lind. II. (467. 468.)
κὰς ἀμφὶ τὰ σκέλεα ἑλίσσειν καὶ ἐλαίῳ ἀλείφειν. [761] ἢν δὲ ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσονα καὶ πονηρὰ γίνεται καὶ προαπολείπει, καὶ ἡ νειαίρη γαστὴρ οἰδέει, καὶ οἱ μαζοὶ στερῥοὶ καὶ μαλθακοὶ, καὶ τὸ γάλα πονηρὸν, καὶ δοκέει ἐν γαστρὶ ἔχειν, καὶ ἐν τούτοισι γνώσῃ ὅτι ὕδερός ἐστι. σημαίνει δὲ καὶ ἐν τῷ στόματι τῇσιν ὑστέρῃσιν. ψαυούσῃ γὰρ ἰσχνὸν καὶ ὑγρὸν φαίνεται καὶ ῥῖγος καὶ πῦρ λαμβάνει. ὅσῳ δ' ἂν ὁ χρόνος πλείω γίνηται, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας καὶ τοὺς βουβῶνας. αὕτη ἡ τόσος ἐκ τρωσμοῦ γίνεται. καὶ ἐξ ἄλλων δὲ προφασίων, καὶ ὅταν τὰ ἐπιμήνια κρυφθῇ, λούειν χρὴ (468) πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ἢν ἡ ὀδύνη ἔχῃ. ἐπὴν δὲ παύσηται, φάρμακον χρὴ πῖσαι κάτω, καὶ πυριῆσαι τῷ ξὺν τῷ βολίτῳ τὰς ὑστέρας. ἔπειτα προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι, καὶ διαλείπειν δύο ἡμέρας ἢ τρεῖς, καὶ ἢν ῥώμη ἴσχῃ, νετώπῳ κλύσαι, καὶ ἢν ἡ γαστὴρ λιπαρὴ γένηται καὶ οἱ πυρετοὶ παύονται καὶ

contineat, laneis tegumentis crura obvolvat, oleoque illinat. Si aqua intercus in uteris innascatur, menses pauciores et pravi contingunt, et ante tempus deficiunt. Venter imus intumescit, et mammae solidae flaccescunt et in reliquis male habet, uteroque gestare videtur. Atque ex his quidem aquam esse intercutem cognoscas. Quin et in uterorum ore sui notas edit. Ad contactum enim gracile et humidum apparet, rigorque et febris invadit. Quoque longius tempus processerit, dolor imum ventrem, lumbos, laterum inanitates et inguina occupat. Morbus hic ex abortione contingit et aliis de causis, cumque menses delituerint. Hanc copiosa calida lavato, et si dolor detineat, tepefacientia admoveto. Ubi autem quieverit, medicamentum deorsum purgans propinandum, et uteri medicamento ex stercore bubulo fovendi, deinde medicamentum ex cantharide in subdititio apponendum, et biduum aut triduum intermittendum, et si robur adsit, netopo uteri colluendi. Quod si venter mollis reddatur, febres cessent et pro ratione menses proce-

Ed. Chart. VII. [760.] Foëſ. I. 610. 611. Ed. Lind. II. (466. 467.)
τῷ ἀπὸ τῆς μυρσίνης καὶ δάφνης ἀφεψήματι, καὶ ἐγχριέσθω τῷ ξὺν τῷ ἀργυρέῳ ἄνθει. ἡ δὲ νοῦσος χαλεπὴ, καὶ ὀλίγαι ἐκφεύγουσι. ἢν δὲ κοτυληδόνες φλέγματος περίπλεαι ἔωσι τὰ ἐπιμήνια γίνονται ἐλάσσονα, καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, διαφθείρει, || ἐπεὶ(467)δὰν ἰσχυρότερον τὸ ἔμβρυον γένηται. οὐ γὰρ ῥώννυται, ἀλλ' ἀπορρεῖ. γνοίης δ' ἂν τῇδε. ὑγρὴ γίνεται, καὶ τὸ ἀπορρέον μυξώδες, καὶ γλίσχρον οἷα ἀπὸ κοιλίης φέρεται, καὶ οὐ δάκνει, καὶ ἐν τοῖσιν ἐπιμηνίοισιν, ἐπὴν παύσηται τοῦ αἵματος καθαιρομένη, καὶ δύο ἡμέρας καὶ τρεῖς βλέννας ἴασιν ἐκ τῶν ὑστερέων καὶ ψύξη ἔχει καὶ θέρμη οὐκ ὀξεῖα, πλὴν οὐκ ἐκλείπει. ταύτην κλύσαι ἀπὸ τῶν ὀλύνθων, ἀφ' ὧν ὕδωρ ἅπαν καθαίρεται, καὶ δὶς καὶ τρίς. ἐπὴν δὲ καθαρθῇ, στρυφνοῖσι τὸ λοιπὸν χρήσθω. προσιθέναι δὲ τὰ μαλθακὰ, ὑφ' ὧν καθαίρεται φλέγμα, καὶ πυριῇν τὰς ὑστέρας τῷ ξὺν τῇ δάφνῃ, καὶ κλύζειν τῷ ξὺν τῷ ὄξει, καὶ θυμιᾷν, ἐπὴν παύσηται τὰ ἐπιμήνια τοῖσιν ἀρώμασι. κἄπειτ' ἀσιτέειν χρὴ καὶ ἀλουτέειν, ξυνίτω δὲ τῷ ἀνδρὶ, καὶ σιτία καὶ οἶνον ὀλίγα λαμβάνειν, καὶ ἀλεαίνειν, καὶ εἰρηνι-

fuerint, myrti et lauri decocto abluito, et medicamento ex argenti flore illinatur. Gravis autem hic morbus eſt, paucaeque ex eo evadunt. Si uteri acetabula pituita oppleta fuerint, menſes pauciores contingunt, et ſi uterum geſtet, ubi foetus robuſtior evaſerit, eum corrumpit. Neque enim confirmatur, ſed elabitur. Ex eo autem cognoſcas, quod humida redditur, quodque effluit, mucoſum et viſcidum ſit, qualia ex alvo feruntur, nec mordent et in menſium curſu, ubi ſanguis purgari deſierit, per duos aut tres dies mucoſa ex utero effluunt, horrorque et calor minime acutus detinet, praeterquam quod non deſerit. Hanc groſſorum decocto, a quibus aqua depurgatur, bis vel ter colluito. Ubi autem purgata fuerit, deinceps adſtringentibus utatur. Mollia ſubditicia medicamenta, ex quibus pituita purgatur, ſupponito et uteros lauri decocto foveto, decoctoque cum aceto colluito et, cum menſes ceſſarint, ſuffitum ex aromatibus adhibeto. Poſtea cibo et balneo abſtinendum. Mulier autem virum adeat et cibos vinumque parce aſſumat, calide ſe

Ed. Chart. VII. [761. 762.] Foës. I. 611. 612. Ed. Lind. II. (468. 469)

ἐκ πόνου ἢ ἄλλως. τοῦτο δ' ἂν γνοίης (469) ὅτι ὕδρωψ ἐστὶν, εἰ ἀφάσσων τῷ δακτύλῳ ὄψει τὸ στόμα αὐτῶν ἰσχνὸν καὶ περίπλεον ὑγρασίης. ἢν δὲ ἐν αὐτῇ τὸ ἔμβρυον μὴ κατ' ἀρχὰς, ἀλλ' ἤδη δίμηνον, διαφθείρεταί τε καὶ ἀποπτίγεται, ἥ τε γαστὴρ ἡ νειαίρη ἐπανοιδέει καὶ ἁπτομένη ἀλγέει ὡς ἕλκος, || καὶ πυρετὸς μέγας αὐτὴν καὶ βρυγμὸς λαμβάνει καὶ ὀδύνη ἰσχυρὴ τοῦ αἰδοίου, καὶ τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας καὶ τὴν ὀσφῦν ὀξειά τε καὶ σπερχνή. [762] ὅταν οὕτως ἔχῃ, λούειν τε αὐτὴν θερμῷ, ἢν ὀδύνη ἔχῃ, καὶ χλιάσματα προσάγειν, πειρεόμενον ὅ τι ἂν μάλιστα προσδέχηται καὶ φάρμακον καθαρτήριον κάτω. διαλιπεῖν δὲ χρόνον, ὅσον αὐτῇ δοκέῃ ἱκανὸς εἶναι, καὶ κλύσαι καὶ πυριῆσαι, καὶ τὴν κυκλάμινον ἐς ῥάκος μέλιτι δεύων, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων, καὶ τῆς κυπαρίσσου καταξύσας καὶ τέγξας ἐν ὕδατι, προσθεῖναι ὡσαύτως. ἐλάσσονι δὲ χρόνῳ καὶ διὰ πλείονος τοῦτο, ὅσῳ μᾶλλον δάκνει καὶ ξαίνει, καὶ μίλην ποιησάμενος κασσιτερίνην ἐγ-

nihilo frequentius ex labore quam aliis de cauſis contingunt. Aquam autem eſſe intercutem dignoſcas licet, ſi digito ad contrectandum immiſſo, ipſorum os gracile et humore redundans deprehenderis. Quod ſi in ipſa foetus non circa initia, ſed jam bimeſtris tum corrumpatur tum ſuffocetur, venter imus in tumorem attollitur et ad contactum velut ulcus dolet, ingensque febris eam et dentium fremitus invadit, et dolor vehemens pudendum et imum ventrem et ilia, idemque acutus et aſſiduus laterum inanitates et lumbos occupat. Cum ita affecta fuerit, ſi dolor adſit, eam calida lavato et tepefacientia admoveto, periculo facto quodnam maxime ipſa admittat, medicamentumque deorſum purgans exhibeto. Intermiſſione autem temporis quanta ei ſatis eſſe videbitur facta, etiam colluito et foveto et cyclaminum melle ſubactum, tenui linteo exceptum uterorum ori ſubdito et cupreſſi ramenta aqua madefacta eodem modo ſupponito. Idque quo plus mordet aut lacerat breviore aut longiore tempore faciendum. Et paratum ſpecillum ſtanneum digi-

Ed. Chart. VII. [761.] Foës. I. 611. Ed. Lind. II. (468.)
τὰ καταμήνια προχωρέει κατὰ λόγον, καὶ τᾷ ἀνδρὶ ξυγκοιμάσθω, καὶ ἐν τοῖσι προσθέτοισι μενέτω καὶ μεσηγὺς ἡμέρης πινέτω κρηθμοῦ φλοιόν. γλυκυσίδης τοὺς μέλανας κόκκους πέντε, καὶ ἀκτῆς καρπὸν ἐν οἴνῳ τῆστις καὶ τὴν λινοζώστιν ἐσθιέτω ὡς πλείσιην, καὶ σκόροδα ὠμὰ καὶ ἑφθὰ, καὶ τοῖσι μαλθακοῖσι πρὸς ὕπνον χρήσθω, καὶ πολυποσίῃ, καὶ τοῖσι ἄλλοισι μαλθακοῖσι, καὶ ὄψοισι θαλασσίοισι μᾶλλον ἢ κρέασι. καὶ ἢν τέκῃ, ὑγιαίνει. ἢν ὕδρωψ γένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται καὶ κακίω καὶ διὰ πλείονος χρόνου, καὶ καιρῷ ἐλάσσονα ἢ μικρῷ πλείονα ἴῃ, καὶ οἰδέει ἡ κοιλίη, καὶ τὸ ἐπικτένιον καὶ αἱ κνῆμαι καὶ ἡ ὀσφύς. ἐπειδὰν δὲ συχνὸς χρόνος γένηται, καὶ ἐν γαστρὶ ἔχῃ, διαφθείρει καὶ ἐκβάλλει, καὶ ὕδωρ ξὺν αὐτῷ χέεται, καὶ ἡ γυνὴ θνήσκει ὡς ἐπιπολύ. τὸ δὲ αἷμα φθείρεται καὶ ἰδεροῦται. ταύτην γαλακτοτροφέειν καὶ μηκώνων πίνειν ἔστ' ἂν τὸ ἔμβρυον κινέεσθαι δύνηται. ἔτι δὲ πρὸς τούτου ὡς ἐπιτοπολὺ διαφθείρεται καὶ ἐξαμβλίσκεται, καὶ αἵματος καὶ ὕδατος ῥέουσιν αἱ μῆτραι. ταῦτα δὲ πάσχει οὐδέν τι μᾶλλον

dant, cum viro etiam dormiat et in ſubdititiorum uſu perſiſtat, et die intermiſſo cretbmi corticem et paeoniae grana nigra quinque, ſambucique fructum ex vino jejuna bibat, mercurialem quamplurimam, alliaque cruda et cocta comedat. Sub ſomnum mollibus et polypis, caeterisque mollibus utatur, et opſoniis marinis potius quam carnibus. Quae ſi pepererit, convaleſcit. Si aqua intercus in uteris oriatur, menſes pauciores et deteriores contingunt et diuturniores, juſtoque parciores aut paulo copioſiores eunt, venter, quaeque ſupra pubem ſunt, tibiae et lumbi intumeſcunt. Ubi autem longum interceſſerit temporis intervallum et uterum geſtarit, foetum perdit et ejicit, unaque cum eo aqua effunditur, fereque mulier moritur. Sanguis autem corrumpitur et aquoſus fit. Huic quoad foetus moveri poſſit, lac et pepli infuſum potui exhibeto. Ut plurimum autem ante hoc tempus corrumpitur, et abortione rejicitur, uterique ſanguine et aqua diſſluunt. Haec autem

Ed. Chart. VII. [762. 763.] Foël. I. 612. Ed. Lind. II. (470. 471.)
τὸ ἐπίπλοον καὶ τοῖσιν ἀμφὶ τὴν κοιλίην ἐοῦσι χωρίοισι καὶ τοῖσι σκέλεσι. ἕτερον γὰρ ἑτέρῳ διεκδιδοῖ ἐν τῷ σώματι, ἐπὴν πλέον ἑκάστῳ τοῦ καιροῦ ᾖ καὶ μὴ δύνηται κατέχειν. ἐπιγίνεται δὲ ἀπὸ τοῦ ὕδρωψ αἰεί, ἐπὴν μάθῃ ὁ σπλὴν ἕλκειν ἐς ἑωυτὸν φύσει ἀραιὸς ὢν καὶ μανός. γίνεται δὲ αἷς ἀρχὴ αὕτη τῆς νόσου καὶ ἄτερ πυρετοῦ, ἢν καῦμά τι τῇ κοιλίῃ ἐνσταίη οἷα φλέγματος ἐς αὐτὴν κατιόντος, καὶ ἢν ἡ ἄνθρωπος τὴν δίψαν μὴ κατέχῃ, μηδ' ἡ κύστις μηδ' ἡ κοιλίη διηθέωσιν οὐρόν τε καὶ κόπρον κατά τε δίκην, μηδὲ ἐπιτηδείη διαίτῃ χρέηται ἡ ἄνθρωπος. ἢν δὲ ὑδρωποειδὴς ᾖ, ἔρχεται τὰ καταμήνια πολλὰ ἐξαπίνης, ὁτὲ δὲ ὀλίγα, καὶ γίνονται ὁτὲ μὲν ὡς ἀπὸ κρεῶν ὕδωρ ὡς εἴ τις αἱματώδεα ἀποπλύνειεν, ὁτὲ δὲ ὀλίγῳ ἰσχυρότερα, καὶ οὐ πήγνυται, καὶ ἄσθμά μιν λαμβάνει, πρὶν ἢ τὰ (471) καταμήνια χωρέειν, καὶ ὀδύνη ἐν τῷ σπληνὶ, καὶ μᾶλλον ἐπήν τι γλυκὺ φάγῃ, καὶ ἡ γαστὴρ ἐξαίρεται καὶ μεγάλη ἔσται. καὶ ἐπὴν πλέονα τοῦ μάθεος φάγῃ, [763] πονεῖ τε τὴν γαστέρα, καὶ

transmittit, praecipueque in omentum et partes ventrem ambientes et crura. In corpore enim ubi in unaquaque parte plus quam par ſit, aut quam continere poſſit affluerit, altera ad alteram transmittit. Ex eo vero ſemper hydrops ſubſequitur, ubi lien natura rarus et laxus ad ſeſe trahere conſueverit. Quibusdam vero hoc morbi principium etiam citra febrem contingit, ſi incendium quoddam internum in ventre adfuerit, velut pituita in ventrem delata, idque ſi in ſiti mulier ſibi minime temperet, neque veſica neque alvus, tum urinam tum ſtercus, ut aequum eſt, transmiſerint neque idonea utatur victus ratione. Quod ſi hydrope laboret, copioſi menſes derepente quandoque etiam pauci deſcendunt, et nonnunquam velut aqua ex carnibus fiunt, velut ſi quis cruentas carnes abluerit, interdum etiam paulo vehementiores, ac neque concreſcunt. Eam crebra ſpiratio, aſthma dicta, prius quam menſes prodeant invadit et ſplenis dolor, idque magis ſi quid dulce ederit, venterque in tumorem attollitur et magnus redditur. Ac ubi plus ſolito comederit, venter affligitur et ſubinde lumbi dolent, ipſam-

Ed. Chart. VII. [762.] Foës. I. 612. Ed. Lind. II. (469. 470.)
καθιέναι, καὶ τῷ δακτύλῳ ὡσαύτως, καὶ τὰ ποτήματα ὅ τι ἂν μάλιστα προσίηται πιπίσκειν, καὶ ξυγκοιμάσθω τῷ ἀνδρὶ ὡς μάλιστα τῶν καιρῶν παρόντων. ἢν γὰρ συλλάβῃ τὴν γονὴν καὶ κυήσῃ, ὑπεκκαθαίρεται καὶ τὰ πρόσθεν ὑπιόντα ξὺν αὐτοῖσι καὶ οὕτως ἂν μάλιστα ὑγιὴς γένοιτο. ἢν δὲ γυνὴ ὑδρωπιήσῃ, οἱ αὐτοῦ σπληνὸς ὑδατώ(470)δεος καὶ μεγάλου ἐόντος, γίνεται δὲ ὁ σπλὴν ὑδατώδης ἀπὸ τοῦδε τοῦ παθήματος. ἐπὴν πῦρ ἔχῃ καὶ μὴ ἀφίῃ τὸν ἄνθρωπον καὶ δίψα μιν λαμβάνῃ καρτερὴ καὶ πίνῃ, καὶ μὴ ἀπεμέσῃ. τὸ μὲν γὰρ ἐς τὴν κύστιν διελθὸν διουρέεται, τὸ λοιπὸν δὲ ὁ σπλὴν λαμβάνει, διασπῶν ἀπὸ τῆς κοιλίης πρὸς ἑωυτὸν, ἅτε ἀραιὸς ὢν καὶ σπογγοειδὴς κείμενός τε κατὰ τὴν κοιλίην, καὶ ἢν τούτων οὕτως ἐχόντων μὴ ἱδρώσῃ, μηδὲ ἡ κοιλίη χαλᾶται, αἴρεται ὁ σπλὴν ὑπὸ τούτου, καὶ μᾶλλον ἢν ὕδωρ ἢ τὸ ποτὸν, καί μιν ἤν τις ἐπαφήσαιτο, μαλθακὸς ὡς χνοῦς ἐστιν, ἔστι δ' ὅτε ἀντιτυπεύμενος. ἀερθεὶς δὲ καὶ πιμπλάμενος ἐκδιδοῖ κατὰ τὰς φλέβας τῷ σώματι, καὶ μάλιστα ἐς

tumque eodem modo intromittito. Potiones etiam quascumque maxime approbat propinato, et opportunitate maxime captata cum viro dormiat. Si enim genituram comprehenderit et praegnans fuerit, quae etiam intus inerant, una cum ipsis delata per inferiora expurgabuntur, eaque praecipue ratione convalescere poterit. Si vero ex aquoso et magno liene mulier in aquam intercutem labatur, lien aquosus ex ejusmodi affectione evadit. Cum vehemens febris hominem detinuerit, neque dimiserit, sitisque valida corripuerit et biberit, neque vomitione quicquam refuderit. Quod enim ad vesicam defertur, per urinam redditur. Lien vero quod est reliquum, ex ventre ad sese raptum suscipit, cum sit rarus et spongiae similis, et prope ventrem situs. Hisque ita se habentibus, si neque exudarit neque venter demittatur, ex eo splen attollitur, idque magis si aqua epota fuerit. Ac si quis ipsum attractet, mollis est velut lanae tormentum, interdumque etiam durus ac renitens. In tumorem autem sublatus et oppletus, per venas in corpus

Ed. Chart. VII. [763.] Foëſ. I. 613. Ed. Lind. II. (471. 472.) τετρυχωμένη ᾖ· χρονίη δὲ αὕτη ἡ νοῦσος· γίνεται δὲ πάντα μᾶλλον μὲν τῇσιν ἀτόκοισιν, γίνεται δὲ πολλάκις καὶ τῇσι τετοκυίῃσιν. ἐπικίνδυνα δέ εἰσιν, ὡς εἴρηται, καὶ τοπουλὺ ὀξέα καὶ μεγάλα καὶ χαλεπὰ ξυνιέναι, διά τοῦθ' ὅτι αἱ γυναῖκες (472) μετέχουσι τῶν νούσων, καὶ ἔσθ' ὅτε οὐδ' αὐταὶ ἴσασιν ὅτι νοσέουσιν, πρὶν ἢ ἔμπειροι νούσων γένωνται, ἀπὸ καταμηνίων καὶ ἔωσι γεραίτεραι. τότε δὲ σφέας ἥ τε ἀνάγκη καὶ ὁ χρόνος διδάσκει τὸ αἴτιον τῶν νούσων καὶ ἔστιν ὅτε τῇσι μὴ γινωσκούσῃσιν ὑφ' ὅτευ νοσεῦσι φθάνει τὰ νοσήματα ἀνίητα γινόμενα, πρὶν ἂν διδαχθῆναι τὸν ἰητρὸν ὀρθῶς ὑπὸ τῆς νοσεούσης ὑφ' ὅτου νοσέει, καὶ γὰρ αἰδέονται φράζειν, κἢν εἰδῶσι, καί σφιν δοκοῦσι αἰσχρὸν εἶναι ὑπὸ ἀπειρίης καὶ ἀνεπιστημοσύνης. ἅμα δὲ καὶ οἱ ἰητροὶ ἁμαρτάνουσιν οὐκ ἀτρεκέως πυνθανόμενοι τὴν πρόφασιν τῆς νούσου, ἀλλ' ὡς τὰ ἀνδρικὰ νοσήματα ἰώμενοι, καὶ πολλὰς εἶδον διεφθαρμένας ἤδη ὑπὸ τῶν τοιούτων παθημάτων. ἀλλὰ χρὴ ἀνερωτᾶν αὐτίκα ἀτρεκέως τὸ αἴτιον. διαφέρει γὰρ ἡ ἴησις πολλὸν τῶν γυναικείων νοσημάτων καὶ τῶν ἀνδρώων.

eſt hic morbus. Haec autem omnia his quae nondum pepererunt magis contingunt, plerumque etiam his eveniunt quae partum expertae ſunt. Sunt autem, ut dictum eſt, periculo proxima et fere acuta et gravia, quaeque adeo non facile quis intelligat, quod cum mulieres morbo affliguntur, interdum tamen ſe aegrotare neſciunt, priusquam ſeniores effectae morbos qui menſtruorum ratione proveniunt expertae fuerint. Tum vero et neceſſitas et temporis diuturnitas eis morborum cauſam declarat. Atque adeo interdum dum non intelligunt quanam ex cauſa aegrotent, immedicabiles morbi evadunt, priusquam medicus ab aegrotante recte morbi cauſam ediſcat. Eas enim etſi cognoſcant, enunciare pudet, turpeque ſibi eſſe ob imperitiam et inſcitiam reputant. Simul etiam medici falluntur, cum morbi cauſam non exacte inveſtigant, ſed tanquam viriles curent, et multas vidi ab ejusmodi affectionibus conſumptas. Verum confeſtim exacte morborum cauſa perveſtiganda eſt. Multum enim muliebres morbi et viriles curatione diſcrepant. Si

Ed. Chart. VII. [763.] Foël. I. 612. 613. Ed. Lind. II. (471.)
τὴν ὀσφῦν ὀλγέει ἄλλοιε καὶ ἄλλοτε, καὶ πῦρ μιν ἐπιλαμβάνει δι' ὀλίγου. ἐπὴν δὲ ἀποκαθαρθῇ, ῥηϊστον δοκέῃ πρὸς τὰ πρόσθεν. ἔπειτα ἐς τὸ αὐτὸ καθίσταιαι, καὶ ἢν μελεδαίνηται ὡς χρὴ, ὑγιὴς ἔσται. ἢν δὲ μὴ, καὶ ὁ ῥόος ἐπιφαίνεται καὶ διὰ παντὸς τοῦ χρόνου αἰεὶ ῥεύσεται κατ' ὀλίγον οἷον ἰχὼρ, ἐπιμελείης πλείονος δέεται. || ἢν δὲ μὴ ῥόος ἐπιγένηται, ἀλλ' αἱ μῆτραι ὑπὸ τῶν πρόσθεν μὴ χαλάσωσι τὰ ἐπιμήνια, ἥ τε γαστὴρ οἱ μεγάλη ἔσται καὶ βρῖθος ἐνείη ὡς τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ δοκέῃ ὡσεί παιδίον ἐν τῇ γαστρὶ αὐτῆς κινέεσθαι, ἅτε τῶν μητρέων ὕδατος οὐ σέων πεπληρωμένων καὶ τοῦ ὕδατος κινουμένου. ἄλλοτε γὰρ καὶ ἄλλοτε κλυδάζεται αὐτῇσι τὸ ὕδωρ ὡς ἐν ἀσκῷ καὶ ἀλγεῖ φαυομένη τὸ κάτω τοῦ ὀμφαλοῦ, καὶ αἱ κληῖδες καὶ ὁ θώρηξ καὶ τὸ πρόσωπον καὶ τὰ ὄμματα καταλεπτύνεται καὶ αἱ θηλαὶ αἴρονται. ἔστι δὲ ἧσι μὲν ἥ τε κοιλίη καὶ τὰ σκέλεα πλήθει ὕδατος, ἧσι δὲ ἐς θάτερον τουτέων, καὶ ἢν μὲν ἄμφω πλησθῇ, οὐδεμία ἐλπὶς περιγενέσθαι τὴν ἄνθρωπον. ἔστι δὲ ἢν θάτερον, τούτων ἐλπίδες ὀλίγαι ἢν μελεδαίνηται καὶ μὴ λίην

que febris intra paucos dies occupat. Cumque repurgata fuerit, optime pro superiorum ratione habere videtur, postea in eundem relabitur statum. Quod si, ut convenit, diligens cura adhibeatur, convalescet. Alioqui et fluor muliebris apparet, et continuo per totum corpus velut sanies quaedam sensim profluet, tumque diligentiore cura opus est. Si vero fluor non succedat, sed uteri per haec quae prius inerant menses non relaxarint, et venter ei magnus reddetur et pondus tanquam praegnanti inerit, et in ejus ventre velut pueri motus sentietur, uteris nimirum aqua oppletis, et in iis aqua agitata. Subinde enim in iis aqua tanquam in utre fluctuat, et pars sub umbilico ad contactum dolet, jugulum, thorax, facies atque adeo oculi extenuantur et papillae attolluntur. Nonnullis quidem venter et crura aqua replentur, quibusdam vero horum alterum. Quod si ambo impleantur, nulla de mulieris vita spes supersit. Si vero horum alterum, est quoque spes reliqua exigua, si diligenter curetur, neque admodum fuerit affecta. Diuturnus autem

Ed. Chart. VII. [764.] Foes. I. 613. 614. Ed. Lind. II. (473.)
ὀρρὸν ἀφεψῶν, διδόναι ἐπιπίνειν ἡμέρας πέντε, ἢν δυνατὴ ᾖ. ἢν δὲ μὴ ᾖ ὀρρός, ὄνου γάλα ἕψειν, καὶ διδόναι πίνειν ἡμέρας τρεῖς ἢ τέσσαρας. μετὰ δὲ τὴν γαλακτοποσίην, ὕδατιν ἀνακομίσαι αὐτὴν καὶ σιτίοισιν ἐπιτηδείοισι, κρέασι μηλείοισιν, ἁπαλοῖσι, τένουσι καὶ ὀρνιθείοισι καὶ τευτλίῳ καὶ κολοκύντῃ ἀπεχέσθω δὲ τῶν ἁλμυρῶν καὶ δριμέων καὶ τῶν θαλασσίων πάντων καὶ κρεῶν χοιρείων καὶ βοείων καὶ αἰγείων. ὄρτυγος δὲ ἐσθιέτω. || ἢν δὲ ἀψυχίαι ἔχωσι καὶ μὴ ἰσχύῃ καὶ περιψύχηται, ῥόφημα λαμβάνειν. εἰσὶ δέ τινες, οἳ ταύτῃσι κεφαλὴν ἀλγεούσῃσι πιπίσκουσι γάλα, ὅτι κεφαλὴν ἀλγοῦσιν, οἱ δὲ ὕδωρ, ὅτι λειποθυμοῦσι. τἀναντία δὲ οἶμαι, εἰ κεφαλὴν ἀλγέουσι καὶ φρενῶν εἴη ἅψις ὁρμῶσον ὕδωρ, ὅτε δὲ δάκνεται καὶ δριμέα ἐστὶ, γάλα ταύτῃσιν εὐμενές. ἐπὴν δέ σοι δοκέῃ ἰσχύειν, κλύζειν τὰς ὑστέρας, πρῶτα μὲν τῷ ἀπὸ τῆς τρυγὸς, μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τρεῖς ἢ τέσσαρας κλύζειν τῷ σὺν τῷ κραμβίῳ χλιηρῷ, καὶ αὖθις διαλιπὼν ἡμέρας τρεῖς κλύσαι τῷ σὺν τῷ πικερίῳ, καὶ ἢν

decoctum quinque diebus, ſi ferre poſſit, ſuperbibendum dato. Sin ſerum deſit, lac aſininum coctum per tres aut quatuor dies potui praebeto. Poſt lactis potum eam aquis et cibis accommodatis reficito, carnibus ovillis tenellis juvenibus et aniculis, betaque et cucurbita. Abſtineat autem ſalſis, acribus et marinis omnibus, itemque porcinis carnibus, bubulis et caprinis. Panes autem comedat. Quod ſi animi deliquia detineant, neque ſit valida et perfrigeretur, ſorbitionem aſſumat. Nonnulli vero ſic capite dolentibus lac propinant, quod capitis dolore vexentur, quidam vero aquam quod animo linquantur. Ego contra, ſi capite doleant et mentis laeſio adſit, convenire aquam exiſtimo, cum vero morſus et acrimonia ineſt, his lac bene facit. Cum vero tibi validior eſſe videbitur, uteros colluito, primum quidem medicamento ex faece, poſt haec tribus aut quatuor intermiſſis diebus, braſſicae decocto tepido colluito, ac rurſus tribus intermiſſis diebus decocto cum butyro. Quod ſi his factis uteri ſanitati reſtituantur;

Ed. Chart. VII. [763. 764.] Foës. I. 613. Ed. Lind. II. (472. 473.)
ἢν δὲ αἱ μῆτραι ἑλκωθῶσιν, αἷμα καὶ πῦα καθαίρεται, καὶ ὀσμὴ βαρεία γίνεται, καὶ ὀδύνη ὀξεία λαμβάνει ἐς τὰς ἰξύας καὶ ἐς τοὺς βουβῶνας, καὶ ἐς τὴν τειμίρην γαστέρα, καὶ ἄνω φοιτᾷ ἡ ὀδύνη ἐς τοὺς κενεῶνας καὶ ἐς τὰς πλευρὰς καὶ ἐς τὰς ὠμοπλάτας. ἐνίοτε δὲ καὶ ἐς τὰς κληῖδας ἀφικνέεται, καὶ δάκνεται, καὶ κεφαλὴν ἀλγέει σφοδρῶς, καὶ παρανοεῖ. τῷ δὲ χρόνῳ ἀνοιδίσκεται πᾶσα, καὶ ἀσθενείη μιν λαμβάνει, καὶ ἀψυχίη, καὶ πυρετὸς λεπτὸς καὶ περίψυξις. οἰδίσκεται δὲ μάλιστα τὰ σκέλεα. ἡ [764] δὲ νοῦσος λαμβάνει ἐκ τρωσμοῦ, ἥτις ἂν διαφθαρεῖσα τὸ παιδίον ἐγκατασαπὲν μὴ ἐγκαθαρθῇ, καὶ τὸ σῶμα πᾶν πῦρ ἔχει. λαμβάνει δὲ καὶ ἐκ τῶν ῥόων, καὶ ἢν ἐπὶ σφέας δριμέα ἄν ᾖ καὶ χο(473)λώδεα δάκνει. ἢν οὕτως ἐχούσῃ ἐπιτυγχάνῃς, ἐπὴν μὲν αἱ ὀδύναι ἔχωσι, λούειν τε πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, καὶ ἢν μὲν ἄνω ὀδύναι ἔωσι καὶ ἰσχυρή ἐστιν ἡ γυνὴ, πυριήσασθαι ὅλην καὶ φάρμακον διδόναι κάτω πιεῖν. καὶ ἐπὴν ὥρη ᾖ τοῦ ἔτεος,

vero uteri ulcerati fuerint, una cum pure ſanguis expurgatur, gravis odor contingit et dolor acutus lumbos, inguina et infimum ventrem invadit, isque ſurſum ad laterum inanitates, coſtas et ſcapulas pervenit, interdumque ad jugulum pertinet, morſumque percipit et vehementem capitis dolorem, mensque alienatur. Temporis autem ſucceſſu tota intumeſcit, eamque debilitas, animi deliquium, febris levis et perſrigeratio occupat. Praecipue vero crura intumeſcunt. Morbus hic ex abortu prehendit, ſi qua corrupto et intus putreſcente puello, non expurgata fuerit, totumque corpus incendium occupat. Invadit etiam ex fluoribus muliebribus, ſique ad eos acria et bilioſa confluxerint, mordent. Si ita ſe habere offenderis, cum dolores quidem detinent, multa eaque calida lavare oportet, et tepefacientia qua parte dolor detinet admovere. Quod ſi dolor ad ſuperiores partes pertingit, validaque ſit mulier, totam foveto, eique medicamentum deorſum purgans bibendum exhibeto. Et ſi anni tempeſtas tulerit, ſerum lactis

Ed. Chart. VII. [764. 765.] Foës. I. 614. Ed. Lind. II. (474. 475.) πεφωσμένον, καὶ σήσαμον, καὶ κνίδης καρπὸν, καὶ γλυκυσίδης ῥίζαν τὴν πικρὴν τρίβων ἐν οἴνῳ εὐώδει μέλανι κεκρημένῳ. [765] ἢν αἱ μῆτραι ἑλκωθέωσιν καὶ αἷμα καὶ πῦον ῥέοι καὶ ἰχώρ. σηπομένων γὰρ τῶν μητρέων νόσημα ἀπ' αὐτέων γίνεται καὶ ἡ γαστὴρ ἡ νειαίρη ἐπαίρεται καὶ λεπτὴ γίνεται καὶ ἀλγέει ψαυομένη, ὡς ἕλκος, καὶ πῦρ ἔχει καὶ βρυγμὸς αὐτὴν, καὶ ὀδύνη ὀξείη καὶ σπερχνὴ, ἔς τε τὰ αἰδοῖα καὶ ἐς τὸ ἐπίσειον καὶ ἐς τὴν γαστέρα τὴν (475) νειαίρην καὶ ἐς τὸν κενεῶνα καὶ ἐς τὰς ἰξύας. ἡ δὲ νοῦσος λαμβάνει μάλιστα μὲν ἐκ τόκου, ἢν ἐν αὐτῇσί τι διακνησθὲν σαπῇ, καὶ ἐκ τρωσμοῦ, καὶ ἄλλως ἀπὸ ταυτομάτου. ταύτησιν ἢν ἐπιτυγχάνῃς, λούειν ἐν ὕδατι πολλῷ καὶ θερμῷ, καὶ ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, τοιαῦτα τὰ χλιάσματα προστιθέναι καὶ σπόγγον ἐξ ὕδατος θερμοῦ, καὶ κλύζειν, τὰ δριμέα καὶ τὰ στρυφνὰ ἀπεχομένην. τῶν δὲ μαλακωτέρων διάμισγε ὅκως δοκέῃ σοι καιρὸς εἶναι. τοῦ τε λίνου τὸν καρπὸν κόψας καὶ τῆς ἀκτῆς, συμμίξας δὲ ἐν μέλιτι καὶ ποιήσας φάρμακον, τούτῳ χρῶ. λοῦσον δὲ ὕδατι θερμῷ, καὶ λαβὼν σπόγγον ἢ εἰρίον μαλθακὸν βάπτων ἐς θερμὸν ὕδωρ διακάθαιρε τά τε

seſamum, urticae ſemen, poeoniae radicem amaram tritam, ex vino odorato nigro aqua temperato bibat. Si exulceratis uteris ſanguis cum pure et ſanie effluat, hic enim morbus ex his putreſcentibus oritur, venter imus intumeſcit et extenuatur, contactuque velut ulceratus dolet, febris et dentium fremitus eam detinet, dolorque acutus et aſſiduus ad pudenda, pubem, infimum ventrem, lateris inanitatem et lumbos urget. Morbus autem praecipue quidem ex partu invadit, ſi quid in ipſis dilaniatum computruerit, itemque in abortione et alias ſua ſponte. Sic affectas ubi nactus fueris, multa calida lavato et qua parte dolor detinuerit, ejusmodi tepefactoria et ſpongiam ex aqua calida ſupponito, acria et acerba vitando eluito, emollientibus admixtis prout opportunum tibi videbitur. Et ex lini ſemine et ſambuci fructu, cum melle mixto, medicamento comparato, eo utitor. Calida lavato et ſumpta ſpongia aut lana molli, aqua calente imbuta pudenda et ulcera repur-

Ed. Chart. VII. [764.] Foeſ. I. 614. Ed. Lind. II. (473. 474.)
ταῦτα ποιήσαντι ὑγιάζωνται αἱ ὑστέραι, κλύσαι τῷ ξὺν (474) τῷ σιδίῳ. ἐπὶ δὲ τὰ ἕλκεα ἐπιχρίειν ἀργύρεον ἄνθος, καὶ κικίδα, καὶ σμύρναν, καὶ λιβανωτὸν, καὶ τοῦ Αἰγυπτίου ἀκάνθου τὸν καρπὸν, καὶ οἰνάνθην τὴν ἀγρίην, καὶ χρυσοκόλλην, καὶ λεπίδα, καὶ λωτοῦ πρίσματα, καὶ κρόκον, καὶ στυπτηρίην Αἰγυπτίην κατακεκαυμένην. τούτων ἓν ἕστω ἴσον ἑκάστου. τὴν δὲ στυπτηρίην καὶ τὴν κικίδα καὶ τὸν κρόκον ποιῆσαι μίαν μοῖραν πάντων. τρίψας δὲ καὶ ξυμμίξας, πάντα λεῖα διεῖναι ἐν οἴνῳ λευκῷ γλυκεῖ. ἔπειτα ἕψειν, ἕστ' ἂν παχὺ γένηται οἷόν περ μέλι. τούτῳ δὲ ἐπαλείφειν δὶς τῆς ἡμέρης διδόναι, νιψαμένην ὕδατι χλιαρῷ. ἕψειν δὲ ἐν τῷ ὕδατι καὶ κισθὸν, καὶ ἐλελίσφακον. καὶ ἐπήν σοι δοκέῃ ταῦτα ποιέοντι ῥᾷον εἶναι, προπιεῖν γάλα ἔφθὸν αἴγειον, μίην ἡμέρην. ἔπειτα διδόναι γάλα βόειον, τὸν αὐτὸν τρόπον οἷον ἐπὶ τῇσι προτέρῃσι. μετὰ δὲ τὴν γαλακτοποσίην παχύνειν σιτίοισιν ὡς μάλιστα καὶ ποιέειν ὅκως ἐν τῇ γαστρὶ ἔχῃ. ὑγιὴς γὰρ γέγηται. ὡς δὲ τὰ πολλὰ ἐκ τῆς νούσου ταύτης ἐκφεύγουσι καὶ ἄτοκοι γίνονται. τῇσι δὲ γεραιτέρῃσιν οὐ πάνυ τι. πίνειν δὲ μετ' αὐτὰ φάρμακα, λίνου σπέρμα ἀπο-

medicamento quod ex malicorio paratur colluito. Ulcera autem argenti flore, galla, myrrha, thure, ſpinae Aegyptiae fructu, oenanthe ſilveſtri, chryſocolla, ſquama aeris, loti ramento, croco et alumine Aegyptio uſto illinito. Quorum ſingulorum una ſit aequalis portio, alumen autem et galla et crocus omnium portionem aequent. Trita vero et ad laevorem permixta omnia vino albo dulci diluito, deinde ad mellis craſſitudinem decoquito. Hoc ut illinatur bis quotidie exhibendum, ubi prius aqua tepida lota fuerit, in qua ciſthum et ſalviam decoxeris. Ex quibus ubi tibi melius habere videbitur, die uno lac caprillum coctum propinandum, deinde lac bubulum eodem quo in ſuperioribus modo exhibendum. Poſt lactis potum, cibis quam maxime incraſſandum et ut concipiat procurandum, ſanitati enim reſtituetur, fere autem ex hoc morbo evadunt et ſteriles redduntur. Haec vero ſanioribus raro accidunt. Poſt ea medicamenta lini ſemen torreſactum,

Ed. Chart. VII. [765. 766.] Foës. I. 615. Ed. Lind. II. (476.)

ρος εἶναι, καὶ πυριῇν βληχρῇσι πυρίῃσι, ἀνακαθίζοντα ὑφόθι, ἢν δοκέῃ ἑκάστοθι καιρὸς εἶναι. ταῦτα ποιέουσα ὑγιὴς γίνεται. ἡ δὲ νοῦσος βληχροτέρη καὶ θανατώδης, καὶ διαφεύγουσιν αὐτὴν παῦραι. ἢν δὲ ἕλκωθῶσι σφοδρῶς, αἷμα καὶ πῦον καθαίρεται, καὶ ὀδμὴ γίνεται βαρεῖα, καὶ ὁκόταν ἡ [766] ὀδύνη προσλάβῃ, ὡς ὑπὸ ὠδῖνος τὰ περὶ τὸν ῥόον γίνεται, καὶ ὁκόταν ὁ χρόνος ᾖ, τὰ σκέλεα καὶ οἱ πόδες οἰδέουσι, καὶ ἰῶνται τοῦτο οἱ ἰητροὶ ὡς ὕδρωπα. τὸ δὲ οὐκ ἔστι τοιοῦτον. ταύτην ἢν λάβῃς, λούειν πρῶτα θερμῷ, καὶ χλιαίνειν, καὶ κλύζειν δριμέσι καὶ μαλθακοῖσι καὶ στρυφνοῖσιν, ὕδατί τε καὶ οἴνῳ, καὶ πολύκαρπον καὶ πολύκνημον, καὶ μέλι ἕψων ὁμοῦ, εἶτα εἰρίον εἰς τοῦτο βάπτων, διαχρίειν τὰ αἰδοῖα, καὶ ῥητίνην καὶ μέλι καὶ συὸς ἔλαιον ἐγχρίειν καὶ πιπίσκειν λίνου καρπὸν, κμὶ σήσαμον φώξας καὶ βούτυρον καὶ τυρὸν αἴγειον, καὶ ἄλφιτον ἐν ἅπασι πιπίσκειν ἐν οἴνῳ νῆστιν. ἐφ' ἑσπέρην δὲ μέλιτι ἐπιχέων πουλὺ, καὶ ἕως μὲν ἂν τὸ αἷμα καθαίρηται καὶ ὀδύναι ὀξεῖαι ἔχωσι, καὶ

quantum neceſſarium videatur. Mulierque in alta ſella reclinata lenibus fomentis fovenda eſt, ſi occaſio crebro poſtulare videatur. Quibus factis ſana evadit. Hic autem morbus lentior eſt et lethalis, et ex quo paucae evadunt. At ſi vehementer ulcerati fuerint, ſanguis cum pure expurgatur, et gravis odor adeſt. Cumque dolor prehenderit, quae circa profluvium contingunt, velut partus dolores affligunt, temporisque ſucceſſu crura et pedes intumeſcunt. Ac huic tanquam hydropi medici medelam adhibent, cum tamen non ſit ejusmodi. Hujus curam cum ſuſceperis, imprimis calida lavato et caleſacito, acribusque et emollientibus, ac adſtringentibus ex aqua et vino colluito. Tum crataeogoni et polycnemi cum melle decocto, lana imbuta pudenda perlinenda, et reſina cum melle et adipe ſuillo illinenda. Propinandum etiam lini ſemen et ſeſamum torreſactum, cum caſeo caprillo, et polenta omnibus admixta. Haec autem jejunae ex vino propinanda. Ad veſperum autem magna mellis copia affundenda, iſtaque, quoad ſan-

Ed. Chart. VII. [765.] Foëſ. I. 614. 615. Ed. Lind. II. (475. 476.)
αἰδοῖα καὶ τὰ ἕλκεα. εἶτα ἐς οἶνον ἄκρητον ἐμβάπτων πάλιν τὸν σπόγγον ἢ τὸ εἰρίον τὸν αὐτὸν τρόπον χρῶ. ἔπειτα τῷ φαρμάκῳ τούτῳ ἐνάλειφε, ὁσάκις ἂν δοκέῃ σοι καιρὸς εἶναι. ἔπειτα ῥητίνην καὶ στέαρ ὕειον μίξας ὁμοῦ τῷ φαρμάκῳ διαλείφειν πολλάκις μεθ' ἡμέρην καὶ τῆς νυκτός. μετὰ δὲ ταῦτα λίνου σπέρμα φώξας καὶ κόψας καὶ σήσας, μήκωνα λευκὴν κόψας ἐν ἀλφίτοισι καὶ σῆσαι καὶ τυρὸν αἴγειον ὀπτὸν περιξύσας τὸ ῥῦπος καὶ τὴν ἅλμην, καὶ τὸ πικρὸν συμμίξας καὶ πάλην ἀλφίτου, εἶτα ἓν τοῦ φαρμάκου μέτρον καὶ τοῦ τυροῦ καὶ τοῦ ἀλφίτου τοῦτο διδόναι πίνειν ἐξ ἠοῦς νήστει ἐν οἴνῳ αὐστηρῷ κεκραμένῳ. || ἐς δὲ τὴν ἑσπέρην μίσγων καὶ παχὺν κυκεῶνα διδόναι καὶ τὸ γυναικεῖον ὅ τι ἂν μάλιστα προσδέχηται πιπίσκειν, καὶ μέχρι μὲν ἂν τὸ αἷμα πολὺ ῥέῃ καὶ ὀδύναι ὀξεῖαι ἔχωσι καὶ ὀλίγον χρόνον διαλίπωσι, ταῦτα ποιέειν. ἐπὴν δὲ (476) τὸ ἕλκος ἔλασσον ᾖ καὶ ὀδύναι βληχραὶ προσλαμβάνωσι καὶ διὰ πλέονος χρόνου, φάρμακα πιπίσκειν ὑφ' ὧν μέλλει καθαίρεσθαι κάτω μᾶλλον ἢ ἄνω. διαλείπειν χρόνον, ὁκόσον ἂν δοκέῃ ἐπίκαι-

gato. Deinde vino meraco rurſus imbuta ſpongia aut lana ad eundem modum utitor. Poſtea hoc medicamento quoties opportunum tibi videbitur inungito. Deinde reſina et adipe ſuillo ſimul mixtis, hoc medicamento ſaepe interdiu et noctu inungito. Poſt quae lini ſemen torreſactum, contuſum et cribratum, papaveris albi ſemen et polentam tuſam et cribratam et caſei caprilli toſti, ſorde et ſalſugine deraſa, amarum cum polentae polline permiſceto. Deinde unam medicamenti portionem et caſei et polentae, ſub auroram jejunae ex vino auſtero temperato propinato, veſperi vero ad mixtum cyceonem craſſum exhibeto et ex muliebribus potionibus quamcunque lubens admiſerit propinato. Et iſta quidem tantiſper dum copioſior ſanguis effluet, et acuti dolores detinuerint, paulumque intermiſerint facito. Ubi autem ulcus imminutum fuerit, et dolores leves longioreque tempore occupant, medicamenta ex quibus per inferiora potius quam per ſuperiora repurgari debeat propinato, intermiſſo tanto tempore,

Ed.Chart.VII.[766.767.] Foël.I.615.616. Ed.Lind.II.(477.478.) ροτάτη ἡ ἄνθρωπος. ἔσται δὲ ἢν αὐτὴν πυριῇς δι' ἡμέρης τρίτης ἢ τετάρτης ὅλον τὸ σῶμα, καὶ ἐμέτους ποιέῃς ἐκ τῶν πυριῶν εὐθύς. μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰς πυρίας διαιτῆν ἁλουσίῃσί τε καὶ ὑδροποσίῃσι καὶ ἀρτοσιτίῃσιν· ὄψῳ δὲ μηδενὶ ἀλλ' ἢ οἴνῳ ἀκρήτῳ μέλανι, λαχάνῳ δὲ μηδενί. ὅταν τὸν ἔμετον παρασκευάζῃς, τότε χρείην ἔχῃς λαχάνων πολλῶν καὶ δριμέων ἐμπιπλάναι, καὶ σιτίων πολλῶν καὶ ὄψου ὁκοίου ἂν βούλωνται, καὶ οἴνου πολλοῦ ἐμπιπλάναι ὑδαρέος, καὶ λούειν ἐκ τῶν πυριῶν πολλῷ θερμῷ. αὕτη μὲν θεραπείη τῶν τοιουτοτρόπων ῥευμά(478)των. ἄμεινον δὲ ἄμφω φαρμακεύειν, καὶ ἐμέειν καὶ ἄνω ἕλκειν. δίαιτα δὲ ξηραντικὴ κρέσσων καὶ ἁλουσίη. τὰς δὲ ὑστέρας χρὴ θεραπεύειν ὧδε. πρῶτα μὲν πυριῇν ὕδατι ἀκτῆς ἀφεψῶντα τὰ φύλλα· ἔπειτα μετὰ τὴν πυρίην κλύζειν ἐκ τῆς ἰλύος τῷ σμήγματι. || ἢν μὲν σηπεδὼν ἐν τοῖς ἕλκεσι ᾖ καὶ τὰ ἀπιόντα δυσώδεα, ἀκρητεστέρῳ τῷ σμήγματι· ἢν δὲ μηδὲν τοιοῦτον, [767] ὑδαρεστέρῳ. μετὰ δὲ τὴν ἰλὺν ὕδατι. ἐν δὲ

ex qua maxime ſicca mulier evadat. Quod continget, ſi tertio vel quarto quoque die toti corpori fotus adhibueris, et ab iis conſeſtim vomitiones citaveris. Poſt vomitiones autem et fotus victus rationem inſtituito, ut illota permaneat, aquae potu et pane in cibo utatur, opſonio vero nullo, praeterquam vino nigro meraciore, olere etiam nullo. Cum vero vomitionem paras, tum uſus eſt ut multis et acribus oleribus impleas, multis etiam cibis et opſonio quodcunque libuerit, necnon etiam vino aquoſo copioſo impleas, et a fotu multa calida lavet. Atque hac curatione ad hujusmodi fluxiones utendum. Praeſtat tamen in utrisque medicamenti purgantis potione uti, vomitiones ciere et ſurſum trahere. Melior quoque deſiccans victus ratio, ſine ullo balnei uſu. Ad uteros vero hanc curationem adhibeto. Primum quidem aqua in qua ſambuci folia incoxeris foveto, deinde poſt fotum ſmegmate ex vini faece colluito. Si quidem putredo in ulceribus adſuerit, et quae prodeunt graveolentia ſint, ſmegmate meraciore, ſin autem nihil tale adſit, dilutiore.

Ed. Chart. VII. [766.] Foëſ. I. 615. Ed. Lind. II. (476. 477.)
ὀλίγον χρόνον διαλίπωσι, τοῦτο ποιέειν. ὅταν δέ οἱ ἔλασσον ἴῃ καὶ ὀδύναι βληχρότεραι ἴσχωσι διὰ πλείονος χρόνου, φάρμακον πιπίσκειν κάτω καὶ διαλιπεῖν. ταῦτα (477) ποιέουσα ὑγιὴς γίνεται. γενεὴ δὲ οὐκ ἔτι. ὅσα δὲ ἕλκώματα γίνεται ἐν τῇσιν ὑστέρῃσιν ἀπὸ τρωσμοῦ ἢ ὑπ' ἄλλου τινὸς, ταῦτα χρὴ ἀποσκεπτόμενον εἰς τὸ ὅλον σῶμα θεραπεύειν πάντα, ὁκοίης ἂν δοκέῃ δέεσθαι θεραπείης, ἤν τέ σοι δοκέῃ ἐξ ἅπαντος τοῦ σώματος ἡ ἄνθρωπος θεραπευτέη εἶναι, ἤν τε ἀπ' αὐτέων. γνώσῃ δὲ εἰ ἀπ' αὐτέων τῶν ὑστερέων ἐστί. τὰ μὲν ἀπ' αὐτῶν τῶν ἑλκωμάτων τὴν κάθαρσιν παρέχει πυοειδέα τε καὶ ξυνεστηκυίην, τὰ δὲ μὴ ἀπ' αὐτέων λεπτήν τε καὶ ἰχωροειδέα. ὅσα μὲν οὖν ἐστι λεπτὰ τῶν ῥευμάτων, ταύτας μὲν χρὴ θεραπεύειν ἐν φαρμάκῳ, καὶ διδόναι καὶ ἄνω καὶ κάτω, πρῶτον δὲ ἄνω. καὶ ἢν μὲν μετὰ τὴν φαρμακείην τὰ ῥεύματα ἐλάσσω γίνεται καὶ εὐπετέστερα ἢ διαλείποντα, αὖθις φαρμακείειν τὸν αὐτὸν τρόπον. μετὰ δὲ τὴν φαρμακείην διαιτᾶν διαίτῃ τοιαύτῃ, ἐν ὁποίῃ ἂν εἴῃ μάλιστα ξη-

guis purgabitur et dolores acuti detinuerint, uſurpanda. Cum vero parcius prodierit et dolores leviores diutius detinuerint, aut aliquantulum intermiſerint, medicamentum deorſum purgans ex intermiſſione propinandum. Quibus factis convaleſcit, generationis tamen ſpes nulla adeſt. Quae in uteris exulcerationes ex abortione aut alia de cauſa oriuntur, eae omnes quocunque curationis genere opus eſſe videatur, habita totius corporis ratione curandae ſunt, ſive ex toto mulieris corpore petendam eſſe curationem exiſtimaveris, ſive ex ipſis uteris. An vero ab ipſis uteris, hoc pacto dignoſces. Quae quidem ab ipſis ulcerationes fiunt, purulentam et conſiſtentem purgationem reddunt, quae vero non ab ipſis, tenuem et ſanie permixtam. In quibus igitur fluxiones ſunt tenues, eas quidem medicamento curare oportet, et exhibere quod ſurſum ac deorſum purget, imprimis vero ſurſum. Quod ſi quidem poſt medicationem fluxiones pauciores et mitiores fuerint, aut intermittant, rurſus ad eundem modum medicamentum purgans exhibeto. Poſt medicationem autem eam victus rationem praeſcribito,

Ed. Chart. VII. [767.] Foël. I. 616. Ed. Lind. II. (478. 479.)
θερμοῖσι πολλοῖσι, μάζῃ, λαχάνοισιν ἐφθοῖσι πᾶσι λι-(479)
παροῖσιν. ἰχθύσι τοῖσι σελάχεσιν, ἐν κρομύοισι καὶ κορίοισιν
ἑψοντα ἐν ἅλμῃ γλυκείῃ. ἕψειν δὲ λιπαρῶς κρέασιν ἐφθοῖσι
πᾶσι, πλὴν βοὸς καὶ αἰγός. τούτοισι γὰρ διέφθοισιν ἐν
ἀνήθοισι καὶ μαράθροισιν. οἴνῳ μελιχρόῳ, κιρρῷ, ὑδαρεῖ
πλείονι γαλακτοποσίῃ μετ' οἴνου γλυκέος. τὰ δ' ἄλλα περὶ
τῶν κλυσμάτων ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον. αὕτη
μὲν νῦν περὶ τῶν τοιούτων ἡ θεραπείη. ὅσα δὲ πυοειδέα τε
καὶ ξυνεστεῶτα ἄπεισι, τούτων τὸ μὲν ὅλον σῶμα οὐδὲν
δεῖ κινέειν, κλύζειν δὲ καὶ ἀπὸ τούτων τὴν θεραπείην πᾶσαν
ποιέεσθαι. κλύζειν δὲ τοῖσιν αὐτέοισι κλύσμασιν οἷς πρό-
σθεν εἴρηται τὸν αὐτὸν τρόπον. γεγράψεται δὲ καὶ ἄλλα
κλύσματα. ἑλκῶν ἴησις. ἐλάφου στέαρ χλωρὸν προσθετόν.
κλύζειν δὲ χρὴ αὐτίκα οἴνῳ σιραίῳ, κράτιστον δὲ ψιμυθίῳ, ἢν
ἕλκεα ᾖ, καὶ ἐλαίῳ ναρκισσίνῳ. σιτίοισι δὲ μαλθακωτάτοισι
χρῆσθαι καὶ μὴ δριμέσιν. ἢν δὲ ῥερυπωμένα ᾖ καὶ νενέμην-

multis calidis, maza, oleribus coctis pinguibus omnibus, piſcibus cartilaginei generis, cum cepa et coriandro in muria dulci coctis utatur. Cum pinguedine autem multa coquendi ſunt. Carnibus omnis generis, excepta bubula et caprina. His enim cum aceto et foeniculo decoctis uti licet. Vino mellito, fulvo, aquoſo, liberaliore lactis potione cum vino dulci. In reliquo quae ad collutiones ſpectant juxta commemoratam rationem facienda. Atque ea quidem nunc eſt expoſita hujusmodi fluxionum curatio. In quibus autem purulenta et compacta defluunt, in his quidem totum corpus nullo modo movere oportet, ſed collutionibus uti et ex his totam curationem inſtituere. Ex collutionibus autem eaedem quae antea dictae ſunt nunc perficiendae eodemque modo. Deſcribentur vero etiam a nobis aliae paulo poſt. Haec etiam ulceribus medentur. Cervinus adeps recens in ſubdititio appoſitus. Colluere tamen quam primum ſapa oportet. Optimum etiam ceruſſam affundere, ſi ulcera adſint, et narciſſinum oleum. Cibis etiam molliſſimis et minime acribus utendum. Quod ſi ſordida fuerint et

Ed. Chart. VII. [767.] Foës. I. 616. Ed. Lind. II. (478.)

τῷ ὕδατι ἐναφεψεῖν μυρσίνην καὶ ἐλελίσφακον. μετὰ δὲ τοῦτο οἴνῳ κλύζειν ἀκρήτῳ λευκῷ χλιαρῷ. ὁκόταν δὲ δάκνηται ἤδη ὑπὸ τῶν κλυσμάτων, τότε ἤδη καθαρά ἐστι τὰ ἕλκεα. κλύζειν οὖν χρὴ ὑδαρεστέρῃ τῇ ἰλύϊ καὶ οἴνῳ μέλανι. μετὰ δὲ τὸν οἶνον πιμελὴν ὑὸς τήξαντα νεηρὴν ἔλαιον παραμίξαντα, ἢν μὲν ᾖ, χηνὸς, ἢν δὲ μὴ, ὄλλου του, μάλιστα ὄρνιθος. εἰ δὲ μὴ τὸ ἐκ τῶν ἐλαιῶν παλαιὸν, τούτῳ χλιαρῷ κλύζειν, μετὰ δὲ τὸν οἶνον ἐς ἕτερον κλυστῆρα ἐγχέαντα ἐς τὸ στόμα, καὶ ἢν μὴ ἑλκώμενα, μοτοὺς ποιοῦντας τῶν μαλθακτηρίων προστιθέναι, καὶ ἢν καῦμα παρέχωσι προσκείμενοι, ἀφελομένην τὴν γυναῖκα κελεύειν αὐτῇ ῥίψασθαι ὕδατι χλιαρῷ τοιούτῳ οἵῳ περ ἐκλύζετο. ἢν δὲ πρὸς τὴν δίαιταν τήνδε τὰ ῥεύματα μὴ ἀπαλλάσσηται, ἐλάσσω δὲ γένηται καὶ δάκνηται σφοδρῶς καὶ τὰ ἀποῤῥέοντα χολή τε εἴη καὶ ἅλμη, καὶ μὴ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἔξω ἕλκοι, μεταβάλλειν χρὴ τὴν δίαιταν καὶ ἐξυγραίνειν πᾶσαν, ὅκως τὰ ῥεύματα ὡς ὑδαρέστατα ἔσται καὶ ἥκιστα δηκτικά, λουτροῖσι

Poſt ſotum autem aqua, in qua myrtum et ſalviam incoquito. Poſt hoc vino mero, albo, tepido colluito. Cum vero a collutionibus mordetur, tum pura reddita jam ſunt ulcera. Faece igitur vini dilutiore et vino nigro colluere oportet. Poſt vinum adipem ſuillum recentem liquefacito, anſeris pinguedinem, ſi adſit, admiſceto, ſin minus, aliam quandam praecipueque gallinaceam. Quae ſi non adſuerit, vetuſtam aliquam pinguedinem ſumito, eaque tepida colluito. Poſt haec autem vinum per alteram collutionem ad os uteri infundito. Quod ſi ulceratum fuerit, penicillos ex emollientibus factos ſubdito. At ſi admoti ardorem excitarint, mulieri detrahere juſſae, ei ut aqua tepida lavet, quali colluebatur, imperato. At ſi ad hanc victus rationem fluxiones minime decedant, minores tamen ſint et vehementer mordeant, quaeque effluunt bilioſa fuerint et ſalſa, neque interiora tantum, ſed exteriora ulcerent, commutata victus ratione toto corpore humectanda erit, quo fluxiones quam dilutiſſimae et quam minimum mordaces evadant, balneis

Ed. Chart. VII. [768.] Foes. I. 616. 617. Ed. Lind. II. (480. 481.)
φθορῆς ἤν τε ἐκ τόκου αἱ μῆτραι ἕλκωθῶσι, καὶ εἰ τὰ λοχεῖα πάντα παριῆσαν, ἧσσον πονήσῃ, ἢν μὴ μεγάλα ἕλκεα εἴῃ, καὶ μελεδαινομένη ἐν τάχει ὑγιαίνει. || χρὴ δὲ τὴν μελεδὴν προσέχειν ἐν τάχει, ἢν ἕλκεα ἐν τῇ μήτρῃ ἔνι. ἅτε γὰρ ἐόντα ἐν ἁπαλῷ ταχὺ αὔξεται καὶ σαπρὰ ταχὺ γίνεται. ἰῆσθαι δὲ τὰ ἕλκεα, ὡς καὶ τὰ ἐν ἄλλῳ σώματι, ἀφλέγμαντα χρὴ ποιέειν καὶ ἀνακαθαίρειν καὶ ἀναπιμπλάναι καὶ ἐς ὠτειλὰς ἄγειν. διδόναι δὲ ὕδωρ εἰς πόσιν, οἶνον δὲ μὴ, σιτία παῦρα, πολλὰ δὲ μή. ὁκόσα δὲ τρωσμῶν γινομένων μὴ ἀπαλλάσσεσθαι δύναται μειζόνων ὅλων τε ἢ τῶν μελέων τῶν ἐμβρύων ἐόντων, ἢ ἐλασσόνων καὶ πλαγίων καὶ ἀδυνάτων τὰ τοιαῦτα, ἢν μὲν κατὰ φύσιν εἴῃ, διδόναι τῶν φαρμάκων τι ὧν ἐγὼ φράσω, προλούοντα θερμῷ παμπόλλῳ, κἢν ἐθέλοντα προϊέναι μὴ εὐλύ(481)τως ἀπίῃ κατὰ φύσιν ἐόντα, τῇσι τοιαύτῃσι τοῦ πταρμικοῦ προσφέρειν, ἐπιλαμβάνειν δὲ τὸν μυκτῆρα καὶ πτάρνυσθαι, καὶ στόμα πιέζειν, ὅκως ὁ πταρμὸς ὡς ὅτι μάλιστα ἐνεργήσῃ, χρῆσθαι δὲ καὶ σεισμοῖσι· σείοις δ' ἄν ὧδε. κλίνην λαβεῖν ὑψη-

aut ex partu uteri ulcerati fuerint, easdem commutationes eosdemque exitus morbus habet. Ac si omnia puerperii purgamenta emiserint, minor labor erit, nisi grandia ulcera fuerint. Quae si diligenter curetur, brevi convalescit. Ad curationem autem cito animum attendere oportet, si ulcera in utero fuerint. Nimirum enim cum tenello loco existant, celeriter increscunt brevique putrescunt. Ulcera vero curato non secus ac ea quae in reliquo corpore exoriuntur, studendo ut inflammatio arceatur, repurgentur, impleantur et ad cicatricem perducantur. Aqua autem non vinum potui dandum, cibique pauci non multi exhibendi. Qui vero foetus per abortiones liberari nequeunt, quod nimirum ii toti, aut eorum partes majores existant aut minores, sed transversi et imbecilles, siquidem ejusmodi sint secundum naturam, ubi prius calida multa laveris, ex his quae recensebo medicamentum aliquod exhibeto. Quod si exitu affectato non facile discedant, cum sint secundum naturam, iis sic habentibus sternutatorium aliquod adhibeto. Naribus

Ed. Chart. VII. [767. 768.] Foës. I. 616. Ed. Lind. II. (479. 480.)

τάι καὶ τὸν πελασσάτω χῶρον δακναίη, καθαίρειν καὶ νέαν σάρκα φῦναι καὶ ἐς ὠτειλὰς ἄγειν τὴν σάρκα, ῥηϊδίως γὰρ ἀναχαλᾶται καὶ κακοήθεα γίνεται, καὶ λούειν συχνῶς. ἢν δὲ γυνὴ ἐκ τρωσμοῦ τραῦμα λαμβάνῃ, ἢ προσθέτοισι δριμέσιν ἕλκωθῇ τὰς μήτρας, οἷα πολλὰ γυναῖκες ἀεὶ δρῶσί τε καὶ ἰητρεύουσι, καὶ τὸ ἔμβρυον φθαρῇ καὶ μὴ καθαίρηται ἡ γυνὴ, ἀλλά οἱ αἱ μῆτραι φλεγμήνωσιν ἰσχυρῶς καὶ μεμύκωσι καὶ τὴν κάθαρσιν οὐχ οἷαί τε ὦσι παραμεθιέναι, εἰ μὴ τὸ (480) πρῶτον αἷμα τὸ ἐν τῷ ἐμβρύῳ, αὕτη ἢν μὲν ἰητρεύηται ἐν τάχει, ὑγιὴς ἔσται, ἄφορος δέ. ἢν δέ οἱ ῥαγῇ αὐτόματα τὰ λοχεῖα καὶ τὰ ἕλκεα ὑγιανθῇ, καὶ ὧδε ἄφορος ἔσται, [768] ἢν δέ οἱ ἡ μὲν κάθαρσις γένηται, τὰ δὲ ἕλκεα μὴ μελεδαίνηται, κίνδυνος σηπεδονώδεα εἶναι. ἢν δέ οἱ κάθαρσις ἴῃ τετρυχωμένη, θνήσκει, κἢν ἐν τῷ τόκῳ κάρτα ἕλκωθέωσι καὶ αἱ μῆτραι τοῦ ἐμβρύου μὴ κατὰ φύσιν ἐόντος, πείσονται τὰ αὐτὰ τῇ ἐκ διαφθορῆς ἕλκωθείσῃ τὰς μήτρας, καὶ μεταλλαγὰς καὶ τελευτὰς τὰς αὐτὰς ἡ νοῦσος ἴσχει, ἤν τε ἐκ δια-

ſerpant, proximumque locum mordeant, purgato, carnemque novam producito, eamque ad cicatricem perducito, facile enim relaxantur et ad malignitatem deveniunt, crebroque lavato. At ſi mulier ex abortione vulnus accipiat, aut ex acribus ſubditis medicamentis exulcerentur uteri, qualia multa mulieres ſemper dum ſibi medentur ſentiunt, foetusque corruptus fuerit, neque mulier expurgetur, verum ei uteri vehementi inflammatione laborent et conniveant, neque purgationem niſi prius emiſſo ſanguine qui eſt in foetu effluere ſinant. Haec ſiquidem curetur, brevi convaleſcit, ſterilis tamen eſt. Quod ſi ei ſponte puerperii purgamenta eruperint, ulceraque curata fuerint, ſic quoque ſterilis erit. Si vero ei quidem purgatio contingat, ulcera vero minime ſedulo curentur, periculum eſt ne putredinoſa exiſtant. At ſi ei jam morbo attritae purgatio continenter eat, moritur. Quod ſi in partu foetu non ſecundum naturam prodeunte uteri etiam vehementer exulcerati fuerint, eadem patientur quae illa cui ex foetus corruptione uteri ulcerati fuerint. Sique ex foetus corruptione

Ed. Chart. VII. [768. 769.] Foes. I. 617. Ed. Lind. II. (481. 482.)
σπασμὸς ᾖ, σείειν δὲ ἅμα τῇ ὠδῖνι μάλιστα. καὶ ἢν μὲν ἀπαλλάσσηται, αὐτίκα πεπαῦσθαι, εἰ δὲ μὴ, διαλαβόντα σείειν, καὶ αἰωρέειν ἐπὶ κλίνης φερομένην. ταῦτα μὲν οὖν οὕτως ποιέσθαι, ἢν ὀρθά τε καὶ κατὰ (482) φύσιν ἀπαλλάσσηται. χρὴ δὲ κηρωτῇ ὑγρῇ προχρίειν, ἐπὶ πάντων δὲ τῶν ἀμφὶ τὴν ὑστέρην τοιῶνδε παθέων ἄριστον τόδε, καὶ [769] μαλάχης ὕδωρ καταιονᾶν, καὶ βουκέρας ἢ πτισάνης πυρίνης μᾶλλον χυλός. χρὴ δὲ ἄχρι βουβῶνος ἕδρην καὶ αἰδοῖον πυριῆν, καὶ ἐνίζεσθαι δὲ, ὅταν αἱ ὠδῖνες σφόδρα ὀχλέωσι μάλιστα, καὶ μηδὲν ἐν νόῳ ἕτερον ἔχειν. τὴν δὲ ἰητρεύουσαν τὰ στόματα μαλθακοῖσιν ἐξανοίγειν, καὶ ἠρέμα τοῦτο δρᾶν, ὀμφαλὸν δὲ ξυνεφέλκεσθαι τὸ ἔμβρυον. ὅσα δὲ δίπτυχα πτύσσεται καὶ ἔγκειται ἐν τῷ στόματι τῶν ὑστερέων, ταῦτα δὲ, ἢν τε ζώοντα ἢν τε τεθνεῶτα ᾖ, προώσαντα ὀπίσω πάλιν στρέφειν, ὅκως κατὰ φύσιν ἴῃ ἐπὶ κεφαλήν. ὅταν δὲ ἀπωθέειν βούλῃ ἢ στρέφειν, ἀνακλίναντα χρὴ ὑπτίην ὑπὸ τὰ ἰσχία ὑποστορέσαι τι μαλθακὸν καὶ ὑπὸ τοὺς

mul ac partionis dolores urgent. Quod ſi foetus quidem deceſſerint confeſtim ceſſandum, alioqui per intervalla concutienda et ſuſpenſa in lecto continenda. Haec igitur ad hunc modum facienda, ubi recte et ſecundum naturam decedunt. Cerato autem liquido prius illinere oportet. Id autem in omnibus ejusmodi circa uterum affectionibus eſt optimum, et malvae ac foenigraeci decoctum ad perfundendum, aut potius ptiſanae triticeae cremor; fovere etiam ſedem et pudendum ad inguina usque oportet, et inſeſſus parandi, idque tum vel maxime, cum vehementes parturiendi dolores urgebunt, nihilque aliud animo agitandum. Eam vero quae manus medicas adhibet, oſcula emollientibus dilatare oportet, idque ſenſim facere, umbilicum vero una cum foetu extrahere. Qui vero conduplicantur foetus et in uterorum oſculum incumbunt, eos ſive vivos, ſive mortuos retro protruſos iterum vertere oportet, ut in caput prodeant ſecundum naturam. Cum autem retro protrudere aut vertere voles, ſupinae reclinatae molle quiddam coxis ſubſternere

Ed. Chart. VII. [768.] Foës. I. 617. Ed. Lind. II. (481.)

λὴν ῥωμαλέην καὶ ὑποστορέσαντα ἀνακλίνειν τὴν γυναῖκα ὑπτίην, τὰ δέ γε στήθεα καὶ τὰς μασχάλας καὶ τὰς χεῖρας προκαταλαμβάνειν ταινίῃ ἢ ἱμάντι πλατεῖ μαλθακῷ πρὸς τὴν κλίνην καὶ ζωννύειν, καὶ τὰ σκέλεα ξυγκάμψαι καὶ κατέχειν ἱστοῖν σφυροῖν, ὅταν δὲ εὐτρεπίσῃς φρυγάνων φάκελον μαλθακῶν, ἤ τι τῷδε ἐοικὸς εὐτρεπίζειν ὅσον τὴν κλίνην οὐ περιόψεται ἐπὶ τὴν γῆν ῥιπτουμένην, ὥστε ψαῦσαι τοῖσι πρὸς κεφαλὴν ποσὶ τῆς γῆς, καὶ κελεύειν αὐτὴν λαβέσθαι τῇσι χερσὶ τὴν κλίνην καὶ μετέωρον πρὸς κεφαλὴν τὴν κλίνην ἔχειν, ὡς κατάῤῥοπος ᾖ ἐπὶ πόδας, φυλασσόμενος ὅκως μὴ προπετὴς ἔσται ἡ ἄνθρωπος. ὅταν δὲ ταῦτα ἐνεργῆται καὶ μετάρσιος ᾖ ἡ κλίνη, ἐκ τῶν ὄπισθεν ὑποθεῖναι τὰ φρύγανα, κατορθοῦσθαι δὲ ὡς μάλιστα. ὅκως δὲ οἱ πόδες μὴ ψαύωσι τῆς γῆς, ῥιπτουμένης τῆς κλίνης καὶ τῶν φρυγάνων ἔσωθεν ἔσονται, αἴρειν δὲ ἐξ ἑκατέρου τοῦ ποδὸς ἄνδρα τῇδε καὶ τῇδε, ὡς κατ' ἰθὺ πεσῆται ἡ κλίνη ὁμαλῶς καὶ ἴσως καὶ μὴ

autem apprehenſis et ore compreſſo ſternutandum, quo quam maxime fieri poterit efficax ſternutatio reddatur. Concuſſionibus etiam utendum, quas hoc modo parare poſſis. Lecto alto, firmo et ſubſtrato mulierem ſupinam reclinato. Pectus autem et axillas et brachia faſcia aut loro lato et molli velut cingulo comprehenſa, ad lectum alligato et crura recurvata malleolis vinculis injectis contineto. Quae cum adornaveris, mollium virgultorum aridorum faſcem, aut aliquid hujus perſimile, tam belle diſponito ut lectum in terram projectum non ſinat pedibus qui ad caput ſunt terram attingere. Tum eam manibus lectum apprehendere jubeto et lectum a capite ſublimem habere, ut in pedes propendeat, ea cautione adhibita, ut ne mulier praeceps feratur. Haec autem dum ita parata fuerint et lectus in ſublime erectus, a poſteriore parte virgulta arida ponenda et quam maxime dirigenda, ut dum lectus projicitur pedes terram minime attingant, ſed intra virgulta arida contineantur. Ab utroque vero pede hinc et illinc vir unus eam attollat, ut lectus recta decidat plano et aequabili momento, ne quid in eo divellatur. Concutiendum autem maxime ſi-

Ed. Chart. VII. [769. 770.] Foës. I. 618. Ed. Lind. II. (483.)
μὴ οἷόν τε ᾖ, ἀνοιδίσκηται δὲ, τάμνειν τῷδε τῷ τρόπῳ σχίσαντα τὴν κεφαλὴν μαχαιρίῳ ξυμφλάσαι, ἵνα μὴ θραύσῃ τῷ πιέστρῳ, καὶ τὰ ὀστέα ἕλκειν, ὥστε ὀλίγῳ ἢ τῷ ἕλκυστῆρι παρὰ τὴν κληῖδα καταθέντα ὡς ἂν ἔχηται ἕλκειν, μὴ κατὰ πουλὺ, ἀλλὰ κατ' ὀλίγον ἐξανιέντα καὶ αὖθις βιώμενον. ὅταν δὲ ταῦτα ἔξω εἰρύσῃς, ἐν δὲ τοῖσιν ὤμοισιν ἐνῇ, τάμνειν τὰς χεῖρας ἄμφω ἐν τοῖσιν ἄρθροισι μετὰ τῶν ὤμων, καὶ ὅταν ταῦτα κομίσῃς, ἢν μὲν οἷόν τε ᾖ, ἰέναι καὶ τἄλλα εὐπετῶς ἕλκειν, ἢν δὲ μηδὲν ἀκούσῃ, τὸ στῆθος πᾶν μέχρι τῶν σφαγέων σχίζειν. φυλάσσεσθαι δὲ ὡς μὴ κατὰ τὴν γαστέρα τάμῃς, καὶ ψιλώσῃς τι τοῦ ἐμβρύου, ἔξεισι γὰρ ἡ γαστὴρ καὶ τὰ ἔντερα [770] καὶ κόπρος. ἢν δέ τι τούτων ἐκπέσῃ, πραγματοειδέστερον ἤδη γίνεται. ξυμφλάσαι δὲ τὰ πλευρὰ καὶ τὰς ὠμοπλάτας ξυνάγειν, καὶ ῥηϊδίως μετὰ ταῦτα χωρήσει τὸ λοιπὸν ἔμβρυον, ἢν μὴ ἤδη οἰδαλέον ᾖ τὴν κοιλίην. ἢν γὰρ ᾖ τι τοιοῦτον, ἄμεινον τὴν γαστέρα τοῦ ἐμβρύου τρῆσαι πρηέως, ἔξεισι γὰρ φῦσα μόνον ἀπὸ τῆς γαστρὸς καὶ

que in caput convertere. Sin minus hoc fieri poſſit, ſed intumeſcant, ad hunc modum ſecato. Caput gladiolo diſſectum, inſtrumento quod confringat, *πίεστρον* dicitur, comminuito et officula per oſſium volſellam extrahito aut unco attractorio ad claviculam, uti firmiter adhaereat, immiſſo non confeſtim, ſed paulatim remittendo et rurſus adurgendo extrahito. Ubi haec foras extraxeris et in humeris haeſerit, utraque brachia cum humeris ad ipſos articulos ſecato. Cumque ea abſtuleris, ſi fieri quidem poſſit ut exeant, reliqua etiam prompte extrahito. Quod ſi nihil cedit, pectus totum ad jugulum usque diſſecato, ea tamen cautione ut ne ad ventrem ſectione penetres et aliquam in foetu ejus partem denudes. Excidit enim venter et inteſtina atque etiam ſtercus. Et ſi quid horum excidat, magis negotium faceſſit. Coſtas autem contundito et ſcapulas conducito, poſteaque reliquus foetus facile prodibit, niſi jam circa ventrem intumeſcat. Si quid enim ejusmodi evenerit, foetum ventrem leviter perforare praeſtiterit. Flatus enim tantum

Ed. Chart. VII. [769.] Foës. I. 617. 618. Ed. Lind. II. (482. 483.) πόδας τῆς κλίνης, ὅκως ὑψηλότεροι ἔσονται οἱ πρὸς ποδῶν πόδες συχνῷ ὑποτιθέναι χρή τι. καὶ ἀνωτέρω δὲ τὰ ἰσχία τῆς κεφαλῆς ἔστω, προσκεφάλαιον δὲ μηδὲν ὑπέστω τῇ κεφαλῇ προμηθεόμενος ταῦτα. ὅταν δὲ ἀπώσηται τὸ ἔμβρυον καὶ περιδινῆται τῇδε καὶ τῇδε, κατὰ φύσιν καθίστασθαι, καὶ τὴν κλίνην καὶ τὰ ἰσχία ὑπεξελὼν τὰ ὑπὸ τοὺς πόδας τῆς κλίνης καὶ τοὺς λίθους καὶ τὸ ὑπὸ τῶν ἰσχίων. || πρὸς κεφαλὴν δὲ ὑποθεῖναι ὑποκεφάλαιον, τὰ τοιαῦτα τούτῳ τῷ τρόπῳ θεραπεύειν. ὅσα δὲ ζῶντα τῶν ἐμβρύων τὴν χεῖρα ἢ τὸ σκέλος ἔξω προβάλλεται ἢ καὶ ἄμφω, ταῦτα χρὴ, ὅταν τάχιστα προσημαίνῃ τὴν ἔξοδον, εἴσω ἀπωθέειν τῷ προειρημένῳ τρόπῳ, καὶ στρέφειν ἐπὶ κεφαλὴν, καὶ ἐς ὁδὸν ἄγειν. καὶ ὅσα πτύσσεται τῶν ἐμβρύων πε(483)πτηότα ἢ ἐς τὸν κενεῶνα ἢ ἐς ἰσχίον ἐν τῷ τόκῳ, χρὴ ταῦτα ἀπορθοῦσθαι καὶ στρέφειν καὶ προσκαθίγνυσθαι ἐς ὕδωρ θερμὸν, ἄχρις ἂν ἰαίνηται. ὁκόσα δὲ τεθνεῶτα τῶν ἐμβρύων ἢ τὸ σκέλος ἢ τὴν χεῖρα ἔξω ἔχει, ταῦτα ἄριστον μὲν, ἢν οἷόν τε, ἀπώσασθαι εἴσω, καὶ ἄμφω ταῦτα ἐπὶ κεφαλὴν στρέφειν, εἰ δὲ

oportet, atque etiam lecti pedibus aliquid ſupponere, quo altiores a pedibus decumbentis eſſe queant. Quin etiam ut coxae capite ſint altiores, nullum vero capiti cervical ſubſit, ad ea proſpiciendum. Cum vero retro protruſus foetus huc et illuc circumagatur, ſublatis lapidibus pedibus lecti ſuppoſitis et eo quod coxis ſubditum fuerat et lectum et coxas in priſtinum ſtatum reſtituito, capitique pulvinar ſupponito, iſtaque ad hunc modum curato. At vero qui brachium, aut crus, aut utrumque vivi foetus foras emittunt, eos oportet ſimul ac de exitu ſignificationem fecerint, prius commemorato modo intro retrudere, in caput obvertere, et in viam adducere. Nec non eos foetus, qui complicati in partu in lateris inanitatem aut in coxam illapſi ſunt, dirigere ac convertere oportet, praetereaque in aquam calidam ſedentem collocare, donec perfundatur. Quibus vero mortuis aut crus aut brachium foras prominet, haec quidem optimum fuerit intro, ſi fieri poſſit, retrudere et utra-

Ed. Chart. VII. [770.] Foes. I. 618. 619. Ed. Lind. II. (484. 485.) οὐδὲ γὰρ οἵη τέ ἐστι περιγενέσθαι· ἢν δὲ πολλαὶ, ῥήγνυται αὐτέη κατὰ τὸ αἰδοῖον, αἷμά τε πολὺ καὶ σαρκώδες, καὶ ἢν μετριάζῃ, σώζεται· ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. τὸ μὲν νούσημα τοιοῦτόν ἐστι. κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι καὶ ὅτι οὐ κινέεται ἐν τῇ γαστρί. τὸ μὲν γὰρ ἄρσεν τρίμηνον, τὸ δὲ θῆλυ τετράμηνον τὴν κίνησιν ἔχει. ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ κινέηται, δηλονότι τοῦτό ἐστι. ἔστι δὲ τόδε τεκμήριον μέγα· ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. ταύτην (485) μάλιστα μὲν ἰῆσθαι. || καὶ πρῶτα μὲν πηρίησον ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσον, ὅκως αἷμα καταῤῥαγῇ πουλύ· καὶ γὰρ ἴσως ἂν κινήσαις τὸ ἔμβρυον δοκοῦν εἶναι τὸ ξυνεστηκὸς, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, ὅκως ἂν αἷμα ἀγάγῃς· εἰ δὲ μὴ, προσθέτοισι χρῆσθαι τοῖσιν ἀπὸ τῆς βουπρήστιος ἰσχυροτάτοισι, καὶ πιπίσκειν τὸ δίκταμνον τὸ Κρητικὸν ἐν οἴνῳ· εἰ δὲ μὴ, καὶ τὸν καστόριον ὄρχιν. καὶ ὄπισθεν αὐτῇ σικύην προσβάλλειν πρὸς τοὺς κε-

esse potest. Sin vero multae, copiosus ei sanguis et carnosus per pudendum erumpit. Quod si id moderate fiat, servatur; alioqui profluvio correpta perit. Atque ea quidem est hujus morbi conditio. Discernere autem oportet plenitudine, quodque in ventre non moveatur. Mas enim tertio mense, foemina vero quarto motionem habere consuevit. Ubi igitur elapso tempore non movetur, profecto morbus est. Est et hujus rei magnum argumentum, quod lac in mammis non gignitur. Hanc potissimum quidem curato, imprimisque totius corporis foribus, deinde per infusum sedem eluito, quo copiosus sanguis erumpat. Fortassis enim muliere a medicamento concalefacta foetum ipsum commoveris, cum quid concretum esse putetur. Quin etiam per infusum uteros eluito, quo sanguinem educas. Sin minus, subdititiis medicamentis vehementissimis ex bupresti utitor et dictamnum Creticum ex vino propinato, alioqui vero castoris etiam testem. Eique cucurbitulam parte postica ad laterum inanitatem admoveto, co-

Ed. Chart. VII. [770.] Foëſ. I. 618. Ed. Lind. II. (483. 484.)
εὐπετέως οὕτω χωρήσει. ἢν δὲ ἐκπεπτώκῃ ἡ χεὶρ ἢ τὸ σκέλος τεθνεῶτος τοῦ ἐμβρύου, ἢν μὲν δυνατὸν ᾖ, εἴσω ἀπῶσαι (484) ἄμφω καὶ εὐτρεπίσαι τὸ ἔμβρυον, ταῦτα ἄριστα· εἰ δὲ μὴ οἷόν τε ᾖ τοῦτο ποιῆσαι, ἀποτάμνειν ὅ τι ἂν ἔξω ᾖ ὡς ἂν δύνηται ἀνωτάτω, καὶ τοὐπίλοιπον ἐομασάμενος προῶσαι καὶ στρέψαι τὸ ἔμβρυον ἐπὶ κεφαλήν· ὅταν δὲ στρέφειν ἢ κατατέμνειν μέλλῃς τὸ παιδίον, τὰς ἰδίας χεῖρας χρὴ ἀπονυχίσασθαι, τὸ δὲ μαχαίριον ᾧ ἂν κατατάμῃς καμπυλώτερον ἔστω ἢ εὐθύτερον, καὶ τοῦτο κατὰ κεφαλὴν ἀμφικαλύπτειν τῷ λιχανῷ δακτύλῳ ἐσματεύμενον καὶ ὁδηγεῦντα καὶ ὀρρωδέοντα, ὅπως μὴ ψαύσῃς τῆς ὑστέρης. περὶ δὲ μύλης κυήσιος τόδε αἴτιον· ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδη ξυλλάβωσιν, οὔτε κύημα ἰθαγενὲς γίνεται, καὶ ἡ γαστὴρ πλήρης ὥσπερ κυούσης. κινέεται δὲ οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσι ἐγγίνεται, σφριγᾷ δὲ τὸ στῆθος. αὕτη οὖν δύο ἔτεα, πολλάκις δὲ καὶ τρία οὕτως ἔχει. καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται·

ex ventre erumpit atque ita facile prodibit. At ſi mortui foetus brachium aut crus foras excideril, utraque, ſi fieri quidem poſſit, intro retrudito et foetum recte conſtituito, idque mihi videtur optimum. Si vero id fieri nequeat, quicquid foris prominet, quam penitiſſime fieri poterit reſecato et reliquum manu alte immiſſa protrudito et foetum in caput vertito. Cum autem puellum invertere aut excindere voles, ungues e tuis manibus reſecato. Gladiolus autem quo excindes incurvus ſit potius quam rectus. Cujus caput circumtegito, digito indice leniter pertractando, eumque praemittendo, veritus ne uterum attingas. At molae conceptus haec cauſa eſt. Ubi copioſi menſes extiterint et paucum ac morboſum ſemen conceperint, et minime genuinus conceptus gignitur et venter tanquam utero gerentis impletur. Nihil autem in ventre movetur, neque in mammis lac innaſcitur, pectus vero turgeſcit. Haec igitur biennium, ſaepe etiam triennium ſic affecta eſt. Et ſi quidem una caro naſcatur, mulier perit. Neque enim ſuper-

Ed. Chart. VII. [771.] Foës. I. 619. Ed. Lind. II. (486.)

κατὰ λόγον ἡ κάθαρσις γίνεται τούτων τῶν ἡμερέων καὶ ἐπὶ τῆσιν νεωτέρῃσι φθαρεῖσιν ἐλάσσονας ἡμέρας, ἐπὶ δὲ τῇσι γεραιτέρῃσι πλέονας. παθήματα δὲ ταῦτά ἐστι περὶ λοχείων φθαρείσῃ τε τὸ ἔμβρυον καὶ τεκούσῃ, ἢν μηνιαῖον φθείρῃ τὸ παιδίον. καὶ κινδυνεύουσιν αἱ φθείρουσαι μᾶλλον. αἱ γὰρ φθοραὶ τῶν τόκων χαλεπώτεραί εἰσιν. οὐ γάρ ἐστιν οὐ βιαίως φθαρῆναι τὸ ἔμβρυον ἢ φαρμάκῳ ἢ ποτῷ ἢ βρωτῷ ἢ προσθέτοισιν ἢ ἄλλῳ τινί. βίη δὲ πονηρόν ἐστιν. ἐν γὰρ τῷ τοιούτῳ κίνδυνός ἐστι τὰς μήτρας ἑλκωθῆναι ἢ φλεγμῆναι. τοῦτο δέ ἐστιν ἐπικίνδυνον. τὸ δὲ γάλα ὅκως γίνεται εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου τοῦ ἐν τόκῳ. ἐπὴν δὲ κυΐσκηται ἡ γυνὴ, καταμήνια οὐ μάλα χωρέει πλὴν ἔστι ἧσιν ὀλίγα. τρέπεται γὰρ ἐς τοὺς μαστοὺς τὸ γλυκύτατον τοῦ ὑγροῦ ἀπό τε τῶν σιτίων καὶ τῶν ποτῶν καὶ ἐκθηλάζεται. καὶ ἀνάγκη ἐστὶ καὶ τὸ ἄλλο σῶμα κενοῦσθαι μᾶλλον, καὶ ἧσσον πλῆρες γίνεται τοῦ αἵματος. τοῦτο οὕτως γίνεται. εἰσὶ δὲ αἵτινες φύσει ἀγάλακτοί εἰσι, καὶ σφέας

dierum ratione purgatio contingit et junioribus quae abortionem faciunt paucioribus diebus, ſenioribus vero pluribus. Eaedem autem ſunt puerperii purgamentorum affectiones, tum ei quae foetus corrupit tum ei quae peperit, ſi menſtruum foetum corruperit, periclitantur tamen magis quae foetum corrumpunt. Abortiones enim majorem moleſtiam quam partiones afferre ſolent. Neque enim citra violentiam abortio contingit, ſive ex medicamento, ſive potione vel cibo, vel ſubditiis medicamentis, vel ex re alia quapiam contingat. Vis autem mala eſt. Hoc enim caſu periculum eſt ne uterus ulceretur, aut inflammationem contrahat, quod eſt periculi pleniſſimum. Lac autem quomodo gignatur a nobis dictum in puelli natura qui partu editur. Ubi autem praegnans eſt mulier, ei menſes fere prodire non ſolent, praeterquam nonnullis pauci. Quod enim ex cibo ac potione in ſanguine eſt dulciſſimum, ad mammas vertitur et velut exugendo trahitur. Reliquumque corpus magis vacuari minusque ſanguine redundare neceſſe eſt. Quod hoc modo contingit. Sunt autem quaedam quae natura lac

Ed. Chart. VII. [770. 771.] Foës. I. 619. Ed. Lind. II. (485. 486.)
νεῶνας καὶ ἀφαιρέειν ὅτι πλεῖστον αἷμα. πρόσβαλλε δὲ καὶ ὅτι μάλιστα τεκμαιρόμενος τὰ κατ' αὐτάς. [771] καὶ τοσοῦτον μὲν περὶ τῶν νοσημάτων τῶν ἀπὸ λοχείων γινομένων εἴρηται. εἰσὶ δὲ οἱ κίνδυνοι ἐν αὐτοῖσιν οὐ σμικροί. ὀξέα γάρ ἐστι καὶ ταχὺ μεταλλάσσοντα, καὶ μᾶλλον πονοῦνται αἱ πρωτοτόκοι ἢ αἵτινές εἰσιν ἔμπειροι τόκων. χωρέει δὲ τὰ λοχεῖα τῇ ὑγιηρῇ γυναικὶ ἱκανὸν ὅσον Ἀττικὴ κοτύλη καὶ ἡμίσεια τὸ πρῶτον ἢ ὀλίγῳ πλέονα, ἔπειτα ἐπὶ ἐλάσσονα κατὰ λόγον τούτου, μέχρις ἂν παύσηται. χωρέει δὲ οἷον αἷμα ἀπὸ ἱερείων, ἢν ὑγιηρὴ, ὡς ἔφην, ἡ γυνὴ ᾖ καὶ μέλλῃ ὑγιαίνειν. καὶ ταχὺ πήγνυται καὶ καθαίρεται, καὶ μετὰ τὸν τόκον, ὡς ἐπὶ τὸ πλέον τῇ ὑγιηρῇ ξυμβαίνει. ἐπὶ μὲν τῇ κούρῃ ἡμέρας τεσσαράκοντα καὶ δύο τὴν χρονιωτάτην κάθαρσιν. ἀκινδύνως δέ ἐστι καὶ εἴκοσιν πρὸς ταῖς πέντε ἡμέραις καθαιρομένη. ἐπὶ δὲ τοῦ κούρου ἡμέρας τριήκοντα ἡ κάθαρσις γίνεται ἡ χρονιωτέρη. ἀκίνδυνος δέ ἐστι καὶ (486) εἴκοσιν ἡμέρας γινομένη. καὶ τῶν διαφθαρεισῶν τὰ ἔμβρυα

pioſumque ſanguinem detrahito. Idque facito quam maxime adhibita illarum conditionis ratione. Atque haec quidem de morbis ex puerperiorum purgamentis obortis dicta ſunt. In quibus non parva inſunt pericula. Acuti enim ſunt et qui cito transmutantur, graviusque affliguntur quae primum pariunt quam quae jam partionem expertae ſunt. Feruntur autem puerperii purgamenta mulieri quae proſpera fruitur valetudine ſatis abunde, primum Atticae heminae et dimidiae menſura, aut paulo copioſiora, deinde ad hujus rationem pauciora quoad deſinant. Feruntur autem velut ſanguis e victima; ſi ſana eſt mulier, ut diximus, et ſana futura eſt, citoque concreſcit et expurgatur. Poſt partionem quoque mulieri ſanae plerumque contingit ut puella edita longiſſima purgatio fiat per duos et quadraginta dies. Periculi tamen expers eſt quae diebus quinque et viginti purgatur. Puero autem edito diebus triginta, ut longiſſima ſit purgatio, etſi extra periculum eſt quae ſit diebus viginti. Ac in his quae foetus corrumpunt, pro horum

Ed. Chart. VII. [772.] Foël. I. 620. Ed. Lind. II. (487. 488.)
βάλανον. καὶ προστιθέναι ἢ γλήχωνα, ἢ σμύρναν, λιβανωτὸν, ὑὸς χολήν τε καὶ βοὸς ἐν μέλιτι ἀναταράσσειν καὶ ἀναπλάττειν βάλανον. ἢν τὰ ἐπιμήνια μὴ γίνηται, χηνὸς ἔλαιον καὶ νέτωπον καὶ ῥητίνην ξυμμίσγουσα προστίθει τῷ εἰρίῳ ἀναλαμβάνουσα. προσθετὸν καθαρτικὸν μαλθακόν. ἰσχάδα λαβὼν δίεφθον ποιέειν, καὶ ἀποπιέσας τρίβειν ὡς λειότατον, εἶτα πρόσθες ἐν εἰρίῳ καὶ ῥοδίνῳ μύρῳ τὸ δριμὺ κράμβης πηγάνου ἑκατέρου ἥμισυ τρίψας, τὸν αὐτὸν τρόπον χρέο. καθαρτικόν. χηνὸς μυελὸν, ἢ βοὸς ἢ ἐλάφου ὅσον κύαμον παραχέοντα μύρον ῥόδινον, καὶ γάλα γυναικὸς τρίβειν ὡς φάρμακον τρίβεται, εἶτα ἐν τούτῳ ἀλείφειν τὸ στόμα τῆς μήτρης. ἕτερον προσθετὸν μαλθακόν. χηνὸς μυελὸν (488) ὅσον κάρυον, κηρὸν ὅσον κύαμον, ῥητίνης σχινίνης ἢ τερεβινθίνης ὅσον κύαμον, ταῦτα τήξας σὺν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ ποίησον ὡς κηρωτήν. εἶτα τούτῳ χλιηρῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης. καὶ τὸν κτένα καταβρέχειν. ἕτερον καθαρτικόν. ἄλευρον σιτάνιον, σμύρνης τριώβολον, κρόκου τὸ ἴσον, καστορίου ὀβολόν. ταῦτα τρίψας μύρῳ

tritum melle excipito, glandem efformato et ſupponito. Aut pulegium, vel myrrham, thus, ſuillum fel et bubulum cum melle agitatum, glandulam effingito. Si menſes non eant, anſeris adipem, netopum, reſinam, ſimul permixta et lana excepta, mulier in ſubdititio apponat. Medicamentum ſubdititium purgans et emolliens. Caricas probe percoctas et expreſſas laeviſſime terito deinde in vellere cum unguento roſaceo ſubdito. Acrius efficies ſi braſſicae et rutae utriusque dimidio trito, ad eundem modum utaris. Purgans. Anſeris aut bovis aut cervi medullae ad fabae magnitudinem, unguentum roſaceum et lac muliebre affundito, in medicamenti formam terito, uteri oſculum inungito. Aliud ſubdititium emolliens. Anſeris medullam nucis quantitate, ceram fabae magnitudine, reſinae lentiſcinae et terebinthinae fabae magnitudinem. His cum unguento roſaceo lento igne liquatis velut ceratum conficito, deinde ex eo tepidō os uteri inungito, pubem perfundito. Aliud purgans. Farinam ſitaniam, myrrhae obolos tres,

Ed. Chart. VII. [771. 772.] Foës. I. 619. 620. Ed. Lind. II. (486. 487.)
ἐπιλείπει τὸ γάλα πρὸ τοῦ καιροῦ. αὗται δὲ φύσει στερρ̣αί εἰσι καὶ πυκνόσαρκοι. καὶ διὰ τοῦτο οὐ διέρχεται ἐπὶ τοὺς μαζοὺς ἀρκοῦσα ἰκμὰς ἀπὸ τῆς κοιλίης πυκνῆς τῆς ὁδοῦ ἐούσης. [772] ἐπιμήνια κατασπᾶται. ἐλατηρίου δύο πόσιας, ξυμμίσγεται δὲ καὶ στέαρ ὄϊος ἀπὸ τῶν νεφρῶν, ὅσον τὸ ἐλατήριον μὴ διαθρύπτεσθαι. (487) ποιέειν δὲ δύο προσθετά. ἢ μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίψας ὕδατι φορύξαι καὶ προσθετὰ δύο ποιῆσαι. προστιθέναι δὲ ταῦτα πρὸ τῶν ἡμερῶν ἧσι μέλλει ἐπέρχεσθαι. ποιέει δὲ μὴ ἐξερχόμενα ῥίγεα καὶ πυρετούς. μαλθακὰ ὑφ' ὧν καθαίρεται ὕδωρ καὶ ψάμμος, καὶ ἄγει ἐπιμήνια. ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει. νάρκισσον, σμύρναν, κύμινον, καὶ λιβανωτὸν, ἀψίνθιον, κύπερον, ἶσον ἑκάστου, ναρκίσσου δὲ μόνου μοίρας τέσσαρας, ἐπικτένιον ὠμοῦ || λίνου ξυμμίξας ταῦτα τρίβειν ὀριγάνου ἑψημένου σὺν ὕδατι καὶ ποιέειν βάλανον καὶ προστιθέναι. ἢ καὶ κυκλαμίνου μίσγε ὅσον ἀστράγαλον. καὶ ἄνθος χαλκοῦ, ὅσον κύαμον τρίψας, μέλιτι δεῦσαι καὶ ποιῆσαι

non habent, easque lac ante tempus deficit. Eaeque a natura ſolidam et denſam carnem habent, ideoque cum via denſa ſit, neque ex ventre ad mammas ſatis humoris defertur. Quod menſes detrahit. Elaterii quantum ad duas potiones ſatis ſit ſumito, cui oviculae adeps ex renibus admiſcetur, pari cum elaterio copia, minime conterito, duas glandes ſubditicias parato. Aut melanthium ex tritico terito, aqua ſubigito et glandes duas ſubditicias conficito. Has autem paucis ante diebus quam prodire debeant ſupponito. Cum vero non prodeunt, rigores et febres excitant. Emollientia ex quibus aqua et arena purgatur, menſes etiam, niſi diutius reſtiterint, educunt et uteri oſculum emolliunt. Narciſſi, myrrhae, cumini, thuris, abſinthii, cyperi, ſingulorum aequales portiones, narciſſi vero ſolum quadruplum ſumito, cui lini crudi lanuginem pectini inſidentem ammiſceto, haec cum origani decocto terito, glandem effingito et ſupponito. Aut etiam cyclaminum ad aſtragali magnitudinem admiſceto et aeris florem ad ſabae quantitatem

Ed. Chart. VII. [773.] Foës. I. 620. Ed. Lind. II. (488. 489.)
τρίβειν καὶ προστιθέναι. καὶ ἑλλέβορος ἐν οἴνῳ γλυκεῖ μετὰ ἀλεύρου αἰρῶν καὶ πυρίνων μέλιτι φυρηθεὶς ἐν εἰρίῳ προς-(489)τιθέσθω. προσθετὰ ἢν μὴ τὰ κατάποτα καθαίρῃ. λινοζῶστιν, σμύρναν, λευκόϊον, κρόμμυον ὡς δριμύτατον καὶ μελάνθιον καὶ τὸ ἡδύοσμον, ἢν ὑποφέρῃ, συμμίξας προστίθει. προσθετὰ δριμέα ἄγοντα αἷμα. καυθαρίδας πέντε πλὴν τῶν ποδῶν καὶ τῶν κεφαλῶν, καὶ σμύρναν καὶ λιβανωτὸν ἅμα συμμίσγειν. καὶ μέλι μετ' αὐτῶν, ἔπειτα βάψας ἐς ἄλειφα ῥόδινον ἢ αἰγύπτιον προσθέσθω τὴν ἡμέραν, καὶ ἐπὴν δάκνηται, ἀφαιρέεσθαι. καὶ βαπτίζειν πάλιν ἐς γάλα γυναικὸς καὶ μύρον Αἰγύπτιον. προστίθεσθαι δὲ τοῦτο ἐς νύκτα καὶ διανίζεσθαι ἐν ὕδατι εὐώδει, προστιθέναι δὲ στέαρ. ἁρμόζοι δ' ἂν βούπρηστις, ἢν μὲν σμικρὴ ᾖ, ἄνευ πτερῶν καὶ ποδῶν καὶ κεφαλῆς· ἢν δὲ μεγάλη ᾖ, μὴ συμμίσγειν ταῦτα ἃ καὶ τῇσι καυθαρίσιν, ἀλλὰ μόνον τιθέναι καὶ προστιθέναι ὁμοίως. ἢν δὲ μαλθακωτέρου δέηται, τῇ βουπρήστει μῖξαι οἶνον καὶ κύμινον Αἰθιοπικὸν, ἀσταφίδα τε καὶ πάλην σεσέ-

trita in peſſo ſubdito. Veratrum etiam ex vino dulci, cum farina lolii et tritici melle ſubactum, in vellere ſubjicito. Medicamenta ſubditicia ubi quae devorantur minime purgarint. Mercurialem, myrrham, violam albam, cepam acerrimam, melanthium et mentham, ſi ferre poſſit, ſimul mixta in peſſo apponito. Subditicia medicamenta acria ſanguinem ducentia. Cantharidas quinque exceptis pedibus et capite et myrrham et thus ſimul commiſceto, melle addito. Deinde oleo roſaceo aut Aegyptio intinctum per diem ſupponat et ubi morſum ſenſerit detrahendum, rurſusque in lac muliebre et unguentum Aegyptium immergendum. Hoc autem per noctem ſupponendum et aqua odorata perluendum et adeps ſupponendus. Convenit et bupreſtis ſi parva fuerit, detractis alis, pedibus et capite, ſi vero magna, non erunt haec admiſcenda, quae cum cantharidibus, ſed per ſe ponenda et ſimiliter in peſſo admovenda. Quod ſi leviore opus fuerit, ad bupreſtim vinum admiſceto et cuminum Aethiopicum, tum uvam paſſam,

Ed. Chart. VII. [772. 773.] Foeſ. I. 620. Ed. Lind. II. (488.)
ἰρίνῳ προστιθέσθω, ἢ κνίδης καρπὸν καὶ μαλάχης χυλὸν καὶ χηνὸς στέαρ ἅμα συμμίξαντα προσθεῖναι. προσθετὸν ἄλλο καθαρτικὸν, ἢν τὰ γυναικεῖα μὴ φαίνωνται. στύρακα καὶ ὀρίγανον τρίψας λεῖον καὶ συμμίξας ἐπίχεαι χηνὸς ἔλαιον καὶ προστίθει. ἕτερον καθαρτικὸν προσθετὸν, ὥστε μήτρας ἐκκαθαίρειν καὶ αἷμα ἐκκενοῦν. ἀψινθίου ῥίζαν τρίψας λείην μέλιτι καὶ ἐλαίῳ χηνὸς μίξας προστίθει. ἕτερον προσθετὸν καθαρτικόν. βουπρήστιος ἀφελεῖν κεφαλὴν καὶ πόδας καὶ πτερά. τὰ δ' ἄλλα αὐτοῦ τρίβειν καὶ ξυμμίσγειν τοῦ σύκου τὸ ἔνδον. διπλάσιον δὲ τοῦ σύκου τὸ πῖον ἔστω. τοῦτο φυσᾷ τὰς ὑστέρας, τοῦτο καὶ ταῖς ἀπαυδήσαις ἄριστον. ἢ λινοζώστιος τὰ φύλλα λεῖα προσθετὰ ποιέειν. τοῦτο λεπτὴν ἄγει χολώδεα κάθαρσιν. καὶ ἡ ἀρτεμισίη ποιέει ὡς ἡ λινοζῶστις καὶ καθαίρει κρεῖττον. ἐλλέβορος μέλας ἐν ὕδατι λεῖος, ἄγει καὶ οὗτος οἷον ἀπὸ κρεῶν ὕδωρ. [773] καὶ στυπτηρίη δὲ καὶ ἡ ῥητίνη τὸ ὠυτὸ δρᾷ, κύπερος, ἀψίνθιον, ἀριστολοχία, κύμινον, ἅλες, μέλι, ταῦτα πάντα ἐν τῷ αὐτῷ

croci tantundem, caſtorii obolum, haec ex unguento irino trita in ſubdititio apponito. Aut urticae ſemen et malvae ſuccum cum adipe anſerino ſimul permixta ſupponito. Aliud ſubditititium purgans, ſi menſes non appareant. Ad ſtyracem et origanum tenuiter trita et permixta anſeris adipem affundito et ſupponito. Aliud ſubditititium purgans, quod tum uteros purgat tum ſanguinem vacuat. Abſinthii radicem tenuiter tritam, cum melle et anſerino adipe admixtam, in peſſo apponito. Aliud ſubditititium purgans. Detractis a bupreſti capite, pedibus et alis, quod eſt reliquum terito et ficus interiorem partem admiſceto. Sit autem duplum quod in ſicu pingue eſt. Hoc uteros inflat et viribus defectis eſt optimum. Aut mercurialis folia ad laevorem trita in peſſo ſupponito. Hoc tenuem bilioſam purgationem educit. Idem etiam artemiſia quod mercurialis praeſtat et efficacius purgat. Veratrum nigrum ex aqua tenuiter tritum, etiam aquam velut a carnibus educit. Et vero alumen et reſina hoc idem efficit. Cyperus, abſinthium, ariſtolochia, cuminum, ſal, mel, haec omnia ſimul

Ed. Chart. VII. [773. 774.] Foël. I. 621. Ed. Lind. II. (490.)

φιον, στέατος βοείου δραχμὰς τέσσαρας, λεῖα τρίψας καὶ ἐς τὸ αὐτὸ τρίψας πεσσοὺς ποιέων, προστίθει νήστει, καὶ προκειμένη ἐκνηστευέτω τὴν ἡμέρην. προστιθέσθω δὲ δὶς, πρωΐ καὶ δείλης, μετὰ τὰ καταμήνια καὶ μετὰ τὸ δεῖπνον λούσθω καὶ κοιμάσθω σὺν τῷ ἀνδρί. ἢ μελάνθιον φλάσαι καὶ ἐς ῥάκος ἐνδῆσαι καὶ χηνὸς ἔλαιον ἐμβαλεῖν, καὶ δοῦναι προσθέσθαι. ἕτερον κυητήριον. γυναῖκα θεραπεῦσαι, ὥστε ξυλλαβεῖν ἐν γαστρί. οὖρον λαβὼν παλαιὸν καὶ σιδήρου σκωρίην ὅσην διπλᾶ ἐς τὰ θρύμματα. ἔπειτα καθίσας τὴν γυναῖκα ἐπὶ δίφρου, συγκαλύψασαν καὶ τὸ σῶμα καὶ τὴν κεφαλὴν, [774] ὑποθεῖσα ἐς πόδας νιπτῆρα, ἐμβαλεῖν κατὰ τρία διάπυρα τὰ τῆς σκωρίης θρύμματα. ἔστω δὲ τὸ παλαιὸν τοῦτο οὖρον ὅσον χοῦς. καὶ ἐν τούτοις πυριᾷν αὐτὴν ὅσον τριήκοντα πυρίας. ἐπὴν δὲ πυριήσῃς, σμῆχε τὴν κεφαλὴν τῷ οὔρῳ, ἕως ἂν πυριηθῇ ἐναποσβεννύων πάλιν τοὺς λίθους καὶ τὴν πυρίην πάλιν. θερμήνας δὲ μετὰ ταῦτα λοῦε κατὰ κεφαλῆς ὡς πλεῖστον. ἕψων δὲ ἐν τῷ ὕδατι πόλιον, καὶ τῆς ἄγνου ὡς πλεῖστα, ταῦτα δὲ ποίεε ἡμέρας

triti drachmas quatuor, his ſimul contritis peſſos effingito. jejunae ſubdito et decumbens jejuna toto die permaneat. Bis autem ſupponantur, mane et veſperi, poſt menſium curſum et poſt coenam lavet et cum viro dormiat. Aut melanthium contuſum in linteo ligatum, anſerino adipe injecto ſupponendum dato. Aliud conceptum juvans, quod mulieri ad curationem adhibeto ut concipiat. Urinam veterem ſumito et ferri ſcoriam, quae in duo fragmenta dividi poſſit. Poſtea muliere in ſella collocata, toto corpore et capite circumtecto et pelvi ad pedes ſubjecta, tria circiter ſcoriae fragmenta candentia injicito. Sit autem haec vetus urina fere congii menſura. Et in his eam foveto, triginta fere immiſſis in fomentum candentibus ſcoriae fruſtulis. Poſtquam fomentum adhibueris, urina caput confricato, tantisper dum fotus adhibetur lapidibus ignitis iterum extinctis, iterumque calefacto fomento. Poſt haec autem caput plurimum lavato aqua, in qua polium et viticis multa folia decoxeris, idque diebus ſeptem facito. Ter

Ed. Chart. VII. [773.] Foës. I. 621. Ed. Lind. II. (489. 490.)

λιος || καὶ ἀννήσου καὶ ἀναζέσαι τὸν οἶνον. ἀποχέας δὲ τρῖψαι λεῖον. καὶ πλάσαι φθοΐσκους ὅσον δραχμιαίους. τούτων προστιθέναι σμύρναν καὶ λιβανωτὸν μίσγοντα. ποιέειν δὲ τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῆσι κανθαρίσι, μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα λεῖον μέλιτι φυρῶντα προστιθέναι. ἢ αὐτὸ τοῦτο τὸ μελάνθιον τρίβοντα μετὰ τοῦ μέλιτος ποιέειν οἷον βάλανον. πτερῷ δὲ περίπλασσε. προσθετὸν ἐνεργόν. ὀπὸν μανδραγόρου καὶ κολοκύντης ἀγρίης ξὺν γάλακτι γυναικείῳ πρόσθες, ἢ τρύγα ξηρὴν ἐξ οἴνου παλαιοῦ λευκοῦ καίειν, καὶ οἴνῳ σβέσαι, καὶ κολοκύντην ἀγρίην, (490) λινοζῶστιν, νίτρον καὶ ἐρύσιμον. θᾶσσον κατασπᾷ καὶ μανδραγόρου ῥίζα κανθαρὶς, ἕρπυλος, δάφνης καρπὸς, μύρον ἴρινον, δάφνινον. τιθυμάλου τὸν ὀπὸν μίσγειν καὶ ἀνακικεῖν καὶ τὸν ἰξὸν ἀφαιρέειν, καὶ διδόναι ὅσον ὄροβον, καὶ προσθετὸν ποιῆσαι ἄριστον. εἰ δὲ πλεῖον ἴοι, οἴνῳ προσκλυζέσθω. ἢ ὀπτοῦ χαλκοῦ ἐκδιεὶς, χλιηρὸν ἀναλαμβάνειν εἰρίῳ καὶ προστιθέναι. κυητήριον. κεδρίης ἐμβά-

tum aniſi et ſeſeleos pollinem, ex vino ſervefacto affuſoque tenuiter tritum in paſtillos drachmae unius pondere effingito et his myrrha et thure admixtis, ſubdititia medicamenta ſupponito. Eodem autem modo quo cum cantharidibus faciendum. Melanthium ex tritico tenuiter tritum ac melle ſubactum in peſſo apponito. Aut hoc ipſum melanthium cum melle tritum in glandem effingito, circum pennam vero obducito. Medicamentum ſubditititium efficax. Mandragorae et cucurbitae agreſtis ſuccum cum lacte muliebri in peſſo ſubjicito, aut vini albi veteris faecem ſiccam uſtam et vino reſtinctam. Cucurbitam etiam agreſtem, mercurialem, nitrum et eryſimum. Citius detrahit et mandragorae radix, cantharis, ſerpillum, lauri baccae, unguentum irinum, laurinum. Tithymali ſuccum permiſceto et agitato et viſco detracto ad orobi magnitudinem exhibeto. Ex his ſubditititium medicamentum conficito optimum. Quod ſi copioſius proſluat, vino per ſe proluat, aut aeris uſti aliquid dilutum, tepidum lana exceptum in peſſo ſubdito. Conceptum juvans. Cedriae acetabulum, adipis bubuli tenuiter

Ed. Chart. VII. [774.] Foës. I. 621. 622. Ed. Lind. II. (491. 492.)

σθω τῷ αὐτῷ. ὑποθυμία δὲ ὄνου τρίχας λευκοῦ, καὶ λύκου κόπρον, ἐπίβαλλε δὲ ὡς πλεῖστον ἐπὶ ἀνθρακιὴν, καὶ περικαθίσας αὐτὴν καὶ περιστείλας θυμία, φυλασσόμενος μὴ κατακαύσῃς. ‖ ἢν δὲ γυνὴ μὴ δύνηται τίκτειν πρόσθεν τίκτουσα, νίτρον καὶ ῥητίνην καὶ σμύρναν καὶ κύμινον Αἰθιοπικὸν καὶ μύρον τρίβειν ἐν τωὐτῷ καὶ προστίθεσθαι. ἢ γλήχωνα ξηρὴν ἐν ὀθονίῳ προστιθέσθω. πίνειν δὲ τὴν γλήχωνα, ἐπὴν εὖδειν μέλλῃ. ἕτερον κυητήριον. διαιτᾶν δεῖ τὴν γυναῖκα ἥτις δέεται κυήσεος, καὶ δι(492)δόναι αὐτῇ ἅπερ δέχοιτο καὶ ἐσθίειν καὶ πίνειν, τῷ δὲ ἀνδρὶ τῆς γυναικὸς τἄλλα πλὴν σκορόδου καὶ κρομμύων καὶ ἔτνους, καὶ ὀποῦ σιλφίου, καὶ ὅσα φυσητικά. τούτων δὲ ἀπεχέσθω. ὁμοίως ἔγχυτον κυητήριον, εἰ μὴ κυΐσκεται. γάλα γυναικὸς κουροτρόφου, σίδης νεαρῆς τοὺς κόκκους τρίψας, καὶ ἐκπιέσας τὸν χυλὸν καὶ χελώνης θαλασσίης τὸν περίνεον κατακαύσας τρίψας ἐγχέαι εἰς τὸ αἰδοῖον. ὁμοίως ἔγχυτον κυητήριον μὴ κυούσῃ. γάλα καὶ ῥητίνην καὶ σίδης γλυκείης χυλὸν, ταῦτα ξὺν μέλιτι μίξας

asini albi pilis et lupi ſtercore adhibeto. Ex quibus magnam copiam in prunas injicito et muliere in ſella collocata et circumtecta ſuffitum adhibeto ea cautione ut ne aduras. Si quae prius peperit parere nequeat, nitrum, reſinam, myrrham, cuminum Aethiopicum et unguentum ſimul trita in peſſo ſupponito. Aut pulegium ſiccum in linteo ſupponito. Sed et pulegium bibat, cum dormire volet. Aliud conceptum juvans. Mulieri quae conceptionis indiget, victus ratio perſcribenda, facta ejus cibi et potus poteſtate quam lubentur admittet. Mulieris autem viro alia quaeque exhibeto, praeter allia, cepas, legumina freſa, laſeris ſuccum et ea quae flatum gignunt. Ab his vero abſtineat. Infuſum ſimiliter conceptum juvans, ſi non concipiat. Lac mulieris marem lactantis, mali punici recentis grana trita et expreſſum ſuccum et teſtudinis marinae perineum aduſtum, tritum in pudendum infundito. Aliud quod ſimiliter infunditur non concipienti. Lac, reſinam et dulcis mali punici ſuccum, haec cum melle permixta omnia infundito.

Ed. Chart. VII. [774.] Foës. I. 621. Ed. Lind. II. (491.)

ἑπτά. (491) τρὶς δὲ ὑποθυμιᾶν τούτων ἑκάστην πυρίην πρὸ τοῦ σμήχεσθαι. χριέσθω δὲ ἐκ τοῦ λουτροῦ ἐλαίῳ δαφνίνῳ. μετὰ δὲ τὸ δεῖπνον φαγοῦσα κρόμμυα ἐμβάπτουσα ἐς μέλι καὶ μελίκρητον χλιηρὸν, ὅσον κοτύλας τέσσαρας πιοῦσα, ἔπειτα, ἐπὴν φάγῃ, σμικρὸν ἐπισχοῦσα ἀπεμείτω. καὶ ἀνακλιθεῖσα ὑπτίη τοῦ πηγάνου ἐχέτω καὶ ἐν τοῖσιν ὠσὶ καὶ ἐν τῇσι ῥισὶ, καὶ ἄρτον ζυμίτην ὅσον ἕκτον μέρος χοίνικος, ἐς ζωμὸν ἐνθρύψαι ὄρνιθος, ἔχοντα σελίνου ὅσον χήμην προσφερέσθω, καὶ πάλιν δίδου τὸ ἴσον ἐπὶ τῷ δείπνῳ, τὸ αὐτὸ δὲ ποίεε τὰς ἑπτὰ ἡμέρας. ἔπειτα δὲ τὴν κοιλίην κλύζε ἡμέρας ἑπτά. ἔστω δὲ κλύσμα ῥητίνης δραχμαὶ τέσσαρες, μέλιτος ὀξύβαφον. τῶν πλατέων ἔλαιον ἴσον, πιτύρων σηταν ίων χυλὸς, νίτρου ἀφρὸς, ὠὰ λεπτά. ἔστω δὲ τὸ κλύσμα κοτύλαι ὀκτώ. τούτων αἱ τρεῖς πτισάνης χυλοῦ, κλυζέτω δὲ πλαγίην, καὶ λοῦε ὀλίγον, προστίθεσθαι δὲ καὶ βαλάνους ἑπτὰ τῆς ἡμέρης, κατεχέτω δὲ ἕστ' ἂν κατατακῇ. ἔστωσαν δὲ λιβάνου, νίτρου, χαλβάνης, μέλιτος ἑφθοῦ· σίτῳ δὲ χρή-

autem in ſingula haec fomenta ſuffitus admovendus prius quam caput detergeatur. A balneo vero inungatur oleo laurino. Poſt coenam autem ubi cepas melle intinctas comederit et mulſam tepidam ad quatuor heminas biberit, deinde ubi comederit, paulumque continuerit, vomitione rejiciat, ſupinaque reclinata rutam in auribus et naribus contineat. Panem quoque fermentatum ad ſextam choenicis partem, ex jure galli gallinacei, quod apii chemam habeat contritum in cibum offerto et rurſus tantundem in coena dato, idemque per ſeptem dies facito. Deinde vero alvum ex infuſo per dies ſeptem eluito. Conſtet autem infuſum ex drachmis quatuor reſinae, mellis acetabulo, Plataeenſium oleo pari menſura, furfurum tritici ſitanii cremore, nitri ſpuma et ovis tenuibus. Infuſi autem cremor heminae octo, ex his tres cremoris ptiſanae. In latus autem decumbenti infuſum adhibeto, parumque lavato. Septem vero glandes die ſubdito, easque quoad colliqueſcant contineat. Conſtent autem thure, nitro, galbano et melle cocto. Cibo vero eodem utatur. Suffitum autem ex

Ed. Chart. VII. [775.] Foeſ. I. 622. Ed. Lind. II. (493.)
διδόναι δὲ οἶνον, φεύγοντα τὸ ἐν αὐτῷ μένος. ἕτερον κυητήριον. εὐλὴν ἥτις ἔχει τὴν κέρκον λαβὼν ἀπ' αὐτῆς τρεῖς ἢ τέτταρας μοίρας καὶ ὀρίγανον λεπτὴν, τρίψας ἐν ῥοδίνῳ μύρῳ προσθέτω πρὸς τὸ στόμα τῆς μήτρης. ἕτερον κυητήριον. ἀνδράχνην τρίψας μετὰ στέατος χηνὸς καὶ σμύρνης καὶ πράσου σπέρματος, καὶ βοὸς χολῆς ἐν εἰρίῳ ἐνελίξας τιθέναι πρὸς τὸ στόμα τῆς μήτρης. ἢν τὰ μὲν καταμήνια γίνονται πολλὰ, οὐ συλλαμβάνει δὲ, χαλκοῦ ἄνθος ὀβολοὺς δύο καὶ στυπτηρίης σχιστῆς ὡσαύτως τρίψας λεῖα ἐν μέλιτι, εἶτα ἐν εἰρίῳ ἀναστοργίσας, ἐνδήσασα ἡ γυνὴ τὸ εἰρίον ἐς ὀθόνιον λίνων προσθέτω ἕως ἔσω αὐτῆς. τὸ δὲ λῖνον ὑπερεχέτω, εἶθ' ὅταν καλῶς καθαρθῇ, ἀφελέτω, καὶ οἶνον ἀναζέσας εὐώδεα, μυρσίνης φύλλα ἐμβαλὼν, τούτῳ προσκλυσάσθω, καὶ ἴτω πρὸς τὸν ἄνδρα. κυητήριον προσθετόν. μέλι, σμύρναν, μυρίκης τὸν καρπὸν, ῥητίνην ὑγρὴν χηνὸς ἄλειφα τρίψας ἅπαντα τῷ αὐτῷ ἐν εἰρίῳ ἐνελίξασα προστιθέσθω. κυητήριον προσθετὸν σφόδρα ἀναστομῶσαι μήτρην δυνάμενον, ὅταν μεμύκῃ καὶ μὴ δύνηται κυῆσαι, καὶ ὕδωρ ἐκκαθῆραι. λαβὼν σχε-

miſceto, vinumque ejus robore vitato exhibeto. Aliud conceptum juvans. Vermis ex carnibus qui caudam habeat tres aut quatuor partes ſumito et origanum ex roſaceo unguento, laeviſſime tritum penitius ad uteri os apponito. Aliud ad conceptum. Portulacam tritam cum adipe anſerino, myrrha, porri ſemine et felle bubulo, lana convolutam ad uteri os apponito. Si menſes quidem copioſi eant, neque tamen concipiat, floris aeris obolos duos et aluminis ſciſſilis tantundem, ex melle laeviſſime trita, deinde lana excepta, ubi mulier lanam in linteo filo deligarit, ſibi interea penitiſſime ſubdat, ſic tamen ut filum foras emineat. Deinde ubi probe purgata fuerit, abſtrahat et vino odorato in quo myrti folia decoxerint, proluatur et virum adeat. Subditicium ad conceptum. Mel, myrrham, myricae fructum, reſinam liquidam, anſerinum adipem, omnia ſimul trita in vellere convoluta ſubjicito. Subditicium ad conceptum, quod uterum ſi quando conniveat, neque concipere queat, valde dilatare poteſt et aquas expurgare. An-

Ed. Chart. VII. [774. 775.] Foës. I. 622. Ed. Lind. II. (492. 493.) ἐγχεῖν πάντα. κυητήριον. βολβοῦ τοῦ λευκοῦ καρπὸν ἢ τὸ ἄνθος τρίψας ξὺν μέλιτι, ἐν εἰρίῳ ἑλίξασα προσθέσθω πρὸς τὴν μήτρην ἡμέρας τρεῖς. [775] τῇ δὲ τετάρτῃ μαλάχην ἀγρίην τὴν πλατύφυλλον τρίψασα, μῖξαι γυναικὸς γάλακτι, καὶ εἰς εἰρίον ἑλίξασα προσθέσθω. εἶτα κοιμάσθω μετὰ ἀνδρός. προροφεέτω δὲ γλήχωνα ἐπ' ἀλεύροισιν ἑφθὴν, καὶ πινέτω γλήχωνα ἐν οἴνῳ λεπτήν. ἢν δὲ τούτου μὴ ἐσακούῃ, λαβὼν κόννζαν εὔοδμον ξυγκόψας καὶ ἐκθλίψας τὸν χυλὸν καὶ μίξας οἴνῳ πινέτω νῆστις. ἕτερον κυητήριον. ἀσπαράγου καρπὸν πινέτω ὁμοίως ἐν οἴνῳ. ἕτερον κυητήριον. χορίον γυναικὸς καὶ τῶν εὐλέων τὰς κεφαλὰς τρῖψαι διεὶς στυπτηρίην αἰγυπτίην ἐν χηνὸς στέατι, ἐν εἰρίῳ προσθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. ἕτερον ἐπὶ τοῦ αὐτοῦ. ἰὸν χαλκοῦ, ἄνθος ἡμιωβόλιον ἑκατέρου λιβανωτοῦ ἄρσενος. στυπτηρίης σχιστῆς. οἰνάνθης ἀμπέλου, κικίδα, σμύρναν, σίδιον, ῥητίνην, πόλιον ἀνὰ ὀβολὸν ἑκάστου ἐν μέλιτι τρίψας προσθέσθω ἐπὶ (493) τρισὶν ἡμέραις δὶς τῆς ἡμέρας. ἢν δ' ἴσως δριμύτερον ᾖ, παραμίσγειν χηνὸς στέαρ καὶ νίτρον ὀπτόν.

Ad conceptum faciens. Bulbi albi ſemen aut florem ex melle tritum, vellere convolutum per triduum ſupponat. Quarto vero die malvam agreſtem quae lato eſt folio, cum lacte muliebri tritam et lana convolutam ſupponat, deinde cum viro dormiat. Ante autem pulegium cum farina coctum ſorbeat et pulegium tenue ex vino bibat. Quod ſi haec refugiat, conyzae odoratae contuſae ſuccum expreſſum et vino mixtum jejuna bibat. Aliud conceptum juvans. Aſparagi ſemen eodem modo ex vino bibat. Aliud ad conceptum. Chorion mulieris et vermium qui in carne gignuntur capita contrita et alumen Aegyptium anſerino adipe dilutum, in vellere ad uteri oſculum ſupponat. Aliud ad idem. Aeruginem, aeris florem, utriusque ſemiobolum, thuris maſculi, aluminis ſciſſilis, fructus vitis agreſtis, gallae, myrrhae, malicorii, reſinae, polii, ſingulorum obolum ex melle tritum per triduum bis die ſupponat. Quod ſi forte acrius fuerit, anſerinum adipem et nitrum toſtum ad-

Ed. Chart. VII. [776.] Foës. I. 623. Ed. Lind. II. (494. 495.)

νας. ὠκυτόκιον. δικτάμνου ὅσον δύο ὀβολοὺς τρίψας ἐν ὕδατι θερμῷ πινέτω, ἢ ἀβροτόνου δραχμὴν καὶ κεδρίδας καὶ ἄννησον ἐντρίψας ἐν γλυκέος οἴνου κυάθῳ, παραχέας ὕδατος παλαιοῦ κύαθον, δὸς πιεῖν. τοῦτο καλὸν δίδοται, ἢν πρὸ τῶν ὀδυνῶν δοθῇ. ἢ δικτάμνου ὀβολὸν, σμύρνης ὀβολὸν, ἀννήσου δύο ὀβολοὺς, νίτρου ὀβολόν. ταῦτα τρίψας διὰ γλυκέος οἴνου, ἐπιχέας κύαθον καὶ ὕδατος θερμοῦ κυάθους δύο, δὸς πιεῖν. εἶτα λοῦσον θερμῷ. ὠκυτόκιον. ῥητίνην τερμινθίνην μέλι, ἔλαιον διπλάσιον τούτων, οἶνον εὐώδεα ὡς ἥδιστον. ταῦτα συμμίξας χλιήνας διδόναι ἐκπιεῖν πλεονάκις. καταστῆσαι δὲ χρὴ καὶ τὰς μήτρας, ἢν (495) φλεγμήνωσιν. ἕτερον ὠκυτόκιον. τοῦ σικύου τοῦ ἀγρίου ὅστις ἂν ᾖ λευκὸς τὸν καρπὸν ἐμπλάσας κηρῷ. εἶτα εἰρίῳ ἐνελίξας φοινικῷ, περίαψον περὶ τὴν ὀσφῦν. ἢν δὲ ἡ κύουσα πουλὺν χρόνον ἐπέχηται καὶ μὴ δύνηται τεκεῖν, ἀλλ' ὀδύνη πλείους ἡμέρας, νέη δὲ ᾖ καὶ ἀκμάζῃ καὶ πουλύαιμος, τάμνειν χρὴ τὰς ἐν τοῖσι σφυροῖσι φλέβας καὶ ἀφαιρέειν τοῦ αἵματος, πρὸς τὴν δύναμιν ὁρῶν. καὶ μετὰ ταῦτα λοῦσαι

Dictamnum ad duos obolos tritum ex aqua calida bibat. Aut abrotoni drachmam et cedri baccas et aniſum, ex vini dulcis veteris cyatho trita, affuſo aquae cyatho, potui exhibeto. Hoc prodeſt ante partus dolores exhibitum. Aut dictamni obolum, myrrhae obolum, aniſi obolos duos, nitri obolum. Haec ex vino dulci trita, affuſo cyatho et aquae calidae cyathis duobus, potui exhibeto, deinde calida lavato. Partum facilem reddens. Relinam terebinthinam, mel, oleum ad duplam horum portionem, vinum odoratum quam ſuaviſſimum. Haec ſimul mixta tepida crebro bibenda dato. Quin etiam uteri, ſi inflammati fuerint, ſibi reſtituendi ſunt. Aliud facilem partum faciens. Cucumeris agreſtis albi fructum cera obductum, deinde lana punicea convolutum, ad lumbos alligato. Quod ſi praegnans diutius immoretur et parere non poſſit, ſed pluribus diebus partus doloribus diſcrucietur, ſit autem juvenis et aetate florens multoque ſanguine redundet, venas in malleolis ſecare oportet, et virium habita ratione ſanguinem detrahere. Poſt haec calente cor-

Ed.Chart.VII.[775.776.] Foës. I. 622. 623. Ed. Lind.II. (493.494) διάδα τὴν μικρὴν καὶ σχῖνον, κύμινον καὶ κύπερον, καὶ ἀγρίην κολοκύντην, καὶ νίτρον ἐρυθρὸν, καὶ ἅλας Αἰγύπτιον, καὶ σχεδιάδα τὴν μεγάλην. ταῦτα πάντα λεῖα ποιήσας, δι' ὀθονίου διηθῆσαι. λαβὼν δὲ μέλι || ἕψησον ἐπὶ πυρὶ μαλθακῷ. ἐπειδὰν δὲ ζέσῃ, (494) παράμιξον κηρὸν, ῥητίνην. ἔπειτα ξυμμίξας πάντα ἔλαιον ἐπιχέας καὶ ἀφελὼν, χλιήνας εἰρίον ἐγκυλίδωτον ἐνελίξας προστίθει τῇ μήτρῃ, μέχρις ἂν καθαρθῇ. ἕτερον κυητήριον. ἢν γυναῖκα βούλῃ κυῆσαι καὶ τοῖσι καθαρτηρίοισιν ἥτις χρῆται καὶ δεῖ πρὸς τὸν ἄνδρα ἰέναι, καὶ δαφνίδας μέλανας δέκα, λιβανωτοῦ δὲ δραχμίδας τρεῖς, καὶ κύμινον ὀλίγον τρίψας ἐν μέλιτι, [776] ἐς εἰρίον πινῶδες ἐγκυλίων ἅπαξ τῆς ἡμέρης τῇ αὐτῇ προστιθέσθω, καὶ ἀφαιρείσθω ἅπαξ ἕως ἡμερῶν τεσσάρων καὶ ἔπειτα ἀσιτείτω τὰς αὐτὰς ἡμέρας. ἀτόκιον. ἢν μὴ δέῃ κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι πίνειν διδόναι, καὶ ἐνιαυτὸν ὡς ἔπος εἰπεῖν οὐ κυήσεται. ὠκυτόκια δυστοκούσῃ. δάφνης ῥίζην ξύσας ἢ τοὺς κόκκους ὅσον ἥμισυ ὀξυβάφου ἐφ' ὕδατι δὸς πιεῖν θερμή-

chuſam parvam ſumito, lentiſcum, cuminum, cyperum, cucumerem agreſtem, nitrum rubrum, ſal Aegyptium et anchuſam magnam. Haec omnia laeviſſime trita linteo cernito. Mel ſumito, lento igne decoquito, et ubi deferbuerit, ceram et reſinam admiſceto. Deinde commixtis omnibus oleum affundito, et ab igne detractum, tepidum lana in orbem convoluta exceptum, quoad purgata fuerit, in uterum ſubdito. Aliud conceptum juvans. Si velis ut mulier concipiat, praeter ea purgatoria quibus utitur etiam ad virum accedere oportet. Et decem lauri baccas nigras, thuris pugillos tres et cumini puſillum, ex melle trita lana ſuccida convoluta, ſemel die ei ſubdito, ſemel autem auferat per quatuor dies, et poſtea per eos dies cibo ſibi temperet. Conceptum praepediens. Si concipere non conveniat, miſy ſabae quantitatem aqua dilutam potui exhibeto et per annum, pene dixerim, non concipiet. Quae aegre parienti partionem accelerant. Lauri radicem deraſam, aut baccas ad dimidium acetabulum concaleſactas ex aqua potui exhibeto. Partionem accelerat.

Ed. Chart. VII. [777.] Foël. I. 623. 624. Ed. Lind. II. (696.)
καράβους, ἢ τοῦ ῥόου τὰ φύλλα καὶ ἐρύσιμον ἐν οἴνῳ, ἄλφιτ' ἀπαλήνων δοῦναι πίνειν. ἢ μίσυ ὅσον δύο ὀβολοὺς τρίψας ἐν οἴνῳ φρύξας προστιθέναι. καθαρτήριον ἐπιμηνίων καὶ λοχείων. μάλιστα καὶ ὕδωρ ἄγει καὶ τὰ ἄλλα. || στρουθίου ῥίζαν λείου κεκομμένου ὅσον τοῖσι τρισὶ δακτύλοισιν ἐν μέλιτι δεύσας προσθεῖναι. φύεται δὲ οἷον τὸ ἐν Ἄνδρῳ ἐν τοῖσιν αἰγιαλοῖσιν. ἕτερον καθαρτήριον ὁμοίως. ἐρύσιμον ἕψειν ἐν ὕδατι, καὶ ἐπιχέειν ἔλαιον, ὅταν ἀναβλύῃ, καὶ ψύχειν καὶ ὑποθυμῆν. ἀγαθὸν δὲ καὶ τὸν χυλὸν, καὶ σιτίοισι μαλθακοῖσι χρῆσθαι. λοχεῖα καθαίρει. ἐρύσιμον τρῖβε ἡσύχως καὶ ἀναφυσᾷν θέλε τὸ κέλυφος. ὅταν δὲ καθαρὸν ποιήσῃς, τρίβειν λείως, καὶ ὕδωρ παραστάζειν, καὶ ἅλας καὶ ἔλαιον μίσγειν. ὅταν ἐπιπάσῃς ἄλητα, ἕψε καὶ ῥοφείτω. ἢν μὴ κατίῃ κάθαρσις ἢ λοχείη μὴ γένηται, λαβὼν σικύης ἐντεριώνης ὅσον τριώβολον καὶ ἀρτεμισίην ποίην καὶ λιβανωτοῦ ὅσον ὀβολὸν, τρίψας καὶ ἐν μέλιτι μίξας ἐς εἰρίον ἐνειλίξας, πρόσθες πρὸς τὸ στόμα τῆς μήτρης, νυκτὸς ἀεὶ καὶ ἡμέρης ἄχρις ἡμερῶν πέντε

polypos et carabos. Aut rhois folia et eryſimum ex vino polenta aſperſa in potum dato. Aut miſy duorum obolorum pondus tritum, ex vino maceratum in peſſo ſubdito. Quod menſes et puerperii purgamenta praecipue expurgat, aquam etiam et alia educit. Struthii radicem laeviter contuſam, ad pugillum unum, melle ſubactam in peſſo ſupponito. Producitur autem praecipue in Andri inſulae littoribus. Aliud quod ſimiliter purgat. Eryſimum in aqua decoquito, et ubi efferbuerit, oleum affundito et refrigerato, ex eoque ſuffitum adhibeto. Conducit etiam ſuccum adhibere et mollibus cibis uti. Hoc puerperii purgamenta expurgat. Eryſimum leniter terito et corticem flatu expellito, cum autem purum reddideris, ad laevorem terito et inſtillata aqua ſalem et oleum ammiſceto, et farina aſperſa decoquito et ſorbendum exhibeto. Si menſtrua purgatio deorſum non feratur, aut puerperialis ſubſtiterit. Cucumeris agreſtis interiorem partem ad tres obolos ſumito, artemiſiae herbae et thuris obolum, haec trita et melle admixto, lana involuta in ſubdititio ad uteri oſculum apponito, idque noctu ſemper et in-

Ed. Chart. VII. [776. 777.] Foës. I. 623. Ed. Lind. II. (495. 496.)
θερμῷ διὰ φλοιῶν δάφνης. πιεῖν δὲ δοῦναι ἄγνου καρπὸν καὶ δίκταμνον Κρητικὸν ἴσον ἑκατέρου ἐν οἴνῳ λευκῷ ἢ ἐν ὕδατι. προσθετὸν δὲ ποιήσας πρόσθες χαλβάνην καὶ δαφνίδας καὶ ῥόδινον ἔλαιον, ἐν εἰρίῳ ἐνειλίξας. ὠκυτόκιον. τῆς δρυοπτέριος τὴν ῥίζαν τρίψας ἐν οἴνῳ, δὸς πιεῖν, καὶ ἀδίαντον τρίψας, ἐν ἐλαίῳ διεὶς ἀλείφειν ἐν οἴνῳ ἀκρήτῳ. λεχοῖ τὰ λοχεῖα καθαίρει ἄμεινον. χελώνης θαλασσίης ἦπαρ χλωρὸν ἔτι ζώσης, ἐν γάλακτι γυναικείῳ τρίβειν, καὶ ἴρινον μύρον, καὶ οἶνον ἀναδεῦσαι καὶ προστιθέναι, ἢ λινοζῶστιν τριπτὴν ἐν εἰρίῳ πρόσθες, ἢ ἀρτεμισίην τρίβων ὁμοίως ἐν εἰρίῳ προστιθέναι, καὶ λινοζώστιος καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ τε καὶ μέλιτι δεύσας προστιθέναι. ἐκ τόκου καθαρτήριον λοχείων. πυροὺς τριμηνιαίους ἑρείκειν ὅσον ἥμισυ χοίνικος ἑψῆσαι ἐν ὕδατι κοτύλῃσι τέσσαρσιν. ὅταν δὲ ζέσῃ δὶς ἢ τρὶς δοῦναι ῥοφῆσαι. ἕτερον. τῆς ἀκτῆς τὰ φύλλα ἑψήσας ἐν ὕδατι ἐπι(496)χέαι καὶ πίνειν. τρωγέτω δὲ καὶ κράμβας ἑφθὰς καὶ πράσα καὶ μάραθρον καὶ ἄννησον καὶ που[777]λύποδας καὶ

ticis lauri decocto lavare. Viticis autem ſemen et dictamni Cretici, utrumque pari portione, ex vino albo aut aqua potui exhibeto. Subditicium vero medicamentum parato, galbanum, lauri baccas et oleum roſaceum, lana involuta in peſſo ſubdito. Partum accelerans. Filicis quernae radicem ex vino tritam propinato et adiantum tritum oleo dilutum cum vino mero inungendum. Quod puerperae puerperii purgamenta probe repurgat. Teſtudinis marinae adhuc viventis jecur recens, in lacte muliebri tritum, unguento irino et vino ſubactum, in ſubditicio apponito. Aut mercurialem tritam in vellere ſubdito, aut artemiſiam tritam ſimiliter ex lana ſupponito. Aut mercurialis et cucumeris agreſtis modicum tritum, vino et melle ſubactum, in peſſo admoveto. Puerperii purgamenta ex partu expurgans. Triticum trimeſtre detracto cortice fractum ad dimidiam choenicem, in aquae heminis quatuor decoquito, cum autem deſerbuerit, bis aut ter in ſorbitione exhibeto. Aliud. Sambuci foliis in aqua decoctis, aquam in potum fundito. Braſſicas autem coctas edat, porra, foeniculum, aniſum,

Ed. Chart. VII. [777. 778.] Foës. I. 624. Ed. Lind. II. (497. 498.)
ὡς μαλθακωτάτοισι χρεέσθω. ἢ σκαμμωνίην τρίψας ἐν γάλακτι γυναικείῳ εἰρίῳ ἀνασπογγίσας προσθεῖναι. ἢ τῆς γλυκυρίζης μέλιτι δεύσας καὶ ῥοδίνῳ μύρῳ ἢ Αἰγυπτίῳ ἐν εἰρίῳ προσθέσθω, ἢ ἄλητον πλυτὸν ὁμοίως προστιθέσθω. πινέτω δὲ κρηθμοῦ καρπὸν καὶ σεσέλιος, πηγάνου καρπὸν, ὀπὸν, ἑκάστου ὀβολοὺς δύο τρίβειν ὁμοῦ καὶ ἐν ἀκρήτῳ ἢν μὴ πυρεταίνῃ διδόναι. [778] προσθετὸν ἐκβάλλον χορίον ἀπολελειμμένον. τῆς ἀκτῆς τὸ φύλλον, προπυριῆν δὲ καὶ προστιθέναι τὸ ξὺν τῇ κανθαρίδι. τοῦτο καὶ ὅσα ἠπεδανὰ ἰᾶται. ἢν δὲ ἀμύσσηται καὶ δάκνῃ, αὐτίκα ἀφαιρέειν, καὶ ἐς ῥόδινον εἰρίον ἀποβάπτουσα προσθέσθω. προσθετὸν δυνάμενον χορίον ἐξαγαγεῖν, καὶ ἐπιμήνια κατασπάσαι καὶ ἔμβρυον ἀπόπληκτον. καν(498)θαρίδας πέντε ἀποτείλας τὰ πτερὰ καὶ τὰ σκέλεα καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον παραθαλάσσιον κόψας σὺν τῇ ῥίζῃ καὶ τοῖσι φύλλοισιν ὅσον κόγχην καὶ τὸ εὐάνθεμον καὶ σελίνου σπέρμα τὸ ἶσον καὶ σηπίης ᾠὰ πεντεκαίδεκα ἐπ᾽ οἴνῳ γλυκεῖ κεκρημένῳ προσθεῖναι, καὶ ἐπὴν ὀδύνη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω καὶ μελίκρητον

molliſſimis utatur. Aut ſcammonium ex lacte muliebri tritum, vellere exceptum, in peſſo ſubdito. Aut glycyrrhizam melle ſubactam cum unguento roſaceo aut Aegyptio in vellere ſupponat. Aut farinam lotam ſimiliter in ſubdititio apponat. Bibat autem crethmi ſemen et ſeſeleos, ac rutae ſemen aut ſuccum, ita ut utriusque obolos duos ſimul tritos ex vino meraco exhibeas, ſi non febricitet. Subdititium medicamentum ſecundas relictas ejiciens. Priuş autem ex decocto foliorum ſambuci ſomentum admoveto et ſubdititium ex cantharide ſubjicito. Hoc debilius medetur. Quod ſi vellicet et mordeat, eo confeſtim ablato, lanam roſaceo intinctam ſubjiciat. Subdititium quod ſecundas educere valet, menſes foetumque ſideratum detrahere. Cantharidas quinque alis avulſis cruribus et capite, deinde tribulum marinum cum radice et foliis contuſum, ad conchae menſuram et chamomelli et ſeminis apii aequales portiones et ſepiae ova quindecim, ex vino dulci diluto in peſſo ſubdito. Cumque dolor detinuerit, in aquae calidae ſolio deſideat,

Ed. Chart. VII. [777.] Foës. I. 624. Ed. Lind. II. (496. 497.)
τοῦτο ποιέειν. ἢ τὸ ἀμπέλιον τρίβειν χλωρὸν καὶ μέλιτι μίσγων ἐς εἰρίον ἐνειλίξας προστιθέναι τὸν αὐτὸν τρόπον. ἢ τῆς κυπαρίσσου τὸν καρπὸν καὶ λιβανωτὸν τρίψας ἐν τῷ αὐτῷ ῥοδίνῳ διεὶς καὶ μέλιτι ἐς εἰρίον ἐνειλίξας προστιθέσθω. ἢ ἀβρότονον ὅσον δραχμὴν καὶ σι(497)κύης ἐντεριώνην ὅσον ὀβολὸν τρίψας καὶ λίβανον ἐν μέλιτι, ἐς εἰρίον ἐνειλίξας προστιθέναι. ἢ ἐλατηρίου ὀβολὸν καὶ σμύρνης τρίψας ἐν μέλιτι ἐς εἰρίον ἐνειλίξας προστιθέσθω. ἢ κυπαρίσσου καρπὸν καὶ σικύης ἐντεριώνην καὶ λιβανωτὸν μέλιτι μίξας ἐν εἰρίῳ προστιθέσθω. καθαρτήριον, ἢν ἐκ τόκου μὴ καθαρθῇ. τοῦ τριφύλλου ἐν οἴνῳ λευκῷ πίνειν, καὶ τὰ καταμήνια καταῤῥήγνυσι τωὐτὸ καὶ προσθετὸν καὶ ἔμβρυον ἐκβάλλει. μητρέων καθαρτικὸν, ὅταν τοῦ παιδίου ἀποθανόντος αἷμα ἐμμείνῃ. κολοκύντην ἀγρίην τρίψας ἐν μέλιτι λειχέτω, ἢ προστιθέσθω. λοχείης πάσης, ἢν μὴ καλῶς ἴῃ. ἐρύσιμον ἕψειν καὶ ἄλφιτον καὶ ἔλαιον ἐπιχέας, ὅταν ᾖ ἑφθὸν, ῥοφεέτω, καὶ σιτίοισιν

terdiu dierum quinque ſpatio facito. Aut vitis pampinum recentem tritum, cum melle mixtum lana involutum, ad eundem modum in peſſo ſupponito. Aut cupreſſi fructum et thus tritum, ſimulque roſaceo et melle ſubactum, lana convolutum in ſubdititio apponat. Aut abrotoni drachmam, et cucumeris agreſtis interiorem partem oboli pondere trita et thus cum melle, lana convoluta in peſſo ſubjicito. Aut elaterii obolum et myrrhae tantundem, ex melle trita, lana convoluta in ſubdititio apponat. Aut cupreſſi fructum et cucumeris agreſtis interiorem partem, et thus cum melle mixta lana obvoluta, in peſſo ſubjiciat. Medicamentum purgans ſi ex partu non purgetur. Trifolium ex vino albo potui exhibendum. Idem etiam in ſubdititio appoſitum menſes ut erumpant efficit et foetum expellit. Uteros purgans, cum extincto puero ſanguis intus remanſerit. Cucumerem agreſtem tritum ex melle delingat, aut in ſubdititio apponat. Ad omnem puerperii purgationem ſi non probe reſpondeat. Eryſimum affuſa polenta et oleo decoquito, ubi decoctum fuerit ſorbitione accipiat, et cibis quam

Ed. Chart. VII. [778. 779.] Foës. I. 625. Ed. Lind. II. (498. 499.)

θαρίδας τρίψας οἴνῳ τε δεύσας προστίθει. ἢ τὴν ἀρτεμισίην ποίην οἴνῳ δεύσας προστίθει. ἢ μελάνθιον τρί(499)ψας ἐν οἴνῳ ἐν εἰρίῳ προστίθει. ἢ βόλβιον τὸ ἐκ τῶν πυρῶν τρίψας ἐν οἴνῳ τε δεύσας προστίθει. ἢ οἴνου παλαιοῦ λευκοῦ τὴν τρύγα κατακαῦσαι καὶ κατασβέσαι οἴνῳ λευκῷ καὶ τρῖψαι καὶ προσθεῖναι ἐν ὀθονίῳ. ἢ χαλβάνην καὶ νέτωπον καὶ μίσυ, ἐν ῥοδίνῳ μύρῳ ἐν ὀθονίῳ. ἄλλο προσθετόν. ἑλατηρίου δύο πόσιας καὶ κηρίον ἐν οἴνῳ δι' ὀθονίου προστίθει, ἢ βούτυρον καὶ στυπτηρίην μέλιτι δεύσας ὁμοίως. ἢ ὀπὸν σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ ξυμμίξας οἴνῳ τε δεύσας δι' ὀθονίου προσάγειν. [779] ποτὰ δυνάμενα χορίον τι κρατηθὲν ἐν τῇ μήτρῃ ἐξαγαγεῖν. κολοκυνθίδος ἀγρίης τρίψας τὸ ἔνδον ἐν γάλακτι γυναικείῳ ἐν ὀθονίῳ προστιθέσθω. ἐπὶ τοῦ αὐτοῦ. σίλφιον ὅσον κύαμον ἐν οἴνῳ διδόναι πίνειν. ἕτερον ἐκβόλιον. ὑπὸ τὰς μασχάλας λαβὼν σείειν ἰσχυρῶς. ποτὰ δὲ διδόναι ἄγνου πέταλα ἐν οἴνῳ, ἢ δίκταμνον Κρητικὸν ὅσον ὀβολὸν ἐν ὕδατι τρίβειν καὶ διδόναι. ἢ κονύζης τῆς δυσό-

ptum, in ſubdititio apponito. Aut cantharidas tritas vinoque ſubactas ſupponito. Aut artemiſiam herbam vino maceratam in ſubdititio apponito. Aut melanthium ex vino contritum in vellere ſubdito. Aut bulbulum ex tritico tritum vinoque maceratum ſupponito. Aut vini albi veteris faecem combuſtam, vinoque albo reſtinctam et tritam, in linteo ſupponito. Aut galbanum et netopum et miſy ex unguento roſaceo in linteo ſubdito. Aliud ſubdititium. Elaterii quantum duae potiones, et favum ex vino in linteo ſubdito. Aut butyrum et alumen melle ſubactum, eodem modo. Aut ſcammonii ſuccum et adipem in mazam commixta, vinoque ſubacta ex linteo introducito. Potiones quae ſecundas utero detentas educendi vim habent. Colocynthidis agreſtis partem interiorem ex lacte muliebri tritam in linteo ſubdito. Ad idem. Silphium ſabae quantitate ex vino propinato. Aliud foetum etiam excludens. Mulierem ex axillis comprehenſam vehementer concutito. In potu vero agni caſti folia ex vino dato, aut dictamni Cretici obolum ex aqua tritum exhibeto. Aut conyzae foetidae ma-

Ed. Chart. VII. [778.] Foël. I. 624. 625. Ed. Lind. II. (498.)
ὑδαρὲς πινέτω, καὶ οἶνον γλυκὺν, καὶ τοῦ τετριμμένου ὅσον σιατῆρα Αἰγιναῖον ἐν οἴνῳ πίνειν γλυκεῖ. ἐπὴν δὲ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ σταφίδας ἑψήσας ἐν ὕδατι ψῦξαι καὶ διδόναι πίνειν, ὅταν ἡ στραγγουρίη ἔχῃ, καὶ ἐν ὕδατι χλιαρῷ ἐγκαθήσθω. ἐκβόλιον ὑστέρων. σικύου ἀγρίου τὸν ὀπὸν ὡς ‖ μαζίον ἐμπλάσασα προστιθέναι, προνηστεύσασα ἐπὶ δύο ἡμέρας, οὐκ ἂν εὕροις τούτου ἄμεινον. πειρητήριον. μώλυζαν σκορόδου ἀποζέσας προσθεῖναι ὥρην. ἕτερον πειρητήριον. νέτωπον ὀλίγον εἰρίῳ ἐνελίξας προσθεῖναι καὶ ὀρῇν εἰ διὰ τοῦ στόματος ὄζηται. προσθετά. σκορπίου θαλασσίου τὴν χολὴν ἐν εἰρίῳ τιθεὶς καὶ ξηράνας ἐν σκιῇ προστίθει, ἢ γλήχωνα ξηράνας καὶ ἐν μέλιτι δεύσας, ἐν εἰρίῳ προστιθέναι, ἢ ἄνθος χαλκοῦ ἐν μέλιτι ἐς ὀθόνιον ἐνδήσας προσθεῖναι, ἢ σικύου σπέρμα καὶ ὄστρακον κατακλύσας, ἐν οἴνῳ τε δεύσας ἐν λαγωῇσι θριξὶν καὶ εἰρίῳ προστιθέναι. ἄλλο προσθετόν. στυπτηρίην Αἰγυπτίην ἐν εἰρίῳ κατελίξας προσθεῖναι. ἢ καν-

et aquam mulſam aquoſam et vinum dulce bibat. Quin etiam ejus contriti ſtaterem Aeginenſem ex vino dulci propinato. Quod ſi dolor detinuerit, cicera alba et uvas paſſas in aqua coquito, refrigeratum decoctum potui exhibeto, ubi ſtranguria vexarit, etiam in aqua tepida deſideat. Hoc ſecundas expellit. Cucumeris agreſtis ſuccum in mazam ſubactum in ſubdititio apponito, ubi prius per biduum cibo abſtinuerit. Hoc nullum invenias praeſtantius. Medicamentum ad explorandam foecunditatem. Allium caput habens unicum decoctum, per horam in ſubdititio apponito. Aliud foecunditatem explorans. Netopi modicum lana convolutum in peſſo ſubjicito et videto num ejus odor ad os perveniat. Subdititia medicamenta. Fel ſcorpii marini lana exceptum et in umbra ſiccatum, in peſſo ſubdito. Aut pulegium ſiccatum et melle ſubactum, in vellere ſubjicito. Aut aeris florem cum melle linteo illigatum in ſubdititio apponito. Aut cucumeris agreſtis ſemen et teſtam combuſtam, ex vino et pilis leporis ſubactam, in vellere ſupponito. Aliud ſubditititium. Alumen Aegyptium lana exce-

Ed. Chart. VII. [779.] Foës. I. 625. 626. Ed. Lind. II. (500.)
χανδάνει χειρ, πράσου τε χυλὸν καὶ νέτωπον ξυμμῖξαι ὅσον χηραμύδα, ταῦτα ἐν οἴνῳ πινέτω. χορίον ἐξάγει, καὶ ἐπιμήνια κατασπᾷ, καὶ τὸ ἔμβρυον ἡμίεργον ἔλκει. κανθαρίδας πέντε, ἀποτίλας τὰ πτερὰ καὶ τὰ σκέλεα καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον τὸ παραθαλάσσιον κόψας ξὺν τῇ ῥίζῃ καὶ τοῖσιν φύλλοισιν, ὅσον κόγχην, καὶ τὸ εὐάνθεμον τὸ χλωρὸν τρῖψον ἶσον πλῆθος, καὶ σελίνου σπέρμα, καὶ σηπίης ὠὰ πεντεκαίδεκα ἐν οἴνῳ || γλυκεῖ κεκρημένῳ ταῦτα ὁμοῦ, καὶ ἐπειδὰν ὀδύνη ἔχῃ, πίνειν. καὶ ἐν ὕδατι θερμῷ ἐγκαθιζέσθω. πινέτω δὲ μελίκρητον ὑδαρὲς καὶ γλυκὺν οἶνον λευκόν. ὕστερον δύναται ἐκβάλλειν. ὁλοκωνίτιδος τῆς γλυκείης ῥίζα. ἔστι δὲ ὡς βολβὸς, σμικρὸν δὲ ὡς ἐλαίη. ταύτην τρίβειν ἐν οἴνῳ καὶ διδόναι πίνειν· ἢν μὲν ᾖ σμικρὰ, δύο, ἢν δὲ μείζω, μία ἀρκεῖ. παραμίσγειν δὲ τῶν σπερμάτων κύμινον Αἰθιοπικὸν καὶ σέσελι Μασσαλιωτικὸν, ἢ φύλλον τὸ Λιβυκὸν, ξηρὸν ἡμιχοίνικον σὺν οἴνῳ κοτύλῃσι τρισὶν, ἕψειν καὶ ἄγειν ἐς τὸ ἥμισυ, καὶ ἀπὸ τούτου πινέτω. ἄλλο. λύγου καρπὸν, σεσέλιος ἶσον. σμύρνης τρίβειν ὁμοῦ καὶ σὺν ὕδατι διδόναι πίνειν.

conyzae quantum manus capit, porri ſucco et netopo conchae majoris quantitate admixto haec ex vino bibat. Hoc ſecundam educit, menſes deturbat et foetum imperfectum extrahit. Cantharidas quinque, alis, cruribus et capite avulſis, deinde tribuli marini cum radice et foliis contuſi conchae quantitatem et chamaemelum recens tritum aequali copia, apii ſemen et ova ſepiae quindecim, haec omnia ex vino dulci diluto permixta, cum primum dolor detinuerit, potui exhibenda. Quinetiam in aqua calida deſideat, aquam vero mulſam dilutam et vinum dulce album bibat. Secundam expellere valet holoconitidos dulcis radix, quae bulbum refert et parva eſt velut oliva, hanc ex vino tritam potui exhibeto. Quae ſi exigua quidem fuerit, duae exhibendae, ſin majuſcula, una ſatis eſt. Ex ſeminibus autem cuminum Aethiopicum et ſeſeli Maſſilienſe admiſceto. Aut folium Libycum ſiccum ad dimidiam choenicem ex vini cyathis tribus decoquito, ex eo ad dimidias decocto bibat. Aliud. Viticis ſemen, ſeſelios aequalem portionem et myrrham ſimul trita

Ed. Chart. VII. [779.] Foës. I. 625. Ed. Lind. II. (499. 500.)

σμου ὅσον χεῖρα πλείην διεῖναι πράσου χυλῷ, καὶ νέτωπον, ὅσον χήμην ἀδρήν. ταῦτα ἐν οἴνῳ δοῦναι πιεῖν τρίψαντα λεῖα. ἢ δᾷδα πιοτάτην ξὺν γλυκεῖ οἴνῳ ἑψεῖν, ἐπιχέας ὅσον τρεῖς κυάθους, καὶ χαλβάνην ὅσον τριώβολον, καὶ σμύρναν ἑψήσας, ἐπειδὰν παχὺ γένηται, δὸς πιεῖν χλιηρόν. ἢ πράσου χυλὸν καὶ σμύρναν καὶ οἶνον γλυκὺν ὁμοῦ. ἢ ἀνδράχνης καρπὸν λέαινε. δίδου δὲ ἐν οἴνῳ λευκῷ παλαιῷ. ἢ αἰγείρου Κρητικῆς κόκκους ἐννέα τρίψας ἐν οἴνῳ πινέτω. ἢ βατραχίου βοτάνης ἐκ τῶν φύλλων καὶ τοῦ ἄνθεος τετριμμένου ὅσον δραχ(500)μὴν Αἰγιναίην ἐν οἴνῳ πίνειν γλυκεῖ. ἢν δὲ ἔτι ἐνέχηται τὸ χορίον, λεβηρίδος ὅσον ὀβολὸν τρίβειν ἐν οἴνῳ καὶ πίσαι. ἢ σελίνου ῥίζαν καὶ μύρτα ἑψέτω, πίνειν δὲ ἡμέρας τέσσαρας. ἢ κύμινον Αἰθιοπικὸν, καὶ τὸ καστόριον ὁκόσον ὀβολὸν, καὶ κανθαρίδος μικρόν. ταῦτα ἐν οἴνῳ διδόναι πίνειν. ἢ μαράθρου ῥίζαν ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ μέλιτι ἀναζέσαντα πιπίσκειν. ἢν τὸ χορίον μὴ ὑποχωρέῃ, κόνυζαν τρίψας ἐν εἰρίῳ πρόσθες, πίνειν δὲ ἄμεινον. ἢ κονύζης ὅσον

nipulum porri ſucco dilutum, netopo ad plenae chemae menſuram addito, haec leviter trita ex vino propinato. Aut taedam pinguiſſimam vino dulci ad tres cyathos affuſo decoquito, addito galbano ad tres obolos et myrrha. Decoctum ubi craſſitudinem acceperit, tepidum potui exhibeto. At porri ſuccum et myrrham cum vino dulci ſimul. Aut portulacae ſemen ad laevorem terito, ex vino autem albo veteri exhibeto. Aut populi nigrae Creticae grana novem ex vino nigro bibat. Aut ranunculi herbae folia et floris triti drachmae Aeginenſis pondus ex vino dulci bibendum. Quod ſi ſecunda adhuc intus adhaeſerit, membranae vernationis anguinae obolum ex vino tritum propinato. Aut apii radicem et myrti baccas decoctas, per dies quatuor in potu aſſumat. Aut cuminum Aethiopicum et caſtorium oboli pondere et cantharidis parum, haec ex vino bibenda exhibeto. Aut foeniculi radicem ex vino cum oleo et melle ſervefactam propinato. Si ſecunda non decedat, conyzam tritam in vellere ſubjicito, bibere autem praeſtat. Aut

Ed. Chart. VII. [780.] Foës. I. 626. Ed. Lind. II. (501. 502.)

ὅσον ἐλαίην τρίψας ἐν κεδρίνῳ ἐλαίῳ προσθέσθω. τοῦτο δύναται διαφθείρειν καὶ ἐκβάλλειν τὸ νοχελές. ἄλλο ἐκβόλιον ἔγχυτον ὑστέρων. ὅταν σαπῇ νεκρωθὲν ὑπὸ ψύχεος, ὅταν ἄνεμος ψυχρὸς ᾖ, κρόκον τρίψας λεῖον ὅσον δραχμὴν ὁλκήν, ἐν στέατι χηνὸς ἐγχέαι καὶ ἐᾶν ὡς πλεῖστον χρόνον. ποτὸν συμβάλλον πρὸς τόδε καλῶς. κόνυζαν τὴν ἡδύοσμον τρίψας λείην ἐν οἴνῳ εὐώδει, ἢ ἐν συρμαίῃ, δοῦναι πιεῖν καὶ λούειν θερμῷ. ἄλλο ὁμοίως ποτὸν τοῦ παιδίου καὶ τῶν ἐνόντων κακῶν. ἰὸν χαλκοῦ ξυντρίψας ξὺν μέλιτι καὶ συρμαίῃ δὸς πιεῖν. (502) ἄλλο πρόσθετον ἐκβόλιον, ἢν ἀποθνήσκῃ. χαλκοῦ ῥινήματα ἐνθεὶς ἐς ὀθόνιον μαλθακὸν πρόσθες πρὸς τὸ στόμα τῶν μητρέων καὶ ὠφελήσεις. ὄστρακον νέον, καὶ στέαρ χήνειον τρίψασα προσθέσθω. ἄλλο προσθετόν. νίτρον ἑψήσας ξὺν ῥητίνῃ καὶ ποιήσας βάλανον, βάπτων ἐς ὄρνιθος στέαρ προστίθει. ἄλλο προσθετόν. χάριεν τὸ ἐπονομαζόμενον, τούτου ῥίζαν πρὸς τὸν ὀμφαλὸν πρόσθες μὴ πουλὺν χρόνον. ἄλλο. ἀγρίην κολοκύντην καὶ μυῶν ἀπόπατον

dine ex oleo cedrino tritum in ſubdititio ſupponat. Hoc etiam foetum perdere et ſecundam morantem detrahere valet. Aliud quod infuſum ſecundas ejicit. Cum foetus ex frigore mortuus computruerit, ſi ventus frigidus fuerit, crocum laeviter tritum drachmae pondere, ex anſerino adipe in uterum infundito, ibique diutiſſime ſinito. Potio ad id probe conducens. Conyzam grati odoris laeviter tritam, ex vino odorato aut ſyrmaea potui exhibeto et calida lavato. Alia ſimilis potio ad puerum et vitia quae intus ſunt. Aeruginem tritam cum melle et ſyrmaea potui exhibeto. Aliud ſubditicium foetum mortuum expellens. Aeris limatam ſcobem molli linteo exceptam, ad os uteri apponito et juvabis. Teſtam recentem cum adipe anſerino tritam ſibi ſupponat. Aliud ſubditicium. Nitrum cum reſina decoctum, in glandem efformatum, gallinaceo adipe intinctum, in ſubditicio apponito. Aliud ſubditicium. χάριεν vulgo eſt nuncupata herba, hujus radicem non longo tempore ad umbilicum admoveto. Aliud. Cucurbitam agreſtem et mu-

Ed. Chart. VII. [779. 780.] Foës. I. 626. Ed. Lind. II. (500. 501.) ἐκβόλια· ἄγνου λευκῆς νέης ὅσον ὀξύβαφον. ἐν οἴνῳ λευκῷ εὐώδει δὸς πιεῖν, τρίψας λεῖον. ἕτερον. καστορίου ἢ σαγαπήνου ὀβολὸν, ἀσφάλ(501)του δραχμὴν μίαν, [780] νίτρου δύο, πάντα τρίψας ἐν γλυκεῖ οἴνῳ, καὶ ἐλαίου ὅσον ἡμικοτύλιον δὸς πιεῖν νήστει ὀβολοὺς δύο, καὶ λοῦσον θερμῷ καλῶς. ἄλλο ὁμοίως ἔχον. ἐχίνους θαλασσίους τρεῖς τρίψας ὅλους λείους ἐν οἴνῳ εὐώδει, δὸς πιεῖν. ἄλλο. μίνθης δεσμίδα μικρὴν καὶ πηγάνου καὶ κοριάννου, καὶ κέδρου ἢ κυπαρίσσου σπέρμα, ἐν οἴνῳ εὐώδει δὸς πιεῖν. καὶ τῶν ἐχίνων, ἂν ἔχῃ, ῥοφείτω ἐπὶ τὸ πλεῖστον. ὡσαύτως ἔπειτα λοῦσον θερμῷ. ἄλλο ὁμοίως. ἄνησον, κεδρίδας, σελίνου καρπὸν, Αἰθιοπικὸν κύμινον, σέσελι, ἑκάστου ἡμισυ ὀξυβάφου δὸς ἐκπιεῖν οἴνῳ λευκῷ τρίψας λεῖον. ἄλλο ὁμοίως. δικτάμνου δεσμίδα καὶ δαύκου καρποῦ δραχμὰς δύο, καὶ μελάνθιον ἴσον ἐν οἴνῳ λευκῷ, τρίψας λεῖον δὸς πιεῖν, καὶ λοῦσον θερμῷ πολλῷ. διδόναι δὲ πρὸς τὴν ἰσχὺν τοῦ νοσήματος. ἄλλο. χαλβάνην

ex aqua potui exhibeto. Quae foetus expellunt. Agnum album recentem acetabuli quantitate, ex vino albo grati odoris laeviter tritum potui exhibeto. Aliud. Caſtorii aut ſagapeni obolum, bituminis drachmam unam, nitri duas, haec omnia ex vino dulci trita et olei hemina dimidia, jejunae ad duos obolos bibenda exhibeto et calida probe lavato. Aliud quod easdem habet vires. Echinos marinos tres integros ex vino grati odoris laeviter tritos potui exhibeto. Aliud. Menthae parvum faſciculum, rutae, coriandri et cedri aut cupreſſi ſemen, ex vino odorato potui exhibeto. Et ex echinis, ſi adſint, ſaepiuſcule ſorbitionem accipiat, ad eundem deinde modum calida lavet. Aliud eodem modo. Aniſum, cedri baccas, apii ſemen, cuminum Aethiopicum, ſeſeli, cujusque acetabuli dimidium ex vino albo laeviter tritum bibendum dato. Aliud ſimiliter faciens. Dictamni faſciculum, ſeminis dauci drachmas duas et melanthii tantundem, ex vino albo laeviter tritum in potum exhibeto et calida multa lavato. Danda autem haec ad vim morbi reſpectu habito. Aliud. Galbanum olivae magnitu-

Ed. Chart. VII. [781.] Foës. I. 627. Ed. Lind. II. (503.)

σαπὲν παιδίον. ἢν δὲ μὴ, λαβὼν ἅλας Αἰγυπτίους καὶ κολοκύντην ἀγρίην χλωρὴν, μέλιτι μίξας καὶ τρίψας, δοῦναι φαγεῖν, καὶ ἐπὴν φάγῃ, κινέσθω τῇδε καὶ τῇδε. ἅλας Αἰγυπτίους, καὶ μυόχοδα, καὶ ἀγρίην κολοκύντην, καὶ μέλιτος ὅσον τεταρτημόριον ἐπιχεῖν ἡμίεφθον. λαβὼν ῥητίνης δραχμὴν μίην ἔμβαλε ἐς τὸ μέλι καὶ τὴν κολοκύντην καὶ τὰ μυόχοδα συντρίψασα πάντα καλῶς καὶ ποιήσασα βαλάνους πρὸς τὴν μήτρην προσθέσθω, ἕως ἂν δοκέῃ καιρὸς εἶναι. ἕτερον ἐκβόλιον, ὃ τὸ παιδίον βλητὸν γενόμενον ἐκβάλλει. ἐλξίνην ἐν οἴνῳ τρίψας πότισον. ἕτερον ποτὸν ἐκβολῆς, ὃ τὸ παιδίον ἐκβάλλει πελιδνόν. ἰοῦ ἑκτόμου τὰς ῥίζας τρίψας λεπτὰς καὶ τοῖσι τρισὶ δακτύλοισι καὶ σμύρνης ὅσον κύαμον ἅρας ἐν οἴνῳ γλυκεῖ πίπισκε. ἐκβόλιον. κορίαννον σὺν τῇ ῥίζῃ καὶ νέτωπον προσθεμένη περιπατείτω. ἔγχυτον ἐμβρύου, ἢν ἀποθάνῃ παιδίον, ὥστε ἐκβάλλειν. κρόκον τρίψας ἐπίχεε χηνὸς ἔλαιον καὶ διυθήσας, ἔγχεε ἐς τὰς μήτρας, καὶ καταλίμπανε ὡς πλεῖστον χρόνον. ἔμβρυον ἀκίνητον φθεῖραι καὶ ἐκβαλεῖν.

foras prodit. Sin minus, ſalem Aegyptium fumito et cucurbitam agreſtem viridem, ex melle commixtam et tritam edendam praebeto, qua ſumpta in hanc et illam partem commoveatur. Salem Aegyptium et muſcerdam, cucurbitam agreſtem, mellis ſemicocti quadrante affuſo, reſinae drachmam unam in mel inmitte et cucurbitam et muſcerdam, omnibusque ut decet contritis, glandes efformatas ad uterum, quandiu tempeſtivum videbitur, apponito. Aliud foetum excutiens, quod etiam puerum veluti fidere tactum ejicit. Helxinem ex vino tritam propinato. Alia potio ejectoria, quae puellum ſugillatum extrudit. Radicum veratri nigri tenuiter tritarum pugillum unum et myrrhae fabae quantitatem, ex vino dulci propinato. Aliud quod expellit. Coriandrum cum radice et netopum ubi in ſubdititio appoſuerit, deambulet. Infuſum ad foetum, quod puellum immortuum ejicit. Crocum tritum affuſo adipe anſerino et excolatum in uterum infundito et quam diutiſſime relinquito. Ad foetum immotum corrumpendum et ejiciendum. Alumi-

Ed. Chart. VII. [780. 781.] Foël. I. 626. 627. Ed. Lind II. (502. 503.)
τρίψας λεῖα προστίθει. ἄλλο ἐπιδετόν. Ῥητίνην καὶ στέαρ ὄρνιθος τρίψας ἅμα καὶ μίξας ἐπιδησάσθω ἐπὶ τὸν ὀμφαλὸν καὶ τὴν γαστέρα. ἄλλο προσθετόν. τοῦ κισσοῦ τοῦ λευκοῦ τὸν καρπὸν καὶ κέδρου πρίσμα τρίψασα καὶ βαλάνια ποιήσασα προστιθέσθω. ἄλλο. χελώνης θαλασσίης τὸν ἐγκέφαλον καὶ Αἰγύπτιον κρόκον, καὶ ἅλας Αἰγύπτιον τρίψας καὶ ξυμμίξας ποιέειν βαλάνους, καὶ προστιθέσθω. ἐκβόλιον θυμίαμα, δυνάμενον καὶ αἷμα γαστρὸς ἐξελάσαι. || ἰτέης φύλλα ἐπὶ πῦρ ἐπιθεὶς θυμᾶν, καὶ περικαθίσας τὴν γυναῖκα εἷν ἄχρις ἂν ὁ καπνὸς ἐς τὴν μήτρην εἰσίῃ, περὶ ἰάσιος ἐκτρωσμοῦ. ὅταν ἡ γυνὴ ἐκτρώσῃ καὶ τὸ παιδίον μὴ ἐξίῃ, ἤν τε σαπῇ, καὶ οἰδήσῃ [781] ἤ ἄλλο τι πάθῃ τοιοῦτον, πράσα καὶ σέλινα ἐκθλίψας τὸν χυλὸν διὰ ῥάκεος ἀμφοτέρων ἐπισυνάξας, καὶ κοτύλην ῥοδίνου ἐλαίου καὶ στέαρ χηνὸς ὅσον τεταρτημόριον ῥητίνης τε ὀβολοὺς τρεῖς κατατήξας ἐν ἐλαίῳ, καὶ ποιήσας πρὸς ποδῶν ὑψηλοτέρην, ἔγχεον ἐς τὰς μήτρας. καὶ ἐχέτω κειμένη χρόνον ὅτι πλεῖστον. ἔπειτα κάθισον ἡμέρας τέσ(530)σαρας, καὶ ἐξέρχεται τὸ ἀπο-

rium ſtercus laeviter contrita in ſubdititio apponito. Aliud quod alligatur. Reſinam et gallinaceum adipem ſimul trita et mixta ad umbilicum et ventrem alliget. Aliud ſubdititium. Hederae albae fructum et cedri ſcobem tritam et in glandulas efformatam ſibi ſupponat. Aliud. Teſtudinis marinae cerebrum cum croco Aegyptio et ſale Aegyptio tritum et commixtum, in glandes formatum ſibi ſupponat. Suffitus foetum ejicere et ventris ſanguinem educere valens. Salicis foliis in ignem conjectis ſuffitum parato et circumlocatam mulierem tantisper ſinito, dum fumus ad uterum penetrarit. De abortionis curatione. Ubi mulier abortionem fecerit, neque puer exierit, ſive computruerit ac intumuerit, ſive aliud quid tale contigerit, porri et apii ſuccum ex utrisque collectum et per linteum expreſſum, olei roſacei heminam, adipis anſerini quadrantem, reſinae obolos tres in oleo liquatos, haec omnia, muliere a pedibus excitata, in uterum infundito, et ut decumbens quam diutiſſime detineat jubeto, deinde per quatuor dies in ſella collocato, et puer putrefactus

Ed. Chart. VII. [781. 782.] Foës. I. 627. 628. Ed. Lind. II. (504. 505.) χλιήνας κλύσαι. ἄλλο. κράμβην, καὶ λινοζῶστιν, καὶ λίνου σπέρμα, καὶ χλωρὸν τὸ λίνον ἑψήσας, ἐν ὕδατι ἀπηθήσας κλύσαι τῷ ὕδατι, μυρσίνης τῶν φύλλων ὀξύβαφον, σμύρνης, ἀννήσου, μέλι, ῥητίνην, μύρον Αἰγύπτιον, [782] τρίψας πάντα καὶ ἑνώσας, ἐπιχέας τε καὶ οἴνου λευκοῦ ὡς εὐωδεστάτου κοτύλας δύο, διηθήσας, χλιήνας, κλύσον αὐτῷ. ἢ δάφνης καρπὸν καὶ γλήχωνα ἑψήσας ἐν ὕδατι, μύρον τε ῥόδινον ἐπιχέας, τούτῳ κλύζε χλιήνας. ἢ χηνὸς στέαρ τῇ ῥητίνῃ μίξας, ἐπιχέας τε πρὸς τοῦτο οἶνον καὶ χλιήνας κλύσαι. ‖ ἄλλο. Βούτυρον καὶ κέδρινον ἔλαιον ἐν μέλιτι ὀλίγῳ χλιήνας κλύσον αὐτῷ. ἢ δάφνης καρπὸν, ἢ βαλεῖν μέλι, βούτυρον, σχοῖνον, κάλαμον εὐώδεα, βρύον θαλάσσιον καὶ ἑψῆσαι ἐν οἴνῳ. εἶτα ἀπηθῆσαι καὶ οὕτω κλύσαι. ἢ σελίνου καρπὸν, σεσέλιος, (505) σμύρναν, ἄννησον, μελάνθιον, ἐν οἴνῳ ἀπηθήσας τὸν οἶνον κλύσαι. ἢ κέδρον ἑψήσας ἐν οἴνῳ, κλύσαι τῷ οἴνῳ. ἢ κισσὸν ἑψήσας ἐν ὕδατι κλύσαι τῷ ὕδατι. ἢ ἑλατήριον, ἢ κέστρον δύο πόσιας, ἑψεῖν ἐν ὕδατι καὶ ὅσον

eluito. Aliud. Braſſicam, mercurialem, lini ſemen et ipſum linum viride in aqua decoquito, eaque percolata eluito. Foliorum myrti acetabulum, myrrham, aniſum, mel, reſinam, unguentum Aegyptium, tritis omnibus et unitis, vinique albi quam odoratiſſimi heminis duabus affuſis, percolato tepido eluito. Aut lauri baccis et pulegio in aqua decocto et unguento roſaceo affuſo, eo tepido eluito. Aut anſerino adipe reſinae permixto et ad hoc affuſo vino, tepido colluito. Aliud. Butyrum et oleum cedrinum, cum pauco melle tepefacito, ex eo eluito. Aut lauri baccis, aut melle, butyro, junco et calamo odorato, muſcoque marino in vinum conjectis et decoctis, deinde percolatis, ſic quoque eluito. Aut apii ſemen, ſeſeli, myrrham, aniſum, melanthium, in vino coquito, vinum percolatum per infuſum immittito. Aut cedro in vino decocto, vino eluito. Aut hedera in aqua decocta, decocto eluito. Aut elaterii, aut betonicae quantum ad duas potiones ſatis eſt, in aqua decoquito et decocti tepentis duabus heminis colluito. Aut

Ed. Chart. VII. [781.] Foës. I. 627. Ed. Lind. II. (503. 504.)
στυπτηρίης σχιστῆς δραχμὴν μίαν, σμύρνης ἶσον. ἐλλεβόρου μέλανος τριώβολον τρίψας λεῖα ἐν οἴνῳ μέλανι βαλάνια ποιέειν, καὶ προστιθέναι ἄγχι, ἄχρις ἂν κατ' ὀλίγον ἀπολυθῇ. κλυσμοὶ καθαρτικοὶ μητρέων, ἢν ἐκ τόκου ἑλκωθῶσι ἢ φλεγμασίης. ὀλύνθους χειμερινοὺς ὕδωρ ἐπιχέας καὶ ζέσας, ἀφεῖναι καὶ καταστῆναι. εἶτα ἔλαιον (504) ἐπιχέαι χλιηρὸν καὶ μῖξαι, κλεῖσαι δὲ δύο κοτύλῃσι τὸ πλεῖστον. πάντα δὲ τὰ κλύσματα μὴ πλέω τούτων κλύζειν, καὶ σιδίοισι καὶ μάννῃ, ἐν οἴνῳ μέλανι αὐστηρῷ ἑψημένῳ. εἶτα ἀποχέας τὸν οἶνον τούτῳ κλύζε. ἄλλος κλυσμός. τρύγα οἴνου κατακαύσας τῆξον, καὶ ἐν ὕδατι κλύσον, εἶτα σίδια μύρτα, σχοῖνον εὐώδεα, φακοὺς ἑψήσας ἐν οἴνῳ ἀποχέας τὸν οἶνον κλύζε. ἄλλος κλυσμός. βούτυρον, λιβανωτὸν, ῥητίνην, μέλιτι τήξας ἐν τῷ αὐτῷ, οἶνόν τε ἐπιχέας κλύζε χλιηρῷ. ἢ ἀκτῆς καρπὸν ἑψήσας ἐν ὕδατι ἀποχέας τὸ ὕδωρ, τρίψας ἐν τῷ αὐτῷ, σέλινον, σμύρναν, ἄννησον, λιβανωτὸν, ἐπιχέας τε καὶ οἶνον ὡς εὐώδεα, ἶσον τῷ ὕδατι, διηθήσας τε δι' ὀθονίου

nis ſciſſilis drachmam unam, myrrhae tantundem, veratri nigri obolos tres, ex vino nigro tenuiter trita in glandulas efformato et propius ſupponito, quoad ſenſim diſſolvatur. Colluliones uteros purgantes, ſi ex partu aut inflammatione exulcerati ſuerint. Groſſos hibernas affuſa aqua decoctas, excolato et deponito, deinde oleum tepidum affundito et permiſceto. Duabus autem ad ſummum heminis colluito. Omnes vero collutiones ex quibus infuſa parantur, menſuram iſtam non excedant. Malicorium et mannam in vino nigro auſtero decoquito, deinde vino diffuſo, ex eo colluito. Alia collutio. Uſtam vini faecem aqua liquefacito, ex ea colluito. Deinde malicorium, myrti baccas, juncum odoratum et lentes in vino decoquito, vino diffuſo, eo colluito. Alia collutio. Butyrum, thus, reſinam, cum melle ſimul liquefacito, vinoque affuſo, tepido colluito. Aut ſambuci fructum in aqua decoquito, eaque percolata, apium, myrrham, aniſum, thus ſimul terito, vinoque odorato pari cum aqua menſura affuſo et per linteum excolato, tepido

Ed. Chart. VII. [782. 783.] Foës. I. 628. Ed. Lind. II. (505. 506.)

ρον τὸ λευκὸν Αἰγύπτιον. ταῦτα πάντα ὁμοῦ τρίβειν, εἶτα οἴνῳ διεὶς λευκῷ κοτύλῃσι δυ(506)σὶ χλιηρῶς κλύζειν. ἢ λινοζῶστιν ἕψειν ἐν ὕδατι καὶ ἀπηθεῖν, ἢ σμύρνης ὀξύβαφον, λιβανωτὸν, σέσελι, νέτωπον, ἶσον ἑκάστου χλιηρῶς κλύζειν. ἢ ἐλελίσφακον καὶ ὑπερικὸν, ἐν ὕδατι ἑψήσας, κλύζειν τῷ ὕδατι. ἢ ἀκτῆς καρπὸν καὶ δαφνίδας ἑκατέρων ἐξ ἴσου ἕψε ἐν οἴνῳ, εἶτα τῷ οἴνῳ κλύζε. ἢ γλήχωνος τῷ ὕδατι κλύσον, ἢ κηνὸς ἔλαιον ἐν ῥητίνῃ τήξας, ὁμοίως κέδρινον ἔλαιον παραχέας ὀλίγον καὶ μέλιτι διατήξας, κλύζειν χλιηρῶς. ἢ ἀργύρου ἄνθος ἐν οἴνῳ καὶ μέλιτι καὶ κηρῷ τηκτόν, καὶ κύπερον καὶ σχοῖνον καὶ κάλαμον, ἄτινα δὴ καὶ ἐς μύρον μισγεται, καὶ ἶριν, βρύον, ἐν οἴνῳ ἑψῶν κλύζειν, ἢ σελίνου καρπὸν, ἄννησον, σέσελι, σμύρναν, μελάνθιον ἐν οἴνῳ ἑψῆσαι. [783] ἢ κέδρον Κρητικὴν ἐν οἴνῳ ἕψειν. καὶ κλύζειν ἐν ὕδατι, καὶ κισσὸν Κρητικὸν ἐν ὕδατι. ταῦτα δρᾷν εἰ ἔχει τρῶσιν καὶ σμύρναν διεὶς ἐν ὕδατι κλύσαι. ἢ ἐλατηρίου ὅσον δύο πόσιας ἐν ὕδατι κλύσαι. ἢ κολοκυνθίδας ἀγρίας

anſerinum, acetum album et unguentum Aegyptium. Haec omnia ſimul laeviter terito, deinde vini albi duabus heminis diluito, tepido colluito. Aut mercurialem in aqua decoquito et percolato, aut myrrhae, acetabulum, thus, ſeſeli, netopum, cujusque pari portione addita, tepido colluito. Aut ſalvia et hyperico in aqua decoctis, ex ea colluito. Aut ſambuci fructum et lauri baccas, utrorumque pares portiones, in vino decoquito, deinde cum vino colluito. Aut pulegii decocto eluito, aut adipe anſerino cum reſina liquato, ſimiliterque cedrini olei modico affuſo et cum melle diſſoluto, tepido colluito. Aut argenti florem, vino, melle et cera liquatum, cyperum, juncum odoratum et calamum, quae ſane etiam unguento admiſcentur, et iridem, ac muſcum in vino decoquito et colluito. Aut apii ſemen, aniſum, ſeſeli, myrrham, melanthium in vino decoquito. Aut Creticam cedrum in vino decoquito, decocto abluito. Aut hederam Creticam in aqua decoquito. Haec facienda ſi vulnus adfuerit et myrrha aqua diſſoluta colluito. Aut elaterii potiones duas ex aqua infundito. Aut cucurbitas agreſtes

Ed. Chart. VII. [782.] Foeſ. I. 628. Ed. Lind. II. (505.)

δύο κοτυλῶν κλύσαι χλιηρῶς. ἢ σικύης ἐντεριώνης ὅσον δάκτυλον ἐψήσας, ἐν κοτύλῃσι δύο ὕδατος ἐπὶ τὸ ὕδωρ ἐπιχέας μέλι καὶ ἔλαιον, τούτῳ κλύσαι. ἢ θαψίης ῥίζης ὅσον δύο πόσιας τρίψας λεῖον, ἐπιχέας τε μέλι καὶ ἔλαιον, διεὶς ὕδατι χλιηρῷ ὅσον δυσὶ κοτύλῃσι κλύσαι. ἢ ἐλλεβόρου μέλανος, ὅσον δύο πόσιας διεὶς οἴνῳ γλυκεῖ καὶ ὕδατι κλύζειν. ἢ κόκκους Κνιδίους ὅσον ἑξήκοντα τρίψας λείους, ἐπιχέας τε μέλι καὶ ἔλαιον καὶ ὕδωρ κλύσαι. κλυσμὸς κρατυντήριος, ἢν ἕλκη ᾖ καθαρά. ὀλύνθους χειμερινοὺς τρίβειν, καὶ ἐπιχέειν ὕδωρ, βρέξον δὲ ὅλην ἡμέραν καὶ ἔλαιον ἐπίχεε καὶ κλύσαι. ἢ σιδίοισι καὶ λωτοῦ πρίσμασιν ἐν οἴνῳ μέλανι ἕψειν. ὅταν δὲ ἀκάθαρτα ᾖ καὶ φέρηται, τρύγα καίειν οἴνῳ καὶ ὕδατι κλύζειν. ἢ σιδίῳ, ῥόῳ βυρσοδεψικῇ, μυρσίνης φύλλοισι καὶ βάτου, ἐν οἴνῳ μέλανι ἕψεῖν καὶ κλύζειν. κλύσματα πρὸς τὰ παλαιὰ ἕλκη. χυλῷ κράμβης ἑψημένης κλύζειν, καὶ λινοζώστιν ὁμοίως, καὶ νίτρον παράμισγε ἐρυθρὸν ὀλίγον. σμύρνης ὀξύβαφον, λιβανωτὸν, σέσελι, ἄννησον, σελίνου σπέρμα, νέτωπον, ῥητίνην, μέλι, χήνειον στέαρ, ὄξος τὸ λευκὸν, μύ-

cucumeris agreſtis interiore parte ad digiti magnitudinem in aquae duabus heminis decocta, affuſo ad aquam melle et oleo, ex eo colluito. Aut radicis thapſiae quantum ad duas potiones ſatis eſt, leviter trita et affuſo melle ac oleo aquae duabus heminis diluto, tepido colluito. Aut veratro nigro quantum ad duas potiones ſatis ſit, vino dulci et aqua diſſoluto, colluito. Aut granis Cnidiis circiter ſexaginta laeviter tritis, affuſo melle, oleo et aqua colluito. Collutio corroborans ſi ulcera pura fuerint. Groſſos hibernas terito et affuſa aqua per diem totam macerato et oleo affuſo colluito. Aut malicorio et loti arboris ramentis in vino nigro decoctis. Cum autem impura fuerint, ex iisque ſordes ferentur, faece vini uſta ex vino et aqua colluito. Aut malicorio, rhoë coriaria, myrti et rubi foliis in vino nigro decoctis colluito. Collutiones ad inveterata ulcera. Braſſicae ſucco decocto eluito. Et mercurialem itidem et paucum nitrum rubrum ammiſceto, myrrhae acetabulum, thus, ſeſeli, aniſum, apii ſemen, netopum, reſinam, mel, adipem

Ed. Chart. VII. [783.] Foël. I. 629. Ed. Lind. II. (507. 508.)

τέτρωται. αὕτη πινέτω γάλα ὄνου, ἔπειτα βοὸς εὐμαρὲς τεσσαράκοντα ἡμέρας, καὶ σήσαμον τριπτὸν, ἄχρις ἂν εὖ ἔχῃ, πινέτω τὸ γάλα νῆστις. ἢν ἐκ τόκου τὴν ἕδρην ἀλγέῃ, ἀρκεύθου καρπὸν, λίνου ῥίζαν ἕψειν καὶ πίνειν ἡμέρας τέσσαρας. καὶ θρίδακος σπέρμα τρίψας σὺν χηνείῳ ἀλείφατι ἐσθίειν. ἢν δὲ ἐκ τόκου αἱ μῆτραι φλεγμήνωσιν, στρύχνου χυλὸν ἐγχέειν ἢ τεύτλου ἢ ῥάμνου. ἢν ἐκ τόκου τὸ σκέλος ὑπὸ ὑστερέων χολωθῇ, ἀνίστασθαι δὲ μὴ δύνηται. πίνειν ὑοσκυάμου καρπὸν ὅσον χηραμίδα ἐν οἴνῳ μέλανι ἡμέρας τρεῖς. παραφέρεται δὲ ὁ πίνων. λύσις γάλακτος ὀνείου πίσαι ὅσον κύλικα, ἔπειτα τοῦ φαρμάκου, ὑφ' οὗ τὸ φλέγμα καθαίρεται. σανδαράκῃ δὲ καὶ κηρωτῇ καὶ λαγωοῦ θριξὶ θυμιᾶσθω τρεῖς ἡμέρας. (508) περὶ φλεγμονῆς ἐκ τόκου. ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, στρύχνου χυλὸν ἐγχέαι αἰδοίων ἔσω, ἢ σελίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης χυλὸν ἐκπιέσας αὐτόν. ἢ ἀκτῆς τὸ μέσον καὶ ἁπαλώτατον

num bibat, deinde bubulum, quod facile fit, per dies quadraginta, etiamque ſeſamum tritum, quoad bene habeat. Lac autem jejuna bibat. Si ex partu ſedis dolor adſit, juniperi baccas et lini radicem decoquito, decoctum quatuor diebus bibendum dato. Lactucae etiam ſemen cum anſerino adipe tritum comedat. Si ex partu uteri inflammationem conceperint, ſolani ſuccum aut betae aut rhamni per infuſum immittito. Si ex partu crus claudum ab uteris redditum fuerit, neque recta ſtare queat, hyoſcyami ſemen conchae majoris menſuram ex vino nigro tribus diebus bibat. Levem autem mentis emotionem, quae ex ejus potu contingit, ſolvit lactis aſinini calix in potum exhibitus, deinde medicamentum ex quo pituita purgatur. Suffitus autem per triduum paretur ex ſandaracha, cerato et pilis leporis. De inflammatione ex partu. Si ex partu uteri inflammationem conceperint, ſolani ſuccum intra pudenda per infuſum immittito, aut apii, aut rhamni, aut betae, aut cucurbitae ſuccum ipſum expreſſum. Aut ſambuci partem mediam tenerrimam in longitudinem deraſam indito. Aut

Ed. Chart. VII. [783.] Foël. I. 628. 629. Ed. Lind. II. (506. 507.)
δύο ἐν οἴνῳ ἢ ἐν γάλακτι ἑφθῷ, ἀποβρέξας ὅσον τέσσαρας κοτύλας, καὶ ἀπηθέειν καὶ κλύζειν. ἢ σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κοτύλῃσι τέσσαρσι, μέλι τε καὶ ἔλαιον ἐπιχέαντα ἐνεργεῖν. ἢ τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς σὺν ὕδατος κοτύλῃσι δύο, κλύσαι χλιηρῶς. ἢ ἐλλέβορον ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς ὡσεὶ δύο κοτύλῃσιν. (507) ἢ θλάσπιος ὅσον ὀξύβαφον μέλιτι παραμίξας ὕδατι διεὶς ὅσον δύο κοτύλῃσι, χρῶ χλιηρῷ. ἢ σικύης ὅσον παλαιστὴν || καὶ κνεώρου ὅσον μίαν πόσιν ἑψήσας ὕδατος κοτύλῃσι πέντε μέλι παραχέας καὶ ἔλαιον κλύσαι. ἢ κόκκους Κνιδίους ὅσον ἑξήκοντα εἰς μέλι, ἢ εἰς ἔλαιον σὺν ὕδατι διεὶς κλύσαι. ἢν ἐκ τόκου διαῤῥοίῃ ληφθῇ, πινέτω ἀσταφίδα μέλαιναν καὶ σίδια γλυκείης ῥοιῆς τὸ ἔνδοθεν. καὶ πιτύην ἐρίφου, ταῦτα διεὶς οἴνῳ μέλανι, καὶ τυρὸν αἴγειον καὶ ἄλφιτα πύρινα ἐπιπλάσσειν καὶ διδόναι πίνειν. τοὺς πυροὺς δὲ ἐπ' ὀλίγον φῶξαι. ἢν δὲ ἐκ τόκου αἷμα ἐμέῃ, ταύτῃ ἡ σύριγξ τοῦ ἥπατος

duas in vino aut lacte cocto, ad quatuor heminas maceratas, percolatas infundito. Aut cucumeris agreſtis parte interiore, palmae magnitudine in aquae heminis quatuor decocta, melle et oleo affuſo, opus iſtud efficito. Aut thapſiae radice quantum ad duas potiones ſatis ſit, vino dulci cum aquae duabus heminis macerata, tepide colluito. Aut veratri quantum ad duas potiones ſatis ſit, in vini dulcis heminis duabus diluito. Aut Thlaſpios acetabulo una cum melle ammixto, ex aquae heminis duabus diluito, tepido utitor. Aut cucumeris agreſtis palmi magnitudine et cneori quantum unica potione ſatis ſit, in aquae heminis quinque decoctis, melle et oleo affuſo colluito. Aut granis Cnidiis circiter ſexaginta ex melle et oleo cum aqua dilutis perluito. Si ex partu alvi profluvio correpta fuerit, uvam paſſam nigram bibat et mali Punici dulcis interiorem partem, hoedique coagulum. Haec vino nigro diluta et caſeo caprino polentaque triticea conſperſa potui exhibeto. Triticum autem leviter torrefacito. At ſi ex partu ſanguinem vomitione reddat, huic hepatis fiſtula vulnerata eſt. Haec lac aſini-

Ed. Chart. VII. [784.] Foës. I. 629. 630. Ed. Lind. II. (508 509.) καὶ μελάνθιον διεὶς ἐν οἴνῳ δίδου πιεῖν. ἐλατηρίου πόσιας τέσσαρας μίξας στέατι μηλείῳ, ἀφελομένη δὲ διανιζέσθω ὕδατι εὐώδει, ῥέμα στύφοντι. ἢ ἐλατηρίου πόσιας τρεῖς, (509) ξὺν μηλείῳ στέατι, βάλανον περιπτερὸν ποιέειν. ἢν δὲ ἀφέληται, διανιζέσθω ὕδατι εὖ ἱκανῷ. ἢ θλάσπιος ὅσον πόσιν ξὺν μέλιτι δίδου. κλυσμὸς ἢν χολώδης ᾖ. ἐλατηρίου ὅσον δύο πόσιας ὕδατι διεὶς ἐπιχέαι ἔλαιον ναρκίσσινον, καὶ κλύζειν χλιηρῷ. ἢ κολοκυνθίδας ἀγρίας δύο ἀποβρέξας ἐν οἰνογάλακτι ἑφθῷ ὅσον τέσσαρας κοτύλας, τὴν μὲν μίαν ἀπηθέειν καὶ ξυμμίσγειν ἔλαιον ναρκίσσινον καὶ κλύζειν. ἄλλος κλυσμὸς, χολώδης καὶ φλεγματώδης. σικύης ἐντεριώνης ὅσον παλαιστὴν ἐψήσας ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, || καὶ μέλι μίξας καὶ ἔλαιον ἄνθινον, κλύζειν. φλέγμα καὶ χολὴν καθαῖρον. κόκκους Κνιδίους ἑξήκοντα, μέλι τε καὶ ἔλαιον ἄνθινον μίξας, κλύζειν ἐν ὕδατι. ἢ κνῆστρον ἐψήσας ἐν ὕδατι ποτῷ, ἐν πέντε κοτύλῃσιν ἀποχέας δύο κοτύλας, συμμῖξαι μέλι καὶ ἔλαιον ἄνθινον σὺν ναρκισσίνῳ καὶ

exhibeto. Et aniſum et melanthium vino macerata bibenda dato. Aut elaterium quantum ad potiones quatuor ſatis ſit, ovillo adipe ammixto ſibi ſupponat, quod ubi detraxerit, aqua odorata eluatur, quae leviter adſtringat. Aut elaterium quantum ad tres potiones ſatis ſit, cum adipe ovillo, circum pennam in glandem componito, eaque detracta aqua ſufficienti eluatur. Aut thlaſpis quantum potione datur, cum melle exhibeto. Collutio ſi bilioſa fuerit. Elaterio quantum ad duas potiones ſatis ſit aqua macerato, oleum narciſſinum affundito et tepido colluito. Aut colocynthidas agreſtes duas ubi oenogalacte cocto ad quatuor circiter heminas maceraveris, unam quidem percolato et ammixto oleo narciſſino colluito. Alia collutio bilioſa et pituitoſa. Cucumeris interiore parte palmi magnitudine aquae potabilis quatuor heminis decocta, melle et oleo anthino ammixto, ex ea colluito. Pituitam et bilem purgans. Grana Cnidia ſexaginta in aqua decoquito, melle et oleo anthino admixto, ex ea colluito. Aut cneſtro in quinque aquae potabilis heminis decocto, duabus percolatis, melle et oleo anthino

Ed. Chart. VII. [783. 784.] Foes. I. 629. Ed. Lind. II. (508.)
περιξέσας μακρὸν ἔνθες. ἢ ἀψινθίου ἐν ὕδατι τρίβειν, εἰρίῳ δὲ ἀνασπογγίσας, ἢν δὲ φρίξῃ, ἀφαιρέειν. ἢ κοτυληδόνος φύλλα καὶ πράσα ἑψεῖν ἐν πυρῶν κρίμνοισιν, ἔλαιον ἐπ' αὐτοῖς χέας δίδου. [784] χολῆς καθαρτικὰ ἐκ μήτρης. σικύης τὴν ἐντεριώνην λείην τρίψας καὶ μέλιτι φυρήσας βάλανον ποιέων προστίθει. φάρμακον δὲ χρὴ διδόναι καὶ ἄνω καὶ κάτω καθαίρειν, καὶ λούειν τῷ θερμῷ, προστιθέναι δὲ ἄννησον ἢ μελάνθιον. ἢ κολοκυνθίδος ἀγρίης τὸ ἔνθον λεῖον ποιέειν, καὶ μέλιτι φυρῆν. καὶ προστιθέναι ἐλατηρίου ὅσον πόσιας τέσσαρας ξυμμίξας στέαρ χήνειον ἢ αἴγειον, βάλανον εὐμηκεστέρην προστιθέναι, ἢ νίτρον καὶ κύμινον καὶ σκόροδον καὶ σῦκον, λεῖα πάντα ποιήσας καὶ μέλιτι δεύσας προστίθεσθαι. θερμῷ δὲ λουέσθω, καὶ ἀπὸ λουτροῦ πινέτω, ἢ θλάσπιν λείην ποιέων καὶ μέλιτι φυρῶν προστιθέναι. ἢ σύκου παλαιοῦ τὸ πῖον ξύσας ξυμμίσγειν πόσιας ἐλατηρίου δύο καὶ νίτρον ὅσον τὸ ἐλατήριον μέλιτι δεύσας προστίθει. ἢ πευκεδανοῦ ὁκόσον τρεῖς κυάθους δίδου πιεῖν, καὶ ἄννησον,

absinthium ex aqua tritum et lana exceptum, si vero inhorreſcat, auferto. Aut umbilici veneris folia et porra, ex craſſiore tritici farina decoquito, oleoque inſuper affuſo exhibeto. Quae bilem ex utero purgant. Cucumeris agreſtis partem internam laeviter tritam, melle ſubactam et in glandem efformatam ſubdito. Medicamento autem exhibito ſurſum et deorſum purgare oportet et calida lavare. Aniſum vero et melanthium in ſubdititio apponito. Aut colocynthidos agreſtis interiorem partem laevigatam et melle ſubactam in peſſo apponito. Elaterii quantum ad quatuor potiones ſatis ſit, adipe anſerino aut caprillo admixto, in oblongiorem glandem efformatum ſupponito. Aut nitrum, cuminum, allium, ſicum, omnia laeviter trita et melle ſubacta in ſubdititio apponito. Calida autem lavet et a balneo bibat. Aut thlaſpim laeviter tritam, melle ſubactam in peſſo apponito. Aut veteris ſicus abraſam pinguedinem, cum elaterio quantum ad duas potiones ſatis ſit admiſceto et pari cum elaterio nitri portione, melle ſubactum in ſubdititio apponito. Aut peucedanum ad tres cyathos potui

Ed. Chart. VII. [785.] Foës. I. 630. Ed. Lind. II. (510. 511.)
σις γὰρ παμπόλλη τε καὶ παντοίη ὑπὸ τούτου γίνεται, σκορόδου μώλυζαν, νίτρον, σύκου τὸ ἔνδον τὸ πῖον, ἶσον τρίψας λεῖα ὁκόσον κικίδα ποιέειν τὸ μέγεθος καὶ προστιθέναι. ἢ κυμίνου φύλλα ἐν οἴνῳ τρίψας εἰρίῳ πρόσθες. ἢ γῆς λευκῆς ὅσον πόσιν. ἢ λευκὴν ῥίζαν τρίβειν λείην καὶ μέλι ἐπιχέας καὶ ἀναζέσας, βάλανόν τε ποιήσας προστίθει. ἢ ὀπὸν σιλφίου μετὰ σύκων μαλάσσειν, καὶ βάλανον ποιέειν. ἀγαθὸν δὲ καὶ σικύης σπέρμα τρίβειν ὁμοίως. ἢ χολὴ ταύρου καὶ νίτρον ἐρυθρὸν καὶ νέτωπον, κυκλάμινον, τούτων ὅσον κικίδα, τῆς δὲ κυκλαμίνου πλείονα μοῖραν μέλιτι ξυμμίξασα ἡ θεραπευομένη προστιθέσθω. προσθετόν. κυκλαμίνου τὴν κεφαλὴν καθαίρειν ὕδατι, τρῖψαι, καὶ εἰς ἄχνην ἀναφορύξαντα προστιθέναι. ἢ σμύρναν, ἅλας, κύμινον, χολὴν ταύρου ξὺν μέλιτι ὁμοίως. ἢ κόκκους ἐκλέψαν ὅσον τρεῖς Ἰνδικοῦ φαρμάκου, τοῦ τῶν ὀφθαλμῶν, ὃ καλέεται πέπερι, (511) καὶ τοῦ στρογγύλου τρία. ταῦτα δὲ λεῖα τρίβειν καὶ οἴνῳ παλαιῷ χλιηρῷ διεὶς βαλάνιον περὶ πτερὸν ὄρνιθος

dragorae decocto terito, ex eo enim copiosa et varia fit purgatio. Allii caput unicum, nitrum, ficus interiorem partem pinguem, haec aequis portionibus laeviter trita, in glandem gallae magnitudine efformata supponito. Aut cumini folia ex vino trita in vellere subdito. Aut terrae albae quantum ad unam potionem satis sit. Aut radicem albam laeviter tritam et melle affuso fervefactam in glandemque efformatam supponito. Aut laseris succo ficus emollitas et in glandem efformatas. Profuerit etiam cucumeris agrestis semen eodem modo tritum. Aut fel tauri, nitrum rubrum, netopum, cyclaminum, horum gallae magnitudinem, cyclamini vero majorem portionem, haec melle ammixto quae curatur sibi supponat. Subditicium cyclamini caput purgatum ex aqua terito, tenui lanugine exceptum subdito. Aut myrrham, salem, cuminum, fel tauri cum melle eodem modo. Aut grana tria decorticata Indici medicamenti oculorum, quod piper vocatur, et rotundi tria, haec laeviter trita et vino veteri tepido diluta, circum volucris pennam in glandis formam obducito, huncque in

Ed. Chart. VII. [784. 785.] Foës. I. 630. Ed. Lind. II. (509. 510.) κλύσαι. κλυσμοὶ καθαρτήριοι. ὅλυνθοι χειμερινοὶ καυθέντες, καὶ βραχέντες ἐν ὕδατι. ἀποχύσαντα τὸ ὕδωρ, ἔλαιον ξυμμίσγειν καὶ κλύζειν καὶ μετακλύζειν σιδίοισι, κικίδι, λωτοῦ πρίσμασι, ἐν οἴνῳ δὲ μέλανι χρὴ ἕψειν. ἢ τρύγα καίων χρῆσθαι σὺν ὕδατι. μετακλύζειν δὲ τούτοισι, τοῖσι τῆς μυρσίνης φύλλοισι καὶ ῥόῳ τῇ βυρσοδεψικῇ, ἕψειν δὲ οἴνῳ μέλανι εὐώδει. μετακλύζειν δὲ σχοίνου φύλλα καὶ ὑπερικὸν καὶ ἐλελίσφακον ἑψήσαντα, σὺν οἴνῳ μέλανι εὐώδει, ἢ κράμβης ὕδατι, κἂν τῷδε ἕψειν λινοζῶστιν, νίτρου ἐρυθροῦ ὀλίγον, καὶ κλύζειν. ἐλατηρίου ὅσον πόσις, σὺν ναρκισσίνῳ ἐλαίῳ, ἢ ἀνθί(510)νῳ καὶ κλύσαι χλιηρῶς. ἢν δὲ χολώδης ᾖ, κολοκυνθίδας δύο ἀποβρέξαι ἐν γάλακτι ὀνείῳ ἑφθῷ ὅσον τέσσαρσι κοτύλῃσι. καὶ ἀποβρέξαντα κλύσαι, ξυμμῖξαί τε ἔλαιον ναρκίσσινον, ἢ ἄνθινον ἢ τὸ διὰ τῆς σικύης ἐντεριώνης ὅσον παλαιστὴν ἕψειν ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, καὶ μέλι παραχέαι, καὶ ἔλαιον ἄνθινον. οὗτος ὁ κλυσμὸς φλεγματώδει καὶ χολώδει ξυμφέρει. [785] κλύσμα ἕλκον φλέγμα. κόκκον τρίβειν τοῦ μανδραγόρου ξὺν ὕδατι. κάθαρ-

cum narciſſino ammixto colluito. Colluciones purgantes. Groſſis hibernis uſtis et aqua maceratis, ad aquam excolatam oleo ammixto colluito. Poſtea malicorio, galla, loti ramentis perluito, quae in vino nigro decoquere oportet. Aut vini faece uſta et aqua utitor. Deinde his colluito, myrti foliis et rhoë coriaria in vino nigro odorato decoctis. Poſtea etiam lentiſci foliis, hyperico, ſalvia, in vino nigro odorato decoctis colluito. Aut braſſicam aqua decoquito, in eaque mercurialem et nitri rubri exiguum decoquito, ex aqua perluito. Elaterium quantum ad unam potionem ſit ſatis, cum oleo narciſſino aut anthino tepidum per infuſum immittito. Quod ſi biliosa fuerit, colocynthidas duas in lactis aſinini decocti quatuor heminis macerato, deinde oleo narciſſino in anthino ammixto colluito. Aut cucumeris agreſtis interiorem partem palmi magnitudine, aquae potabilis heminis quatuor decoquito, mel et oleum anethinum affundito. Haec colluti pituitoſae et biliosae contulerit. Collutio pituitam detrahens. Granum cnidium cum man-

Ed. Chart. VII. [785. 786.] Foeſ. I. 631. Ed. Lind. II. (511. 512.)
στρου ὅσον πόσιν διϊέναι, καὶ σὺν μελικρήτου κοτύλῃ κλύσαι. [786] καθαρτικὸν μαλθακὸν ὕδωρ ἄγει καὶ δέρματα, καὶ ἰχῶρα ὕφαιμον καὶ καταμήνια κατασπᾷ, ἢν καὶ μὴ πολυχρόνια ᾖ, καὶ ὑστέρων στόμα μαλθάσσει. μύρον ναρκίσσινον καὶ κύμινον ὃ ἐσθίεται, σμύρναν τε καὶ λιβανωτὸν, ἀψίνθιον Κύπριον, ῥόδινον ἄλειφα, ἄλφιτα. τούτων τὸ ἴσον τῶν ἄλλων (512) ἑκάστου, τοῦ δὲ ναρκισσίνου τέσσαρας μερίδας ἐπὶ κτένιον ὠμοῦ λίνου ξυμμίξας, πάντα τρῖψον καὶ ποίησον βάλανον περὶ πτερῷ, ῥάκος λεπτὸν περιθεὶς καταδῆσαι, καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν Αἰγύπτιον καὶ προστιθέναι καὶ ἐᾶν ὅλην τὴν ἡμέρην. λουσαμένη δὲ καὶ ἀφαιρουμένη διανιζέσθω τῷ ὕδατι τῷ εὐώδει. ἕτερον καθαρτικὸν, ὕδωρ ἄγει καὶ δέρματα καὶ μύξας καὶ ἰχῶρα ὕφαιμον. σμύρναν, ἅλας, κύμινον, χολὴν ταύρου, ταῦτα συμμίξας καὶ μέλιτι φυρήσας καὶ ἐς ῥάκος ἐνθεὶς προσθεῖναι, ἡμέρην δὲ ὅλην ἐντίθεσθαι, εἶτα λουσαμένη καὶ ἀφελομένη διανιζέσθω ὕδατι τῷ εὐώδει. ἄλλο. ἅλες, κύμινον, χολὴν ταύρου

tum ad potionem unam ſatis ſit, aquae mulſae hemina diſſolvito, ex eo colluito. Hoc emolliens medicamentum purgat, aquam et pelliculas educit et ſubcruentam ſaniem. Menſes etiam detrahit, niſi diuturniores fuerint, et uterorum oſculum emollit. Unguentum narciſſinum, cuminum eſculentum, myrrham, thus, abſinthium, cyperum, unguentum roſaceum, polentam, horum cujusque pares portiones, narciſſini vero quadruplum. Haec omnia terito admixta tenui lini crudi lanugine, quae pectini adhaereſcit et tenui linteo circum pennam involuto, deligato, in glandem effingito et in oleum album Aegyptium intinctum ſupponito et tota die ſinito. Ubi vero laverit et detraxerit, aqua grati odoris perluatur. Aliud purgans medicamentum, aquam educit et pelliculas, mucos et ſubcruentam ſaniem. Myrrham, ſalem, cuminum, fel tauri, haec ſimul mixta et melle ſubacta, tenui linteo impoſita, ſubjicito, totumque diem intus ſinito, deinde ubi laverit, eo ablato aqua odorata perluatur. Aliud. Salem, cuminum, fel tauri melle

Ed. Chart. VII. [785.] Foës. I. 630. 631. Ed. Lind. II. (511.)

τιθέναι, καὶ ὧδε προσάγειν. ἢ τιθυμάλλου ὀπὸν μέλιτι ἀναδεύσας ἢ σκίλλης ῥίζαν ὅσον ἑξαδάκτυλον, ἑλίξας τοὺς δύο δακτύλους ἐν εἰρίῳ πρόσθες. ἢ αὐτὴν τὴν σκίλλαν ἄνευ ῥίζης τρίβειν, καὶ ὡσαύτως ἐλίσσειν εἰρίῳ, εἶτα προστιθέναι. κλυσμὸς, ἢν φλεγματώδης γυνὴ ᾖ. ἐλλεβόρου δύο πόσιας ἐν οἴνῳ διιέναι γλυκεῖ, ὅσον δύο κοτύλας, καὶ κλύζειν μίσγοντα. ἢν καθάρσιος δέηται, πράσα δεῖ ἕψειν, ἢ ἀκτῆς καρπὸν, ἢ ἄννησον, λιβανωτὸν, σμύρναν, οἶνον. ταῦτα πάντα τρίβειν, καὶ τῷ χυλῷ τουτέων κλύζειν. ἢ κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυλῷ ταύτης ἕψει τὴν λινοζῶστιν, καὶ σμικρὸν ἀποχέας ἀπόκλυζε. ἢ κνήστρου πόσιν ἐν μέλιτι διεὶς ἐνιέναι. σκέπτεσθαι δὲ χρὴ τὰ ἐπιμήνια, ἢν τε χολώδεα ἢν τε φλεγματώδεα ᾖ. ἢ ψάμμον ἐς τὸν ἥλιον ὑποβάλλειν λεπτὴν, ξηρὴν, καὶ ὅταν τὰ καταμήνια ἴῃ, τοῦ αἵματος ἐπιχέαι, || καὶ ἐᾶν ξηρανθῆναι. καὶ ἢν μὲν χολώδεα ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται· ἢν δὲ φλεγματώδεα, οἷον μύξαι ὁρῶνται. ἢν οὖν φλεγματώδεα ᾖ, κνή-

modum intromittito. Aut tithymalli ſuccum melle ſubactum. Aut ſcillae radicem longitudine ſex digitorum, duorum digitorum craſſitudine, lana convolutam ſubdito. Aut ipſam ſcillam ſine radice tritam, eodemque modo lana convolvito, deinde ſupponito. Collutio ubi mulier pituitoſa fuerit. Veratrum quantum ad duas potiones ſatis ſit, vini dulcis duabus heminis diſſolvito et permixto colluito. Si purgatione opus habere videatur, porrum incoquere oportet, aut ſambuci fructum, aut aniſum, thus, myrrham, vinum. His omnibus tritis, ex eorum decocto colluito. Aut braſſica in aqua decocta, in ejus decocto mercurialem incoquito et pauco percolato eluito. Aut cneſtri quantum ad unam potionem ſatis ſit, melle diſſolutum immittito. Spectandi autem menſes ſunt, num bilioſi, aut pituitoſi fuerint. Aut arenam, tenuem, ſiccam, loco ſoli expoſito ſubſternito et ubi menſes deſluent, ſanguinem aſſundito et reſiccari ſinito. Et ſi quidem bilioſi fuerint, ſanguis in arena ſiccatus pallidus redditur, ſin pituitoſi, velut mucoſa conſpiciuntur. Si igitur pituitoſi fuerint, cneſtrum quan-

Ed. Chart. VII. [786. 787.] Foës. I. 631. Ed. Lind. I. (513.)
τοῦ σμέρματος, καὶ μέλι ἐμβαλεῖν καὶ ἀναζέσαι, καὶ βάλανον ποιέειν εὐμήκεα καὶ βάπτειν ἐς ἔλαιον λευκόν. ἢ τὴν ἀγρίην κολοκύντην ὡσαύτως, καὶ ἐλατηρίου τρεῖς πόσιας ἐν σταιτὶ τρίβειν καὶ βάλανον ποιέειν. ἄλλο ὁμοίως. κόκκους ἐκλέψας τρεῖς, ὅσον πόσιν ἔψησας καὶ μέλι περιχέαι καὶ προσθέσθαι, ἢ ῥόδινον ἄλειφα. ὅσαι δὲ βάλανον προστίθενται ἐμπήξαντα χρὴ πρότερον ἐς τὴν βάλανον, ἔπειτα ῥάκος περιθεῖναι λεπτὸν ἐν εἰρίῳ βάψασα ἄλειφα Αἰγύπτιον προστίθεσθαι. ἄγει δὲ μάλιστα καὶ δέρματα ἀφαιροῦνται. [787] προσθετὰ καθαρτικὰ ἰσχυρὰ, ὕδωρ ἄγειν δυνάμενα καὶ μύξας καὶ δέρματα μᾶλλον τῶν πρόσθεν. τοῦ πεπέρεος κόκκους τέσσαρας τῶν μεγίστων, ἢ καὶ τῶν μικρῶν, εἰ δέοι, ἐλατηρίου πόσει συμμίξας, τρῖβε λεῖα, παραστάζων γυναικὸς γάλα καὶ μέλι ὀλίγον ἀναφυρήσας, τοῦτο ἐς εἰρίον μαλθακὸν καθαρὸν περὶ πτερὸν περιελίξας ῥάκεα, καὶ καταλαβὼν προστιθέναι ἐς λευκὸν ἄλειφα Αἰγύπτιον βάπτων, προσκείσθω δὲ ἡμέρην, καὶ ἐπειδὰν ἀφέληται, προστιθέσθω

que ſemine contundito et injecto melle decoquito, et glandem oblongam effingito, oleoque albo intingito. Aut cucurbitam agreſtem ad eundem modum et elaterii quantum ad tres potiones ſatis ſit, cum farina aqua ſubacta terito et in glandem efformato. Aliud ſimiliter. Tria grana Cnidia detracto cortice ad potionem unam, decocta affuſo melle ſupponito, aut unguento roſaceo perfundito. Quaecunque autem ſibi glandem ſupponunt, cum prius omnia in glandem coacta fuerint, deinde tenue linteum lanae obducere oportet et unguento Aegyptio glandem intinctam ſubdere. Haec autem praecipue pelliculas educunt et auferunt. Medicamenta ſubdititia vehementer purgantia, quae magis quam ſuperiora aquas, mucoſa et pelliculas educere queunt. Piperis grana majuſcula quatuor aut parva, ſi opus videatur, ad elaterii potionem admixta, laeviter terito et lacte muliebri inſtillato, cum pauco melle ſubactum, id ex lana molli pura circum pennam linteo tenui convolutum, unguento albo Aegyptio intinctum ſupponito. Per diem autem adhaereat, deinde ubi detractum fuerit, cervinum adipem ſubdat. Sub-

Ed. Chart. VII. [786.] Foeſ. I. 631. Ed. Lind. II. (512. 513.)
μέλιτι ἀναφυρέειν καὶ προστίθεσθαι καὶ σίλφιον τῷ σύκῳ μῖαι καὶ προστίθεσθαι, εἶτα διανίψαι μύρῳ ῥοδίνῳ. ἢ κόκκους ἐκλέψαντα, ποσί τε τρίψαντα καὶ βάλανον ποιέειν. ἢ σκόροδον καὶ νίτρον ἐρυθρὸν καὶ σῦκον. τούτων ἑκάστου ἴσον μίξας μέλιτι, δοῦναι προστίθεσθαι, κἀπειδὰν ἀφέληται, ἐλάφου στέαρ προστίθεσθαι, τήξας ἐν οἴνῳ. ἢ πεπέρεως κόκκους πέντε σὺν ἐλατηρίῳ ὀλίγῳ, παραστάζειν δὲ γυναικὸς γάλα ἐν εἰρίῳ, ἐς μύρον ἀποβάψας, προστιθέναι δὲ καὶ ἀφελεῖν ὡσαύτως. ἢ σύκου τὸ πιότατον ξὺν ἐλατηρίου πόσει καὶ νίτρου ἐρυθροῦ τὸ ἴσον καὶ μέλιτος ἴσον ὡσαύτως. ἢ χολὴν ταύρου καὶ νίτρον ἐρυθρὸν, νέτωπον, κυκλάμινον ἴσον ὡσαύτως κικίδα ἐν μέλιτι. ἢ χολὴν ταύρου ἐς Αἰγύπτιον ἔλαιον βάψασα προστιθέσθω, καὶ ἀφελομένη ῥοδίνῳ, ἢ σικύης τῆς μακρῆς τὴν ἐντεριώνην τὸ σπέρμα ἐξελὼν σὺν γάλακτι γυναικὸς κουροτρό(513)φου, καὶ σμύρναν ἄκροτον καὶ μέλι ὀλίγον καὶ μύρον Αἰγύπτιον, τρίβειν καὶ προστιθέναι. ἢ τὴν ἐντεριώνην σικύης αὐῆναι, κόψαι δὲ ἄνευ

ſubigito et ſubjicito. Et ſilphium cum ficu miſceto et ſupponito, deinde unguento roſaceo perfundito. Aut grana Cnidia cortice purgata et quantum una potione ſatis ſit trita, in glandem fingito. Aut allium, nitrum rubrum et ficum, cujusque pares portiones, melle admixto in peſſo ſubjicienda dato. Et ubi detraxerit, cervinum adipem vino liquatum ſupponito. Aut piperis grana quinque cum pauco elaterio, muliebri lacte paulatim inſtillato, in vellere unguento intincto ſubjicito, eodemque modo detrahito. Aut quod in ficu eſt pinguiſſimum et elaterium ad potionem unam et nitri rubri cum melle aequalem portionem, ad eundem modo. Aut fel tauri, nitrum rubrum, netopum, cyclaminum, aequalibus portionibus, ex melle velut gallae magnitudinem fingito. Aut fel tauri oleo Aegyptio intinctum ſupponat, quo detracto roſaceo illinatur. Aut cucumeris agreſtis longi exempto ſemine interiorem partem, ex lacte mulieris maſculum alentis et myrrham puram, mellis exiguum et unguentum Aegyptium, terito et ſupponito. Aut cucumeris agreſtis partem interiorem deſiccatam abs-

Ed. Chart. VII. [787. 788.] Foës. I. 632. Ed. Lind. II. (514. 515.)
καὶ διασήσας τέσσαρας χοίνικας. ὄξους δὲ κοτύλας δέκα, καὶ οὔρου βοείου ἕτερον τοσοῦτον, καὶ θαλάσσης ἅλμης κοτύλας εἴκοσι. πυριῆν δὲ βληχροῖσι πουλὺν χρόνον, εἶτα λουσαμένη φάκιον πιοῦσα καὶ μέλι καὶ ὄξος μεμιγμένον πιοῦσα ἐμεσάτω καὶ ῥοφέειν ἄλευρον, δοῦναι καὶ ἐπιπιεῖν οἶνον εὐώδεα παλαιὸν ἐξηθριασμένον, σίτου δὲ μὴ γευέσθω τῇ τοιαύτῃ ἡμέρῃ, τῇ δὲ δευτέρῃ κόκκον δοῦναι κατάποτον, τῇ δὲ τρίτῃ δοῦναι διουρητικὸν, ἀσταφίδας καὶ ἐρεβίνθους λευκοὺς, δύο χοίνικας καὶ ἐπιχέαι ὕδα[788]τος (515) τρία ἡμιχόεα. ἔπειτα ἀποχέας πρὸς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν, καὶ τοῖσι προσθέτοισι χρέεσθαι. ἔγχυτον καθαρτικὸν καταμηνίων, βόλβιτον πλάσαι ὅσον σκαφίδα, φυρῆν δὲ καὶ ξυμμίσγειν τῆς κυπαρίσσου τὰ πρίσματα. ξηραίνειν δὲ ἐν τῷ ἡλίῳ καὶ ἐς τοῦτο τὰ θυμιήματα ἐμβάλλειν. εἰς ὅμοιον πάθος. ἢν τὰ καταμήνια ἴῃ, ἀκάνθης λευκῆς τὰ φύλλα τρίψας καὶ ἐξηθήσας καὶ ἐπιχλιήνας ἐγχέειν. κατάχριστον καθαρτικὸν ὥστε μήτρας καθαίρειν. πράσου σπέρμα

recte habuerit, fotum ex ſtercore bubulo ſicco, tuſo et excuſſo ad quatuor choenicas exhibeto. Aceti autem heminas decem addito et urinae bubulae tantundem et marinae ſalſuginis heminas viginti. Hoc diutius leniter foveto. Deinde ubi elota fuerit, ex lenticulae decocto epoto et melle cum aceto mixto ebibito, vomat. Et pro ſorbitione farinam exhibendo, vinumque vetus ſereno coelo per noctem expoſitum inſuper bibendum. Cibo vero eo die abſtineat. Poſtero autem die granum Cnidium devorandum exhibeto et tertio die medicamentum quod urinam ciet, paſſulas et cicera alba ad duas choenices, affuſis aquae tribus ſemicongiis. Deinde percolatum ſereno coelo per noctem exponito et poſtero die bibendum dato. Quin etiam ſubdititiis medicamentis utitor. Medicamentum quod infuſum menſes purgat. Stercus bubulum in conchae majoris formam effingito, cupreſſi ramenta ſubigito et commiſceto in ſole ſiccato, in id ſuffimenta injicito. Ad ſimilem affectionem. Si menſes non eunt, ſpinae albae contrita folia et percolata ac tepida infundito. Linimentum purgans, quod uteros expurgare

Ed. Chart. VII. [787.] Foël. I. 631. 632. Ed. Lind. II. (513. 514.)
τὸ στέαρ τοῦ ἐλάφου. προσθετὰ καθαρτικὰ, ἢν μὴ ποτὰ καθαίρῃ. || λινοζῶστιν τρίψας καὶ σμύρναν προστιθέναι. προσθετὰ ὁμοίως καθαρτικὰ, χορία δυνάμενα ἐκβαλεῖν καὶ καταμήνια κατασπᾷν, καὶ ἔμβρυον ἀπόπληκτον ὑπεξαγαγεῖν. καν θαρίδας πέντε ἀπο(514)τίλας καὶ τὰ πτερὰ καὶ τὰ σκέλεα καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον παραθαλάσσιον κόψας τῇσι ῥίζῃσι καὶ τοῖσι φύλλοισι καὶ τὸ χλωρὸν τὸ ἔξω τρίψας ἶσον ὄγκον καὶ σελίνου σπέρματος καὶ σηπίης ὠὰ πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ. καὶ ἐν ὕδατι θερμῷ καθιγνύσθω. καὶ μελίκρητον ὑδαρὲς πινέτω καὶ οἶνον γλυκὺν καὶ τοῦ τετριμμένου ὅσον στατῆρα Αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πίνειν. ἐπὴν δὲ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι καὶ ψύξας διδόναι πιεῖν. ὅταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιηρῷ καθήσθω καὶ οἶνον πινέτω γλυκύν. πάσης νόσου δυνάμενον καὶ ἀναστομῶσαι καὶ καθῆραι. σμύρναν ὀλίγην καὶ ἐλελίσφακον καὶ ἄννησον τρίψας χρῶ. καθαρτικὸν δύναμενον ἄτοκον καθῆραι, ἢν τὸ στόμα τῆς μήτρης ὀρθῶς ἔχῃ, πυριῇν βόλβιτον ξηρὸν κόψας

dititia medicamenta purgantia, ſi potiones non purgent. Mercurialem cum myrrha tritam in peſſo ſupponito. Medicamenta ſubditicia quae ſimiliter purgant, ſecundas ejicere valent, menſes detrahere et foetum ſideratum foras propellere. Cantharidas quinque alis avulſis, cruribus et capite, deinde tribulum juxta mare naſcentem, cum radicibus et foliis tundito et enanthemi viridis interiorem partem cum pari ſeminis apii mole terito, additis ſepiae ovis quindecim, ex vino dulci dilutis. In aqua calida deſideat et aquam mulſam aquoſam bibat vinumque dulce. Et intriti ſtateris Aeginenſis pondus ex vino dulci bibat. Ubi vero dolor detinuerit, cicerum alborum et paſſularum ex aqua decoctum refrigeratum propinato. Cum ſtranguria prehenderit, in aqua calida deſideat et vinum dulce bibat. Quod in omni morbo aperire et purgare potens eſt. Myrrha modica, ſalvia et aniſo contritis utitor. Purgans medicamentum quod infoecundam purgare valet. Si uteri oſculum

Ed. Chart. VII. [788. 789.] Foës. I. 632. 633. Ed. Lind. II. (516.)

ρητικόν. ἐὰν δὲ βούλῃ, λευκὴν σταφίδα καὶ ἐρεβίνθους λευκοὺς δύο χοίνικας, ἐπιχέας ὕδατος τρία ἡμιχόεα. ‖ ἀφελεῖν δὲ τὸ ἥμισυ. εἶτα ἐς τὴν αἰθρίην θεῖναι καὶ τῇ ὑστεραίῃ πίνειν ἐκ τούτου κατ᾽ ὀλίγον, καὶ τοῖσι προσθέτοισι χρέεσθαι. ἢν βούλῃ γυναῖκα κυῆσαι, καθῆραι αὐτὴν καὶ τὰς μήτρας. ἔπειτα δίδου ἄλητον ἐσθίειν νήστει καὶ οἶνον ἐπιπίνειν ἄκρητον, καὶ προστιθέναι νίτρον ἐρυθρὸν καὶ κύμινον καὶ ῥητίνην μέλιτι δεύσας, ἐν ὀθονίῳ πρόσθες. καὶ ὅταν τὸ ὕδωρ ἀποῤῥυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτήριον, καὶ τῷ ἀνδρὶ συνευνάσθω. ἢν δὲ τὸ στόμα μεμύκῃ, προστιθέσθω καὶ ὀπὸν συκῆς μέχρι ἐὰν ἀναστομωθῇ. καὶ ὕδατι αὐτίκα ἀπονίζεσθαι. ἴρηκος δὲ ἄφοδον τρίβειν ἐν οἴνῳ γλυκεῖ καὶ πίνειν νῆστιν, καὶ τηνικαῦτα συνευναζέσθω τῷ ἀνδρί. ἢ ὁκόταν τὰ καταμήνια παύηται, χηνὸς ἢ ἀλώπεκος ἄφοδον ἐν ῥοδίνῳ μύρῳ τρίβειν, καὶ τὸ αἰδοῖον χρίεσθαι καὶ συνευνάζεσθαι. [789] ἢν ἔλκεα ᾖ δριμέα καὶ ἢν φλεγμαίνῃ, χρῶ τῷδε κλυσμῷ. χηνὸς ἔλαιον καὶ ῥητίνην

tertio vero die medicamentum urinam ciens. Si vero voles, vinum album et cicera alba ad duas choenices, affufis tribus aquae femicongiis. Ex eo detracto dimidio, reliquum coelo fereno noctu exponendum et fequenti die paulatim bibendum et fubdititiis medicamentis utendum. Si voles ut mulier concipiat, ipfam et uteros purgato, deinde jejunae farinam edendam et vinum meracum infuper bibendum exhibeto, nitrumque rubrum in fubdititio admoveto. Et cuminum ac refinam melle fubactam ex linteo fupponito. Cumque aqua effluxerit, fubdititios talos nigros ad emolliendum fubjicito et viro condormiat. Quod fi os conniveat, fici quoque fuccum in fubdititio fibi fupponat, quoad referatum fuerit et protinus aqua eluatur. Accipitris vero ftercus ex vino dulci tritum jejuna bibat, tumque viro condormiat. Aut ubi menftrua defierint, anferis aut vulpis ftercore et rofaceo unguento trito pudendum illinat et viro condormiat. Si ulcera acria fuerint, ex inflammatione laborent, hac collutione utitor. Anferinum adipem et re-

Ed. Chart. VII. [788.] Foës. I. 632. Ed. Lind. II. (515. 516.)

καὶ καρδαμώμου τρίψας, ἐν οἴνῳ τε διεὶς καὶ γάλακτι ἑφθῷ, διαχρίειν τὴν νειαίρην γαστέρα. κατάχριστον μαλθακτήριον. ὕδωρ δὲ ἄγει καὶ μύξας καὶ δέρματα, καὶ λοχεῖα φέρει καὶ οὐχ ἑλκοῖ. σμύρνης ὡς ἀρίστης ἥμισυ, καὶ ἅλὸς χόνδρον ὁμοίως, πίσσαν ἡδυντὴν φλάσας, μίξας τε λεῖα. ἔστω δὲ τὸ τῆς σμύρνης τὸ ἥμισυ τοῦ ἁλὸς καὶ τῆς πίσσης ἐμβαλεῖν ἐς ῥάκος τῆς πεφλασμένης, μέγεθος ὅσον κικίδα μεγάλην. δύο δὲ ἔστω. ὡς τὸ μὲν ἡμέρας ἔχειν, τὸ δὲ εὐφρόνης, ἔστ' ἂν κατατακῇ. λουέσθω δὲ θερμῷ, εἶτα ἀφαιρέουσα διανιζέσθω ὕδατι εὐώδει. καθαρτικὸν ἄτοκον καθῆραι, ἢν τὸ στόμα ὀρθῶς ἔχῃ. ἢν ἄτοκον θεραπεύῃς, βόλβιτον αὖον ἡλίου διασείσας ὅσον τέσσαρας χοίνικας Ἀττικὰς, ὄξους δὲ κοτύλας δέκα καὶ ὀροβίου χοίνικα καὶ θαλάσσης κοτύλας εἴκοσι, πυριῆσαι ἁλέα πουλὺν χρόνον. ἔπειτα φακίον ποιῆσαι, καὶ μέλι καὶ ὄξος (516) μῖξαι, καὶ ἐμεέτω, καὶ ῥοφεέτω ἄλητον, καὶ ἐπιπινέτω οἶνον εὐώδεα. σίτου δὲ μὴ ἅπτέσθω ταύτῃ τῇ ἡμέρῃ, τῇ δ' ὑστεραίῃ κόκκον δοῦναι κατάποτον. τῇ δὲ τρίτῃ διου-

potest. Porri et cardamomi semen tritum, vino et lacte cocto maceratum, imo ventri illinito. Emolliens linimentum. Aquam autem, mucos et pelliculas educit et puerperii purgamenta deturbat, nec exulcerat. Myrrhae optimae partem dimidiam et salis granum similiter et picem aromatibus conditam, haec laeviter contusa commisceto. Sit autem myrrha ad salem et picem dimidia. Hanc contusam in tenue linteum ad gallae magnae quantitatem injicito. Sint autem duo lintea, uti unum interdiu, alterum noctu contineat, quoad colliquescat. Calida autem lavetur, deinde ubi detraxerit, perluatur aqua odorata. Medicamentum infoecundam purgans, si os bene habeat. Si infoecundam cures, stercus bubulum sole exiccatum et excussum ad quatuor choenicas Atticas, adjectis aceti heminis decem, ervi farinae choenice et aquae marinae heminis viginti, haec tepida diu in fotu adhibeto, deinde lenticulae decocto propinato et melle ac aceto admixto vomat, farinam sorbitione sumat et vinum odoratum insuper bibat. Cibo autem eo die abstineat, postero autem die grana Cnidia devoranda dato,

Ed. Chart. VII. [789] Foeſ. I. 633. Ed. Lind. II. (517. 518.) πῶς δεῖ ἰᾶσθαι. σάρκα βοὸς ὡσεὶ δύο παλαιστῶν τὸ μῆκος, πάχος δὲ ὡσεὶ στειλαιὸς προστιθέσθω μέχρις ἑσπέρης. τὴν δὲ νύκτα αἴρειν. τῇ δ' ὑστεραίῃ πάλιν προστίθεσθαι μέχρι μεσημβρίης, καὶ ἐπιπινέτω οἶνον γλυκὺν, μέλιτι τὸν οἶνον ξυμμίσγουσα. κλύσμα ἢν ἡλκωμέναι ἔωσιν αἱ μῆτραι καὶ ἢν στραγγουρίη ἐπιλάβῃ. πράσα, ἀκτῆς καρπὸν, σέσελι, ἄννησον, λιβανωτὸν, σμύρναν, καὶ οἶνον ἴσον τῷ χυλῷ τούτων, μίξας ταῦτα καὶ ἀναζέσας, ψύχειν καὶ μετρίως κλύζειν. ἢ μέλι, βούτυρον, μυελὸν καὶ κηρὸν ἐνιέναι καὶ χρῆσθαι. ὅσσα ἐν αἰδοίῳ ἕλκεα ἔνι καὶ φύεται, φύλλα ἐλαίης καὶ βά-(518) του καὶ κισσοῦ καὶ ῥοιῆς γλυκείης τρίβειν λεῖα, διεὶς δὲ οἴνῳ παλαιῷ, εἰρίῳ προστίθεσθαι τῇ νυκτὶ πρὸς τὰ αἰδοῖα, καὶ καταπλάσσειν ἐν τούτοισι. ὅταν δὲ ἡμέρη γένηται, εἰρύσαι, ἀφεψεῖν δὲ μύρτα ἐν οἴνῳ καὶ διακλύζεσθαι. ἢ χηνὸς ἔλαιον καὶ ῥητίνην τῆξαι καὶ κλύσαι. ἢ βούτυρον, καὶ κέδρινον ἔλαιον μέλιτι παραμίσγειν μικρὸν καὶ κλύζειν. ἕλκεα ἐν μέλιτι ἀποξηραίνει. ἀργύρου ἄνθος ἐν οἴνῳ τρῖψαι καὶ

illinito. Si pudenda ſuperficiariis ulceribus laborarint, ad hunc modum curare oportet. Carnem bubulam longitudinis fere duorum palmorum et craſſitudinis manubrii, ad veſperam usque in peſſo ſubdito, ſub noctem tollito. Poſtero vero die rurſus ad meridiem usque ſubdito et vinum dulce cui mel admixtum ſit inſuper bibat. Collutio ad ulceratos uteros et ſi ſtranguria prehenderit. Porrum, ſambuci fructum, ſeſeli, aniſum, thus, myrrha et vinum aequali ad horum decoctum menſura. His mixtis et ferveſactis ac modice refrigeratis colluito. Aut mel, butyrum, medullam et ceram intromittito et illinito. Ad ulcera quae in pudendis ſunt et pullulant, oleae, rubi, hederae et mali punici dulcis ſolia, laeviter trita, vino veteri diluta in vellere noctu pudendis apponito et cataplaſmate admoveto. Cum vero dies illuxerit, detrahito et myrti baccis vino decoctis colluat. Aut anſerino adipe et reſina liqueſactis colluito. Aut butyro et cedrino oleo cum pauco melle admixto colluito. Haec uterorum ulcera exiccant. Argenti florem ex vino

Ed. Chart. VII. [789.] Foës. I. 633. Ed. Lind. II. (516. 517.)
μίσγε, καὶ διεὶς ὕδατι χλιηρῷ κλύσαι. ἢ μέλιτι βούτυρον μίξας, τῆξαι καὶ κλύσαι. ἢ ἐχετρώσιος ξύσαι ὅσον σκαφίδα μικρὴν καὶ σμύρνην καὶ μέλιτος ὁμοίως, ταῦτα διεῖναι ἐν οἴνῳ μέλανι εὐώδει καὶ κλύζειν χλιηρῷ. ἢν ἕλκωθῇ ἢ φλυκταινῶν ἀνάπλεα ᾖ ἐν τῇ καθάρ(517)σει ἄκρα τὰ χείλεα, σάρκα βοὸς, ἢ πικέριον, ἢ χήνειον ἄλειφα, καὶ ἄννησον, ἢ κόκκον, ἢ σποδὸν Κυπρίην, τρῖψαι ταῦτα πάντα, καὶ περιαλεῖψαι τὴν σάρκα, προστίθεσθαι. ἢν ἕλκεα γένηται καὶ ὀδαξᾶται, βοὸς σάρκα, στέαρ ἐπαλείφειν, καὶ τὴν σάρκα προστιθέναι, καὶ ἐγκλύζειν. ἢν ὑπαρὰ ᾖ, καὶ πυριῆν συκῆς ἀπὸ ῥίζης, καὶ μετέπειτα καὶ πίους ἐν γλυκεῖ πινέτω. ἢν ἐν τοῖσιν αἰδοίοισι τὰ ἕλκεα γένηται, βόειον στέαρ ἐπαλείφειν καὶ μυρσίνην ἐν οἴνῳ καθεψῶν διακλυζέτω τῷ οἴνῳ ἢ ἐλαίας φύλλα καὶ βάτου καὶ ῥοιῆς καὶ ὁ οἶνος ἤτω τράμιος. ταῦτα δὲ οὕτως ποιέειν, περσέης φύλλα τοῦ δένδρου δηλαδὴ, λεῖα τρῖψαι καὶ πρὸς τὰ αἰδοῖα τιθέναι, ἢ ἀννήθου καρπὸν καὶ σελίνου τρίψας ἐπίχριε. ἢν ἀφθήσῃ τὰ αἰδοῖα

ſinam miſce, iis aqua tepida dilutis colluito. Aut melle cum butyro mixto liquefacto colluito. Aut bryoniae albae radicis deraſae conchae minoris quantitatem, cum myrrha et melle ad eundem modum admiſceto, his ex vino nigro odorato ſolutis et tepidis colluito. Si dum purgatio fertur ſumma labra exulcerata et puſtulis referta fuerint, carnis bubulae fruſtum ſumito, butyrum aut anſerinum adipem, aniſum, aut granum Cnidium, aut ſpodium Cyprium, his omnibus tritis carnem obductam in peſſo ſubdito. Si ulcera oriantur et mordeant, carnem bubulam adipe oblitam ſupponito. Ac ſi ſordida fuerint, infuſum et fomentum ex mori radice adhibeto, deinde etiam pinguedinis aliquid ex vino dulci bibat. Si in pudendis ulcera oriantur, bubulo adipe linito, aut myrto in vino decocta, vino colluat, aut oleae et rubi et mali punici foliis decoctis. Sit autem vinum Pramnium. Atque haec quidem ad hunc modum facienda. Et Perſeae arboris videlicet folia laeviter terito et pudendis in ſubdititio admoveto. Aut anethi et apii ſemen contritum

Ed. Chart. VII. [790.] Foës. I. 634. Ed. Lind. II. (519.)

τούτου κατ' ὀλίγον ἕλκεται. ἄλλο. ἐρευθεδανὸν κόψας καὶ κέδρου πρίσματα, ὕδωρ τε ἐπιχέας τίθει ἐς τὴν αἰθρίην, εἶτα πρωΐ δὸς πρὸς τὰς ἐλγηδόνας. ἄλλο. σιλφίου ὁκόσον δραχμὴν μίαν καὶ πράσου χυλὸν ὁκόσον ὀξύβαφον, παραμίξαν κέδρινον ἔλαιον ἥμισυ κυάθου μικροῦ δὸς πιεῖν. ἄλλο. ταύρου χολὴν ὅσον ὀβολὸν, ἢ ἡμιωβόλιον τρίβων ἐν οἴνῳ δός. ἢ σταιτὶ περιπλάσαι ὧν πάλιν καταπιεῖν δίδου. ἄλλο. καρκίνους ποταμίους πέντε καὶ λαπάθου καὶ πηγάνου ῥίζαν, καὶ αἴθαλον ἀπὸ τοῦ ἵππου τρίψασα ὁμοῦ πάντα καὶ ἐνώσασα ἐν μελικρήτῳ, ὑπαίθριον θεῖσα, πινέτω νῆστις ἐκ τρίτου. ἄλλο. σικύης ἐντεριώνην τρίψας λείην ἐν κεδρίνῃ πίσσῃ ἐς εἰρίον ἐνελίξας, προσδήσας πρὸς τὸ πτερὸν λίνῳ, προσθέσθω δὲ ἴσον. τοῦ δὲ πτεροῦ τὸ σκληρὸν προσεχέτω μικρὸν ἔξω ἐκ τοῦ εἰρίου. ὅταν δὲ αἷμα φανῆται, ἀφελέσθω. ἄλλο. ἐλλεβόρου μέλανος λαβὼν ῥαβδίον ὅσον ἐξ δακτύλων περιείλιξον ἐν εἰρίῳ, τὸ δὲ ἄκρον ἔα ψιλὸν εἶναι, εἶτα προσθέσθω εἴσω ὅτι μάλιστα. ὅταν δὲ αἱμαχθῇ τὸ ἄκρον, ἀφελέ-

eo paulatim detrahitur. Aliud. Rubiam tuſam et cedri ramenta, aqua affuſa coelo ſereno nocte exponito, deinde ſub auroram ad dolores exhibeto. Aliud. Laſeris drachmae unius quantitatem et ſucci porri acetabulum, cedrini olei dimidio cyatho parvo admixto potui exhibeto. Aliud. Fel tauri oboli aut dimidii oboli pondere ex vino tritum exhibeto, aut farina aqua macerata obductum devorandum dato. Aliud. Cancros fluviatiles quinque, lapathi et rutae radicem et furni fuliginem, omnia ſimul trita et aqua mulſa permixta et coelo ſereno per noctem expoſita, jejuna tertio quoque die bibat. Aliud. Cucumeris agreſtis partem interiorem laeviter tritam, cedrina pice ſubactam, lana convolutam, filo circum pennam deligatam, intro ſibi ſubdat. Pars autem pennae craſſiuſcula, foris ex lana paulum extet, ubi vero ſanguis apparuerit, detrahatur. Veratri nigri ſurculum ſex digitos longum, lana obvolutum, ita ut ejus extremum nudum relinquatur, deinde intro quam penitiſſime ſibi ſupponat, cum vero extremum ſanguine infectum fuerit,

Ed. Chart. VII. [789. 790.] Foës. I. 633. 634. Ed. Lind. II. (518. 519.)
κλύσαι. ἢ βούτυρον μετὰ μέλιτος κλύσαι. ἢ ἐχέτρωσιν καὶ σμύρναν καὶ μέλι οἴνῳ διιέναι. οἴνῳ δὲ μέλανι χλιαρῷ καὶ κλύζειν τῇ ὑστεραίῃ. ἢ σχίνου φύλλα ἑψήσας ἐν ὕδατι τουτέῳ μετακλύζειν. || [790] ἄλλο, ἢν ἕλκωθῇ τὸ στόμα τῶν μητρέων. βούτυρον, λιβανωτὸς, σμύρνη, ῥητίνη, μυελὸς ἐλάφειος, τουτέοισι κλύζειν. ἢ φακὴν ἑψεῖν ἐν ὕδατι καὶ ἀποχύσας τὸ ὕδωρ ἐν τούτῳ κλύζειν. ὅταν δὲ ὕδωρ ἐκ τῶν ὑστερέων ῥέῃ καὶ ἕλκεα ᾖ καὶ δάκνηται, χηνὸς στέαρ καὶ ὠὸν διαχρίεσθαι. ἢ ὄϊος στέαρ, ἢ συὸς, καὶ φακὸν ἐν οἴνῳ ἑψεῖν, καὶ κεκρημένον ἴσον τῷ ὕδατι τουτέῳ κλύζειν. τὰ δὲ ἐν τῷ αἰδοίῳ ἕλκεα ἐν τούτῳ καταιονᾶν. ἐπιπάσσειν δὲ μάνναν, βάτον, πίτυος φλοιὸν, καὶ τῷ ὕδατι τούτων νιψάσθω. διεκβόλιον, ἢν ἀποθάιν ῃ τὸ ἔμβρυον. χαλβάνης ὅσον ἐλαίην ἐνελίξας ἐς ὀθόνιον κέδρινον ἐμβάψασα προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. ἕτερον. κάλαμον εὐώδεα καὶ σικύης ἐντεριώνην τρῖψαι ἐν χηνείῳ στέατι. ἐπίδησον δὲ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον· καὶ σμικρὸν ἀπ' αὐτέου (519) ἐνστάξασα ἐς εἰρίον προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης, καὶ ἐκ

terito et colluito, aut butyro cum melle. Aut bryoniam albam et myrrham, cum vino melle macerato, vino vero nigro tepido poſtero die colluito. Aut lentiſci foliis in aqua decoctis, ex ea poſtea colluito. Aliud ad uterorum os ulceratum. Butyrum, thus, myrrha, reſina, medulla cervi, ex his colluito. Aut lenticulam in aqua decoquito et cum ea percolata colluito. Cum vero aqua ex uteris fluxerit et ulcera morſum intulerint, anſerino adipe et ovo illinito. Aut ovillum adipem et ſuillum et lentem ex vino coquito et ex eo pari aqua temperato colluito. Hoc etiam ulcera in pudendo perfundenda. Mannam thuris, rubum et pini corticem apponito et horum decocto perluatur. Medicamentum foetum mortuum ejiciens. Galbanum olivae magnitudine, linteo convolutum, oleo cedrino intinctum, ad os uteri in ſubdititio apponito. Aliud. Calamum odoratum et cucumeris agreſtis interiorem partem ex adipe anſerino terito, umbilicum vero et imum ventrem obligato et ex eo exiguo in lanam inſtillato, ad uterorum os in ſubdititio apponat et ab

Ed. Chart. VII. [791.] Foël. I. 634. 635. Ed. Lind. II. (520. 521.)
παιδίου λιβανωτὸν ἐν οἴνῳ γλυκεῖ. ἁλουσίη, καθαρτήριον, βαλανίδας ποιέειν κοτύλην μέλιτος. ἀνίσου ὀξύβαφον, ἀσφάλτου δύο δραχμὰς, χολὴν βοὸς, σμύρνης τρεῖς δραχμάς. πόσιν ἐλατηρίου. ἕψειν ἐν χαλκῷ μίσγειν ἔλαιον χηνὸς, καὶ ὅταν μέλλῃ χρῆσθαι, ἀλείφειν τὰς βαλάνους τῷ χηνείῳ μαλακῷ. || εἰρίῳ δὲ χρῆσθαι τῷ ὄϊῳ, ἐλαίῳ δὲ σχινίνῳ. τούτῳ μίσγειν κιννάβαρι. ἔμετον λύει. ὠκύμου χυλὸς ἐν οἴνῳ λευκῷ. ἔτερον. ἀλήτου σητανίου κεχυλισμένου τὸ ὕδωρ, ἢ ῥοιὰς γλυκείας καὶ ὀξείας ἀποχυλώσας. εἶτα μέλιτι μίξας. τὸ σηπτικὸν ὧδε ποιέεται. ἐλλέβορος μέ(521)λας, σανδαράκη, λεπὶς χαλκοῦ, ἶσον ἑκάστου τρίβειν χωρίς. ὅταν δὲ λεῖον ᾖ, παραμῖξαι μιᾶς μερίδος διπλάσιον τίτανον, ἀναδεύσας, κεδρίνῳ χριέτω. ὑπτὸν φάρμακον ὧδε ποιέεται. ἄνθος κεκαυμένον καθαρῶς. ἄχρις οὖν φοινικοῦν γένηται, τρίψας λεῖον τουτέῳ χρῶ. τὸ μέλαν φάρμακον. λεπὶς, ἄνθος, χωρὶς τρίβειν ἑκάτερον. ὅταν δὲ λεῖον τρίβῃς, οὕτω μίσγε. ποιέειν δύο ἢ τρία εἴδη τοῦ φαρμάκου, τὸ μὲν ἰσχυρότατον τὸ ἄνθος τριτη-

ex vino dulci et balnei abſtinentia. Medicamentum quod purget. Glandulas conficito ex mellis hemina, aniſi acetabulo, bituminis drachmis duabus, ſelle bubulo, myrrhae drachmis tribus, elaterio quantum ad potionem ſatis ſit. Haec admixto anſerino adipe, aeneo vaſe coquito. Ubi uti voles, glandes adipe arſerino molli illinito, lana vero ovilla utitor, oleo autem lentiſcino, cui cinnabarim admiſcere poteris. Vomitum tollit ocymi ſuccus ex vino albo. Aliud. Farinae ſetaneae percolatum decoctum, aut mali punici dulcis et acidi expreſſus ſuccus, poſtea melle ammixto. Medicamentum quod exedit ſic conficitur. Veratrum nigrum, ſandaracham, aeris ſquamam, ſingula aequali portione ſeorſum terito. Ubi autem laeviter tritum fuerit, ad unam partem dupla calce admixta, cedrino oleo ſubacta illinito. Exurens medicamentum ad hunc modum paratur. Aeris flos ſincere combuſtus quoad ruber evadat, eo laeviter trito utitor. Nigrum medicamentum. Squamam, aeris florem, utrumque ſeorſim terito, laeviter tritum ſic permiſceto. Duo aut tria medicamenti genera conficito:

Ed. Chart. VII. [790. 791.] Foës. I. 634. Ed. Lind. II. (519. 520.)

σθω. ἄλλο. ἐλλέβορον μέλανα καὶ κανθαρίδας καὶ κόνυζαν τρίψας ἐν ὕδατι καὶ ποιήσας βάλανον μαλθακὸν, ὅσον ἑξαδάκτυλον, ξήρανον, καπειδὰν σκληρὸν γένηται, εἰρίῳ περιελίξασα προσθέσθω, τὸ δὲ ἄκρον κέδρῃ χρισάτω καὶ ἔστω ψιλὸν, ὅταν δὲ αἷμα φανῆται, ἀφελέσθω· ἐκβόλιον. ἢν ἔμβρυον τεθνεὸς ἔνδον ᾖ, ἢ ἀπόπληκτον, βατράχιον καὶ ἑλατήριον (520) μικρὸν μῖξαι ἐν ὄξει ἀκρήτῳ καὶ δοῦναι πιεῖν. ἢ κράμβης ἅπαλὸς καυλὸς κατὰ τὸ ἄκρον νετώπῳ χριόμενος ἐμβαλέσθω.

[791] [*Νόθα τῇ τελευτῇ τοῦ πρώτου περὶ γυναικείων βιβλίου προσκείμενα.*] Βηχὸς παιδίου. θαψίην ἐπ' ἀλφίτοις ψωμίζειν. ἕτερον. ὠὸν ὀπτήσαντα τὴν λέκιθον ἐξελόντα τρῖψαι, καὶ σήσαμον λευκὸν πεφρυγμένον καὶ ἅλες, ἐν μέλιτι ἐνλείχειν, τὴν κοιλίην λῦσαι τοῦ παιδίου, εἰρίον ἄπλυτον ἐς μέλι βάψας ἐνθεῖναι. ἐὰν δὲ γεραίτερον ᾖ, κρομμύων τὰ ἔξωθεν τρίψας ἐντιθέναι ἐὰν δὲ γάλα μὴ ᾖ, σητάνιον ἄλευρον ἐκπλύνας, μέλι καὶ ἔλαιον μίξας χλιηρῷ κλύσαι. ἄσθματος

detrahatur. Aliud. Veratrum nigrum, cantharidas et conyzam ex aqua terito et in glandem mollem ſex fere digitos longam efformatam exiccato et ubi induruerit lana obvolutam ſupponat, extremum vero cedria illinatur et nudum maneat, cumque ſanguis appuruerit detrahatur. Foetum ejiciens. Foetum intus mortuum aut ſideratum ejicit ranunculns et elaterii exiguum, ex aceto meraciore commixtum et potui exhibitum. Aut braſſicae tener cauliculus, extrema parte netopo illitus intromittatur.

[*Notha quaedam ad calcem lib.* 1. *de morbis Mulierum adjuncta.*] Tuſſis infantuli remedium. Thapſia cum polenta in os indita. Aliud. Ovi aſſati exemptum vitellum, cum ſeſamo albo toſto, ſale et melle delingendum praebeto. Ad pueri alvum ſolvendam. Lanam ſuccidam melle intinctam indito. Quod ſi adultior jam fuerit, ceparum interiores partes ex melle tritas indito. Si lac deficiat, farinam ſitaniam elotam, melle et oleo ammixto tepidam infundito. Puerorum crebram ſpirationem, ἄσθμα dictam, ſedat thus

Ed. Chart. VII. [792.] Foël. I. 635. Ed. Lind. II. (521. 522.)

μᾶζαν, φυλασσόμενος ὅκως μὴ ἐκρυῇ· ὀπτώμενον γὰρ ἐξυγραίνεται. ὅταν δὲ καλῶς ὀπτὸν ᾖ, φοινίκεον γίνεται. ἔμπλαστρον. ψι(522)μύθιον τὸν αὐτὸν τρόπον μισγόμενον τῷ μίσυϊ ὠπτημένῳ, ὥσπερ ἐν τῇ χρυσίτιδι σποδῷ, τὸ μίσυ γίνεται. ἕτερον ἔμπλαστρον ἰσχυρότερον τούτου. σποδὸς Κυπρία ἐκ τοῦ ἀσβόλου πεπλυμένου, καὶ ψιμύθιον, καὶ μίσυ ὀπτόν. εἶναι δὲ δύο μοίρας τῆς σποδοῦ τοῦ ψιμυθίου. ἐν τούτῳ μίσυος ὑγρόν. ἀνεμώνης τὰ φύλλα κόψαντα, ἐκπιέσαι, καὶ ἐς τὸν ἥλιον θεῖναι ἐν χαλκῷ ἐρυθρῷ κατακαλύψαντα, ὅκως μηδὲν ἐμπεσῆται. ὅταν δὲ παχὺ ᾖ, διαπλάσσειν φθοεῖς. εἶτα ξηραίνειν. ὅταν δὲ ξηρανθῇ, κατακαίνειν ὡς δυνατὸν μάλιστα. εἶτα ἐπειδὰν ψυχθῇ, τρίβειν λεῖα, καὶ μίσγειν σποδῷ πεπλυμένῃ τῇ ἐκ τοῦ ἀσβόλου ἴσον. εἶτα παραστάζων νέτωπον, μικρὸν τρίβειν. εἶτα μέλιτι διϊέναι. εἶτα ξηρήνῃ ἐς χαλκῆν κιστίδα τουτέῳ χρῶ. ξηρὸν μαλακόν. σποδὸς Κυπρία, χαλκῖτις ἄπλυτος, λεῖα τετριμμένη, καὶ ἄνθος χαλκοῦ, ταῦτα ἴσα μίσγειν καὶ τρίβειν λεῖα. ἕτερον ξηρόν. σποδὸς Κυπρία. χαλκῖτις διατετριμμένη, καὶ σποδὸς χρυσῖτις ἄπλυ-

rito, ea cautione ne effluat. Liquefcit enim dum torretur. Probe vero uftum punicei fit coloris. Aliud. Ceruſa ad eundem modum cum miſy uſto admiſcetur, velut fit in chryſitidis cinere et in miſy transit. Aliud iſto vehementius. Spodium Cyprium ex fuligine lotum, ceruſa et miſy uſtum. Spodii autem ad ceruſam duas partes eſſe oportet et miſyos unam, foliorum anemones contuſorum ſuccum exprimito, et ad ſolem in aeris rubri vaſe cooperto, ne quid incidat exponito. Cum vero craſſum evaſerit, paſtillos formato, deinde ſiccato. Cum vero deſiccatum fuerit, quam maxime poteris urito, deinde refrigeratum laeviter terito, et ad parem ſpodii ex fuligine loti portionem admiſceto, deinde netopo inſtillato paulum terito, mox melle diluito, poſtea reſiccatum in capſula aerea, ad uſum reponito. Aridum molle. Spodium Cyprium, chalcitis illota laeviter trita, flos aeris, haec aequali portione miſceto et laeviter terito. Aridum aliud. Spodium Cyprium, chalcitis laeviter trita et

Ed. Chart. VII. [791. 792.] Foël. I. 635. Ed. Lind. II. (521.)
μόριον τῆς λεπίδος, τὸ δὲ δεύτερον, τεταρτημόριον, τὸ δὲ τρίτον, πεντημόριον. τοῦτο τὸ φάρμακον ἐπιπᾶν ἁρμόζει. διαλειπτὸν πρὸς τὴν συνάγχην. κάγρυα, σταφὶς ἀγρία, ἀψίνθιον, ἐλατήριον, μέλι. ἐν τοῖς ποδαλγικοῖς ὀδυνήμασιν τὰ ἀφιστάμενα καταπλάσσειν ὕδατι φύροντα λεῖον, καὶ μὴ λούειν τριῶν ἡμερῶν. ὅταν δὲ λούσῃς, αὖθις νίτρον ὠμὸν τοῦ ἐρυθροῦ τρίψαντα, καὶ μέλι ὀλίγον. τουτέῳ ὥσπερ αἰεὶ χρέεσθαι, καὶ τὸν ἴσον χρόνον ἐς κύθραν ἐμβύλλειν λείους. εἶτα στυπτηρίην. εἶτα καταλείψας ὑποκεῖν, νύκτα καὶ ἡμέρην τὴν ἕδρην ἐμβαλεῖν ἀσταφίδι λείῃ, τετριμμένῃ, ξηρῇ, ἐναλείφοντι τὴν ἕδρην. τὰ πεπυρωμένα διάχριε. ἀνδράχνην ἐν σταιτί. θρίδακος τῆς ἐρυθρῆς ὁπόσον ὁλκὴν, λύει πᾶσαν ἐν ὕδατι. σταθμὸς ἡμιοβόλιον Ἀττικόν. ὀφθαλμικά, χαλκοῦ ἰὸς, χολὴ αἰγός, [792] σμύρνα, ταῦτα λύεται πάντα ὁμοῦ τρίψας λεῖα, οἴνῳ διϊέναι λευκῷ. ἔπειτα ἐς κάλαμον ἐμβαλὼν ξηρῷ χρῆσθαι. ἔμπλασιρον, μίσυ κατασκευάσας, τρῖβε ἐν ὕγδῃ. ξυμμίσγειν δὲ αὐτῷ σποδὸν χρυσῖτιν πεπλυμένην. ἔστω δὲ τῆς σποδοῦ τρία, τοῦ μίσυος ἕν. τὸ μίσυ κατάκαιε ἐς

unum quidem vehementiſſimum, quod aeris florem ad ſquamam tertiam habet partem, alterum quod quartam habet partem, tertium vero quod quintam. Hoc medicamentum ad omnia adaptatur. Medicamentum quod illinitur ad anginam, roris marini ſemen, ſtaphis, agria, abſinthium, elaterium, mel. In podagricis doloribus tumores nitro laeviter trito aqua ſubacto, velut cataplasmate obducito, tribus diebus ne lavato. Cum vero laveris, rurſus nitro crudo rubro, cum pauco melle trito, eo velut ſemper utendum. Igne ambuſta illine portulaca cum farinae maſſa aqua ſubacta et lactuca rubra ad drachmam unam. Id dolorem omnem tollit ex aqua ſemioboli Attici pondere. Ophthalmica medicamenta. Aerugo, fel caprae, myrrha, haec omnia ſolvuntur ſimul trita, laevigata, vino albo diluito, deinde in arundinem conjecta, ſicca ad uſum adhibeto. Quod pulvere inſpergitur. Miſy praeparatum in pila terito, chryſitidis cinerem lotum admiſceto. Sint enim cineris partes tres et miſyos una; miſy in maza combu-

Ed. Chart. VII. [792. 793.] Foës. I. 636. Ed. Lind. II. (523. 524.) ὀφθαλμὸν μὲν ὡς κάλλιστον καὶ οἶνον παλαιὸν γλυκὺν ἕψειν ὁμοῦ. πρὸς ἄργεμον, αἰγείρου δάκρυον, γάλα γυναικεῖον μίξας χρῶ, ἐὰν ὀφθαλμὸς δακρύῃ καὶ ὀδύνη ἔχῃ. ῥοιῆς γλυκείης τὸν χυλὸν ἐκπιέσας, ἐν χαλκέῳ ἕψειν καὶ μέλαν ὥσπερ πίσσαν, ἐὰν θέρος ᾖ, ἐς τὸν ἥλιον τιθέναι· εἶτα ὑγρῷ ὑπαλείφειν. ἐὰν δὲ δακρύῃ καὶ γλαμυρὸς ᾖ ὁ ὀφθαλμὸς ὅταν ᾖ σταφυλὴ ᾖ λευκή, πέπειρος ἰσχυρῶς καὶ ἰσχνὴ ἐπὶ τῇ ἀμπέλῳ ᾖ. δρέψας ἐξωθῆσαι, εἶτα ξηραίνειν ἐν τῷ ἡλίῳ. ὅταν δὲ ξηρὸν ᾖ, ἀποξέσαι μῖξαι ἴου ἡμιοβόλιον Ἀττικῷ σταθμῷ. εἶτα τούτῳ ὑπαλείφειν. [793] παραπαστόν. μόλιβος καὶ σποδὸς ἴσα. σμύρνης δέκατον μέρος, ὀποῦ μήκωνος σμικρόν. οἶνος παλαιός. ξηρὰ τρίψας χρῶ. σκίλλα καὶ σποδοῦ τρίτον μέρος καὶ ψιμυθίου τρίτον μέρος χάρτου κεκαυμένου, μέρος δέκατον σμύρνης. εἰ βούλει ἐκ τοῦ σώματος τρίχας ἀπελάσαι. δακρύῳ ἀμπέλου ἀλείφειν ἐλαίῳ. ἐὰν (524) δὲ καὶ τὸν ὀφθαλμὸν βούλῃ, ἀποδρέψας ἀλείφειν, καὶ ἄπεισι σὺν λεπτῷ δέρματι, καὶ ἔσται ἐρυθρὸς καὶ εὔχροιος. λειεντερίης, φακοὺς, πυροὺς σιτανίους ὅσον δύο χοίνικας βρέξας, ἐπειδὰν

illinere optimum, vinumque vetus dulce ſimul incoquito. Ad albuginem. Populi nigrae lachrymam, lac muliebre, his permixtis utitor. Ad oculi lachrymam et dolorem. Mali punici dulcis expreſſum ſuccum in vaſe aereo coquito, et nigrum velut picem reddito, aeſtate ſoli exponito, deinde liquido ſublinito. Si lachrymabundus ac lippus oculus fuerit. Cum uva alba, valde matura et gracilis in vite fuerit, decerptam excolato, deinde in ſole ſiccato. Cum ſiccum fuerit, deradito, aeruginis ſemioboli Attici pondus admiſceto, poſtea eo ſublinito. Hoc oculis inſpergitur. Plumbum et ſpodium aequis portionibus, myrrhae decima pars, papaveris ſucci exiguum, vinum vetus, aridis tritis utitor. Scillae, ſpodii, cerufae, chartae combuſtae pars tertia, myrrhae pars decima. Si voles pilos e corpore evellere, vitis lachryma cum oleo inungito. Quod ſi oculum depilare voles, ubi decerpſeris inungito et cum tenui cuticula diſcedet, ruborque et boni coloris erit. Ad laevitatem inteſtinorum, lentes et triticum ſetanium ad duas choenices aqua macerato,

Ed. Chart. VII. [792.] Foëſ. I. 635. 636. Ed. Lind. II. (522. 523.)
τος ἐναφεψεῖται τὸ χρυσίον ταύταις ἀλλήλαις διατρίβειν. ἕτερον ξηρόν. σποδὸς πεπλυμένη. χρυσῖτις καὶ ἀφρὸς χαλκοῦ ἴσα λεῖα. ἕτερον. ὀμφακὸς χυλὸς, καὶ σποδὸς Κυπρία. || τὴν ὄμφακα ἀκμάζουσαν χρὴ ἐκπιέσαι τὸν χυλὸν δι' ὀθονίου ἐς χαλκεῖον ἐρυθρὸν καὶ μῖξαι ὄξεος τρίτον μέρος λευκοῦ ὡς ὀξυτάτου, καὶ οὕτως καθεψεῖν ἐν τῷ ἡλίῳ, καὶ ἀναταράσσειν πεντάκις τῆς ἡμέρης. ὅταν δὲ παχὺς γένηται ὁ χυλὸς, σποδὸν τῆς Κυπρίης τῆς χαλκίτιδος λείην ἐμβαλεῖν καὶ ἀναμῖξαι. ὅταν δὲ ἑκταῖος ἢ ἑβδομαῖος ἦ ὁ χυλὸς ἐν τῷ ἡλίῳ κείμενος, ἐς κοτύλην Ἀττικὴν τοῦ χυλοῦ (523) τῆς σποδοῦ δραχμὰς ὀκτώ. ἐὰν δὲ βούλῃ δριμύτερον εἶναι, ἐλάττω τὴν σποδόν. ἐὰν δὲ μαλθακώτερον, πλέω. μετὰ δὲ ταῦτα ξηραίνειν, ἄχρις οὗ δυνατὸν διαπλάσαι φθοεῖς. εἶτα ἐξηραίνειν, κρεμάσας ἄνω ὑπὲρ καπνοῦ, καὶ οὕτως ξηραίνειν μέχρις οὗ ὀστρακῶδες γένηται, ὥστε τριβόμενον μὴ ξυντρέφεσθαι, εἶθ' οὕτως χρῶ. κείσθω δὲ ὅκου ἰκμάδα μὴ ἕξει. ἕτερον ξηρόν. σποδὸς, χαλκῖτις ὄξει πεφυρμένη λευκῷ, εἶτα φθοεῖς ποιήσας. ξήραινε δέ. ὅταν δὲ ξηρανθῇ, λεῖον τρίβειν, ὑπαλείφειν

cinis chryſitidis illotus, haec inter ſe diligenter terito. Aliud aridum. Spodium uſtum, chryſitis et aeris ſpuma aequalibus portionibus laevigata. Alind. Uvae immaturae ſuccus et ſpodium Cyprium. Uvae immaturae grandioris ſuccum, ex linteo in vaſe aeris rubri exprimito, aceti albi acerrimi tertia parte admixta, ſicque in ſole decoquito et quinquies die verſato. Cum vero craſſus ſuccus evaſerit, chalcitidis Cypriae cinerem laeviter tritum injicito et permiſceto. Cumque ſex vel ſeptem diebus ſuccus in ſole poſitus fuerit, ad ſucci heminam Atticam, cineris drachmas octo injicito. Quod ſi acrius voles, cineris minus, ſin lenius, plus adjicito. Poſt haec reſiccato, quoad paſtilli formari queant. Deinde ad fumum intus ſuſpenſum, tamdiu reſiccato quoad teſtaceum evadat, ne cum teritur in ſeſe coeat, mox ſic utitor et loco minime humido reponito. Aliud aridum. Spodium, chalcitis aceto albo ſubacta, deinde paſtillos confectos reſiccato, cumque reſiccatum fuerit laeviter terito, eo quidem oculum

Ed. Chart. VII. [793.] Foës. I. 636. 637. Ed. Lind. II. (524. 525.) δρότερον θέλῃς ἄγειν, σικύης ἐντεριώνην, τέταρτον δραχμῆς ἀποβρέξας ἐν ὕδατος ἡμικοτυλίῳ, τουτέῳ κλύσαι, καὶ ἐὰν ἐξελθὼν δάκνῃ, μετακλύσαι πτισάνης χυλῷ. ἕτερον. γάλακτι (525) ἐφθῷ ὀνείῳ, ἢ ἐν τεύτλου χυλῷ τρισὶ κοτύλαις ἐναποβρέχειν τὴν ἐντεριώνην, παραμίσγειν ἅλας καὶ μέλι καὶ ἔλαιον. μετακλύζειν δὲ πτισάνης χυλῷ. || κολοκυνθίδος δραχμὴν τρίψας καὶ προβρέξας ἐν γάλακτι ὀνείῳ, μίσγειν τὰ αὐτά. ἐντεριώνης δραχμὴν, ἐλατηρίου πόσιν, σολόμης ὅσον τοῖς τρισὶ δακτύλοις, μέλι, ἔλαιον, διϊέναι θαλάσσῃ. ἐὰν δὲ κόπριον θέλῃς ἀγαγεῖν, μηδὲν πίνειν φάρμακον. τοῖσι δὲ ἄλλοισι χρῶ. δυσεντερίης κλυσμός. ἐν οἴνῳ σίδια ῥοιῆς γλυκείης ἑψήσας ὡς πλεῖστα, ἕψειν δὲ μέχρις οὗ τὸ ἥμισυ λειφθῇ. μίσγειν δὲ ἔλαιον τεταρτημόριον κοτύλης, ἑκατέρου τὴν ἑτέρην. λιβανωτοῦ τέταρτον δραχμῆς μύρου ῥοδίνου ἡμικοτύλιον, πτισάνης χυλὸς, θάλασσα ἕφθη, ἑλλεβόρου δύο πόσιας τρίψας, ὕδατος διεὶς ἡμικοτύλιον, ἐλαίου ἶσον, κλύζειν χυλῷ ἐγχέας ἐς σκαφίδα. μῆλα κυδώνια κατατάμνειν καὶ ἐὰν ἐμ-

cucumeris agreſtis interiorem partem, ad drachmae quadrantem, aquae dimidia hemina maceratam in alvum infundito, et ſi in exitu mordeat, poſtea ptiſanae cremore colluito. Aliud. In lacte aſinino cocto, aut in ſucco betae ad tres heminas, cucumeris agreſtis interiorem partem macerato, ſale admixto, melle et oleo, poſtea vero ptiſanae cremore colluito. Cucurbitae agreſtis drachmam tritam et prius lacte aſinino maceratam, haec eadem miſceto. Cucumeris agreſtis interioris partis drachmam, elaterii quantum una potione ſatis ſit, ſalis pugillum, mel, oleum, aqua marina diluito. At ſi ſtercus educere voles, nullum medicamentum propinato, verum aliis utitor. Ad inteſtinorum difficultatem infuſum. Mali punici dulcis cortices in vino plurimum decoquito, quoad dimidium remaneat, olei heminae quadrante admixto et thuris drachmae quadrante. Unguenti roſacei heminae dimidium, ptiſanae cremor, aqua marina cocta. Veratri quantum ad duas potiones ſatis ſit terito, aquae hemina dimidia diluito, olei aequali portione admixta, decocto in ſcaphulam effuſo colluito. Mala cydo-

Ed. Chart. VII. [793.] Foës. I. 636. Ed. Lind. II. (524.)

μαλθακοὶ ὦσιν διατρωγωμένη ἰσχυρῶς ποιῆσαι λείους ἐν ὄλμῳ ἢ ἐν θυείᾳ. ἔπειτα ἐπιχέαι ὕδατος κοτύλας ἓξ καὶ ἀνακινῆσαι ἰσχυρῶς. ὅ τι δ' ἂν ἀπέλθῃ ἐγχέας ἐς χύτραν, ἑψεῖν, μέλι ὀλίγον παραχέας. ἐπειδὰν ἑφθὸν ἰσχυρῶς γένηται, φρύξας διδόναι ἐσθίειν τούτου. ἐὰν δὲ διψῇ, οἶνον πινέτω ὡς παλαιότατον. τουτέῳ χρήσθω, ἄχρις ἂν ὑγιὴς γένηται. ἐὰν δὲ κόρυζαν ἔχῃ, σμύρναν τρίψας λεῖα, καὶ μέλι μίξας. ὀθόνιον ποιήσας. τὰς ῥῖνας τρίβειν. κλυσμὸς φλέγμα ἄγων. θαψίης πόσιν, ἢ ἀσταφίδος ὅσον τεσσαράκοντα κόκκους, ἢ κνιδίου πόσιν, ἢ κνήστρου. μίσγειν δὲ μέλιτος ἡμικοτύλιον, ἐλαίου ἴσον διϊέναι θαλάσσῃ πίτυρα ἐναφεψήσας, ἢ πτισάνην μέχρις οὗ λιπαρὰ γένηται, ἢ στέατος, ἢ τεύτλου χυλῷ. παραμίσγειν δὲ νίτρου ὅσον δέκα δραχμὰς, ἢ ἁλὸς τρυβλίον πλεῖον ἐς θάλασσαν. ἐὰν δὲ θέλῃς χολὴν ἄγειν. ὀποῦ πόσιν, ἐλατηρίου ὁλκὴν καὶ ἥμισυ. κολοκυνθίδος τρῖψαι δραχμὴν σταθμόν. διϊέναι τοῖς αὐτοῖς οἷς καὶ πρότερον. ἐὰν δὲ σφο-

deinde cum haec mollia evaſerint, ut edi poſſint in pila aut mortario laevigato, poſtea, aquae heminis ſex aſſuſis vehementer agitato. Quod a rutro diſcedet in ollam effundito, melle pauco affuſo coquito, ubi vehementer coctum fuerit, torreſactum edendum dato. Quod ſi ſitiat, vinum quam vetuſtiſſimum bibat, eo utatur quoad convaleſcat. Si quis gravedine detineatur, myrrham laeviter tritam melle admixto linteo excipito, nares conſricato. Alvi inſuſum pituitam educens. Tapſiae quantum potione una ſatis ſit, aut uvae paſſae grana quadraginta, aut grani Cnidii aut cneſtri quantum ad unam potionem ſatis ſit, mellis autem ſemihe-minam admiſceto, aut olei tantundem aqua marina diluito, in qua furfures aut ptiſana decocta fuerit, quoad pinguis evaſerit. Aut adipem betae ſucco liquato, et nitri drachmas decem admiſceto, aut ſalis acetabulum plenum in aquam marinam immittito. Quod ſi bilem educere voles, ſucci laſeris quantum una potione ſatis ſit, elaterii ſeſquidrachmam colocynthidis agreſtis drachmae pondus terito et iisdem quibus prius diluito. Si vero vehementius ducere voles,

Ed. Chart. VII. [794. 795.] Foël. I. 637. Ed. Lind. II. (529. 530.)

ματος ἀπόψυξίς τε τῶν σκελέων. ἐνίοτε δὲ καὶ ἡ ῥὶς ἐκχεῖ ἐς τοὺς ὀδόντας, ἢν πλέον ᾖ τὸ αἷμα ἀπιὸν, καὶ ἱδρὼς κατα-χεῖται πουλύς. πρὸς δὲ τούτοις καρδιωγμοί τε γίνονται καὶ περιψύξιες καὶ πυρετοὶ ἀκρητόχολοι καὶ κνησμώδεες, καὶ τῆς αὐτῆς ἡμέρης πολλάκις ῥιγέουσι, καὶ αὖθις ἱδροῦσι, καὶ ἄλλοτε μὲν ἀπὸ τῶν ἄνω χωρίων σπασμοὶ γίνονται σφίσιν, ἄλλοτε δὲ ἀπὸ τῶν κάτω, καὶ ἐς τοὺς βουβῶνας ὀδύναι αἵ ὀξεῖαι ἐμπίπτουσι καὶ ἰσχυραὶ, φοιτέουσαι ὥσπερ ὠδῖνες. ἐνίοτε δὲ καὶ στραγγουρίη, καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα πιέζει, καὶ ἡ γλῶσσα τρηχεῖα, καὶ οἱ δάκτυλοι ξυνέλκονται τῶν ποδῶν οἱ μεγάλοι, [795] καὶ ἐς τὰς γαστροκνημίας αἰεὶ τῷ μηρῷ ξυντιταίνη, καὶ τῆς ὀσφύος περιωδυνίαι, καὶ τῶν χειρέων ἀκρασίη. ὁκόταν δὲ τοιαῦτα γίνηται, τότε καὶ τέτανοι φιλέουσι γίνεσθαι (530) ἀπὸ τῶν κληΐδων κατὰ τὰς σφαγὰς ἐς τὰς γνάθους καὶ τὴν γλῶσσαν. ἐκ δὲ τῶν τοιουτέων ὀλίγῳ ὕστερον ὄπισθεν ἀπὸ τῶν τενόντων κατὰ τὴν ῥάχιν ἐς ὀσφῦν καὶ ὧδε ἀπύλλυνται κατὰ βίην. προλέγειν οὖν δεῖ ἀρχομένων τῶν ῥοῶν, διαιτῆν τόνδε τὸν τρόπον.

corporis, torpor crurum perfrictio. Interdum vero ſi copioſior ſanguis effluxerit, naſus etiam in dentes effundit ſudorque multus effluit. Ad haec quoque oris ventriculi morſus et perfrictiones contingunt, et febres bilem finceram effundentes et pruriginoſae, crebroque eodem die rigore corripiuntur, rurſusque ſudoribus diffluunt. Quandoque etiam ex ſuperioribus locis, quandoque vero ex inferioribus, eis convulſiones ſuboriuntur doloresque acuti et vehementes parturientibus non abſimiles ad inguina veniunt. Interdum vero ſtranguria detinet, os ſiccum eſt, ſitis urget, lingua aſpera, pedum pollices contrahuntur et ad ſuras femora contendit, lumborum ingentes dolores adſunt et manuum ad motum impotentia. His ita contingentibus, tum a claviculis ad jugula, ad malas et linguam nervorum diſtentiones fieri conſueverunt. Et ex his paulo poſt in poſteriora a tendinibus juxta ſpinam et lumbos tendunt, ſicque morbi violentia pereunt. Inchoantibus igitur fluoribus ad hunc modum victus rationem denunciare oportet. Sub di-

Ed. Chart. VII. [793. 794.] Foëſ. I. 637. Ed. Lind. II. (525. 529.)

βρέχεσθαι. ἐπειδὰν δὲ τὸ ὕδωρ τὴν ὀσμὴν ἔχῃ, διδόναι πίνειν. πτισάνης λέκυθον ἐμβαλὼν ἐς χοέα ὕδατος ἕψε μέχρι λιπαρὸς γένηται. ψύξας δὲ τὰ μῆλα ἢν κατατάμνῃ. κηρίον, καταβρέξαι δὲ ἐν ὕδατι, καὶ ἅμα τρίβειν, ὅταν ὑπόγλυκυ ᾖ καὶ διηθήσας, ἐμβάλλειν σελίνου φύλλα. ἕτερον. ἀσταφίδα λευκὴν ἐς ὕδωρ ἐμβαλὼν καλαμίνθην ἢ κορίον, ἀνατρίβειν ἐς ὕδωρ ὑπόγλυκυ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΥΝΑΙΚΕΙΩΝ ΤΟ ΔΕΥΤΕΡΟΝ.

[794] (529) Ῥόος λευκὸς ἐν τῇσι γεραιτέρῃσι τῶν γυναικῶν μᾶλλον γίνεται ἢ ἐν τῇσι νεωτέρῃσι· ῥόος πυῤῥὸς ἐν ἀμφοτέρῃσι· ῥόος ἐρυθρὸς ἐν τῇσι νεωτέρῃσι. καὶ ῥόος ἐρυθρὸς μὲν γίνεται ἐκ πυρετοῦ, μᾶλλον δὲ ἐκ τρωσμοῦ. γίνεται δὲ καὶ ἐξ ἀπολήψεως ἐπιμηνίων, ὅταν ἀποκλεισθέντα ἐξαπίνης καταῤῥαγῇ. γίνεται δὲ καὶ ἐκ τόκων καὶ ἐκ πυρετῶν, αἷμά τε ῥέει πάμπολυ, καὶ θρόμβοι ἐκπίπτουσι, καὶ ὀδύνη γίνεται τῶν κληΐδων καὶ τῶν τενόντων, καὶ νάρκη τοῦ σώ-

nia diſſecta aqua macerari ſinito, cumque aqua odorem habuerit, potui exhibeto. Ptiſanae lomentum in aquae congium immiſſum decoquito, dum pingue evadat. Mala diſſecta decoquito, favum mellis aqua macerato ſimul terito, ubi ſubdulcis fuerit percolato, apii folia immittito. Aliud. Uvam paſſam albam in aquam immiſſam, calaminthem, aut favum mellis in aqua ſubdulci conterito.

HIPPOCRATIS DE MVLIERVM MORBIS LIBER SECVNDVS.

Fluor albus ſenioribus magis quam junioribus contingit, fulvus utrisque, ruber junioribus. Et fluor quidem ruber ex febre quidem oritur, magis vero ex abortione. Quin etiam ex menſium ſuppreſſione contingit, cum retenti ſubito magna copia proruperint. Contingit vero etiam ex partu, et ex febribus et ſanguis magna copia affluit, grumi ſanguinis excidunt dolor juguli et cervicis tendonum ſuboritur, et

Ed. Chart. VII. [795.] Foës. I. 638. Ed. Lind. II. (530. 531.)

γουνάτων, καὶ σικύαις ἀείρειν ἐπάρας μαζοὺς ὑπ' αὐτέους, (531) ἄλλοτε μὲν ἐς τὰ δεξιά, ἄλλοτε δὲ ἐς τὰ λαιά. ἢν δὲ δύσπνοια γένηται, πρὸς τὴν πρόσβλησιν τῆς σικύης ἀφαιρεῖν τὴν σικύην. αἷμα δὲ μὴ ἀπάγειν, προσθέτοισι δὲ χρῆσθαι. οἷσιν ἂν ἐγὼ γράψω τῶν στασίμων τοῦ αἵματος προσθετὰ ποιέοντα τῇσι τοιαύτῃσι. ἢν μὲν περιγένηται ἐκ τῶν ῥόων, ἀπιόντος πολλοῦ αἵματος τό τε χρῶμα ἀφυῶδες καὶ τὸ πρόσωπον μετάρσιον, καὶ ἐν τοῖσιν ὑποφθάλμοισιν οἰδήματα, καὶ τὰ σκέλεα ἐπηρμένα καὶ ἡ ὑστέρη ὑγρή, καὶ αἰεὶ ἐστόμωνται παρὰ λόγον καὶ τὰ ἀπιόντα ὑδαρέα, οἷον ἀπὸ κρεῶν ὠμῶν χυμός. τῇσι τοιαύτῃσι χρὴ ὅταν ἰσχύῃ, καὶ ἐμέτους ποιέειν καὶ νησιείας, καὶ μετὰ τοὺς ἐμέτους ἄριστον διδόναι. ταύτῃσι συμφέρει ἡ ὀλιγοποσίη. οἶνος ἀκρητέστερος. ἀλουσίη ἢ ψυχρολουσίη, περίπατοι, μονοσιτίη, πᾶσα ξηρασίη. ἢν δὲ πρὸς ταῦτα μὴ καθεστέωνται μηδὲ ξυμπίπτωσιν αἱ ὑστέραι, μηδὲ τῶν ῥευμάτων ἀπαλλάσσωνται, ἀποσκεπτόμενον χρὴ ἐς τὴν δύναμιν τοῦ σώματος, καὶ ἢν ᾖ δυνατὴ, ἐλλεβορίζειν. ἢν δὲ μὴ ἐνακούσῃ, τὴν κεφαλὴν καθαίρειν.

genua injicias. Et fublatis mammis cucurbitulas modo quidem dextra, modo etiam finiſtra parte adhibeto. Quod ſi admotis cucurbitulis ſuboriatur ſpirandi difficultas, eas detrahito ſanguinemque ne educito. Medicamentis vero ſubditiis iis utitor, quae deſcribam, ad ſanguinem ſiſtendum accommodatis. Si quidem ex his fluoribus ſuperſit, copioſo abeunte ſanguine, tum color apuae ſimilis, tum facies ſubtumida eſt, oculi intumeſcunt, crura turgeſcunt uterus humidus eſt, ſemperque praeter modum apertus eſt et aquoſa effluunt, velut carnium crudarum ſuccus. In his ſi vires validae fuerint, jejunis vomitiones ciere oportet et a vomitionibus prandium exhibere. His paucus potus conſert vinum nigrum meracius, balnei abſtinentia, aut frigidae balneum, deambulationes, ſemel die cibus, omnia ſiccantia. Quod ſi per haec non reſtituantur uteri, nec conſidant, neque a fluxionibus vindicentur, adhibita virium corporis ratione, ſi qnidem robuſta ſit, elleborum dare oportet. Si vero dicto non paruerit, caput purgandum et poſt purga-

Ed. Chart. VII. [795.] Foës. I. 637. 638 Ed. Lind. II. (530.)

πρωῒ μὲν διδόναι πρὸς τοὺς ῥόους φάρμακον πίνειν, ὧν ἂν ἐγὼ γράφω, οὗ ἂν δοκέῃ δεῖσθαι μάλιστα. διδόναι δὲ καὶ τρὶς καὶ τετράκις. καὶ ἢν πουλὺ ἀπίῃ τὸ αἷμα, διαιτᾶν οὖν, || ἢν μὲν ἀπύρετοι ἔωσι, σιτίοισιν. ἢν δὲ πυρεταίνωσι, ῥοφήμασιν. ἔστι δὲ τῶν μὲν ῥοφημάτων τάδε ἐπιτηδειότατα. ἔλυμος, φακὴ, ἄλητον ἐφθὸν, σηπάνιον, χόνδρος κάθεφθος ῥοφητός. ζειὰ κάθεφθος, τῶν δὲ πομάτων πάλη ἀλφίτου, ἐφ' ὕδατι, καὶ τὰ κλύσματα ἀπὸ τῶν ἄρτων κεκομμένα, καὶ ἄλφιτα προκώνια λεπτὰ βεβρεγμένα ἐν ὕδατι, ἃ καὶ ἐλλείχειν ἄναλτα. τῶν δὲ σιτίων ἄρτος ἔξοπτος ἐν σποδιῇ. ὄψον δὲ λαγωοῦ κρέας. πελιάδος, φάσσης, καὶ ἐφθὰ καὶ ὀπτά. ἐρίφου τε κρέας ὀπτόν. μηδενὶ πέπερι πεποιημένον ἐς ὄξος ἐμβάπτων. ἧπάρ τε ἐν σποδιῇ ὀπτὸν, αἰγὸς ἢ βοός. ὠοῦ τὸ λεπτὸν, ἢ ὁ λέκιθος. τυρὸς ἄναλτος. λαχάνων δὲ μηδέ τινος γεύεσθαι, μήτε ἐφθῶν μήτε ὠμῶν καὶ λουτρῶν ἀπέχεσθαι, καὶ ἐπιδεῖν τῷ χεῖρε εἰρίῳ ῥερυπωμένῳ στρέψαντα καὶ παχετὸν ποιήσαντα ὑπὲρ τῶν ἀγκώνων καὶ τῶν ἰγνύων ὑπὲρ τῶν

luculum quidem medicamentum aliquod ex his quae deſcribam, quo potiſſimum opus eſſe videatur, ad fluores potui exhibeto, idque ter aut quater. Et ſi copioſus ſanguis feratur, victus rationem inſtituito, ſi quidem ſine febre fuerint, ex cibariis, ſi vero febricitaverit ex ſorbitionibus. Ex ſorbitionibus autem maxime conveniunt panicum, lenticula, farina ſetania cocta, alica decocto ſorbilis, zea percocta. Ex potionibus vero polentae pollen tenuiſſimus ex aqua et contuſa ex panibus decerpta fragmenta et tenuis ex hordeo recenti farina aqua macerata, quae etiam inſulſa delingenda. Ex cibariis vero panis exaſſatus in cinere, pro opſonio autem leporis caro, columbi et palumbis, tum elixa, tum aſſata, hoedina caro aſſata, absque ullo condimento, aceto intincta, caprae aut bovis hepar in cinere aſſatum, ovi tenue aut vitellus, caſeus ſine ſale. Olus nullum neque coctum neque crudum guſtandum, balneis abſtinendum, manus ambae vinculis ex lana ſuccida intorta deligandae, ita ut laqueum ad ſuperiores cubitorum et poplitum partes ſupra

Ed. Chart. VII. [796.] Foëſ. I. 638. 639. Ed. Lind. II. (532. 533.)
ἰς τὰς ἰξύας καὶ τοὺς κενεῶνας καὶ τὴν νειαίρην γαστέρα, καὶ σκληρή ἐστι, καὶ θιγγανομένη ἀλγέει, καὶ ῥῖγος καὶ πυρετὸς ὀξὺς λαμβάνει, καὶ ἀσθενείη ἐγγίνεται, καὶ πάντα πλὴν ὤμων καὶ ὠμοπλατέων ἀλγέει, καὶ θέρμη ἔχει, καὶ ἐρευθιᾷ, καὶ τὰ φλέβια σκληρὰ ἀντιτυπέόμενα. ἡ δὲ νοῦσος γίνεται μάλιστα ἐκ τρωσμῶν. γίνεται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια μὴ γινόμενα ἀπὸ πολλοῦ χρόνου ἐξαπίνης καταῤῥαγῇ. ταύτῃ, ὁκόταν ὧδε ἔχῃ, ὄλυνθον ξηρὴν κόψας καὶ διασήσας ἐς ὀθόνιον ἐνδῆσαι καὶ προσθέσθαι, || καὶ ἐπὶ τὴν νειαίρην γαστέρα ψύγματα ἐπιτιθέναι, φυλασσόμενος μὴ φρίξῃ. ἐπειδὰν δὲ τὸ ῥεῦμα στῇ, ἀγριελαίης φύλλα ἑψήσας ἐν ὄξει ὀξυτάτῳ, διανιψάσθω τὰ αἰδοῖα. πινέτω δὲ γίγαρτα, καὶ ῥοιὰν τὴν ἐρυθρὴν ἑψήσας ἐν ὕδατι ὡς ὀξυτάτῳ, ἀλειψάσθω τὰ αἰδοῖα ὅσον ἡμικοτύλιον. ἢ μόρα τὰ ἀπὸ τοῦ βάτου τὰ ἐρυθρὰ ξηράνας, καὶ τρίψας λεῖα μετὰ ἀλήτου σηταίου μίσγων ἴσον ἴσῳ, νήστει διδόναι πίνειν. ἢν δὲ θέλῃς ἰσχυρότερον, τιτάνου ξυμμίξας δύο μοίρας ἀλήτου (533) ἐπιβαλὼν πίσαι, καὶ μὴ λουέσθω. σιτίοισι δὲ χρήσθω ξη-

inanitates et imum ventrem detinet, qui durus eſt et contactus dolet, rigor et febris acuta prehendit, imbecillitas innaſcitur, omnia praeter humeros et ſcoptula operta dolent, calor et rubor detinet, venaeque durae ſunt ac renitentes. Hic morbus ex abortionibus praecipue oritur. Quin etiam contingit cum menſes diu retenti derepente affatim proruperint. Huic ita habenti groſſum ſiccam, contuſam et cribratam, in linteo ligatam, in ſubdititio apponito et imo ventri refrigerantia admoveto, ea cautione ne inhorreſcat. Poſtquam autem fluor conſtiterit, oleae agreſtis foliis in acerrimo aceto decoctis, pudenda perluat. Bibat autem vinacea, aut rhoë rubro in aceti acerrimi hemina dimidia decocto, pudenda abluat. Aut mora rubi rubra ſiccata et tenuiter trita cum farina ſetanea, aequali portione mixta jejunae potui exhibeto. Quod ſi vehementius voles, ſetaneae farinae duas partes injectas et ammixtas propinato, neque lavet. Cibis autem utatur ſiccis et vino nigro gene-

Ed. Chart. VII. [795. 796.] Foës. I. 638. Ed. Lind. II. (531. 532.)
καθήραντα δὲ τὰ λοιπὰ διαίτῃ θεραπεύειν τὸν αὐτὸν τρόπον καὶ περὶ τὰς ἀτέκνους. σκεπτέον δὲ καὶ τὰς φύσιας τῶν γυναικῶν καὶ τὰς χρόας καὶ τὰς ἡλικίας καὶ τὰς ὥρας καὶ τοὺς τόπους καὶ τὰ πνεύματα. αἱ μὲν γὰρ ψυχραὶ, αἱ δὲ ὑγραὶ καὶ ῥοώδεες, αἱ δὲ θερμαὶ μὲν, ξηρότεραι δὲ καὶ στάσιμοί εἰσιν. [796] αἱ μὲν γὰρ ὑπέρλευκοι ὑγρότεραί τε καὶ ῥοωδέστεραι, αἱ δὲ μέλαιναι ξηρότεραί τε καὶ στρυφνότεραι. αἱ δὲ οἰνωποὶ μεσηγύ τι ἀμ(532)φοῖν ἔχουσι, καὶ ἀμφὶ τῶν ἡλικιῶν ὡσαύτως ξυμβαίνει. αἱ μὲν γὰρ νέαι ὑγρότεραι καὶ πολύαιμοι, ὁμοίως ἐπιτοπολύ· αἱ δὲ πρεσβύτεραι ξηρότεραι καὶ ὀλίγαιμοι. αἱ δὲ μέσαι μέσον τι ἀμφῶν ἔχουσιν, ἴσαι νῦν ἐοῦσαι. δεῖ δὲ τὸν ὀρθῶς ταῦτα διαχειριούμενον διαγινώσκειν ἑκάστοτε τὰς φύσιας τῶν γυναικῶν καὶ τοὺς καιροὺς καὶ τὰς ἡλικίας καὶ τὰς ὥρας καὶ τοὺς τόπους καὶ τὰ πνεύματα. ἢν ῥόος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, αἷμα ῥέει πολλὸν, καὶ θρόμβοι πεπηγότες ἐκπίπτουσι, καὶ ἡ ὀδύνη ἴσχει

tionem reliquam victus rationem ad eundem modum adhibeto, velut in his quae non pariunt. Adhibendae vero in conſiderationem etiam ſunt mulierum tum naturae, tum colores, tum aetates et anni tempeſtates et loca et venti. Aliae quidem frigidae, aliae humidae et fluidae. Aliae vero calidae quidem, ſed ficciores et ſtabiles ſunt. Nam quae ſupra modum albae ſunt, humidiores et fluxionibus opportuniores exiſtunt, nigrae vero ficciores et adſtrictiores. Quae vero colore ſunt ſubfuſco et vinoſo, medium quiddam inter utrasque obtinent. Ad eundem etiam modum circa aetates contingit. Juvenculae enim humidiores ſunt, fereque ſimiliter copioſo ſanguine abundant. Vetulae vero ficciores paucum habent ſanguinem. Quae autem in medio ſunt poſitae, medium quiddam inter utrasque habent, in aetatis aequilibrio conſtitutae. Eum autem qui haec recte tractare volet, mulierum naturas et temporum opportunitates et aetates et anni tempeſtates et loca et ventos ſemper dignoſcere oportet. Si fluor in uteris gignatur, copioſus ſanguis fluit et grumi concreti excidunt, dolor ad lumbos, laterum

Ed. Chart. VII. [797.] Foës. I. 639. Ed. Lind. II. (533. 534.)

κατατέγγοντα προστιθέναι ὁκόταν ἢ ὀδύνη, καὶ ὀθόνιον λεῖον μαλθακὸν καθεψῶν, ὕδατι τέγγοντα ψυχρῷ ἐπὶ γαστέρα ἐπιβαλεῖν, καὶ ὕδατι ψυχρῷ καταχεῖν, καὶ τὴν κλίνην ἀπὸ ποδῶν ὑψηλοτέρην εἶναι, καὶ στορέσαι ὧδε, καὶ τῶν γυναικείων πειρώμενος, ὅ τι ἂν μᾶλλον προσίηται πιπίσκειν. τοῦ σελίνου τὸν καρπὸν (534) φῶσαι καὶ σῆσαι καὶ κόψαι καὶ ἐρύσιμον ὡσαύτως, καὶ μήκωνος καρπὸν σὺν ἀλφίτοισι σήσας, καὶ κνίδης καρπὸν ὡσαύτως, καὶ τῆς ψώρας ἀγριελαίης, καὶ κικίδα, καὶ πήγανον, καὶ ὀρίγανον, καὶ γλήχωνα ἐν ἀλφίτοις σῆσαι καὶ φυρῆσαι, καὶ κρίμνα ἐπ᾽ ἀλφίτων ἁδρά, φῶξαι καὶ πύρινα καταλέσας, καὶ τυρὸν αἴγειον περιξέσαντα τὸ αἶσχος, καὶ τῶν μὲν ἄλλων ἶσον ἑκάστου μίσγε. ὀρίγανον δὲ καὶ πήγανον καὶ ψώρας καὶ κικίδος ἥμισυ, ταῦτα πίνειν νῆστιν πρωΐ πρὸ τῆς κινήσιος. κιρνάναι δὲ χρὴ καὶ ἐς χρῆσιν. ἢν δριμέα ἴοι, καὶ κυκεῶνα διδόναι. ἓν μὲν τοῦ φαρμάκου μέρος ἔστω, ἓν δὲ τοῦ τυροῦ, ἓν δὲ τῶν ἀλφίτων. ἐς ἑσπέρην δὲ τοῦ μέλιτος ξυμμίσγοντα πιπίσκειν,

incideris, cum dolor adfuerit, ſpongiam madefactam admoveto et linteum rarum molle derafum, aqua frigida imbutum ventri injicito frigidaque perfundito, lectumque a pedibus excitatum ſic ſternito, medicamentumque aliquod ex his quae mulieribus debentur, facto ejus periculo quodnam lubentius aſſumat, propinato. Apii ſemen toſtum contundito et cribrato et irionem eodem modo et peplii ſemen cum polenta cribratum et urticae ſemen ſimiliter et oleaſtri ſcabiem, gallam, rutam, origanum, pulegium cum polenta cribratum ac ſubactum et farinae hordeaceae craſſiores partes toſtas et farinam triticeam commolitam, caſeumque caprinum abraſis ſordibus, aliorum quidem ſingulorum parem portionem miſceto, origani vero et rutae et ſcabiei et gallae dimidium, haec mane jejunae antequam moveatur potui exhibeto. Miſcenda autem ſunt ad uſum, ſi acria prodeant, et in cyceone danda. Sit cutem medicamenti pars una, caſei una, polentae una. Sub veſperam autem melle ammixto potui exhibenda. Et haec quidem facienda quoad

Ed. Chart. VII. [796. 797.] Foës. I. 639. Ed. Lind. II. (533.)

ροῖσι, καὶ οἴνῳ μέλανι οἰνώδει. ἢν δὲ οἰδέῃ πεπαυμένου ἤδη τοῦ ῥόου, φάρμακον πίσαι κάτω. μετὰ δὲ τὸ φάρμακον τὰς ὑστέρας κλύσαι τῷ ἀπὸ τῶν ὀλύνθων, καὶ μετακλύζειν στρυφνοῖσιν. ἢν ταῦτα παθοῦσα ὑγρανθῇ, θυμιήσθω ἕως ἂν ἀποξηραίνῃ ῥόος ἐρυθρός. ῥέει τοιόνδε οἷον αἷμα νεοσφαγὲς καὶ θρόμβια διαλείποντα. ἄλλοτε δὲ καὶ ῥόον ἐρυθρὸν ἐκβράσσει, καὶ γαστὴρ ἡ νειαίρη ἐπαίρεται, καὶ λεπτύνεται, καὶ νηνεμεῖ, καὶ σκληρύνει, καὶ ἀλγέει ψαυομένη ὡς ἕλκεος, καὶ πῦρ ἔχει καὶ βρυγμός. ὀδύνη τε ἐς ταῦτα τὰ αἰδοῖα καὶ τὸ ἐπίσειον καὶ ἐς τὸν κενεῶνα καὶ τὰς ἰξύας καὶ τένοντα καὶ κοιλίην καὶ στῆθος, καὶ τὰς ὠμοπλάτας καὶ ἄλλα πάντα ἀλγέει, καὶ ἀδυναμίη καὶ ὀλιγοψυχίη ἔχει, καὶ ὁ χρὼς στρέφεται. [797] καταρχὰς τῆς νόσου τάδε ἐπιλαμβάνει. ἢν δὲ μηκύνῃ ταῦτα πάντα, ἐπὶ μᾶλλον ἀσθενέει, καὶ δῆλος ἡ νοῦσος, καὶ τὰ κοῖλα ἐπανίσταται καὶ οἱ πόδες οἰδέουσιν. ἡ δὲ νοῦσος λάζεται ἐκ τόκου μάλιστα, ἢν τι ἐν αὐτῇ διακνησθὲν μὴ ἴῃ, ἀλλ' ἐνσάπηται καὶ τρηχυνθῇ τὸ ἔμβρυον. ταύτῃ κατ' ἀρχὰς ἢν ἐπιτυγχάνῃς, σπόγγον

roſo. Si vero intumuerit ſedato jam fluore, medicamentum deorſum purgans propinato. A medicamenti potione uteros groſſorum decocto, poſtea etiam acerbis colluito. Si ſic affecta adhuc humecta fuerit, ſuffitum quoad exſiccet adhibeto. In fluore rubro ſanguis qualis recenter jugulatae victimae fluit et per intervalla ſanguinis grumi, quandoque vero etiam fluorem rubrum ejicit, venter imus attollitur, extenuatur, inflatur, induratur, ad contactum velut ulceratus indoleſcit, febris et dentium fremitus detinet, dolor eſt ad ipſa pudenda, pubem, lateris inanitatem, lumbos, tendinem, ventrem, pectus et ſcapulas, reliquaque omnia dolent, impotentia et animi demiſſio detinet et color vertitur. Haec circa morbi initia invadunt. Quod ſi haec omnia producantur, longe magis debilitatur et manifeſtus eſt morbus, cavitates ſub oculis aſſurgunt et pedes intumeſcunt. Hic autem morbus ex partu praecipue prehendit, ſi quid in ipſa vellicatum non exierit, ſed intus computruerit, foetusque exaſperatus fuerit. In hanc ſi circa initia

Ed. Chart. VII. [797. 798.] Foës. I. 640. Ed. Lind. II. (535.)
ὄξει φυρῆσαι ὀλίγῳ, ὅκως μὴ κατὰ πᾶν ὑγρήνῃς τὰς μήτρας, καὶ τοῦ θείου ὁκόσον ἡμιωβόλιον μίξας πρὸς τὰς ζειὰς τετριμμένας καὶ τῷ ὄξει φυρήσας τὴν νύκτα τίθει. πρωῒ δὲ πῦρ πολλὸν κατακαύσας ἐπιτιθέναι βύσματα ἀπὸ ἐλαιηρῶν κεραμίων, καὶ ἀπὸ τοῦ κνάφου τῶν κναφέων ξύμμισγε καθάρσεων καὶ τοῦ καρποῦ τοῦ [798] ὄφιος. ἀφαιρέειν δὲ τὸ πολλὸν τοῦ πυρὸς καὶ καίειν, καπνιῶν δὲ μάλιστα. δίφρον δὲ χρὴ ὀπήεντα εἶναι καὶ ἀμφιίζεσθαι τὴν γυναῖκα περιστειλαμένην εἵμασιν, ὡς μὴ παραπνέῃ. ἐπὶ δὲ τὸ πῦρ ἐπιπάσσειν τὸ ξὺν τῷ ὄξει, καὶ τοῦ καρποῦ τοῦ ὄφιος. καὶ σμύρνα δὲ μισγομένη ἐνεργὸν, καὶ παύειν τὰ αἰδοῖα τὸ θυμιητὸν αἱμάσσεσθαι. ἢν δὲ ἅλις ἔχῃ, ἐρυσίμου καρπὸν πεφωσμένον τρῖψαι καὶ ἐν οἴνῳ διδόναι. ῥόος πυῤῥὸς ῥέει, οἷον ἐξ ὠοῦ εἰδεχθέος πουλύ τε καὶ δύσοδμον, καὶ φλεγμαίνουσιν αἱ ὑστέραι, καὶ ὀδύνη ἐκ τῆς ὀσφύος καὶ τῶν βουβώνων, καὶ τὰ ἐπερχόμενα πολλὰ, καὶ ἢν μὴ ἀπαλλάσσηται, ταχὺ ῥέοντα. ἀλλ' εἰ καὶ χρόνος ἐγγένηται, τὰ λείποντα σήπει ὡς οἷόν τε μάλιστα. ῥιγέει γὰρ καὶ οἷον ἀπὸ κρεῶν

tuſae ſemiſextarium pauco aceto ſubigito, ut ne penitus uteros humectes, etiam ſulphuris ſemiobolum ad zeas contritas admixtum et aceto ſubactum per noctem ponito. Mane vero accenſo multo igne ea quae dolia olearia obturant, admixtis fulloniis ſordibus et ſerpentis ſemine, imponito. Ablato vero multo igne, excitato potiſſimum ſumo urito. Sellam autem pertuſam eſſe oportet, in qua mulier circumtecta, ne quid perſpiret, conſideat. Medicamentum vero cum aceto paratum et ſerpentis ſemen in ignem inſpargito. Quin etiam myrrha admixta efficax eſt, quae etiam ſuffitu cruorem ex pudendis abſtergit. Quod ſi ſatis eſſe videatur, eryſimi ſemen torreſactum, tritum ex vino exhibeto. In fulvo fluore copioſum et graveolens tanquam ex ovo aſpectu inviſo effluit, uteri inflammatione laborant, dolor ex lumbis et inguinibus erumpit, quae prodeunt copioſa ſunt, et niſi liberetur, celeriter fluentia. Quin et ſi tempus accedat, quae reſtant quam maxime putreſacit. Rigor eam prehendit et tanquam carnium aſſatarum ſuccus

Ed. Chart. VII. [797.] Foës. I. 639. 640. Ed. Lind. II. (534. 535.)
καὶ ἄχρι μὲν ἂν ἀρχῆς ἔχηται τῇ νούσῳ καὶ τὸ αἷμα συχνὸν ᾖ, καὶ διαλείπων ὀλίγον χρόνον καὶ ὀδύναι ὀξεῖαι ἴσχωσι, ταῦτα χρὴ ποιέειν. ἢν δὲ τὸ αἷμα ἔλασσον ῥυῇ καὶ δι' ἐλάσσονος χρόνου, πιπίσκειν ἃ δὴ κάτω ὑποχωρέει, ἢ ἄνω, καὶ πυριῇν τὰ αἰδοῖα βληχροῖσι πυριήμασιν, ὡς ἂν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι, καὶ ζειὰς ἑρίξαντα ξὺν τοῖσι κελύφεσι, καὶ ὀλύνθους ἑρίνους αὐήναντα κόψαι, καὶ σῆσαι, καὶ ἐλαίης φύλλα ὁμοίως ἴσον ἑκάστου καταπλάσσειν, καὶ γάλα πιπίσκειν βόειον, ἢ ἕφθὸν, ἢ ὠμὸν, καὶ πρὸς τὸ ὀρθῶς ἔχον, ὡς ἂν καιρὸς δοκέῃ εἶναι. || καὶ ἡ νόσος δοκέῃ βληχρὴ εἶναι καὶ θανατώδης, ὀλίγαι δὲ τῆς τοιαύτης νούσου διαφεύγουσιν. ὁκόταν γυναικὶ αἷμα ῥέῃ, ὑπὸ τῶν ἄρθρων ὑπὸ τό(535)κου διεφθορυῖα, ἢ ἀπὸ τοῦ πόνου. οἴονται δ' ἔνιοι τοῦτο τῶν ἰητρῶν ῥόον εἶναι, τὸ δ' ἐστὶν ἑτεροῖον. τοῦτο μὲν ἐκ τῶν ἄρθρων ἐστὶν ἑτεροῖον. κἀκ τῆς ὀσφύος καὶ ἰσχίου, κολλῶδες ὁμοῦ τῷ αἵματι. κεῖνο δὲ ἀπὸ ὑστερέων καὶ κοίλων φλεβῶν, καθαρὸν αἷμα. ταύτην χρὴ ὑποθυμιῆν, ζειὰς κατερρήξαντα ὅσον ἡμίεκτον,

morbi exordia fuerint et multus ſanguis pauco intermiſſo tempore fluxerit, gravesque dolores tenuerint. Sin vero parcior ſanguis et breviore tempore fluxerit, quae ſane deorſum aut ſurſum ſecedunt propinato, pudendaque lenibus fomentis, ut ſemper occaſio tulerit, foveto. Et zeam una cum cortice contuſam et caprifici groſſos ſiccatas, tuſas et cribratas, et oleae folia ſimiliter, ſingulorum aequales partes ex cataplasmate admoveto. Lacque bubulum aut coctum, aut crudum propinato, ut opportunum eſſe videbitur, ad id quod probe habet attendendo. Nam languidus et lethalis hic morbus eſſe videtur, paucaeque ex eo evadunt. Cum mulieri ſanguis fluit ex locis ſub articulis, haec ex partu aut labore corrupta eſt. Hoc fluorem eſſe muliebrem quidam medici exiſtimant, eſt vero aliud quiddam. Hoc quidem ex articulis aliud quiddam eſt et ex lumbis et ex coxendice glutinoſum ſimul cum ſanguine defluit. Illud vero ex uteris et cavitate venarum, purus ſanguis. Huic per inferiora ſuffitus parandus. Zeae con-

Ed. Chart. VII. [798.] Foës. I. 640. 641. Ed. Lind. II. (536. 537.)
γράψω, μέχρις ἂν ἀναστομωθῇ. ἢν δὲ μὴ πρὸς ταῦτα παύηται τὰ ῥεύματα, καθαίρειν τὴν κεφαλὴν καὶ οὕτως διαιτᾶν. ἢν μὲν ἄπυρος ᾖ, ὄνου γάλα πίνειν. λαχάνοισιν ἑφθοῖσι καὶ ἡμέροισι καὶ ἀγρίοισι, πλὴν σκορόδων καὶ πράσων καὶ κράμβης καὶ ῥαφάνου τῆς μακρῆς. θαλασσίων δὲ βάτῳ τῷ λείῳ, σκορπίῳ, γόγγρῳ, νάρκῃ, ἐγχέλυϊ, ψήσσῃ, κωβιῷ. ἕψειν δὲ χρὴ ἐν κρομμύοισι καὶ κοριάννοισιν, ἐν ἅλμῃ γλυκείῃ καὶ λιπαρῇ δίεφθα. κρεῶν δὲ μάλιστα μὲν σύος, δεύτερον δὲ ἀρνοῦ, ἢ ὄϊος, ἑφθοῖσι μᾶλλον ἢ ὀπτοῖσι, καὶ τοῖσι ζωμοῖσιν, οἴνῳ λευκῷ μελιχρῷ, ἢ ὑδαρεῖ. λουτροῖσιν (537) ἄνευ τῆς κεφαλῆς, μὴ λίην θερμοῖσι μηδὲ πολλοῖσιν. ἢν δὲ πρὸς ταύτην τὴν δίαιταν τῆς μὲν ἕλκώσιος καὶ τῆς φλεγμασίης ἀπαλλάσσωνται, ὑγραὶ δὲ ὦσιν αἱ μῆτραι, ἀντὶ μὲν λουτρῶν ἁλουσίῃσιν, ‖ ἀντὶ δὲ κιρρῶν οἴνων μέλασιν, ἀντὶ δὲ ὑδαρεστέρων ἀκρητεστέροισιν, ἀντὶ δὲ ἀλφίτων ἄρτοισι, ἀντὶ δὲ ἰχθύων κρέασιν ὀπτοῖσι καὶ σιτίοισι πᾶσι τοῖσι ξηραντικοῖσιν, οἷσιπερ ἐπὶ τῇσι διαῤῥοίῃσι χρεόμεθα. κλυσμῶν ἀπηλλάχθαι πάντων, πλὴν οἴνου καὶ ὕδατος. θυμιῆσθαι

ego deſcribam emolliendum, quoad apertum ſit. Quod ſi ex his fluxiones minime ſedentur, caput purgandum, ſicque victus ratio inſtituenda. Si quidem febris expers ſit, lac aſininum bibendum, oleribus coctis et domeſticis et agreſtibus utendum, allio excepto, porro, braſſica et raphano longo. Ex marinis autem raja laevi, ſcorpio, congro, torpedine, anguilla, paſſere, gobio. Incoquendi autem ſunt cum cepis et coriandro, in muria dulci et pingui et probe cocti aſſumendi. Carnibus autem utendum ſuillis maxime, deinde vero agninis aut ovillis, elixis potius cum jure quam aſſis. Vino albo, mellito, aut aquoſo. Balneis excepto capite non admodum calidis, neque multis. Quod ſi ſub hac victus ratione uteri humecti fuerint et ab ulceratione quidem et inflammatione liberentur, pro balneis, his abſtinendum, pro vinis fulvis nigris utendum et pro dilutioribus meracioribus, pro polenta panibus, pro piſcibus carnibus aſſatis, cibisque omnibus deſiccantibus, quibus in alvi profluviis utimur. Collutionibus omnibus, praeter-

Ed. Chart. VII. [798.] Foës. I. 640. Ed. Lind. II. (535. 536.)

ὀπτῶν χυμὸς ἐπιῤῥέει. ἅμα δὲ τουτέοισι πυρετοὶ ἰσχυροὶ καὶ ῥίγεα. ἐκ δὲ τῶν τοιούτων ῥόων αἱ μὲν πολλαὶ ἀπόλ-(536)λυνται, ὀλίγαι δὲ διαφεύγουσι. κἢν μὲν ἐν ἀρχῇ παραλάβῃς, θεραπεύειν ὧδε χρή. ἢν μὲν ἀπύρετοι ἔωσι καὶ ἰσχύωσιν, ἐλλεβορίζειν· ὅταν δὲ γένηται, διαλιπόντα ἡμέρας τρεῖς ἢ τέσσαρας κάτω πίσαι φάρμακον. μετὰ δὲ τὴν κάθαρσιν διαιτᾶν ὀφείλεις ὧδε. ὅκως τὰ ῥεύματα ὑδαρέα ἔσται καὶ λιπαρά, πρωῒ μὲν νήστει διδόναι τῶν φαρμάκων, ἢ πίνειν ἐπ᾽ οἶνον ἐπιπάσσων ὧν ἄν ἐγὼ γράψω πρὸς ῥόον. μετὰ δὲ τὸ φάρμακον ἐν τῇ ἄλλῃ διαίτῃ θεραπεύειν, τὰς δὲ ὑστέρας θεραπεύειν ὧδε. ἢν μὲν φλεγμαίνωσι καὶ ξυμμεμύκωσι, πυριῇν χρὴ, μαλθακῇσι τῇσι πυρίῃσι, μέχρις οὗ τὸ στόμα τῶν μητρέων μαλθακὸν γένηται· μετὰ δὲ τὰς πυρίας, κλύζειν τῶν κλυσμάτων ὁκοίοισιν ἂν δοκέῃ δεῖσθαι, ἢν τε καθαρτικωτέροισιν ἢν τε μαλθακωτέροισι. μετὰ δὲ τοὺς κλυσμοὺς μαλθακτήρια προστιθέναι. ἢν δὲ μὴ εὔλυτον τὸ στόμα γίνηται, πυριῇν καὶ μαλθάσσειν προσθέτοισιν ὧν ἂν ἐγὼ

effluit et una cum his febres vehementes et rigores corripiunt. Ex hujusmodi fluoribus multae pereunt, paucae vero evadunt. Et si quidem initio in manus sumpseris, ad hunc modum curare oportet. Si quidem febre careant et viribus valeant, veratrum exhibendum. Ex quo intermissis tribus aut quatuor diebus medicamentum deorsum purgans exhibendum. Post purgationem autem haec victus ratio institui debet, ut quae fluunt aquosa sint et levia. Mane quidem jejunae medicamentum aliquod ex his quae ad fluorem describam exhibendum, aut vino insperſum bibendum. Post autem exhibitum medicamentum, alia ad curationem victus ratio instituenda, uteri vero ad hunc modum curandi. Si quidem inflammatione laborent aut conniveant, fomento emollientia, quoad uterorum os molle evadat, admovere oportet. A fomentis collutiones quibus opus esse videbitur, sive magis purgantibus, sive magis emollientibus, infundendae. Post collutiones emollientia in subdititio apponenda. Quodsi os non facile solvatur, fomentis et subdititiis quae

Ed. Chart. VII. [799.] Foël. I. 641. Ed. Lind. II. (638.)

περ μόλιβδος. καὶ διὰ τῶν μηρῶν διατείνουσιν ὀδύναι, καὶ ἀποψύχεται πάντα τὰ κάτω, τὰ ἀπὸ νειαίρης γαστρὸς ἀρχόμενα ἄχρι ποδῶν, καὶ τὰ θέναρα ναρκῶσι ἐπιβαίνειν οὐ δύνανται, τὰς τοιαύτας χαλεπὸν ἀπαλλάσσειν τῶν νοσημάτων. αἵ τε γὰρ ἡλικίαι προβεβήκασιν, οἵ τε κάματοι ξυγκαταγηράσκουσιν, ἢν μή τι εὐτύχημα τῶν αὐτομάτων λύσῃ γενόμενον. ταύτῃσι χρὴ ἀπαρύσαι, ὅταν πλεονάζῃ, φαρμάκοισιν ἅσσα χολὴν ξανθὴν μὴ καθαίρει, ἀλλὰ τὰ οὐρητικὰ ταύτῃσι ξυμφέρει πινόμενα, καὶ κεφαλῆς καθάρσιες, καὶ ἀλουσίαι, καὶ τὸ λευκὸν ἐπίθυμον πίνειν, καὶ περίπατοι, καὶ πᾶσα ξηρασίη ἐν τῇ διαίτῃ. ταῦτα δρῶσαι ὑγιέες μὲν παντελῶς οὐ γίνονται, εὐπετέστερον δὲ διάγουσι. ῥόου λευκοῦ θεραπείη· καθαίρεται λευκὸν ὑπόχλωρον, καὶ ὅταν οὐρέῃ, δάκνει καὶ ἀμύσσει, καὶ ἕλκοῖ τὴν ὑστέρην καὶ πυρετὸς ἔχει ὀξὺς, καὶ θέρμη πολλὴ, δίψα, ἀγρυπνίη, καὶ ἔκφρονες γίνονται, καὶ ὅταν σπουδάσῃ, ἄσθμά μιν ἔχει, καὶ τὰ γυῖα λύονται. ταύτην δέον μήκωνα πιπίσκειν λευκὴν, καὶ κνίδης καρπὸν, ἄμεινον

Dolores ad femora ſe extendunt et inferiores omnes partes, ab imo ventre inchoando ad pedes usque perfrigerantur, plantae torpeſcunt, neque incedere poſſunt. Has ab his morbis vindicare difficile. Nam et cum aetate longius progrediuntur et labores conſeneſcunt, niſi ſecunda aliqua fortuna ſponte contingat, quae ſolutionem afferat. In his quidem quod redundat, medicamentis quae bilem non purgant eſt exhauriendum. Quin et quae urinas movent potui exhibita his conducunt et capitis purgationes, balnei abſtinentia, epithymum album epotum, obambulationes et omnis victus ratio deſiccans. Quae cum fecerint, non prorſus quidem convaleſcunt, facilius tamen degunt. Fluoris albi curatio. Album et ſubpallidum expurgatur, cumque urinam reddit, morſum et lancinationem percipit, uterus exulceratur, febris acuta detinet, calor multus, ſitis et inſomnia, et mente alienantur. Cum quid feſtinanter egerit, ipſam crebra ſpiratio, ἄσθμα dicta, detinet et membra ſolvuntur. Huic peplum album propinare convenit et urticae ſemen

Ed. Chart. VII. [798. 799.] Foël. I. 641. Ed. Lind. II. (537.)

δὲ τοῖσι στυπτικοῖσιν. [799] ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. ἢν δέ τις νεᾶνις ᾖ, ἐμέτους, νηστείας, πυκνὰ δὲ ἐπεμέειν, καὶ μετέπειτα ἀριστίζεσθαι μικρόν. αὕτη ῥόων τῶνδε τυγχάνει δίαιτα. ῥόος λευκὸς ῥέει λευκὸν, ὡς ὄνου οὖρον, καὶ ἐν τῷ προσώπῳ οἰδήματα, καὶ τὰ ὑποφθάλμια οἰδέει ἄμφω, ὑδρωποειδέα τε καὶ οὐ πάνυ εὐειδέα τὰ τῶν ὀφθαλμῶν, καὶ τὸ λαμπρὸν ἄπεστι, καὶ γλαμυροὶ οἱ ὀφθαλμοὶ καὶ ἀμβλυώσσοντες, καὶ τὸ χρῶμα ἀφυῶδες καὶ φλυκταινοειδὲς, καὶ ἡ γαστὴρ ἐπανοιδέουσα ἡ νειαίρη, καὶ ἐν τῇσι γνάθοισι κατὰ μικρὸν, ἐρυθροειδέα τε καὶ σμικρὰ καὶ ὑδαρέα καὶ πονηρά, καὶ ἐν τοῖσι σκέλεσιν οἰδήματα, καὶ ἢν πιέζῃς τῷ δακτύλῳ, ἐμπλάσσεται ὥσπερ ἐν σταιτὶ, καὶ τὸ στόμα σιέλου ἐμπίπλαται. καρδιωγμοί τε, ὁκόταν νήστιες ἔωσιν, ἢ καὶ ἐμέωσιν ὕδωρ οἷον ὀξύ· καὶ ἢν πρόσαντες πορευθῇ, θᾶσσον ἄσθμα ἔχει καὶ πνὶξ καὶ σκελέων ἀπόψυξις καὶ γουνάτων ἀκρασίη καὶ ἐν τῷ στόματι ἄφθαι, καὶ ὑστέρη παρὰ λόγον ἀνεστόμωται, καὶ ἐμπέπτωκεν ἐν τῷ στόματι βαρείη (538) ὡς-

quam vino et aqua abſtinendum. Sulfitus autem ex aſtringentibus parandi. Optimum eſt ut concipiat. Quod ſi juvencula fuerit, frequentes vomitus jejunae provocandi, deinde paulum prandendum. Atque iſta victus ratio his fluoribus eſt accommodata. In fluore albo effluit quid album velut aſini urina, facies intumeſcit et partes ſub oculis utrisque, oculi quales hydrope laborantibus et aſpectu deformes, a quibus ſplendor abeſt, gramioſi et caligantes, corpus colore apuam referens et puſtuloſum, venter imus in tumorem ſublatus, in maxillis ſenſim excitantur rubores parvi, aquoſi et maligni, et in cruribus tumores, quos ſi digito preſſeris, nota affigitur non ſecus ac in farinae maſſa aqua ſubacta, os ſaliva plenum eſt, cum jejunae fuerint, aut veluti aquam acidam vomitione rejecerint, oris ventriculi morſus ſentiuntur. Quod ſi ad acclivem locum proceſſerint, frequens ſpiratio et ſuffocatio celerius corripit, crurum perfrictio et genuum impotentia, in ore ſuperficiaria ulcera, ἄφθαι dictae, ſuboriuntur, uterus praeter modum dehiſcit et in oſculum gravis velut plumbum decumbit.

Ed. Chart. VII. [800.] Foës. I. 642. Ed. Lind. II. (539. 540.)
ἔτεος καὶ μὴ φύσει ἐστὶ σπληνώδης, καὶ ἤν τι τῶν εἰρημένων, ἢ ὀρρὸν διδόναι, ἀφεψεῖν δὲ καὶ πίνειν ὡς πλεῖστον χρόνον. καὶ ἐς ἑσπέρην οἶνον γλυκὺν ὑδαρέα, ἢν δέῃ, σίτου δὲ μὴ ἅπτεσθαι. ἢν δὲ ἀσθενὴς ᾖ, ῥοφήματι ὡς ἐλασχίστῳ, καὶ ἀλαυτείτω, ἐπειδὰν δέ σοι καιρὸς δοκέῃ εἶναι τῆς πόσιος παυέσθω, καὶ μετὰ τὴν κάθαρσιν σιτίοισι χρεέσθω, ἀπεχομένη λιπαρῶν καὶ δριμέων καὶ γλυκέων, καὶ ἁλμυρῶν, καὶ λαχάνων δριμέων, χρῆσθαι δὲ ἰχθύσι πετραίοισι καὶ κρέασι μηλείοισιν, ἢ ὀρνιθίοισιν, ἢ λαγωοῖσιν. ἄρτῳ σιτώδει, ἢ ἐρικτοῖσι, καὶ λαχάνοισιν ἑφθοῖσι χρεέσθω, καὶ ἀγρίοισι τρωκταῖσι καὶ ἡμέροισιν ἄτερ δριμέων, καὶ περιπατείτω πρωΐ καὶ ἀπὸ τοῦ σίτου. ἐπὴν δέ σοι δοκέῃ ταῦτα ποιέοντι ξηροτέρη εἶναι, κλύζειν τὰς ὑστέρας τῇ τρυγί. τρεῖς δὲ ἢ τέτταρας ἡμέρας διαλιπὼν μετέπειτα στρυφνοῖσι κλύσαι, καὶ ἐπισχόντα, ἢν μὲν ᾖ ξηρὴ, ἧσυ(540)χίαν ἄγειν, καὶ ἢν φύσει ᾖ χολώδης ἢ φλεγματώδης, ὑπὸ δὲ τῆς διαίτης καὶ τῆς φαρμακοποσίης λεπτυνθεῖσα, ἢν μὴ δύνηται ἀναλαμβάνειν, γάλα πινέτω τεσσαράκοντα ἡμέρας βόειον, θερμὸν ἀπὸ βοός. τὴν

anni tempus ferat, neque natura lienosa fuerit, sique aliquid ex supra dictis affuerit, serum decoctum quamplurimo tempore potui exhibeto, sub vesperam autem vinum dulce aquosum, si opus sit, cibum vero ne attingat. Si vero imbecilla fuerit, pauciſſimam sorbitionem assumat, neque lavet. Ubi autem tibi opportunum esse videbitur, a potu cesset et post purgationem cibis utatur, a pinguibus sibi temperans, acribus, dulcibus, salsis et oleribus acribus. Piscibus utatur saxatilibus et carnibus ovillis, gallinaceis et leporinis, pane fermentato, aut hordeo fresо. Oleribus etiam coctis utatur et agrestibus esui aptis et domesticis, acribus exceptis, maneque et a cibo obambulet. Ex quibus si tibi fortior esse videatur, uteros ex faece vini colluito, tribusque aut quatuor intermissis diebus, postea acerbis eluito et mora injecta, si quidem sicca fuerit quiescito. Quod si natura biliosa aut pituitosa fuerit, ex victus vero ratione et potione medicamentorum emaciata, vires colligere nequeat, lac bubulum per quadraginta dies calidum ex vacca assumat. Pituitosam

Ed. Chart. VII. [799.800.] Foes. I. 641. 642. Ed. Lind. II. (538.539.) καὶ ῥοιῆς γλυκείης ῥίζαν καὶ φύλλα καὶ ῥόον καὶ κικίδα. ταῦτα ἐν οἴνῳ στρυφνῷ διδόναι πιπίσκειν, καὶ ῥοιῆς χυλὸν, καὶ ξυμμίσγειν τυρὸν αἴγειον, ὑποκάπνιζε δὲ ζειὰς καὶ ὀλύνθους χειμερινοὺς καὶ ἐλαίης πέταλα καὶ ψώρας τῆς αὐτῆς, καὶ σικύης λέμματα τρίτον μέρος. τὰ δ' ἄλλα ἴσα καὶ τῶν ἐψάνων ῥοφεῖν, καὶ τὰ δι' ἀμυγδάλων καὶ σησάμου ῥοφήματα, καὶ αἰωρέεσθαι καὶ ὀχέεσθαι καὶ μὴ ἠρεμεῖν. [800] ῥόος ἄλλος. καταῤῥέεται ὁκοῖον προβάτου οὖρον πολὺ, χροιὴ λευκὴ, καὶ οἰδέει πᾶσα, καὶ ἐν τῇσι κνήμῃσι πόμφοι ἀνίστανται, καὶ ἢν ἐπαφήσῃ τῷ δακτύλῳ, τῇσι κνήμῃσι καὶ τοῖσι ποσὶν ἐμπλάσσεται βοθροειδέα, καὶ ἤν τι φάγῃ, ἐμπίπλαται καὶ φλεγμαίνει, καὶ ἐπειδὰν ὁδοιπορήσῃ καὶ ἔργον τι δράσῃ, ἄσθμά μιν λαμβάνει καὶ πόνος, καὶ ἡ χροιὴ λευκὴ ἐνίοτε ὑπόχλωρος. ταύτῃ, ἢν ἰσχύῃ καὶ ἢν νέη καὶ τἄλλα φαίνηται, καταρχὰς δίδου ἄνω φάρμακον καὶ κάτω. ‖ καὶ τὴν κεφαλὴν κάθαιρε, ἢν φλεγματώδης ἐστὶ, δι' ὧν φλέγμα καθαίρεται, ἢν δὲ χολώδης, δι' ὧν χολή. καὶ ἢν ὥρη ᾖ τοῦ

praestat etiam mali Punici dulcis radicem et folia et rhoëm et gallam. Haec ex vino acerbo propinanda et mali Punici succum admixto caseo caprino, zeas et grossos hibernas, oleae folia et ejusdem scabiem ad sussitum subter appositio, cum cortice cucumeris agrestis ad tertiam partem addito, reliquis vero aquali portione. Sorbitiones ex oleribus coctis, amygdalis et sesamo assumat, pensilibus gestationibus et vehiculis utatur, neque quiescat. Alius fluor. Copiosum effluit quale ovillum lotium, colore album, totaque intumescit, in tibiis tumidae quaedam laxae et rubicundae cutis eminentiae exurgunt, sique digito contrectaris, in tibiis et pedibus fossularum vestigia infiguntur, si quid ederit, impletur ac intenditur, cumque in viam se dederit et opus aliquod confecerit, crebra et frequens spiratio dolorque ipsam prehendit, colorque interdum albus et suppallidus. Huic, si vires valeant, juvenis sit, caeteraque compareant, per initia medicamentum sursum et deorsum purgans exhibeto, caputque per ea quae pituitam purgant, si pituita redundarit, purgato, si vero bile per ea quae bilem. Et si

Ed. Chart. VII. [800. 801.] Foël. I. 642. 643. Ed. Lind. II. (540. 541.)

θυμιῆσθαι, καὶ ἐπισχεῖν ἡμέρας τρεῖς ἢ τέτταρας. ἀδίαντον δὲ πινέτω. καὶ ἢν [801] ἐν γαστρὶ λάβηται, ὑποστρέφει καὶ ὑποστρεφομένης τῆς νούσου ἀπόλλυται. ὁκόταν γεραιτέρας λαμβάνει ἡ νοῦσος αὕτη, καὶ κατασήπονται αἱ ὑστέραι, ἐκφεύγουσι δὲ πάνυ ὀλίγαι. (541) ῥόος ἄλλος. καθαίρεται οἷόν περ ἐξ ᾠοῦ ὠμοῦ, χλωρὸν ὑπόλευκον, καὶ ἕλκοῖ τὸ αἰδοῖον, καὶ οἰδίσκεται τούς τε πόδας καὶ τὰς κνήμας, καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ἐπανοιδέει, καὶ οἱ ὀφθαλμοὶ ὑγροὶ γλαμυροὶ, καὶ ἢν βαδίζῃ, ἆσθμά μιν λαμβάνει, καὶ ἀσθενείη γίνεται. ἢν δὲ φύγῃ, ἡ νοῦσος φλεγματώδης ᾖ, καὶ ἢν μὴ καθαρθῇ, πυρετήνει λαύρως χολῆς κινηθείσης. γεραιτέρας δὲ ἡ νοῦσος αὕτη λαμβάνει μᾶλλον ἢ νεωτέρας. ὁκόταν δὲ ὧδε ἔχῃ, ἢν μὲν ἀνοιδήσῃ σφόδρα, διδόναι κάτω φάρμακον πιεῖν ὅ τι φλέγμα καὶ χολὴν ἰῆται. ἢν δὲ μὴ ἰσχυρῶς οἰδέῃ καὶ τὸ φλέγμα αὐτὴν πιέζῃ, ἄνω δοῦναι φάρμακον. ‖ καὶ ἢν μὲν ᾖ δυνατὴ, ἐλλεβόρῳ καθαιρέσθω· ἢν δὲ μὴ, ὅ τι χολὴν καὶ φλέγμα ἄγει. μετὰ δὲ φάρμακα ὀρρὸν ἑφθὸν δι-

aut quatuor dierum mora interpoſita adiantum bibat. Quod ſi utero conceperit, morbus revertitur, quo caſu mulier perit. Cum autem ſeniores hic morbus invaſerit, uteri computreſcunt, paucaeque admodum evadunt. Fluor alius in quo expurgatur quale quid ex ovo crudo pallidum ſubalbidum, ulcusque in pudendis excitat, pedes et tibiae intumeſcunt, cavae ſub oculis partes in tumorem attolluntur, oculi humidi ſunt et gramioſi, ſique incedat, crebra anhelatio eam invadit et imbecillitas contingit. Quod ſi evaſerit, morbus pituitoſus fuerit, niſique repurgata fuerit, bile veliementer commota febricitat. Seniores autem hic morbus quam juniores magis invadit. Cum autem ſic habuerit, ſi quidem admodum intumeſcat, medicamentum deorſum purgans potui exhibeto, quod pituitae et bili medeatur. At ſi non valde intumeſcat, eamque pituita urgeat, medicamentum ſurſum purgans exhibeto, et ſi quidem valida fuerit, veratro purgetur, ſin minus, medicamentum quod bilem et pituitam educat exhibendum. Poſt medicamenta autem plu-

Ed. Chart. VII. [800.] Foës. I. 642. Ed. Lind. II. (540.)

δέ γε φλεγματώδεα ἄμεινον σιτίοισιν ὡς ἐλαχιστίοισι χρέεσθαι, ἕως ἂν γαλακτοποτέῃ, ἔστω δὲ μέτρον ὅσον ἓξ κοτύλαι Ἀττικαὶ, ἄρχεσθαι δὲ ἀπὸ δύο, καὶ προσθέτω κοτύλην ἑκάστης ἡμέρας, ἄχρις ἂν ἓξ γένωνται, κἀκ τοῦ κατ' ὀλίγον ἐπὶ τὸ ἔλασσον, καὶ μετὰ τὴν γαλακτοποσίην ἀνακόμιζε σιτίοισιν, καὶ διαίτῃ. καὶ μετὰ τὴν τοῦ γάλακτος πόσιν πινέτω πρωΐ νῆστις ἀδίαντον ξηρήνας κοψάτω καὶ διασήσας δι' ἄκρης αἰρῆς τοῦτο διδόναι ἐν οἴνῳ μέλανι εὐώδει κεκραμένῳ. ἢν δὲ ὑποστρέφῃ ἡ νοῦσος, πυριῆσαι αὐτὴν ὅλην, καὶ αὖθις φαρμάκοισι καθῆραι κάτω, καὶ μετὰ τοῦτο κλύσαι τὰς ὑστέρας. ἢν μὲν φύσει φλεγματώδης, τῷ κόκκῳ τῷ Κνιδίῳ, ἢ τῇ ῥίζῃ τῆς θαψίης, ἢν δὲ χολώδης ᾖ, τῆς σκαμμωνίης τῷ ὀπῷ, ἢ κολοκυνθίδι τῇ ἀγρίῃ. ἐμβαλὼν γὰρ ἀπ' αὐτέης καὶ δύο κοτύλας ἐπιχέας ὕδατος ἀφεψεῖν, καὶ τὸ ἥμισυ τουτέῳ συμμίσγειν μέλι καὶ ἔλαιον ναρκίσσινον ἢ ἄνθινον. ἔστω δὲ τοῦ μὲν μέλιτος τεταρτημόριον κοτύλης, τοῦ δὲ ἐλαίου μέτρον ἡμιόλιον καὶ τοῦ μέλιτος. μετακλύζειν δὲ τῷ μέλιτι καὶ τῷ οἴνῳ καὶ τῷ ἐλαίῳ μούνῳ καὶ

tamen praeſtiterit cibis quam pauciſſimis uti, quamdiu lac biberit, cujus menſura ſit ſex heminarum Atticarum. Initium autem a duabus faciendum et ſingulis diebus unam addat, donec ad ſex perveniat, paulatimque ad minorem quantitatem deſcendat et poſt lactis potum cibis et victus ratione reficito. At poſt lactis potionem, mane jejuno ſtomacho adiantum ſiccum, contuſum, per cribrum excuſſorium transmiſſum bibat, ex vino nigro odorato temperato exhibitum. At ſi morbus revertatur, hanc totam ſoveto, rurſusque medicamentis per inferiora purgato, poſteaque uteros colluito, ſi quidem natura pituitoſa fuerit, per granum Cnidium, aut thapſiae radicem. Si vero bilioſa, per ſcammoniae ſuccum et colocynthidem agreſtem. Hanc enim in vas conjectam, duabus aquae heminis affuſis decoquito. Hujus decocti dimidio mel et oleum narciſſinum vel anthinum ammiſceto. Sit autem mellis heminae quadrans, olei vero menſura ad mel ſeſquialtera. Poſtea autem melle et vino et oleo ſolo colluito, ſuffitumque adhibeto et trium

Ed. Chart. VII. [801. 802.] Foël. I. 643. Ed. Lind. II. (542. 543.)
παρῇ κόκκος, τῇ ῥίζῃ τῆς θαψίης πόσιν μίαν, καὶ μετακλύζειν τοῖσιν αὐτέοισιν. ἐπὴν δὲ καθαρθῇ τὰ ὑποχωρεῦντα πρὸς τουτέους τοὺς κλυσμούς, καὶ ἢν γίνηταί τι αἱματῶδες, οἷον ἀφ' ἕλκεος μετακλύζειν τοῖσι στρυφνοῖσι, καὶ ἢν μετὰ ταῦτα αὐτὴ ἐρωτηθεῖσα φῇ, τὸ στόμα τῶν ὑστερέων σκληρὸν εἶναι καὶ ὀδύνην ἔχειν, κλύζειν τὸν αὐτὸν τρόπον τῷ ξὺν τῷ πικερίῳ, ἔστ' ἂν ἀποξηρανθῶσιν αἱ ὑστέραι καὶ δοκέῃ ὑγιὴς εἶναι. τὰς δὲ μεταξὺ ἡμέρας τῶν κλυσμῶν πινέτω ἀκτῆς καρπὸν καὶ λαγωοῦ πιτύην καὶ μήκωνος τὸ κέλυφος καὶ κνίδης καρπὸν, ῥοιῆς τε γλυκείης τὸν φλοιὸν, τρίβων ἶσον ἑκάστου. ἄλφιτον δὲ ξυμμίσγειν καὶ ἀδίαντον, ἐν οἴνῳ μέλανι εὐώδει νῆστις. σιτίοισι δὲ χρέεσθω μαλθακοῖσι μὴ ἁλμυροῖσι, μηδὲ δριμέσι. κρέα δὲ ἀμείνω ἰχθύων, ἤγουν ὀρνίθια, ἢ λαγῶα, καὶ λουέσθω θερμῷ μὴ πολλῷ. ἢν δὲ μὴ λωφήσῃ ὁ ῥόος, ἀλλ' ὑπολείπηται καὶ ὑγράζωνται αἱ ὑστέραι, [802] θυμιῆσαι τῷ ξὺν τῷ σιδίῳ, καὶ ἔπειτα παρὰ τὸν ἄνδρα ἴτω. κὴν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται, αἱ δὲ γεραίτεραι οὐ δύνανται ἀναφέρειν, (543) ἀλλ' ἀπόλλυνται ὑπὸ

thapsiae radice quantum potione una satis sit infusa, postea ex iisdem colluito. Postquam autem quae secedunt his collutionibus expurgata fuerint et si quid cruenti, velut ab ulcere contigerit, acerbis deinde colluito. Posteaque si ipsa interrogata, os uterorum durum esse ac dolore detineri dixerit, ad eundem modum ex eo quod cum butyro paratur colluito, quoad uteri resiccati fuerint et sana esse videatur. Intermediis autem collutionum diebus, sambuci fructum bibat et leporis coagulum, pepli corticem, urticae semen, mali punici dulcis corticem, tritis cujusque aequalibus partibus. Polenta autem ammixta et adianto, ex vino odorato jejuna bibat. Cibis utatur mollibus, neque salsis, neque acribus. Carnes piscibus meliores, volucrium videlicet aut leporinae, et calida non multa lavet. Quod nisi fluor levamentum faciat, sed relinquatur et uteri humectentur, medicamento ex malicorio sussitum admoveto, posteaque virum adeat, et si utero conceperit, convalescit. At seniores se recolligere non possunt, sed prae virium imbecillitate

Ed. Chart. VII. [801.] Foës. I. 643. Ed. Lind. II. (541. 542.)
δόναι πίνειν ὡς πλείστας ἡμέρας ξὺν ἁλὶ ὀλίγῳ. ἐπιτρωγέτω δὲ ἡδύοσμον, ἑσπέρην δὲ σίτου μὴ ἁπτέσθω, ῥοφεέτω δὲ ὀλίγον καὶ ἐπιπινέτω οἶνον γλυκὺν, ἢν χρήζῃ· ἢν δὲ μὴ παρῇ, ὀρρὸν, γάλα τε ὄνειον ἀφεψῆσαι καὶ διδόναι τέσσαρας ἡμέρας. ἑσπέρην δὲ ταῦτα ποιέειν, ἢν μὴ πῦρ ἔχῃ νύκτωρ. ἢν δὲ ᾖ φύσει σπληνώδης, ἢ πνευματώδης λείφαιμος, μήτε ὀρρὸν μήτε γάλα πινέτω, ἢν δὲ μὴ, κατωτερικοῖσι καθαίρειν, καὶ ἐπειδάν σοι δοκέῃ καιρὸς εἶναι, κλύσαι τὰς μήτρας, πρῶτον μὲν τῷ ἀπὸ τῆς τρυγὸς δὶς ἢ τρὶς, μετὰ δὲ τοῦτο τοῦ ὀποῦ τῆς σκαμμωνίης, οἶνον δὲ ἐπιχέαι γλυκὺν ὅσον κοτύλην Ἀττικὴν καὶ ἐλαίου τέ(542)ταρτον μέρος κοτύλης, μάλιστα μὲν ναρκισσίνου. μετακλύσαι δὲ τῇ ὑστεραίῃ οἴνῳ κοτύλῃ, καὶ μέλιτι τετάρτῳ κοτύλης, καὶ ῥητίνης τρίτην μοῖραν μέλιτος, ἔλαιον δὲ ἴσον μέλιτι. ἢν δὲ τὰ ἀπὸ τοῦ κλυσμοῦ ἀποχωρεῦντα ἴῃ φλεγματώδεα, κλύσαι, καὶ αὖθις ἐπισχόντα ἡμέρας τρεῖς ἢ τέτταρας, ἔπειτα ἐκλέψαι τοῦ κόκκου δύο πόσιας. κλύζειν δὲ τοῖσιν αὐτέοισιν. ἢν δὲ μὴ

rimis diebus ferum coctum cum pauco fale potui exhibeto et mentham infuper edat. Veſperi vero cibum ne attingat, paucam autem forbitionem aſſumat et vinum dulce, ſi opus ſit, ſuperbibat. Quod ſi ferum non adfuerit, lac aſininum decoquito et quatuor diebus exhibeto. Veſperi vero eadem facito, ſi febris per noctem non detineat. At ſi natura lienoſa, aut flatuoſa ſanguine defecta fuerit, neque ferum neque lac bibat, alioqui per medicamenta deorſum purgato et ubi opportunum tibi fore videbitur, uteros colluito, primum quidem bis aut ter medicamento ex vini faece parato. Poſt hoc autem ſcammoniae ſucco, dulci vino ad heminam Atticam affuſo et olei heminae quadrante, maxime quidem narciſſini. Poſtero vero die vini hemina colluito, adjecto mellis quadrante et reſinae tertia mellis parte, olei vero et mellis aequales ſint portiones. Quod ſi quae a collutione ſecedunt, pituitoſa feruntur, rurſus colluito, trium aut quatuor dierum mora interpoſita. Poſtea granum Cnidium detracto cortice quantum ad duas potiones ſatis ſit infundito et iisdem colluito. At ſi granum Cnidium non adfuerit,

Ed. Chart. VII. [802.] Foël. I. 644. Ed. Lind. II. (543. 544.)

καὶ τὸ κάτω τοῦ ὀμφαλοῦ, καὶ τὰ σκέλεα, καὶ ἡ χροιὴ ἰκτεριώδης γίνεται, ὁ δὲ τοιοῦτος ῥόος γίνεται ἀπὸ τοῦδε, ἐπειδὰν τὸ αἷμα ἐξαραθὲν ὑπόχολον γένηται καὶ μὴ καθαρθῇ. ὁκόταν ὧδε ἔχῃ, φάρμακον δεῖ πίνειν, ἢν μὲν ἰσχυρὴ ᾖ, ἐξ ἐλλεβόρου, ἢν δὲ ἀσθενὴς, ῥίζαν τε καὶ ἑλατήριον, καὶ ὑστέρῳ χρόνῳ γάλα αἰγὸς, ἢ κάτω φαρμακεύειν ὅ τι χολὴν καὶ φλέγμα(544)καθαίρει. κλύσαι δὲ τὰς ὑστέρας τῷ ξὺν τῷ κραμβίῳ. πίνειν δὲ ἐλελίσφακον, ὑπερικὸν, λίνου σπέρμα, ἑκάστου ἐν οἴνῳ μέλανι αὐστηρῷ, νήστει δὲ διδόναι πίνειν. ἢν δὲ ἡλκωμένον ᾖ τὸ αἰδοῖον, μετακλύσαι τῷ πικερίῳ, ἔπειτα φάρμακον πίσαι, καὶ ἐπιχρίειν τὰ ἕλκεα πικέριον, ῥητίνην, σμύρνην, ἀργύρου ἄνθος. διανιζέσθω δὲ ὕδατι ἀπὸ μυρσίνης καὶ ἐλελισφάκου χλιηρῶς. σιτίοισι δὲ χρήσθω μήθ' ἁλμυροῖσι μήτε δριμέσιν, ὡς μὴ δακνῶδες τὸ οὖρον γένηται, καὶ τῶν θαλασσίων εἴργεσθαι, καὶ κρεῶν βοείων, καὶ οἰῶν, καὶ χοιρείων. τοῖς δὲ ἄλλοισι κρέασι χρέεσθαι ἑφθοῖσι, καὶ σιτείσθω ἄρτον, καὶ οἶνον εὐώδεα παλαιὸν πινέτω μέλανα.

tota intumeſcit et partibus umbilico inferioribus et cruribus, colorque auriginoſus evadit. Hujusmodi autem fluor ex eo contingit, cum ſanguis exturbatus aliquantum bilioſus extiterit, neque purgatus fuerit. Cum ſic habuerit, medicamentum bibendum exhibendum, ſi quidem valida fuerit, ex veratro, ſi vero debilis fuerit, ex radice et elaterio, et poſtremo lac caprinum, aut medicamentum quod deorſum bilem et pituitam purget exhibeto. Uteros autem medicamento ex braſſicae ſucco colluito. Mentham autem bibat, hypericum, lini ſemen, ſingula ex vino nigro auſtero, haec jejunae bibenda praebeto. Si vero ulceratum pudendum fuerit, poſtea butyro colluito, deinde medicamentum purgans potui exhibeto, ulceraque butyro, reſina, myrrha et argenti flore linito, myrti autem et ſalviae ex aqua decocto tepido perluatur. Cibis autem utatur neque ſalſis, neque acribus, ut ne mordax urina reddatur, et marinis abſtineat, carnibus bubulis, ovillis, porcinis, reliquis vero carnibus coctis utatur. In cibo panem aſſumat et vinum odoratum,

Ed. Chart. VII. [802.] Foël. I. 643. 644. Ed. Lind. II. (543.)
ἀσθενείης. ῥοῦς ἄλλος. ῥέει ὑπόχλωρον οἷον ἐξ ὠοῦ, καὶ γλίσχρον, καὶ ἡ γαστὴρ ἀνίσταται ἡ νειαίρη, καὶ σκληρὴ γίνεται, καὶ ἢν ψαύσῃς, ἀλγέει, καὶ βρύχει, καὶ πῦρ ἔχει, καὶ ὀδύνη ἐς τὸ ἐπίσειον, καὶ ἐς τὰ αἰδοῖα, καὶ ἐς τὴν νειαίρην γαστέρα, καὶ ἐς τὰς ἰξύας, καὶ λιποθυμίη, ἀλυσμοί τε καὶ περιψύξιες καὶ ἱδρὼς πουλὺς, σφυγμοὶ πρὸς χεῖρα ψαίροντες, βληχροὶ ἐκλείποντες, καὶ αὐτίκα ὄλλυνται. ἢν δὲ περιῇ, καὶ ἡ χροιὴ οἱ τρέπεται καὶ γένηται οἷόν περ κηρίον, καὶ ὁ χρὼς τῷ δακτύλῳ πιεζόμενος μαλθάσσεται καὶ ἐμπλάσσεται, οἷόν περ ἐν σταιτί, καὶ οἰδέουσιν οἱ πόδες καὶ τὰ σκέλεα. ἡ δὲ νοῦσος γίνεται μάλιστα, ἢν ἐν αὐτῇσί τι διακναισθῇ ἢ ἐνσαπῇ ἐν τῷ τόκῳ. αἱ δ' ἀφηλικέστεραι μᾶλλον πάσχουσιν, οὐ πάνυ δὲ ἡ τοιαύτη νοῦσός ἐστιν εὐήθης. ἄλλος ῥόος. καθαίρεται οἷον ἀπὸ κρεῶν ὀπτῶν χυμὸς καὶ ἕλκοῦται τὸ αἰδοῖον καὶ ὅπη ἂν ἄλλη τοῦ χρωτὸς ἐπιστάξῃ, καὶ ῥῖγος καὶ πῦρ ὀξὺ πυκινὸν, μέγα, καὶ φρίκη ὁμοῦ λάζεται. | ὀδύναι δὲ ἐν πᾶσι τοῖσι ῥόοισιν οἷαι. αὕτη πᾶσα ἀνοιδίσκεται

pereunt. Aliis fluor. Fluit ſubpallidum et glutinoſum quale quid ex ovo, venterque imus in tumorem exurgit, durusque evadit et ad contactum dolet, dentibus ſtridet, febris detinet, dolor pubem occupat, pudenda, imum ventrem et lumbos, animi deliquium adeſt, anxietudines, perfrictiones et ſudor copioſus, pulſus ad manum leniter ferientes, languidi, deficientes, confeſtimque pereunt. Quod ſi ſuperſtes evadat, color ei immutatur et velut favus exiſtit, cutisque corporis digito preſſa emollitur, in eaque nota infigitur, velut in farinae maſſa aqua ſubacta, pedesque et crura in tumorem attolluntur. Morbus autem contingit praccipue, ſi quid his in partu vellicatum fuerit, aut intus computruerit. Iis vero quae provectae jam ſunt aetatis magis contingit, neque hujusmodi morbus admodum mitis eſt. Alius fluor. Qualis ex aſſatis carnibus humor purgatur et pudendum ulceratur et quamcunque aliam corporis partem ſtillando attigerit. Et rigor, febris acuta, crebra, magna, ſimulque horror corripit. Dolores autem in omnibus fluoribus ſimiles. Haec

Ed. Chart. VII. [803.] Foël. I. 644. Ed. Lind. II. (545.)

ῥέει ὕφαιμον, οἷόν περ ἀπὸ κρεῶν ὀπτῶν χυμός, καὶ δάκνει ὡς ἅλμη, καὶ ἐσθίει καὶ ἐξελκοῖ τὰ αἰδοῖα, καὶ ἡ ὑστέρη ἀνελκοῦται κατὰ τὰ πέριξ, καὶ τοὺς μηροὺς καὶ τὰ ἄλλα. ἐπειδὰν ἐπιστάξῃ ἐπὶ τὰ ἱμάτια, βάπτεται, καὶ δύσπλυτα ἐμμένει. καὶ ἡ γαστὴρ ἐπαίρεται καὶ σκληρὴ γίνεται, καὶ ἀλγέει ἢν ψαύσῃ, καὶ θέρμη ἔχει εἰς τὰ αἰδοῖα καὶ ἐς τὴν ἕδρην καὶ ἐς τὴν νειαίρην γαστέρα καὶ κενεῶνας καὶ ἰσχία καὶ ἰξύας ἀδυναμίη, καὶ ἡ χροιὴ τρέπεται ὡς ἰκτερώδης. ἢν δὲ ὁ χρόνος μηκύνῃ καὶ ἡ νοῦσος ταῦτα πάντα πολὺ μᾶλλον ἐπιλαμβάνει, καὶ τὰ κοῖλα ἐπανίσταται, καὶ οἱ πόδες οἰδέουσι, καὶ τὰ σκέλεα ἀπὸ τῶν ἰξύων. ἡ δὲ νοῦσος λάζεται, ἐπὴν διακναισθῇ τι τοῦ ἐμβρύου, ἢ ἐκτρώσῃ ἐν τόκῳ. χρὴ δὲ πυριῆν καὶ θυμιῆν καὶ πιπίσκειν. ταῦτα πάντα καὶ ἴσχει τὸν ῥόον, καὶ ὄνειον γάλα καὶ τὰ ἄλλα προσάγειν καὶ ἐμέειν. ἢν δὲ ἄπυρος ᾖ καὶ βληχρὸς ἔχῃ, ἄμεινον ξηρὴ πυρίη. ὁκόταν ἐς τὴν κεφαλὴν τραπῶσιν αἱ ὑστέραι καὶ τῇδε λήγει ὁ πνιγμὸς, κεφαλὴν βαρύνει, ἄλλῃσι δὲ ἄλλῃ πη τέκμαρ

qualis ex aſſatis carnibus ſuccus, ac velut muria mordet, pudenda rodit et exulcerat, uterus in ambitu exulceratur et circum femora aliasque partes. Si in veſtimenta deſtillarit, ea inficiuntur, nec niſi aegre eluuntur, venter attollitur et durus evadit, contactus dolet, calor pudenda occupat, ad ſedem dolor eſt, ad imum ventrem et laterum inanitates, coxendices et lumbos debilitas adeſt et color velut auriginoſus mutatur. Quod ſi cum tempore morbus progreſſum faciat, haec omnia multo magis invadunt, oculorum cavitates attolluntur, pedes et crura a lumbis intumeſcunt. Hic autem morbus corripit, cum quid in abortione aut partu de foetu dilaceratum fuerit. Fomenta autem admovenda et ſuffitus adhibendi, propinandaque omnia quae fluxum reprimunt et lac aſininum aliaque porrigenda et vomitus, ſi opus ſit, ciendus. Si vero febris expers fuerit, aut debilis detinuerit, fotus ſiccus melior eſt. Cum uteri ad caput converſi fuerint, eaque in parte ſuffocatio deſinit, caput gravitate afficit, aliis vero alia quapiam parte finis

Ed. Chart. VII. [802. 803.] Foës. I. 644. Ed. Lind. II. (544. 545.)
ἢν δὲ ταῦτα ποιέῃ καὶ μὴ ὑγιὴς γίνηται, πυριῆσαι ὅλην καὶ φάρμακον δοῦναι τῇ ὑστεραίῃ ἄνω, ἔπειτα διαλιπὼν αὖθις κάτω. καὶ ἢν μὲν μείνῃ ὁ ῥόος, μετὰ τὰ φάρμακα, ἀφεψήσας ὀρρὸν τέμειν ἑκάστης ἡμέρης πίνειν, ἑσπέρην δὲ ῥοφήμασιν. οἴνῳ δὲ γλυκεῖ λευκῷ. ἢν δὲ μὴ [803] ᾖ ὀρρός, γάλα ὄνου ἑφθὸν πινέτω ἐπὶ τέσσαρας ἡμέρας, ἑσπέρην δὲ τοῖσιν αὐτέοισι χρήσθω. μετέπειτα δὲ πινέτω ἐπὶ τεσσαράκοντα ἡμέρας γάλα βοὸς θερμὸν, καὶ τῆς ἡμέρης μηδὲν ἐσθιέτω ὡς ἔπος εἰπεῖν. ἄριστον γὰρ τοῦτο, καὶ γὰρ καθαίρεται καὶ τρέφεται καὶ ἀμβλύνεται ὑπὸ τοῦ τοιοῦδε γάλακτος. ἑσπέρην δὲ δειπνείτω κρέας ὄρνιθος ὀπτὸν ὀλίγον, καὶ ἄρτον μικρὸν ἐγκρυφίην. ἐπιπίνειν δὲ οἶνον μέλανα παλαιὸν οἰνώδεα, ἕως ἂν τὸ γάλα πίῃ, ἢν πολλὰ ᾖ καὶ ταράσσηται τὸ δριμύ. καὶ ἢν ταῦτα (545) ποιήσασα ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. ὅσαι δὲ γεραίτεραί εἰσιν ἐνίοτε ὑποστρέφει ἡ νοῦσος καὶ ἀπόλλυνται. τῇσι δὲ νέῃσιν οὐ θανατώδης. χρονίη δὲ τοῦ ἰχωροειδέος ῥόου ἡ θεραπείη, τὸ δὲ τοιοῦτον

vetus nigrum bibat. Quibus factis ſi non convaleſcat, totam ſoveto et poſtero die medicamentum ſurſum purgans exhibeto, deinde ex intermiſſione, rurſus deorſum purgans. Et ſi quidem fluor perſeveret, poſt medicamenta decoctum ſerum quotidie potui praebeto, ſub veſperam vero ſorbitionibus utatur, vini vero dulci albo. Quod ſi ſerum deſit, lac aſininum coctum diebus quatuor bibat, veſperi autem iisdem utatur. Poſt haec autem lac bubulum calidum per dies quadraginta bibat et per diem nihil, ut ita dicam, edat. Id enim eſt optimum cum ab hujusmodi lacte purgetur, nutriatur, fluorque obtundatur. Veſperi in coena avicularum carnem aſſam paucam ſumat et panis ſubcinericii parum. Vinum vero nigrum, vetus, generoſum inſuper bibat, quoad lac biberit, ſi copioſa eant et aere aliquid commoveatur. Quod ſi his factis concipiat, convaleſcit. Quae vero ſeniores ſunt, his quandoque morbus revertitur, ac pereunt, juvenculis autem minime lethalis eſt. Diuturna autem eſt ſanioſi fluoris curatio, in quo tale quid ſubcruentum fluit,

Ed. Chart. VII. [804.] Foës. I. 645. Ed. Lind. II. (546. 547.)

πνίγουσιν. ἐπὴν ἐνθάδε τὸ στερεὸν ᾖ τοῦ πάθεος, καὶ ἐπιλαμβάνει ἔμετος πυρώδης δριμὺς καὶ ῥᾷον γίνεται ὀλίγον χρόνον, καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον ὀδύνη διαμπερὴς, χλιάσματα προστιθέναι ἢν ἄνω πνίγωσιν. ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν τὰ κάκοδμα ἐκ προσαγωγῆς. ἢν γὰρ ἀθρόως ἑστῶνται αἱ ὑστέραι, ἐς τὰ κάτω καὶ ὄχλος γίνεται, εὔοδμα δὲ κάτω, καὶ πιεῖν διδόναι τὸ καστόριον καὶ τὴν κόνυζαν. ἐπὴν δὲ κάτω ἑλκυσθῶσιν, ὑποθυμιῆν τὰ εἰδεχθέα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. ἢν δὲ αἱ ὀδύναι παύσονται, φάρμακον (547) πίσαι κάτω, καὶ μεταπιπίσκειν γάλα ὄνου ἢ ὀρρὸν, ἢν μὴ σπληνώδης ᾖ ἀπὸ γενέσιος ἢ λείφαιμος ἢ ἄχροος, ἢ τὰ οὖατα ἠχώδεα ἔχῃ, διὰ συγγενείην ἦσιν ἐθάδες ἀπὸ νεότητος αἱ νοῦσοι. τὴν δὲ ἄνω κοιλίην μὴ κινέειν. ἀμβλυώσσουσι γὰρ ἢ ἀμφὶ τὴν φάρυγγα ὄχλοι καὶ τἆλλα. διδόναι δὲ πτισάνης χυλόν. ἢν σφόδρα δὲ καὶ εὐεμὴς ᾖ, καὶ ἐμεέτω. κλυσμὸς δὲ ἄριστος ὁ διὰ ναρ-

ad praecordia allapſi fuerint, ſtrangulatum inducunt. Tunc cum morbus in ſummo fuerit, et vomitus ſervidus acris prehendit et pauco tempore levius habet, dolorque caput et collum in totum occupat, tepefactoria admoveto, ſi ſupra ſtrangularint, ſub naribus vero ſenſim progrediendo, graveolentia in ſuffitu adhibeto, ſi enim uteri confertim ad inferiora conſiſtunt, etiam turbatio oritur, infra vero quae ſunt grati odoris et caſtorium ac conyzam potui dato. Ubi autem ad inferiora tracti fuerint, inviſa in ſuffitu ſubter adhibeto, naribus vero odorata. Ac ſi dolores ceſſarint, medicamentum deorſum purgans propinato, poſteaque lac aſininum, aut ſerum bibendum praebeto, niſi ab ortu lienis affectibus obnoxia fuerit, aut ſanguine defecta, aut decolor, aut aures tinnientes habuerit, quibus cognatione quadam a juventute morbi in conſuetudinem venerint. Superiorem autem ventrem ne moveto, oculorum enim caliginem ſentient, aut circa fauces moleſtia aliaque aderunt, ptiſanae vero ſuccum exhibeto. Quod ſi prompta ſit ad vomitionem, etiam vomat. Collutio autem ex narciſſo optima, ſubdi-

Ed. Chart. VII. [803. 804.] Foëſ. I. 644. 645. Ed. Lind II. (545. 546.)

ἴσχηται. σημήϊον δὲ τόδε. || τὰς φλέβας τὰς ἐν τῇ ῥινὶ καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖσιν ἀλγέειν φασὶ, καὶ κῶμα ἴσχει, καὶ ἀφρίζει ὅταν ῥαΐσῃ. ταύτην χρὴ (546) λοΐειν πολλῷ καὶ θερμῷ· ἢν δὲ μὴ ἐνακούῃ, ψυχρῷ, καὶ κατὰ κεφαλῆς δάφνην τε καὶ μυρσίνην ἐπεψῶν ἐν τῷ ὕδατι, καὶ ψύχων καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν χρεέσθω, καὶ ὑποθυμιήσθω τὰ εὐώδεα. τὰ δὲ κακώδεα ὑπὸ τὰς ῥῖνας, καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν δὲ πρὸς τὴν καρδίην προσιστάμεναι πτίγωσιν αἱ ὑστέραι καὶ ἀνάσσυτος ἴῃ, ὁ ἀὴρ βιώμενος ἀλησθύει καὶ ἐμέει, καὶ ἔστιν ἧσιν αὐτίκα ἐλκυσθεῖσα κάτω χωρέει καὶ φῦσα ἔξεισιν. ἡ μὲν ἐμέει ἀφρώδεα, ἧ δὲ παῦλα γίνεται. ἧσι δὲ οὐκ ἀφίστανται, [804] πράσου τὸν καρπὸν καὶ μήκωνα τρίψας, διεὶς ὕδατος κυάθοις τρισὶ δίδου πίνειν, καὶ ὄξους λευκοῦ ἀρήγει πόσις κύαθος, ἢ ἀρκεύθου καρπὸν καὶ ἐλελίσφακον ὄξος σὺν τοῖς εἴδεσιν ἢ οἶνον. ἀλεαίνεσθαι δὲ χρὴ ἢ ἄλειφα χηνὸς, κηρωτὴν ἐρρητινωμένην, καὶ πίσσαν ἐν αὐτέῳ τῆξαι, καὶ προσθετὰ ποιέειν. ὅταν δὲ ὡς πρὸς τὰ ὑποχόνδρια προσπέσωσιν,

continetur. Hoc autem indicio eſt. Narium venas et quae ſub oculis ſunt ſibi dolere conqueruntur et ſopor detinet et ſpumeſcit cum meliuſcule habet. Haec copioſa calida lavanda, ſi vero non auſcultet, frigida, et circa caput lauri et myrti ex aqua decoctum refrigeratum apponendum, caputque unguento roſaceo illinatur et ſubter ſuffitus ex odoratis admoveatur, naribus vero ex graveolentibus, braſſicam edat, ſuccumque ſorbeat. Si vero uteri ad cor procedentes ſtrangulatum inducant et ſurſum impulſus aër violenter feratur, anxietate vexatur et vomit. Quibusdam autem ſtatim tractus uterus deorſum procedit et flatus extra fertur. Haec quidem ſpumoſa vomit, huic vero quies contingit. At quibus non abſcedit, porri ſemen et peplum tritum tribus aquae cyathis dilutum potui exhibeto. Prodeſt etiam aceti albi cyathus potui exhibitus. Aut juniperi ſemen et ſalvia, aceto aut vino ad res hujusmodi ammixto. Caleſieri autem oportet, aut anſerinum adipem, ceratum reſinatum et picem ſimul caleſacere et glandes ſubditicias conficere. Cum autem

Ed. Chart. VII. [804. 805.] Foes. I. 645. 646. Ed. Lind. II. (548.)

ἢν δὲ ἀφαιρεθέντος αὖθις ἀναχωρήσωσι, τὸ εἰρίον αὖθις [805] προσθεῖναι τὸν αὐτὸν τρόπον. ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν, || κέρας μέλαν αἰγὸς ἢ ἐλάφου κνήσας ἐπιπάσσων ἐπὶ σποδιὴν θερμήν, ὅκως μάλιστα θυμιήσηται, καὶ εἰρυσάτω τὴν ὀδμὴν ἄνω διὰ τῶν ῥινῶν, ὡς ἂν δύνηται μάλιστα. θυμιῆν φώκης ἔλαιον ἐπ' ὄστρακον ἐπιτιθέντα, ἄνθρακας περικαλύψαι, καὶ τὴν κεφαλὴν ὑπερίσχειν, ὡς μάλιστα ἡ ὀσμὴ ἐσίῃ, καὶ ἐπιστάξειν τοῦ λίπεος, καὶ ἄνω ἑλκέτω τὴν ὀδμήν. τὸ δὲ στόμα ξυμμεμυκέναι. ἢν ἄνω προσπίπτωσι, ταῦτα χρὴ ποιέειν. ἢν αἱ μῆτραι πρὸς τὸ ἧπαρ τραπῶσιν, ἄφωνος ἡ γυνὴ ἐξαπίνης γίνεται, καὶ τοὺς ὀδόντας ξυνερείδεται, καὶ ἡ χροιὴ πελιδνὴ γίνεται. ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῦσα. γίνεται δὲ μάλιστα παρθένοισι παλαιῇσι καὶ χήρῃσιν ὁκόσαι καὶ τοκήεσσαι χρεύουσι. γίνεται δὲ μάλιστα τῇσιν ἀφόροισι πάμπαν καὶ στείρῃσιν, αἳ ἐκ τῶν τόκων εἰσίν. οὐ γὰρ γίνεται ἡ λοχείη κάθαρσις, καὶ οὐκ ἀνοιδίσκεται ἡ ὑστέρη, οὐδὲ μαλθάσσεται, οὐδὲ ἐμέουσιν. ὅταν ὧδε ἔχῃ, τῇ χειρὶ ἀπώσασθαι ἀπὸ τοῦ ἥπατος παρι-

oportet. Quod si ea detracta rursus reverterit, eodem rursus modo lanam apponito, naribus vero suffitum adhibeto, caprae nigro aut cervino cornu derasо cineri calido insperso, ut fumo potissimum excitato nidorem per nares sursum quoad ejus fieri maxime poterit attrahat. Suffitum etiam admoveto ex phocae adipe in testa prunis imposita, capite obvelato et superimminente, ut odor penitissime penetret et instillato adipe ipsa occluso ore sursum nidorem maxime attrahat. Atque haec facienda si uteri ad superiora ferantur. Si uteri ad hepar vertantur, derepente mulier voce deficit et dentes consertos habet et color lividus evadit. Derepente autem sic afficitur cum sana exsilit. Contingit autem praecipue vetulis virginibus et viduis, quae etiam partum expertae viduae permanent. Contingit vero maxime infoecundis omnino et iis quae ex partu steriles exsistunt. Neque enim puerperii purgatio fertur, neque intumescit uterus neque mollis redditur, neque vomunt. Cum sic habuerit, tumorem ab hepate manu levi-

Ed. Chart. VII. [804.] Foës. I. 645. Ed. Lind. II. (547. 548.)

κίσσου. προσθετὸν, τὸ διὰ κανθαρίδων. ἢν προστῶσιν αἱ ὑστέραι πρὸς τὰ ὑποχόνδρια, πνίγεται ὡς ὑπὸ ἐλλεβόρου, καὶ ὀρθόπνους γίνεται, καὶ καρδιωγμοὶ σθεναροί. αἱ δὲ καὶ ἐμέουσιν ἐνίοτε σίελον ὀξύν, καὶ τὸ στόμα ὕδατος ἐμπέπλησται, καὶ τὰ σκέλεα ἀποψύχονται. αἱ τοιαῦται κἂν μὴ ταχὺ ἀφιστῶνται, ἀπὸ τῶν ὑποχονδρίων ἄναιδοι γίνονται, καὶ τὰ ἀμφὶ τὴν κεφαλὴν καὶ τὴν γλῶσσαν νάρκη ἔχει. πρὸς μὲν τὰς ὑστέρας προσθεῖναι εἰρίον πρὸς τὸν αὐλὸν, ὡς ἔνι μάλιστα τοῦ πτεροῦ περιελίξας βάψαι ἢ λευκῷ ἢ Αἰγυπτίῳ ἢ μυρσίνῳ ἢ βακχαρίῳ ἢ ἀμαρακίνῳ. ἐς δὲ τὰς ῥῖνας, τοῦ φαρμάκου τοῦ μέλανος, τοῦ τῆς κεφαλῆς λαβόντα τῇ μήλῃ ἐμπλάσαι. ἢν δὲ μὴ ᾖ τοῦτο, τῷ ὀπῷ διαλεῖψαι τὰς ῥῖνας, ἢ πτερὸν ὄξει βάψαι καὶ καθῆραι. διαλεῖψαι δὲ τὰς ῥῖνας ἢ τοῦ πτάρμικοῦ προσθεῖναι. ὅταν δὲ κλυσθῇ τὸ στόμα καὶ ἡ ἐναυλίη, δοῦναι πιεῖν τοῦ καστορίου ἐν οἴνῳ. τὰς δὲ ῥῖνας διαλεῖψαι ἔλαιον φώκης. τὸ δὲ εἰρίον ἐὰν προσκεῖσθαι, μέχρι οὗ (548) κατασταίωσιν. ὅταν δὲ παύσηται, ἀφελέσθαι χρή.

titium vero ex cantharidibus paratum. Si uteri ad praecordia infliterint, ſtrangulatur velut ſumpto veratro et non niſi erecta cervice ſpirat et vehementes oris ventriculi morſus fiunt, quaedam etiam ſalivam acidam interdum vomitione rejiciunt et os aqua impletur, cruraque perfrigeſcunt. Eae niſi brevi uteri a praecordiis diſceſſerint, voce deficiunt, partesque circa caput et linguam torpor detinet. Ad uteros quidem ſubditicium ex lana quam penitiſſime in fiſtulam intruſa apponito, eamque pennae circumvolutam, aut unguento albo, aut Aegyptio, aut myrteo, aut baccarino, aut amaracino intingito Naribus vero medicamentum nigrum, ad caput paratum, ſpecillo exceptum obducito. Quod ſi deſit, laſeris ſucco nares linito Aut penna aceto intincta, nares purgato, easque illinito aut excitato ſternutamento apponito. Cum autem oſculum et interior via occluſa fuerit, caſtorium ex vino potui praebeto, nares vero phocae adipe linito. Lanam in ſubditicio appoſitam quoad uteri ſibi reſtituti fuerint finito, ubi autem dolor quieverit, detrahere

Ed. Chart. VII. [805. 806.] Foël. I. 646. Ed. Lind. II. (549. 550.)

ψαύσης σκληρὸν φαίνεται, καὶ ὅταν προσπέσωσι τὰ ὑποχόνδρια πνίγουσι, καὶ ἐμέει φλέγμα ὀξὺ, καὶ τοὺς ὀδόντας αἱμαιδέειν ποιέει. ἐπειδὰν ἐμέσῃ, ῥᾷον ἔχειν δοκέει. ὅταν δὲ κάτω ὁρμήσωσιν, ἀφίστανται ἀπὸ τῆς γαστρὸς ἄλλοτε ἄλλη. μάλιστα δὲ ἐς τοὺς κενεῶνας ἔστιν ὅτε ἐμπίπτουσι καὶ ἐς τὴν κύστιν καὶ στραγγουρίη ἐπιλαμβάνει, καὶ ἐς τὴν ἕδρην, καὶ δοκέει ἀποπατεῖν, καὶ τὰ ἐπιμήνια πρότερον ἢ ὕστερον τοῦ μεμαθηκότος γίνεται, ἢ οὐκ ἐπιφαίνεται [806] ταύτῃ αὐτίκα. ταύτης τῆς νούσου ἢν τὰ ἄνω πνίγωσι, χλιάσματα προστιθέναι καὶ ὑποθυμιῆν τὰ κάκοδμα πρὸς τὰς ῥῖνας. πρὸς δὲ τὰς ὑστέρας, τὰ εὐώδεα, καὶ πίνειν κόνυζαν τὴν θηλείην καὶ κάστορα ἐν οἴνῳ νήστιν. ἐπὴν δὲ τῇ φύσει καθιστεῶσι θυμιῆσαι ἠρεμέως. πινέτω δὲ διουρητικά. ταῦτα ποιέειν (550) ἕως ἂν αἱ ὀδύναι ἔχωσιν. ἐπὴν δὲ παύσωνται, πυριήσας ὅλην, ἔπειτα πίσαι φάρμακον κάτω, ἢν μὲν χολώδης ᾖ, ὅ τι χολὴν καθαίρει· ἢν δὲ φλεγματώδης, ὅ τι φλέγμα ἄγει, καὶ πιπίσκειν γάλα ὄνειον ἢ ὀρρὸν αἴγειον ἐφε-

inflammatione laborent, tangenti durum apparet et cum praecordia attigerint, ſtrangulant, pituitam acidam vomit, quae dentes ſtupore afficit. Poſtquam vomuerit, meliuſcule habere videtur. Cum vero ad inferiora impetu feruntur, interdum ad alias ventris partes diſcedunt, praecipue vero quandoque ad laterum inanitates feruntur et ad veſicam, ſtranguriaque prehendit et ad ſedem, ventrisque onus deponere videtur, menſesque ſolito citius aut tardius contingunt, aut huic non confeſtim apparent. In hoc morbo ſi ad ſuperiora ſtrangulatus inducatur, tepefacientia admovenda et naribus ſuffitus ex graveolentibus adhibendus, utero vero ex odoratis et conyza foemina cum caſtorio ex vino jejunae bibenda. Ubi autem ad priſtinam naturam redierint, placide ſuffitus adhibendi. Bibat quae urinam ducunt, eaque faciat quoad dolores detinuerint. Ubi autem ceſſarint, totam foveto, deinde ſi quidem biliosa fuerit, medicamentum deorſum purgans, quod bilem ducat; potui dato; ſi vero pituitoſa, quod pituitam et lac aſininum, aut

Ed. Chart. VII. [805.] Foël. I. 646. Ed. Lind. II. (548. 549.)
γοριχῶς τὸ οἶδος ἐς τὸ κάτω καὶ ἀποδῆσαι ταινίῃ τὰ ὑπογόνδρια καὶ τὸ στόμα διανοίγειν. οἶνον δὲ ὡς εὐωδέστατον κεκρημένον ἐγχέειν, ὅτε χρὴ καὶ προσέχειν πρὸς τὰς ῥῖνας τὰ κάκοδμα καὶ ὑποθυμιᾶν. πρὸς δὲ τὰς ὑστέρας τὰ εὐώδεα καὶ ὅσα θυμιητά, καὶ ἐπὴν ἰήσῃ, φόρμακον πίσαι κάτω χρή· ἢν μὲν χολώδης ᾖ, ὅ τι χολὴν καθαί(549)ρει· ἢν δὲ φλεγματώδης, ὅ τι φλέγμα. κἄπειτα πιπίσκειν γάλα ὄνου ἔφθὸν, καὶ τὰς ὑστέρας πυριῆσαι εὐώδεσι, καὶ προστίθεσθαι τὸ ξὺν τῇ βουπρήστει. τῇ δὲ ὑστεραίῃ νέτωπον, διαλιπὼν δὲ πάλιν ἡμέρας δύο κλύσαι τὰς ὑστέρας εὐώδεσιν. ἔπειτα διαλιπὼν μίην ἡμέρην, θυμιῆσαι τοῖσι ἀρώμασιν. ταῦτα ποιέειν τὴν χήρην. ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. τὴν δὲ παρθένον πείθειν ξυνοικέειν ἀνδρί. πρὸς δὲ τὰς ῥῖνας ἀείρειν, μηδὲ τὸ φάρμακον πίνειν νήστει τὸν κάστορα, καὶ κόνυζαν δὲ ἐν οἴνῳ ὡς εὐωδεστάτῳ πίνειν ἐς εἴκοσιν ἡμέρας, καὶ τὴν κεφαλὴν μὴ ἀλείφεσθαι εὐώδει, μηδ' ὀσφραίνεσθαί τινι τῶν εὐωδίων. ἢν δὲ αἱ μῆτραι φλεγμήνωσι παρὰ τὸ πλευρὸν, ἢν

ter ad inferiora repellito, fascia praecordia deligato et uteri osculum aperito. Vinum autem quam odoratissimum dilutum infundito, cum oportuerit etiam naribus foetida suffitu admoveto, ad uteros vero odorata et quae ad suffitum sunt accommodata. Ac ubi sanaveris, medicamentum deorsum purgans potui exhibendum, quod bilem purget, si quidem biliosa fuerit, si vero pituitosa, quod pituitam. Deinde lac asininum decoctum propinandum, uterus odoratis fovendus, et medicamentum quod cum bupresti conficitur in subdititio apponendum, postero vero die netopum, ac rursus duobus intermissis diebus uterus odoratis colluendus, deinde unius diei intermissione facta, aromata ad suffitum adhibenda. Haec viduae facienda, optimum est autem si concipiat. Virgini vero ut viro jungatur persuadeto. Naribus nihil adhibendum, neque medicamentum jejunae bibendum. Castorium et conyzam ex vino quam odoratissimo diebus viginti bibat, neque caput odorato inungat, neque odorati aliquid olfaciat. Si uteri ad latus

Ed. Chart. VII. [806. 807.] Foef. I. 647. - Ed. Lind. II. (550. 551.)
τοῦτα μίσγε. μίαν μοῖραν τυροῦ καὶ τῶν ἀνάλτων ἀλφίτων μοῖραν καὶ νήστει πίνειν δίδου ἐν οἴνῳ. ὅταν δὲ ἑσπέριος ᾖ, (551) κυκεῶνα παχὺν μέλι ἐπιχέων δίδου πιεῖν, καὶ τῶν ποτημάτων ἃ δεῖται πιπίσκειν καὶ πυριῆν πυκνὰ καὶ τῷ θερμῷ καταιονᾶν, καὶ τῇ κηρωτῇ ἡσύχως καὶ μαλθακῶς καὶ ὁμαλῶς ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ τὰς μήτρας, καὶ ἀναδεῖν τῷ πλευρῷ ταινίῃ πλατείῃ, καὶ γαλακτοποτέειν βόειον γάλα ὡς πλεῖστον ἐπὶ ἡμέρας τεσσαράκοντα. σιτίοισι δὲ χρῆσθαι ὡς μαλθακωτάτοισιν. ἡ δὲ νοῦσος σπερχνή τε καὶ θανατώδης, καὶ ὀλίγαι φεύγουσιν ὧδε μελεδαινόμεναι. ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ἐνῶσιν ἢ ἐν τῷ κενεῶνι καὶ ἴῃ πνεῦμα μετάρσιον καὶ πῖγος ἔχῃ, καὶ ἆσθμά μιν λάζηται πυκινὸν καὶ οὐκ ἐθέλει κινέεσθαι. τρίψας θεῖον ἢ ἄσφαλτον ἢ κώνειον ἢ σμύρναν, μέλι ἐφθὸν παραχέας, ποιέειν δὲ βάλανον μακρὴν, παχείην, καὶ ἐντιθέναι ἐς τὴν ἕδρην. ἢν αἱ μῆτραι εἰλέωσι σφέας ἐς τὸ μεσηγὺ τῶν ἰξύων, ὀδύνη ἔχει καὶ τὴν ἰσχιάδα γαστέρα καὶ τὰ σκέλεα εἰρύεται, καὶ τὰς κοχώνας ἀλγέει, καὶ ὄκὑτων ἀποπατήσῃ, ὀδύναι ἴσχουσιν

nus muria derasa. Haec permixta, ut casei pars sit una et polentae insulsae pars una, jejunae ex vino potui praebeto. Cum autem vesperа advenerit, cyceona crassum affuso melle potui exhibeto, et potiones quibus opus erit propinato, crebro foveto, calida perfundito per ceratum uteros leniter, molliter et aequaliter a latere depellito, latus fascia lata religato, et lac bubulum magna copia per dies quadraginta potui exhibeto. Cibis autem quam molliſſimis utatur. Morbus autem vehemens est et lethalis, paucaeque sic curatae evadunt. At si uteri in lumbos et lateris inanitatem decubuerint, sitque sublimis spiratio, suffocatio detineat, crebraque eam anhelatio corripiat neque moveri vult, thus tritum aut bitumen aut cicutam aut myrrham, melle affuso excipito glandulam longam ac crassam effingito, et in sedem indito. Si uteri ad medios lumbos sese convolverint, imum ventrem dolor detinet, crura contrahuntur, coxendicum junctura ad sedem dolent, cumque ventris onus deponit, dolores acuti

Ed. Chart. VII. [806.] Foës. I. 646. 647. Ed. Lind. II. (550.)

ψῶν. ἢν δὲ σπληνώδης ᾖ, μὴ πιπίσκειν τὸ γάλα μηδὲ τὸ ὀρρόν. καὶ ἐν τοῖσι καθαρμοῖσι σιτίοισι χρέεσθαι μαλθακοῖσι καὶ ὑποχωρητικοῖσιν. ἰχθύες δὲ ἀμείνους κρεῶν, καὶ πυριῆν τὰς ὑστέρας ἢ καθαίρειν προσθετοῖσι, καὶ κλύσαι αὐτάς, καὶ ὑποθυμιησαμένη π ρὰ τὸν ἄνδρα ἴτω. λύσις δὲ τῆς νόσου, ἐπὴν λάβῃ ἐν γαστρί. || ἢν αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσιν, βὴξ ἴσχει, καὶ ὀδύνη ἐπὶ τὸ πλευρὸν καὶ προσίσταται σκληρὴ ὡς σφαῖρα καὶ ἁπτομένη πονέει, ὡς ἀπὸ ἕλκεως, καὶ καταφθίνει, καὶ δυκέει οἷον περιπλευμονίῃ εἶναι καὶ εἰρύεται, καὶ κυφὴ γίνεται, καὶ τὰ ἐπιμήνια οὐ φαίνεται. ἐνίῃσι δὲ καὶ ἀπόλλυνται προφανέντα. τότε δὲ γενόμενα ἀσθενέα καὶ ὀλίγα κακίονα, καὶ ἡ γονὴ οὐ γίνεται τουτέου τοῦ χρόνου. ὅταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω ἐλατήριον καὶ λούειν πολλῷ θερμῷ, καὶ τῶν χλιασμάτων ἃ ἂν προσδέχηται προσίσχειν καὶ προστιθέναι, ὑφ' ὧν καθαίρεται τὸ αἷμα, καὶ λίνου σπέρμα φῶσαι, κόψαι καὶ σῆσαι καὶ μήκων ὁ λευκὸς, ὠφελέουσι καὶ ἐλελίσφακος σὺν ἀλφίτοισι λεπτοῖσι, καὶ τυρὸν αἴγειον ἐπιξύσας τὴν ἅλμην.

ferum caprinum decoctum propinato. At ſi lienoſa fuerit neque lac neque ferum propinato. Et in purgationibus cibis mollibus et alvum dejicientibus utatur. Piſces autem carnibus ſunt meliores, uterisque fomentum admoveto, eosque per ſubdititia purgato et colluito, et poſtquam ſuffitum admoverit, virum adeat. Solvitur autem morbus ubi utero conceperit. Si uteri in latera incumbant, tuſſis et ad latus dolor detinet durusque tanquam pila inſiſtit, et contactus dolet velut ulceratus contabeſcit, videturque affectus eſſe ſimilis pulmonum inflammationi, in gibbum contrahitur, menſes non comparent, quibusdam etiam ubi comparuerint diſperduntur. Tunc autem prodeunt imbecilli, pauci et pravi, neque per hoc tempus ſit generatio. Cum ſic habuerit, medicamentum deorſum purgans propinato, multa calida lavet, tepefacientia q ae lubens ſuſcipit admoveto, eaque ex quibus ſanguis purgetur in ſubdititio apponito. Lini ſemen torrefactum, tuſum, cribratum, papaver album proſunt et ſalvia cum tenui polenta, et caſeus capri-

Ed. Chart. VII. [807.] Foës. I. 647. 648. Ed. Lind. II. (552. 553.)

τοῖσιν εὐώδεσι, καὶ μετὰ τὴν πυρίην παρασπασαμένη τῷ δακτύλῳ, ἀποστῆσαι ἀπὸ τοῦ ἰσχίου. κἄπειτα ἐξιθύνειν τοῖσι δαιδίοισί τε καὶ τῷ μολίβδῳ. οὐ γὰρ βιήσεται θοῶς ὡς εἴρηται. ὅταν δὲ κατὰ φύσιν ᾖ καὶ ἀνεστομωμέναι γίνωνται, προσθέτοισι μαλθακοῖσι καθαίρειν καὶ τἆλλα προσηκόντως ποιέειν. || ὀκόσῃσιν ὑστέραι προσπίπτουσι πρὸς τὸ ἰσχίον, ἢν μὴ ταχέως ἀφιστέωνται καὶ πάλιν ἐς χώρην καθιστέονται, προσαυαίνονται πρὸς τῷ ἰσχίῳ. ἀνάγκη δὲ τὸ στόμα ἀπεστράφθαι καὶ ἀνωτέρω ἴσχεσθαι. ὅταν δὲ ἀποστραφῇ, ξυμμύσαι. ἐκ δὲ τοῦ ἀπεστράφθαι τε καὶ ξυμμύσαι, σκληρὸν γενέσθαι, καὶ ξυμμύειν καὶ πεπηρωμένον τὸ στόμα τῶν ὑστερέων εἶναι. ἀποκλεισθέντων δὲ ἐπαναπέμπειν τὰ ἐπιμήνια ἐς τοὺς μαζοὺς καὶ βεβηότας τοῦ στήθεος ποιέει, καὶ ἡ γαστὴρ ἡ νειαίρα ἐπῆρται, καὶ δοκέουσιν αἱ ἄπειροι ἐν γαστρὶ ἔχειν. πάσχουσι γὰρ τὰ τοιαῦτα, οἷά περ αἱ κύουσαι μέχρι μηνῶν ἑπτὰ ἢ ὀκτώ. ἥ τε κοιλίη ἐπιδιδοῖ κατὰ λόγον τοῦ χρόνου, (553) καὶ τὰ στήθεα ἐπαίρεται καὶ γάλα δοκέει ἐγγίνεσθαι. ὁκόταν δὲ οὗτος ὁ χρόνος ὑπερπέσῃ, οἵ τε τιτ-

hanc odoratis fovere oportet, et poſt fomentum leviter digito immiſſo contrectata muliere a coxendice abducere, poſteaque taedulis et plumbea fiſtula dirigere. Neque enim celeriter cogetur, ut dictum eſt. Cum autem ad naturalem ſtatum redierit, et uteri aperti fuerint, per ſubdititia mollia purgato, reliquaque convenientia facito. Quibus uteri in coxam incidunt, niſi celeriter decedant, rurſusque ſuo loco reſtituantur, coxae adhaereſcentes reſiccantur. Os autem obverſum eſſe et in ſuperioribus detineri neceſſe eſt, cumque obverſum fuerit, connivere, ex averſione autem et concluſione durum effici, uterique os connivere et laeſum eſſe. At concluſi uteri menſes ad mammas remittunt, et ad pectus aſcendere cogunt, venter imus attollitur et inexpertae uterum geſtare ſibi videntur, cum iis eadem qualia praegnantibus ad ſeptimum aut octavum usque menſem contingant, venterque pro temporis ratione increſcat, pectus attollatur, lacque gigni videatur. Hoc autem tempore

Ed. Chart. VII. [807.] Foeſ. I. 647. Ed. Lind. II. (551. 552.)

ὀξεῖαι καὶ ὁ ἀπόπατος προέρχεται ὑπὸ βίης σμικρὸς, καὶ τὸ οὖρον τρύζει τε καὶ ὀλιγοψυχίη λαμβάνει. ὁκόταν ὧδε ἔχῃ, χρὴ προσδῆσαι τῇ κύστει αὐλίσκον, καὶ ἐγκλύζειν ἔλαιον θερμὸν ἐς τὰς ὑστέρας, καὶ πυριῆν ἢ λοῦσαι πολλῷ καὶ θερμῷ ὕδατι, καὶ ἐς ἔλαιον καὶ ἐς ὕδωρ καθίζειν. ὑποθυμιῆν δὲ ὑπὸ τὰ αἰδοῖα κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας, εὐώδεα. ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, φάρμακον διδόναι ἄνω. τὴν δὲ κάτω κοιλίην οὐ χρὴ ταράσσειν. ἐπὴν δὲ αἱ ὑστέραι καταστέωσι, (552) φάρμακον πίσαι κάτω γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ. ἔπειτα πυριῆσαι καὶ καταιονᾶν τὰς ὑστέρας, τὸ ξὺν τῇ δάφνῃ προστιθεὶς προσθετὸν καθαρτήριον ὃ μὴ δήξηται. κἄπειτα θυμιωμένῃ τοῖσι ἀρώμασι, παρὰ τὸν ἄνδρα ἴτω, καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται ἄτοκοι δὲ πολλαὶ καὶ πηραὶ τὰ σκέλεα πολλάκις γίνονται. ὁκόσῃσι δὲ τὸ στόμα κλίνεται ἑτέρωσε καὶ προσπίπτει τῷ ἰσχίῳ, γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην καθαίρεσθαι καὶ τὴν γονὴν δέχεσθαι καὶ μὴ παιδοποιέειν. ταύτην πυριῆν χρὴ

detinent, prae violentia exiguum ſtercus prodit, urina ſtridet et animi abjectio invadit. Cum ſic habuerit alligata ad veſicam ſiſtula, oleum calidum in uteros infundere oportet, fomentum admovere aut multa calida lavare, in oleum et aquam deſidere et ſuffitum ex graveolentibus ad pudenda adhibere, naribus vero ex odoratis. Poſtquam autem dolor quieverit, medicamentum ſurſum purgans exhibendum, inferiorem vero alvum agitare non oportet. Cum autem uteri ad ſuum locum redierint, medicamentum deorſum purgans bibendum dato et lac aſininum, ſi minime lienoſa fuerit. Deinde fomento admoto uteros medicamento quod cum lauro paratur perfundito, et ſubditicium medicamentum purgans quod non mordeat in peſſo apponito. Deinde ſuffitu ex aromatis ſuſcepto, virum adeat. Quod ſi concipiat convaleſcit. Verum pleraeque infoecundae et cruribus captae plerumque redduntur. At quibus oſculum alio inclinat, et in coxendicem incumbit, haec enim dum fiunt uterum purgari, et genituram liberosque ſuſcipere prohibent,

Ed. Chart. VII. [808.] Foes. I. 648. Ed. Lind. II. (553. 554.)

πνεῦμα μινυθῶδες, καὶ οὐκ ὀδμῶνται οὐδὲν, καὶ ἐν τοῖσι οὔασι πόνος μὲν οὐκ ἐγγίνεται, πῶρος δὲ ἐνίοτε. ὁκόταν οὖν ἐς τόσον προΐωσι τοῦ χρόνου, οὐ δύνανται ὑγιέες γίνεσθαι, ἀλλ' ἀπόλλυνται ἐκ τουτέων τῶν νουσημάτων. ἢν δὲ πρότερον ἢ ἐς τόσον ἀφικέσθαι θεραπευθῇ καὶ λυθῇ τὰ ἐπιμήνια, ὑγιὴς γίνεται. θεραπεύειν δὲ τὰς τοιάσδε ὧδε χρή. (554) πρῶτον καὶ ἁπάντων ἢν ἔτι ἰσχυρὴν ἐοῦσαν λαμβάνῃς, ἀποσκεψάμενος εἰς τὸ ἄλλο σῶμα φαρμακεύειν, ὁκοίης ἄν τινος δοκέει δεῖσθαι καθάρσιος. ὁκόταν δὲ καταστήσῃς τὸ σῶμα, οὕτως ἰέναι ἐς τὴν τῶν ὑστερέων θεραπείην. ἢν δὲ μηδὲν δοκέῃ τὸ πᾶν σῶμα κινητέον εἶναι, μηδὲ αἱ προφάσιες ἐντεῦθεν ὁρμᾶσθαι, ἀλλ' αἱ ὑστέραι ἐφ' ἑωυτῶν τὸ νούσημα ἔχωσι, τῆς θεραπείης ἐνάρχεσθαι ὧδε. πυριῇν πρῶτον τὰς ὑστέρας ὧδε. χύτρινον ὅσον δύο ἑκταίας χωρέοντα, καινεῖον ἐπιθεῖναι καὶ ξυναρτῆσαι, ὅκως παραπνεύσηται μηδέν. ἔπειτα δὲ κόψαι τοῦ καινείου τὸν πυθμένα καὶ ποιῆσαι ὀπήν. ἐς δὲ τὴν ὀπὴν ἐνθεῖναι κάλαμον, μῆκος ὅσον πηχιαῖον. ἐνηρμόσθαι δὲ χρὴ τὸν κάλαμον τῷ καινείῳ καλῶς, ὅκως μὴ

auribus dolor quidem nullus, ſed interdum calloſa concretio innaſcitur. Cum igitur huc usque proceſſerint, convaleſcere nequeunt, verum ex ejusmodi morbis pereunt. Sin autem prius quam huc pervenerit curetur et menſes ſolvantur, ſaneſcit. Eas autem ad hunc modum curare oportet. Ante omnia quidem ſi adhuc validam curandam ſuſceperis, habita reliqui totius corporis conſideratione, quacunque tandem purgatione indigere videatur, medicamentum purgans exhibeto. Sic autem conſtituto corpore ad uterorum curationem accedito. Quod ſi totum corpus minime agitandum videatur neque cauſae inde moveri, ſed uteri per ſe morboſi ſint, ad hunc modum curam auſpicari oportet. Imprimis uteri ſic ſovendi. Ollam duas ſextulas capientem ſumito, operculum imponito et ne quid expiret accommodato, deinde operculi fundo pertuſo et foramine facto, in foramen arundinem cubitali longitudine indito. Probe autem operculo adaptatam eſſe arundinem oportet,

Ed. Chart. VII. [807. 808.] Foes. I. 648. Ed. Lind. II. (553.)

θοὶ συνισχναίνονται καὶ ἐλάσσους γίνονται, καὶ ἡ κοιλίη τὸ ὠυτὸ πάσχει, καὶ τὸ γάλα ἀποδέδρηκεν ἄδηλον, καὶ ἡ κοιλίη ἐπ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧ ἐδόκεε τίκτειν, ἐπειδὰν ἔλθῃ, ἀποδέδρηκέ τε καὶ ξυμπίπτει. [808] τοιοῦτον δὲ γινόμενον αἱ ὑστέραι ἰσχυρῶς ἐς ὀλίγον χρόνον συνέρχονται, καὶ τὸ στόμα αὐτέων ἐξευρεῖν οὐχ οἷόν τε. οὕτω πάντα ξυνειρύονταί τε καὶ ξυναυαίνονται, καὶ ἐν τοῖσι τιτθοῖσι φυμάτια γίνονται σκληρά. τὰ μὲν μέζω, τὰ δὲ ἐλάσσω. ταῦτα δὲ οὐ γίνονται ἔμπυα, ἀλλ' αἰεὶ σκληρότεραι γίνονται. εἶτα ἐξ αὐτέων φύονται καρκῖνοι κρυπτοί. μελλόντων δὲ καρκίνων ἔσεσθαι, πρότερον τὰ στόματα ἐκπικραίνονται, καὶ ὅ τι ἂν φύγωσι πάντα δοκοῦσι πικρὰ εἶναι, καὶ ἤν τις πλείω δῷ, ἀναίνονται λαβεῖν, καὶ σχεταῖα δρῶσι. παράφοροι δὲ τῇ γνώμῃ, καὶ ὀφθαλμοὶ σκληροί, καὶ βλέπουσιν οὐκ ὀξέα, καὶ ἐκ τῶν τιτθῶν εἰς τὰς σφαγὰς ὀδύναι διαίσσουσι καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ δίψα ἴσχει, καὶ αἱ θῆλαι καρφαλέαι, καὶ αὗται πᾶν τὸ σῶμα λελεπτισμέναι εἰσὶ, καὶ αἱ ῥῖνες ξηραί τε καὶ ἐμπεπλασμέναι εἰσὶν, οὐκ ἀειρόμεναι.

elapso mammae extenuantur et minores redduntur, idemque ventri contingit et lac conspectum effugit, cumque ad tempus pervenerit in quo se parituram existimabat, ventris moles evanescit et subsidit. Quae cum eveniunt, uteri parvo tempore vehementer contrahuntur, eorumque osculum deprehendi non potest, adeo omnia in se contrahuntur ac resiccantur, et in mammis tubercula dura exoriuntur, quaedam quidem majora, quaedam vero minora. Haec autem minime suppurant, sed semper duriora fiunt, ex his deinde occulti cancri pullulant. Advenientibus autem cancris, prius os amarescit et quae comederit omnia amara esse videntur. Ac si quis plura exhibuerit, sumere recusant et cohibenda faciunt, mente alienantur, oculi duri sunt neque acute cernunt, ex mammis dolores ad jugulum et scapulas perrumpunt, sitis detinet, papillae aridae sunt, ipsaeque toto corpore extenuatae sunt, nares siccae et obductae neque elevantur, spiratio est imminuta et nihil odorantur, in

Ed. Chart. VII. [808. 809.] Foël. I. 649. Ed. Lind. II. (555.)
πλείονα μὲν καταθρύπτειν τῶν κατατεκαυμένων, καὶ ὕδωρ ἐπιχέαι, ὥστε αὐτὰ καταβρέξεται, καὶ ὑπερέχειν τὸ ὕδωρ τουτέων οἷον τρεῖς δακτύλους, [809] καὶ ἐπιχεῖν φώκης ἔλαιον, καὶ οὕτως θερμαίνειν, πυριῆν δὲ χρὴ πουλὺν χρόνον. μετὰ δὲ τὴν πυρίην, ἢν ᾖ δυνατή, λουσάσθω τὸ μὲν οὖν ὅλον σῶμα πρὸς ἡδονήν, τὴν δὲ ὀσφῦν καὶ τὰ κάτω τοῦ ὀμφαλοῦ πλέον. δειπνεῖν δὲ δοῦναι μᾶζαν, ἄρτον καὶ σκόροδα ἑφθά, τῇ δὲ ὑστεραίῃ. ἢν μὲν διαλελυμένη ᾖ πρὸς τὴν πυρίην, διαλιπεῖν τὴν ἡμέρην ταύτην· ἢν δὲ μὴ, πυριῆν ὀπίσω. πυριωμένη δὲ ἢν δύνηται σκέψασθαι, κελεύειν ψαῦσαι τοῦ στόματος. ἢν ἡ πυρίη αὐτέη φύσης ἐμπιπλᾷ τὰς ὑστέρας, ἐμπιπλάμεναι δὲ φύσης τὸ στόμα ἐκ τοῦ λίην ἀπεστράφθαι καὶ προσπεπτωκέναι πρὸς τῷ ἰσχίῳ, ὡς ὀρθὸν μᾶλλον καθεστᾶσι καὶ ἀναστομοῦνται. ὡς οὖν τοιαύτης ἐούσης τῆς πυρίης καὶ ταῦτα ποιέειν δυναμένης, οὕτω πυριῆν δεῖ. ὅταν δὲ πυριήσῃς, ἐμβάλλειν χρὴ τῶν σκορόδων καὶ τῆς φώκης τοῦ ἐλαίου ἐπιχέειν. δρῆν δὲ ταῦτα ἄχρις ἂν δοκῶσιν αἱ ὑστέραι πεφυσῆσθαι καὶ τὸ στόμα ἄνω εἱλκύσθαι ἰσχυ-

minutatim magis fracta quam quae contuſa ſunt et aqua quae tribus digitis excedat, ut macerentur affundenda, vitulique marini adeps infundendus. Sicque caleſacere et fomentum longo tempore admovere oportet. Poſt fomentum autem, ſi valida fuerit, totum quidem corpus voluptatis gratia lavet, plurimum autem lumbos et partes umbilico inferiores. In coena autem maza, panis et allia cocta exhibenda. Poſtero vero die ſi quidem a fomento exoluta fuerit, is dies intermittendus, alioqui rurſus fomentum adhibendum. Adhibito ſotu oſculum contingere jubeto, ut conſiderare poſſit num fomentum ipſum uteros flatu compleverit. Impleti enim flatu uteri, oſculum valde obverſum et in coxam incumbens, velut directum magis reſtituunt et aperiuntur. Cum igitur ejusmodi fomentum id efficere poſſit, in hunc modum adhibendum. Ubi autem fomentum admovebis, allia immittenda et vituli marini adeps affundendus, idque faciendum quoad uteri inflati, oſculumque

Ed. Chart. VII. [808.] Foës. I. 648. 649. Ed. Lind. II. (554.555.)

παραπνεύσηται μηδαμῶς. ὁκόταν δὲ ταῦτα σκευάσῃς, ἐπίθες τὸ κανεῖον ἐπὶ τὸν χύτρινον, περιπλάσας πηλῷ. ὅταν δὲ ταῦτα ποιήσῃς, βόθρον ὄρυξον, ὅσον δύο ποδῶν βάθος, μῆκος δὲ ὅσον χωρέειν τὸν χύτρινον, ἔπειτα χρὴ ἐγκαίειν ξύλοις, ἕως τὸν βόθρον διάπυρον ποιήσῃς. ὅταν δὲ διάπυρος γένηται, ἐξελεῖν χρὴ τὰ ξύλα, καὶ τῶν ἀνθράκων οἱ δὴ ἀδρότατοι ἔσονται καὶ διάπυροι, τὴν δὲ σποδιὴν καὶ τὴν μαρίλην ἐν τῷ βόθρῳ καταλιπεῖν. ‖ ὁκόταν δὲ ὁ χύτρινος ζέσῃ καὶ ἡ ἀτμὶς ἐπανῇ, ἢν μὲν ᾖ λίην θερμὴ ἡ πνοὴ, ἐπισχεῖν, εἰ δὲ μὴ, καθίζεσθαι ἐπὶ τὸ ἄκρον τοῦ καλάμου καὶ ἐνθέσθαι ἐς τὸν στόμαχον, ἔπειτα πυριῆσαι. ἢν δὲ ψύχηται, ἀνθρακας διαπύρους παραβάλλειν φυλασσόμενος, ἵνα μὴ ὀξείην ποιήσῃς τὴν πυρίην. ἢν δὲ παραβαλλομένων τῶν ἀνθράκων (555) ὀξείη γένηται ἡ πυρίη μᾶλλον τοῦ δέοντος, ἀφαιρέειν τῶν ἀνθράκων. τὴν δὲ πυρίην χρὴ κατασκευάζειν ἐν εὐδίῃσιν, ὅκου ἄνεμος μὴ προσπνεύσῃ, μηδὲ προσψύξῃ, ἀμφικαλύφθαι δὲ χρὴ ἀμφιέσμασιν, ἐς δὲ τὸν χύτρινον χρὴ βάλλειν σκόροδα τῶν αὔων, καὶ

ut nihil omnino tranſpiret. His praeparatis operculum luto obductum ollae imponito. Quibus factis ſcrobem duorum pedum altitudine, ea vero magnitudine quae ollam capiat effodito. Deinde ligna incendere oportet, quoad foſſam ignitam totam reddideris. Qua ignita reddita, ligna et prunas videlicet craſſiſſimas et accenſas ſubducere oportet, cinerem autem et ſuppoſitam cineri calido favillam ſcrobe relinquere. Ubi olla efferbuerit, vaporque ſurſum delatus fuerit, ſiquidem admodum calidus ſit, ſubſiſtendum, ſin minus, ſumma arundinis parte in uteri oſculum indita, ei inſidendum, poſtea fomentum admovendum. Quod ſi refrixerit, prunas accenſas admoveto, ea cautione adhibita, ut ne acutum fomentum reddas. Sin vero admotis prunis plus aequo acutum fomentum reddatur, prunas detrahito, fomentum autem ſereno coelo apparare oportet, ubi ventus non ſpiret, neque refrigeret, et veſtimentis undique contectam eſſe. In ollam autem allia ſicca injicienda, eaque

Ed. Chart. VII. [809. 810.] Foël. I. 649. 650. Ed. Lind. II. (556. 557.)
παχύτερον εἶναι ὁκόσον δάκτυλος ὁ λιχανός, καὶ τὸ εἶδος ὅμοιον τῷ δακτύλῳ ἐξ ἄκρου λεπτότατον. ἀγόμενον δὲ παχύτερον. ποιέειν δὲ ὡς λειότατόν τε καὶ στρογγυλώτατον. φυλασσόμενον δὲ ὅκως σχινδαλμὸς μηδεὶς ἔσται, προστιθέναι δὲ πρῶτον τὸ λεπτότατον. ὅταν δὲ προσθῆται, ἀναπαύεσθω ὅκως μὴ ἐκπέσῃ φυλάσσουσα. προστιθέτω δὲ πρῶτον τὸ ἄκρον. εἶτα καὶ ἀεὶ μᾶλλον ὁμοῦ τε ἐπιστρέφειν καὶ ἀπωθέειν κυκλόσε τὸ δαίδιον, καὶ ὁκόταν σμικρὸν προσδέξηται ἐπισχεῖν ἐν τῷ σμικρῷ τουτέῳ, φυλάσσουσα ὡς μὴ ἐκπέσηται. εἶτα (557) αὖθις ἀπωθέειν ἐς τὸν αὐτὸν τρόπον ἄχρις οὗ τεσσάρων || δακτύλων τὸ εἴσω τοῦ στόματος τῶν ὑστερέων γένηται, ὅταν δὲ τοῦτο προσδέξηται, τὸ μετὰ τοῦτο προστιθέναι ὁμοῦ [810] τὸ προσκείμενον ἀφαιρέουσα, ὅκως πρὶν ξυμπεσεῖν τὸ στόμα, προκείσεται ἔτι ὀρθοῦ ἐόντος καὶ ἀνεῳγμένου. οὕτως δὲ τοῦτο ἔσται, ἢν τὸ μὲν ἐξαιρέηται, τὸ δὲ προστίθηται. χρὴ δὲ καὶ μόλυβδον ἴκελον ἐξελάσαντα ποιῆσαι τὸ εἶδος τῷ δαιδίῳ τῷ παχυτάτῳ, κοῖλον δὲ ὅκως ξυνέξῃ. τοῦ δὲ μολύβδου εἶναι τὸ εὖρος ἐληλασμένον οἷον

tum tendente. Ex his alius alio ſit paulo brevior, craſſitudo vero quantum digiti indicis, forma autem digito ſimilis in ſummo tenuiſſima, ſenſim ad craſſitudinem ducta. Laeviſſimi autem et rotundiſſimi conficiendi, animadverſione facta ut ne ullum fiſſum adſit. Supponendus autem primum tenuiſſimus, quo ſubdito quieſcat obſervatione facta ne excidat. Ac primum ſummam partem ſupponito, deinde ſemper magis ſimulque taedulam obtorquendo etiam intro trudito. Cumque parvam partem admiſerit, in ea parva parte ſubſiſtendum, cautione adhibita ne excidat, deinde rurſus eodem modo protrudendum, quoad uterorum oſculum ad quatuor digitos intro ſubierit. Quem cum admiſerit, alter poſt hunc ſimul ac prius appoſitum abſtulerit, velut oſculo adhuc recto et aperto, antequam ſubſidat apponatur. Quod continget, ſi hic quidem detrahatur, alter vero ſupponatur. Plumbum autem oportet in ſimilem formam craſſiſſimi peſſi taedacei ducere, quod cavum ſit, ut quid contineat et plumbi capacitatem eo modo fabricatam eſſe, quali ad

Ed. Chart. VII. [809.] Foës. I. 649. Ed. Lind. II. (555. 556.)
ρῶς. πρὸς γὰρ τὴν πυρίην ταύτην τοιάδε ἔσται. διαιτῆν δὲ μετὰ τὰς πυρίας, ὡς ὅτε τὸ πρότερον πυριῆτο. ὁκόταν δὲ ἀνακινηθῶσιν αἱ ὑστέραι καὶ εὔλυτοι γένων(556)ται, πυριῆν μαράθρου ῥίζῃσιν, ἕτερόν τε χύτρινον κατασκευάσαι τὸν αὐτὸν τρόπον, τὰς δὲ ῥίζας τῶν μαράθρων ἀμφιπλύναντα φλάσθαι καὶ ἐς τὸν χύτρινον ἐμβαλεῖν, καὶ ἐπιχέας ὕδωρ τὸν αὐτὸν τρόπον πυριῆν, μετὰ δὲ ταῦτα λούειν, καὶ ἐς ἑσπέρην δειπνεῖν μᾶζαν. ἢν δὲ ἄρτον βούληται καὶ βολβίδια καὶ σηπίδια τῶν σμικρῶν, ἐν οἴνῳ ἑψεῖν καὶ ἐν ἐλαίῳ καὶ παρέχειν ἐσθίειν. ἐν δὲ τῇ πυρίῃ πειρῆσθαι τοῦ στόματος ψαύειν, ἢ πυρίῃ ἄγειν τὰς ὑστέρας ἄγχιστα. ταύτας χρὴ πυριῆν ἐφ' ἡμέρας πέντε ἢ ἓξ σκεπτόμενον ἐς τὴν ἄνθρωπον. κἢν μὲν διαλύηται καὶ ἀσθενὴς γίνεται, διαλαμβάνειν ἐς ὅσον δεῖ χρόνον· ἢν δὲ μὴ διαλύηται, πυριῆν ἀνὰ πᾶσαν ἡμέρην. μετὰ δὲ τὰς πυρίας πειρῆσθαι προστιθέναι τῶν προσθέτων, τῆς πιάλου δαιδὸς πιοτάτης, χρίσμα δὲ λίπα ἔστω, ποιέειν δὲ μῆκος μὲν δακτύλων ἓξ, πλῆθος δὲ πέντε ἢ ἓξ, εἶδος δὲ ἔξουρα. εἶναι δὲ θάτερον θατέρου σμικρῷ βραχύτερον. τὸ δὲ

ſurſum valide tractum eſſe videatur. Ex hoc enim fotu haec contingent. Poſt fomenta eadem quae prius quam foveretur adhibenda. Cum autem emoti et facile ſolubiles uteri fuerint, fomentum ex foeniculi radicibus adhibendum. Alia olla ad eundem modum apparanda, radices foeniculi probe lotae, contuſae in ollam immittendae et aqua affuſa fomentum eodem modo admovendum. Poſt haec lavandum et ſub veſperam in coena maza ſumenda. Quod ſi panem volet, bulbulos et ſepiolas parvas, haec vino et oleo incoquenda et eſui praebenda. Inter fovendum oſculum contingere tentandum, aut per fomentum uteri proxime adducendi. His ad dies quinque vel ſex fomentum admovendum, hominis habita ratione. Et ſi quidem exolvatur aut debilis reddatur, quantum opus eſt temporis interponere, alioqui ſi non exolvatur, per totum diem fomentum adhibere. Poſt fomenta vero talos ſubdititios ex taeda pinguiſſima ſupponere tentandum. Sint autem oleo illiti et ſex digitorum longitudine facti, quinque vel ſex numero, forma in acu-

Ed. Chart. VII. [810.] Foël. I. 650. Ed. Lind. II. (558.)

ἰωσι, κἀπειδὰν ἀναστομωθῶσι προστιθέναι προσθετὰ ποιήσαντα, εἶναι δὲ τὸ μέγεθος ὅσον ἐλαίη, τούτων δὲ τὸ ἕτερον προσκεῖσθαι, μέχρις ὅτου ἐκτακῇ, κἄπειτα θάτερον προστιθέναι. ὁκόταν δὲ προστίθεσθαι μέλλῃς, ἄψαι τὸ προσθετὸν τὸ ἐκ τῆς ῥητίνης. ἀφίστησι γὰρ ἀπὸ τοῦ στόματος τῶν ὑστερέων, ἐς ἔλαιον ῥόδινον, ἢ ἴρινον. πρὶν δὲ τὸ μολύβδινον προσκεῖσθαι χρὴ, ὅκως ἐν ὀρθῷ τῷ στόματι ἐνειρίσηται εἰς τὸ εἴσω τοῦ σώματος. ἔπειτα μαλθακτήρια προστιθέναι, λούεσθαι δὲ θερμῷ καὶ πρὸ τῶν προσθετῶν καὶ ὕστερον, καὶ δεῖπνον διδόναι τῶν θαλασσίων τι τῶν εἰρημένων. διδόναι δὲ, ὅταν ἡμέραι γένωνται δύο ἢ τρεῖς ἀπὸ προσθέσιος σκεψάμενος, ἢν μὲν τὸ στόμα καλῶς ἔχῃ τῶν ὑστερέων καὶ καθαρὸν ᾖ, παύεσθαι τουτέου τοῦ προσθετοῦ, μετὰ δὲ τοῦτο μαλθακτήρια. ὅταν δὲ ἀποφλεγμήνῃ τὸ στόμα τῶν ὑστερέων, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον τὰ φάρμακα καὶ τἆλλα ποιέειν κατὰ τὸν ὑφηγημένον τρόπον. ὅταν δὲ καλῶς ἔχῃ τὸ σῶμα, ἀναφυσῆν ὡς εἴρηται, καὶ τὸ στόμα δὲ ἀναφυσῆν δεῖ καὶ τὰς ὑστέρας ὧδε προσθετὸν ποιήσαντα

aperti fuerint, ſubdititia medicamenta confecta apponito. Sint autem olivae magnitudine, atque horum alterum apponendum, quoad colliquefiat, deinde alterum ſupponendum. Cum vero ſubdere voles, ſubditicium ex reſina paratum, oleo roſaceo aut irino intingito. Diſcedit enim ab ore uterorum. At prius plumbeum peſſum apponi oportet, ut recto ore in interiorem ejus partem attrahatur. Deinde emollientia in ſubditicio admovenda. Ante ſubditicia autem poſteaque calida lavet. In coena autem aliquid ex commemoratis piſcibus marinis exhibendum. Exhibendum autem duobus aut tribus poſt appoſita ſubditicia diebus, conſideratione adhibita an uterorum oſculum bene habeat purumque ſit. Tumque ab hujusmodi ſubditicio quieſcendum, poſt hoc vero emollientia admovenda. Ubi autem os uterorum inflammatione laborarit, rurſus eodem modo medicamenta in ſubditicio apponenda, reliquaque eodem quo dictum eſt modo facienda. Cum corpus bene habuerit, velut dictum eſt, flatus immittendus. Quin etiam os et uteros

Ed. Chart. VII. [810] Foës. I. 650. Ed. Lind. II. (557. 558.)
ἐπὶ τὰ ἕλκεα ἐξελαύνεται, ὅκως τὸ στόμα τοῦ μοτοῦ λεῖον ἔσται καὶ μὴ τρώσῃ. ποιέει δὲ ταῦτα ὡς καὶ τὰ τῶν δαιδίων. ὁκόταν δὲ ποιηθῇ ὁ μοτὸς ὁ μολύβδινος, στέατος αὐτὸν ἐμπλῆσαι ὄϊος τετριμμένου, ὁκόταν δὲ παρεσκευασμένος ᾖ, τὸ μὲν δαίδιον ὑφελεῖν, τὸ δὲ μολύβδιον ἐνθεῖναι. ἢν δὲ τὸ μολύβδιον κλύμα περιέχῃ προστεθὲν, τὸ μὲν μολύβδιον ἀφαιρέειν, τὴν δὲ δαῖδα ὀπίσω προστιθέναι, καὶ τὸ μολύβδιον ἀποβάψαι ἐς ὕδωρ ψυχρόν. ἔπειτα ὀπίσω προστιθέναι, τὴν δὲ δαῖδα ἀφελεῖν. προσκεῖσθαι δὲ χρὴ ἀεί τι. τὴν ἡμέρην ἀμείνω τὴν δαῖδα ἔχειν, νύκτωρ δὲ τὸ μολύβδιον. ἢν δ' ἀναστῆναι θέλῃ, φυλασσομένη τοῦτο δράτω, ὅκως ὁ μοτὸς ἀτρεμέῃ. ἢν δὲ μὴ, αὐτίκα κατόπιν προστιθέναι. ἢν δὲ τῶν δαιδίων ὧν πρόσκειται μηδὲν προσδέχηται, λεπτότερον ποιέειν, μέχρις οὗ προσδέχηται, ἐκ τουτέων εἰς ἐκεῖνα καθεστάναι καὶ εὐπιθῆσαι. ἢν δὲ τὸ στόμα μηδὲ δύνηται ἀνοίγεσθαι μηδὲ ὑστέραι (558) ἀγχοῦ προσίωσιν, αὖθις ἐπαναχωρεῖν ἐπὶ τὴν ἀρχαίην ἰητρίην. ἀπὸ δὲ τῆς πρώτης ἐπὶ τὴν δευτέραν, μέχρις ὅτου μαλθαχθῶσι καὶ πελαστάτω προσ-

ulcera fabricatur, ut penicilli os laeve ſit ac minime vulneret. Haec autem velut taedaceos peſſos formato. Hoc modo efformatum penicillum plumbeum adipe ovillo trito impleto, atque ubi praeparatus fuerit, taedaceam quidem glandulam ſubducito, plumbeam autem imponito. Quod ſi ſubditus plumbeus peſſus ardorem exhibeat, is eximendus, taedaceus vero rurſus apponendus et plumbeus in aquam frigidam intinctus, deinde rurſus apponendus et taedaceus detrahendus. Semper autem aliquid adhaerere oportet et interdiu quidem taedam continere praeſtat, noctu vero plumbum. At ſi ſurgere velit, id faciat ea obſervatione adhibita, ut penicillus quieſcat, alioqui ſtatim poſt ſupponendus. Si vero ex peſſulis taedaceis qui apponuntur nullum admittat, tenuiorem quoad admittat efficito et ex his ad illa reducito et ut obediant efficito. Quod ſi neque oſculum aperiri poſſit, neque uteri prope accedant, rurſus ad priſtinam curationem revertendum, a prima ad ſecundam, quoad emolliantur et proxime accedant. Atque ubi

Ed. Chart. VII. [811.] Foës. I. 651. Ed. Lind. II. (559. 560.)

μα. ὅταν δὲ ταῦτα παρασκευάσῃς, ἐγχέας εἰς τὸν χύτρινον οἴνου αὐστηροῦ κοτύλας ἓξ ὡς εὐωδεστάτου λευκοῦ, ἐπιπάσαι τῶν κεκομμένων ὅσον τεταρτημόριον καὶ ἀναταράξαι. εἶτα ἐπιχέαι ὅσον τριώβολον ὁλκὴν μύρον Αἰγύπτιον ὡς βέλτιστον, ἢ ἀμαράκινον, ἢ ἴρινον ἄκρον. ὅταν δὲ ἐπιχέῃς, ἀναταράξαι πυρίην μαλθακὴν τῇ πυρίῃ πλεῖστον χρόνον. λούειν δὲ πρὸ τῆς πυρίης καὶ πυριῆν ἡμέρας δύο ἢ τρεῖς. ὅταν δὲ παύσηται πυριωμένη, ἐπίθεμά τι χρὴ ἐπικεῖσθαι ἐπὶ τῇ πυρίῃ, ὅκως μὴ ἀποπνέῃ. μετὰ δὲ τοῖσι δαιδίοισι καὶ τοῖσι μολύβδοισι χρέο. ὅταν δὲ πυριήσῃς ἡμέρας δύο ἢ τρεῖς, ἑτέρας διαλιπεῖν δύο ἢ τρεῖς. τὰς δὲ μεταξὺ ἡμέρας λούειν δὶς τῆς ἡμέρης. ἐσθίνειν δὲ πράσα ἑφθὰ καὶ ὠμὰ καὶ ῥαφα(560)νῖδας καὶ κάρδαμα καὶ σκόροδα ὀπτὰ καὶ ἑφθὰ καὶ τὸ πόμα ἀκρητέστερον, καὶ τοῖσι θαλασσίοισι τοῖσι προειρημένοισι χρέεσθαι. ὅταν δὲ ἡμέραι διαλιπόμεναι παρέλθωσι, πυριῆν χρὴ ἐπιπάσαντα ὀλίγιστα ἑκάστου τῶν κεκομμένων εἰς τὴν ὑπάρχουσαν πυρίην καὶ οἶνον ἐπιχέαι. ἢν δοκέῃ δεῖσθαι καὶ ἔλαιον καὶ τούτῳ πυριῆσθαι. ὁκόταν δέ

rici et ſeminis foeniculi. His apparatis vini auſteri albi odoratiſſimi heminas ſex in ollam effundito, contuſorum quadrantem aſpergito ac permiſceto. Deinde unguentum Aegyptium quam optimum ad trium obolorum pondus affundito, aut amaracinum, aut irinum exquiſitum. Quo affuſo, agitato et molle fomentum plurimo tempore adhibeto. Ante fomentuum autem lavet et duobus aut tribus diebus foveto. Cum foveri deſierit, operculum aliquod fomento impónere oportet, ut ne tranſpiret, poſtea vero taedaceis et plumbeis peſſulis utitor. Cum autem duobus aut tribus diebus fomentum admoveris, duobus aut tribus aliis intermittito. Intermediis vero diebus bis die lavato. Porrum coctum edat et crudum, raphanos, naſturtium, allia aſſa et cocta, potus ſit meracior et prius commemoratis piſcibus marinis utatur. Ubi intermiſſi dies praeterierint, fomentum adhibere oportet, modica de ſingulis contuſis quantitate ad prius fomentum inſperſa et vino, ſi opus eſſe videatur, ac

Ed. Chart. VII. [810. 811.] Foeſ. I. 650. 651. Ed. Lind. II. (558. 559) ξὺν τῷ σύκῳ προσθεῖναι. ποιέειν δὲ δύο καὶ ταῦτα, πρὸ δὲ τοῦ προσθεῖναι πυριῆσαι, καὶ τῇ πυρίῃ τῇ ἐκ τοῦ μαράθρου τῇ πρόσθεν εἰρημένῃ. [811] μετὰ δὲ τὴν πυρίην τῇ ὑστεραίῃ προστιθέναι τὸ φάρμακον. ὅταν δὲ μέλλῃ προστιθέναι πρὸ πάντων τῶν προσθετῶν λούσαντα, (559) οὕτω προστιθέναι. τῇ δ' ὑστεραίῃ ἡμέρῃ μαλθακτήρια ἀρήγει ἄχρις ἂν φλεγμήνωσι. μετὰ δὲ τὴν φλεγμασίην ποιέειν τὰ ἄλλα κατὰ τὸν ἔμπροσθεν λόγον. ποιέειν δὲ καὶ περὶ τοῦ προσθέτου τούτου τοιαῦτα, οἷά περ καὶ περὶ τοῦ προτέρου. κὴν μὲν μείνῃ ἅπαξ προστιθὲν, ἀρκέοντος δοκέῃ εἶναι. φυσῆσαι τὰς ὑστέρας καὶ πεπαῦσθαι. ἢν δέ τις χρήζῃ, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον ὅπερ καὶ πρότερον. μετὰ δὲ ταῦτα ὅταν καλῶς δοκέῃ σοι καὶ καιρὸς εἶναι τὴν πυρίην κατασκευάζειν τὴν ἐκ τῶν θυμιαμάτων. σκευάζεται δὲ τόνδε τὸν τρόπον· ||κύπερον κόψαντα καταστῆσαι ὅσον σκαφίδα, καὶ κάλαμον μυρεψικὸν ἕτερον τοσοῦτον, καὶ σχοίνου τῆς μυρεψικῆς ἶσον καρδάμου τε ἶσον, καὶ κυμίνου Αἰθιοπικοῦ καὶ ἀννήσου καὶ πηγάνου ξηροῦ καὶ ὑπερικοῦ καὶ μαράθου σπέρ-

ad hunc modum inflare oportet. Subditicium medicamentum ex ſicu confectum apponito. Duo autem eadem facito et antequam ſubdas, fomentum ex foeniculo prius commemoratum admoveto. Poſt fomentum poſtero die medicamentum ſupponito. Cum ſupponere voles, poſtquam ante omnia ſubditicia laverit, ſic ſupponito. Poſtero autem die emollientia conferunt, quamdiu inflammati fuerint. Poſt inflammationem autem reliqua praedicta ratione facito, eademque ex hoc ſubditicio, quae de priore facito. Quod ſemel ſubditum maneat, abunde uteros inflaſſe videatur et quieſcendum. Sed ſi quaedam opus habuerit, rurſus eodem quo prius modo ſupponendum. Poſt haec autem cum recte tibi habere et tempeſtivum eſſe videbitur, fomentum ex aromatis propinato. Apparatur autem hoc modo. Cyperum tuſum quantum conchae teſta capit, calami odorati tantundem, junci odorati parem portionem, cardamomi tantundem et cumini Aethiopici, aniſi, rutae ſiccae, hype-

Ed. Chart. VII. [811. 812.] Foës. I. 651. 652. Ed. Lind. II. (560. 561.)
τὰ καταμήνια ἀπὸ τουτέων ἀρξάμενος διαιτῆν τῇδε τῇ διαίτῃ, πρῶτον μὲν λουέσθω πολλῷ θερμῷ, πλὴν τῆς κεφαλῆς. ὅταν δὲ παύσηται, δοῦναι τυρὸν δρι(561)μὺν καὶ πήγανον οἴνῳ διέντα μέλανι, ἶσον ἴσῳ κεκρημένον. ἔπειτα αὐτὸν ἅλφιτα ἐπιπάσαντα δοῦναι πιεῖν ἐκ τοῦ λουτροῦ εὐθέως. εἶτα ἄριστον δοῦναι ἐν καιρῷ, ἐσθίειν δὲ μάζην ἢ ἄρτον καὶ πράσα ἑφθὰ ἢ ὠμά, καὶ τῶν ὁμοιοτρόπων δριμέων πάντων τῶν προγεγραμμένων καὶ ἔτνος ἄλλοτε, τὸν δὲ ἀφρὸν μὴ ἀφαιρέειν, καὶ σίλφιον πουλὺ ῥινῶντα, καὶ σκόροδα ἐγκαθεψῶντα πολλά, ὄψοισι δὲ χρῆσθαι τῶν ἰχθύων τοῖσι σελάχεσι πᾶσιν ἑφθοῖσι ὀξυγλύκεσι βολβιδίοισι, πολυποδίοισιν ἐν οἴνῳ καὶ ἐλαίῳ, φύλλον ἀποτετριμμένον πίνειν, καὶ ἐσθίειν ὡς πλεῖστα καὶ ἐπ' ἀρίστῳ καὶ ἐπὶ δείπνῳ, λούεσθαι δὲ μετὰ τὸ δεῖπνον, ὅταν μέλλῃ ἀναπαύεσθαι. ταύτῃ τῇ διαίτῃ μέχρι ἡμερῶν πέντε ἢ ἓξ χρεέσθω. μετὰ δὲ ταύτας τὰς ἡμέρας πρωΐ μὲν διδόναι νήστει ἀκτῆς καρπὸν ὅσον πυρίνας ἓξ ἐν οἴνῳ ἀκρήτῳ, καὶ σηπίης ὠὰ ὅσον δέκα ἢ δυοκαίδεκα. || ταῦτα τρίψαντα ὁμοῦ λεῖα πρωΐ διδόναι

ei menſes profluant, a quibus initio ducto, haec victus ratio praeſcribenda. Primum quidem copioſa calida lavet, capite excepto. Cum ceſſaverit, caſeum acrem et rutam vino nigro aequali aquae portione temperato diſſolvito, deinde polenta aſperſa, confeſtim a balneo potui exhibeto, poſtea prandium ſuo tempore praebeto. Mazam aut panem edat et porro cocta aut cruda et prius deſcripta omnia id genus acria, interdumque leguminis freſi decoctum ſpuma non detracta, cum multa laſeris ſcobe et aliis multis incoctis. Pro opſonio utendum piſcibus cartilaginei generis omnibus coctis, cum aceto mulſo apparatis, bolbidiis et parvis polypis, ex vino et oleo coctis. Laſeris ſemen contritum bibendum et quamplurimum in prandio et coena edendum. Poſt coenam cum quieſcere volet lavandum. Hac victus ratione utatur ad dies quinque vel ſex, poſt quos mane quidem jejunae, ſambuci fructum ad baccas ſex ex vino meraco exhibeto et ſepiae ova decem aut duodecim. Haec ſimul laeviter trita mane jejunae potui praebeto. Poſt

Ed. Chart. VII. [811.] Foes. I. 651. Ed. Lind. II. (560.)

σοι δοκέῃ καλῶς ἔχειν τῶν πυριῶν καὶ τὸ στόμα μαλθακὸν εἶναι καὶ ἀνεστομωμένον ὡς χρὴ, καὶ αὗται αἱ ὑστέραι ἐγγὺς, μετὰ τὴν πυρίην τὴν ὑστέρην ἡμέρην, προστιθέναι τὸ φάρμακον τὸ ξὺν τῇ σμύρνῃ. προσθετὰ δὲ εἶναι δύο, μετὰ δὲ τὴν κάθαρσιν τῇ ὑστεραίῃ ἡμέρῃ τὰ μαλθακτήρια προστιθέναι, καὶ μέχρις ὅτου ἀποφλεγμήνωσιν αἱ ὑστέραι, μετὰ δὲ τοῦτο τοῖσι δαιδίοισι καὶ μολυβδίοισι χρῆσθαι, μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας ὡς ἂν δοκέῃς εἶναι τὰς φλεγμασίας ἀποσκεπτόμενον τῶν ὑστερέων, καὶ τὴν δύναμιν τεκμαιρόμενον τοῦ σώματος, αὖθις ἀναπυρῆν ὡς γέγραπται. ἢν μὲν δοκέῃ ἔτι ὑπάρχουσα πυρίη ἱκανὴ εἶναι, ἐς ταύτην ἐμβαλὼν τῶν θυμιαμάτων ὥσπερ τὸ πρότερον, καὶ οἶνον ἐπιχέων καὶ ἔλαιον. ἢν δοκέῃ δὲ αὐτὴ ἄχρηστος εἶναι ἡ πυρίη, ἑτέρην ἐξ ἀρχῆς κατασκευάζειν. δεῖ δὲ νεοχμὸν ποιέειν τὸ φάρμακον ἐφ' ἑκάστῃ προσθέσει, μέχρις ὅτου ὕφαιμα καθαίρηται. ἢν δὲ τοιαῦτα καθαρθῇ, πεπαύσθω, διαιτᾶν δὲ τῷδε τῷ τρόπῳ, ἀνερωτᾶν δὲ ἐν ὁκοίῃσιν ἡμέρῃσιν αὐτῇ ἐγένετο

oleo affuſo, hoc fotu uti. At poſtquam a fomentis bene habere videatur et oſculum molle, ac ut convenit apertum eſſe, uterique probe accedere, poſt fomentum poſtero die medicamentum ex myrrha confectum ſupponendum. Duo autem ſubdititia eſſe oportet, poſt purgationem vero poſtero die emollientia ſubter apponere, quoad uteri inflammatione liberati fuerint, poſt hoc autem taedaceis et plumbeis peſſulis utendum. Poſtea autem dierum intermiſſione ut videbitur facta, inflammationis uterorum ratione et virium corporis conjectura adhibita, rurſus velut ſcriptum eſt fomentum adhibendum, ſi quidem prius fomentum adhuc ſatis eſſe videatur, in id immiſſa, ut prius ad ſuffitum accommodata materia vinoque et oleo affuſo. Sin vero illud inutile eſſe videatur, aliud denuo apparandum. Oportet autem in unaquaque ſubdititii medicamenti appoſitione recentiſſimum medicamentum adhibere, quoad ſubcruenta purgentur, quae cum purgata fuerint quieſcendum. Victus ratio hoc modo inſtituenda. Interroganda eſt quibus diebus

Ed. Chart. VII. [812.] Foël. I. 652. Ed. Lind. II. (562.)

ὅταν δὲ ἡμέραι λοιπαὶ δύο ἔωσι, τουτέων μὲν ἀπαλλαγῆναι πάντων τῶν πομάτων καὶ τῶν καταποτίων, τὸ δὲ ξὺν τῷ δαιδίῳ φάρμακον διδόναι λουσαμένῃ νήστει. μετὰ δὲ τὴν πόσιν τοῦ φαρμάκου διδόναι λινοζώστιν καὶ κράμβην ὁμοῦ ἑψῶντα ἐν ὕδατι, ἡδύναντα ἐν ὀξυγλύκει καὶ ἁλσὶ καὶ σιλφίῳ καὶ ἐλαίῳ ἐπὶ τῷ ἀρίστῳ. ταῦτα δίδου τρώγειν, καὶ τῶν χυλῶν ῥοφέειν, καὶ τὸ πόμα ἀκρητέστερον πίνειν. ὄψοισι δὲ χρῆσθαι πολυποδίῳ ἑφθῷ, ἢ σηπιδίοισι. ταῦτα μὲν ἐπὶ τῷ ἀρίστῳ, ἐπὶ δὲ τῷ δείπνῳ κρέας αἰγὸς, ἢ ὄϊος, ἢ ἀρνοῦ δίεφθα, καὶ πράσα, καὶ τῶν ἄλλων δριμέων ὅ τι ἂν βούληται. λουσάσθω δὲ ἀπὸ τοῦ δείπνου. αὕτη ἡ δίαιτα τὰς δύο ἡμέρας τὰς ὑστέρας, ἢν δὲ πρὸς τὴν δίαιταν ταύτην μὴ κατασπασθῇ τὰ ἐπιμήνια, τὸν ἐπιόντα μῆνα τὴν αὐτὴν δίαιταν ἐξ ἀρχῆς διαιτᾶν, ἄχρι τῶν ὑστάτων δύο ἡμερέων. ταύτας δὲ τὰς δύο τῇ πρότερον ἡμέρῃ τῆς ὑστάτης προσθετὰ ποιήσας, προσθεῖναι κατὰ τὸν ἔμπροσθεν λόγον, φαρμάκου τοῦ ἐν τῷ ὕδατι ποιευμένου προστιθέσθω δὲ προλούσας. σκέψασθαι δὲ χρὴ καὶ τῶν ὑστερέων ὅκως

duo reliqui dies fuerint, ab his quidem omnibus portionibus et deglutiendis medicamentis liberanda, medicamentum vero ex taeda praeparatum lotae jejunae exhibendum. Poſt autem medicamenti potionem, mercurialem et braſſicam ſimul ex aqua cocta exhibeto, aceto mulſo, ſale, laſere et oleo condita. Haec in prandio edenda praebeto et ſucco ſorbitione ſumendos et potum meraciorem bibendum. Pro opſoniis polypodio cocto aut ſepiolis utendum et haec quidem prandeat. In coena vero carnem caprillam, aut ovillam, aut agninam coctam et porra, aliaque acria quaecunque volet aſſumat. A coena autem lavet, iſtaque victus ratione poſtremis duobus diebus utatur. Quod ſi iſta victus ratione menſes detracti non fuerint, menſe ſequenti eadem victus ratio ab initio ad duos usque poſtremos dies inſtituenda. Quorum duorum poſteriorem dierum priore, ſubditicia juxta ſuperiorem rationem parata ſupponenda, medicamento ex aqua confecto, prius tamen lota ſupponat. Attendendum autem ad uteros quomodo ſe habeant et ut

Ed. Chart. VII. [812.] Foël. I. 65a. Ed. Lind. II. (561. 562.)

νήστει πίνειν. μετὰ δὲ τοῦτο τὸ φάρμακον διδόναι τὴν πόσιν, ἐπισχοῦσαν δὲ λούεσθαι. πιεῖν δὲ τὸ πήγανον, καὶ τὸν τυρὸν οὕτως ἀριστᾷν τὸν προγεγραμμένον τρόπον. δειπνεῖν δὲ ὀψιαίτερον, λούεσθαι δὲ αἰεὶ τῆς ἡμέρης δὶς αὐτήν. ἡ δὲ δίαιτα ἴτω μέχρις ἡμερῶν τρισκαίδεκα ἢ τεσσαρεσκαίδεκα. ὅταν δὲ αὗται αἱ ἡμέραι παρέλθωσι, κατάποτα ποιέειν ἐκ τοῦ ὀποῦ τοῦ σιλφίου, ὅσον κύαμον, καὶ διδόναι τοῦτο πρῶτον. μετὰ δὲ τοῦτο ἄλλα τὰ προγεγραμμένα ποιέειν. ὅταν δὲ ἡμέραι γένωνται πέντε καὶ εἴκοσιν ἐν ταύτῃ τῇ διαίτῃ, τὰ μὲν ἄλλα ποιέειν κατὰ ταῦτα, πρὸ δὲ τοῦ ἀρίστου, ὅταν μέλλῃ ἀριστᾷν προ(562)τρῖψαι σκορόδου ἄγλιδας οἷον τέσσαρας, καὶ τυρὸν δριμὺν ὅσον ἀστράγαλον, καὶ ἄλφιτα παραμῖξαι ὀλίγα καὶ ποιέειν μαγίδα, καὶ ταύτην πρῶτον καταφαγεῖν, πρὸ δὲ τοῦ δείπνου ἄκρητον ἐπιῤῥοφέειν καὶ οὕτω σιτεῖσθαι. τὰ δ' ἄλλα τὴν αὐτὴν διαίτην διαιτᾶν. ὅταν δὲ ἐννέα ἡμέραι γένωνται καὶ διαλίποι ἐς τὸν χρόνον, διδόναι τοῦτο πρῶτον, καὶ μετὰ τῶν ὠῶν καὶ τῆς ἀκτῆς κύμινον Αἰθιοπικὸν, καὶ τοῦ κάστορος ὅσον ὀβολόν.

hoc medicamentum, potionem exhibeto et intermiſſione aliqua facta lavet. Rutam bibat et caſeum, ſic eo quo praeſcriptum eſt modo prandeat, tardius vero coenet, ſemperque bis die ipſo lavetur. Haec autem victus ratio ad dies tredecim vel quatuordecim obſervetur. Quibus elapſis, medicamenta devoranda ex laſeris ſucco ſabae magnitudine conficito, eaque primum exhibeto, poſteaque reliqua quae praeſcripta ſunt facito. Poſt hanc autem dierum quinque et viginti victus rationem, caetera quidem eodem modo facito. At ante prandium cum prandere volet, quatuor fere allii nucleos et caſeum acrem aſtragali magnitudine ante terito et modica polenta ammixta maſſam conficito, eamque primum comedendam exhibeto, ante coenam vero meracum ſorbeat, ſicque cibum capiat. In reliquis eandem victus rationem ſervet. Novem autem diebus ante menſium tempus, hoc primum exhibeto et cum ovis et ſambuco, cuminum Aethiopicum et caſtorii obolum addito. Cum vero

Ed. Chart. VII. [813.] Foës. I. 652. 653. Ed. Lind. II. (563. 564.)
μὴ παραπνέῃ, ἐπειδὰν δὲ ἀποψύχηται τὸ οὖρον, ἐμβάλλειν μύδρους διαπύρους ἐς τὸ οὖρον, καὶ πυριῆν μέχρις οὗ φῇ ἀμαυρὰ βλέπειν καὶ λιποθυμέειν. || λοῦσαι δὲ θερμῷ ὕδατι. κἄπειτα ἁψαμένη τῷ δακτύλῳ, ἕλκειν τὸ στόμα τῶν ὑστερέων πρὸς τὸ ὑγιὲς ἰσχίον, καὶ τὰς νύκτας προστίθεσθαι μαλθακτήρια. ἐπὴν δὲ φῇ κατ' ἰθὺ εἶναι, προπυριήσας τοῖσιν εὐώδεσιν, αὖθις προστιθέναι τινὰ μαλθακτήρια. ἀλλὰ καὶ τοὺς μολύβδους ἡμέρας τρεῖς, ἕνα καθ' ἑκάστην ἡμέραν. μετὰ δὲ ταύ(564)τας τὴν ἐχέτρωσιν, ἢ τὴν σκίλλην τρεῖς ἡμέρας. μετὰ δὲ τοῦτο σκεψάμενος ἐν τοῖσιν ἐπιμηνίοισι μάνθανε, ἤν τε χολώδεα ᾖ, ἤν τε φλεγματώδεα, ἤν τε αἷμα διεφθορὸς ᾖ, καὶ ἢν δέῃ αὐτὴν αἷμα καθῆραι προστιθέναι, ὅτου ἄν σοι δοκέῃ μάλιστα δεῖσθαι, καὶ μετακλύζειν τοιουτέοισι. προστιθέναι δὲ τὰ προσθετὰ, ἔστ' ἂν αἷμα καθαρὸν ἀνάγηται, καὶ ταῦτα ἐνεργεῖν τρεῖς ἡμέρας. ἐλάφου δὲ στέαρ προστιθέσθω τηκτὸν ἐμβάπτων μαλθακὸν εἰρίον, ἔπειτα γλήχωνα τὴν ἡμέρην θυμιωμένη τοῖσιν ἀρώμασιν. καὶ οὕτω παρὰ τὸν ἄνδρα ἴτω. ἢν δὲ ἐκ τόκου ἡ νοῦσος

ut ne quid exhalet, collocanda. Ubi autem urina refrixerit, maſſae ignitae in urinam injiciendae et fomentum adhibendum, quoad ſe obtuſe cernere et animo deficere dicat. Calida autem lavandum, poſteaque digito immiſſo contactum oſculum in ſanam coxam attrahendum et noctu emollientia ſubter apponenda. Ubi autem directum eſſe dixerit, ſuffitu ex odoratis prius adhibito, rurſus emollientia quaedam ſupponito, quin etiam per tres dies peſſulos plumbeos, quotidie unum, poſt quos bryoniam albam, aut ſcillam per tres dies. Deinde vero adhibitis in conſiderationem menſibus, perpende num bilioſi ſint, num vero pituitoſi, num etiam ſanguis corruptus ſit. Quod ſi ſanguis ei purgandus ſit, quodcunque maxime tibi opus eſſe videbitur ſupponendum, poſteaque cum his colluendum. Subdititia autem apponenda quoad purus ſanguis educatur, eaque triduo peragenda. Cervinum autem adipem liquatum, molli lana eo imbuta in ſubdititio apponat, deinde pulegium per diem poſt adhibitum ex odoratis ſuffitum, ſic virum adeat. Quod ſi ex

Ed. Chart. VII. [812. 813.] Foës. I. 652. Ed. Lind. II. (562. 563.)
ἔχουσι, καὶ αἰεὶ περὶ πάντα τὸν χρόνον ὅκως (563) καλῶς ἕξουσι καὶ τὸ στόμα ὀρθόν τε καὶ ἑστο[813]μωμένον εἴη, καὶ ἢν δοκέωσι πρὸ τῆς προσθέσιος προπυριηθῆναι· ἢν δὲ καὶ καταῤῥαγῇ τὰ ἐπιμήνια. ἢν μὲν συχνὰ, ἐλάττοσι λουτροῖσι κεχρῆσθαι καὶ τῇ ἄλλῃ διαίτῃ τε καὶ θεραπείῃ, ἢν δὲ ἐλάσσω, πλείοσιν, ἢν δὲ προσημήναντα ἴῃ, αὖθις διαίτῃ τῇ αὐτέῃ χρῆσθαι, καὶ θεραπεύειν ἄχρις ὅτου ἂν φανῇ τὰ ἐπιμήνια. ὅταν δὲ ἅπαξ ἔλθῃ, τῇσι τοιαύτῃσιν ἄριστον ἐν γαστρὶ λαμβάνειν. αὕτη πασέων τῶν ὁμοιοτρόπων νούσων ἡ θεραπείη, ἢν αἱ μῆτραι ψαύσωσι τοῦ ἰσχίου καὶ προσκέονται, στερῥὸν γίνεται ἐπὶ τὸν κενεῶνα, καὶ ὀδύναι νειαίρης γαστρὸς, καὶ ἐς αὐτὸν τὸν κενεῶνα καὶ ἐς τὰς ἰξύας καὶ ἐς τὰ σκέλεα ἡ ὀδύνη ἐμπίπτει καὶ τιταίνεται, καὶ ἐκπυΐσκονται καὶ ἔμμοτοι γίνονται καὶ ὄλλυνται, ἢν μή τι τάμῃς ἢ καύσῃς. ὅταν οὕτως ἔχῃ, φάρμακον πίσαι κάτω, καὶ λούειν πολλῷ θερμῷ, καὶ πυριῇν τὰς ὑστέρας, ἐγχέαι τε καὶ οὖρον παλαιὸν καὶ ἀναζέειν, καὶ ἐς τὰ κοῖλα τῆς πυέλου ἀντικαθίζεσθαι περικαλύψας εἵματι τὴν γυναῖκα, ὡς

ſemper omni tempore bene habeant et oſculum rectum apertumque ſit et, ſi ita viſum fuerit, ante ſubdititiorum appoſitionem fomentum admovendum. Quod ſi menſes affatim effluxerint, ſi quidem copioſi fuerint, balneis paucioribus, reliquaque victus ratione ac curatione utendum. Si vero pauciores, pluribus. Quod ſi parvam de ſe ſignificationem praebeant, eadem rurſus victus ratione et curatione utendum, quoad menſes appareant. Cum vero ſemel proceſſerint, his utero concipere optimum. Atque haec eſt omnium hujusmodi morborum curatio. Si uteri coxam contingant in eamque procumbant, dura ad lateris inanitatem evadit, imi ventris dolor eſt et ad ipſam lateris inanitatem, lumbos et crura ingruit ac extenditur, pus colligunt et ea quae per concerpta ſit linamenta curatione indigent pereuntque niſi quid ſeces aut uras. Ubi ſic habuerit, medicamentum deorſum purgans propinandum et copioſa calida lavandum et uteris fomentum adhibendum, urinaque vetus infundenda et ferveſacienda et ſupra pelvis cavitatem mulier veſtibus,

Ed. Chart. VII. [814] Foës. I. 653. Ed. Lind. II. (565.)

διδόναι σκόροδα τρώγειν ὡς πλεῖστα, καὶ γάλα πίνειν ἱκνεομένως. ἔπειτα οἶνον ἄκρητον, καὶ πυριῆσαι ὅλην, καὶ φάρμακον δοῦναι ἄνω. ἢν δὲ ἀσθενεστέρη ᾖ, κάτω. ἢν δὲ ἰηθῇ, πυριῆν τὰς ὑστέρας μαράθρῳ, ξυμμίσγεται δὲ καὶ ἀψίνθιον. ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ ἠρέμα τῶν ὑστερέων πρὸς τὸ ὑγιὲς ἰσχίον. παρηγορικῶς μαλθάσσοντα τὸ σῶμά τε καὶ ἀμφιπονεόμενα, καὶ προσθεῖναί τι μαλθακτήριον. μετὰ δὲ μολύβδους, καὶ αὐτίκα σκίλλαν, εἴτε ναρκίσσινον μίαν ἡμέρην διαλιπών. ἐπὴν δέ σοι δοκέῃ καθαρή τις εἶναι, τὸ νέτωπον προσθέσθω ἐν εἰρίῳ. τῇ δὲ ὑστεραίῃ ἔλαιον ῥόδινον, τῶν ἐπιμηνίων δὲ ἰόντων, ἄμεινον μὴ προστίθεσθαι. ἢν δὲ μὴ ἴωσι, κανθαρίδας τέσσαρας, ἀπτέρους καὶ ἄποδας, ἄτερ κεφαλῆς καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας καὶ σηπίης ᾠὰ, καὶ σελίνου σπέρμα ὀλίγον ἐν οἴνῳ, καὶ ἢν ὀδύνη ἐνῇ καὶ στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ ἐγκαθήσθω, καὶ πινέτω μελίκρητον ὑδαρές. ἢν δὲ μὴ καθαίρηται, αὖθις τὸ φάρμακον πινέτω. ἢν δὲ εἴη ἀσιτήσασα, πινέτω καὶ ξυνίτω τῷ ἀνδρί. ἢν δὲ

calida lavanda, eique allia plurima comedenda danda et lac abunde bibendum, deinde vinum merum, tota fovenda et medicamentum furfum purgans exhibendum, fi vero debilis fit, infra. Quod fi curata fuerit, uteris fomentum ex foeniculo, cui abfinthium ammixtum fit, admoveto Poft recens adhibitum fomentum os uterorum placide digito in fanam coxam retrahito, tum corpus, tum in ambitu affectas partes emollientibus leniendo et fubditicium aliquod emolliens apponito, poftea vero plumbeos peffos confeftimque fcillam, deinde intermiffo uno die narciffinum. Ubi tibi pura videbitur, netopum in lana fupponat, poftero vero die oleum rofaceum. At euntibus menfibus non fubdere praeftiterit. Si non eant, cantharidas quatuor fine alis, pedibus et capite, paeoniae grana nigra quinque, fepiae ova et feminis apii parum ex vino propinato. Et fi dolor adfuerit ftranguriaque detinuerit, in aqua calida defideat, aquamque mulfam aquofam bibat. Quod fi non purgetur, rurfus medicamentum bibat. Si vero prodeat, jejuna virum adeat. Sed fi

Ed. Chart. VII. [813. 814] Foës. I. 653. Ed. Lind. II. (564. 565.)
γένηται, κεκαθαρμένης πάντα ἐκ τῆς πυρίης τοῦ οὔρου, αὐτίκα ἰέναι ἐς τὰ εὐώδεα, κἄπειτα λουσαμένην ἄλειφα λευκὸν Αἰγύπτιον προστιθέσθω πρὸς τὸ ὑγιὲς ἰσχίον, καὶ κατακείσθω ἐπὶ τοῦτο. ἢν δὲ μηδὲ πρὸς ταῦτα μεταστέωσιν αἱ ὑστέραι, πινέτω νῆστις τῆς γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε, ἐν οἴνῳ εὐώδει, καὶ ἐπὶ τῷ σίτῳ τρωγέτω σκόροδα ὠμὰ καὶ ὀπτὰ καὶ ἑφθά. ὄψοισι δὲ χρήσθω ὡς ἐλαχίστοισιν. ἢν μὴ γένηται ὑγιὴς, ὡσαύτως καθαίρειν αὐτὴν ἰὼς ἐπὶ τῆς πρόσθεν, ἐπὶ δὲ τάύτης τῆς νούσου, ἢν μὴ αὐτίκα σχοῖεν ἐν γαστρὶ, ἄτοκοι γίνονται. ἢν δὲ ὧδε ἔχωσι, τὰ ἐπιμήνια μὴ γίνηται, μηδὲ πῦρ ἐπιλάβῃ, φαρμάκοισι πρῶτον καθαίρειν ἄνω μάλιστα, ἢν δὲ ἀσθενὴς ᾖ, κάτω, [814] καὶ μετὰ τὴν φαρμακοποσίην, ἢν σοι δοκέῃ φλεγματώδης εἶναι, ἐμεέτω νῆστίς τε καὶ ξὺν τῷ σιτίῳ, καὶ ὡς τὰ πολλὰ ὑγιὴς ἔσται. ἢν δὲ αἱ μῆτραι πρὸς τὸ ἰσχίον εὐανθῶσι, τὰ ἐπιμήνια (565) παχέα ἐόντα οὐ γίνεται. ὀδύνη δὲ ἐς τὴν νειαίρην γαστέρα ἀφικνέεται. ἀφικνεῖται δὲ καὶ ἐς τὸν κενεῶνα καὶ δάκνεται. ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ, καὶ

partu morbus contingat, poſtquam ex urinae fomento prorſus purgata fuerit, confeſtim ad odorata veniendum, deinde cum lota fuerit, oleum album Aegyptium, ad ſanam coxendicem apponat et in eam decumbat. At ſi ne his quidem uteri transmutentur, jejuna paeoniae grana nigra quinque ex vino odorato bibat et in cibo allia cruda et aſſata et cocta comedat, opſoniis vero quam pauciſſimis utatur. Quod niſi convaleſcat, ea ſicuti de priore dictum eſt purganda. Ex hoc morbo niſi ſtatim concipiant, infoecundae redduntur. Sed ſi ad hunc modum habeant, menſes non contingant, neque febris ſuccedat, medicamentis primum per ſuperiora maxime purganda, ſi vero debilis ſit, per inferiora. Et ſi poſt medicamenti potionem tibi pituitoſa eſſe videatur, jejuna et cum cibo vomat et ut plurimum convaleſcet. Si uteri ad coxendicem decurrant, menſes cum craſſi ſint, non eunt, dolor ad imum ventrem permeat et ad lateris inanitatem, morſumque percipit. Cum ſic habuerit, copioſa et

Ed. Chart. VII. [815.] Foës. I. 654. Ed. Lind. II. (566. 567.)

νην παρέχουσι, καὶ τὸ οὖρον οὗ δέχονται. οὐδὲ τὸν γόνον ἐπὶ σφέας ἕλκουσι, καὶ ἄμφω ἀλγέει. κἢν μὴ ταχεῖαι λύσιες γίνονται, διαπυΐσκονται αἱ ὑστέραι ὕστερον κατὰ τὰ αὐτὰ χωρία, ἢν πρὸς αὐτὰ θέωσι. γίνεται δὲ κατὰ κενεῶνάς τε καὶ βουβῶνας καὶ ὑπὲρ τοῦ κτενός. χρὴ δὲ ἐν ἀρχῇσιν ὅταν ἡ ὀδύνη ἔχῃ, ὧδε θεραπεύειν, καὶ χλιάσματα προστιθέναι, καὶ ἐν ὕδατι θερμῷ εἶναι. ἀγαθὸν γὰρ καὶ ἐν τούτῳ. ἢ σπόγγοισιν ἐν ὕδατι θερμῷ ἐκπιεζομένοισι πυριῇν, καὶ πίνειν τῶν ὑστερικῶν φαρμάκων. ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, φαρμακεύειν κάτω καὶ ἄνω, ἢν δέῃ. ὁκοτέρου ἂν γένηται δεῖσθαι, τοῦτο δὲ διαγνώσῃ τῷδε τῷ τρόπῳ. ἢν μὲν ἐς τοὺς (567) βουβῶνας καὶ κτένα καὶ κύστιν ἐγχρίμψῃ, αὗται χρήσουσιν ἄνω φαρμακείης. ἢν δὲ ἐς τοὺς κενεῶνάς τε καὶ τὰ ὑποχόνδρια, αὗται δέονται κατωτερικοῦ φαρμάκου. τὰ δὲ νουσήματα πάντα τὰ τοιουτότροπα γεραιτέρῃσι μάλιστα γίνεται, ἢ νεωτέρῃσι πρὸς τὰς ἀπολείψιας τῶν ἐπιμηνίων. γίνεται δὲ καὶ νέῃσιν ἐούσῃσιν, ὁκόταν χηρεύσωσι πουλὺν

urinam recipiunt, neque ad ſe genituram trahunt, utraque dolent, ac niſi celeres ſolutiones contingant, tandem uteri in locis ad quae decubuerint ſuppurant. Quod contingit in laterum inanitatibus et in inguinibus et ſupra pectinem. Sic autem per initia cum dolor detinuerit, curare oportet et tepefacientia admovere et in calida morari. In ea enim deſidere bonum eſt, aut per ſpongias ex aqua calida expreſſas fomentum adhibere, aut mediçamentum aliquod ex his quae utero conveniunt in potu ſumere. Quod ſi his non ſolvatur, medicamentum deorſum aut ſurſum purgans, ſi opus fuerit, utro tandem indigere contigerit exhibendum. Iſtud autem ad hunc modum dignoſces. Si quidem ad inguina, pectinem et veſicam uterus impegerit, eae medicamento per ſuperiora purgante indigent. Si vero ad lateris inanitates et praecordia, medicamento per inferiora purgante. Hujusmodi autem morbi ſenioribus potius quam junioribus in menſium defectibus contingunt. Accidunt etiam juvenculis, ubi diutius viduae permanſerint. Quod

Ed. Chart. VII. [814.815.] Foël. I. 653. 654. Ed. Lind. II. (565. 566.)
μὴ γίνηται, διδόναι ὅ τι κατασπάσει, ὁρέων πρὸς τὴν δύναμιν τῆς γυναικὸς, καὶ τότε ἀσφαλὲς φοιτᾷν πρὸς τὸν ἄνδρα. ἢν γὰρ ἴσχῃ ἐν γαστρὶ, ὑγιὴς γίνεται. ἐν δὲ τῇ καθάρσει, ἢν ἴῃ πολλὴ, λινοζῶστιν ἐσθιέτω, καὶ πόδας ὄϊος ἐφθοὺς (566) ἁπαλοὺς, καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω. ἢν ἐς τὸ ἰσχίον αἱ ὑστέραι, ἢ εἰς τὸν κενεῶνα καταστηρίξωσιν λεχοῖ, προστιθέναι ἐς θάτερον ἰσχίον Αἰγύπτιον ἔλαιον || λευκὸν ἢ ῥόδινον, ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον ἄμεινον κατακεῖσθαι. πίνειν δὲ γλυκυσίδης κόκκους τέσσαρας τοὺς μέλανας καὶ ἀκτῆς καρπὸν ἐν τοῖσι δαισὶν ὅσον χηραμύδα καὶ κάστορος ὡς κύαμον, καὶ σιτίοισι χρῷτο μαλθακοῖσι. λινοζῶστις δ' ἂν ἁρμόζοι πρὸ τοῦ σιτίου ἐφθὴ ὡς κράμβη. ῥοφεέτω δὲ καὶ τοῦ ὕδατος, καὶ τὰ ὁρίμεα τρωγέτω, πλὴν ῥαφανῖδος, καὶ κρομμύου, καὶ καρδάμου. ἄριστον δὲ θριδακίνη. [815] ὁκόσα δὲ ἀπὸ τῶν ὑστερέων ξυμβαίνει γίνεσθαι νοσήματα, λέγω δὲ ὁκόταν αἱ ὑστέραι ἐκ χώρης κινηθῶσι, προσπίπτουσιν ἄλλοτε ἄλλῃ, ὅκου δ' ἂν προσπέσωσιν, ὀδυνήματα καταστηρίζουσιν ὀδυνηρά. καὶ ἢν ἅψηταί τις τῆς κύστιος, ὀδύ-

non prodeat, mulieris vires ſpectando, dato quod detrahat, tuncque ad virum accedere tutum eſt. Si enim concipiat, convaleſcit. Si vero multa purgatio prodeat, mercurialem edat et polypos teneros coctos, cibisque mollibus utatur. Si uteri puerperae ad coxendicem aut ad lateris inanitatem adhaeſerint, ad alteram coxendicem oleum Aegyptium album aut roſaceum apponendum, in ſanam autem coxendicem decumbere praeſtat. Bibat etiam paeoniae grana nigra quatuor et ſambuci fructum in taedis, conchae teſtae majoris quantitatem et caſtorium ſabae magnitudine, cibisque mollibus utatur. Ante cibum conveniet mercurialis cocta velut braſſica, jus autem ſorbeat et acria comedat, exceptis raphano, cepa et naſturtio. Optima etiam eſt lactuca. At quicunque ab uteris morbi contingunt, hoc eſt cum uteri loco moti fuerint, ii alias alio irruunt. Quocunque autem irruerint, eo vehementes dolores feruntur. Quod ſi quis veſicam contingat, dolorem excitant, neque

Ed. Chart. VII. [815. 816.] Foës. I. 654.655. Ed. Lind. II. (567.568.) νοσεῖν, καὶ ἐπειδὰν (568) ἐκλάμψῃ, μάλιστα [816] ταύτῃ τὰ ἐξαπίνας δῆλα τῶν νουσημάτων. ὁκόταν οὖν ταῦτα λυθῇ, ἀνωτέρω χρὴ λαμβάνεσθαι ἐκ τοῦ παντὸς ἀνθρώπου, ὁκόσαι ἀποψύξιες σκελέων ἢ ναρκώσιες ψύξει γίνονται, καὶ ἐν τοῖσιν ὑστερικοῖσι. ταῦτα πάντα μετάρσιοι τὰς ὑστέρας ἐν τοῖσι τοιουτέοισι κατασχεῖν χρή. θερμὸν ὕδωρ κατὰ τὰς ὑστέρας τῶν πέριξ χωρίων, καὶ ἐκθερμαίνειν αὐτὰς καὶ τὰ σκέλεα, ὅταν προσπεπτωκυῖαι ἔωσιν. ἢν περιστραφῶσιν αἱ μῆτραι ἐκ τόκου κατὰ δεξιά, τά τε λογεῖα οὐ γίνονται καὶ ὀδύνη ἔχει τὴν νειαίρην || γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, καὶ τὸ δεξιὸν σκέλος βαρύνεται καὶ νάρκη ἔχει, καὶ οὐ τετραμμένη, καὶ οὐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ' ὄψει λείας τε καὶ ὁμαλὰς ἰσχυρῶς. ὅταν δὲ ὧδε ἔχῃ, φάρμακον πῖσαι ὑφ' οὗ καθαίρεται καὶ ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον, καὶ πυριῆν ὅλον τὸ σῶμα καὶ τὰς ὑστέρας μάλιστα προσηνῶς, καὶ λούειν τῷ θερμῷ δὶς τῆς ἡμέρης, καὶ τῶν ποτημάτων ὅ τι μάλιστα ἂν προσδέξηται πειρώμενος, καὶ τῷ ἀνδρὶ ξυνευδέτω θαμινὰ, καὶ τὴν κράμβην

omnia magis aut minus affligere neceſſe eſt. Et poſtquam eminuerit, hac maxime parte derepente morbi ſe produnt. Cum igitur haec ſoluta fuerint, altius ex toto homine conjectura capienda rſt. Quae crurum perfrictiones aut torpores ex refrigeratione in uterorum morbis contingunt, eae omnes uteros in altum ſublevant. In his ubi prolapſi fuerint, calidam ad uteros et ambientia loca affundere, eosque ac crura excaleſacere oportet. Si ex partu uteri in dextram obverſi fuerint, puerperii purgamenta non eunt, dolor imum ventrem, lumbos et laterum inanitates detinet, crus dextrum gravitas et torpor occupat, neque etiam inclinata mulier uterorum os contingere poterit, ſed laeves et vehementer planos deprehendet. Cum ita habuerit, medicamentum ex quo ſurſum et deorſum, magis tamen deorſum purgetur, propinato, totique corpori ac praeſertim uteris lene fomentum adhibeto, bis die calida lavato, potiones periculo facto quas lubens admittat exhibeto, frequenter cum viro dormiat et braſſicam edat. Si uteri in ſiniſtram

Ed. Chart. VII. [815.] Foëſ. I. 654. Ed. Lind. II. (567.)

χρόνον. ἢν δὲ ἐς τὴν ἕδρην τράπωνται, τὰ ὑποχωρήματα κωλύονται, καὶ ὀδύναι ἴσχονται τήν τε ὀσφῦν καὶ τὴν νειάιρην γαστέρα καὶ τὸν ἀρχόν. ὅταν ὧδε ἔχῃ, λούειν χρή μιν τῷ θερμῷ, καὶ πυριῆν τὴν ὀσφῦν, καὶ ὑποθυμιῆν τὸ κατόπιν κακώδεσι, καὶ προστιθέναι ἄσσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας, καὶ πιπίσκειν ὅ τι ἂν προσδέχηται τῶν ξυμφερόντων μάλιστα. ἢν δὲ καταεγκέωνται ἐς τοὺς βουβῶνάς τε καὶ οὐρητῆρας, ὀδύναι γίνονται ἰσχυραὶ, καὶ νάρκη ἐν τοῖσι σκέλεσι καὶ ὁ οὐρητὴρ ἀποφράσσεται, καὶ τὸ οὖρον οὐ μεθίησι. θεραπεύειν δὲ χρὴ ὧδε. πρὸς μὲν τὰς ῥῖνας προστιθέναι τὰ εὐώδεα καὶ μύρα, πρὸς δὲ τὰς ὑστέρας τὰ δύσοδμα θυμιᾶν. ἅπασα δὲ πρόφασις ἱκανὴ τὰς ὑστέρας παροτρῦναι, ἢν ἔχωσί τι φλαῦρον, καὶ γὰρ ἀπὸ ῥίγεος τῶν ποδῶν καὶ ὀσφύος, καὶ ἀπὸ τοῦ ὀρχεῖσθαι καὶ πτῆσαι καὶ κεάσσαι καὶ δραμεῖν πρὸς ἄναντες χωρίον καὶ πρὸς κάταντες, καὶ ἀπ' ἄλλων ἱκανῶν. ταῦτ' οὐ χρὴ σκέπτεσθαι ἐς ὅλον τὸ σῶμα καθορέοντα, ὅταν παρεόντα λυθῇ νουσήματα. τὰ γὰρ τοιάδε πάντα ἀνάγκη ἐστὶ τῷ πλέονι, ἢ τῷ ἐλάσσονι

ſi ad ſedem uteri vertant, alvi dejectiones prohibentur et dolores lumbos et imum ventrem ac rectum inteſtinum detinent. Cum ſic habuerit, ipſa lavari calida debet et lumbis fomentum admoveri, poſteaque ſubter ſuffitus ex graveolentibus adhiberi. In ſubdititio quae uteros purgant et pellunt apponenda et ex iis quae conducunt, quae potiſſimum admiſerit propinanda. At ſi ad inguina et urinae vias decumbant, dolores vehementes contingunt, crura torpeſcunt et urinae via obſtruitur, neque urinam emittit. Ad hunc autem modum curanda eſt. Naribus quidem bene olentia et unguenta adhibenda, graveolentia autem ad uteros in ſuffitu admovenda. Quaelibet autem occaſio ad commovendos uteros ſatis eſt, ſi quid vitii habeant. Id enim vel ex pedum et lumborum frigore contingit et ex ſaltatione, animi conſternatione, lignorum ſectione, curſu ad acclivem vel declivem locum et ex aliis plurimis. Haec igitur ſpectanda ſunt, ad totum corpus proſpiciendo, ubi praeſentes morbi ſolutionem acceperint. Ejusmodi enim

Ed. Chart. VII. [816.817.] Foël. I. 655. Ed. Lind. II. (569. 570.) παρευθυνέτω τὸ στόμα τῶν μητρέων, καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, καὶ τῶν ποτημάτων δίδου ὅ τι ἂν μάλιστα προσδέχηται πειρεόμενος. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι, καὶ σκόροδα ἐσθιέτω καὶ ὠμὰ καὶ ἑφθά, καὶ τῷ ἀνδρὶ ξυνευδέτω, καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω. ἐπὶ θάτερον καὶ πυριήσθω. ἡ δὲ νοῦσος δυσαπάλλακτος. [817] ἢν δὲ ἄγχιστα ἔωσιν, ἐμέειν θαμινά. τὰς δὲ ὑστέρας πυριῆσαι τοῖσι δυσόδμοισι, μέχρι ἂν ἐς χώρην ἱδρυνθῶσιν, διαίτησι δὲ χρήσθω μὴ λαπακτικῇσιν. ἢν αἱ μῆτραι προσίωσιν ἐξωτέρω τῆς φύσιος, πυρετὸς ἔχει τὸ αἰδοῖον καὶ τὴν νειαίρην γαστέρα, καὶ τὸ οὖρον στάζει θαμινὰ καὶ κατ' ὀλίγον, καὶ δάκνεται σφοδρῶς τὸ αἰδοῖον. πάσχει δὲ, ἢν ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ συνευνάζηται. ὅταν οὖν ὧδε ἔχῃ, (570) μύρτα καὶ λωτοῦ ξύσματα ἑψῆσαι ἐν ὕδατι, καὶ θεῖναι τὸ ὕδωρ ἐς τὴν αἰθρίην. προσαιονᾶν δὲ ὧδε, ὡς ψυχρότατον ᾖ τὸ αἰδοῖον καὶ τρίβων λείως πρόσπλασσε. ἔπειτα πίνουσα ὕδωρ φακῶν σὺν μέλιτι καὶ ὄξει ἐμεέτω, ἔστ' ἂν αἱ ὑστέραι ἀνελκυσθῶσι.

os uterorum corrigat et dirigat et ſuffitum ex odoratis adhibeat. Potionem quoque exhibeto, quancumque maxime admittere experientia cognoveris. Cibis autem utatur mollibus, alliaque edat et cruda et cocta, viro condormiat et in ſanam coxam decumbat et alteram fomentum admoveat. Hic autem morbus aegre diſcedit. Quod ſi uteri proxime accedant, crebro vomendum, uteris vero ſuffitus ex graveolentibus adhibendus, donec in priſtinum locum collocati fuerint. Victus autem ratione minime emolliente utatur. Si uteri extra naturam proceſſerint, pudendum imumque ventrem igneus calor detinet, urina crebro ſenſimque ſtillat, pudendumque vehementer mordetur. Hoc autem accidit, ubi recenter a partu cum viro dormierit. Cum igitur ita habuerit, myrti baccas et loti ramenta in aqua decoquito, decoctumque coelo ſereno per noctem exponito, ſicque quam frigidiſſimo pudendum perfundito et laeviter trita propius admoveto. Deinde lentium decocto cum melle et aceto epoto vomat quoad uteri ſurſum retrahantur. Lectum

Ed. Chart. VII. [816.] Foëſ. I. 655. Ed. Lind. II. (568. 569.)
ἐσθιέτω. ἢν αἱ ὑστέραι κατὰ τὰ ἀριστερὰ κλιθῶσιν, ἢ τὸ ἰσχίον ὀδύνη ἴσχει ὀξείη τε καὶ σπερχνὴ, τάς τε ἰξύας καὶ τοὺς κενεῶνας καὶ τὸ σκέλος, καὶ ἐπισκάζει. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον, τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν. τῶν δὲ κριθέων χοίνικας δύο, καὶ ἐλαίης φύλλα κατακνῆσαι σμικρὰ, καὶ κικίδα κατακόψαι καὶ κατασῆσαι, καὶ ὑοσκυάμου τρίτον χοίνι(569)κος. ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ καινῇ ὑποθυμία τέσσαρας ἡμέρας. τῆς δὲ νυκτὸς γάλα βοὸς καὶ μέλι καὶ ὕδωρ πινέτω, καὶ τῷ θερμῷ λουέσθω. ἢν παραλοξαίνωνται αἱ μῆτραι καὶ δοχμοὶ ἔωσι καὶ τὸ στόμα ἐφ' ὧν τἀπιμήνια αὐτῇ τὰ μὲν κρύπτονται, τὰ δὲ προφανέντα οἴχονται καὶ οὐχ ὅμοια γίνονται, ἀλλὰ κακήθεα καὶ ἐλάσσονα ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνηται τουτέου τοῦ χρόνου, καὶ ἡ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τὸ ἰσχίον, καὶ ἐφέλκεται αὐτό. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίνειν καὶ λούειν θερμῷ καὶ πυριῆν, ὁκόταν δὲ νεοπυρίητος ᾖ καὶ νεόλουτος, τὸν δάκτυλον παραφράξασα, ἀπορθούτω, καὶ

partem aut coxam inclinarint, dolor acutus et vehemens lumbos ac laterum inanitates crusque detinet et claudicat. Cum ita habuerit, medicamentum infra agitans potui exhibere oportet, posteroque die subter suffitum admovere. Hordei choenices duas et oleae folia minutim concisa, gallam contusam et cribratam, hyoscyami tertiam choenicis partem. Haec mixta et cum olei hemina dimidia in olla nova agitata per dies quatuor ad suffitum subter adhibeto, noctu vero lac bubulum, mel et aquam bibat et calida lavet. Si uteri transversi et obliquati fuerint, eorumque osculum, huic menses partim quidem delitescunt, partim etiam antea comparentes discedunt, nec similes inter se eunt, sed pravi et pauciores quam antea, neque hoc tempore genitura intus manet, dolorque imum ventrem, lumbos et coxam detinet, eaque detrahitur. Cum sic habuerit, medicamentum bibere oportet, calida lavare et fotum adhibere, statimque a fotu et balneo digito ad leviter contrectandum immisso, mulier

Ed. Chart. VII. [817. 818.] Foës. I. 656. Ed. Lind. II. (570. 571.)
χίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν οὕτως ἐθέλωσιν ἐνακούειν καὶ ἀπιέναι, ἅλις ἔστω· ἢν δὲ μὴ, ἄκρα περιξέσας τὰ λέγνα τῆς ὑστέρης καὶ ἀμφιπλύνας (571) χρῖσαι τῇ πισσηρῇ. ἔπειτα πρὸς κλίμακα δῆσαι τοὺς πόδας. τὴν δὲ κεφαλὴν κάτω ἔχειν, καὶ τῇ χειρὶ ἔσω ἀπωθέειν. ἔπειτα λούειν, καὶ ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἀναλλάξ, καὶ ἐᾷν νύκτα καὶ ἡμέρην οὕτως, καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης ψυχρὸν, ἄλλο δὲ μηδέν. τῇ δὲ ὑστεραίῃ κατακλίνας ἐπὶ τὸ ἰσχίον, σικύην προσβάλλειν ὡς μεγίστην καὶ ἐᾷν ἕλκειν πουλὺν χρόνον, καὶ ἐπὴν ἀφέλῃς, μὴ ἀποσχάσῃς, ἀλλὰ κατακλίνας ἔα καὶ μὴ πρόσφερε μηδὲν ἀλλ' ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. ἢν δὲ δίψα ἔχῃ, ὕδωρ ἐλάχιστον πινέτω, ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισιν ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρεέ-[818]σθω. ὁκόταν δὲ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατείτω, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι γένωνται. ἔπειτα κλυζέσθω χλιηροῖσι πυρίῃσιν· ἄμεινον δὲ θερμῷ, ὡς ἐξ ἡλίου, καὶ περιπατείτω ὡς ἐλάχιστα, καὶ μὴ λουέσθω. κοιλίην δὲ μὴ λύσῃς. σιτίοισι δὲ ὀλιγίστοισι χρεέσθω, μήτε δριμέσι μήτε

quidem obaudire ac redire conſueverint, abunde eſt. Sin minus, extremas uteri oras deraſas et ablutas picato illinito. Deinde pedibus ad ſcalam alligatis, capite deorſum collocato, manu intro retrudito, poſtea lavato, ejusque cruribus alternatim colligatis, ſic per noctem et diem ſinito et paucum ptiſanae ſuccum frigidum, aliudque nihil exhibeto. Poſtero die reclinatae ad coxam cucurbitam quam maximam affigito, diutius trahere ſinito, et ubi detraxeris, cutem ne pertundito, ſed reclinatam ſinito, nihilque praeter ptiſanae ſuccum exhibeto, donec ſeptem dies praeterierint. Quod ſi ſitis detineat, pauciſſimam aquam bibat. Ubi autem dies ſeptem praeterierint, cibis quam molliſſimis et pauciſſimis utatur. Cum vero alvum exonerare volet, id recumbens facito, dum dies quatuordecim praeterierint. Poſtea tepidis fomentis colluatur, praeſtat autem ut calida velut ex ſole utatur et quam minimum ambulet, neque lavet. Alvum ne ſolveris, cibis autem pauciſſimis utatur, neque acribus, ne-

Ed. Chart. VII. [817.] Foël. I. 655. 656. Ed. Lind. II. (570.)
καὶ τὴν κλισίην ἀνεκὰς χρὴ ποιέειν τὰ ἀπὸ τῶν ποδῶν, καὶ τὸ αἰδοῖον ὑποθυμιῆν τὰ κακώδεα, τὰς δέ γε ῥῖνας τὰ εὐώδεα. σιτίοισι δὲ χρεέσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὸν οἶνον ὑδαρέα λευκὸν πινέτω, καὶ μὴ λουέσθω. τῷ δὲ ἀνδρὶ ξυνερχέσθω. ἢν παντάπασιν ἐκ τοῦ αἰδοίου ἐκπέσωσιν αἱ μῆτραι, ἐκκρέμανται οἷον ὄσχη, καὶ ὀδύνη λάζεται ἐς τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς βουβῶνας, καὶ ὁκόταν ἐπιγένηται χρόνος, οὐκ ἐθέλουσιν ἐς τὴν ἑαυτῶν χώρην ἰέναι. ἡ δὲ νοῦσος λαμβάνει, ὁκόταν ἐκ τόκου ἐοῦσα πονήσῃ, ἢ ταλαιπωρήσῃ, ὥστε ψαίρειν τὰς ὑστέρας, ἢ τῷ ἀνδρὶ συνίῃ ἐν τῇ λοχίῃ καθάρσει. ὅταν ὧδε ἔχῃ ψύγματα χρὴ προστιθέναι παρηγορικὰ πρὸς τὸ αἰδοῖον, || καὶ τὸ ἔξω ἐὸν ἀποκαθάρας, σιδίην ἐν οἴνῳ μέλανι ἕψησας, τουτέῳ περιπλῦναι, καὶ ἔσω ἀπωθέειν. ἔπειτα καὶ μέλι καὶ ῥητίνην ξυντῆξαι ἶσον ἑκατέρου, καὶ ἐγχέειν ἐς τὸ αἰδοῖον, καὶ κατακεῖσθω ὑπτίη, ἄνω τοὺς πόδας ἔχουσα ἐκτεταμένη. κἄπειτα σπόγγους προσθεῖσα ἀναδῆσαι ἐκ τῶν ἰξύων. ἔστ' ἂν δ' οὕτως ἔχῃ, σιτίων μὲν ἀπεχέσθω, ποτῷ δὲ ὡς ἐλα-

autem a pedibus excitare oportet et ſuffitum pudendo ex graveolentibus adhibere, naribus vero ex odoratis. Cibis utatur quam molliſſimis et frigidis, vinumque album aquoſum bibat, neque lavet, neque cum viro congrediatur. Si uteri prorſus extra pudenda procidant, penduli ſunt velut ſcrotum, dolorque imum ventrem, lumbos et inguina prehendit, progreſſuque temporis in priſtinum locum reverti nolunt. Prehendit autem morbus, cum recens a partu laborarit, aut adeo defatigata fuerit, ut uteros leniter attigerit, aut in puerperii purgatione cum viro coierit. Cum ita habuerit, refrigerantia lenientia pudendis admovere oportet et quod extra eſt repurgatum, malicorio in vino nigro decocto abluere et intro retrudere, deinde mel et reſinam liquefactam, pari cujusque portione, in pudendum infundere. Supina etiam pedibus altioribus extentis decumbat, poſtea admotas ſpongias ex lumbis religato. Quamdiu autem ſic habuerit, cibis quidem abſtineat, potu vero utatur quam pauciſſimo, donec ſeptem dies praeterierint. At ſi ſic

Ed. Chart. VII. [818.] Foeſ. I. 656. 657. Ed. Lind. II. (572. 573.)

δῆσαι, καὶ ὑποθυμιῆν τὰ καυκώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. ἢν δὲ πλείονα χρόνον αἱ ὑστέραι ἐξίσχωσι καὶ περιψύχωνται ναρκωδέως, καταχέειν ὕδωρ θερμὸν πουλὺ, ὅκως διαπυρισθῶσιν. ἢν δὲ ἤδη φυσέωνται, καὶ ὄξους μίσγοντες ξὺν ὕδατι πυριῆν ἢ δάφνης ἢ μυρσίνης καὶ ῥέμα προωθεῖν καὶ κηρωτῇ μύρῳ χρίειν ἢν ἐσακούῃ. ἢν δὲ μὴ, περικλύσαι τῷ ὕδατι καὶ ὄξεος ὀλίγον χλιήνας καταχέαι. εἶτα ἀλειψαίειν. ὁκόταν δὲ ξυνιακέωσι, περινίψας ὡς λέλεκται ἐνθεῖναι, καὶ τἄλλα ποιέειν τὰ προειρημένα. ἔλαιον δὲ μὴ προσφέρειν μηδ' ἄλλο τι πῖον μηδὲ λίπα ἔχον. || ἢν ὑποπτυχθῇ τι τῶν στομάτων τῆς ὑστέρης, τὰ ἐπιμήνια οὐ γίνονται, ἢ ὀλίγα καὶ πονηρὰ καὶ ἀλγεινά, καὶ ὁκόταν τῷ ἀνδρὶ ξυνεύδῃ, ἀλγέει, καὶ ὅ τι ἂν ὁ ἀνὴρ μεθίῃ, ἐκ συνδυασμοῦ ἔξεισι καὶ οὐ θέλει ψαύεσθαι, οὐδ' ἑλκύει τὴν γονὴν καὶ ὀδύνη ἴσχει τὴν νειαί(573)ρην γαστέρα καὶ τὰς ἰξύας, καὶ τὸ στόμα τῶν ὑστερέων, δῆλον ψηλαφήσει. ὅταν τοίνυν ὧδε ἔχῃ, πυριῆσαι οὔρῳ παλαιῷ. ἔπειτα ἐμεσάτω τῷ φακίῳ συμμίξασα μέλι καὶ ὄξος. ἔπειτα ουέσθω

gato, ſuffitum ex graveolentibus ſubter adhibeto, ad nares vero ex odoratis. Sed ſi diutius foras promineant et cum ſtupore perfrigeſcant, copioſam calidam, ut refoveantur, affundito. Quod ſi jam flatu diſtendantur, etiam aceto ad aquam ammixto, aut lauri aut myrti decocto foveto, placideque retrudito et ſi obaudierit cerato unguento linito, ſin minus, aqua perluito, pauco aceto tepido affuſo, deinde inungito. Ubi contabuerint, ablutos, ut dictum eſt, intro reponito reliquaque prius commemorata facito. Oleum autem neque aliud quid pingue, neque quod pinguedinem habeat adhibendum. Si uterorum oſculi pars quaedam in rugas finuata fuerit, menſes non eunt, aut pauci et pravi, nec ſine dolore, cumque cum viro dormiat, dolet, et quicquid ex congreſſu vir emiſerit, exit, neque attingi patitur neque genituram attrahit. Dolor imum ventrem et lumbos detinet, neque uterorum os contrectatum apparet. Cum igitur ita habuerit, fomentum ex veteri urina adhibeto, deinde ex lenticulae decocto admixto melle et aceto vomat, mox calida

Ed. Chart. VII. [818.] Foës. I. 656. Ed. Lind. II. (571. 572.)
ἁλμυροῖσι, καὶ θυμιήσθω τὸ αἰδοῖον τοῖσι καπνώδεσι. κἀπειδὰν ἄρξηται περιπατεῖν, τὴν σφενδόνην φορείτω. ἢν δὲ ἔξω τοῦ αἰδοίου τὸ στόμα τῶν μητρέων ἐκπέσῃ, οἷα τοῦ αὐχένος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου καὶ εὐρέος ἐόντος. γίνεται δὲ τοῦτο μᾶλλον τῇσιν ἀτόκοισι, μάλιστα δὲ γίνεται ἐκ ταλαιπωρίης, ἐπὴν ταλαιπωρήσῃ ἡ γυνὴ, καὶ αἱ μῆτραι θερμανθῶσι καὶ ἱδρώσωσιν, ἐκτρέπεται τὸ στόμα αὐτέων διὰ τοῦ αὐχένος, ἅτε ἐν τῷ ὑγροτέρῳ καὶ ὀλισθηροτέρῳ καὶ θερμοτέρῳ χωρίῳ γενόμενον ἢ ἐν τῷ πρὶν χρόνῳ, (572) καὶ ἐπὴν τοῦτο γένηται, ἰθύουσιν ἔξω πρὸς τὸ ψῦχος, καὶ σφέων τὸ στόμα ἔρχεται ἐκτραπέν. ἢν μὲν ἐν τάχει θεραπευθῇ, ὑγιὴς γίνεται. ἄφορος δὲ πάντως καταλιμπάνεται. ἢν δὲ μὴ ἐν τάχει, ἔξω ἀεὶ ἔσται οἱ σκληρὸν τὸ στόμα, καὶ ῥεύσεται αὐτόθεν ἰχὼρ ἄλλοτε καὶ ἄλλοτε γλίσχρος καὶ κάκοδμος, καὶ ἢν τἀπιμήνια χωρήσῃ, ἢν ἔτι ἐν τῇ ἡλικίῃ ᾖ, ἐν εὐνῇ εἶναι. χρόνου δὲ γενομένου ἡ τοιήδε νοῦσος ἀνίητος γίνεται, καὶ ξυγκαταγηράσκουσιν ἔξω τὰς μήτρας ἔχουσαι. ἢν δὲ αἱ μῆτραι ἐξίσχωσι, περινίψας αὐτὰς ὕδατι χλιηρῷ καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι καὶ ἀνα-

que ſalſis et pudendis ſuffitum ex graveolentibus admoveat, cumque obambulare coeperit, ſubligaculum geſtet. At ſi uterorum os extra pudenda procidat, cum nimirum uterorum cervix prope pudenda ſita et ampla ſit, quod magis infoecundis contingit, praecipueque ex defatigatione ubi plurimum laborarit mulier et uteri calefacti exudarint, ipſorum os per cervicem evertitur, quod nimirum loco magis humido, lubrico et calido quam antea exiſtat. Quod cum contingat, uteri extra recta ad frigus feruntur, eorumque os inverſum exit. Si quidem brevi curata fuerit, convaleſcit, ſed penitus infoecunda remanet. Sin minus, os ei durum ſemper extra erit, indeque ſubinde ſanies glutinoſa et graveolens fluet. Quod ſi menſes prodeant et adhuc ea aetate ſit, lecto decumbendum. Hujusmodi autem morbus temporis progreſſu incurabilis redditur et foras pendulis uteris ad ſenectutem perveniunt. At ſi uteri extra promineant, eos aqua tepida ablutos et oleo ac vino illitos, rurſus intro reponito ac re-

Ed. Chart. VII. [819.] Foës. I. 657. Ed. Lind. II. (573. 574.)

προσθετὸν τίθει. ἀννήσου καρπὸν καὶ σελίνου τρίψας λεῖα, πρόσθες πρὸς τὰ αἰδοῖα, ἢν μὴ κατὰ χώρην μένωσιν. ἀλλ' ὁτὲ μὲν ἔνθα, ὁτὲ δὲ ἔνθα ἴωσιν (574) ὡς ὀδύνας παρέχειν. αἱ δὲ ἀφαιρεῖς γίνονται. τοτὲ δὲ ἐξίουσιν ὡς ἔδρη, καὶ ὁκόταν μὲν ὑπτίη ᾖ, κατὰ χώρην μένουσιν. ὁκόταν δὲ ἀναστῇ ἢ ἐξ ὕπνου ἔγρηται ἢ ἐπικύψῃ ἢ ἄλλο τι ποιήσῃ κίνημα, ἐξέρχονται. πολλάκις δὲ καὶ ἡσυχίαν ἐχούσῃ. ταύτην χρὴ ὡς μάλιστα ἠρεμέειν τε καὶ ἀτρεμέειν καὶ μὴ κινέεσθαι, καὶ τὸν κλισμὸν κεῖσθαι πρὸς ποδῶν ὑψηλότερον, καὶ τοῖσιν ἐμέτοισι χρέεσθαι· χρὴ γὰρ ἀντισπάσαι ἀνεκάς, καὶ τοῖσι δὲ στρυφνοῖσιν ἀπαιονᾶν καὶ ὑποθυμιᾶν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα, καὶ τῶν ῥοιῶν διὰ τοῦ ὀμφαλοῦ τρήσαντα μέσην, ἐν οἴνῳ χλιήναντα ἥτις ἂν ἁρμόζῃ μάλιστα. καὶ μή τι κωλύει, προστίθει ὡς ἐσωτάτω. εἶτ' ἀναδῆσαι ταινίῃ πλατείῃ καὶ ἀναλαβεῖν ὡς μὴ ὀλισθάνοι, ἀλλὰ μένοι, καὶ ποιέειν τὸ δέον, καὶ τῶν μηκώνων ξὺν τῷ πυρῷ καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, καθάπερ ἐν τῇ προσπτώσει γέ-

fuerint, ſubdititium imponito. Aniſi et apii ſemen laeviter tritum ad pudenda in ſubdititio apponito. Si ſuo loco non maneant uteri, ſed modo quidem hanc in partem modo in illam eant, ita ut dolores excitent neque vero comparent, interdum autem velut ſedes extra procidunt, et ubi quidem ſupina fuerit, loco manent, ubi vero ſteterit aut ex ſomno ſurrexerit, aut prona incubuerit aut alio quodam modo ſe moverit, exiliunt, plerumque vero etiam quietem agenti. Hanc quam maxime quietam ac placidam eſſe, minimeque moveri oportet lectumque a pedibus excitatum eſſe, et vomitionibus uti. Surſum enim revellendi ſunt et acerbis perfundendi, graveolentiaque in ſuffitu ſubter adhibenda, naribus vero odorata et malum punicum medium ex umbilico perforatum, quodcunque maxime convenire videatur vino tepefactum, ſi nihil prohibuerit, quam penitiſſime ſubdendum, deinde lata faſcia excipiendum et ne elabatur religandum, ſed intus maneat et quod opus eſt efficiat et peplium cum caſeo et polenta propinandum, quemadmodum in procidentia ſcriptum eſt.

Ed. Chart. VII. [818. 819.] Foël. I. 657. Ed. Lind. II. (573.)
ὕδατι θερμῷ. [819] ἔπειτα ἐγχέασα ἐς φιάλην ἀργυρέην ἢ χαλκέην ἔλαιον λευκὸν Αἰγύπτιον καὶ ἅλας, καλυψαμένη δὲ καθέζεται ἀμφὶ τὴν φιάλην. κἢν μὲν ἴῃ ὀδμὴ αὐτῇ διὰ τοῦ στόματος ἐλαίου, φάναι αὐτὴν τέξεσθαι καὶ τῇ ὑστεραίῃ ὑγιῆ γενέσθαι· ἢν δὲ ἴῃ ὀδμή, θαρσύνειν. κἀπειδὰν μέλλῃ εἴδειν, προστιθέσθω τὸ Αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ. τῇ δὲ ὑστεραίῃ σκεψάσθω ἤν τι μᾶλλον κατ' ἰθὺ ἦν τὸ στόμα τῶν ὑστερέων, καὶ ἢν φῇ εἶναι, πυριῆσαι εὐώδεσιν ἡμέρας τρεῖς, καὶ προστιθέναι προσθετὰ ὁποῖα μὴ ἀναδήξηται. καθαίρειν δὲ καὶ μετακλύζειν εὐώδεσι καὶ μαλθακοῖσιν, ἴσας ἡμέρας τοῖσι πρόσθεν. ὁκόταν δὲ τὰ ἐπιμήνια γένηται, νηστεῦσαι, καὶ ἀλουτήσασα παρὰ τὸν ἄνδρα ἴτω, θυμιησαμένη τοῖσιν ἀρώμασιν. ἄτοκοι δὲ πολλαὶ καὶ ἐκ ταύτης τῆς νούσου γίνονται, ἢν μὴ μελεδανθῇ. ἢν ἑλκωθῶσιν αἱ μῆτραι καὶ πρόσω χωρήσωσιν ἐξωτάτω, ἐλαίῳ χρίων λίπα τὰς χεῖρας ἐντιθέναι, καὶ δίδου καταπότιον σμύρνης ἀκρήτου, τρεῖς καταπιεῖν σπυράδας, καὶ πινέτω δάφνην χλωρὴν τετριμμένην, οἴνῳ διεὶς, καὶ ὑγιὴς οὕτω γίνεται. ἢν ἔξωρα ᾖ τὰ αἰδοῖα,

lavet. Poſtea in phialam argenteam aut aeneam oleo albo Aegyptio et ſale infuſo, obvelata mulier circum phialam conſideat. Et ſi quidem olei odor per os ſubierit, ipſam parituram affirmato poſteroque die ſanam fore, tuncque bono animo eſſe jubeto, ac ubi dormire volet oleum Aegyptium ex vellere in ſubdititio ſupponat. Poſtero vero die proſpiciat ſi quid uterorum os magis directum ſit, quod ſi affirmet, per tres dies fomentum ex odoratis adhibeto, et ſubdititia quae minime mordeant ſupponito, purgatoque et poſtea ex odoratis et emollientibus totidem quot antea diebus colluito. Cum autem menſes ierint, jejuna et illota virum adeat, ſuffitu ex aromatis adhibito. At pleraeque ex hujusmodi morbo, niſi cura adhibeatur, infoecundae redduntur. Si uteri exulcerati fuerint et quam maxime foras prodeant, manibus oleo pingui illitis intro reponito, et myrrhae ſincerae tres pilulas devorandas exhibeto, et laurum viridem tritam vino diſſolutam bibat, ſicque ſanitati redditur. Si pudenda in anguſtum coarctata

Ed. Chart. VII. [820.] Foëſ. I. 658. Ed. Lind. II. (575. 576.)

λεται καὶ βρύχει, καὶ ἱδρὼς πουλὺς, καὶ τἆλλα ὅσα ὑπὸ ἱερῆς νόσου ἐπίληπτοι πάσχουσι, καὶ ἄσσα ἀπ᾽ οὔατος δρῶσι. ταύτῃσι καταχεῖν ὕδωρ ψυχρὸν χρὴ πουλὺ κατὰ τοῖν σκελοῖν τε καὶ ὡς τἆλλα ποιέειν καθὰ πρόσθεν εἴρηται. ἢν κινηθεῖσαί που προσπέσωσι καὶ ὀδύνην παρέχωσιν, ἐλαίης ψώραν καὶ δάφνης καὶ κυπαρίσσου πρίσμα ἑψήσας ἐν ὕδατι, ἐς εἰρίον ἐμβαλὼν προστίθει. ὁκόταν δὲ γυνὴ ἐκ τόκου ἐοῦσα φορτίον αἴρηται, μεῖζόν τι τῆς φύσιος, ἢ πτύσσῃ ἢ κεάσσῃ ξύλα, ἢ δράμῃ, ἢ ἄλλα τινὰ τοιάδε δράσῃ, αἱ ὑστέραι ἐκπίπτουσιν πρὸς ταῦτα μάλιστα. ἐνίοτε δὲ πρὸς πταρμόν. οὐ γὰρ βιᾶται, ἢν βίῃ πταρνυμένη μὴ ἐπιλάβηται τῆς ῥινός. περιπλύνειν χρὴ τὰς ὑστέρας ὕδατι χλιαρῷ, ἔπειτα τεύτλου χυλῷ ἀποζέσαντα ὁμοίως, εἶτα ἀκρήτῳ οἴνῳ μέλανι. ἢν δὲ μὴ ἐσακούῃ, μαλθακτήρια ποιέειν χρή. ταῦτα δὲ ποιέειν χρὴ πρότερον ἢ ψυχθῆναι καὶ ἐνθεῖναι εἴσω παρηγορικῶς. εἶτα ἐκτείνειν τὰ σκέλεα καὶ ὑπαλλάξαι, καὶ ὑπὸ τὰ αὐτὰ ὑποτιθέναι τι μαλθακὸν, ὑπὸ (576) τοῦδε εἴργεσθαι χρή. τὰς

crumpit et alia quae morbo comitiali correpti patiuntur, et auribus exudant. His copioſa frigida cruribus affundenda, reliquaque velut prius dictum eſt facienda. Si commodi uteri aliquam in partem irrumpant et dolorem excitent, oleae ſcabiem lauri et cupreſſi ſcobem in aqua coctam, vellere exceptam in ſubdititio apponito. Ubi vero mulier ſtatim a partu onus viribus majus ſuſtulerit, aut conſternata fuerit, aut ligna fecuerit, aut cucurrerit, aut alia quaedam ejusmodi fecerit, uteri ob haec plerumque excidunt, interdum vero ad ſternutationem, praecipueque ſi per vim excitata ſternutatione nares apprehenderit. Uteros aqua tepida proluere oportet, poſtea betae ſucco ferveſacto eodem modo, deinde vino meraco nigro. At ſi his non cedunt, emollientia facere oportet, eaque prius quam refrigerentur facere et leniter intro reponere, cruraque inter ſe alternata extendere et iis molle aliquid ſubdere. Eae a potu praecipue arcendae, cavendumque ne venter exturbetur et naribus odorata exhibenda. Poſtea ſi non quie-

Ed. Chart. VII. [819. 820.] Foël. I. 657. 658. Ed. Lind. II. (574. 575.)

χραπται, καὶ τῶν ποτημάτων πειρώμενος ὅ τι ἂν μάλιστα προσδέχηται πιπίσκειν. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρήσθω, καὶ μετὰ ἀνδρὸς μὴ συνευδέτω, ἄχρις οὗ κατὰ χώρην οἰητέῃ. ἢν αἱ μῆτραι ἐκπέσωσι, κισσὸν ὡς ξηρότατον τρίψας λεῖον ἐνδήσας τε εἰς ὀθόνιον προσίσχειν, καὶ λιπαρὸν προσφέρειν μηδέν. πιεῖν δὲ διδόναι πυροὺς προκόψας, καὶ μήκωνα λεπτὴν, καὶ ἐλελίσφακον, καὶ κύπερον, καὶ ἄννησον. ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ [820] καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθέων, διδόναι δὶς τῆς ἡμέρης ἐφ' ἑκάτερον ἡμικοτύλιον. ἢν ἐς τὰ σκέλεα τῷ ποδὶ τράπωνται, γνώσεις ὧδε. οἱ με(575)γάλοι δάκτυλοι τοῖν ποδοῖν σπῶνται ὑπὸ τοὺς ὄνυχας, καὶ ὀδύνη ἔχει τὰ σκέλεα καὶ τὼ μηρώ, καὶ ἔγκειται καὶ θλίβει τὰ ἀμφὶ τὸν μηρὸν νεῦρα. ‖ ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ θαμινὰ, καὶ πυριῆν, ἂν δύνηται, καὶ ὑποθυμιῆν τὰ κακώδεα καὶ τῷ μηρῷ τῷ ῥοδίνῳ ἀλειφέσθω λίπα. ἢν δὲ ἄναυδος γένηται, ἐξαπίνης τὰ σκέλεα ψυχρὰ εὕροις ἂν καὶ τὰ γούνατα καὶ τὰς χεῖρας, καὶ ἢν ψαύσῃς τῆς ὑστέρης, οὐκ ἐν κόσμῳ ἐστὶ, καὶ ἡ καρδίη πάλ-

Potiones etiam, periculo facto quascunque maxime admittat, potui exhibendae. Cibis autem quam molliſſimis utatur neque viro condormiat, quoad ſe in locum ſuum receperint. Si uteri loco ſuo excidant, hederam ſicciſſimam tenuiter tritam, in linteo ligatam propius admoveto, et neque pingue quicquam adhibeto. Potui vero exhibeto triticum prius tuſum et papaver album, ſalviam, cyperum et aniſum, haec laeviter trita, ex vino macerata cum hordei purgamentis, bis die potui exhibeto, utraque potione dimidiam heminam. Si ad crura et pedes ſe vertat, ſic noſces. Pedum magni digiti ſub unguibus convelluntur, et dolor crura ac femora detinet, et in femoris nervos incumbit et premit. Cum ſic habuerit copioſa calida crebro lavanda et, ſi ferre poſſit, fovenda, et ſuffitus ex graveolentibus ſubter adhibendus, femoraque oleo roſaceo inungat. Quod ſi derepente voce deficiat, crura, genua, et manus frigidas deprehendes, et ſi uterum attroctaris, ſuo loco non eſt, cor palpitat, dentibus fremit, ſudor copioſus

Ed. Chart. VII. [821.] Foës. I. 658. 659. Ed. Lind. II. (576. 577.) τὰ εὐώδεα ὑπὸ τὰ αἰδοῖα. ὑπὸ δὲ τὰς ῥῖνας τὰ κάκοδμα. καὶ ποτήματα δίδου, ἃ καθαίρουσιν ὑστέρας καὶ ἐλαύνουσιν ἐς χώρην, καὶ τὴν λινοζῶστιν ἐσθιέτω, καὶ τὸ γάλα μεταπινέτω, ὡς ἐπὶ τοῦ πλευροῦ γέγραπται. ἡ δὲ νοῦσος οὐ χρονίη. ἢν σκυῤῥωθῶσιν αἱ μῆτραι, τό τε στόμα τρηχύνεται καὶ (577) τὰ ἐπιμήνια κρύπτεται. ὁκόταν δὲ ἴῃ, ὡς ψάμμος φαίνεται τρηχεῖα. ἢν δὲ καὶ καθάψηται τῷ δακτύλῳ, τρηχὺ τὸ στόμα εὕροις τῆς μήτρης, ὡς πῶρος προσφύεται αἰεί. ὅταν ὧδε ἔχῃ, τῆς κυκλαμίνου χρὴ τρίψαντα, καὶ ἅλας, καὶ σῦκον ὁμοῦ μίσγειν, καὶ ἀναποιέειν μέλιτι βαλανίδας, καὶ πυριήσαντα κλύσαι τοῖσι καθαίρουσιν. ἐσθιέτω δὲ τὴν λινοζῶστιν καὶ κράμβην ἑφθὴν, καὶ τὸν χυλὸν ῥοφεέτω καὶ πράσον, καὶ θερμῷ λουέσθω. ἢν αἱ μῆτραι σκιῤῥωθῶσι, τά τε ἐπιμήνια ἐπιλυγίζονται, καὶ τὸ στόμα αὐτῶν ξυμμύει, καὶ οὐ κυΐσκεται, καὶ ὡς ἕτερόν ἐστι, καὶ ἢν ψαύσῃς, ὡς λίθος δοκέει κεῖθι εἶναι || καὶ τὸ στόμα τρηχὺ καὶ πολύῤῥιζον καὶ οὐ λεῖον εἰδεῖν, καὶ τὸν δάκτυλον οὐκ ἐσίῃ, ὕς μιν καθορῇ. καὶ πῦρ λαμβάνει περιψύχον, καὶ βρυγμός,

dis adhibeatur, naribus vero ex graveolentibus. Potiones exhibeto quae uteros purgant, eosque in locum ſuum pellunt, mercurialem comedat, poſteaque lac bibat, velut de latere ſcriptum eſt. Morbus autem diuturnus non eſt. Si in callum iduruerint uteri, tum os aſperum redditur, tum menſes deliteſcunt, cum vero eunt, aſperi tanquam arena apparent. Quod ſi etiam digito attingatur, uteri os aſperum deprehendes, velut callus ſemper adhaereſcit. Cum ſic habuerit, cyclaminum tritum, ſalem, ficum, ſimul miſceto, cum melle glandulae conficiendae et fomento adhibito purgantibus colluendum. Mercurialem autem et braſſicam coctam edat et ſuccum ſorbeat ac porrum, calidaque lavet. Si uteri in callum indureſcant, tum menſes occultantur, tum eorum os connivet, neque concipit, et aliud quid eſſe videtur. Quod ſi attigeris, tanquam ſaxum illic eſſe videtur, os aſperum eſt et multas habet radices, non laeve aſpectu, neque digitum admittit, ſi quis ipſum penitus inſpiciat. Febris cum perfrictione invadit et dentium fremitus, dolor-

Ed. Chart. VII. [820. 821.] Foef. I. 658. Ed. Lind. II. (576.)

τοιαύτας ὡς μάλιστα καὶ τὴν καιλίην χρὴ φυλάσσειν, ὅκως μὴ ἐκταραχθῇ. πρὸς δὲ τὴν ῥῖνα τῶν εὐωδέων διδόναι. τὰς τοιαύτας χρὴ ἐξ ὑστέρου, ἢν μὴ ἀτρεμίζωσιν, ἀλλὰ κινέωνται ἐλλεβορίζειν, ἢν δὲ μὴ ἐξαρκέωσι, καὶ ἐμέτους ποιέειν καὶ ἀλουτέειν, σιγῆν τε καὶ ἠρεμέειν. ἢν ἀγρησθῶσιν αἱ μῆτραι, ἡ γαστὴρ αἴρεται καὶ φυσᾷ καὶ σμαραγεῖ, καὶ οἱ πόδες οἰδέουσι, καὶ τὰ κοῖλα τοῦ προσώπου, καὶ ἡ χροιὴ ἀηδὴς γίνεται, καὶ τὰ ἐπιμήνια κρύπτεται, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται ἐν τουτέῳ τῷ χρόνῳ, καὶ ἀσθμαίνει, ἀφρίζει τε καὶ ἀλύει, καὶ ὅταν ἔγρηται ἐξ ὕπνου, ὀρθοπνοίη μιν ἔχει, καὶ ὅ τι ἂν φάγῃ ἢ πίῃ λυπέει αὐτέην, καὶ στένει, καὶ ἀθυμέει μᾶλλον ἢ πρὶν φαγεῖν, καὶ πνίγεται, καὶ τὰ νεῦρα ἕλκεται, καὶ αἱ μῆτραι καὶ αἱ κύστιες ἀλγέουσι καὶ οὐκ ἔστι ψαῦσαι τῇ χειρί. οὐδὲ τὸ οὖρον προΐενται, οὐδὲ τὴν γονὴν δέχονται. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω, θερμῷ λούειν καὶ καθίγνυσθαι θαμινὰ ὅλον τὸ σῶμα· [821] ἔστι δ' ὅτε καὶ ἄχρις ὀμφαλοῦ πυριῆν. διαλιπὼν δὲ προστιθέναι τὰ ὑφ' ὧν καθαρισθήσεται, καὶ μὴ ὀδαξήσεται. ὑποθυμιήσθω δὲ

ſcant, ſed moveantur, has veratro purgare oportet, ac niſi ſatis ſit, vomitiones ciere, minime lavare, ſilere et quieſcere. Si uteri inflati fuerint, venter inflatur, attollitur, reſonat, pedes et faciei cavitates intumeſcunt, color deformis redditur menſes deliteſcunt, neque eo tempore genitura intro ſuſcipitur, crebra ſpiratione laborat, os ſpumat et anxietudine premitur, cum ex ſomno expergiſcitur, ſpiratio quae erecta cervice obitur ipſam detinet, quicquid comederit aut biberit eam moleſtia afficit, gemit et magis animum abjicit quam prius quam edat et ſuffocatur, nervi contrahuntur uteri et veſicae dolent, neque manus contactum admittunt, neque urinam profundunt, neque genituram recipiunt. Cum ſic habuerit, medicamentum deorſum purgans propinare oportet, calida lavare, crebroque toto corpore inſidere, interdumque ad umbilicum usque fomentum admovere, intermiſſione vero facta ea a quibus repurgetur, neque mordeatur, in ſubdititio apponere. Suffitus ex odoratis puden-

Ed. Chart. VII. [821. 822.] Foës. I. 659. Ed. Lind. II. (578. 579.)
κὸν τὸ στόμα τῶν ὑστερίων φαίνεται, μοτοῦν ὠμολίνῳ κα-
θετηρίῳ, τοὺς ἐμπύους μοτοὺς τρεῖς. τῷ μὲν πρώτῳ λεπτῷ,
τῷ δὲ δευτέρῳ ὀλίγον παχυτέρῳ. ὁ δὲ παχύτατος ἔστω τῷ
μεγέθει, ὅσον ὁ σμικρὸς δάκτυλος. μῆκος δὲ πέντε δακτύ-
λων. χρίων χηνείῳ ἀλείφατι. προσιθέναι δὲ προ[822]πυριή-
σας τοῖσιν εὐώδεσι βάλανον μαλθακτικήν, ἢ νίτρου ὅσον
ἐπαλείφοντα, ὡς μὴ τρώσῃ. οὐ γὰρ κεντεῖν δεῖ καὶ προκεί-
σθω δύο ἡμέρας. ἀφίσταται δὲ οἷον λοπὸς καὶ δέρμα παχύ.
διαλιπὼν δὲ τρεῖς ἡμέρας τὴν κυκλάμινον τὸ ξὺν τῷ νάρ-
κισσίνῳ. ἢν δὲ ταῦτα μὴ καθήρῃ, κατὰ νόον πουλὺν προσ-
τιθέναι τέως τὸν ξὺν τῷ βουπρήστει. προσκείσθω δὲ τὴν
ἡμέρην, καὶ ἐπὴν δάκνῃ ἰσχυρῶς, ἕλκειν τὴν βάλανον καὶ
διανίζεσθαι τὸ αἰδοῖον, ὕδατι θερμῷ καὶ ἐν ἐλαίῳ δίζησθαι,
τῇ δὲ ὑστεραίῃ λουσαμένῃ, ἐλάφου στέαρ τήξασα καὶ εἰς
εἴριον μαλθακὸν ἀναφυρήσασα προστιθέσθω. καὶ ἤν σοι δο-
κέῃ ἔτι καθάρσιος δεῖσθαι διαλιπὼν τρεῖς ἡμέρας, προστι-
θέναι τὸ ξὺν τῷ νάρκισσίνῳ. τῇ δὲ ὑστεραίῃ (579) τὸ νέτω-
πον. ἔπειτα πάλιν διαλιπὼν τρεῖς ἡμέρας, κλύσαι τὰς ὑστέ-

tribus ſuppuratoriis linamentis confectis, intortum ex lino crudo linamentum immittito, primum quidem tenue, alterum vero paulo craſſius, craſſiſſimum autem parvi digiti craſſitudine, at digitorum quinque longitudine, quae adipe anſerino illita ſupponito et glandem emollientem indito, fomento prius ex odoratis adhibito. Aut nitri tantillo illinito, ut ne vulneret, neque enim pungere oportet, et per duos dies apponatur, decedit autem velut cortex et cutis craſſa. Tribus autem interpoſitis diebus, cyclaminum cum narciſſino ſubdito. Quod ſi iſta non purgarint, tum cum multa mentis reputatione, medicamentum quod cum bupreſti paratur ſupponito et per diem apponatur, et ſi vehementer mordeat, glandem extrahito, pudendum aqua calida perluito et in oleo inſidere facito. Poſtridie vero a balneo, cervi adeps liquatus, cum molli lana ſubactus, in ſubdititio apponatur, et ſi tibi adhuc purgatione indigere videatur, tribus intermiſſis diebus, ſupponito quod cum narciſſino paratur, poſtridie vero netopum. Deinde rurſus tribus inter-

Ed. Chart. VII. [821.] Foëſ. I. 659. Ed. Lind. II. (577. 578.)

καὶ τὰς μήτρας ὀδύνη ἔχει καὶ τὴν νειαίρην γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας· πάσχει δὲ ταῦτα, ἢν οἱ διαφθαρέντα τὰ ἐπιμήνια σαπῇ· ἔστι δ' ὅτε καὶ ἐκ τόκου καὶ ψύχεος ἢ πονηρᾶς διαίτης καὶ ἄλλως. φάρμακον οὖν χρὴ πιπίσκειν, καὶ λούειν θερμῷ πολλῷ τε ὕδατι καὶ ἐλαίῳ χρέω, καὶ πυριῆν. ὁκόταν δὲ νεόλουτος ἢ νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς ἀναστομοῦν, καὶ ἀνευρῦναι τὸ στόμα αὐτέων καὶ τῷ δακτύλῳ ὁμοίως, καὶ προστιθέναι μαλθακτήρια ὡς εἴρηται, καὶ τῶν ποτημάτων ὡσαύτως πιπίσκειν καὶ θεραπεύειν. ἢν δὲ σκληρυνθῶσιν αἱ (578) μῆτραι, τὸ στόμα σκληρὸν γίνεται τῶν ὑστερέων καὶ ξυμμέμυκε, καὶ τὰ ἐπιμήνια οὐ γίνεται, ἀλλ' ἐλάσσω καὶ κακίω, καὶ ὀδύνη ἐμπίπτει, καὶ πῦρ καὶ ῥῖγος λαμβάνει ἀμφὶ τὴν νειαίρην γαστέρα καὶ τὴν ὀσφῦν καὶ τοὺς κενεῶνας. ὅταν δὲ ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ καὶ χλιάσματα προστιθέναι, ἢν ὀδύνη ἔχῃ, καὶ πυριῆν τὰς ὑστέρας βληχρῶς πουλὺν χρόνον, τῷ ἀπὸ τοῦ σικύου τοῦ ἀγρίου ὕδατι. ἔπειτα προστιθέσθω μαλθακτήρια τρεῖς ἡμέρας, ταῦτα ποιέειν, καὶ ἢν ψαύσῃ αὐτῆς μαλθα-

que uteros, imum ventrem, laterum inanitates et lumbos detinet. Haec autem ei contingunt, ſi corrupti menſes computreſcant, interdum vero ex partu, frigore, aut prava victus ratione et alio modo. Medicamentum igitur propinandum, multaque calida lavandum et oleo utendum, fomentumque admovendum. Poſt recens balneum aut fotum, immiſſo ſpecillo eorum os aperiendum et diducendum, quod et digito ſimiliter faciendum, emollientiaque velut dictum eſt in ſubdititio apponenda et potiones ſimiliter propinandae, eodemque modo curandum. At ſi uteri tumore duro obduruerint, eorum os durum redditur et concluſum eſt, neque menſes eunt, ſed pauciores et deteriores ſunt, febris et rigor invadit, dolor ad imum ventrem, lumbos et lateris inanitates irruit. Cum ſic habuerit, copioſa calida lavato et tepefactoria apponito, ſi dolor detineat, uteris diutius leniter ex decocto cucumeris agreſtis fomentum adhibeto, deinde emollientia in ſubdititio apponito, idque tribus diebus facito. Quod ſi ad contactum uteri os molle appareat,

Ed. Chart. VII. [822. 823.] Foël. I. 659. 660. Ed. Lind. II. (579. 580.)

εὐώδει ὕδατι περιτιζέσθω. || ἢ ἐκλέψας κόκκους πεντεκαίδεκα. ἔστω καὶ Ἰνδικοῦ ποσόν, ἢν δοκέῃ εἶναι ἐν γάλακτι γυναικὸς κουροτρόφου καὶ τρίβειν. παραμίσγειν δὲ καὶ ἐλάφου μυελὸν καὶ τἆλλα ὁκόσα εἴρηται, καὶ μέλιτι ὀλίγῳ μίσγειν. τὸ δὲ εἴριον μαλθακὸν καθαρὸν ἔστω καὶ πρὸς τὴν ἡμέρην προστιθέσθω. ἢν δὲ βουλῇ (580) ἰσχυρότερον ποιέειν, σμύρνης σμικρόν τι παραμίσγειν. ἄριστον δὲ ὠοῦ τὸ λευκὸν καὶ αἰγὸς στέαρ καὶ μέλι καὶ ἔλαιον ῥόδινον τουτέοισιν ἀναφυρῆν. ἔλαιον δὲ παραχλιαίνειν παρὰ τὸ πῦρ καὶ τὸ ἀποστάζον εἰρίῳ ξυλλέγειν καὶ προστιθέναι. ἢ στέαρ ἐρυθρὸν χηνὸς τὸ ἡδὺ καὶ μύρον ῥόδινον, ταῦτα ξυμμίσγειν καὶ προστιθέναι ἐς εἴριον ἀναδεύσασα. ἄμεινον δὲ χηνὸς ἔλαιον, ὄϊος στέαρ, κηροῦ λευκοῦ, ῥητίνη, νέιτωπον, ἔλαιον ῥόδινον, ταῦτα ὁμοῦ τῆξαι καὶ μῖξαι. λουσαμένῃ δὲ προστιθέσθω χλιερὰ εἴσω πρὸς τὸ στόμα τῶν ὑστερέων. ἢ ἐλάφου μυελὸν καὶ στέαρ χηνὸς τήξας ῥοδίνῳ ἢ ἰρίνῳ ἐλαίῳ ἀναφυρῆν. εἴριον δὲ μαλθακὸν ὕγαν προστιθέναι. [823] γυναικὶ ὁκόταν αἱ ὑστέραι σκληραὶ γένωνται καὶ ἐς τὰ αἰδοῖα ἐξίωσι

subduxerit, aqua odorata circum abluatur. Vel grana Cnidia quindecim cortice detracto fumito. Sit et Indici medicamenti aliquantulum, in lacte mulieris maſculum lactantis, ſi ita viſum fuerit, tritum. Admiſcenda autem cervi medulla et quae dicta ſunt cum pauco melle. Sit autem lana mollis pura et per diem ſupponatur. Quod ſi vehementius parare voles, myrrhae puſillum quid admiſceto. Optimum autem ovi candidum, adeps caprinus, mel et oleum roſaceum his permiſcendum. Oleum autem ad ignem tepefacito, quod deſtillat vellere exceptum ſupponito. Aut anſerinum adipem rubrum ſuaviter conditum et unguentum roſaceum, haec permixta vellere excepta ſupponito. Optimus autem eſt anſerinus adeps et ovillus, cera alba, reſina, netopum, oleum roſaceum, haec ſimul liquato et miſceto. A balneo autem tepida intro ad uterorum os apponat. Aut cervi medullam, anſerinum adipem liquatum, roſaceo aut irino oleo ſubactum, ex vellere autem admodum molli ſupponito. Mulieri cum uteri duri extiterint et ad pudenda proceſſerint;

Ed. Chart. VII. [822.] Foes. I. 659. Ed. Lind. II. (579.)

ρας εὐώδεσι καὶ λιπαροῖσι. τῇ δὲ ὑστεραίῃ τὴν γλήχωνα προστιθέναι μίην ἡμέρην. τῇ δὲ ἑπομένῃ πυρίην τοῖσιν ἀρώμασι. σιτίοισι δὲ δριμέσι χρήσθω καὶ τοῖσι θαλασσίοισιν, ἢ κρέασιν. ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν πινέτω τὸν κάστορα, καὶ ἀσιτεύσασα ἀλουτείτω θυμιωμένη, καὶ τὸν κυκεῶνα πίνουσα, παρὰ τὸν ἄνδρα ἡκέτω. ἢν δὲ μὴ ἐνδέχηται τὸ στόμα τῶν ὑστερέων τὴν γονὴν, ἀλλὰ στειρῶδες ᾖ καὶ συμμεμυκὸς, προστιθέσθω μολύβδιον, ὡς εἴρηται, τρεῖς ἡμέρας λουσαμένη θερμῷ, καὶ μαλθακιηρίοισι χρεέσθω, καὶ ἀνακεέσθω ὑπτίη, καὶ ἐφ' ὕδωρ θερμὸν ιζέσθω καὶ εἰρίον ἐς μύρον ἀποβάπτουσα προστιθέσθω, καὶ τὴν νύκτα προστιθέναι δεῖ μᾶλλον. πυρατιθέναι δὲ παρὰ τὰ ἰσχία εἵματα ἐριέα ἢ μαλθακὰ λίνεα, ὡς μὴ περιῤῥῆδες ᾖ τὸ σῶμα προσθέτοισι μαλθακοῖσι. σμύρναν πιοτάτην καὶ πίσσαν καὶ κηρὸν καὶ στέαρ χηνός. ἔστω δὲ τῆς σμύρνης μὲν τὸ ἥμισυ, τῶν δ' ἄλλων διπλάσιον. ἐν εἰρίῳ δὲ προστίθεσθαι. ἔστω δὲ δύο. προσκείσθω δὲ λουσαμένῃ τὴν ἡμέρην τὸ ἕν, τὸ δὲ ἕτερον ἐς τὴν νύκτα ἑστάναι μαλθακὸν, καὶ ἐπειδὰν τοῦτο ὑφέληται, τῷ

missis diebus, uteros odoratis et pinguibus colluito, posstridie vero pulegium uno die subdito et sequenti die ex aromatis fomentum adhibeto. Cibis autem acribus utatur et marinis piscibus, aut carnibus. Euntibus autem mensibus castorium bibat et jejuna illota, post adhibitum sussitum et ebibitum cyceonem ad virum veniat. At si uterorum os genituram minime suscipiat, sed sterile fuerit et clausum, post calidae balneum, per tres dies glandulam plumbeam, ut dictum est, subdat, emollientibus utatur, supina recumbat, in aquam calidam insideat et lanam unguento imbutam in subdititio apponat, quae noctu potius apponenda est. Ad coxas vestes laneas aut molles lineas apponito, ne corpus in alterutram partem defluat. In mollibus subdititiis myrrham pinguissimam, picem, ceram et adipem anserinum apponat. Et myrrhae quidem pars sit dimidia, reliquorum vero dupla, in vellere autem supponito. Duo vero parentur subdititia, ex quibus unum per diem post balneum lotae apponatur, alterum vero per noctem, quoad emollitum sit, quod ubi

Ed. Chart. VII. [823] Foës. I. 660. Ed. Lind. II. (581.)

παντάπασιν οὐ γίνεται· ἢν δὲ γίνηται, ὀλίγα καὶ πονηρὰ καὶ ὄχροα. ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ θερμῷ. μετὰ δὲ τὸ λοῦτρον διδόναι τοῦ κάστορος ξὺν τῇ γλυκυσίδῃ τῆς ῥίζης. ξυμμίσγειν χρὴ ἐν οἴνῳ μέλανι εὐώδει. σιτίοισι διαιτήσθω, ὡς ἡ λεχὼ, καὶ ἢν δῆλα ᾖ τὰ ἐπιμήνια, ἐπισχεῖν μίην ἡμέρην καὶ πυριῆν ὅλην, καὶ φάρμακον διδόναι ποτόν. ἢν δὲ ἐθάδες ἔωσιν, ἄνω, ἢν δοκῇ δεῖσθαι, ἢ κάτω. γάλα οὖν ὄνου ἢ ὀρρὸν προσφέρειν, καὶ πυριῆσθαι βληχρῶς καὶ μαλθακτήρια ὑστέρῃ προσφέρειν, καὶ κυκλάμινον καὶ ναρκίσσινον. σικύων δὲ τῶν σμικρῶν λαβεῖν τὴν ἐντεριώνην, καὶ κατακνήσας ἐξελὼν τὸ σπέρμα, παρασιάζων γάλα γυναικὸς κουροτρόφου, τρίβειν, παραμιγνύων σμύρνην ἄκρητον, καὶ μέλι ὡς κάλλιστον, καὶ ἔλαιον λευκὸν Αἰγύπτιον καὶ ποιεῖν μὴ ὑγρὸν, ἀλλὰ ξηρόν. τοῦτ' ἐμπλάσαι εἰς εἴριον μαλθακὸν καθαρὸν καὶ ἐμβαψάτω ἐν λευκῷ ἐλαίῳ Αἰγυπτίῳ καὶ λουσαμένη προστιθέσθω. ὑποδείσθω δὲ καὶ ἐν σκέπῃ ἤτω, ὅταν καθαίρηται. ἐπὴν δέ σοι δοκέῃ ἀρκούντως ἔχειν, παύσασθαι· ἢν δὲ μὴ, αὖθις τιθέναι ἕτερον. μετὰ δὲ τοῦτο ἀμφιελίξασα

fluunt, aut pauci pravi et decolores. Cum ſic habuerit, multa calida lavato. Poſt balneum vero caſtorium admixta paeoniae radice ex vino nigro odorato exhibere oportet. In cibis victus rationem qualem puerpera adhibeat. Quod ſi menſes conſpicui fiunt, diei unius mora interjecta, totam foveto et medicamentum potui exhibeto, ſi vero aſſuefactae fuerint, ſurſum aut deorſum purgans, ſi indigere videatur. Lac igitur aſininum aut ſerum exhibeto, leniter foveto, emollientia utero, cyclaminum et narciſſinum adhibeto. Cucumerum autem agreſtium parvorum medullam, ſemine detracto conciſam, lacte mulieris maſculum lactantis affuſo terito, myrrha ſincera ammixta et melle quam optimo et oleo albo Aegyptio. Hoc medicamento non liquido, ſed ſicco confecto, lanam mollem puram obducito et oleo albo Aegyptio intinctam poſt balneum ſubter apponat. Subligaculum autem adhibeat et ſub tecto maneat cum purgabitur. Ubi autem tibi ſatis eſſe videbitur, quieſcito, alioqui aliud

Ed. Chart. VII. [823.] Foës. I. 660. Ed. Lind. II. (580. 581.)
καὶ οἱ βουβῶνες σκληροὶ γίνονται, καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ καὶ καρκινοῦται πάντα. ὅταν οὖν ὧδε ἔχῃ, σικύου χρὴ τὸ ἔνδον τρῖψαι καὶ κηρίον, ὕδατος κοτύλην ἐπιχέαν ἐνεῖναι ἐς τὴν ἕδρην, καὶ καθαίρεται. ἢν τὸ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ὑπὸ ξηρασίης καὶ ἐν σχήματι ᾖ νοῦσος ἥ, ὁ αὐχήν, τῷ δακτύλῳ γνώσει παραψαύσας. καὶ ἢν εἰς τὸ ἰσχίον εἰληθῶσι, μὴ προσφέρειν δριμὺ μηδέν. ἢν γὰρ ἑλκωθῇ ἢ φλεγμήνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι. προστίθεσθαι δὲ ἄσσα μὴ ὀδάξεται, ὑφ' ὧν καθαιρεῖται. ὅταν δὲ σκληραὶ ἔωσιν αἱ ὑστέραι καὶ τῇδε ἀλγέουσι, προσθετὰ τιθέναι οἷον ἐλάφου μυελὸν ἢ χήνειον στέαρ ἢ ἔλειον, καὶ ἴρινον μύρον ξὺν μέλιτι, καὶ μαλθάσσειν ὠοῦ τὸ πυρρὸν καὶ κηροῦ λευκοῦ ὡς ἐπίπλα(581)σμα, καὶ κρίθινον ἢ πύρινον ἄλητον ξὺν ὕδατι καὶ πηγάνῳ ἕψειν. ἢν αἱ μῆτραι ξυμμύωσι, τὰ στόματα σκληρὰ γίνονται σφῶν, καὶ τὴν γονὴν οὐκ ἔτι δέχονται, ἀλλ' αὐτόθεν ἐπὴν ξυνευνεθῇ τῷ ἀνδρὶ, κινέουσα τὰ σκέλεα χωρέει, καὶ ὀδύναι τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς βουβῶνας ἔχουσι, καὶ τὰ ἐπιμήνια

inguina indurescunt, in pudendis ardor est, omniaque ad cancrum vergunt. Ubi sic habuerit, cucumeris agrestis interiorem partem et savnm terere oportet et affusa aquae hemina in sedem immittere, ut purgetur. Si uterorum os ex siccitate induruerit, aut cervix, ubi digito contrectaris cognosces. Ac si ad coxam volutentur, acre nihil adhibeto. Periculum enim est, si ulceretur aut inflammatione laboret, ne penitus infoecunda reddatur. Et vero quae non mordent, ex quibus purgetur, in subdititio apponito. Cum autem duri fuerint uteri, eaque parte dolor adfuerit, in subdititio apponito, velut cervi medullam, aut anserinum adipem, aut suillum et unguentum irinum cum melle, aut ovi luteum ex cera alba emollitum ex cataplasmate imponito, et hordeaceam aut triticeam farinam cum aqua et ruta coquito. Si uteri clausi fuerint, ipsorum ora dura evadunt, neque amplius genituram recipiunt, sed inde ubi cum viro concubuerit ac crura moverit, secedit, dolores imum ventrem, lumbos et inguina detinent, menses nullo modo pro-

Ed. Chart. VII. [824.] Foës. I. 661. Ed. Lind. II. (582. 583.)
κἀπειδὰν ἐφθὴ γένηται, ἐκθλίψαι. ὑποτρίβειν δὲ σκόροδα καὶ κύμινον καὶ ἅλας, καὶ ἔλαιον ἀνακυκᾶν ἐν τουτέοισι, καὶ ὀλίγον ἐπιχέαντα τοῦ χυλοῦ ἀναζέσαι. τοῦτο πρὸ τῶν σιτίων ἐσθίειν, σκόροδα δὲ ἑφθὰ καὶ ὀπτὰ λαμβάνειν ὡς πλεῖστα. ἢν δὲ ἡ λινοζῶστις μὴ ἄπαλὴ ᾖ, λείην ξυνεψεῖν χρὴ κράμβῃ καὶ ἡδύνειν καὶ προσηνὲς εἶναι, καὶ ἢν ἐν γαστρὶ λάβῃ, ὑγιὴς γίνεται καὶ παντά οἱ κατὰ κόσμον ἴῃ. ἢν δὲ τὸ στόμα τῶν μητρέων (583) ξυμμύσῃ, γίνεται ἰσχυρὸν ὡς ἐρινέον. κἢν ἐπαφήσῃ τῷ δακτύλῳ, ὄψει σκληρόν τε καὶ ξυναλεόμενον, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι καὶ τὰ ἐπιμήνια κεκρύφαται, καὶ τὴν γονὴν οὐ δέχεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὴν ὀσφῦν καὶ τοὺς κενεῶνας. ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται καὶ πνίγει. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω, καὶ λούειν πολλῷ θερμῷ, καὶ προστιθέναι ὅσσα μαλθάσσει τὸ στόμα, καὶ ὑπάλιπτρον καθιέναι καὶ ἀναστομοῦν τόν τε δάκτυλον καὶ ὡσαύτως λειοῦν. ὅταν δὲ μαλθακὸν ᾖ, προστιθέναι ὅσσα καθαίρει αἷμα, καὶ τῶν ποτημάτων διδόναι καὶ πειρηθῆναι παρέχειν καὶ ὅ τι ἂν ἄλλο προσδέχηται, τὴν κράμβην δὲ

exprimito, allium, cuminum et ſalem leviter tritum et oleum cum his permiſceto et pauco affuſo decocto ferveſacito, hoc ante cibos edat. Allia cocta et aſſata quam plurima ſumat. Quod ſi mercurialis minima tenera fuerit, laeviter trita cum braſſica, ut miteſcat, coquenda et condienda, et ſi concipiat, convaleſcit, omniaque rite et ordine procedunt. At ſi uterorum os conniveat, durum velut caprificus evadit et ſi digito contrectaris, durum ac convolutum deprehendes, digitum non intromittit, menſes deliteſcunt, neque hoc tempore genituram recipit, dolor imum ventrem, lumbos et laterum inanitates detinet, interdum vero ſurſum inſlat et ſuffocat. Cum ſic habuerit, medicamentum deorſum purgans propinare oportet, copioſa calida lavare, quae os emolliunt in ſubdititio apponere et demiſſo ſpecillo linitorio aperire, digitoque ſimiliter laeve reddere. Cum vero molle fuerit, quae ſanguinem purgant in ſubdititio apponito, potiones et quodcunque aliud lubenter admit-

Ed. Chart. VII. [823. 824.] Foës. I. 660. 661. Ed. Lind. II. (581. 582.)
ἐς εἴριον μαλθακὸν, στρογγύλον δὲ ποιέειν, καὶ νέτω-(582)
πον ἐμβάλλειν, καὶ προστίθεσθαι μίην ἡμέρην; || τῇ δ' ὑστεραίῃ ἔλαιον ῥόδινον ἐν εἰρίῳ. εἶτα πάλιν ἐλάφου στέαρ τήξας καὶ αὐτὸ ἐν εἰρίῳ. λουέσθω δὲ ἐν θερμῷ ὕδατι, αἰεὶ πρὸ τῶν προσθετῶν, καὶ πυριήσθω εὐόδμοισι βληχρῶς πλεῖστον χρόνον. μετὰ δὲ [824] μίην διαλιπὼν ἡμέρην, κλύσαι, ἢν μὲν φλεγματώδης, τῷ ξὺν τῷ κόκκῳ, ἢν δὲ χολώδης, τῷ ἀπὸ τῆς σκαμμωνίης. μετακλύζειν δὲ καὶ ἐπὶ τουτέοισιν ἀμφοτέροισι τῇ ὑστεραίῃ τῷ ναρκισσίνῳ σὺν οἴνῳ γλυκεῖ. ἢν δὲ μὴ εἴη ναρκίσσινον, ἀνθίνῳ, ἢ ἰρίνῳ ὡς καλλίστῳ. ἔστω δὲ τοῦ ἐλαίου τρίτη μοῖρα τοῦ οἴνου. ἔπειτα διαλιποῦσα δύο ἡμέρας προσθέσθω τὸ ξὺν τῇ γλήχωνι ἡμέραν μίην. ἢν δὲ γένηται τὰ ἐπιμήνια, πινέτω νῆστις τὸν κάστορα τρεῖς ἡμέρας σὺν οἴνῳ εὐώδει λευκῷ. ἐπὴν δὲ ἀπολήγῃ τὰ ἐμμήνια καὶ παραμόνιμα ᾖ, λουέσθω, καὶ διανιζομένη ὕδατι ψυχρῷ κυκεῶνα πινέτω ἄναλτον, σίτου δὲ μὴ ἁψάσθω. ξυναυλέτω δὲ τῷ ἀνδρὶ δύο ἡμέρας ἢ τρεῖς. ὁκόσον δ' ἂν χρόνον καθαίρηται, τὴν λιποζώστιν ἑψοῦσα ἐν ὕδατι

rurſus imponito. Poſt hoc vero lanam mollem in rotundum convolutam netopo injecto die una ſubter apponito, poſtero autem die oleum roſaceum in vellere, deinde rurſus cervinum adipem, liquatum etiam ipſum in vellere. Semper autem ante ſubdititia calida lavet et longo tempore odoratis leviter foveatur. Poſtea vero die uno, ſi quidem pituitoſa fuerit, medicamento quod cum grano Cnidio conficitur; colluito, ſi vero biliosa, cum ſcammonia parato. Poſt haec autem utraque, poſtridie narciſſino cum vino dulci colluito: Quod ſi narciſſinum deſit, anthino aut irino praeſtantiſſimo: Sit autem olei pars ad vinum tertia. Deinde duobus intermiſſis diebus, medicamentum cum pulegio apparatum, uno die ſupponat. Si vero menſes profluant, jejuna tribus diebus caſtorium cum vino albo odorato bibat. Ubi autem menſes deſierint ac diu conſtiterint; lavet et aqua frigida perfuſa cyceonem inſulſum bibat. Cibum non attingat, cum viro duobus aut tribus diebus dormiat. Quo autem tempore purgatur, mercurialem aqua decoquito, decoctum

Ed. Chart. VII. [825.] Foës. I. 661. 662. Ed. Lind. II. (584.)
αἱματώδεος, γίνονται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια ἐξαπίνης ἱστάμενα ῥαγῇ. ἡ δίαιτα γοῦν πρόσθεν εἴρηται. χρὴ δὲ προσθέτοισι θεραπεύειν, ἐν ἀρχῇ μὲν καθαρτηρίοισιν ἅμα καὶ μαλθακοῖσιν, ἔπειτα ἠρέμα στύφουσι, ‖ καὶ σπόγγοισι τὰ κάτω τοῦ ὀμφαλοῦ πυριῆν μυρσίνης ὕδατι, ἢ βάτου, ἢ ἐλάων φύλλοις ἐναφεψῶν, ἢ ῥόδων, ἢ οἰνάνθης, ἢ ἀμπέλου. ἢν τὸ στόμα τῶν μητρέων ἀναχάνῃ, ἢ ὡς πέφυκεν ἐν τοῖς ἐπιμηνίοις, οὕτω γένηται τὰ ἐπιμήνια, πλείω καὶ κακίω πάντα, καὶ ὑγρότερα καὶ διὰ πλείονος χρόνου, καὶ ἡ γονὴ οὐχ ἅπτεται, οὐδὲ μένει, ἀλλὰ πάλιν ἔξεισιν, κἢν ἐπιμείνῃ, τὸ στόμα εὑρήσει διαπεπληχὸς καὶ ἀδυναμίῃ ἴσχει ὑπὸ τῶν ἐμμηνίων, καὶ κούφη ἐστὶ καὶ ἄτονος καὶ πρόσω χωρέει, τὰ δὲ κρᾶτεα χαλᾶται, καὶ πῦρ βληχρὸν, καὶ ῥῖγος, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα μάλιστα, ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ καὶ παγῇ, πάσχουσι δὲ καὶ ἐκ τόκων ἔνιαι, αἱ δὲ καὶ ἄλλως. ὅταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν, καὶ

sanguineo prehendit, contingit etiam ubi menses suppressi derepente affatim eruperint. Victus igitur ratio antea dicta est. Curatio autem per subdititia instituenda, per initia quidem purgantia simul et emollientia, deinde paulatim adstringentia, partesque infra umbilicum per spongias ex myrti aut rubi aqua fovendae, aut oleae foliorum decocto, aut rosarum, aut oenanthes, aut vitis. Si uterorum os plus quam in mensibus consuevit dehiscat, hoc modo menses omnes copiosiores et deteriores, liquidiores et diutius eunt, neque genitura attingit, neque manet, sed contra foras exit, et si permaneat, os diductum comperit et imbecillitas propter menses occupat, levis est et invalida et ultra procedit. Vires autem exolvuntur et febris lenta et rigor dolorque imum ventrem, laterum inanitates et lumbos occupat. His autem praecipue afficitur, si quid in ea corruptum computruerit et condensatum fuerit, quaedam etiam ex partu afficiuntur, aliae etiam alio modo. Cum igitur sic habuerit, medicamentum potui exhibere oportet, et facilius judicatione

Ed. Chart. VII. [824. 825.] Foël. I. 661. Ed. Lind. II. (583. 584.)
ἐσθιέτω καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν αἱ μῆτραι ξυμμύωσι καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, κολοκυνθίδα ἀγρίην καὶ κύμινον Αἰθιοπικὸν καὶ νίτρον καὶ ἅλας Θηβαϊκὸν καὶ νεφρίδιον καὶ ἄλευρον καὶ σμύρναν καὶ ῥητίνην, ζέσας πάντα ὁμοῦ καὶ μίξας λεῖα, καὶ ποιήσας βάλανον προστίθει. ἢν θρομβωθῶσιν αἱ μῆτραι, τὸ στόμα αὐτῶν γίνεται οἷον ὀρόβων μεστὸν, καὶ ἢν ἐπαφήσῃ, ὄψει οὕτως ἔχον, καὶ τὰ ἐπιμήνια οὐ γίνονται, οὐδὲ ἡ γονὴ ἐμμένει. τέως ἂν ὧδε ἔχει, τῆς κυκλαμίνου τὸν φλοιὸν περιλέψας καὶ σκόροδα, καὶ ἅλας, καὶ σῦκον, καὶ μέλι ὀλίγον, ταῦτα τρῖψαι καὶ συμμῖξαι καὶ ποιῆσαι [825] βάλανον καὶ προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων, καὶ τῶν ἄλλων προσθετῶν, ὅσα δριμέα τέ ἐστι καὶ ὑφ' ὧν καθαίρεται αἷμα, καὶ τῶν πομάτων ὅσσα ὑστέρας καθαίρει. (584) ἢν παρὰ φύσιν αἱ μῆτραι χάρωσι, τὰ ἐπιμήνια χωρέει πλείονα καὶ γλίσχρα καὶ θαμινὰ, καὶ ἡ γονὴ οὐκ ἐμμένει, καὶ τὸ στόμα κεχηνός ἐστι, καὶ οὐχ οἷόν τε εἰρύασθαι τὴν γονὴν, καὶ πῦρ καὶ ῥῖγος λαμβάνει τὴν κάτω κοιλίην καὶ τὰς ἰξύας. ἡ δὲ νοῦσος λάζηται ἐκ ῥόου

tat, exhibere tentato, braſſicam edat et ſuccum ſorbeat. Si uteri conniveant et menſes non appareant, colocynthidem agreſtem, cuminum Aethiopicum, nitrum, ſalem Thebaicum, renum adipem, farinam, myrrham, reſinam, haec omnia ſimul ſervefacta, laevigata, permixta et in glandem efformata ſupponito. Si in uteris ſanguinis grumi fuerint, eorum os velut orobis plenum exiſtit, et ſi contigeris, ita ſe habere deprehendes, menſes non eunt, neque quoad ita habuerit genitura intus manet. Cyclaminum cortice detracto, allia, ſalem, ficum, mel paucum, haec trita et ſimul mixta in glandem efformato et ad os uterorum apponito, aliaque ſubdititia, quae acria ſunt et rodunt, quibusque ſanguis purgatur et potiones, quae uteros purgent exhibeto. Si praeter naturam uteri dehiſcant, menſes copioſi, glutinoſi et crebri feruntur, genitura intus non manet, os dehiſcit, neque genituram attrahere valet, et febris et rigor inferiorem ventrem et lumbos invadit. Morbus autem ex profluvio

Ed. Chart. VII. [826.] Foës. I. 662. Ed. Lind. II. (585. 586.)
πεύειν χρὴ, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, ὡς ἐπὶ τῶν πρόσθεν γέγραπται. ἢν αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐπιμήνια ἐπιλυγίζονται καὶ ὁ τράχηλος ξυναραχνοῦται, καὶ πυρετὸς ὀξὺς, καὶ γνώμης ἅπτόμενος, καὶ πονηρὰ καὶ ὀλίγα οἱ ἐπιφαίνεται, καὶ ὁκόταν νῆστις ᾖ, ἔμετός τις αὐτέῃ ἐπέρχεται. ὁκόταν τέ τι φάγῃ, ταῦτα ἐμέει, καὶ ὀδύνη τὴν (586) νειαίρην γαστέρα ἴσχει καὶ τὰς ἰξύας, καὶ ἀποψυχέει, καὶ περίψυξις δι' ὅλου τοῦ σώματος. ἡ δὲ γαστὴρ τοτὲ μὲν σκληρὴ, τοτὲ δὲ μαλθακὴ, καὶ ἐμπίπραται, καὶ αἴρεται, καὶ δοκέει ἐν γαστρὶ ἔχειν. ἔστι δ' ὅτε κενεὸν φαίνεται τὸ πλήρωμα τῆς γαστρὸς, καὶ ἐμπίπλαται ἡ κοιλίη ὕδατος, καὶ ὁ ὀμφαλὸς ἐξίσχει, καὶ τὸ στόμα ἰσχνὸν, καὶ ἐξαπίνης ἐφάνη τὰ ἐπιμήνια τρύζοντα, καὶ ὀλίγα καὶ πονηρὰ, καὶ λεπτύνεται τὰς κληῖδας καὶ τὴν δειρὴν, καὶ οἱ πόδες οἰδίσκονται καὶ αἱ πέζαι μάλιστα. ὅταν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω, καὶ προσθέτοισι πυριῆσθαι τὰς ὑστέρας, ὡς εὐώδεσι τὰς ἡμέρας | τοῖσι μολυβδίοισι καὶ λοῦσαι θερμῷ ὕδατι πρὸ τῆς προσθέσιος μὴ δάκνοντι, καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν δύο πόσιας. κνή-

ratio, quacunque parte dolor detinet, quae in ſuperioribus ſcripta eſt adhibenda. Si uteri inflammatione laborarint, menſes occultantur et cervix tenuibus veluti aranearum telis implicatur, febris acuta eſt et mentem tentans, menſes ei pauci et pravi comparent, jejunae vomitus quidam ei advenit, cum autem comederit, ea evomit, dolor imum ventrem et lumbos detinet, animo deficit et toto corpore perfrigeratur. Venter autem partim quidem durus, partim vero mollis eſt et inflatur ac attollitur, uteroque geſtare ſe exiſtimat. Quandoque vero ventris moles inanis videtur, venterque aqua impletur, umbilicus prominulus extat, os extenuatur, derepente menſes cum ſtridore pauci et pravi comparent, circa jugulum et cervicem extenuatur et pedes praeſertimque plantae intumeſcunt. Cum ſic habuerit, medicamentum deorſum purgans propinandum, ſubdititia et grati odoris fomenta utero admovenda. Per diem peſſuli plumbei ſupponendi et ante appoſitionem decocto calido minime mordente lavandum et poſt appotionem hac collu-

Ed. Chart. VII. [825. 826.] Foël. I. 662. Ed. Lind. II. (584. 585.)
κρισιμωτέρη ἔσται. κἢν ὀδύνη ἔχῃ, τῶν χλιασμάτων προστιθέναι, καὶ τῷ ψυχρῷ λούειν, καὶ διαλείποντα κλύζειν, καὶ τῶν ποτημάτων δι(585)δόναι ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν ὁκόσα ξηραίνει, καὶ πουλύποδας ἐσθιέτω, καὶ τὴν λινοζωστιν. ἢν δὲ μὴ μεμύκωσιν αἱ μῆτραι ὡς χρὴ καθίγνυσθαι ἐν ὕδατι, μυρσίνης ἐναφεψημένης, ἢ σχίνου, ἢ ἀμπέλου, ἢ ἐλαίης φύλλοισιν, ἢ ῥόδων. δίαιτα δὲ ἣ λέλεκται ἐπὶ τοῦ ἐρυθροῦ ῥόου. ἄριστον δέ οἱ βοήθημα δίψα, ἔμετοι θαμέες καὶ λουτρῶν εἴρξεις, [826] ὁκόταν ἀναστομωθῶσι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι καὶ μὴ μεμύκωσι, καὶ καθάρσιος δέωνται καὶ κλυσμῶν καὶ θυμιαμάτων. ἢν δὲ ἀνθῶσι τὰ ἐπιμήνια, πλείω γίνεται καὶ κακίω καὶ ὑγρότερα καὶ πυκνὰ, καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλ' ἡνίκα ἴῃ, οἴχεται, καὶ τὸ στόμα ἐπαφώμενος τῷ δακτύλῳ ὄψει λεῖον, καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων, καὶ πυρετὸς καὶ ῥῖγος ἴσχει, ὀδύνη τε ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας καὶ τοὺς νεφρούς, μάλιστα δὲ ἤν τι ἐν ἑωυτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου καὶ ἄλλως. ὅταν οὖν οὕτως ἔχῃ, θερα-

solvetur, et si dolor detineat, tepefacientia admovere, frigida lavare et intermissione facta colluere, potionesque quascunque praecipue admiserit exhibere et quaecunque siccant in sussitu admovere. Polypos et mercurialem edat. At nisi uteri velut convenit claudantur, in aqua myrti, lentisci, vitis aut oleae foliorum, aut rosarum decocto desidendum. Victus autem ratio quae dicta est in fluore rubro imperanda. Optime autem ei auxiliantur sitis, frequentes vomitiones et balneorum abstinentia. Cum plus aequo aperti et minime occlusi fuerint et purgatione indigent et collutionibus et sussitibus. Quod si laeves ac lubrici fuerint, menses copiosiores, deteriores, liquidiores et crebriores decurrunt, genitura intus non manet, sed cum effluxerit, discedit, et si digito os attrectaris, laeve deprehendes. Imbecillitas eam propter menses invadit et febris et rigor detinet, dolor etiam imum ventrem, lumbos et laterum inanitates occupat, idque praesertim si quid in ea corruptum computruerit, et ex partu atque alio modo. Cum igitur ita habuerit, cu-

Ed. Chart. VII. [827.] Foël. I. 663. Ed. Lind. II. (587.)
δὲ μαλθακὴ γίνεται καὶ καθίσταται δὲ οὐ πάνυ, κοιλίη μεγάλη γίνεται καὶ οὐ καθαίρεται, καὶ οὐ δοκέει κύειν, καὶ πάσχει ὁκόσα περ καὶ αἱ ἐγκύμονες. κἄν θιγγάνῃ τῆς κοιλίης, κοῦφον τὸ οἴδημα γνοίης ὡς ἀσκοῦ, καὶ ὁκόταν δοκέῃ τόκου ὥρη εἶναι, αἱ μῆτραι ξυμπίπτουσι, καὶ τὰ ἐπιμήνια ὀλίγα καὶ κακίονα. ταύτην φάρμακον χρὴ πιπίσκειν κάτω, καὶ προστιθέναι τῶν καθαρτικῶν, καθαρθεῖσα δὲ ὑγιὴς γίνεται. ἢν φλεγμαίνηται ἡ μήτρη, ψαύεται. ἢν δέ τι σφακελίζῃ καὶ παλιγκοταίνῃ, πῦρ ἔχει ὀξὺ καὶ μέγα καὶ φρίκη, σκληρὴ τὰ ἀμφὶ τὰ αἰδοῖα, ἐκπάγλως τε αἴσθεται καὶ δάκνεται καὶ ὁρμᾷ, καὶ εἴ τις ἐπαφήσει τῷ δακτύλῳ, καὶ αὖθις κάκιον ἴσχει καὶ ἀδάξεται καὶ τὴν κεφαλὴν ἀλγέει καὶ τὸ βρέγμα καὶ ἀχλὺς, καὶ ἱδρὼς μετωπιδαῖος τὰ ἄκρεα ψύχονται καὶ τετρεμαίνουσι, καὶ κῶμα ἔχει ἄλλοτε, καὶ ἐσακούειν οὐκ ἐθέλει. οὐδὲ ἡ ὑστέρη ἐνεργεῖ, ἀσιτίη πολλὴ, καὶ στόμαχος οὐ πάμπαν εἰρύαται τὴν τροφὴν καὶ ἡ κοιλίη, καὶ βοᾷ καὶ ἀναΐσσει καὶ ὀδυνᾶται τό τε ἧτρον καὶ τοὺς βουβῶνας

fere ſibi reſtituitur. Venter magnus evadit, neque purgatur, ſibique praegnans eſſe videtur et eodem modo quo praegnantes afficitur, et ſi ventrem attigeris, levem tumorem velut utris deprehendes, cumque partionis tempus inſtare viſum fuerit, uteri conſidunt et menſes pauci et pravi decurrunt. Huic medicamentum deorſum purgans propinandum et quae purgent in ſubdititio apponenda, purgata vero ſanitati reſtituitur. Si inflammationem ſenſerit uterus, contrahitur. Quod ſi quid corruptum fuerit et recruduerit, febris acuta et magna horrorque detinet, partes circa pudenda durae ſunt, ſtupendum in modum afficitur, mordetur et impetu fertur. Ac ſi quis immiſſo digito contrectet, rurſus pejus habet et mordetur, caput et ſinciput dolore afficitur, caligo et frontis ſudor adeſt, extrema perfrigerantur et tremunt, interdum ſopor occupat, audire non ſolet, neque aliquid uterus efficit, multum eſt cibi faſtidium, neque ſtomachus, neque ventriculus omnino cibum attrahit, vociferatur, cum impetu proſilit, dolor eſt ad pubem, in-

Ed. Chart. VII. [826. 827.] Foël. I. 662. 663. Ed. Lind. II. (586. 587.)
στρου ἑψῆσαι κοτύλην ὕδατος καὶ ἀποχέαντα τὸ ὕδωρ κλύσαι κοτύλην ὕδατος, ξυμμίξαντα καὶ ἐλαίου ναρκισσίνου ἢ ἀνθινοῦ. μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας τρεῖς, εἶτα κλύσαι τῷ ξὺν τῷ ὄξει, καὶ πρὸ τοῦ σίτου τὴν λινοζῶστιν ἑψοῦσα σὺν οἴνῳ ποσῷ ἐσθιέτω ὡς κράμβην καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν δὲ ἐπιμένοι, φάρμακα πιπίσκειν, ὑφ' ὧν ὕδωρ καθαίρεται τὰς ὑστέρας. σιτίοισι δὲ χρεέσθω ἄρτοισι καὶ λαχάνοισιν, ἑφθοῖσι, || ταρειροῖσι, θαλασσίοισι δὲ μᾶλλον ἢ κρέασιν, ἢ ἀκροκωλίοισιν ἑφθοῖσι ταρειροῖσι, καὶ ταλαιπωρέειν ὡς πλεῖστα καὶ πρὸ τοῦ σίτου καὶ μετὰ τὸ σῖτον, καὶ λουέσθω ὡς ἐλάχιστα ψυχρῷ, καὶ γλυκέων καὶ λιπαρῶν παντοίων εἰργέσθω. τὰς δὲ διὰ μεσηγὺ τῶν καθαρσίων ἀδίαντον πινέτω, ἐν ὄξει (587) κεκρημένῳ νήστις. ἡ δὲ νόσος θανατώδης, ἐκφυγεῖν δὲ ὀλίγαι δύνανται. [827] ἢν μὴ ἐν γαστρὶ ἔχωσι φλεγμασίης μητρέων, τὰ ἐπιμήνια ἐπιλογίζονται, καὶ ὁκόταν ἄσιτος ᾖ, ἐμεῖ, ὁκόταν δὲ βεβρώκῃ, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας, καὶ ὅλη ἡ κοιλίη, ὁτὲ μὲν σκληροτέρη, ὁτὲ

tione utendum. Cneſtri potiones duas aquae hemina decoquito, decocto percolato admixta olei narciſſini aut anthini hemina colluito. Poſt haec tribus diebus intermiſſis, deinde eo quod cum aceto paratur colluito et ante cibum mercurialem cum pauco vino decoctam velut braſſicam comedat et ſuccum ſorbeat. Quod ſi perſeveret, medicamenta ex quibus aqua ex uteris purgetur potui exhibenda. Cibis utatur panibus et oleribus coctis, mollibus, marinis potius quam carnibus, vel animalium trunculis, coctis, mollibus, vehementibus exercitationibus ante et poſt cibum, ut plurimum utendum. Frigida quam minimum lavetur et a dulcibus et pinguibus quibusque abſtineat. Diebus autem inter purgationes mediis adiantum ex aceto aqua temperato jejuna bibat. Morbus autem lethalis eſt, paucaeque ex eo liberari poſſunt. Si ex uteri inflammatione non concipiant, menſes occultantur, cumque jejuna fuerit, vomit, cum vero comederit, dolor imum ventrem et lumbos detinet, totus venter modo quidem durior, modo vero mollior redditur, neque

Ed. Chart. VII. [828.] Foeſ. I. 663. 664. Ed. Lind. II. (588.589.)

δες. καὶ ὅταν ἐν καθάρσει φλύκταιναι ἀνὰ τὸ στόμα τῆς ὑστέρης φύσωσιν οὕτω θεραπεύειν. σάρκα βοὸς, ἢ πικερίῳ, χηνείῳ στέατι καὶ ἀννήσῳ, τρίψαι λείως τὴν σάρκα καὶ ἐς τὸ αἰδοῖον ἐντιθέναι. ἢν ἐρυσίπελας ἔχῃ τὰς μήτρας, οἰδέει τοὺς πόδας καὶ τοὺς μαζοὺς καὶ τὸ σῶμα, καὶ πόνος αὐτὴν κατέχει, καὶ ὀρθόπνοια γίνεται, καὶ ἀλγέει τοὺς κενεῶνας καὶ τὸ ὑπογάστριον καὶ τὰ στέρνα καὶ τὴν κεφαλήν. τρόμος τε ἔχει, καὶ τὰς (589) χεῖρας νάρκη καὶ τοὺς βουβῶνας, καὶ τὰς ἰγνύας τρέμει. ἐνίοτε δὲ καὶ ἐν τῇσιν ἰγνύῃσι καὶ πελιδναὶ γίνονται, καὶ κουφίζει ὀλίγον χρόνον, καὶ ἡ χροιὴ, μάλιστα δὲ καὶ οἱ μαζοὶ ἀείρονται κατὰ τὴν ὁμοεθνίην. ἀλλὰ γὰρ οὐ πάνυ τι ἀλγέει, καὶ πῦρ καὶ ῥῖγος λαμβάνει, καὶ ἐρυθρὸν τὸ πρόσωπον γίνεται, καὶ δίψα ἰσχυρὴ, καὶ τὸ ἧπαρ ξηραίνεται. ταῦτα ἢν ἐγκύμονι περιπέσῃ, θνήσκει, καὶ οὐκ ἄν δυνήσεται διαφυγεῖν. || ἢν ἐρυσίπελας ἐν τῇσι μήτρῃσι γένηται, οἰδήματα γίνεται πελιωδέστατα ἀπὸ τῶν ποδῶν ἀρξάμενα, καὶ ἐς τὰ σκέλεα πάντα καὶ ἐς τὴν ὀσφῦν. ὅσῳ δ' ἄν ὁ χρόνος πλείων γένηται, καὶ ὁ θώρηξ ἐπαΐει, καὶ οἰδίσκηται καὶ περιψύχεται πᾶσα, καὶ

Cumque in purgatione puſtulae circa os uteri innatae fuerint, ſic curato. Carnem bubulam aut butyro, aut adipe anſerino et aniſo laeviter tritis illitam, in pudendum indito. Si eryſipelas uteros occupet, pedes, mammae et corpus intumeſcunt, dolor ipſam detinet, erectae cervicis ſpiratio contingit, ad laterum mollitudinem dolor eſt, ad ventris partem inferiorem, pectus et caput, tremor et torpor manus detinet, inguina et poplites tremunt. Quandoque vero in inguinibus lividae evadunt et pauco tempore etiam allevat hic color. Praecipue vero mammae cognatione quadam attolluntur. Verumtamen non admodum dolet, febris et rigor invadit, vultus rubet, ſitis vehemens urget et hepar reſiccatur. Haec ſi in praegnantem incidant, perit, neque liberari poterit. Si eryſipelas in uteris oriatur, tumores maxime lividi a pedibus exoriuntur et ad crura tota et lumbos perveniunt. Quo autem longius tempus proceſſerit, etiam thorax affectionem ſentit et intumeſcit, tota perfrige-

Ed. Chart. VII. [827. 828.] Foës. I. 663. Ed. Lind. II. (587. 588.)
καὶ τὰς ἰξύας καὶ παραφύσιας, καὶ ταχὺ θνήσκουσιν. ἢν δὲ αἱ ὀδύναι (588) καταγνῶσιν ὡς σπόγγοισι θερμοῖσιν ἐξ ὕδατος καὶ ἐλαίου ἐκπεπιεσμένοισι πυριῆσαι καὶ προσθέτοισι μαλθακοῖσι, μυελὸν ἐλάφου καὶ χηνὸς ἄλειφα καὶ κηρὸν λευκὸν καὶ ὠοῦ τὸ πυρρὸν ἢ κηρωτὴν πισσηρὴν προστιθέναι ξὺν ῥητίνῃ. καθαίρειν δὲ οἴνῳ, ἢ γάλακτι αἰγείῳ, ἢ ζωμῷ ὄρνιθος. οἶνον δὲ μὴ πίνειν καὶ πτισάνης χυλὸν ῥοφεέτω μητρέων ὀδύνης ἔγχυτον. ἢν ὀδύνη μοῦνον ᾖ σπερχνὴ καὶ βίαιος, ἀχλὺς ἐν τῇσι μήτρῃσιν ἔνι, καὶ οὐκ ἔξεισι τὸ πνεῦμα, ἀλλ' αὐτόθι μένει κακόν. δεῖ οὖν οὕτως θεραπεύειν. ἀνδραφάξιος ἀγρίης καρπὸν καὶ τευτλα τρίψας ὁμοῦ λεῖα χλιήνας τε ἔγχεον εἰς τὰς μήτρας. ὑστερέων ὀδύνας παῦον. οἶνον ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας τρία ἡμίχοα Ἀττικὰ, μαράθου ῥίζας καὶ τοῦ καρποῦ τριτημόριον, καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον. ταῦτα ἐμβαλεῖν ἐς ἐχῖνον καινὸν καὶ οἶνον ἐπιχέαι, εἶτα πυριῆσαι. προστιθέναι δὲ [828] καὶ σκίλλην, ἔστ' ἂν τὸ στόμα μαλθακὸν ᾖ, καὶ φορακιῶ-

guina, lumbos et occulta muliebris pudendi loca, celeriterque moriuntur. Quod ſi dolores ſummam debilitatem inducant, velut ſpongiis calidis ex aqua et oleo expreſſis fotus adhibendi et mollia ſubdititia ſupponenda, ex medulla cervina, adipe anſerino, cera alba et ovi luteo, aut ceratum picatum cum reſina ſubdendum. Vino autem aut lacte caprino purgandum, aut jure gallinaceo. Vinum autem non bibat et ptiſanae cremorem ſorbeat. Hoc ad uterorum dolores infunditur. Si dolor ſolum urgens et violentus fuerit, caligo quaedam in uteris ineſt, neque ſpiritus exit, ſed illic vitium manet. Ad hunc igitur modum curare oportet, atriplicis agreſtis ſemen et betas ſimul tritas, laevigatas, tepidas, in uteros infundito. Quod uterorum dolores ſedat. Vini ſuaviſſimi aequali aqua temperati tres ſemicongios Atticos, radicum foeniculi et ſeminis trientem, olei roſacei heminam dimidiam. His in ollam novam injectis et vino affuſo, poſtea fotum admoveto. Scillam autem etiam in ſubdititio apponito, quoad os molle et apertum fuerit.

Ed. Chart. VII. [828. 829.] Foëſ. I. 664. Ed. Lind. I. (590.)
καὶ σιτία διδόναι γλυκέα, πλὴν οὖν, ἀλλὰ παῦραι θεραπεύονται. ὕδερος δὲ γίνεται, ἐν τῇσι μήτρῃσι τὰ ἐπιμήνια χωρέει ἀσώδεα καὶ ὑδατώδεα καὶ οὐ πάνυ αἱματώδεα, οἰδέει καὶ ἡ ὑστέρη καὶ φλέβες καὶ ὅσα ἄγχιστα, καὶ κνῖσκεται, ἔπειτα πνίγεται. [829] οἱ μαζοὶ ῥέουσι, καὶ ἡ νειαίρα γαστὴρ σκληρή ἐστι καὶ οἰδέει καὶ πᾶς ὁ ἀμφὶ πέριξ χῶρος, καὶ ἀλγέει, ἤν τις αὐτὴν ψαύσειε πυρετός τε καὶ βρυγμὸς ἴσχει, καὶ ὀδύνη σπερχνὴ ἐς τοὺς κενεῶνας καὶ ἐς τὰς ἰξύας, καὶ ἐξονειροῖ, καὶ κάκιον ἴσχει. ταύτην λούειν δὴ θερμῷ καὶ χλιαίνειν, φάρμακον δὲ πιπίσκειν καὶ πυριῆν βληχρυῖσι. καὶ κυκλάμινον τριώβολον ἐν ὀθονίῳ προστιθέσθω ἀποδήσασα, καὶ κυπαρίσσου χυλὸν βρέχειν ἐν ὕδατι, καὶ κανθαρίδας τρίβουσα προστιθέναι ὀλίγον χρόνον, καὶ διὰ πλείονος ἐνεργεῖ. προσθετὸν ὅσον χήμην κύμινον. ἀσταφὶς λευκή. ἄλλο. κνίδης καρπὸς, ἄρου ῥίζα, τουτέων ὃ βούλει ἐπιεικέως προστιθέναι. ἐπειδὰν ἐκκαθάρῃς, κλυζέσθω, καὶ ἀφαιρέειν καὶ ἐγκλύζειν τὰ αἰδοῖα, καὶ ξυγκοιμάσθω ἅμα, καὶ ἢν διενέγκῃ τὸ ἔμβρυον,

cibos dulces exhibere, paucae tamen curantur. Aqua intercus ſi in uteris oriatur, menſes cum anxietate, aquoſi, neque admodum cruenti prodeunt, uterus etiam intumeſcit et venae et maxime vicinae partes praegnans evadit, deinde ſuffocatur, mammae defluunt, imus venter durus eſt, cumque eo totus circumambiens locus intumeſcit, doletque ſi quis eum attigerit, febris et dentium ſtridor detinet, dolorque vehemens lateris inanitates et lumbos occupat, in ſomnis ſemen effundit et pejus habet. Hanc calida lavare et tepefactoria apponere oportet, medicamentum autem potui exhibere et lenibus fovere. Cyclamini obolos tres in linteo deligatos in ſubdititio apponat et cupreſſi aqua macerati ſuccum et cantharidas tritas modico tempore ſupponat, id per multum tempus efficax eſt. Subditicium medicamentum: Cumini chemae menſura et uva paſſa alba. Aliud. Urticae ſemen, ari radix, horum quod lubet leniter ſubdito. Ubi expurgaris, colluatur, eoque detracto pudenda colluito, ſimulque viro condormiat. Quod ſi foetum maturum perferat;

Ed. Chart. VII. [828.] Foës. I. 664. Ed. Lind. II. (589. 590.)

πῦρ ἔχει μέγα, καὶ ῥῖγος ἐπιλαμβάνει καὶ πνεῦμα πυκνὸν, καὶ λιποθυμίη καὶ ἀσθενείη καὶ ὀδύνη παντὸς τοῦ σώματος. δυσθυμέει τε καὶ αἰολᾶται τῇ γνώμῃ, καὶ τὸ πάθος ἀνέρχεται ἐκ τῆς κάτω κοιλίης ἐς τὰς ἰξύας καὶ ἐς τὰ νῶτα καὶ τὰ ὑποχόνδρια καὶ τὰ στέρνα καὶ τὸν τράχηλον καὶ τὴν κεφαλὴν καὶ τὸν στόμαχον, καὶ δοκέει θανεῖσθαι. ὁκόταν δὲ λύηται ἡ ὀδύνη, νάρκη ἔχει τὰς ἰξύας καὶ τοὺς βουβῶνας καὶ τὰ σκέλεα, καὶ ἐν τῇσιν ἰγνύῃσι πέλια γίνεται καὶ ὀλίγον χρόνον δοκέει ῥᾴων εἶναι. ἔπειτα αὖθις πονέεται, καὶ ὁ χρὼς φλυκταινῶν καταπίμπλαται, καὶ τὸ πρόσωπον ἐρυθήματα λάζεται προφανέα καὶ δηλόμενα, καὶ ὁ φάρυγξ αὖος. ἡ γλῶσσα τρηχείη. αὕτη ἡ νοῦσος εἰ ἐγκύμονα σχοίη, κτείνει. ἢν δὲ μὴ, ἰητρικὴν χρὴ προσάγειν. ὄρου γάλα πιπίσκειν καὶ καθαίρειν. ἢν δὲ μὴ λύηται ὧδε, ψύχειν τὴν κοιλίην, ἐν μαλθακοῖσι (590) ψύγμασι, καὶ προσθέτοισι μὴ περισκλέσι, καὶ καθῆραι κούφοις ἐκ τοῦ κατ' ὀλίγον καὶ ἐμέειν. ἀγαθὸν δὲ ἀκτῆς φύλλα λαμβάνειν ἑφθὰ ξὺν ὀριγάνῳ ἢ θύμῳ ἢ πηγάνῳ. ἢν δὲ τὸ πῦρ μεθίηται, καὶ οἶνον

ratur, febris magna detinet, rigor, denſaque ſpiratio invadit, animi deliquium, imbecillitas, totius corporis dolor, animum deſpondet et mens vacillat. Affectio ex inferiore ventre ſurſum fertur ad lumbos, dorſum, praecordia, pectus, cervicem, caput, ſtomachum, et mori videtur. Cum vero dolor ſolutus fuerit, torpor lumbos, inguina et crura occupat, livores in poplitibus contingunt et parvo tempore melius habere videtur, deinde rurſus affligitur, corpus puſtulis impletur, faciem apparentes et manifeſti rubores invadunt, fauces reliccant et lingua exaſperatur. Ilic morbus ſi praegnantes detineat, interficit. Alioqui medelam adhibere et lac aſininum propinare purgareque oportet. Si vero neque ſic ſolvatur, ventrem mollibus refrigerantibus medicamentis refrigerato et ſubdititiis minime gravibus et levibus paulatim purgato et vomitum cieto. Confert autem ſambuci folia cocta cum origano, aut thymo, aut ruta ſumere, ſi vero febris dimiſerit, etiam vinum et

Ed. Chart. VII. [829. 830.] Foës. I. 665. Ed. Lind. II. (591. 592.)
ἐπίσειον καὶ τὴν ἕδρην, καὶ τὸ οὖρον εἴργεται, καὶ ἡ κοιλίη πνίγεται, καὶ θανεῖν ἐρᾶται, καὶ ὑποχόνδριον τιταίνεται, καὶ στόμαχος δάκνεται καὶ τὸ στόμα πικρὸν, καὶ ἐμέει ὀξέα καὶ ἄκρητα, καὶ ἐρεύγεται θαμινὰ, καὶ ῥαΐζει. ἢν δὲ μὴ ἀνοιδίσκεται καὶ ἢν ἐπαφήσῃ, καὶ ἀντιτυπέει καὶ ἀλγέει. κλύζειν οὖν χρὴ τὴν μήτραν μελικρήτῳ καὶ ὀξυμέλιτι καὶ ἐλαίῳ κύμινόν τε τριπτὸν, ἢ ἄννησον, καὶ λίνου πέταλα τρίβειν, καὶ ὄρνιθος ἀπόπατον ξὺν ὠοῖς καὶ ἐν ὕδατι ἐνιέναι. προσθέτοισι δὲ οἷς ἂν ἐγὼ γράψω, καὶ ποτήμασι χρεέσθω. καθίγνυσθαι δὲ ἐν ἐλαίῳ θερμῷ καὶ ἀρώματα ἐμβάλλειν, σχοίνου ἄν(592)θος ἢ ἐν ὕδατι δάφνης ἢ θαλάσσης. ἄριστον δὲ καθαίρειν κλυσμοῖσι μαλθακοῖσι τὴν κοιλίην. [830] ἢ βάλανον προστιθέναι, ὡς νηπίῳ κοιλίη λύεται. εἴριον ἄπλυτον ξὺν μέλιτι. ἢν δὲ γεραίτερον ᾖ, κρόμμυον ἐς ἔλαιον, ἢ ἐς μέλι καὶ προστιθέναι. ἢ ταύρου χολὴν, ἢ νίτρον ξὺν μέλιτι, ἢ ῥοιῆς ὀξείης κοίνικα ξὺν μέλιτι καὶ ἀλήτῳ κριθίνῳ. εἰ δὲ μύλη ἐμφύεται ὑπὸ πάχεος γονῆς ἐνεχομένης, θύμβραν λειήνας ἐν ὄξει καὶ ὕδατι, τοῦτο δίδου πίνειν ἔννυχον.

que dolor occupat et lumbos et pubem et ſedem, lotium ſupprimitur, venter ſuffocatur, mori exoptat, praecordia contenduntur, ſtomachus mordetur, os amareſcit, acida et ſincera vomitione rejicit, frequenter eructat et melius habet, alioqui intumeſcit et ſi contrectaris et renititur et dolet. Uterum igitur aqua mulſa, aceto mulſo et oleo colluere oportet, cuminumque tritum aut aniſum et lini folia trita et gallinaceum ſtercus cum ovis, ex aqua infundere. Subdititiis autem et potionibus quas deſcribam utitor. Inſidendum autem in oleo calido injectis aromatis, junci odorati flore, aut in lauri decocto, aut aqua marina. Optimum autem mollibus collutionibus ventrem purgare, aut glandem ex lana illota cum melle ſupponere, velut infanti venter ſolvitur. Qui ſi adultior fuerit, cepam oleo aut melle intinctam ſupponito, aut tauri fel, aut nitrum cum melle, aut mali punici acidi nucleum, melle et hordeacea farina ammixta. Si mola ex craſſa genitura intus adhaereſcente generatur, ſaturejam ex aceto et aqua tenuiter tritam, id li-

Ed. Chart. VII. [829.] Foël. I. 664. 665. Ed. Lind. II. (590. 591.)
ἐκκαθαίρεται πᾶσα καὶ ὑγιὴς γίνεται. ἄλλο ὁμοίως ὑδέρου μητρέων. ὑφαιμόν τι ῥέει ἰχωροειδὲς καὶ καθαίρεται, καὶ δάκνει σφόδρα καὶ ἕλκοι ὥσπερ (591) ἅλμη τὰ αἰδοῖα, καὶ τὰ πέριξ, καὶ ὅκου ἂν ἐπιστάξῃ ἕλκοῖ, καὶ ἡ χροιὴ ἰκτερώδης. τὰ δὲ ἄλλα καθαίρεται πλῆθος, ὥσπερ ἐν τοῖσιν ἄλλοισιν ῥόοισιν. ἡ δὲ νοῦσος βληχροτέρη τε καὶ ἄλλως θανατώδης γίνεται. ἢν ἐξέλθωσιν αἱ μῆτραι, ταύτην θεραπεύειν ὡς τὴν ὑπὸ λευκοῦ ῥόου ἐχομένην καὶ γάλα ὄνειον πιπίσκειν, καὶ ἰσχναίνειν, καὶ ἰῆσθαι φαρμάκοισι, τοῖσι προειρημένοισι. ὑδέρου ἐκλικτά. ἢν ὕδωρ ἐκ τῶν μητρέων ῥέῃ, θεῖον χηνὸς ἄλειφα λείχειν. ἢν ἄνεμος ἐν τῇσι μήτρῃσιν ἐνῇ, φῦσα ἔξεισι καὶ τρύζει, καὶ οἰδέει πᾶσα, καὶ πῦρ ἔχει καὶ καῦμα, πρὸς τοῖσδε ἀΐσσει σφόδρα ὑπὸ τῆς ὀδύνης, καὶ τὸν ἄνδρα οὐ προσίεται, καὶ σφόδρα ἄχθεται τὴν εὐνὴν καὶ ὀρθοῦσθαι ἀδυνατεῖ, καὶ ὡς βαρέα μιν κέαται ἐν τῇσι μήτρῃσι, καὶ κεφαλὴν ἀλγέει καὶ ἀλύει καὶ ἄναυδός ἐστιν. ‖ ἢν δὲ ἡ ὀδύνη προστῇ, βοᾷ τε καὶ ἀλγέει πάντα καὶ ἰξύας καὶ

tota expurgatur et ſana redditur. Eſt et alia ſimilis uterorum aqua intercus, in qua ſanies quaedam ſubcruenta defluit et purgatur, pudendaque ac circumambientes partes vehementer mordet et tanquam muria ulcerat, quamcumque in partem diſtillarit, eam ulcerat et color eſt qualis in morbo regio In reliquis autem magna copia velut in aliis profluviis muliebribus expurgatur. Morbus autem lentus eſt et alioqui lethalis evadit. Si uteri exeant, hanc velut quae fluore albo detinetur curato, lac aſininum propinato, gracilem reddito et per prius commemorata medicamenta medelam adhibeto. Quae delinguntur in aqua intercute. Si aqua ex uteris effluat, ſulphur et anſerinum adipem delingat. Si ventus intra uteros fuerit, flatus exit cum ſtridore, tota intumeſcit et febris ardorque detinet. Ad haec prae dolore vehementi impetu fertur neque viri congreſſum admittit, et coitum valde averſatur, neque ſe erigere poteſt, eique velut pondus quoddam uteris incumbit, caput dolet, anxia et voce defecta eſt. Quod ſi dolor urgeat, vociferatur, omnia-

Ed. Chart. VII. [830.] Foël. I. 665. Ed. Lind. II. (593.)
ἐνδῆσαι. προστιθέσθω δὲ πρὸς τὸ στόμα τῆς ὑστέρης. κὴν ἀποφύηται πιμελὴ σαρκοειδεστέρη, τηκεδόνα ἐντιθέναι, καὶ λεπτύνειν μέσως. αἱ γὰρ λίην λεπτυνόμεναι ἀραιαί εἰσι καὶ ἐκτιτρώσκουσιν. εἰ δὲ οὐ δέχεται ἡ ὑστέρη, ἀλλὰ ἀφίησι καὶ θερμὸν οὐκ ἔχει ἐν ἑωυτῇ, ὄργανον χρὴ μηχανοποιέεσθαι, ἐφ' ὃ ἑζομένη εἰσέλθῃ ἀτμὸς εἰς τὰς μήτρας, ἀμφὶ δὲ τούτῳ εἵματα κυκλόσε τιθέναι. ὑποθυμιῆν δὲ κασίην, κιννάμωμον, σμύρναν, ἶσον ἑκάστου ἐν οἴνῳ τε φυρῆν σιραίῳ τούτων καὶ ἐπιβάλλειν, ὀλίγον τε λούεσθαι, ὀλίγα σιτέεσθαι. ἀρήγει δὲ καὶ προσθετὸν τοιόνδε. σμύρναν ἁπαλὴν ξὺν μέλιτι. ἔστω δὲ προμήκης ὡς βάλανος, καὶ ταῦτα ποιέειν πλειστάκις πρὸς τὴν δύναμιν ὁρέων, καὶ οἱ ἐν σίτῳ πελεκῖνοι τριπτοὶ ξὺν σμύρνῃ ὠφελέουσιν. ἕψειν δὲ μέλι σὺν τῇσι δαισὶν ἀνακυκᾶν, καὶ ὅσον Αἰγύπτιον κύαμον προστιθέναι, καὶ ταύρου χολὴν, καὶ ῥοᾶς ἐρυθρῆς ἶσον κονύζῃ ποίῃ. ὅμοιον δέ ἐστι σελίνῳ οὐλῷ. φύεται δὲ ἄγχιστα θαλάσσης ἐν χωρίοισι ψαμμώδεσιν. ὀσμὴ δὲ τούτου, δύσοιστος, τοῦτο

lanugine excepta et illigata ad os uterorum apponito. Quod ſi carnoſior pinguedo exoriatur, quod tabefaciat imponito et modice extenuato. Quae enim admodum extenuantur, rarae ſunt et abortionem faciunt. At ſi uterus ſemen non recipit, ſed emittit, neque calorem in ſe habet, inſtrumentum aliquod fabricandum, cui cum inſederit, vapor in uterum ingrediatur, circum quod in ambitu veſtes imponendae. Suffitus autem ex caſia parandus, cinnamomo, myrrha, aequali horum cujusque portione injecta et ſapa ſubacta, parum etiam lavandum, parumque cibi ſumendum. Conducit etiam ſubditicium ejusmodi. Myrrham tenellam cum melle in glandulam oblongam ducito, idque ſaepius virium ratione habita facito. Juvant etiam pelecini in tritico naſcentes, cum myrrha triti. Mel coctum cum taedis agitatum ad fabae Aegyptiae quantitatem ſubter apponito et ſel tauri et rhoës rubri parem portionem. Conyza herba apio criſpo ſimilis eſt, ad mare in locis arenoſis naſcens, cujus odor

Ed. Chart. VII. [830.] Foeſ. I. 665. Ed. Lind. II. (592. 593.)
ἢ ὑοσκυάμου τὸν καρπὸν λεῖον καὶ κλύζειν ἅλμῃ καὶ ὀπῷ καὶ ὄξει. ἢν δέῃ ξὺν ὕδατι κράτιστον μελίκρητον ἐνιέναι ξὺν ὕδατι φακῶν, ἢ ὀρόβων, ἢ ἴου ἄνθεος. ἢν δὲ καθαρθῇ, οἷα τὰ πυριφλεγέθεα, μυρσίνην ἕψειν καὶ διανίζεσθαι, σμύρναν καὶ νέτωπον σὺν εἰρίῳ προστίθεσθαι. ἢν ἄνεμος ἐνῇ ἐν τῇσι μήτρῃσι καὶ δάκνῃ, καὶ τῇδε διεξιὼν πῦρ ποιέει, καὶ οἰδέει καύματι, καὶ ὀδυνᾷ, καὶ τὸν ἄνδρα ἀπαναίνεται, καὶ ἄχθεται σφόδρα τῇ συνουσίῃ, καὶ τείνεται, καὶ οἰδέει τὸ ἦτρον, καὶ οὐ δύναται ὀρθοῦσθαι, ἢ ἰθύνεσθαι ὅταν οὕτως εὕρῃς, γνῶθι ὅτι ἄνεμος καὶ γονὴ ἐστιν ἐν τῇσι μήτρῃσι, καὶ ἡ γονὴ διὰ τοῦτο νῦν κάμνει. λαβὼν μέλι, κηρὸν καὶ λίνου πέταλα τρίψας λεῖα, ὄρνιθος στέαρ οἴνῳ εὐώδει χλιήνας, ἔγχεον ἐς τὰς μήτρας κλυστῆρι. πινέτω δὲ λίνου πέταλα, ἢ τὸν καρπὸν τρῖψαι καὶ ἐς εἴριον ἐνελίξαι πρὸς τὸ στόμα τῆς μήτρης. εἰ δὲ μὴ (593) ἐνεργεῖ, χρῆσθαι ἴρινον καὶ κρόκον καὶ λίνου πέταλα, ὄρνιθος στέαρ τρίψας λεῖα, διείς τε γάλακτι γυναικείῳ ἀποσπογγίσας ἄχνῃ ἀπὸ ὀθονίων λεπτῶν

quidum potui exhibeto, aut hyoſcyami ſemen laevigatum et muria, laſeris ſucco ex aceto colluito, aut ſi opus ſit ex aqua. Optimum autem aquam mulſam et lentium, aut ervi, aut violae floris decocto immittere. Si vero qualia igne peruſta purgata fuerit, myrtum decoquito ac perluito, myrrham et netopum in vellere ſubter apponito. Si ventus in uteris fuerit et mordeat et qua penetrat calorem igneum excitet, ex ardore intumeſcit, dolet, viri congreſſum reſpuit et coitu admodum gravatur, imus venter diſtenditur ac intumeſcit et neque ſtare recta, neque erigi poteſt. Cum ita laborantem deprehenderis, ventum et genituram in uteris eſſe ſcito, eamque ob cauſam mulierem nunc aegrotare. Mel, ceram, lini folia tenuiter trita et adipem gallinaceum, haec ex vino odorato tepefacta, in uteros per inſufſum injicito. Lini folia bibat, aut ſemen tritum lana involutum ad os uteri apponat. Quod ſi non ſatis efficax fuerit, irinum cum croco illinito, lini folia, adipem gallinaceum, tenuiter trita, lacte muliebri diluta, deraſa ex tenuibus linteis

Ed. Chart. VII. [831.] Foës. I. 666. Ed. Lind. II. (594. 595.)

ἄγει, καὶ λεπτύνειν χρὴ καὶ πυκινὰ ἐμέειν. ὅταν γυναικὶ ὄζῃ κακὸν ἐκ τοῦ στόματος καὶ τὰ οὖλα μέλανα ᾖ καὶ πονηρά, κεφαλὴν λαγωοῦ καὶ μύας τρεῖς κατακαῦσαι χωρὶς, καὶ τῶν δύο μυῶν ἐξελεῖν τὴν κοιλίην, ἧπαρ δὲ καὶ νεφροὺς μή. καὶ ἐν θυίῃ λιθίνῃ τρίβειν μάρμαρον, ἢ λίθον λευκὴν καὶ διασῆσαι. εἶτα μίσγειν ἶσον ἑκάστου καὶ τοὺς ὀδόντας τρίβειν. χρὴ δὲ καὶ τὰ ἐν τῷ στόματι χωρία κἄπειτα εἰρίῳ πινωδεστάτῳ τρίβειν καὶ διακλύζεσθαι ὕδατι. βάπτουσα δὲ τὸ πινώδες εἰρίου ἐν μέλιτι ἀνατριβέτω τοὺς ὀδόντας καὶ τὰ οὖλα καὶ τὰ ἔνδον καὶ τὰ ἔξω. τρίβειν τε ἄννη(595)σον, καὶ ἀνήθου καρπὸν, καὶ σμύρνην ὁλκῆς ὀβολοὺς δύο, διϊέναι οἴνῳ λευκῷ ἀκράτῳ ἡμικοτυλίῳ ἐν τουτέῳ διακλυζέσθω, καὶ ἐν τῷ στόματι πουλὺν κατεχέτω χρόνον, θαμινὰ δὲ τοῦτο δρᾷν καὶ ἀναγαργαλίζεσθαι νῆστιν καὶ μετὰ τὴν τροφήν. ἄριστον δὲ ὀλιγοσιτίη, κράτιστα χρὴ προσφέρεσθαι. τοῦτο τὸ φάρμακον ὀδόντας καθαίρει καὶ εὐώδεας ποιέει. καλεῖται δὲ Ἰνδικὸν φάρμακον. ὁκόταν γυναικὶ ὁ μαζὸς τρηχὺς γένηται, στυβῆς καρπὸν, ἢ βάτου ἑψῆν οὖν ὕδατι καὶ ἐλαίῳ,

eo quod pituitam ducit purgare et extenuare oportet, crebroque vomere. Cum mulieri os male oluerit, gingivaeque nigrae et pravae fuerint, leporis caput et mures tres seorsim urito, duorum murium ventrem eximito, jecur et renes minime et in pila lapidea marmor aut lapidem album terito et cribrato, deinde cujusque parem portionem miſceto et dentes confricato. Oris autem partes etiam confricare oportet, deinde quoque lana maxime ſuccida et aqua colluere. Lana vero ſuccida melle imbuta dentes et gingivas, partesque internas et externas confricet. Aniſum autem tritum et anethi ſemen et myrrham duorum obolorum pondere, vini albi meri dimidia hemina diluito, hoc colluat et diutius ore contineat, hoc autem crebro faciendum, jejunaeque et a cibo os colluendum. Optimum eſt pauco cibo uti et valentiſſimos cibos ſumere oportet. Hoc medicamentum dentes purgat, eosque bene olentes reddit. Vocatur autem Indicum medicamentum. Cum mulieri mamma aſpera redditur, ſtybis ſemen aut rubi ex aqua et oleo coctum,

Ed. Chart. VII. [830. 831.] Foëſ. I. 665. 666. Ed. Lind. II. (593. 594.)

σὺν μέλιτι καὶ οἴνῳ πρόσθες, ἢ βόλβιον, ἐν πυροῖς δὲ θεωρεῖται, Αἰγυπτίοισι δὲ μάλιστα, δριμὺ, ὅμοιον κυμίνῳ Αἰθιοπικῷ. [831] τοῦτο σκόροδον νίτρον ἐν τῷ αὐτῷ προστίθει, || πρόλουέσθω δέ. ὅταν γυνὴ τὴν κεφα(594)λὴν ἀλγέει τὸ βρέγμα τε καὶ τὸν τράχηλον καὶ ἰλιγγιᾷ πρὸ τῶν ὀμμάτων καὶ φοβεῖται καὶ στυγνὴ ᾖ, καὶ οὖρα μέλαινα καὶ δι' ὑστέρης ὅμοια, καὶ ἄση ἔχῃ καὶ δυσθυμίη, μέλαινα χολὴ ἐν τῇσι μήτρῃσιν ἔνι. θεραπευέσθω δὲ ἐντεριώνην παλαιὴν ἐνιαυσίην, ταύρου χολὴν, ἄνθος χαλκοῦ τρίβειν ξὺν βάκχαρι καὶ προσθετὰ ποιέειν, καὶ φάρμακον πιπίσκειν καὶ λούειν. ὁκόταν δὲ δάκνηται τὰς μήτρας γυνὴ καὶ ἀλγέῃ καὶ ἀδάξηται, καὶ χολὴν οὐρέῃ ξανθὴν, καὶ ἡ μήτρη χάνῃ, οἷα καὶ οἱ ὀφθαλμοὶ ἰκτερώδεες, ἴσθι ὅτι χολὴ ἐν τῇσιν μήτρῃσιν ἔνι. ἄριστον γοῦν ἐκκαθαίρειν τό τε πᾶν σῶμα καὶ αὐτὰς προσθέτοισιν, ἃ χολὴν ἄγει. ὁκόταν δὲ ψύχεται ὑστέρη, καὶ βάρος δοκέῃ ἐγκεῖσθαι, καὶ τὸ χρῶμα οὐ λαμπρὸν καὶ πέπηγεν ἡ ὑστέρη, ὅταν οὕτως ἔχῃ, καθαίρειν ὅ τι φλέγμα

intolerabilis, hanc cum melle et vino in ſubdititio apponito. Aut bolbium, quod in triticis praecipue Aegyptiis cernitur, acre cumino Aethiopico ſimile, hoc et allium et nitrum ſimul permixta, ſupponito, prius tamen lavet. Ubi mulierem capitis, ſincipitis et cervicis dolor infeſtat et vertigo circum oculos obverſatur, terretur, ſi maeſta fuerit et urinae nigrae, ſimiliaque ex utero ferantur, anxietas et animi moeror detineat, bilis atra in uteris ineſt. Curato autem, cucumeris agreſtis partem interiorem vetuſtam et anniculam, fel taurinum, aeris florem cum bacchare terito, ſubdititia conficito, medicamentum propinato et lavato. At ubi mulieri uteri cum dolore morſum ſentiunt et cum pruritu pungitur, bilem flavam cum urina reddit, uterus dehiſcit et oculi quales morbo regio affectis ſunt, bilem in uteris ineſſe ſcito. Totum igitur corpus, tum etiam ipſos uteros ſubdititiis medicamentis quae bilem educant expurgare optimum. Ubi perfrigeratur uterus et pondus incumbere videtur, color minime ſplendeſcit, condenſatus eſt uterus, cum ſic habuerit,

Ed. Chart. VII. [832.] Foës. I. 666. 667. Ed. Lind. II. (596.)

ταῦτα καὶ φακοὺς αἴρει, καὶ ἀλκυόνιον, καὶ κονιορτὸς ἢν λυπῇ τὸ πρόσωπον, κηρωτῇ ὑγρῇ διὰ ῥοδίνου ὑποχρίειν, καὶ ὕδωρ ψυχρὸν προσχέειν, καὶ ῥυτίδας ἐκτείνειν, ἐν θυίῃ λιθίνῃ μολίβδαιναν τρίβειν, μηνιαῖον ὕδωρ παραχέοντα πλάσαι κυκλίσκους. κἀπειδὰν ξηρανθῶσιν, ἐλαίῳ διεὶς, χρῖε τὸ τὰς ῥυτίδας φέρον πρόσωπον. ἢν δὲ ῥέωσιν αἱ τρίχες, λαύδανον μετὰ ῥοδίνου ἢ ἀνθίνου μύρου τρῖβε || καὶ μετ' οἴνου ἐγχριέτω. ἢ τὴν σμηκτρίδα γῆν ξὺν οἴνῳ, ἢ ῥοδίνῳ, ἢ ὀμφακίνῳ, ἢ ἀκακίῃ, καὶ ἢν μαδίσῃ, κύμινον ἔμπλασσε, ἢ πελιάδων κόπρον, ἢ ῥάφανον τριπτὴν, ἢ κρομμύῳ τριπτῷ, ἢ τεύτλῳ, ἢ κνίδῃ. τὰς δ' ἐφηλίδας λεγομένας αἴρει, ὀρόβιον τεύτλου τε χυλὸς, ὠῶν τὸ λευκὸν, πτισάνη, ἢ σικύου ἀγρίου ῥίζη ξηρὴ, μετ' οἴνου τρυγὸς τριφθεῖσα, ἐπαλειφομένη ἢ συκῆς φύλλα προστιθέμενα. σησάμῳ τριπτῷ σμήχεσθαι, ἢ ἀμυγδάλαις πικραῖς. κνίδης τε σπέρμα σκορόδων κέλυφος, ἐπιδεόμενον λεπίδιον, λειχῆνας ἐξάγει πάντας, ὄξος, μάννα, κισσηρὶς, θεῖον μετ' ὄξους, κάρδαμον ἄγριον καὲν καὶ σποδωθὲν, ἐχίδνης λεβήριδος, καὶ λαπάθου ἀγρίου

etiam lentigines tollunt, itemque alcyonium. Quod ſi ex pulvere facies doluerit, cerato liquido ex roſaceo, aqua frigida affuſa inungito. Hoc faciem erugat. Plumbaginem in pila lapidea terito et affuſa aqua menſtrua paſtillos conficito et ubi ſiccati fuerint et oleo diſſoluti, faciem rugas ferentem inungito. At ſi capilli defluant, ladanum cum roſaceo, aut anthino unguento terito et cum vino illinat, aut cretam cimoliam cum vino, aut roſaceo, aut omphacino, aut acacia. Quod ſi cum cutis glabritie decedant, cuminum, aut ſtercus columbinum, aut raphanum tritum inducito, aut cum cepa confricet, aut beta, aut urtica. Faciei maculas ephelidas dictas ervi decoctum tollit, betae jus ovorum candidum, ptiſana aut cucumeris agreſtis radix ſicca, cum vini faece trita et illita, aut mori folia admota. Aut ſeſamo trito, aut amygdalis amaris defricari. Aut urticae ſemen, aut allii cortex illigatus et lepidium. Quod impetigines omnes aufert. Acetum thuris pollen, pumex, ſulphur cum aceto, cardamum agreſte uſtum et in cinerem redactum,

Ed. Chart. VII. [831. 832.] Foëſ. I. 666. Ed. Lind. II. (595. 596.)
καὶ τοὺς μαζοὺς καταπλάσσειν, καὶ τεύτλου φύλλα ἐπιῤῥίπτειν. ἔπειτα ῥάψαι ἐς ῥάκος ὡς κυρβασίην, τεκμηρόμενος ὅσσον τὸν μαζὸν ἐκχωρήσῃ, καὶ οὕτως [832] ἐντιθέναι τὸν τιτθόν. ἢν δὲ διαπύῃ, τάμνειν καὶ εἰρίῳ ῥερυπωμένῳ μοτῶσαι, καὶ ἐπιβάλλειν τωὐτό. μετέπειτα φακῷ ἑφθῷ ξὺν ἀλφίτῳ μίξαι καὶ καταπλάσσειν. ἐπὴν γυναικὸς ἐν τῷ αἰδοίῳ, ἢ ἐν τῷ ἀρχῷ ἀσκαρίδες γένωνται, λύγου καρπὸς μίσγεται ἢ φύλλα καὶ βοὸς χολὴ παραμίσγεται ὅσον ὀβολός. κεδρίνῳ δὲ ἐλαίῳ φυρῆν, καὶ εἰρίῳ πινόεντι εὐιρωτάτῳ ἀναλαβεῖν. ἐντιθέσθω δὲ διὰ τρίτης, νύκτα καὶ ἡμέραν, τῇ δὲ ὑστεραίῃ ἀφελομένῃ λουέσθω θερμῷ, καὶ σκόροδα ἑφθὰ καὶ ὠμὰ ἐσθιέτω, καὶ αἱ ἀσκαρίδες ἐξίασι καὶ θνήσκουσιν. ἅλμη δὲ κλύζειν χρή. πρόσωπον ἀγλαΐζει, ἦπαρ ταύρου τρίβειν ξὺν ἐλαίῳ, ἀλείφειν δὲ σὺν ἀκρήτῳ οἴνῳ. χολὴ δὲ χλωροῦ φθείρει, ἀλλὰ καὶ (596) ὁ χυλὸς τῆς πτισάνης ὁμοίως λαμπρύνει, καὶ ὠῶν τὸ λευκὸν, καὶ ἄλητον θέρμων καὶ ὀρόβων καὶ σύκων καταπλαττόμενα, καὶ κράμβης ῥίζα καὶ σπέρμα.

mammis in cataplasmate obducito et betae ſolia injicito, deinde ex linteo in pilei acuti aut tiarae formam conficito, tanta magnitudine ut mammam capiat, ſic mammam immittito. Si vero ſuppuret, incidito et curationem per linamenta ex lana ſuccida adhibeto, eandemque ſuperponito. Poſtea lenticulam coctam cum polenta mixtam ex cataplasmate admoveto. Ubi in mulieris pudendo aut recto inteſtino tenues ac minuti lumbrici aſcarides dicti ſuboriuntur, viticis ſemen aut folia cum fellis bubuli obolo permiſceatur. Cedrino vero oleo ſubacta et lana ſuccida bene carminata excepta, tertio quoque die per noctem et diem imponat. Poſtero vero die ubi detraxerit, calida lavet et alliis coctis et crudis veſcatur, et aſcarides exeunt ac moriuntur. Muria autem colluere oportet. Haec faciem decoram reddunt. Hepar tauri cum oleo terito, cum vino autem mero illinito. Fel autem recens corrumpit. Quinetiam ptiſanae cremor ſimiliter faciem emundat et ovorum candidum et lupinorum et orobi farina, cum ficubus in cataplasmate impoſita. Braſſicae etiam radix et ſemen. Haec

Ed. Chart. VII. [833.] Foës. I. 667. Ed. Lind. II. (597. 598.) ὑστερέων γίνονται. γλυκυσίδης καρπὸν, καὶ τοῦ ῥόου τὰς ῥίζας, κύμινον Αἰθιοπικὸν, καὶ μελάνθιον ἐν οἴνῳ λευκῷ διδόναι. ἢ νάρθηκα ξύσας, ὅσον ὀξύβαφον, καὶ πράσου χυλὸν, ἐν οἴνῳ λευκῷ κεκρημένῳ, τοῦτο καὶ ἐκ ῥινῶν αἷμα ῥέον παύει. ἢ σίδην ἑψῆσαι ἐν οἴνῳ μέλανι, καὶ περιλέψαι καὶ τὰ ἔνδον τρίβειν ἐν οἴνῳ μέλανι ξὺν πάλῃ ἀλφίτου πιεῖν. ἢ λίνου, ἢ ἐρυσίμου φῶξαι, καὶ ἐλαίης φύλλα χλωρῆς, καὶ μέλαιναν ῥίζαν μήκωνα ἀδράν. ταῦτα τρίψας, ἐν τῷ αὐτῷ οἴνῳ κεκρημένῳ δίδου πίνειν. ἢ τὸ μισὸν ὄνειον καὶ σίδης γλυκείης ῥίζαν καὶ κικίδα (598) ἐξ ἴσου πάντα καὶ ῥοιῆς γλυκείης χυλὸν ξὺν οἴνῳ πίνειν. ἢ λαπάθου καρπὸν, ξὺν τῷ κικίδος ἔξω περιεξυσμένῳ. ταῦτα τρίβειν ἅμα καὶ μετέπειτα κυκεῶνα. ἢν αἷμα ῥέῃ λαῦρον ἐξ ὑστερέων, ἄγνου φύλλα ξὺν οἴνῳ μέλανι. τὰ στρυφνὰ ῥόου ἵστησιν, οἴνῳ μέλανι μιγνύμενα. ῥόου καὶ ὀδύνης. κάχρυος ῥίζαν ἐν οἴνῳ μέλανι πίνειν. ἢν δὲ πλεῖον ᾖ, τερμίνθου καρπὸς τριβόμενος, χρὴ δὲ οἴνῳ καὶ ὕδατι διϊέναι καὶ πίνειν. ἢν ῥόος

brem et quemvis uteri morbum. Paeoniae ſemen, rhoïs radices, cuminum Aethiopicum et melanthium ex vino albo exhibeto, aut ferulam deraſam acetabuli quantitate et porri ſuccum ex vino albo aqua temperato, quod etiam fluentem ex naribus ſanguinem ſedat. Aut malum punicum in vino nigro decoquito et detracto cortice quod intus eſt tritum cum polentae polline ex vino nigro potui exhibeto. Aut linum aut eryſimum toſtum, oleae viridis folia, nigram radicem, peplum plenum, haec ſimul trita ex vino aqua temperato bibenda dato. Aut coagulum aſininum, mali punici dulcis radicem, gallam, aequis portionibus omnia et mali punici dulcis ſuccum ex vino bibendum dato, aut lapathi ſemen cum gallae parte exteriore circumraſa. Haec ſimul terito, deinde cyceonem confectum porrigito. Si ſanguis copioſus ex uteris effluat, viticis folia ex vino nigro exhibeto. Acerba vino nigro commixta profluvium ſiſtunt. Ad fluorem muliebrem et dolorem. Cachryos radicem ex vino nigro bibendam dato. Quod ſi copioſior fuerit, terebinthi fructum tritum ex vino et aqua dilutum bibere opor-

Ed. Chart. VII. [832. 833.] Foës. I. 667. Ed. Lind. II. (596. 597.)
ῥίζα. τρίβειν δὲ μετ' ὄξους οἰνώδεος, ἢν δὲ φλυκταινοῦται, καὶ λιθαργύρου χρέο, ῥόου ἐρυθροῦ ποτὸν ἀγα(597)θόν. ἐλάφου κέρας κατακαύσας ὠμηλύσει κριθῶν ξυμμῖξαι διπλασίην, ἐπὶ οἶνον Πράμνιον ἐπιπάσσουσα πινέτω καὶ ἵσταται. ἕτερον ὁμοίως ποτόν. ἀδιάντου ῥίζαν τρίψας καὶ ἐρεβίνθους φώξας καὶ λέκιθον, πίνειν ἐν μέλιτι, ὡς ποτὸν διδόναι. ἢ ἀλήτου σητανίου ὀξύβαφον. κόμεως λευκοῦ ἥμισυ, μάννης τρίτον μέρος καὶ σχοίνου ὀλίγον, ἢ πίτυος, ἢ κυπαρίσσου διεὶς ὕδατι δίδου πιεῖν. πίνειν δὲ τῆς ἡμέρης, [833] ἢ ἐλάφου κέρας κατακαίειν, τρίβειν τε καὶ ὠμηλύσει σὺν κεδρίσι πέντε. οἶνος σὺν τῇσι δαισὶν αὐστηρὸς μέλας μίγνυται, ἢ ῥοιὴν γλυκείην, ὀπτήσας τὸν χυλὸν, ξὺν οἴνῳ μέλανι πίνειν. ἢ κυπαρίσσου καρπὸν ὅσον τρία, ἢ τέσσαρα, καὶ μύρτα μέλανα καὶ ὁμοῦ καὶ αὐτὰ καθ' ἑαυτὰ, πρὸς ἰσχὺν τοῦ σώματος ὀρέων τῆς γυναικὸς, ξὺν οἴνῳ δὲ ἡ πόσις γενέσθω. ἢ καστορίου ὀβολὸν ἐν οἴνῳ τρίβειν αὐστηρῷ μέλανι καὶ πιπίσκειν, ῥόου καὶ πάσης νόσου ποτὸν ὅσαι ἀπὸ τῶν

viperae exuvium, rumicis agreſtis radix, haec cum aceto vinoſo terito. Quod ſi puſtulae adſint, etiam lithargyro utitor. Potio ad fluorem muliebrem rubrum faciens. Cornu cervi uſtum, duplo farinae hordeaceae crudae commiſceto, eamque ad vinum Pramnium aſperſam bibat et ſiſtitur. Alia ſimilis potio. Adianti radicem tritam et cicer toſtum, ac lentium lomentum ex melle bibendum et potui exhibendum. Aut farinae ſetaneae acetabulum, gummi albi dimidiam partem, thuris pollinis tertiam, junci odorati modicum aut pini, aut cupreſſi parum, haec aqua diluta potui exhibeto, de die autem bibat. Aut cornu cervi urito et cum farina hordeacea cruda et cedri baccis quinque terito, vinum nigrum auſterum taedaceum ammiſcetur. Aut mali punici dulcis aſſati ſuccus cum vino nigro potui exhibendus. Aut cupreſſi baccae tres aut quatuor, myrti baccae nigrae, aut ſimul, aut per ſeſe conſiderato corporis muliebris robore, cum vino autem propinandae. Aut caſtorii obolus cum vino auſtero tritus propinandus. Potio ad fluorem mulie-

Ed. Chart. VII. [834.] Foël. I. 668. Ed. Lind. II. (599.)

ταπλάσσειν. ἢ ὀρόβους ὡσαύτως. ἀγαθὸν δὲ καὶ ἐλελίσφακον, ἢ ἄχυρα κριθῶν ἐν ἀφεψήματι ἐλελισφάκου καὶ ὑπερικοῦ ἕψειν καὶ καταπλάσσειν. λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἐναφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι ἐς ὀθόνιον ἐπιχρίων πυριῆν, ἢ ἐλαίης φύλλα, ἢ κισσοῦ, ἢ μυρσίνης, ἐν ἀφεψήματι, καὶ μετὰ τούτων κριθῶν ἄχυρα ἕψειν, ἢ ἀρωμάτων ὕδατι συνεψεῖν πίτυρα πύρινα. ἢ ἀσταφίδος ἀποβρέγματι πίτυρα πυρῶν ἕψειν, ἢ λευκοΐου καρπὸν, ἢ τὰς ῥίζας ἀφεψεῖν, καὶ τῷ ὕδατι ξὺν πιτύροισι πυρίνοισιν ἐπιῤῥίπτειν, ἢ τῷ ἀφεψήματι πίτυρα πυρῶν. τοῦτο ποιήσασα θερμῷ ἐνελιξαμένη εἰρίῳ πυριήσθω, ἢ τῷ τῆς ἑρπύλλου ἑψήματι καὶ πίτυρα τὸν αὐτὸν τρόπον. πυριῆν δὲ καὶ σπόγγοισι θερμοῖσι καὶ εἰρίοισι μαλθακοῖσιν, ἢν περιωδυνέῃ, καὶ τοῖσιν ὀστρακίνοισιν ἀγγείοισιν, ὕδατος ἐγχέων. ἢ ἐν κύστεσιν ἐλαίῳ θερμῷ, κλυσμοὶ ῥόων, μυρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ, ἐν ὕδατι ἀφεψεῖν. τουτέῳ κλύζε χλιηρῷ. ἀκτῆς φύλλα καὶ σχοίνου ἀφεψεῖν ἐν ὕδατι ἀποχέας ἀκρο-

plasmate adhibeto. Aut ervum ad eundem modum admoveto. Confert etiam ſalviam aut hordei paleas in ſalviae aut hyperici decocto coquere et ex cataplasmate imponere. Loti et cupreſſi ramenta, ex uvae paſſae infuſo decocta, linteo inducta, in fomento adhibeto. Aut oleae, aut hederae, aut myrti folia ex decocto admoveto et cum his hordei paleas coquito. Aut in aromatum decocto ſimul furfures triticeos coquito. Aut uvae paſſae infuſo triticeos furfures decoquito. Aut violae albae ſemen et radices decoquito, in decoctum furfures triticeos injicito. Aut ex decocto furfurum triticeorum calido lana convoluta calida foveatur. Aut in ſerpilli decoctum furfuribus ad eundem modum injectis. Fotus vero, ſi dolor urgeat, etiam ex ſpongiis calidis et lanis mollibus adhibendus, aut ex vaſis teſtaceis et veſicis aqua affuſa et oleo calido plenis. Collutiones ad fluores muliebres. Myrti, lauri et hederae folia in aqua decoquito, tepida colluito. Sambuci et lentiſci folia aqua decoquito, percolata ſumme tepida colluito. Aut oenan-

Ed. Chart. VII. [833. 834.] Foes. I. 667. 668. Ed. Lind. II. (598. 599.) γένηται, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, πίνειν διδόναι τοῦ τοιούτου οἴνου μεθ' ὕδατος. ἢν δέ τι φέρηται ὁ ῥόος, πρόμαλον φώξας καὶ τρίψας ἐν οἴνῳ δίδου. ἢ πράσων χυλόν. ἢν δὲ πουλὺς κατέρχηται ὁ ῥόος, ἡμιόνου ὀνίδα κατακαίειν καὶ λεῆναι καὶ ξὺν οἴνῳ διδόναι. ἢν δὲ πολυχρόνιος ὁ ῥόος γένηται, σπόγγος κατακαεὶς ἀρήγει, τρίβειν δὲ λεῖον τὸν σπόγγον καὶ σὺν οἴνῳ διδόναι εὐώδει. κατάπλασμα ῥόων. σκόρδα καὶ ἀνδράχνην καὶ σέλινον καὶ λωτοῦ πρίσματα καὶ κέδρου λεῖα ὁμοῦ μῖξαι. διεὶς δὲ ἐν μελικρήτῳ, κατάπλασμα ποιέειν. ἢ βάτου φύλλα καὶ ῥάμνου καὶ ἐλαίης, ὁμοῦ λεῖα μῖξαι καὶ διέναι ἐν μελικρήτῳ, || καὶ σὺν ἀλφίτοισι καταπλάσσειν. ἢ ἀκτῆς καὶ μυρσίνης φύλλα κατάπλασσε. ἢ λωτοῦ πρίσματα καὶ συκαμίνου φύλλα καὶ ῥόδου σὺν ἀσταφίδι. [834] πυριήσεις ῥόων. αἴρων ἄλευρα πεφωσμένα, ἕψε ἐν ὀξυκρήτῳ ἀκρητεστέρῳ καὶ ἐς ὀθόνιον ἐγχρίων πυρία. (599) ἢ φακοὺς φώξας, καὶ περιπτίσας ποιέειν ἄλευρα χονδρότερα, καὶ ἐν ὕδατι ἑφεῖν, καὶ ὁμοίως κα-

tet. Si fluor muliebris contingat, cancris fluvialibus ex vino ſuffocatis vinum cum aqua potui exhibeto. Quod ſi adhuc fluxus feratur, promalum torrefactum et tritum ex vino, aut porri ſuccum exhibeto. Si vero multus fluor decurrat, muli ſtercus uſtum et laevigatum ex vino exhibeto. At ſi diu fluor detinuerit, ſpongia uſta confert, quam tenuiter tritam ex vino odorato exhibeto. Quae ad fluores ex cataplasmate adhibentur. Allia, portulacam, apium, loti et cedri ramenta, laevigata ſimul admiſceto, ex his aqua mulſa diſſolutis cataplasma efficito. Aut rubi, rhamni et oleae folia tenuiter trita ſimul miſceto, aqua mulſa diluito et cum polenta ex cataplasmate admoveto. Aut ſambuci et myrti folia ex cataplasmate adhibeto. Aut loti ramenta, mori et roſae folia cum uva paſſa. Fotus ad fluores muliebres. Loliaceam farinam toſtam, poſca meraciore decoctam et linteo illitam in fotu adhibeto. Aut lentem coctam et detracto cortice in farinam craſſiorem et in grumos redigito et in aqua decoquito, eodemque modo ex cata-

Ed. Chart. VII. [834. 835.] Foes. I. 668. 669. Ed. Lind. II. (600. 601.)
ἢ τὸ λεγόμενον οἰσύπη αἰγὸς ξηρὰ κόψαι καὶ φῶξαι σὺν κριθέων [835] ἐρίγματι ἐλαίῳ φυρήσασα θυμιᾶν. ἢ ἄνθρακας πλεῖον κριθέων, ἢ ἄχυρα ὑποβάλλων, ἢ πρίσματα κυπαρίσσου, μύρῳ δεύων θυμία. ἢ κώνειον, ἢ σμύρναν, ἢ λιβανωτὸν τὸ μύρον περιχέων θυμία. ἢ ἄσφαλτον καὶ κριθῶν ἄχυρα ὁμοίως. ἢ κυπαρίσσου ῥίζαν ἐν ἀλείφατι ῥοδίνῳ περιχέας θυμία. ἢ καλάμῳ, σχοίνῳ, κυπέρῳ, σελίνου σπέρματι, ἄννησον, ῥόδινον ἔλαιον περιχέας. ὁμοίως δὲ καὶ ῥητίνην ὑποβάλλειν καὶ κιννάμωμον καὶ σμύρναν ξὺν βάτων φύλλοις, ἢ ῥόδων φύλλοις, ἢ ἡδυόδ(601)μοις ξὺν ποσῷ κρόκῳ καὶ στύρακι. ταῦτα πάντα ἐν τῷ αὐτῷ τρίβειν καὶ θυμιᾶν ὀβολῷ Ἀττικῷ σταθμῷ, ἐπὶ σποδιὴν οἰναρέην. ἢ ἐπὶ βολβίτου πλαστοῦ ὡς ἐμβάφιον, τὸ δὲ πῦρ κλημάτινον ἔστω. || ἐπιτιθέναι δὲ ἤδη πρότερον ὡς μὴ ὀδμὴ ᾖ. ἐπεὶ εἰ ὀδμὴ ἔσται, ἄμεινον μὴ θυμιᾶν, ῥόου ἐρυθροῦ προσθετά. σμύρνα καὶ βολβίον ξὺν μέλιτι τριφθὲν προσθετὸν ἄριστον. ἢ ῥόδα ἑψητὰ ἐν ὕδατι, ἅπερ δὴ καὶ τρίψας λεῖα ἐν μύρῳ ῥοδίνῳ,

hoc eſt ſordem ad nares adhaereſcentem ſiccam, tuſam et toſtam, cum hordeo freſo oleo ſubactam, in ſuffitu adhibeto. Aut hordeum multum, aut ejus paleas in prunas injectis, aut cupreſſi ramenta unguento reſperſa, ſuffitu adhibeto. Aut cicutam, aut myrrham, aut thus affuſo unguento ſuffito. Aut bitumen et hordei paleas eodem modo. Aut cupreſſi radicem oleo roſaceo aſperſam ſuffito. Aut calamo junco odorato, cypero, apii ſemine, aniſo, oleum roſaceum affuſum ſuffitu adhibeto. Ad eundem autem modum reſinam ſubjicito, cinnamomum, myrrham, cum rubi aut roſarum foliis ſuaveolentibus, puſillo croco addito et ſtyrace. Haec omnia ſimul terito et oboli Attici pondere in cinere ſarmentitio, aut in ſtercore bubulo ad inſtar acetabuli efformato, ſuffito admoveto. Sit autem ignis ex vitis ſarmentis ſuccenſis. Mulierem autem, priusquam odorem ſentiat, ſuperimpoſitam eſſe oportet, quandoquidem, ſi odor excitatus fuerit, praeſtat non ſuffire. Subdititia medicamenta ad fluorem rubrum. Myrrha et bolbium cum melle tritum optime ſupponitur. Aut roſae aqua decoctae, quas ſane tenuiter tritas ex unguen-

Ed. Chart. VII. [834.] Foël. I. 668. Ed. Lind. II. (599. 600.)

χλιηρῷ κλύζειν. ἢ οἰνάνθην καὶ κύπερον καὶ ἀσταφίδα ἀφεψεῖν ἐν μελικρήτῳ καὶ κλύζειν. ἢ τήλεος ὕδατι, ἢ βάτου ἀφέψημα, ἢ ἐλαίης χλωρῆς, ἢ κυπαρίσσου, ἢ ἑρπύλλου, ἢ ῥοιῆς, ἢ λευκοΐου ῥίζης, ἢ σχοίνου ἀκροχλίηρον. ἢ τὸ διὰ βου(600)τύρου καὶ ῥητίνης καὶ χηνείου ἐλαίου. ἢ τὸ διὰ μυελοῦ καὶ στέατος ὑείου. ὑποθυμιήσιες ῥόων, κριθὰς πεφωσμένας ἐς ἄνθρακας ὑποθυμῇν, ἢ ἐλάφου κέρας σὺν ἐλαίῃσιν ὀμφακίτισιν, ἢ ῥόον τὴν ἐρυθρὴν, καὶ ἄλφιτα πεφωσμένα ξὺν ἐλαίῳ καὶ οἴνῳ διπλασίῳ. ἢ ἄχυρα κριθῶν, καὶ βόλβιτον ὁμοίως, ἢ λωτοῦ πρίσματα, ἢ ῥόον, ἢ κυπάρισσον, σὺν οἴνῳ μέλανι αὐστηρῷ ξηρὴν ὑποθυμιᾷν. ἢ χαλβάνην, ἢ μάνιαν, ἢ ῥητίνην οἴνῳ δεῦσαι, ἢ αἰγὸς κέρας, ἢ κιχίδα, καὶ ὁ ῥόος ἵσταται. ἕτερα θυμιητά. ὀρύξαι χρὴ βόθρον καὶ φῶξαι ὅσον δύο χοίνικας Ἀττικὰς γιγάρτων τῆς σποδιῆς, ἐπιβαλὼν ἐπὶ τὸν βόθρον, οἴνῳ τε ἐπιψεκάσαι εὐώδει, καὶ ἀμφικαθεζομένη κατειλίξασα ἑαυτὴν θυμιήσθω.

then, cyperum, uvam paſſam aqua mulſa decoquito et colluito, aut ſoenigraeci aqua. Vel rubi decoctum, vel oleae viridis, vel cupreſſi, vel ſerpilli, vel mali Punici, vel radicis violae albae, vel lentiſci, ſumme tepidum infundito. Vel id quod ex butyro, reſina et adipe anſerino paratur. Aut quod ex ſuilla medulla et adipe eſt paratum. Suffitus ad fluores muliebres. Hordeum toſtum prunis impoſitum ad ſuffitum adhibeto. Aut cervi cornu cum olivis immaturis. Aut rhoëm rubrum et polentam torrefactam, cum oleo et vino ad duplam portionem. Aut paleas hordei et ſtercus bubulum eodem modo adhibeto. Aut loti ramenta, rhoëm, cupreſſum, ſiccum, ex vino nigro auſtero, in ſuffitu admoveto. Aut galbanum, aut thuris pollinem, aut reſinam vino macerato, aut cervinum cornu, aut gallam et ſiſtitur fluor. Alia ad ſuffitum materia. Scrobem effodere oportet et vinaceorum duas circiter choenices Atticas torrefacere, cinerem in ſcrobem injicere et vino odorato aſperſo irrigare et mulier ſeſe veſtibus convolvens, circumſedeat et ſuffitum adhibeat. Aut caprae oeſypum dictam,

Ed. Chart. VII. [835. 836.] Foël. I. 669. Ed. Lind. II. (602.)

θετὸν καὶ ἔγχυτον. ἢν γυναικὶ ὕδωρ ῥέῃ ἐκ τῶν αἰδοίων, λαβὼν ῥητίνην ξηρὴν καὶ μυρίκης πέταλα καὶ λίνου καρπὸν τρῖψαι ἐν οἴνῳ, καὶ μῖξαι ἐν ὄρνιθος στέατι, καὶ ἐγχέαι ἐς τὰ αἰδοῖα κλυστῆρι. ἄλευρα χηραμύδα ὡς καθαρώτατα, ἢ ἀμύλιον ἐν εἰρίῳ προστίθεσθαι πρὸς τὸν στόμαχον. ἄλλο ἔγχυτον ὁμοίως. ὁκόταν ὕδωρ ἐκ τοῦ αἰδοίου ῥέῃ, μυρίκης πέταλα καὶ λιβανωτοῦ καρπὸν ἐν χηνὸς στέατι τρίψας καὶ ῥητίνην, ἐς τὰ αἰδοῖα κλυστῆρι ἐνεῖναι. ἢν ὑπὸ ῥόου ὑδατώδεος τὸ ἧτρον ἀλγέῃ, ἄγνου καρπὸν τρῖψαι ἐν μέλιτι καὶ κατα[836]πλάττειν τὸ ἧτρον καλῶς. ἢν ῥόος αἱματώδης, ἢ λευκὸς, ἢ ὁποῖος. θεῖον καὶ μανδραγόρου τὸ ἄκρητον ἀναλαβόντα εἰρίῳ προσθεῖναι, καὶ ὑπτίη εὐδέτω, καὶ ἀκίνητος μενέτω. ἢ σίδια ξηρὰ τρίβειν ἐν οἴνῳ Πραμνίῳ καὶ διδόναι πίνειν. ῥόου λευκοῦ ποτόν. κισσοῦ λευκοῦ τὸ σπέρμα καὶ πίτυος φλοιὸν ἐν οἴνῳ αὐστηρῷ Παρέχειν. ἢ ἐλάφου κέρας κατακαῦσαι μοῖραν. ὠμηλύσιος δὲ δύο μοίρας καὶ κεδρίδας πέντε, τρίβειν ὕδατι καὶ πίνειν. ὅταν πνίγηται ὑπὸ ὑστέρων.

profluvium ſubdititium medicamentum et infuſum. Si mulieri aqua ex pudendis effluat, reſinam ſiccam myricae, folia, lini ſemen ex vino terito, ex adipe gallinaceo permiſceto et in pudenda per clyſterem infundito. Farinae puriſſimae conchae teſtam majorem, aut amylum in vellere ad os uteri in ſubdititio apponito. Aliud quod eodem modo infunditur. Ubi aqua ex pudendis effluxerit, myricae folia, thuriferae arboris fructum et reſinam, ex anſerino adipe trita, in pudenda per clyſterem injicito. Si ex fluore aquoſo circa pubem dolor eſt. Viticis ſemen ex melle terito, pubem cataplasmate probe obducito. Si fluor ſanguineus, albus, aut qualiscunque fuerit. Sulphur et mandragoram ex vino meraco tritam lana exceptam ſubdito et ſupina dormiat, immotaque maneat. Aut mali Punici cortices ſiccos ex vino Pramnio tritos potui exhibeto. Ad fluorem album potio. Hederae albae ſemen et pini corticem ex vino auſtero praebeto. Aut cornu cervi uſti partem unam, farinae vero hordeaceae crudae partes duas, cedri baccas quinque ex aqua terito et potui exhibeto. Ad uteri ſtrangulatum. Caſtorium

Ed. Chart. VII. [835.] Foës. I. 669. Ed. Lind. II. (601. 602.)
ἐν εἰρίῳ ἑλίξας προστίθει. ἢ τοῦ λωτοῦ τὸ ἄνθος ἑψῆσαι ἐν ὕδατι, κἄπειτα τρίβειν ἐν ῥοδίνῳ μύρῳ καὶ ἐν εἰρίῳ πρὸς τὸ στόμα τῆς ὑστέρης προσάγειν. ἢ κύπερον καὶ ἶριν καὶ ἄννησον ἶσον ἑκάστου ἐν μύρῳ ῥοδίνῳ λεῖον βαλεῖν ἐς τὸ στόμα εἴσω. ἢ μυρσίνης φύλλα μελαίνης, ἐν οἴνῳ λευκῷ πίτυος φλοιὸν παραμίσγειν καὶ ὁμοίως ποιεῖν. ἢ κυπαρίσσου καρπὸν καὶ λιβανωτὸν ἶσον ἑκατέρου τρίβειν ὁμοῦ ἐν μύρῳ καὶ προστιθέναι. ἢν ξηρῆναι δέῃ ῥόον, καλαμίνθην ἐν οἴνῳ μέλανι ἕψειν καὶ ἐς ὀθόνιον βρέξαντα, ἐπιτιθέναι. ἢ ὑοσκυάμου τῶν φύλλων καὶ κώνειον ἅμα ἕψειν. ὡσαύτως πράσα καὶ μαλάχην καὶ κηρὸν καὶ χηνὸς ἄλειφα μίξαι, εἶτα χλιερὸν προστιθέναι πρὸς τὰ αἰδοῖα. ἢ οἶνον ἄκρητον ξὺν ῥητίνῃ καὶ σιδίῳ ἑφθῷ τρίβειν καὶ προστιθέναι ὁμοίως. ἢ κνίκον σὺν οἴνῳ τρίβων προστίθει. ἢ λωτοῦ τὸ πρίσμα ὁμοίως. ἢ σχίνου φύλλα, ἢ ῥόον μέλιτι καθέφθῳ μίξας πρόσθες. ἢν δὲ μὴ λήγῃ, σούσινον, ἢ βλῆτον τὴν (602) βοτάνην ὡς γλῶσσαν οὖσαν, ἐν εἰρίῳ ποιεῖν προσθετόν. ῥόου ὕδατος προσ-

to roſaceo lana exceptas, in ſubdititio apponito. Aut loti florem aqua decoquito, deinde ex unguento roſaceo terito et in vellere ad os uteri admoveto. Aut cyperum, irim, aniſum aequis portionibus ſingula, ex unguento roſaceo tenuiter trita, intra os uteri injicito. Aut myrti nigrae foliis ex vino albo pini corticem admiſceto et ſimiliter facito. Aut cupreſſi fructum et thus, parem cujusque portionem, ex unguento ſimul terito et ſubdito. Si fluorem exiccare opus ſit. Calamintham vino nigro decoquito, et maceratam ex linteo imponito. Aut hyoſcyami folia et cicutam ſimul coquito, ſimiliter porra, malvam, ceram et adipem anſerinum admiſceto, deinde tepida ad pudenda apponito. Aut vinum merum cum reſina et mali Punici cortice decocto terito, et ad eundem modum ſupponito. Aut cnicum ex vino tritum in ſubdititio apponito. Aut loti ſcobem ſimiliter. Aut lentiſci folia, aut rhoëm melle cocto permixtum ſubdito. Quod ſi non ceſſet, ſuſinum aut blitum herbam linguae ſimilem, ex vellere in ſubdititium peſſum efformato. Ad aquae

Ed. Chart. VII. [836. 837.] Foël. I. 670. Ed. Lind. II. (603. 604.)
δὲ τὰς ῥῖνας τὰ κάκοδμα. εὔοδμα δὲ ἐς τὰς ὑστέρας. ἂν δὲ ἀνέχηται καὶ κύχλου τὸ ἔνδον, τὸ λευκὸν μέλιτι δεύσας καὶ μίξας, ἀλείφειν τὴν ῥῖνα. ἢ σχῖνον λεπτὴν ἣν δάκηται. ὅταν δὲ ὀδύνη ἔχῃ καὶ πνίγηται, μαλάχης ῥίζαν, ἢ ὀξύμελι ἢ φλοιὸν μαράθου καὶ κρηθμὸν ἐν ὕδατι δοῦναι πίνειν, ἄριστον δὲ ἐρυγγάνειν καὶ διανακαθίζειν, ἢ ἐλλέβορον καὶ πταρμὸν ποιέειν, καὶ προσίσχειν πρὸς τὰς ῥῖνας. ἢν δὲ ὑπὸ τὰς φρένας (604) δοκέωσιν ἵζεσθαι, ἐξαπίνης ἄφωνος γίνεται ὑποχόνδρια σκληρά, καὶ πνίγεται, καὶ τοὺς ὀδόντας συνερείδει, καὶ οὐκ ὑπακούει καλεομένη. δεῖ οὖν ὑποθυμιῆν ὑπὸ τὰς ῥῖνας, εἰρίον κατακαίων. ἄσφαλτον ἐς πῦρ ἐμβάλλων, καὶ καστόριον, καὶ θεῖον καὶ πίσσαν. βουβῶνας δὲ καὶ μηροὺς μύρῳ [837] ἔνδοθεν εὐωδεστάτῳ χρίειν, ἢ ἀστέρας τοὺς θαλαττίους τοὺς μέλανας καὶ κράμβην μίξας εὐώδει οἴνῳ πινέτω, ἢ σμύρνης τριώβολον, κορίανον ὀλίγον, ῥητίνην, γλυκυσίδης ῥίζαν, κύμινον Αἰθιοπικόν. ταῦτα τρίψας ἐν οἴνῳ λευκῷ καὶ ὕδατι ἢ μελικρήτῳ διέντα, πίνειν ἀκροχλιέ-

myrrham exhibeto. Ad nares quidem graveolentia, ad uteros vero ſuaviter olentia admoveto. Quod ſi ſuſtinuerit, etiam grani Cnidii partem interiorem albam melle ſubactam et permixtam naribus illinito. Aut ſchinum tennem ſciſſae ſpeciem, ſi mordeat. At cum dolor et ſtrangulatio detinuerit, malvae radicem aut acetum mulſum, aut foeniculi corticem et crethmum ex aqua bibendum dato. Praeſtat autem ructum ciere, erectam ſedere, aut veratro naribus admoto ſternutamentum excitare. Si vero ſub ſepto transverſo collocati eſſe videantur, derepente vox deficit, praecordia dura ſunt, ſtrangulatur, dentes inter ſeſe illidit, neque vocata audit. Naribus igitur oportet lanam ſuccenſam ad ſuffitum adhibere, bitumine in ignem immiſſo et caſtorio, et ſulphure et pice. Inguina vero et femora interiore parte ſuaviſſimo unguento illinere. Aut ſtellas marinas nigras et braſſicam ex vino odorato mixtam bibat. Aut myrrhae tres obolos, coriandri parum, reſinam, paeoniae radicem, cuminum Aethiopicum, haec ex vino albo trita et aqua, aut aqua mulſa diluta, ſumme tepida potui exhibeto. Juvat etiam peuce-

Ed. Chart. VII. [836.] Foëſ. I. 669. 670. Ed. Lind. II. (602. 603.)
κάστορα καὶ κόνυζαν ἐν οἴνῳ χωρὶς καὶ ἐν ταὐτῷ πινέτω ἑκάτερον. ἀσφάλτου ὅσον τριώβολον. ἢ φώκης στέαρ ὅσον δὶς τῷ δακτύλῳ λαβεῖν. ῥίζης γλυκυσίδης ὅσον ἥμισυ πόσιος ἐν οἴνῳ εὐώδει διδόναι πίνειν. ὅταν δὲ πνίγωσι καὶ ὁμοῦ (603) βήσσῃ, σανδαράχης ὅσον ὀβολὸν καὶ θείου ἀπύρου ἴσον καὶ ἀμύγδαλα πικρὰ καθήραντα συμμίσγειν τρία ἢ τέσσαρα, καὶ διδόναι ἐν οἴνῳ εὐώδει. ἢν δέ γε προσίσχωσιν αἱ ὑστέραι, κριθὰς τρίψας λεῖα ξὺν τοῖσι ἀλεύροισι καὶ κέρας ἐλάφου, ἐλαίῳ δεύσας ὑποθυμιήσθω. ὅταν δὲ ἄνω ᾖ, καὶ θλίβηται καρδία καὶ στόμαχος καὶ ὑπομένωσι, σμύρνην, ἢ ῥητίνην, ἢ νέτωπον, ἢ κάστορα, ἢ ὀπὸν σιλφίου πίσαι. ὅταν ὑστέρα πνίγῃ, πνεῦμα δὲ σέβηται, ἄλες ἄνω καὶ βάρος ἔχῃ, καὶ γνώμη καταπλήξ, ἀναυδίη, περίψυξις, πνεῦμα προσπταῖον, ὄμματα ἀμαλδύνεται. τὴν κεφαλὴν ξυρῆν ὅτι τάχιστα καὶ ταινίῃ ἀποδιωθεῖν, ὑπὲρ ὀμφαλὸν δὲ εἰ δεῖ. || διδόναι δὲ καὶ καστόριον καὶ κόνυζαν καὶ πηγάνου ὕδωρ, κύμινον Αἰθιοπικὸν, ῥαφάνου σπέρμα, θεῖον, σμύρνην. πρὸς

et conyzam ex vino per ſe, et ex eodem utrumque permixtum bibat. Aut bituminis trium obolorum pondus. Aut phocae adipis quantum bis digito capi poteſt. Radicis paeoniae dimidiam potionem, ex vino odorato potui exhibeto. Ubi vero ſimul cum tuſſi ſtrangularint uteri, ſandarachae oboli pondus, ſulphuris ignem non experti tantundem et amygdalas amaras repurgatas tres vel quatuor commiſceto, ex vino odorato exhibeto. Quod ſi quidem procidant uteri, hordeum tenuiter tritum cum paleis et cornu cervi oleo ſubactum, in ſuffitu admoveto. Cum vero ſurſum fuerint et cor et ſtomachus opprimitur, ibique ſubſtiterint, myrrham aut reſinam aut netopum aut caſtorium aut laſeris ſuccum propinato. Cum uterus ſtrangulatum intulerit, ſpiritus autem coacervatus ſurſum proruperit et gravitas detinuerit, mens attonita fuerit, ſermo defecerit, totius corporis perfrictio et ſpiratio offenſans adeſt, oculi hebeſcunt. Caput quam citiſſime radito, faſcia ſupra umbilicum, ſi opus fuerit impoſita retrudito. Caſtorium autem et conyzam, rutae decoctum, cuminum Aethiopicum, raphani ſemen, ſulphur,

Ed. Chart. VII. [837.] Foës. I. 670. Ed. Lind. II. (605.)

εὐώδεα. ἢν ἀνεμωθῶσιν αἱ ὑστέραι, ἡδύσματα πάντα ἐς τὸ μύρον ἐμβάλλεται, καὶ δάφνη, καὶ μυρσίνη, καὶ ἐλελίσφακος, κέδρου τε πρίσματα καὶ κυπαρίσσου. ταῦτα κόψαι καὶ κατασῆσαι λεῖα, καὶ ἐπ' οἶνον εὔοδμον ἐπιπάσσειν καὶ ἐπιχέαι ῥόδινον ἔλαιον. ὅταν δὲ μετακινηθεῖσαι θλίβωσιν αἱ ὑστέραι, κριθὰς ξὺν τοῖς κυρηβίοισι καὶ πρόμαλον ἐλάφου κέρας οἴνῳ δεύσας, ὑποθυμιῆν. ὅταν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον ἀνάψαι καὶ ἀποσβέσαι ὑπὸ τὰς ῥῖνας. λιγνὺς καὶ αἰθαλὸς εἴσεισι καὶ πίσσαν καὶ καστόριον, καὶ πευκεδανὸν καὶ σμύρναν διεὶς μύρῳ ἰρίνῳ ἀναθεύσασα προστιθέσθω. πίνειν δὲ ῥητίνην ἐλαίῳ διέντα. ἢν πνίγωσι λίην, διδόναι ποτὸν ἢ χελώνης παραθαλασσίης ὅσον τριώβολον τρίψας ἐν οἴνῳ λευκῷ, κοτύλην ἢ κυάθους τρεῖς πίνειν, ἢ κέδρον εἰς λύχνον ἐπιχέας ἅψαι τὸν λύχνον, καὶ ἐὰν ἀποσβεσθῇ πρὸς τὰς ῥῖνας πρόσαγε ἢ βόρβορον ὡς δυσωδέστατον ὁμοίως, ἢ εἰρίον κατακαύσας ὑπὸ τὰς ῥῖνας ὑποθυμιῆν τῆς γυναικὸς,

uteri flatu diſtentae fuerint, aromata omnia in unguentum injiciantur, et laurus et myrtus et ſalvia et cedri ac cupreſſi ramenta. Haec tuſa et laevigata cribrato, et in vinum odoratum inſpergito, et oleum roſaceum affundito. Si vero transmoti uteri oppreſſerint, hordeum cum repurgaveris et cornu cervinum ex vino ſubacta ad ſuffitum adhibeto. Cum ſurſum procedentes ſtrangulant, ſuccenſum funiculum lucernarium ſub naribus extinguito, quo fuligo et fumus intro penetret picemque et caſtorium, peucedanum et myrrham unguento diluta vellere excepta, in ſubdititio apponat, reſinam vero oleo diſſolutam bibat. Si valde ſtrangularint, potio exhibenda. Aut teſtudinis marinae obolos tres, ex vini albi hemina aut cyathis tribus propinato. Aut cedrino oleo in lucernam infuſo, eam accendito et extinctam naribus admoveto, aut coenum quam foetidiſſimum eodem modo, aut lanam ſuccenſam mulieris naribus ad ſuffitum adhibeto, aut bituminis modicum ex vino albo tritum bibat, aut erymi conchae teſtam et caſtorium ex vino albo bibendum dato et lavet. Quod ſi etiam tuſſis adſit, ſandarachae obolum,

Ed. Charт. VII. [837.] Foël. I. 670. Ed. Lind. II. (604. 605.)

ρον. βοηθεῖ δὲ καὶ τὸ πευκεδανὸν, ἀριστολοχία, κρομμύου δάκρυον, πάνακες ἐν οἴνῳ ἢ ὕδατι, ἀκροχλίερον διδόμενον. ὑστέρας ἐς χώρην ἄγει, τοῦ κρότωνος ῥίζα πινομένη, ἢ κύμινον Αἰθιοπικὸν, ἢ σέλινον, ἢ μαράθρου σπέρμα καὶ ἀννήσου, πέπερι ἢ σμύρνα, καὶ ὑπὸς μήκωνος πινόμενος. ἢν ἡ καρδία πνίγεται, ὑπὸ ὑστέρης ἀναθλίβεται, καὶ πνεῦμα ἔχει καὶ ἄσθμα. δεῖ τὸν καρπὸν τῆς ἄγνου καὶ γλυκυσίδης ἐν οἴνῳ πίνειν, ἢ ἀβρότονον, καὶ πάνακες, καὶ ἀμμωνιακὸν, ἢ πήγανον, ἢ ὑπνωτικὸν μηκώνιον. πάλιν οὖν εἰ ὁμοίως ἔχει, μελάνθιον τρίβειν λεῖον, καὶ μέλιτι δεύειν, καὶ ποιῶν οἷον βάλανον, καὶ πρὸς τῷ πτερῷ προστιθέναι, ἢ φιλίστιον ὁμοίως προστίθει, ἢ τηλέφιον, ἢ ἀνεμώνης φύλλα τρίψας, ἐνθὲς ἐς τρύχινον καὶ σμύρνην μικρὴν ξυμμίσγειν. ἢν ἐς τὴν ὀσφῦν αἱ ὑστέραι καταστηρίξωσι, μὴ ψαύῃ δὲ τῆς κεφαλῆς ἡ πνιξ, ἐσθιέτω πολύποδας ἑφθοὺς, καὶ οἶνον πι(605)νέτω μέλανα εὐώδη ἄκρητον ὡς πλεῖστον. ὅταν δὲ ὡς πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, οἶνον κέδρινον, καὶ οἶνον Αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ πυριάσθω τὰ

danium, ariſtolochia, cepae lachryma, panaces ex vino aut aqua exhibitum. Uteros in priſtinum locum reducit ricini radix pota, aut cuminum Aethiopicum, aut apium, aut foeniculi et aniſi ſemen, piper, aut myrrha, aut papaveris ſuccus epotus. Si cor ſuffocatur ab utero comprimitur, et difficilis ac crebra ſpiratio detinet, viticis et paeoniae ſemen ex vino bibere oportet, aut abrotonum et panaces et ammoniacum, aut rutam aut ſomniferi papaveris ſuccum. Si rurſus eodem modo habeat, melanthium laeviter terito, melle ſubigito et velut glandulam efformatam, penna convolutam, in ſubdititio apponito. Aut philiſtium ad eundem modum ſupponito, aut telephium, aut anemones folia trita, in linteum detritum indita et pauca myrrha admixta. Si uteri in lumbos incumbant, neque ſuffocatio caput attingat. Polypos coctos edat et vinum nigrum odoratum, meracum quam plurimum bibat. Quando vero tanquam ad viſcera verſi ſtrangularint, vinum cedrinum et cuminum Aethiopicum bibat, calida lavet et odoratos fotus admoveat. Si

Ed. Chart. VII. [838.] Foël. I. 671. Ed. Lind. II. (606. 607.)
φλοιὸν καὶ δρυὸς φύλλα καὶ ῥητίνην μίξας, ἐλαίῳ δεύειν καὶ ὑποθυμιᾶν. φώκης τῆς πιτύης τὸ δέρμα κόψας λεῖον, καὶ σπόγγον καὶ βρύα λεῖα μίσγειν τῷ ἐλαίῳ τῆς φώκης, καὶ ὑποθυμιᾶν αἰγὸς τοὺς σπυράθους, καὶ φώκης πνεύμονα, καὶ κέδρου πρίσματα, ὑποθυμιᾶν δὲ καὶ βόλβιτον, ἢ κεράτων ξύσματα βοὸς καὶ ἄσφαλτον, ἢ ἀκάνθης Αἰγυπτίης καρπὸν καὶ κέδρου πρίσματα, καὶ μυρσίνης φύλλα ξηρὰ μύρῳ μαλθακῷ, ταῦτα δεύσας ὑποθυμίη. ἀρώματα δὲ συχνὰ ἐς τὸ μύρον ἐμβάλλειν, ἢ γίγαρτα κόψας λεῖα, καὶ κεδρίαν καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας γλυκεῖ ἐφθῷ δεύσας ὑποθυμιᾶν. πυριήσιες ὡς (607) ἀπίωσιν. βολβίτου κεκαυμένου καὶ ὄξεος ἥμισυ, καὶ ὀροβίου θαλάσσης ἢ ὕδατος ὁμοίως πυρία τὰς ῥῖνας. πυριᾶν δὲ βληχρῶς, καὶ φάκιον πιεῖν. ἀπεμέειν δὲ καὶ ῥοφέειν διδόναι ἄλητον, καὶ ἔτι τὸν οἶνον. τῇ δ' ὑστεραίῃ κόκκος ἔστω κατάποτον, καὶ οὐρητικὸν δὲ ἀσταφίδα καὶ ἐρεβίνθους δύο τρίψας, σταφίδος τῆς ἀρίστης ἐπιχέας χόα ἕψε, ἔπειτα ἀποχέας πρὸς τὴν αἰθρίην θεῖναι, καὶ

aut corticem et quercus folia ammixta reſina, oleo ſubigito et ſuffitu adhibeto. Coaguli vituli marini pellem laeviter tuſam, ſpongiam et muſcum laevigata, vituli marini adipe permixta, ad ſuffitum admoveto. Stercoris caprini globulos, vituli marini pulmonem et cedri ramenta ſuffito. Quin etiam ſtercus bubulum, aut cornuum bubulorum ſcobem, aut bitumen, aut ſpinae Aegyptiae fructum, aut cedri ramenta et myrti folia ſicca, haec molli unguento ſubacta, in ſuffitu adhibeto. Aromata vero multa in unguentum injicito. Aut uvarum retrimenta laeviter tuſa, cedriam et reſinam pineam ſimul mixta, paſſo cocto diluta ad ſuffitum admoveto. Fotus ut uteri recedant. Stercus bubulum uſtum, aceti dimidium et ervi ex aqua marina aut dulci decocti ſimiliter dimidium, ſuffitu naribus admoveto, idque leviter facito, et lenticulae decocto epoto vomitum cieto, et farinam ſorbendam, inſuperque vinum bibendum dato. Poſtridie granum Cnidium devoret et medicamentum ſumat quod urinam cieat, uvam paſſam et cicerum tritorum partes duas, uvae paſſae optimae affuſum aquae congium coquito, deinde diffuſum

Ed. Chart. VII. [837. 838.] Foës. I. 670. 671. Ed. Lind. II. (605. 606.)

ἢ ἀσφάλτου ὀλίγον τρίψας ἐν οἴνῳ λευκῷ πινέτω, ἢ ἐρυσίμου κόγχην || καὶ καστορίου ἐν οἴνῳ λευκῷ δὸς πιεῖν καὶ λοῦσον. ἢν δὲ μὴ βήσσῃ, σανδαράχης ὀβολὸν, θείου δύο ὀβολοὺς ἀπύρου, ἀμύγδαλα πικρὰ ἀποκαθήρας καὶ καστορίου ὀβολὸν μίσγειν σὺν οἴνῳ εὐώδει, καὶ πίνειν δίδου. [838] ἢν δὲ πνίγωσιν αἱ ὑστέραι, καὶ τῆς καρδίας ψαύσῃ τὸ πνίγμα καὶ μεμύκῃ τὸ στόμα, ὄξος θερμὸν δίδου ῥοφεῖν. πασσαλίσκῳ ἢ κερκίδι ἄνοιγε, καὶ οἶνον ὁμοίως ἄοσμον, καὶ σὺν ὀξυμέλιτι. ἢν λίην δὲ πνίγωσι καὶ ἄφωνος ᾖ, κρόμμυον ἐν οἴνῳ χλιερῷ τρίψας, ἐνστάζειν ἐς τὰς ῥῖνας καὶ ἀνεγείρειν. ἢν δὲ ἄχρις ἥπατος ἀνίωσι, καὶ πνίγεται, ἄφωνος γίνεται, καὶ οὐδὲν ὁρᾷ, καὶ τοὺς ὀδόντας συνερείδει, καὶ σκληρὴ γίνεται καὶ οὐδὲν φρονέει, καὶ ἀναπνεῖ πυκνὰ, καὶ οὐχ ὑπακούει. ταύτην ὑπὸ τὰ ὑποχόνδρια λαβὼν τῇσι χερσὶ χρίειν θαμινάκις, καὶ τοὺς ὀδόντας διαγαγὼν πασσάλῳ, οἶνον ἄκρητον χλιερὸν ἐγχέειν, ἢν μή τι κωλύοι, καὶ αὐτίκα ῥαΐζῃ ὡς τὰ πολλά. ἐὰν ἐγκέωνται ἐς τοὺς βουβῶνας καὶ ἐρείδωσιν, αἰγὸς σπυράθους καὶ λαγωοῦ τρίχας, ἐλαίῳ φώκης δεύσας ὑποθυμία, ἢ τοῦ κυτισοῦ τὸν καρπὸν ἢ τὰ φύλλα αὐαίνειν, ἢ τὸν

sulphuris ignem minime experti obolos duos, amygdalas amaras detracto cortice et castorii obolum ex vino odorato permisceto et potui exhibeto. Quod si uteri strangulent et strangulatus ad cor pertingat, osque occlusum fuerit, acetum calidum sorbendum dato, osque paxillo aut radio diducito et vinum inodorum eodem modo infundito et cum aceto mulso. Si vero valde strangularint et voce defecta fuerit, cepa ex vino tepido trita in nares instillata eam excitato. Quod si ad hepar usque ascenderint, strangulatur, vox deficit, nihilque videt, dentes inter se illidit, dura redditur, nihil sentit, crebro spirat, neque audit. Hanc manibus sub praecordiis apprehensam crebro illinito et dentibus paxillo diductis, vinum meracum tepidum, nisi quid impediat, infundito et plerumque confestim allevatur. Si vero ad inguina incumbant et adhaerescant, caprini stercoris globulos et leporis pilos, vituli marini adipe subactos, ad sussitum admoveto. Aut hederae fructum, aut folia sicca,

Ed. Chart. VII. [839.] Foës. I. 671. 672. Ed. Lind. II. (608.)
δὲ τῷ λευκῷ τοῦ ὠοῦ τὰ ἔξω ὅταν ψύχηται καὶ πελιδνὰ ἔωσιν ὕδατι θερμῷ. μαλθακτήρια ὑστέρης. ὄϊος στέαρ, ὠῶν λέκιθος, μέλι, ἔλαιον ῥόδινον. || τουτέοις ἀναφυρήσας ἄλητα, παραχλιαίνειν ἐν πυρὶ μαλθακῷ τὸ ἀποσταζόμενον ἐς εἰρίον ἀναμαλάσσειν καὶ προστιθέναι, ἢ στέαρ ὄϊος ἡδὺ, νίτρον ἐρυθρὸν ἢ χηνὸς ἄλειφα, ῥόδινον ἔλαιον ξυντήξας καὶ ἐς εἰρίον ἀναφυρήσας, προσθεῖναι. χηνὸς ἄλειφα ἢ μήλειον στέαρ, κηρὸν λευκὸν, νέτωπον, ῥόδινον ἔλαιον, ὡς ἄριστα ταῦτα ἀναμὶξ ποιέειν, καὶ ῥάκεα ἐγκατίλλειν λεπτὰ, καὶ αὐτίκα λουσαμένη, προστιθέσθω χλιηρὰ πρὸς τὸ στόμα, ἢ ἐλάφου μυελὸν καὶ στέαρ τῆξαι ἐν ῥοδίνῳ ἐλαίῳ ἀναφορύξασα εἰρίον μαλθακὸν προστιθέσθω. μαλθακὰ προσθειὰ ὕδωρ ἄγει καὶ μύξας καὶ δέρματα καὶ οὐχ ἕλκοῖ. σμύρναν ὡς ἀρίστην, καὶ ἁλὸς χόνδρον καὶ πίσσαν ἡδυντὴν, τρίβειν λεῖα καὶ τιθέναι. ἕτερον προσθετόν. ἐκλέψας κόκκους τριήκοντα, τὸ Ἰνδικὸν, ὃ καλοῦσιν οἱ Πέρσαι πέπερι, καὶ ἐν τουτέῳ ἕνι στρογγύλον, ὃ καλοῦσι μυρτιδανὸν, ξὺν γάλακτι γυναικείῳ

eodem modo. Exteriora vero ovi candido linito. Cum autem perfrixerint et livida fuerint, aqua calida foveto. Quae uterum emolliunt. Ovillum adipem, ovi luteum, mel, oleum rosaceum, his farinam subactam molli igne calesacito, quod distillat molli lana excipito et in subdititio apponito. Aut ovillum adipem aromatibus conditum, nitrum rubrum, aut anserinum adipem, oleum rosaceum, haec liquata et cum lana subacta supponito. Anserinum adipem aut ovillum, ceram albam, netopum, oleum rosaceum, haec quam optime simul permixta et tenuibus concerptis panniculis excepta, confestim ubi lota fuerit, tepida ad os uteri apponat. Aut cervi medullam et adipem oleo rosaceo liquatum, molli lana exceptum supponat. Subditicia mollia quae aquam, mucos et pelliculas educunt, neque ulcerant. Myrrham quam optimam, salis micam et picem aromatibus conditam, laeviter terito et apponito. Subditicium aliud. Grana Cnidia triginta detracto cortice, Indicum quod Persae piper vocant et quod inest rotundum, myrtidanum appellant, cum lana

Ed. Chart. VII. [838. 839.] Foës. I. 671. Ed. Lind. II. (607. 608.)
τῇ ὑστεραίᾳ πίνειν, καὶ τὸ λοιπὸν ἐλελίσφακον, καὶ λίνου σπέρμα, καὶ ἄλφιτον διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεκρημένῳ, κοτύλας τέσσαρας, ἐλαίου ἡμικοτύλιον, ἀκτῆς φύλλα χεῖρα πλείαν. ταῦτα ἑψεῖν καὶ πυριᾶν θερμῷ ἢ ὀστράκοισι θερμοῖσιν, ἐπὶ δίφρου καθέζεσθαι. ἀμφικαλύπτειν δὲ εἵμασιν, ἢ τῆς ἀκτῆς τὰ φύλλα σὺν μυρσίνῃ ἑψεῖν, καὶ κριθῶν ἄχυρα ἑψεῖν, καὶ ἢν [839] οἷά τέ ἐστι ὑποφέρειν ὄξος, ἔλαιον, μέλι, ὕδωρ. ταῦτα κεράσας καὶ ἀναμίξας, ἀναζέσας σφόδρα ἐς κύστιν ἐγχέαι, καὶ τῆς πιτύης τὸν φλοιὸν καὶ τῆς ῥοιᾶς τὰ φύλλα ἐμβάλλειν ἐς ὕδωρ. ἀφεψεῖν δὲ ἰσχυρῶς, καὶ ἐμβάλλειν ἐς τὸ ὕδωρ, καὶ κριθῶν ἄχυρα ἑψεῖν, ἔλαιον ἐπιχέαντα, ἢ λωτοῦ πρίσματα, καὶ κυπαρίσσου ὕδωρ ἐπιχέας καὶ ἔλαιον ἕψε εὖ μάλα, καὶ πυρία σὺν ἀρώμασι μύρον ἐγχέειν, καὶ κικίδα ἐμβάλλειν, καὶ ῥάμνου φλοιοῦ καὶ πύρινα ἄλφιτα ξὺν ὕδατι. ἢν δὲ προΐσχωσιν ἔξω τὰ νεῦρα καὶ τὰ καλεόμενα οἶχοι (608) χαλῶνται, μύρτα, λωτοῦ πρίσματα, βάτου καὶ ἐλαίης φύλλα ἅμα ἕψειν, καὶ πυριᾶν ἀκροχλιάρως ἢ οἴνῳ μετὰ τουτέων καὶ κακωδέων, ὁμοίως. περιχρίειν

coelo ſereno exponito, poſtridie bibendum exhibeto. De caetero ſalviam, lini ſemen et polentam bis die ex vini aqua temperati heminis quatuor exhibeto. Olei heminam dimidiam, ſambuci folia quantum manus plena capit, hoc decocto calido foveto, aut teſtis calidis injectis, muliere in ſella ſedere juſſa et veſtibus circumtecta. Aut ſambuci folia cum myrto decoquito et hordei paleas et ſi perferre poſſit acetum, oleum, mel, aquam, haec temperata et permixta, valde ferveſacta in veſicam infundito. Et pini corticem, malique punici folia in aquam injecta, vehementer decoquito et in decoctum hordei paleas immiſſas oleo affuſo decoquito. Aut loti et cupreſſi ramenta affuſa aqua et oleo probe admodum coquito et fomento adhibeto. Cum aromatibus unguentum infundito, gallam immittito et rhamni corticem et polentam triticeam cum aqua. Quod ſi nervi foras promineant et quae ſcrota vocantur, laxentur, myrti baccas, loti ramenta, rubi et oleae folia ſimul coquito et ſumme tepido foveto, aut vino cum his et graveolentibus

Ed. Chart. VII. [840.] Foël. I. 672. Ed. Lind. II. (609. 610.)

πέπερι, ἐλατήριον, ξυμμίσγειν δὲ καὶ γυναικὸς γάλα καὶ τρίβειν σὺν τοῖσδε καὶ μέλι καὶ ἄλειφα λευκόν. ἐλάφου τε στέαρ τρυχνομένη. σφοδρὰ δὲ ἄγει παντοῖα. σύκου τὸ πῖαρ, ἐλατηρίου δύο πόσιας, νίτρον ἐρυθρὸν, ὅσον τὸ ἐλατήριον. μέλι ὀλίγον ἐν ῥάκει ἢ ἐν εἰρίῳ, βάλανον ποιέειν. ἕτερον. νέτωπον, χολὴν ταύρου, νίτρον, κυκλάμινον, κικίδα, τρίβειν σὺν μέλιτι. μετέπειτα δὲ καὶ λουσαμένη, στέαρ ἐχέτω ἢ γλήχωνα, καὶ χολὴν ταύρου τριπτὴν περιπλάσσειν πτερῷ, καὶ ἐς ἄλειφα ἐμβάψας Αἰγύπτιον, προστιθέναι ἢ κυκλάμινον ὕσον ἀστράγαλον σὺν χαλκοῦ ἄνθει, ἢ ἀνεμώνης κε(610)φαλὴν τρίψας σὺν ἀλήτῳ, πτερῷ περιπλάσσειν ἐς λευκὸν εἰρίον ἐμβάπτεσθαι. ἄγει πάντα. σικυοῦ ἐντεριώνης τῆς μακρῆς ἑλὼν τὸ σπέρμα σὺν γάλακτι, καὶ σμύρναν σὺν αὐτοῖσιν ἄκρην. τὸ μέλιτι ποσὸν Αἰγύπτιον ἔλαιον εἰρίῳ μαλθακῷ ἀναφορύξαι, ἢ τὴν ἐντεριώνην τῆς σικύης ξηραίνειν, καὶ μέλι περιχέαι καὶ τρίβειν καὶ βάλανον ποιέειν. ἐπὴν δὲ λούσηται, στέαρ προστιθέσθω, ἢ ἐλατηρίου τρεῖς πόσιας ἐν ὕδατι.

elaterium et ammixto lacte muliebri, cum his mel, oleum album et adipem cervinum terito, linteo lacero et attrito excepta ſubdat. Hoc quodvis humorum genus potenter educit. Fici pingue, elaterii quantum ad duas potiones ſatis ſit, nitrum rubrum elaterii quantitate, mellis parum, linteo aut vellere exceptum, glandem conficito. Aliud. Netopum, fel tauri, nitrum, cyclaminum, gallam cum melle terito. Poſtea vero etiam lota adipem cervinum in ſubdititio teneat. Aut pulegium et fel tauri tritum circum pennam obducito et oleo Aegyptio imbutum ſupponito. Aut cyclaminum tali quantitate cum aeris flore. Aut anemones caput cum farina tritum, circum pennam obductum, oleo albo intingito, omnia educit. Cucumeris agreſtis oblongi interiorem partem detracto ſemine, ex lacte tritam, una cum his myrrham ſinceram, mellis aliquantulum et oleum Aegyptium admiſceto, molli lana excipito. Aut interiorem cucumeris agreſtis partem ſiccato et affuſo melle terito, glandem conficito. Cum autem laverit, adipem ſubdat, aut elaterii potiones tres ex aqua. Emollientia. Ovi candidum,

Ed. Chart. VII. [839. 840.] Foël. I. 672. Ed. Lind. II. (608. 609.)

ὁμοῦ τρίβειν καὶ μέλιτι διϊέναι. ἔπειτα εἰρίον μαλθακὸν καὶ καθαρὸν ἀναφυρήσας, περὶ πτερὸν περιελίξας προσθεῖναι, καὶ τὴν ἡμέρην ἐᾷν. ἢν δὲ ἰσχυρότερον βούλῃ ποιῆσαι, σμύρναν ὀλίγην παραμίσγειν ὅσον τρι(609)τημόριον, καὶ εἰρίον μαλθακὸν καθαρὸν ἢ μιρυπόν. ἄγει ἐξ ὑστερέων καὶ τὸ στόμα μαλθάσσει. νάρκισσος, κύμινον, σμύρνα, λιβανωτὸς, ἀψινθίον, κύπερος. αὐτὰ ταῦτα κατ' ἑαυτὰ καὶ ξὺν ῥοδίνῳ ἐλαίῳ ἢ λευκῷ ἢ Αἰγυπτίῳ. προσθέσθω δὲ λουσαμένη. ἰχῶρα ὕφαιμον δυνάμενον ἄγειν. σὺν τοῖς θασὶ μίσγειν σμύρναν, ἅλας, κύμινον, χολὴν ταυρείην. μέλι ἐν εἰρίῳ προστιθέναι, καὶ κυμίνου φύλλα ἡδελφισ[840]μένα ἐν οἴνῳ, ἢ ὀπὸν σιλφίου σύκῳ μίσγειν καὶ βάλανον ποιήσαντα προσθεῖναι. τὸ δ' αὐτὸ ποιεῖ καὶ συκῆς ῥίζα σὺν μέλιτι, καὶ μετέπειτα χρίειν ῥοδίνῳ. ἐνεργεῖ δὲ καὶ σκορόδου μῶλυζα, νίτρου ἐρυθροῦ, σύκου πίονος ἶσον, μίσγειν δὲ κικίδα μικρὴν καὶ βάλανον ποιέειν καὶ ἐμβάπτειν ἔς τι τῶν ὑγρῶν καὶ προστιθέναι. κἄπειτα λουσαμένη ἐλάφου στέαρ ἐν εἰρίῳ ἐχέτω. αἱματώδεα πάντα μᾶλλον τῶν πρόσθεν ἄγειν δύναται καὶ μαλθάσσειν.

muliebri ſimul terito et melle diſſolvito, deinde molli et pura lana exceptum et circum pennam convolutum ſupponito et per diem ſinito. Quod ſi validius facere voles, paulum myrrhae admiſceto, tertiam videlicet partem et lanam mollem puram ſemiſuccidam. Ex uteris educit osque mollit, narciſſus, cuminum, myrrha, thus, abſinthium, cyperus, haec ipſa per ſe, aut cum oleo roſaceo, aut albo, aut Aegyptio, lotae autem ſupponantur. Medicamentum quod cruentam ſaniem educere poteſt. Myrrham cum taedis miſceto, ſalem, cuminum, fel tauri, mel, in vellere ſupponito. Et cumini folia ſimiliter ex vino. Aut laſeris ſuccum cum ficu miſceto et glandem formatam ſubdito. Idem facit mori radix cum melle, poſteaque roſaceo linito. Efficax eſt et allii caput ſine nucleis, nitrum rubrum et fici pingue aequali portione, in parvam gallam miſceto, glandem conficito et liquore aliquo intinctam ſupponito. Deinde lota adipem cervinum in lana ſubditum teneat. Haec cruenta omnia magis quam priora educit et emollit. Piper,

Ed. Chart. VII. [840. 841.] Foël. I. 673. Ed. Lind. II. (611.)

στύρακα, καὶ περιχρίειν νετώπῳ. ῥόδινον ἔλαιον ὡς ἄριστον, καὶ Αἰγύπτιον λευκὸν, θυμία τοῦτο [841] μετὰ τὰς καθαρσίας, ἢ δάφνης καὶ μυρσίνης φύλλα κόψαι καὶ κυπέρου καρπὸν, ἐργάσασθαι Αἰγυπτίῳ λευκῷ μύρῳ καὶ νετώπῳ καὶ ἐπὶ βολβίτῳ θυμία. ἀρήγει δὲ καὶ μάννα. κυπαρίσσου πρίσματα, καὶ κυπέρεως ῥίζα κοπεῖσα. σῆσαι δὲ καὶ σχοῖνον, τὸν εὔοσμον ἡδύοσμον, καὶ κάρδαμον, καὶ ἶριν. ταῦτα πάντα μίσγειν. περιχέαι δὲ αὐτοῖς ῥόδινον ἔλαιον καὶ νέτωπον, καὶ χρέο ἐν κρίμνοισι πυρίνοισιν, ἢ ῥητίνην ἐπὶ νεοπήκτου κεραμίδος θυμία, ἐπιβαλὼν καστόριον ἤ τι τῶν ἀρωμάτων. τὴν δὲ κεφαλὴν τέγγειν ἐλαίῳ ῥοδίνῳ. ἐς δὲ τὼ ὦτε μύρσινον ἢ μήλινον ἢ λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας δίδου πίνειν, καὶ ἐν ὕδατι θερμῷ καθέζεσθαι, καὶ ἐλαίης λευκῆς πρὶν ἂν ἔλαιον ἀνεῖναι, κατακνίσαι καὶ αὐῆναι, καὶ εἰς οἶνον τρίβειν εὐώδεα, καὶ ἐμβάφιον Ἀττικὸν διδόναι, ἢ κανθαρίδων τὰς γαστέρας ἢ ἀδίαντον καὶ νίτρον ἐρυθρὸν Αἰγύπτιον. ῥίζαν νάρθηκος, καὶ σελίνου σπέρμα

fiercus bubulum immittenda et netopo illinendum. Oleum rosaceum quam optimum et Aegyptium album affundendum, ex eo post purgationes suffitum parato. Aut lauri, myrti folia et cyperi fructum tundito, cum unguento Aegyptio albo et netopo permisceto, in stercore bubulo ad suffitum adhibeto. Confert autem et thuris pollen, cupressi ramenta et cyper radix tusa. Juncum etiam odoratum aromaticum, cardamum et irim cribrato, his omnibus affuso oleo rosaceo et netopo permixtis, ex triticea farina crassius molita utitor. Aut resinam ex recenter compacto fictili suffito, castorio aut aliquo ex aromatibus injecto. Caput autem oleo rosaceo perfundito et in aures oleum myrtinum aut melinum immittito. Aut cicer rubrum et uvas passas decoctas potui exhibeto et in aqua calida desideat. Et olivas albas prius quam oleum dimittant concidito et siccato, ex vino odorato terito et acetabulum Atticum exhibeto. Aut cantharidum ventres, aut adiantum et nitrum rubrum Aegyptium, ferulae radicem et apii semen leviter contusum, haec exhibeto. Si

Ed. Chart. VII. [840.] Foëſ. I. 672. 673. Ed. Lind. II. (610. 611.) μαλθακτήρια. ὠοῦ τὸ λευκόν, ὄλητον, μελίκρητον λευκόν. ταῦτα ὁμοῦ χλιαίνειν, καὶ τὸ ἀποστάζον εἰρίον ἀναστοργίσας πρόσθες, ἢ χηνὸς ἄλειφα, κηρὸν λευκὸν, ῥητίνην, μύρον ῥόδινον, μυελὸν ἐλάφου τήκειν ἢ στέαρ ὄϊος ἢ αἰγὸς, ὠοῦ τὸ λευκόν, ῥόδινον μύρον ἢ βάλανον ποιέειν ἢ εἰρίῳ ἀναλαμβάνειν. || πυρίαι δι' ὧν ὑστέραι καθαίρονται, ἢν σκληραὶ ἔωσιν. οἶνον χρὴ ὡς ἥδιστον ἴσον ἴσῳ κεράσαι, ὡς τρία ἡμιχόεα Ἀττικὰ καὶ μαράθου ῥίζαν καὶ τοῦ καρποῦ, τεταρτημόριον καὶ ῥοδίνου ἀλείφατος ἡμικοτύλην ἐς ἐχῖνον ἐᾶσαι, οὗ τὸ ἐπίθεμα ὀπὴν ἔχει, καὶ ἐπιχέαι τὸν οἶνον, καὶ ἐνθέντα κάλαμον πυριῆσαι, καὶ μετέπειτα τὴν σκίλλην προστίθεσθαι. ἢν ὀδύναι καταιγίζωσιν ἐξαπιναῖοι καὶ ἀψυχίαι ἔωσι. ῥόδων φύλλα, κιννάμωμον, σμύρναν καθαρὴν, νέτωπον, ὀποῦ μήκωνος. τουτέων φθοΐσκους ποιήσας ὅσον δραχμιαίους, ἐπίθες ἐπὶ τρύφος ἀμφορέως διαφανὲς ἢ χρῶ ὑποθυμιήματι, ἢ στύρακος, ὅσον ἐμβάλλουσιν ἐς τοὔλαιον. ὡς ἐπὶ τῆς (611) προτέρης χρῆσθαι ἅπαντα. ὁκόσα ἐς τὰ μύρα ἐμβάλλεται, κόψαι καὶ κατασῆσαι. ἐπιβάλλειν δὲ ἐπὶ τὸν βύλβιτον τὸν

farinam, mel, ceram albam, haec ſimul calefacito et quod diſtillat vellere exceptum ſubdito. Aut adipem anſerinum, ceram albam, reſinam, unguentum roſaceum, cervi medullam liquato, aut ovis aut caprae adipem, ovi candidum, unguentum roſaceum, aut in glandem formato, aut lana excipito. Fotus ex quibus uteri purgantur, ſi duri fuerint. Vinum quam ſuaviſſimum ad tres ſemicongios Atticos pari aqua temperare oportet, foeniculi radicis ſeminis quadrantem, roſacei olei heminam dimidiam in olla ponere, cujus operculum foramen habeat et vinum affundere et calamo impoſito fovere, poſteaque ſcillam in ſubdititio apponere. Si dolores repentini vehementer irruant et animi deliquia adſint. Roſarum folia, cinnamomum, myrrham puram, netopum, papaveris ſuccum, ex his paſtillos drachmae pondere formatos, amphorae, fruſto candenti imponito, aut ad ſuffitum utitor. Aut ſtyracis paululum in oleum injicito, velut in priore utitor. Quae in unguenta injiciuntur omnia tundenda et cribranda, ſtyrax autem in

Ed. Chart. VII. [841. 842.] Foës. I. 673. 674. Ed. Lind. II. (612. 613.)
ταῦτα τρίψας πάντα, φθοΐδας πλασάμενον θυμιᾶν, ἢ ἐπὶ πίσσης σανδαράκην κόψας λεῖην, μῖξαι πρίσματα κυπαρίσσου, καὶ μύρον ἐπιχέας, φθοΐδας ποιεῖν καὶ ἐπὶ πυρὶ θυμιᾶν ἢ αἰγὸς κέρας καταπρίσας ἐλαίῳ ἀνακυκᾶν, ἐπὶ πυρὶ θυμιᾶν, ἢ ὀρύξας βόθρον γίγαρτα φρύγειν καὶ τὴν σποδιὴν ἐμβάλλειν ἐς τὸν βόθρον, καὶ οἴνῳ εὐώδει νοτίσας τὰ γίγαρτα περικαθεζομένην πυριᾶσθαι. || ἔστωσαν δὲ τῶν γιγάρτων δύο μοῖραι, καὶ αὗται δὲ αὗαι ὡς τὰ μάλιστα. ἢν δὲ ὑστέρη ἀλγεῇ ἄχρι κύστιος, πράσου καρπὸν σὺν ὕδατι τριπτὸν πίνειν, ἢ κυκλαμί(613)νου ῥίζην ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν, καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω νῆστις, καὶ χλιάσματα προστιθέναι, ἢ σκορόδου μώλυζαν καὶ νίτρον ὀπτὸν [842] καὶ κύμινον, λεῖα ποιήσας μέλιτι δεύων προστίθει, καὶ ἐν θερμῷ λουέσθω, καὶ θερμὸν πινέτω. ὑστερέων πάσης νούσου θεραπευτικόν. λίνου τὸ σχιστὸν αὐτῇ τῇ καλάμῃ ὅσον δραχμὴν κόψας λεπτά, καταβρέξαι ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα. ἔπειτα ἀπηθήσας διαχλιάνας τε ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ ἐμβάπτειν, καὶ τὸ μὲν

aut rutam, coriandrum ſiccum, haec omnia trita et in paſtillos formata, ſuffitu admoveto. Aut ad picem, ſandaracham laeviter tuſam et cupreſſi ramenta permiſceto, affuſoque unguento paſtillos conficito, in ignem conjectos ad ſuffitum adhibeto. Aut cornu caprini ſcobem oleo agitatam ex igne ſuffito. Aut in effoſſam ſcrobem torrefactorum vinaceorum cinere injecto et vino odorato madefacto, circum aſſidenti mulieri ſuffitum excitato. Sint autem vinaceorum partes duae, ipſaeque quam maxime ſiccae. Si uterus ad veſicam usque doleat, porri ſemen ex aqua tritum bibendum, aut cyclamini radix ex vino albo jejunae propinanda et calida lavet et a balneo jejuna bibat et tepefactoria adhibeto. Aut allii caput unicum, nitrum torrefactum, cuminum, haec laevigata melle ſubacta in ſubdititio apponito. Calida lavet et calidam bibat. Hoc omnem uteri morbum curat linum ſciſſum cum ipſo culmo, ad pugillum unum tenuiter tuſum, vino albo quam ſuaviſſimo per noctem macerato, deinde percolato et tepefacto lanam molliſſimam

Ed. Chart. VII. [841.] Foël. I. 673. Ed. Lind. II. (611. 612.)

λεῖον. ταῦτα διδόναι. ἢν δὲ ἐπιλάβῃ στραγγουρίη, ἐν ὕδατι καθιζέσθω, καὶ γλυκὺν πινέτω, ἢν μάλιστα πνίγηται ἐν ὀδύνῃ ὑστερέων. οἶνόν τε ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας, ὡς τρία ἡμίχοα Ἀττικὰ καὶ μαράθου ῥίζας καὶ τοῦ καρποῦ τριτημόριον καὶ ῥοδί(612)νου ἐλαίου ἡμικοτύλιον, ταῦτα ἐμβάλλειν ἐς ἐχῖνον καινὸν, καὶ τὸν οἶνον ἐπιχέαντα πυριᾷν, καὶ τὴν σκίλλην προστίθεσθαι, ἔστ' ἂν φῇ τὸ στόμα μαλθακὸν εἶναι καὶ εὐρύ. καὶ ἢν ἕλκωθῇ καὶ φλυκτίδες πανταχοῦ αὐτῶν ἔωσιν, ἄμεινον στέατος χηνείου ἀλείφατι σὺν λιβανωτῷ θεραπεύειν. ὑπὲρ ὑστερέων ὀδύνης. πευκεδανὸν, ἀριστολοχίαν, πάνακες, ταῦτα ὁμοῦ μῖξαι ἐν γλυκεῖ οἴνῳ, καὶ χλιάναντα πίσαι, καὶ μήκωνος λευκῆς ῥοφέειν, καὶ κνίδης σπέρμα. ἄλλη πυρίη. θυμίη, ἢν ὀδύνη ἔχῃ, σίδια ῥοιῆς γλυκείης. λωτοῦ πρίσματα. ἐλαίης φύλλα ξηρὰ κεκομμένα, ταῦτα ἐλαίῳ ἐργάσασθαι χρὴ καὶ ἐπὶ βόλβιτον πεπυρωμένων ἐπιῤῥίπτειν. ἢ χαλβάνην, σμύρναν, λιβανωτὸν, ἔλαιον λευκὸν Αἰγύπτιον ἐπὶ οἰναρίδων. ἑτέρη πυρίη ἡ δι' ἀσφάλτου στερεωτέρα. ἀσφάλτου ῥίζης κανθίης, λαγωοῦ τρίχας, ἢ πήγανον, κύριον ξηρὸν,

vero ſtranguria invadat, in aqua deſideat et vinum dulce bibat, ſi maxime ſtranguletur ex uterorum dolore. Vinum etiam quam ſuaviſſimum aequali aqua temperatum, ad tres ſemicongios Atticos, radicum foeniculi et ſeminis trientem et olei roſacei heminam dimidiam. Haec in ollam magnam novam conjecta, vino affuſo ad fotum adhibeto et ſcillam in ſubdititio apponito, dum os molle et amplum eſſe fateatur. Quod ſi exulceretur et puſtulae in ipſo undique innaſcantur, praeſtat ex adipe anſerino cum thure curationem adhibere. Ad uterorum dolorem. Peucedanum, ariſtolochiam, panaces, haec ſimul ex vino dulci mixta et caleſacta propiuato et ſorbitione papaver album et urticae ſemen accipiat. Alius ſuffitus. Si dolor detineat, ſuffitu adhibeto mali punici dulcis corticem, loti ramenta, oleae folia ſicca contuſa, haec oleo permiſcere oportet et in ſtercus bubulum ignitum injicere. Aut galbanum, myrrham, thus, oleum album Aegyptium in vitis ſarmenta. Alius ex bitumine vehementior. Bitumen, Xanthii radicem, leporis pilos,

Ed. Chart. VII. [842.] Foës. I. 674. Ed. Lind. II. (614.)
τώπῳ, ἢ ἐλελίσφακον, ὑπερικὸν, ἕψειν ἐν ὕδατι καὶ κλύζειν, ἢ λίνου καρπὸν, ἄννησον, μελάνθιον, σέσελι, σμύρναν, κασσίης καρπὸν ἐν οἴνῳ ἕψειν καὶ κλύζειν. ἕτερος κλυσμὸς, ἢν ὀδύνη ἰσχῃ σφοδρὴ μετὰ κάθαρσιν. ἀκτῆς καρπὸν καὶ δαφνίδας ἕψειν ἐν οἴνῳ μέλανι καὶ κλύσαι, ἢ ἀκτὴν ἑψήσας ἐν ὕδατι ἀποχέειν τὸ ὕδωρ, οἶνον δὲ γλυκὺν παραχέας κλύσαι. κἢν μετὰ κλυσμὸν ὀδύνη ἐγγένηται, ἕψειν τὰ θυώματα ἐς τὸ μύρον ἐμβάλλοντα, καὶ ἀποχέαι τοῦ ὕδατος δύο κοτύλας, μῖξαι δὲ ἔλαιον χηνὸς καὶ ῥόδινον καὶ κλύζειν χλιαρῷ. πλεῖον δὲ κλύσμα δύο κοτύλαι μηδενὶ ὡς ἔπος εἰπεῖν ἢ λιναζῶστιν ἕψειν ὕδατι καὶ μῖξαι χυλὸν μυρσίνης, ἢ λιβανωτὸν, νέτωπον ἴσον καὶ κλύσαι χλιαρῷ. ἢν δὲ ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν, καὶ τῷ θερμῷ λούεσθαι, καὶ ἀπόθερμον πινέτω. ἢν ἀφθῇ τὰ αἰδοῖα. μύρον θερμὸν ξὺν οἴνῳ κλύζεσθαι, καὶ μελίλωτον προστιθέναι, καὶ γλυκυσίδης ἐν οἴνῳ ἑψημένης τριπτῆς προστιθέσθω, καὶ σμύρναν καὶ ῥητίνην ὁμοῦ μίξας καὶ διεὶς

myrrha, thure et netopo. Aut ſalviam, hypericum in aqua decoquito, ea colluito. Aut lini ſemen, aniſum, melanthium, ſeſeli, myrrham, caſſiae fructum in vino coquito et infundito. Alia collutio, ſi dolor poſt purgationem vehemens fuerit. Sambuci fructum et lauri baccas ex vino nigro coquito et colluito. Aut ſambuco in aqua cocta, aqua effuſa et vino dulci affuſo colluito. Quod ſi poſt collutionem innaſcatur dolor, aromata quae in unguentum immittuntur decoquito et ad decocti effuſi duas heminas adipem anſerinum et oleum roſaceum ammiſceto, eoque tepido colluito. Infuſum autem in nemine, quod ſemel dictum ſit, duarum heminarum modum excedat. Aut mercurialem in aqua decoquito et myrti ſuccum ammiſceto, aut thus et netopum aequali portione et tepido colluito. At ſi uterus doleat, cyclamini radicem ex vino albo jejunae propinato et calida lavet et a balneo bibat. Si pudenda ulcere fervido laborarint. Myrti baccis cum vino decoctis, calido colluendum et melilotus apponenda et paeoniam tritam ex vino coctam ſupponat. Et myrrham ac reſinam ſimul mixtam,

Ed. Chart. VII. [842.] Foës. I. 674. Ed. Lind. II. (613. 614.)
προστιθέναι, τὸ δὲ ἀφαιρέειν. βοηθεῖ δὲ καὶ κρόκος ἔτι τε σμύρνα, κάρυα ποντικὰ, λευκόν τε καθαρὸν ἐν χηνὸς στέατι καὶ μύρῳ ἰρίνῳ προστιθέναι. ἢν περιωδυνίη ἔχῃ ἐκ προσθέτων καθαιρομένην, μυρσίνης ἐμβάφιον, λιβανωτὸν ἴσον, μελάνθιον, κύπερον, σέσελι, ἄννησον, λίνον, νέτωπον, μέλι, ῥητίνην, χηνὸς στέαρ, ὄξος λευκὸν, μύρον Αἰγύπτιον, ἴσον ἑκάστου τρίβειν ἐν οἴνῳ λευκῷ γλυκεῖ, δύο κοτύλῃσι καὶ κλύζειν χλιεροῖσι κλυσμοῖσιν. ἢν ὀδύνη ἔχῃ σφοδρὰ, κανθαρίδες, κύπερος, κάλαμος, σχοῖνος καὶ ἶρις. ταῦτα ἐν οἴνῳ μέλανι ἑψῶν χρέο. ἕτερος κλυσμὸς, ἢν περιοδυνίη καὶ στραγγουρίη ἔχῃ. πράσου χυλὸν, ἀκτῆς καρπὸν, σέσελι, ἄννησον, λιβανωτὸν, σμύρναν. οἶνον χύλωσον καὶ μῖξον καὶ κλύσαι, ἢ σμύρνης ὀξύβαφον, λιβανωτοῦ ἴσον, μελανθίου τοῦ κυπρίου ἴσον, σέσελι, ἄννησον, σελίνου σπέρμα, νέτωπον, μέλι, ῥητίνην, χηνὸς στέαρ, ὄξος λευκὸν, μύρον Αἰγύ(614)πτιον. τούτων ἴσον ἑκάστου διεῖναι οἴνῳ λευκῷ γλυκεῖ καὶ κλύζειν, ἢ λινοζώστιος ὕδωρ ἀφεψήσας σὺν σμύρνῃ, λιβανωτῷ, τε-

imbuito et partim ſubdito, partim extrahito. Conſert etiam crocum ac myrrham et nuces ponticas pura alba lana exceptas, ex anſerino adipe et unguento irino in ſubdititio apponere. Si vehemens dolor per ſubdititia purgatam detineat, myrrhae acetabulum, thuris tantundem, melanthium, cyperum, ſeſeli, aniſum, linum, netopum, mel, reſinam, anſerinum adipem, acetum album, unguentum Aegyptium, ſingula pari portione ex vino albo dulci, ad duas heminas terito, tepidis infuſis colluito. Si vehemens dolor detinuerit, cantharides, cyperus, calamus, juncus odoratus et iris, his ex vino nigro decoctis utere. Collutio alia, ſi vehemens dolor et ſtranguria detinet. Porri ſuccum, ſambuci fructum, ſeſeli, aniſum, thus, myrrham, in vinum infundito et miſceto ac colluito. Aut myrrhae acetabulum, thuris aequalem portionem, melanthii, cyperi tantundem, ſeſeli, aniſum, apii ſemen, netopum, mel, reſinam, anſeris adipem, acetum album, unguentum Aegyptium, horum ſingulorum pares portiones vino albo dulci diluito et ad collutionem adhibeto. Aut mercurialis decocto cum

LIPSIAE

LITERIS GUILIELMI HAACK.

Ed. Chart. VII. [842. 843.] Foes. I. 674. 675. Ed. Lind. II. (614. 615.)

ἐν οἴνῳ, ὀθόνιον ἐμβάπτων προστιθέναι, καὶ στραγγουρίη ἢν λάβῃ, πυριῆν καὶ χρίειν τὸ ἦτρον. ἐγκαθίγυσθαι δὲ ἐν ῥόδων ἀφεψήματι ἢ βάτου ἢ μυρ(615)σίνης ἢ ἐλαίης ἢ ἑλίκων ἀμπέλου ἢ ἀρκευθίδων ἢ ἐλελισφάκου. [843] ἢν δὲ ἄνεμος ἐγγένηται ἐν τῇ μήτρῃ, πόνος τε ἐγγίνηται σπερχνὸς, καὶ φῦσα οὐκ ἔξεισιν, κύμινον προστιθέσθω, ἐλελίσφακον καὶ κύπερον κόψας, καὶ τέγξας τὴν νύκτα ὅλην ἔωθεν ἀπηθήσας, τὸ διυγές τε ἐς ἄγγος ἐγχέαι. κρίμνα πύρινα ἐν || οἴνῳ λευκῷ φορύξαι, καὶ ὀπὸν σιλφίου ὡς κύαθον, ἐς κράμμα ἕψειν καὶ ἐνωμότερον δίδου ῥοφέειν. ἢν κιὼν ἐν τοῖσιν αἰδοίοισιν ἐγγένηται, ὀδύνη ἴσχει, καὶ τῆς μὲν ὀδύνης σελίνου καρπὸς ἀλέξημα, καὶ κισσὸς καὶ ῥοιῆς γλυκείης τριπτῆς ἐν οἴνῳ παλαιῷ ξὺν ποταινίῃ σαρκὶ προστίθεσθαι καὶ ἐπιπλάσαι τὰ φύλλα. τὴν δὲ νύκτα ὅλην ἐχέτω κείμενα, κἄπειτα ἀφελομένη ἐν οἴνῳ διακλυζέσθω.

vino ſubactam, ex linteo imbuto ſubdito. Et ſi ſtranguria prehenderit, pubes ſovenda et illinenda. Deſidendum autem in roſarum decocto, aut rubi, aut myrti, aut oleae, vel capreolorum vitis, vel juniperi baccis, vel ſalviae. At ſi ventus in utero innaſcatur et continuus dolor ſuboriatur, neque flatus exeat, cuminum ſupponat. Salviam, cyperum tuſum, per totam noctem maceratum, mane percolatum, eo quod lucidum eſt in vas effuſo, triticeam farinam craſſius molitam vino albo ſubigito et laſeris ſucci cyathum, ſimul mixta decoquito et ſubcrudum ſorbendum dato. Si columella in pudendis ſuborta ſit, dolor detinet, dolori medetur apii ſemen, hedera, aut mali punici dulcis triti ex vino veteri decoctum, cum recentis carnis fruſtulo foliis obducto in ſubdititio ſuppoſito. Quae per totam noctem ſubdita habeat, deinde ubi detraxerit, vino colluatur.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ


ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000129146

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ